C et major quam par esset sollicitudo, imo vero digna quæ in hoc adhiberetur : sementem tamen longe vicit spica, et seges qualis nondum fuit usque in hodiernum diem. Quocirca etiamsi nihil aliud viro illi fuisset elaboratum, et non alia omnia, quæ vel singula sufficiunt ad laudem merendam, opus tamen tale suscepisse, et id tam præclare exsecutum esse, viro pro quovis ad laudem suffecerit.

Atque ego quidem nolo conferre ejus opera cum scriptis externorum sapientum. Quid enim si ex his alii quidem composuerunt Panathenaica, alii autem prælium Peloponnesiorum et Atheniensium magnifica dictione composuerunt : et alii quidem contra rhetores decertarunt et alii pro rhetoribus, in quibus est quidem insignis et manifestus redundans verborum ornatus, est autem brevis et imbecilla

D utilitas. Cum his ergo nollem ego meum conferre athletam ; sed si quis mihi hoc dederit, ego eum exæquaverim iis, qui in Evangelio laborarunt, et profundum verbi sunt interpretati. Quorum enim sunt fines æquales, eorum sunt etiam principia similia : et si salus animarum apud utrosque est finis argumentorum, quidni etiam fuerint causæ inter se pares, et steterint scriptores in eadem trutina, aut, ut dicam, quod nostrum est, fuerint etiam ex æquo hæredes ? Quam multis autem fortis viri coronis non fuerit coronandus hic Vir admirabilis? imo vero quibus non est jam coronatus, cum ad Deum ascenderit, et apud illos ducat choros,

quorum mores ac vitam conscripsit? Nam vel in fine ostendit, qualem vitam egerit. Non enim eum veluti abscissum, aut divisum fuisse dicunt ii, qui viderunt: sed videbatur veluti a quodam vinculo liberari, et hilari vultu se extendere ad ducentes angelos, et quodam modo se ipsum tradere illorum manibus, ut cito emigraret e corpore.

Et sic quidem est mortuus: fuerunt autem statim omnia, suavi odore plena; et non tunc solum, nec in diem tertiam, sed etiam in multos dies postea, donec fuit solus conditus in sepulchro; et loculus perpetuo talem emisisset odorem, nisi se aliqui tam inique gessissent, ut aliud corpusculum propter eum deponerent. Simul atque enim hoc magno illi viro accidit, desiit fons illa suavis odoris. Atque hoc quidem miraculum, o virorum omnium optime et eruditissime, satis superque ostendit puritatem tuam, et sanctitatem: nam alia quoque tibi sufficiunt ad accuratissimam virtutis consummationem. Tu autem sis mihi propitius, si non perfecte exposui omnem tuam virtutem, neque ex omnibus tuis bonis tibi pure attuli laudationem, nec mihi irascaris propter ea, quæ sunt a me prætermissa, sed eorum quæ scripsi memineris, si eorum, qui hic sunt, est ulla memoria vestris purissimis et divinissimis animis.

A τὰ ἤθη καὶ τοὺς βίους συνέγραψεν; Ἐπέδειξε γὰρ κἂν τῷ τέλει, ὁποῖος αὐτῷ ὁ διεσπουδασμένος βίος ἐτύγχανεν ὤν. Οὐ γὰρ ὥσπερ τετμῆσθαι αὐτὸν οἱ συνεωρακότες φασὶν, οὐδὲ διηρῆσθαι, ἀλλ' ἐῴκει ὥσπερ τινὸς δέσμης ἐλευθερούμενος, καὶ ἱλαρῷ πρὸς τοὺς ἄγοντας ἀγγέλους ἀνατεινόμενος νεύματι, καί πως ἐπιδιδοὺς ἑαυτὸν ταῖς ἐκείνων χερσὶν, ἵνα ταχὺ ἀνασταίη τοῦ σώματος.

Καὶ ἐτεθνήκει μὲν οὕτως· εὐωδίας δὲ αὐτίκα πάντα ἐγεγόνει μεστὰ, καὶ οὐκ εὐθὺς μόνον, οὐδὲ ἐς τρίτην ἡμέραν, ἀλλὰ καὶ εἰς πολλοστὴν ἀπ' ἐκείνης, ἕως δὴ μόνος τῷ τάφῳ ἐτεθησαύριστο. Καὶ ἦν ἂν μέχρι παντὸς ἀρωματίζουσα ἡ σορὸς, εἰ μή τινες τοσοῦτον παρηνομήκασιν, ὥστε καὶ ἕτερον παρ' αὐτῷ καταθεῖναι σωμάτιον. Ὁμοῦ τε γὰρ κἀκεῖνο συμ- B πεπτώκει τῷ μεγάλῳ ἀνδρὶ, καὶ ἡ τῆς εὐωδίας ἔστη πηγή. Τοῦτο μὲν δὴ σοι τὸ θαῦμα, κάλλιστέ μοι πάντων ἀνδρῶν καὶ ἐλλογιμώτατε, εἰς περιουσίαν ἐστὶν ἀποδείξεως τῆς σῆς καθαρότητος καὶ ἁγιότητος· ἐπεὶ καὶ τἄλλα ἀποχρῶντα σοι πρὸς τὴν τῆς ἀρετῆς ἀκριβεστάτην τελείωσιν. Σὺ δέ μοι ἵλεως εἴης, εἰ μή σοι σύμπασαν διηκριβωσάμην ἀρετὴν, μὴ τὴν ἐκ πάντων τῶν σῶν καλῶν συνεμέτρησα σοι τὴν εὐφημίαν, καὶ μή με οἷς ἐλλέλοιπα, δι' ὀργῆς ἔχοις, ἀλλ' οἷς συγγέγραφα, διὰ μνήμης ἄγοις, εἴ τίς ἐστι μνήμη τῶν ἐνταῦθα ταῖς καθαρωτέραις ἡμῶν καὶ θεοειδέσι ψυχαῖς.

ΜΗΝΙ ΝΟΕΜΒΡΙῼ ΚΗ′

ΜΝΗΜΗ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΣΥΜΕΩΝ ΛΟΓΟΘΕΤΟΥ

ΤΟΥ ΜΕΤΑΦΡΑΣΤΟΥ.

ΑΚΟΛΟΥΘΙΑ ΣΥΝΤΕΘΕΙΣΑ ΥΠΟ ΤΟΥ ΨΕΛΛΟΥ

Στιχηρὰ εἰς τὸ, Κύριε ἐκέκραξα. Ἦχος πλαγίου δευτέρου. Πρὸς τὸ Ὅλην ἀποθέμενοι.

—

MENSIS NOVEMBRIS DIE XXVIII.

COMMEMORATIO S. PATRIS NOSTRI SYMEONIS LOGOTHETÆ. QUI ET METAPHRASTES.

OFFICIUM A PSELLO COMPOSITUM.

Troparia in psalmum, *Domine clamavi* (1). Tonus obliquus secundus. Ut illud, Ὅλην ἀποθέμενοι.

—

Munus tuum splendissimum, et conspicuam celsitudinem, magnificentiora tuis præstantissimis gestis effecisti, et qui parentem reginam urbem, in hoc quoque omnium urbium dominatricem et victricem ostendisti, quæ tempestive te veluti florem, et vita et oratione, et virtutibus omnibus præstantissimis vere celeberrimum edidit fetum sui admirabilem, et emicantem coronam.

O res gestas tuas admirandas! maxime Pater,

C Γέρας τὸ λαμπρότατον, σοῦ καὶ περίβλεπτον ὕψος μεγαλοπρεπέστερον, ταῖς μεγαλουργίαις σου ἀπετέλεσας, καὶ τὴν ἐνεγκοῦσάν σε βασιλίδα πόλιν καὶ ἐν τούτῳ βασιλεύουσαν, πασῶν τῶν πόλεων καὶ ὑπερκειμένην ἀπέδειξας, καθ' ὥραν ἐξανθήσασάν σε τὸν ἀληθῶς περιώνυμον, βίῳ τε καὶ λόγῳ, καὶ πάσαις ταῖς καλλίσταις ἀρεταῖς, τὸ θαυμαστὸν ταύτης γέννημα, καὶ λαμπρὸν στεφάνωμα.

Ὢ τῶν θαυμασίων σου, θαυμασιώτατε Πάτερ, οἷς

(1) Id est ad Vesperas.

σε ἐθαυμάστωσεν, ὁ ποιῶν θαυμάσια, μόνος Κύριος. A Ὡς γὰρ ζῶν ἄψαυστον σαρκικῶν μίξεων διετήρεις τὸ σαρκίον σου, οὕτως ἐφύλαξας τάφῳ τυμβευτὲν ἀπροσπέλαστον, τὸ σῶμά σου τὸ ἅγιον, τῆς ἐπιμιξίας τοῦ ὕστερον, τούτῳ συντεθέντος ἑτέρου σώματος, ὃν ἀπρεπῶς καὶ μαρτυρεῖ, τοῦ ἐκβλύζοντος μύρου σου ἡ ἔκλειψις.

Σοῦ τοῖς θείοις χείλεσιν χάρις πολλὴ ἐξεχύθη, καὶ σοφίας ἔμψυχον τῆς ἀκτίστου γέγονας οἰκητήριον. Ὡς πυρὸς γλώσσῃ διαστομωθείς, ὅσιε, ἐν τοῖς λόγοις ὑπερηύγασας τῶν ἀποστόλων τε καὶ τῶν ἀθλοφόρων τὰ σκάμματα, καὶ βίον τὸν ἰσάγγελον ἀσκητῶν ἑκάστου διέγραψας, καὶ νῦν συνοικήτωρ γενόμενος αὐτοῖς, ἐν οὐρανῷ Τριάδος φῶς τὸ ἀνέσπερον βλέπεις B ἀγαλλόμενος.

Δόξα. Ἰδιόμελον. Ἦχος πλαγίου δευτέρου.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου. Διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων· τῶν δαιμόνων ἔλυσας τὰς φάλαγγας, τῶν ἀγγέλω ἔφθασας τὰ τάγματα, ὧν τῶν βίον ἀμέμπτως ἐζήλωσας, παῤῥησίαν ἔχων ἐν τῇ μνήμῃ σου, εἰρήνην αἴτησαι ταις ψυχαῖς ἡμῶν.

Ἀπολυτ. Ἦχος πλαγίου τετάρτου.

Ὀρθοδοξίας ὁδηγὲ, εὐσεβείας διδάσκαλε καὶ σεμνότητος, τῆς οἰκουμένης ὁ φωστὴρ, τῶν λογογράφων θεόπνευστον ἐγκαλλώπισμα λύρα τοῦ Πνεύματος, ταῖς διδαχαῖς σου πάντας φωτίσας Συμεὼν Πατὴρ ἡμῶν, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυ- C χὰς ἡμῶν.

Ο ΚΑΝΩΝ,

Ποίημα τοῦ αὐτοῦ Ψελλοῦ, φέρων ἀκροστιχίδα τήνδε· « Μέλπω σε τὸν γράψαντα τὰς μεταφράσεις. »

Ὠδὴ α'. Πλαγίου δευτέρου. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Μέλος μοι εὔρυθμον δίδου, Λόγε Θεοῦ, εὐφημεῖν ὁρμήσαντι, τὸν Συμεῶνα τὸν Μεταφραστὴν, τὸν κυρίως λογοθέτην ἀξιάγαστον.

Ἐξ ὑψωμάτων τῶν θείων, καὶ ἐπὶ σὲ Πνεῦμα τὸ πανάγιον κατελήλυθέ, σοφὲ, καὶ καρδίαν εὗρε καθαρὰν, καὶ ἔνσωμον ἀληθῶς ἀνεπαύσατο.

Λύχνος ὁ νόμος Κυρίου, σοῦ τοῖς ποσὶν ἀπὸ βρέ- D φους γέγονε, μελετῶντος ἐν αὐτῷ εὐσεβῶς, ἡμέρας καὶ νυκτὸς, τῆς ἡμέρας ὡς υἱοῦ, καὶ φῶς ταῖς τρίβοις σου.

Πόκον σε πάλαι προεῖδεν ὁ Δεδεὼν, ἐφ' ὃν καταβέβηκεν ὁ Θεὸς. ὡς ὑετὸς, καὶ τὴν γῶν πεπλήρωκεν αὐτοῦ Μητροπάρθενε ἁγνὴ, τῆς ἐπιγνώσεως.

Ὠδὴ τρίτη. Οὐκ ἔστιν ὡς σύ.

Ως πλήρης Πνευματος, πληρωτὴς ἀνδρείχθης τῶν αὐτοῦ προσταγμάτων· τὸ γὰρ παρὰ τοῦ Χριστοῦ ἐμπιστευθέν σοι, καλῶς ἐξειργάσω τάλαντον, μακάριε.

A admirande, quibus te admirabilem effeci, qui solus mirabilla facit, Dominus. Quemadmodum enim, cum viveres, lenociniis carnis tuum parvum corpusculum intactum conservabas, ita in sepulcro tumulatum corpus tuum sanctum insociabile conservasti, et inconfusum ab admistione alterius corporis, postmodum ibidem una cum tuo collocati; quod et indecore appositum fuisse indicat, quod inde effluebat unguenti defectus.

E tuis divinis labiis gratia luculenta effusa est, et sapientiæ increatæ animatum habitaculum effectus es, veluti ignis lingua diductus, beate, sermonibus tuis admodum illustrati apostolorum, et præmia reportantium certamina, et vitam angelis parem ascetarum descripsisti: et nunc una cum illis ha- B bitans, in cœlo Triadis lumen inextinctum non sine gaudio conspicis.

Gloria. Idiomelon. Echus obliquus secundus.

Venerande Pater, in omnem terram exivit sonus tuorum facinorum. Propterea in cœlo laborum mercedem adeptus, dæmonum dissolvisti phalanges, angelorum cohortes consecutus es, eorumque vivendi rationem inculpate æmulatus; cum possideas libertatem efflagitandi, in tui commemoratione pacem impetra animabus nostris.

Apolyticium. Echus obliquus quartus.

Rectæ ac integræ doctrinæ dux pietatis magister et honestatis, orbis lumen, scriptorum a Deo inspiratorum ornatus, Spiritus lyra, tuis doctrinis omnes illuminans, Symeon Pater noster, precare C Christum Deum, ut animæ nostræ salutem consequantur.

CANON,

Compositio ejusdem Pselli, hac notatus acrostichide : « Cano te, qui concinnasti metaphrastes. »

Ode 1. Obliquus secundus. Ὡς ἐν ἠπείρῳ πεζεύσας, ὁ Ἰσραήλ.

Melos mihi concinnum exhibe Verbum Dei, cum celebrare inceperim servum tuum Symeonem Metaphrastem, proprieque logothetam admirabilem.

Ex divinis altitudinibus ad te quoque sanctissimus Spiritus descendit, o sapiens ! et purum cor reperit, et corporee vere inhabitavit.

D Lucerna lex Domini pedibus tuis a pueritia effecta est, qui in ea pie meditabaris die et nocte, diei tanquam filius, et lumen viis tuis.

Vellus te antiquitus prævidit Gedeon, ad quod, Deus veluti pluvia descendit, et terram suam replevit, Virgo et Mater, agnitione non contaminata.

Ode 3. Οὐκ ἔστιν ἅγιος ὡς σύ'

Tanquam Spiritu plenus, perfector factus es illius mandatorum. Namque a Christo tibi talentum concreditum, probe absolvisti, beate.

A Sapientiæ divinæ amator a teneris unguiculis factus, diviniloque, eam amplexatus es, et gratiarum ipsius corona, o beate, exornatus es.

Cum terreni senatus dignitatibus condecoratus fuisses, veluti vir consiliarius, vitæ ducendæ rationem in cœlo acquisieras, et supernum senatum decorasti.

Partum super naturam immaculatissimæ Virginis cum comprehendi non posse sciret sapiens logotheta, angelos et homines instruit, ut fide sola venerentur.

Ode 4. Χριστός μου δύναμις.

Omnium Dominus, et omnium causa bonorum, ex omnibus te sapientem, beate, elegit, servis suis laudatorem admirabilem.

B Mentis acumine et puritate, et vitæ claritate, intellectuale te lumen exornavit, et sermonum venustatibus Deus condecoravit.

Scriptionibus divinis operam dabas, sancte, et sanctorum Vitas investigans et perscrutans, horum tormenta et certamina, extollebas doctis tuis metaphrasibus.

Oratorum ora tubis suaviora mela canentia, digne collaudare, immaculata, te Dei montem inumbratum, nequeunt.

Ode 5. Τῷ θείῳ φέγγει σου, ἀγαθή.

Orientis Sol, Christe, justitiæ, animarum illuminatio collaudantium te, tui Metaphraste precibus, caliginem animæ dissolve veluti misericors.

C Animæ proficuos, jucundos et salutares fidelibus sermones, divina mente prædite, concinnasti, ad fortitudinem incitamentum, et virtutis æmulationem, eorum qui probe vixerunt commentaria.

. . . .

Templum, et thronus, et arca omnium regis et Dei tu es, laudatissima Domina, sola Deipara, nostri propitiatorium, qui sub tuam umbram confugimus.

Ode 6. Τοῦ βίου τὴν θάλασσαν.

Prima tua commentatio ex divina providentia et colloquia facta est sacri senis et anachoretæ, Symeon admirabilis, quem in Paro insula conspexisti.

D Pro dignitate laudasti Lesbiæ illustria et divina certamina, vere Theoctistæ, a Deo fabricatæ, quæ angelicam, et tantum non incorpoream absolvit sapienter vitæ rationem.

Abscondita, Domine, et occulta servo tuo revelasti tuæ sapientiæ, miserationum abyssum ostendens tuas misericordias, et glorificans te glorificantes.

Eripe me, Domine, ex profunditate malorum precibus tuæ Genitricis, et sancti, Domine, Symeonis, qui te et vita et sermone coluit, multum misericors.

Σοφίας θείας ἐραστής, ἁπαλῶν ἐξ ὀνύχων γεγονώς, θεοῤῥήμων, περιεπλάκης αὐτήν, καὶ τῶν χαρίτων αὐτῆς τῷ στεφάνῳ, μάκαρ, ἐστεφάνωσαι.

Ἐνδιαπρέψας ἐν ἀρχαῖς ταῖς τῆς κάτω συγκλήτου, ὡς ἀνὴρ βουληφόρος, τὸ πολίτευμα τὸ σὸν ἐκτήσω ἐν οὐρανοῖς, καὶ τὴν ἄνω σύγκλητον ἐκόσμησας.

Τὸν ὑπὲρ φύσιν τοκετὸν τῆς πανάγνου Παρθένου, ὁ σοφὸς λογοθέτης ἀκατάληπτον εἰδὼς, ἀγγέλοις τε καὶ βροτοῖς ἐκδιδάσκει, πίστει μόνῃ σέβεσθαι.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ὁ πάντων Κύριος, καὶ πάντων αἴτιος τῶν καλῶν, ἐξ ἁπάντων σε τὸν σοφὸν, μάκαρ, ἐξελέξατο, τῶν θεραπόντων τῶν ἐξ αὐτοῦ, ἐπαινέτην ἀξιάγαστον.

Νοὸς ὀξύτητι καὶ καθαρότητι, καὶ λαμπρότητι βίου, τοὸ νοερόν σε φῶς καθωράϊσε, καὶ ταῖς τῶν λόγων καλλοναῖς ὁ Θεός σε ἐχαρίτωσεν.

Γραφαῖς ἐσχόλαζες ταῖς θείαις, ὅσιε, καὶ ἁγίων τοὺς Βίους ἰχνηλατῶν, τούτων τὰ παθήματα καὶ τοὺς ἀγῶνας ἐξύμνεις, ταῖς σοφαῖς σου μεταφράσεσιν.

Ῥητόρων στόματα, σαλπίγγων ᾄδοντα εὐηχέστερα μέλη, ἀνευφημεῖν ἐπαξίως, ἄχραντε, ἀδυνατοῦσι τοῦ Θεοῦ σε ὄρος τὸ κατάσκιον.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου, ἀγαθή

Ἀνατολῆς Ἥλιε, Χριστὲ, τῆς δικαιοσύνης, τῶν ψυχῶν ὁ φωτισμὸς τῶν ὑμνούντων σε, τοῦ Μεταφραστοῦ σου ταῖς παρακλήσεσι, τὸν ζόφον τῆς ψυχῆς μου λῦσον, ὡς εὔσπλαγχνος.

Ψυχωφελεῖς καὶ σωτηριώδεις τοῖς πιστοῖς λόγους, θεόφρον, συντέθεικας, ζῆλον πρὸς ἀνδρείαν· ἀρετῆς μίμησιν, τῶν εὖ βεβιωκότων τὰ ὑπομνήματα.

. . . .

Ναὸς, καὶ θρόνος, καὶ κιβωτὸς, τοῦ παμβασιλέως καὶ Θεοῦ, σὺ εἶ, πανύμνητε Δέσποινα, μόνη Θεοτόκε, τὸ ἱλαστήριον ἡμῶν. τῶν προσφευγόντων ὑπὸ τὴν σκέπην σου.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Τὸ πρῶτόν σου σύγγραμμα, ἀκ προνοίας θεϊκῆς, καὶ ὁμιλίας γέγονε τοῦ ἱεροῦ πρεσβύτου καὶ μοναστοῦ, Συμεὼν θεσπέσιε, ὃν ἐν Πάρῳ τῇ νήσῳ τεθεώρηκας.

Ἀξίως ἐξύμνησας τῆς Λεσβίας τὰ λαμπρὰ καὶ θεῖα ἀγωνίσματα, Θεοκτίστης σῆς ὄντως ἀγγελικὸν, μικροῦ καὶ ἀσώματον, τελεσάσης πανσόφως τὸ πολίτευμα.

Τὰ ἄδηλα, Κύριε, καὶ τὰ κρύφια τῷ σῷ θεράποντι ἐδήλωσας, τῆς σῆς σοφίας ἄβυσσον οἰκτιρμῶν, δεικνὺς τὰ ἐλέη σου, καὶ δοξάζων τοὺς πίστει σε δοξάζοντας.

Ἀνάστα γε, Κύριε, ἐκ βυθοῦ με τῶν κακῶν, πρεσβείαις τῆς τεκούσης σε καὶ τοῦ ὁσίου, Δέσποτα, Συμεὼν, τοῦ σὲ θεραπεύσαντος, διὰ βίου καὶ λόγου, πολυέλεε.

Κοντάκιον. Ἦχος β'. « Τὰ ἄνω ζητῶν.

A Ἀμέμπτως ἐν γῇ, σοφὲ, πολιτευσάμενος, τῶν ἐν οὐρανοῖς ἁγίων τὰς λαμπρότητας κατιδεῖν ἠξίωσαι, καὶ πανσόφως τούτους ἐξύμνησας· σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ μὴ παύσῃ πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

Ὁ οἶκος.

Μελῳδικῶς, πιστοὶ, συνελθόντες, εὐφημήσωμεν πάντες ἐπαξίοις ᾠδαῖς, τὸν μέγαν Θεοῦ θεράποντα Συμεῶνα, τὸν ἅγιον λογοθέτην, ὃν ἡ Χριστοῦ Ἐκκλησία φωστῆρα πεπλούτηκεν ἐπὶ γῆς, τοῖς διδασκάλοις Πατράσιν ἐλλάμψαντα. Σὺν τούτοις γὰρ ψάλλων ἀπαύστως Χριστῷ φωτός τε ἀϊδίου πληρούμενος, συγχαίρει πρεσβεύων ὑπὲρ πάντων ἡμῶν.

B Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

Στηλιτεύονται καὶ δαίμονες καὶ τύραννοι, μάρτυρας καὶ ὁσίους Χριστοῦ οἱ κολάσαντες, ταῖς σοφαῖς σου μάκαρ, συγγραφαῖς· πιστῶν μελῳδεῖ δὲ ἡ πληθύς· Εὐλογητὸς εἶ, ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

Μεταφράσεις ὠνομάσθησαν οἱ λόγοι, σου, τρισμάκαρ, καθηδύνοντες νοῦν ἡμέτερον ὑπὲρ μέλι, καὶ γλυκασμὸν τοῖς χείλεσι στάζοντες, βοᾷν· Εὐλογητὸς εἶ, ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ἐπαινέσει γενεὰ, κατὰ τὸν ψάλλοντα, καὶ γενεὰ τοὺς λόγους τοὺς σοὺς, ὡς ἐξᾴδοντας τὰ θαυμάσια τὰ τοῦ Θεοῦ, καὶ μέλπειν προτρέποντας ἡμᾶς· Εὐλογητὸς εἶ, ὁ Θεὸς, ὁ τῶν πατέρων ἡμῶν.

C Τὴν καλὴν ἐν γυναιξὶ σε καὶ πανάμωμον μητέρα τοῦ Θεοῦ, οἱ πιστοὶ ἱκετεύομεν, ἐνεστώσης ῥύσασθαι ἡμᾶς κακίας, τοῦ ψάλλειν ἐμμελῶς· Εὐλογημένη εἶ, Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ἁπασῶν ἡ λαχοῦσα ἄρχειν τῶν πόλεων, σὲ προήνεγκε θεῖον καρπὸν, μακάριε, τρέφοντα αὐτὴν μυστικῶς, καὶ ποτίζοντα νέκταρ ἀμβροσίας, ψυχῶν εἰς σωτηρίαν.

Φυτουργὸν ἐγκρατείας καὶ βίου σώφρονος, γεωργὸν εὐσεβείας καὶ θείας πίστεως, γνώσεως βυθὸν καὶ πηγὴν κατανύξεως, πάντες σε τιμῶμεν, Συμεὼν λογοθέτα.

Ῥητορεύων τὰ θεῖα, θέλγεις τὸ πλήρωμα τῆς σεπτῆς Ἐκκλησίας, θεομακάριστε, καὶ διανιστᾷς ἀρετῆς πρὸς τὴν μίμησιν, τῶν ἐν εὐσεβείᾳ καλῶς τελειωθέντων.

D Ἁγιάσματος θείαν κιβωτὸν ἔχοντες, Θεοτόκε Παρθένε, σὲ τὴν χωρήσασαν πανυπερφυῶς τὸν Θεὸν τὸν ἀχώρητον, ἀνυμνολογοῦμεν πιστοὶ εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Σεμνῶς βιώσας, πρὸς τὸν ποθούμενον εἰρηνικῶς, τρισμάκαρ, ἐξεδήμησας Κύριον, κατ' αὐτὴν τὴν ἡμέραν καθ' ἣν ὁ κλεινὸς Στέφανος τελειοῦται ὁ ὁσιομάρτυς, ᾧ καὶ συνδεδόξασαι.

Ἐκ γῆς ἀπαίρουσα, πρὸς οὐράνια ὁ ἡ ἱερὰ ψυχὴ

Contacium. Echus secundus. Τὰ ἄνω ζητῶν.

Inculpate in terra, o sapiens! vita exacta, sanctorum qui in cœlo sunt splendores intueri dignus factus es, et doctissime eos laudasti: cum ipsis indesinenter precare Christum Deum pro omnibus nobis.

Œcus.

Cum canticis una fideles simul convenientes, omnes collaudemus dignus præconiis magnum Dei servum Symeonem: sanctum Logothetam, quem Christi Ecclesia sibi luminare possedit in terra, cum Patribus doctoribus emicantem; cum his enim indesinenter canens Christo, et lumine sempiterno repletus gaudet, preces pro nobis omnibus effundens.

Ode 7. Δροσοβόλον μὲν τὴν κάμινον.

Dedecore notantur et dæmones et tyranni, qui martyres et sanctos Christi tormentis affecerunt, doctis tuis, o Beate, commentariis. Fidelium autem multitudo concinit: Benedictus es, Deus patrus patrum nostrorum.

Metaphrases nuncupati sunt tui sermones, ter beate, nostram mentem oblectantes supra mel, et dulcedinem labiis stillantes, ut clamemus: Benedictus es, Deus patrum nostrorum.

Laudabit generatio, ut canit ille, et generatio sermones tuos, tanquam qui mirabilia Dei collaudant, canereque nos excitant: Benedictus est Deus patrum nostrorum.

Perpulchram inter mulieres te, et immaculatissimam Dei Matrem fideles exoramus: Ab imminenti infortunio libera, ut suaviter canamus: Benedicta es, quæ Deum in carne peperisti.

Ode 8. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Omnium cui contigit urbium dominari, te divinum fructum civitas extulit, beate, qui eamdem mystice alis, et propinas nectar ambrosiæ in salutem animarum.

Continentiæ, et vitæ castæ plantatorem, pietatis et divinæ fidei agricolam, cognitis abyssum, et contritionis fontem omnes te veneramur, Symeon Logotheta.

Oratorum more divina exponens, cœtum venerandæ Ecclesiæ demulces, divine beate, excitasque ad virtutis imitationem eorum, qui in pietate bonum exitum habuere.

Sanctificationis divinam arcam habentes, Deipara Virgo, te, quæ supra naturam Deum, qui capi non potest, cepisti, hymnis extollimus fideles in sæcula.

Ode 9. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Decenter vita traducta, ad desideratum pacifice, ter beate, Dominum abiisti, eodem ipso die, quo inclytus Stephanus venerandus martyr finem vitæ oppetiit, quocum simul gloriose coronatus es et glorificatus.

E terris proficiscens ad cœlestes, deifer,

anima tua sacra habitationes, gaudentem vultum gerebat, videns sanctos una secum congaudentes, et ad supernam vitam transmittentes.

Ecce jam associatus es sanctorum ordinibus, patriarcharum, martyrum, apostolorum, confessorum, prophetarum, doctorum, et hierarcharum, quibuscum choreas ducens, beatissime, recordare nostri apud Dominum, qui tuas laudes prosequimur.

Sion sancta gratiis a Deo condecorata, urbs Dei, et undique communitum palatium, reginam omnium urbium tibi devictam, ac devotam defende, Metaphrastæ sacris, o puella, precationibus.

Ad Laudes, echus quartus. Ὡς γενναῖον ἐν μάρτυσι..

Ex nobili radice ortum duxisti, rosa omni ex parte rubicunda, gratiis Spiritus tincta, et fideles jucunde donans odoribus tuarum scriptionum, apostolorum, athletarum et confessorum certamina explicans, quibuscum una collocatus, divina revelans, Symeon, deliciarum in gramine, quod in rore est, habitans.

Ut Scripturæ verbis utar, effusa est, Symeon, in labiis tuis Spiritus sancti gratia inæstimabilis. Quapropter eum, qui frustra sese jactabat, concertationum complexibus redargues, atteris; factus est enim veluti stipula ante ignem in cinerem abiens, et te magnum facere visus est, cum ob virtutes mentis tuæ timore perculsus contremuisset.

Veluti servus Numinis factus, tuis operibus, veluti eodem cum sanctis contubernio utens, veluti vitæ tuæ castimonia libertatem adeptus, diviniloque Symeon, eorum, qui te collaudant recordare, animum tuum in probitatem propensum ostendens, ut omnes Dei humanitate peccatorum remissionem consequamur.

Gloria, etc.

Vita divina perfecta speculatione actionem exornasti, Symeon beatissime; namque cum divino amore sapientiam deperisses, ex ore spiritus gratia ditatus es, et uti favum mellis dulcedinem tuorum sermonum nobis instillans, divinis cogitationibus Ecclesiam Dei oblectas. Quapropter in cœlo conversans atque inhabitans, pro nobis, qui tuam commemorationem peragimus, indesinenter Deum peccare.

Procimenon Apostoli.

Mirabilis Deus in sanctis suis. In Ecclesiis, *etc.*

Ex Epistola Pauli ad Corinthios lectio.

Fratres, unicuique datur revelatio, *etc. usque ad*, unicuique, ut vult.

Evangelium secundum Matthæum.

Dixit Dominus discipulis suis: *Vos estis lumen mundi*, etc. usque ad, *Hic magnus vocabitur in regno cœlorum.*

A σου, θεοφόρε, σκηνώματα, ἀφαλλόμενον. Εἶχε τὸ πρόσωπον, βλέπουσα τοὺς ἁγίους αὐτῇ συγχαίροντας, καὶ πρὸς ὑπερκόσμιον ζωὴν ταύτην προπέμποντας.

Ἰδοὺ συνήφθης ἁγίων τάγμασι, πατριαρχῶν, μαρτύρων, ἀποστόλων, ὁσίων τε, ποφητῶν καὶ διδασκάλων καὶ ἱεραρχῶν, οἷσπερ καὶ συγχορεύων μακαριώτατε, μέμνησο πρὸς Κύριον ἡμῶν τῶν εὐφημούντων σε.

Σιὼν ἁγία Θεοχαρίτωτε, πόλις Θεοῦ καὶ κατωχυρωμένον παλάτιον, τὴν πασῶν βασιλεύουσαν πόλεων, ἐν σοὶ ἀνακειμένην ταύτην περίζωσαι, τοῦ Μεταφραστοῦ ταῖς ἱεραῖς, Κόρη, δεήσεσιν.

Εἰς τοὺς Αἴνους, ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυρι.

B Εὐγενοῦς ἀνεβλάστησας ῥίζης, ῥόδον κατέρυθρον, βεβαμμένον χάρισι ταῖς τοῦ Πνεύματος, καὶ τοὺς πιστοὺς εὐωδίασας ὀσμαῖς συγγραμμάτων σου, ἀποστόλων, ἀθλητῶν, καὶ ὁσίων σὰ σκάμματα συνταξάμενος, ὧν καὶ σύστοιχος ὤφθης, θεοφάντορ Συμεών, τρυφῆς ἐν χλόῃ, τῇ ἐν δρόσῳ σκηνούμενος.

Γραφικῶν ἐξεχύθη σου, Συμεών, ἐν τοῖς χείλεσι, τοῦ ἁγίου Πνεύματος χάρις ἄῤῥητος. Διὸ τὸν μάτην καυχώμενον, πλοκαῖς διαλέξεων ἐξώλεγξας ταπεινοῖς. Ὡς καλάμη γὰρ γέγονε, κατὰ πρόσωπον τοῦ πυρὸς τεφρουμένη, καὶ σὲ μᾶλλον μεγαλύνων, ἀνεδείχθη βρύξας νοός σου τὴν δύναμιν.

C Ὡς θεράπων γενόμενος τοῦ Θεοῦ, ἐκ τῶν ἔργων σου, ὡς ἁγίων σύσκηνος, οὓς ἀνύμνησας ὡς παῤῥησίαν κτησάμενος, ἁγνείᾳ τοῦ βίου σου θεοῤῥήμων Συμεών, τῶν ὑμνούντων σε μέμνησο, τὸ φιλάγαθον τῆς ψυχῆς σου δεικνύων, ἵνα πάντες τοῦ Θεοῦ φιλανθρωπίᾳ, πταισμάτων εὕρωμεν.

Δόξα, Καὶ νῦν.

Βίον ἔνθεον κατορθώσας, θεωρίᾳ τὴν πρᾶξιν κατεκόσμησας, Συμεὼν παμμακάριστε. Τὴν γὰρ σοφίαν φιλήσας ἔρωτι θείῳ, ἐκ στόματος τοῦ Πνεύματος τὴν χάριν κατεπλούτησας, καὶ ὡς κηρίον μέλιτος τὸν γλυκασμόν σου τῶν λόγων ἀποστάζων ἡμῖν, εὐφραίνεις νοήμασι θείοις τὴν Ἐκκλησίαν Χριστοῦ. Διὸ ἐν οὐρανοῖς ἐμφιλοχωρῶν, αὐλιζόμενος, ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε τῶν ἐκτε-
D λούντων τὴν μνήμην σου.

Προκείμενον τοῦ Ἀποστόλου.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. Ἐν Ἐκκλησίαις.

Πρὸς Κορινθίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί. Ἑκάστῳ δίδοται ἡ φανέρωσις, καὶ τὰ ἑξῆς, ἕως τοῦ, Ἑκάστῳ καθὼς βούλεται.

Τὸ Εὐαγγέλιον ἐκ τοῦ Ματθαίου.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου, καὶ τὰ ἑξῆς, ἕως τοῦ, Οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

SYMEONIS METAPHRASTÆ

OPERUM PARS PRIMA

COMPLECTENS

OPERA ASCETICA ET PARÆNETICA.

—

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ

ΣΥΜΕΩΝ ΤΟΥ ΛΟΓΟΘΕΤΟΥ

ΤΟΥ ΚΑΙ ΜΕΤΑΦΡΑΣΤΟΥ

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΘΡΗΝΟΝ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ, ΟΤΕ ΠΕΡΙΕΠΛΑΚΗ ΤΟ ΤΙΜΙΟΝ ΣΩΜΑ ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ

—

SAPIENTISSIMI AC DISERTISSIMI

SYMEONIS LOGOTHETÆ.

QUI ET METAPHRASTES,

ORATIO IN LUGUBREM LAMENTATIONEM SANCTISSIMÆ DEIPARÆ PRETIOSUM CORPUS DOMINI NOSTRI JESU CHRISTI AMPLEXANTIS.

(Apud Allatium *De Symeonibus*).

—

Τοῦτο ἐκεῖνο, γλυκύτατε Ἰησοῦ, τὸ τοὺς ἐκ Περ- A σίδος ἀφιγμένους εἰς Βηθλεὲμ, οὐ μόνον χρυσὸν ὡς βασιλεῖ, καὶ λίβανον ὡς Θεῷ, ἀλλὰ καὶ σμύρναν ὡς θνητῷ προσενεγκεῖν γεννηθέντι σοι. Τοῦτο ἐκεῖνο, τὸ ῥομφαίαν μέλλειν διελθεῖν τῇ καρδίᾳ μου, καθὼς Συμεὼν προηγόρευσε. Τοῦτο ἐκεῖνο, τὸ πῦρ ὃ βαλεῖν ἦλθες ἐπὶ τὴν γῆν, ὥσπερ αὐτὸς προὐδίδαξας. Καυστικώτερον γὰρ καὶ πυρὸς μητρὶ φιλοτέκνῳ παιδὸς μονογενοῦς ἀπονέκρωσις. Μικρὸν πρὸς τοὐναντίον μοι περιίσταται καὶ ὁ τοῦ Γαβριὴλ ἀσπασμός. Οὐ γὰρ καὶ νῦν ὁ Κύριος μετ' ἐμοῦ, καθὼς ἐκεῖνός μοι ἐπηγγείλατο· ἀλλὰ σὺ μὲν ἄπνους ἐν νεκροῖς καὶ ᾅδου ταμεῖα φοιτᾷ τὰ ἐνδότερα· ἐγὼ δὲ τὸν ἀέρα πνέω καὶ μετὰ ζώντων περίειμι. Καίτοι οὐ συνορῶ διὰ ποῖον ἔργον πεφόνευσαι. Ἐκάλυψε γὰρ οὐρανοὺς ἡ ἀρετή σου κατὰ τὸν Ἀββακούμ. B καὶ νῦν ἄμορφος κεῖσαι, ὁ ὡραῖος παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ ἄδοξος κηδεύῃ ἐν γῇ, οὗ τὴν δόξαν διηγοῦνται οἱ οὐρανοί. Καὶ μνῆμα φέρει σε λελατομημένον ὃν ἐξ ὄρους ἀλαξεύτου τμηθέντα εἶδεν ὁ Δανιήλ. Ἀπαθὴς σου ἡ γέννησις ἐντεῦθεν ἐν- [ε] δείκνυτο, ὡς ἐν τῇ βάτῳ ἡ θεϊκή σου πρὸς ἀνθρώπους συνάφεια, καὶ ἐν τῷ Ἰωσὴφ ἡ τῶν Ἰουδαίων

Hoc illud est, dulcissime Jesu, ex Perside in urbem Bethleem advectos, non tantum aurum, ut regi, et insensum ut Deo, sed et myrrham, ut mortali tibi jam nato obtulisse. Hoc illud est, gladium meam ipsius animam penetraturum, uti Symeon prædixerat. Hoc illud est, ignem te venisse in terram mittere, ut tu antea edocueras. Igne siquidem matri filiorum amanti, unigeniti filii mors adurentior est. Parum quoque deest, ne Gabrielis salutatio contra mihi eveniat. Neque enim modo Dominus mecum est, quemadmodum ille promiserat; sed tu plane examinatus inter mortuos inferorum penitissima conclavia lustras; ipsa spirans vivensque cum viventibus ætatem ago. Neque tamen animo comprehendere queo, quodnam ob facinus vita tibi adempta est Obtegit siquidem cœlos virtus tua, ut Abbacuc ait, et nunc jaces informis, qui eras speciosus forma præ filiis hominum; et inglorius terra tegeris, cujus gloriam cœli enarrant; et monumentum te gestat incisum, quem e monte sine manibus lapidem abscissum Daniel conspexerat. Inde nulli passioni obnoxia nativitas tua commonstrabatur; veluti in rubo divina tua cum hominibus conjunctio, et in

Josepho ab Hebræis structæ insidiæ : et in Isaa- A cio mortis similitudo. Reliquum est Jonæ, tuæ resurrectionis arcanum.

Væ mihi miseræ! in lapide demortuus jaces, qui ex lapidibus filios suscitas Abraham. Etenim si propter tuam salutarem passionem disruptis lapidibus, quam plurimi nomini tuo non credidissent, non haberes ubi caput declinares vivus, tu Judæis dixisti, quos propter dolosas cogitationes vulpes compellasti; sed demortuus illud reclinasti in cruce, cum substratam ut lectulum latronis fidem comperisses. Offendit me sol, concinit canticorum modulatrix. *Occidit sol, cum nundum inclinasset meridies*, Jeremias enuntiat. Profecto enim et solem sensibus obnoxium tristitia involvit, cum sol intellectualis jûstitiæ defecisset; et saxa rupta sunt, quibuscum B una disrumpi cor meum haud multum abierit. O caro sancta! quæ ex sanguinibus meis mirum in modum coagulata es: namque antiquum debitum sufficientissime restitui. In hoc mihi, Domine, cœlos declinasti; et ut imber super lanam descendisti, ut mortem subires, quæ sanctorum dormientium corpora exsuscitaret, me vero tui Genitricem interimeret. Quæ hæc sunt, Fili desideratissime? Absque damno olim quæ immisceri apta non erant, commista sunt, et ignis divinitatis non materiatus viscera mea non exussit; at nunc alius ignis intima mea singula depascitur, et cor medium convulnerat. Lætitiæ sponsionem accepi per angelum, lacrymasque omnes e facie terræ exterminavi: nihilominus hæ meis hinc lacrymis increscunt. Descendis C ad inferos, animas, quæ ibi observantur, sat novi, liberaturus, verum meam illuc una tecum corripis, cum me mortuam spirantem prætereas, o mortue nude, et vivi Dei verbum, sponte ad crucem altius tolli condemnate, ut omnes ad te traheres! Quodnam ex tuis membris tormento non subjacuit? O divinum mihi caput spinis perfossum, easque cordi meo infigens! O venerandum sacrumque corpus, quod olim non habebas, ubi declinans quiesceres: nunc solum ad sepulturam inclinatum est, quietem consecutum, et ut Jacobus aiebat, veluti Leo obdormivisti! O desideratum concupitumque mihi caput calamo percussum, ut calamum imbellis dæmonis artibus disruptum, longeque a paradiso factum, instaurares! O maxillæ alapis fœdatæ! O os melius D alius favus, licet amarissimum fel degustasti, et acerrimum acetum potionem sumpsisti! O os intra quod dolus inventus non est, etsi dolosum osculum te prodidit ad mortem! O manus, quæ hominem creastis, et nunc cruci affixæ, et ad inferos protensæ, manum illius arripitis, quæ olim lignum tetigit et a lapsu Adamum universum exciiatis! O latus lancea perforatum propter eam, quæ ex latere creata fuerat, primam matrem! O pedes, qui per aquas, veluti per terram processistis, et fluidam naturam manifeste sanctificastis!

Væ mihi, Fili, ipsa parente antiquior, quas sepulcbrales lamentationes, et quas laudationes func-

ἐπιβουλή, καὶ ἐν τῷ Ἰσαακ, τὸ τοῦ θανάτου ὁμοίωμα. Λείπεται οὖν τὸ τοῦ Ἰωνᾶ τῆς ἀναστάσεώς σου μυστήριον.

Οἴμοι! ὅτι ἐν λίθῳ κεῖσαι νεκρὸς, ὁ ἐκ τῶν λίθων ἐγείρων τέκνα τῷ Ἀβραάμ. Εἰ γὰρ οὐ, τῶν λίθων ῥαγέντων διὰ τὸ πάθος σου τὸ σωτήριον, πολλοὶ σου τῷ ὀνόματι πεπιστεύκασιν, οὐκ εἶχες ποῦ κλῖναι τὴν κεφαλὴν ζῶν, εἶπας Ἰουδαίοις αὐτὸς, οὓς ἀλώπεκας ᾔνιξω διὰ τοὺς δολεροὺς αὐτῶν λογισμοὺς, ἀλλ' ἔκλινας ταύτην τεθνηκὼς ἐπὶ τοῦ σταυροῦ, ὑπεστρωμένην ὡς κλίνην εὑρὼν εὐγνώμονος τὴν πίστιν λῃστοῦ. Παρέβλαψέ με ὁ ἥλιος, λεγέτω ἡ ᾀσματίζουσα. Ἐπέδυ ὁ ἥλιος ἔτι μεσούσης ἡμέρας. Ἱερεμίας φθεγγέσθω μοι. Ναὶ γὰρ καὶ ἥλιον αἰσθητὸν ὑπέδραμε στύγνασις, τοῦ νοητοῦ ἡλίου τῆς B δικαιοσύνης ἐκλείποντος. Καὶ πέτραι ῥῆξιν ὑπήνεγκαν, αἷς συρραγῆναί κινδυνεύει ἡ καρδία μου. Ὢς σὰρξ ἁγία, ἥτις ἐξ αἱμάτων ἐμῶν ἐτυρώθης ὑπερφυῶς. Τὸ γὰρ ἀρχαῖον χρέος ἀπεδόμην πληρέστατον. Εἰς τοῦτο μοι τοὺς οὐρανοὺς ὑπέκλινας, Δέσποτα, καὶ ὡς ὑετὸς ἐπὶ πόκον κατέβη, ἵνα καὶ νεκρωσιν ὑποστῇς, ἁγίων μὲν κεκοιμημένων ἐξεγείρουσαν σώματα, νεκροῦσαν δὲ τὴν τεκοῦσάν σε. Τί ταῦτα, παῖ ποθεινότατε; Ἀβλαβῶς μὲν ἐμίχθη πάλαι τὰ ἄμικτα, καὶ πῦρ θεότητος ἄϋλον, σπλάγχνον ἐμὸν οὐ κατέφλεξεν· ἄρτι δ' ἕτερον πῦρ τὰ ἐντός μου βόσκεται ἅπαντα, καὶ μέσην τὴν καρδίαν λυμαίνεται. Χαρᾶς ἐγγύας δι' ἀγγέλου παρέλαβον, καὶ ἀφειλόμην δάκρυον πᾶν ἀπὸ προσώπου τῆς γῆς πλὴν ἀλλὰ τοῦτο μόνον τοῖς ἐμοῖς πιαίνεται δάκρυσιν. C Εἰς ᾅδου καταβαίνεις οἶδ' ὅτι, τὰς ἐγκεκλεισμένας ἀπολύσων ψυχὰς, ἀλλὰ καὶ τὴν ἐμὴν ἐκεῖσε συγκατασπᾷς, ἔπνουν νεκρὸν παρατρέχων με. Ὦ νεκρὲ γυμνὲ, καὶ ζῶντος Λόγε Θεοῦ, ἑκουσίως ὑψωθῆναι καταχεκριμένε σταυρῷ, ἵνα πάντας ἑλκύσῃς πρὸς ἑαυτόν! Ποῖόν σου τῶν μελῶν τοῦ σώματος ἔμεινεν ἀπαθές; Ὦ θεία μοι κορυφὴ ἀκάνθαις δεδεγμένη, καὶ ταύτας ἐμπήξασα τῇ καρδίᾳ μου! Ὦ κοσμία καὶ ἱερὰ κεφαλὴ, ἥτις πάλαι μὲν οὐκ εἶχες ποῦ κλιθῆναι καὶ ἀναπαύσασθαι! νῦν δὲ πρὸς ταφὴν μόνον ἐκλίθης, καὶ ἀναπέπαυσαι, καὶ κατὰ τὸν Ἰακώβ, ὡς λέων κεκοίμησαι! Ὦ ποθεινὴ καὶ ἐρασμία μοι κεφαλὴ, καλάμῳ κετυμμένη, ὡς ἀνορθώσῃς τὸν ὡς σαθρὸν τῷ πονηρῷ κατεαγότα κάλαμον, καὶ μακρὰν τοῦ παραδείσου γενόμενον! Ὦ σιαγόνες δεδεγμέναι D ῥαπίσματα! Ὦ στόμα σίμβλον ἕτερον μέλιτος, εἰ καὶ χολῆς ἐγεύσω πικροτάτης, καὶ ὄξους ἐποτίσθης δριμύτατον! Ὦ στόμα οὗπερ οὐχ εὑρέθη δόλος ἐντὸς, εἰ καί σε δολερὸν εἰς θάνατον προδέδωκε φίλημα! Ὦ χεῖρες, αἱ τὸν ἄνθρωπον πλαστουργήσασαι, καὶ νῦν προσηλωμέναι μὲν τῷ σταυρῷ, ἐν ᾅδου δὲ προτεινόμεναι, καὶ χειρὸς ἁπτόμεναι τῆς ἁψαμένης τοῦ ξύλου πάλαι, καὶ τοῦ πτώματος ὅλον τὸν Ἀδὰμ ἐξεγείρουσαι! Ὦ πλευρὰ λογχευθεῖσα διὰ τὴν ἐκ πλευρᾶς πλασθεῖσαν προμήτορα! Ὦ πόδες, ἐφ' ὑδάτων πεζεύσαντες, καὶ τὴν ῥοώδη φύσιν εἰλικρινῶς ἁγιάσαντες!

Ὤμοι, Υἱὲ, μητρὸς παλαιότερε! Ποίους θρήνους ἐπιτυμβίους, καὶ τίνας ὕμνους ἐπικηδίους σοι ᾄσομαι;

Οὐκέτι στάμνος μανναδόχος ἐγώ· τὸ μάννα γὰρ τὸ ψυχοτρόφον ἀμφὶ τὸν τάφον ἐκκέχυται. Οὐκέτι βάτος ἐγὼ ἀκατάφλεκτος· ὅλη γὰρ νοητῷ πυρί σου τῆς ταφῆς καταπέφλεγμαι. Οὐκέτι χρυσῆ λυχνία ἐγώ· τὸ γὰρ φῶς ὑπὸ τὸν μόδιον τέθειται. Ὡς πολλὰ τὰ μεγαλεῖα ὁ δυνατὸς ἐνέδειξέ μοι! Ἐκ πασῶν γενεῶν ἐξελέξω με. Γλώσσας προφητῶν ἐτράνωσας δι' ἐμέ. Μέλλων οὐρανόθεν καταφοιτᾷν, ὡς οἶδας αὐτὸς, τὴν ἐμὴν εἰς τὸν κόσμον ἀνέμενες πρόοδον, μὴ ἔχων σκεῦος ὑποδοχῆς θεότητος ἄξιον. Σοὶ μόνῳ κατεγγυήσαντό με καὶ πρὸ συλλήψεως οἱ γεννήτορες. Εἰς φῶς ἐξήχθην τοῦτο τοῦ βίου, καὶ βραχύτατα τοῖς γονεῦσι παρέμεινα. Ὁμοῦ γὰρ μαστοῖς ἀπεταξάμην καὶ γάλακτι, καὶ συναπεταξάμην καὶ τοῖς γεννήτορσι, καὶ ὅλη ὅλῳ προσαπεδόθην σοι, καὶ ναῷ ἀνετέθην, ναὸς γενησομένη σοι καθαρώτατος· Ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, σὺ δὲ με προσελάβου, καὶ δι' ἀγγέλου ἐξέτρεψας, καὶ ὅ φησιν ὁ Δαυΐδ· Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος. Ἄγγελον εἶδον πρωτοστάτην, ὡς Δεσποίνῃ προσομιλοῦντά μοι· ὃν Ζαχαρίας πρὶν ἰδὼν ἐκωφεύσατο, καὶ γλωττοπέδην ὑπέμεινεν. Καὶ ἠγαλλιάσατο καὶ βρέφος ἔνδον γαστρὸς, καὶ τὸν ἀσπασμὸν ἠμείψατο τῷ σκιρτήματι, σὲ προσκυνοῦν τὸν ἐν γαστρί μου κυοφορούμενον. Νόμους ἐν ἐμοὶ κατέλυσας φύσεως. Ἀσπόρως συνελήφθης, ὡς οἶδας, καὶ μετὰ τόκον με παρθένον ἐτήρησας. Τέθεικάς με μητέρα ἐπὶ τέκνῳ εὐφραινομένην, κατὰ τὸν δι' ἐμὲ θεοπάτορα, καὶ πασῶν ὑπερκειμένην θυγατέρων, ἃς ὁ Σολομὼν προῃνίξατο. Βασιλεῖς, καὶ πτωχευούσῃ μοι, δουλοπρεπῆ παρέσχον προσκύνησιν. Οὐρανῶν με πλατυτέραν ἀνέδειξας, ἐξ ἧς ὁ τῆς δόξης ἔλαμψεν Ἥλιος. Καὶ ἵνα τὰ λοιπὰ τῶν περὶ ἐμὲ τεραστίων παραδραμοῦμαι, μακαριστὴν ἐν πάσαις γενεαῖς μεπεποίηκας, καὶ δι' ἐμοῦ τὸν ἄνω κόσμον πληρωθῆναι διεγκονόμησας. Νῦν οὐκ οἶδ' ὅπως ταῦτα συγκέχυται· καὶ ἀψινθίῳ μοι τὸ μέλι συμφύρεται. Καὶ γὰρ συννεκροῦσθαι προάγομαι νῦν, καὶ συνθάπτομαι, καὶ μέχρις ᾅδου συγκαταβαίνειν σοι. Νεφέλην με φωτὸς ὁ προβλέπων ὠνόμασεν, ἀντὶ νεφελῶν, ὡς ἔοικε, τὰ δάκρυα στάζουσαν. Μήποτε ἄρα περὶ μοῦ καὶ τοῦτο προείρηται, Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι; Ἰδοὺ γὰρ ἀποτετρυγημένος μοι πρόκειται ὁ βότρυς τῆς ζωῆς ὁ ἀκήρατος, ὃ τὸ ζωηφόρον αἷμα κενώσας ὡς οἶνον, πιστῶν καρδίας εὐφραίνοντα. Βαβαί, πῶς ὁ κατάψυχρος οὗτος λίθος, ὡς σιδήρῳ πληττόμενος τῷ κραταιῷ σου βραχίονι σπινθῆρας ἐπιπέμπει νοητοὺς τῇ καρδίᾳ μου! Τί μὴ καὶ διαῤῥήγνυμι τὸ στέρνον, καὶ μυστικώτερον τάφον ἀντιλαξεύσω, ὡς ἐν σπλάγχνοις μου καὶ πάλιν εἰσδέξωμαι, καὶ ἐγκαρδίως κηδεύσω σε; Λεπὰς ἐγὼ μυστικὴ τῆς πέτρας οὐκ ἀπορρηγνυμένη, τῆς τὸν μαργαρίτην φερούσης μου, τὸν ἐξ ἀστραπῆς τῆς θεαυγοῦς ἐμφυέντα μοι.

Ὢ οἷα ἀνθ' οἵων ὁρῶ! Ἀστὴρ ἡμεροφαὴς τῷ τοκετῷ σου παρὰ τῆς σῆς ἐκαινουργήθη μεγαλειότητος, καὶ σε λεληθότως τεχθέντα οὐρανὸς ἀνεκήρυττεν, ἀλλὰ σήμερον καὶ αὐτὸν τὸν αἰσθητὸν ἔκρυψας ἥλιον, καὶ νύκτα ἐν ἡμέρᾳ μέσῃ παρήνεγκας, τοὺς ἀσε-

A bres tibi decantavero? Non ampliùs urna sum ego mannæ receptaculum: manna siquidem animas enutriens circa sepulchrum effusum est. Non amplius rubus incombustus; tota siquidem intellectuali tui monumenti igne exusta sum. Non amplius candelabrum aureum; lumen siquidem sub modio positu est Ut magnifica ostendit mihi, qui potens est! Ex omnibus nationibus elegisti me. Prophetarum linguas mei causa disertas effecisti. De cœlo progressurus, ut bene ipse nosti, meum in mundum progressum exspectasti, cum non haberes vas, quod esset dignum, et capax divinitatis. Tibi soli, et antequam ipsa conciperer, parentes mei me desponderunt. In lumen hoc vitæ educta sum, et brevissimo tempore cum parentibus commorata, tota toto B tibi reddor, et in templo offeror, templum tibi futura purissimum. Pater meus et mater mea dereliquerunt me, tu vero me assumpsisti, et pavisti per angelum. Et quod ait David, *Panem angelorum manducavit homo.* Angelum vidi principem, mecum veluti Domina communicantem; quem prius Zaccharias intuitus auditum amisit, et linguæ ligamen sustinuit. Et exultavit infans in utero, et saltu salutationi respondit, te adorans, qui in utero meo gestabaris. Naturæ in me leges dissolvisti. Sine semine conceptus, ut scis, et post partu me virginem conservasti; effecisti me matrem de Filio lætantem, ut qui propter me Dei parens audiit, pronuntiat, et omnibus filiabus superiorem, quas Salomon præsignificaverat. Reges mihi, licet res essent pauperculæ, servilem adorationem exibuerunt. C Cœlis ipsis me ampliorem ostendisti, ex qua gloriæ sol resplenduit; et ut reliqua, quæ circa me admirabilia patrata sunt, silentio prætercam, per me beatam in omnibus generationibus mundum superiorem compleri constituisti. Nunc vero, nescio qua ratione hæc confusa sunt omnia, et mel mihi ex absinthio commiscetur. Namque nunc una tecum commori cogor, una tecum sepulcro contegi, simulque una tecum ad inferos progredi. Nebulam me lucis prævidens ille nuncupavit, pro nebulis, ut videtur, lacrimas fundendem. Annon de me etiam illud pronuntiatum est, *Derelinquetur filia Sion veluti tabernaculum in vinea?* Ecce enim prorsus vindemiatus est vitæ racemus incorruptus, qui vivificum sanguinem, veluti vinum fidelium animas lætificantem D effudisti, Papæ, quomodo frigidissimus hic lapis ferro, valido tuo brachio percussus, scintillas animæ meæ intellectuales emittit. Quare non pectus perrumpo, et arcaniorem tibi sepulturam concido, ut in visceribus meis te rursus excipiam, et in corde meo sepulturam tibi condam? Concha ego mystica sum, quæ a saxo non abcinditur margarifero, qui ex divinitus illuminato fulgetro mihi adhæsit.

Quæ nunc pro quibus intueor! Stella interdiu coruscans, cum nascereris, a tua magnificentia nova designata est, et clam te natum cœlum prædicabat; sed hodie ipsum quoque solem sensilem abscondisti, et noctem ipso meridie, refellentem impios,

invexisti. Persas ibi genua flectentes stella advocavit; hic notos et amicos deicidarum metus longe dissipavit. Ibi munerum adductio et adoratio : hic vestimentorum partitio et irrisio, et injuriarum corona. Nunc Judæi, ut antea quærebant signum e cœlo, intueantur solem obtenebratum, et lumen occulentem dignis caligine. Nunc et inanimatum hoc templum pro Judæorum more te deplorat. Quemadmodum enim Judæi, cum quis Deo maledicebat, vestimenta sua scindebant, ita et hoc veluti vestimentum velum scindit te conspiciens a Dei hostibus improbe ac indigne pertractatum. Conteritur et terra motibus divexata, tuaque passione coangustata; sed ubinam sunt, quinque millia hominum, quos mirandum in modum enutrivisti ? Solus equidem Josephus audacter, libereque Pilatum allocutus corpus tuum expostulavit, ne insepultum abjiceretur. Ubi sunt infirmorum cœtus, quos ex variis morbis sanasti, vel quos ab inferis eduxisti ? Solus Nicodemus clavos e manibus, pedibusque tuis extrahit, et totum te e ligno depositum meis hisce ulnis, gemens ipse ac fremens apponit, quæ te et antea, cum infans esses, non sine voluptate gestavere. Manus siquidem hæ meæ et ante infanti facto administrarunt, et nunc justa persolventes adserviunt. O dira funera! Demortuis vitam donans, ante meos oculos demortuus jaces. Et olim quidem circa pueriles fascias studium et operam impendi, et nunc funebria tibi apparans conturbor. Tepidis undis te lavi, et nunc calidioribus te lacrymis obruo. Ulnis maternis sustentabam, sed subsultantem, et puerorum more jocantem, nunc rursus te iisdem sustineo, sed exanimem et mortuorum more jacentem. Tum labia mihi dulcibus, ac roscidis tuis labis irrorabantur. Tum ego beata dici poteram, quod præter exspectationem Creatoris mei parens apparui : et nunc rursus, ut sim misera contigit, quod mei Filii funus accuro. Ibi dolores in partu effugi; hic dolores, dum te sepelio, sustineo. More infantium sæpenumero in pectore obdormivisti, et nunc mortuorum in modum in iisdem obdormis. Næ illæ Symeon beatus fuit, qui te in templo meis e manibus accepit. Prophetæ siquidem et læta, et mihi gloriosa vaticinati sunt, ipse vero solus et tristia, et mœroris plena prædixit. O quomodo sputis fœdari sustinuisti, qui sputo tuo, oculos de novo efformasti! Quomodo alapas tolerasti, qui flagello res divinas cauponantes percussisti. Quomodo probrosam sustines mortem, Fili sceleris espers? Perforatæ sunt manus tuæ, pedesque, sed clavos ipsa in mediam animam meam puncturis dirissimis adactos persentio. Latus tuum confossum est, sed et meum cor eodem ipso tempore confodiebatur. Doloribus una tecum cruci affixa sum, et una tecum tormentis commortua, una tecum sepelior. Quid mihi et vitæ meæ, dum tu longe es, o Creator meus, et Fili desideratissime.

A βοῦντας ἐλέγχουσαν Πέρσας ἐκεῖ γονυπετοῦντας ὁ ἀστὴρ μετεστείλατο, ὧδε καὶ γνωστούς τε καὶ φίλους ὁ τῶν θεοκτόνων φόβος ἀπεμακρύνατο. Ἐκεῖσε δώρων προσαγωγὴ καὶ προσκύνησις, ἐνταῦθα χιτώνων μερισμὸς καὶ χλευασμὸς, καὶ στέφανος ὕβρεων. Νῦν Ἰουδαῖοι, ὡς πρὶν ἐζήτουν ἐξ οὐρανοῦ σημεῖον, βλεπέτωσαν ἥλιον σκοτιζόμενον, καὶ τὸ φῶς ἐκ τῶν ἀξίων σκότους συγκρύπτοντα. Νῦν καὶ ὁ ἄψυχος οὗτος ναὸς κατὰ τὴν Ἰουδαϊκὴν πενθεῖ σε συνήθειαν. Ὡς γὰρ Ἰουδαῖοι βλασφημοῦντός τινος εἰς Θεὸν τοὺς ἑαυτῶν χιτῶνας διέσχιζον, οὕτω δὴ καὶ οὗτος, ὡς χιτῶνα περισχίζει τὸ καταπέτασμα, παρὰ τῶν θεομάχων παροινούμενον βλέπων σε. Συντρίβεται καὶ γῆ σειομένη, παθαινομένη τῷ πάθει σου. Ἀλλὰ ποῦ τὸ πλῆθος τῶν πεντακισχιλίων ἀνδρῶν, οὓς θαυματουρB γήσας ἐξέθρεψας, ὅτι μόνος Ἰωσὴφ πρὸς Πιλάτον τολμηρῶς ἐπαῤῥησιάσατο, καὶ τὸ σῶμά σου ᾐτήσατο, ὡς ἂν μὴ διαμείνῃ καὶ ἄταφον. Ποῦ τῶν ἀσθενῶν αἱ χορεῖαι, οὓς ἐν ποικίλων ἐρύσω νοσημάτων. Ἢ ποῦ καὶ ἀπὸ ᾅδου ἐξήγειρας, ὅτι μόνος Νικόδημος τοὺς ἥλους τῶν χειρῶν, καὶ τῶν ποδῶν σου διίστησι, καὶ ὅλον ἐκ τοῦ ξύλου σε καθελὼν ἐμαῖς ἀγκάλαις ἐπωδύνως ἐντέθεικεν, αἵ σε καὶ πρώην ὄντα βρέφος χαρμοσύνως ἐβάστασαν. Καὶ γὰρ χεῖρες ἐμαὶ, καὶ πρὶν βρεφουργηθέντα ἐξυπηρέτησαν, καὶ νῦν κηδευομένῳ δουλεύουσιν. Ὢ πικρῶν ἐνταφίων! ὅτι νεκροῖς τὸ ζῆν χαρισάμενος, πρὸ ὀφθαλμῶν μου νενέκρωσαι. Καὶ πάλαι σε ἀμφὶ τὰ βρεφικὰ διακονήσασα σπάργανα, καὶ περὶ τὰ νεκρικά σου τυρβάζομαι. Χλιαροῖς ἐλουσάμην σε C νάμασιν, καὶ θερμοτέροις ἄρτι καταντλῶ σε τοῖς δάκρυσιν. Ὠλέναις μητρικαῖς ἐνεκούφιζον, ἀλλὰ σκιρτῶντα καὶ κατὰ νηπίους ἀλλόμενον. Ἀνακουφίζω σε καὶ νῦν ταῖς αὐταῖς, ἀλλ' ἄπνουν, καὶ κατὰ νεκροὺς ἀνακείμενον. Ἐνέβαπτόν μου τότε τὰ χείλη τοῖς μελιχροῖς σου καὶ δροσώδεσί σου χείλεσι. Μακαρίζεσθαί με τηνικαῦτα παρῆν, ὅτι παραδόξως ὠράθην τοῦ πλαστουργοῦ μου λοχεύτρια. Νῦν δὲ πάλιν νύξεσθαί με ἀντεπεγένετο, ὅτι παρευρέθην τοῦ Υἱοῦ μου κηδεύτρια. Ἐκεῖ ὠδῖνας ἐν τῷ τίκτειν ἐξέφυγον· ἔνθεν ὀδύνας ἐν τῷ θάπτειν εἰσδέχομαι. Βρεφοπρεπῶς μοι πολλάκις ἐν τοῖς στέρνοις ἀφύπνωσας, καὶ νῦν νεκροπρεπῶς ἐν τούτοις κεκοίμησαι. Μακαρίζω τὸν Συμεὼν, τὸν ἐξ ἐμῶν χειρῶν ἐν τῷ ναῷ σε δεξάμενον. Προφῆται γὰρ καὶ τὰ χαροποιὰ καὶ τὰ τῆς δόξης μοι προεφήτευσαν· αὐτὸς D δὲ μόνος τὰ σκυθρωπὰ, καὶ τὰ τῆς λύπης προείπετο. Ὢ! πῶς ἐμπτυσθῆναι κατεδέξω, ὃς διὰ πτύσματός σου ὀφθαλμοὺς ἐκαινούργησας; Πῶς ῥαπισμάτων ἠνέσχου, ὃς διὰ φραγγελλίου τοὺς θεοκαπήλους ἐμάστιξας, καὶ τῶν ἱερῶν θριγγίων ἐξήλασας; Πῶς ὑπομένεις θάνατον ἐπονείδιστον, Υἱὲ ἀναμάρτητε; Ἐτρήθης χεῖρας καὶ πόδας, ἀλλὰ τοὺς ἥλους ἔγνων εἰς μέσην μου τὴν ψυχὴν τὰς ὀδύνας ἐμπέμποντας. Τὴν πλευρὰν ἐκεντήθης, ἀλλὰ καὶ ἡ ἐμὴ καρδία τηνικαῦτα συνεκεντεῖτο σοι. Ἐσταύρωμαί σου τοῖς πόνοις, νενέκρωμαί σου τῷ πάθει, καὶ συνθαπτομένῳ συμθάπτομαι. Τί ἐμοὶ καὶ τῷ βίῳ μου, [σοῦ] μὴ παρόντος, ὦ πλαστουργέ μου καὶ Υἱὲ ποθεινότατε.

Sed ubinam et discipulorum chorus ut una me-

Ἀλλὰ ποῦ τῶν μαθητῶν ὁ χορὸς, ἵνα μοι παθαι-

νομένῃ συγκλαύσωσιν; Ἐπατάχθης ὁ ποιμαίνων, καὶ A τὰ πρόβατα σκύλλονται. Ὑπνώττεις ἡ κεφαλή, καὶ χεῖρες ὁμοῦ καὶ πόδες ἄπρακτοι μένουσιν. Κλίνουσι τὰς κεφαλὰς καὶ ἄλλοι νεκρούμενοι, ἀλλὰ προεκλελοιπότος τοῦ πνεύματος. Σὺ δ' ἐναλλὰξ προέκλινας κεφαλὴν, εἶτα καὶ τοῦ θανάτου κελευσθέντος ἐλθεῖν, τὸ πνεῦμα παρέδωκας. Διὸ οὐδὲ κατεαγότα τὰ σκέλη γεγόνασιν, ὅτι μηδὲ τοῦ πάλαι θυομένου ἀμνοῦ ὀστοῦν ὁποιονοῦν κατεθραύετο. Ὡς προσκυνοῦνται τὰ πάθη, καὶ τὸ ὑπομεῖναν σῶμα προσπτύσσομαι. Αἴρω τὸ ὕδωρ, τὸ ἐκ πλευρᾶς σου ῥυὲν, δι' οὗ μοι τὸ λουτρὸν τῆς παλιγγενεσίας χαρακτηρίζεται. Ἐξαίρω καὶ τὸ αἷμα τὸ συῤῥυὲν, δι' οὗ καὶ τὸ διὰ μαρτυρίου εἰκονίζεται βάπτισμα. Ὃ καὶ τὸν εὐγνώμονα περιῤῥαντίσαν ληστὴν καθηγίασε, βαπτισθέντα καὶ αὐτὸν τῷ ἐπὶ σοῦ συμβάντι βαπτίσματι. Ὢ B πικρᾶς ἐκείνης τοῦ ξύλου γεύσεως, ἥτις ἀπὸ γῆς εἰς γῆν παλινοστεῖν παρεσκεύασεν! Σὺ δὲ ἀλλὰ γὰρ οὐκ ἐκ γῆς ἐπλάσθης, οὐκ ἀπὸ χοὸς ἐδημιουργήθης, οὐ παρακοὴν ἐπλημμέλησας. Καὶ γὰρ αὐτὸς εἶ ὁ πλάστης, αὐτὸς ὁ Δημιουργὸς, αὐτὸς ὁ τὴν ἐντολὴν νομοθετήσας τῷ πλάσματι. Καὶ τί σοὶ καὶ τῷ θανάτῳ κοινὸν; Τίς ἕνωσις ταφῇ καὶ αὐτοζωῇ; Τίς μετουσία θρόνῳ ἐν οὐρανῷ, καὶ τάφῳ ἐπὶ τῆς γῆς; Ἐκεῖ συνεδριάζεις μετὰ Πατρὸς, ὧδε συνθάπτῃ τῷ πλαστουργήματι. Ἀπέδωκέ σοι πονηρὰ ἀντὶ ἀγαθῶν ἡ μοιχαλὶς γενεά. Νῦν ὁ μαργαρίτης ἐῤῥίφης ἔμπροσθεν χοίρων. Νῦν προτίθενται τοῖς κυναρίοις τὰ ἅγια. Νῦν ξύλον εἰς τὸν θεῖον ἄρτον ἐμβάλλεται. Ὢ λύττα φιλαργυρίας, ἣν Ἰούδας ἐνόσησεν· οὐκ ἀργυρίαν γὰρ, ἀλλὰ μισανθρωπίαν ἐκέρδησε. Καὶ γὰρ φιλάργυρος C ὢν, ἵνα τί προσεφοίτα τῷ τοὺς πτωχοὺς μακαρίζοντι; καὶ τί ἄμικτα μιγνύων ἐφαίνετο; Ὢ τῆς ἀῤῥήτου οἰκονομίας σου, Δέσποτα. Τίς ὡς Θεὸν ἀξίως ὑμνήσει σε; Τίς ὡς νεκρὸν πρεπόντως θρηνήσει σε; Ἀλλ' οἰκοδόμησον τὸν σὸν ναὸν διὰ τριῶν ἡμερῶν, ὡς εἶπας, ὃν καταλέλυκας. Κεφάλαιον τῶν λόγων· ἐπεὶ μὴ ὕμνους ἀξίους, μηδὲ προσήκοντας θρήνους ἔχω προσφέρειν σοι, μεγαλύνω τὰ ἔργα σου ὡς ἐν σοφίᾳ τὰ πάντα ποιοῦντός σου.

cum doloribus divexati lacrymas effundant? Percussus est pastor, et oves divelluntur. Dormis tu caput, et manus simul ac pedes cessant ab opere. Alii capita declinant; cum mortem oppetunt, sed prius spiritu deficiente; tu vice versa prius caput declinasti, tum morti jubens, ut accederet, spiritum tradidisti. Ideoque genua confracta non sunt, quod et agni antiquitus in sacrificium oblati nullum os frangeretur. Passionem tuam adorans, quod reliquum est, corpus deosculor. Accipio aquam, quæ e latere tuo effluxit per quam mihi regenerationis lavacrum exprimitur: accipio quoque sanguinem, qui simul effluxit, per quem et baptismus per martyrium effingitur, qui et benevolum latronem aspergens sanctum effecit, ablutum ipsum baptismo, qui in te acciderat. O amarum illum ligni gustum, qui e terra in terram rursus redire constituit! Tu porro neque e terra creatus es, neque ex pulvere factus, neque inobedientiæ crimen commiseras: siquidem tu es Creator, tu factor, tu qui præceptum creaturæ imponis. Et quid tibi fuerit, et morti commune? Quæ conjunctio sepulturæ et vitæ? Quod consortium throno cœlesti, et sepulturæ terrestri? Hic una sedes cum Patre, hic una cum creatura sepeliris. Reddidit tibi mala pro nobis generatio adultera. Nunc margarita projiceris ante porcos: nunc canibus sancta objiciuntur: nunc lignum in divinum panem immittitur. O rabiem avaritiæ, qua Judas laboravit! non nummos argenteos, sed inhumanitatem lucratus est. Etenim si tantum in pecunia ponebat, quare illi associatus est, qui pauperes beatos prædicabat. Et quid quæ misceri non poterant, immiscere tentabat? O ineffabilem tuam œconomiam, Domine! Quis te, ut Deum digne laudabit? Quis te, ut mortuum, uti addecet, deplorabit? Sed extrue jam, quod dissolvisti templum tuum trium dierum spatio, ut dixeras. Summa mei sermonis fuerit: cum neque laudes condignas, neque decentes lamentationes offerre tibi, mihi suppetat, magnifico opera tua, qui omnia in sapientia facis.

ΗΘΙΚΟΙ ΛΟΓΟΙ ΚΔ

ΕΚΛΕΧΘΕΝΤΕΣ ΔΙΑ ΣΥΜΕΩΝ ΤΟΥ ΜΑΓΙΣΤΡΟΥ ΚΑΙ ΛΟΓΟΘΕΤΟΥ

Ἐκ πασῶν τῶν πραγματειῶν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας.

SERMONES DE MORIBUS VIGINTI QUATUOR

SELECTI PER SYMEONEM MAGISTRUM ET LOGOTHETAM

Ex omnibus operibus sancti Patris nostri Basilii archiepiscopi Cæsareæ Cappadociæ.

Vide Patrolog. tom. XXXII, col. 1115, inter Opera S. Basilii.

LECTORI.

In libro inter raros rarissimo, cui titulus : Φιλοκαλία τῶν ἱερῶν Νηπτικῶν. etc., Venetiis 1782, fol., p. 699-754 legitur Symeonis Metaphrastæ commentarius in sermones 50 S. Macarii Ægyptii, sub hoc titulo : Παράφρασις Συμεὼν τοῦ Μεταφραστοῦ εἰς ρν' κεφάλαια εἰς τοὺς πεντήκοντα λόγους τοῦ ἁγίου Μακαρίου Αἰγυπτίου. Incipit : Περὶ τελειότητος ἐν πνεύματι λόγος α'. — Pag. 704 : Τοῦ αὐτοῦ περὶ προσευχῆς. — 709 : Τοῦ αὐτοῦ περὶ ὑπομονῆς καὶ διακρίσεως. — 719 : Τοῦ αὐτοῦ περὶ ὑψώσεως τοῦ νοός. — 726 Τοῦ αὐτοῦ περὶ ἀγάπης. — 738 : — Τοῦ αὐτοῦ περὶ ἐλευθερίας νοός. Hæc tamen omnia jamdudum edita sunt sub nomine ipsius Macarii (jure, ut videtur, non suo) et exstant *Patrologiæ* nostræ tom. XXXIV, col. 84.-965.

SYMEONIS METAPHRASTÆ

PRECATIONES.

(Ex Horologio Græcorum in precibus ad Communionem, Ed. Venet. Pinelli, 1614, p. 610).

—

Precatio Symeonis Metaphrastæ.

Qui solus purus et integer es, Domine, qui per ineffabilem benignitatis sensum, nostram totam naturam assumpsisti ex puro et virginali sanguine ejus quæ supra naturam te concepit Spiritus divini influentia, et æterni Patris beneplacito, Christe Jesu, Dei sapientia, pax et virtus ; qui in corpore tuo vivificas et salutares passiones expertus es, crucem, clavos, lanceam, mortem ; mortifica mei corporis exitiosas animæ passiones ; qui in sepulcro tuo Inferni regnum dejecisti, sepeli mea prava consilia per bonas cogitationes, et nequitiæ spiritus dissipa ; qui vivifica tua post tres dies resurrectione, primum parentem lapsum suscitasti, suscita me peccato prostratum pœnitentiæ sensus mihi subministrans ; qui gloriosa tua ascensione, assumptam carnem deificasti, et sede ad dexteram Patris honorasti, dignum me effice per sanctorum mysteriorum tuorum participationem, ut dextrum salvatorum locum obtineam ; qui Paracleti Spiritus adventu, vasa gloriosa sanctos tuos discipulos effecisti, me quoque ejus advenientis habitaculum ostende; qui debet iterum venire ad judicandum orbem in justitia, præsta mihi ut occurram tibi in nubibus sanctis tuis, ut sine fine glorificem et celebrem te cum æterno tuo Patri, et sanctissimo, bono et vivifico tuo Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

A Εὐχὴ Συμεὼν τοῦ Μεταφραστοῦ.

Ὁ μόνος καθαρὸς καὶ ἀκήρατος Κύριος, ὁ δι' οἶκτον φιλανθρωπίας ἀνεκδιήγητον, τὸ ἡμέτερον ὅλον προσλαβόμενος φύραμα ἐκ τῶν ἁγνῶν καὶ παρθενικῶν αἱμάτων τῆς ὑπερφυῶς κυησάσης σε, Πνεύματος θείου ἐπελεύσει, καὶ εὐδοκίᾳ Πατρὸς ἀϊδίου, Χριστὲ Ἰησοῦ σοφία Θεοῦ, καὶ εἰρήνη καὶ δύναμις· ὁ τῷ προσλήμματί σου τὰ ζωοποιὰ καὶ σωτήρια πάθη καταδεξάμενος, τὸν σταυρὸν, τοὺς ἥλους, τὴν λόγχην, τὸν θάνατον, νέκρωσόν μου τὰ ψυχοφθόρα πάθη τοῦ σώματος· ὁ τῇ ταφῇ σου τὰ τοῦ ᾅδου σκυλεύσας βασίλεια, θάψον μου διὰ τῶν ἀγαθῶν λογισμῶν τὰ πονηρὰ διαβούλια, καὶ τὰ τῆς πονηρίας πνεύματα διασκέδασον· ὁ τῇ τριημέρῳ σου καὶ ζωηφόρῳ ἀναστάσει, τὸν πεπτωκότα προπάτορα ἀνα-
B στήσας, ἀνάστησόν με τῇ ἁμαρτίᾳ κατολισθήσαντα, τρόπους μοι μετανοίας ὑποτιθέμενος· ὁ τῇ ἐνδόξῳ σου ἀναλήψει, τῆς σαρκὸς θεώσας τὸ πρόσλημμα, καὶ τοῦτο τῇ δεξιᾷ καθέδρα τιμήσας τοῦ Πατρὸς, ἀξίωσόν με διὰ τῆς τῶν ἁγίων σου μυστηρίων μεταλήψεως, τῆς δεξιᾶς μερίδος τῶν σωζομένων τυχεῖν· ὁ τῇ ἐπιδημίᾳ τοῦ παρακλήτου Πνεύματος, σκεύη τίμια τοὺς ἱερούς σου μαθητὰς ἐργασάμενος, δοχεῖον κἀμὲ τῆς αὐτοῦ ἀνάδειξον ἐπελεύσεως· ὁ μέλλων πάλιν ἔρχεσθαι κρῖναι τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, εὐδόκησον κἀμὲ προϋπαντῆσαί σοι ἐν νεφέλαις, τῷ ποιητῇ καὶ πλάστῃ μου σὺν πᾶσι τοῖς
C ἁγίοις σου, ἵνα ἀτελευτήτως δοξολογῶ καὶ ἀνυμνῶ σε σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ejusdem precatio altera.

Ut in tremendo tuo et personarum non acceptionem faciente tribunali astans, Christe Deus, et sententiam expectans, et rationem reddens meorum male gestorum, ita hodie ante adventum diei meæ condemnationis, in sancto tuo altari assistens coram te et venerandis sanctis angelis tuis, sub meæ conscientiæ pondere incurvatus, offero iniqua mea

Εὐχὴ ἑτέρα τοῦ αὐτοῦ

Ὡς ἐπὶ τοῦ φοβεροῦ σου καὶ ἀπροσωπολήπτου παρεστηκὼς βήματος, Χριστὲ ὁ Θεὸς, καὶ δίκας ὑπέχων, καὶ λόγον ποιούμενος τῶν ἐμοὶ πεπραγμένων κακῶν, οὕτω σήμερον πρὸ τοῦ φθάσαι τὴν ἡμέραν τῆς κατακρίσεώς μου, ἐπὶ τῷ ἁγίῳ σου θυσιαστηρίῳ παριστάμενος ἐνώπιόν σου, καὶ τῶν φοβερῶν καὶ ἁγίων ἀγγέλων σου, κατακαμπτόμενος ὑπὸ τοῦ ἰδίου

συνειδότος, προσφέρω τὰς πονηράς μου καὶ ἀθέσμους πράξεις, θριαμβεύων αὐτὰς καὶ δημοσιεύων. Ἴδε, Κύριε, τὴν ταπείνωσίν μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου· ἴδε ὅτι ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς αἱ ἀνομίαι μου· τί γὰρ οὐκ ἔπραξα κακόν; ποῖον ἁμάρτημα οὐκ ἐποίησα; ποῖον κακὸν οὐ διετυπωσάμην ἐν τῇ ψυχῇ μου, ἤδη δὲ καὶ ἐν τοῖς ἔργοις διεπραξάμην, πορνείαν, μοιχείαν, ὑπερηφανίαν, ἀλαζονείαν, λοιδορίαν, βλασφημίαν, ἀργολογίαν, βρασμῶν γέλωτας, μέθην, γαστριμαργίαν, ἀδηφαγίαν, μῖσος, φθόνον, φιλαργυρίαν, φιλοχρηματίαν, πλεονεξίαν, φιλαυτίαν, φιλοδοξίαν, ἁρπαγήν, ἀδικίαν, αἰσχροκερδίαν, ζηλοτυπίαν, καταλαλιάν, παρανομίαν· πᾶσάν μου αἴσθησιν, καὶ πᾶν μέλος ἐμίανα. ἔφθειρα, ἠχρείωσα, ἐργαστήριον γενόμενος καθόλου τοῦ διαβόλου. B Καὶ οἶδα, Κύριε, ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου· ἀλλ' ἀνείκαστον τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, καὶ τὸ ἔλεος ἄφατον τῆς σῆς ἀνεξικάκου ἀγαθοσύνης, καὶ οὐκ ἔστιν ἁμαρτία ἡ νικῶσα τὴν φιλανθρωπίαν σου.

Διὸ, πανθαύμαστε βασιλεῦ, ἀνεξίκακε Κύριε, θαυμάστωσον καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ τὰ ἐλέη σου· δεῖξον τὴν τῆς χρηστότητός σου δύναμιν, καὶ ἐμφάνισον τὴν ἰσχὺν τῆς εὐσπλάγχνου ῥοπῆς σου, καὶ ἐπιστρέφοντα δέξαι με τὸν ἁμαρτωλόν. Δέξαι με, ὡς ἐδέξω τὸν ἄσωτον, τὸν λῃστήν, τὴν πόρνην· δέξαι με τὸν ὑπερβαλλόντως καὶ λόγῳ, καὶ ἔργῳ, καὶ ἐπιθυμίᾳ ἀτόπῳ, καὶ ἐνθυμήσει ἀλόγῳ ἡμαρτηκότα σοι.

C Καὶ ὡς τοὺς περὶ τὴν ἑνδεκάτην ὥραν ἐδέξω μηδὲν ἄξιον ἐργασαμένους, οὕτω δέξαι κἀμὲ τὸν ἁμαρτωλόν· πολλὰ ἐπλημμέλησα, καὶ ἠσέλγησα, ἐλύπησα τὸ Πνεῦμά σου τὸ ἅγιον, καὶ παρεπίκρανα τὰ φιλάνθρωπα σπλάγχνα σου, καὶ ἔργῳ, καὶ λόγῳ, καὶ διανοίᾳ, ἐν νυκτὶ καὶ ἡμέρᾳ, φανερῶς τε καὶ ἀφανῶς, ἑκουσίως τε καὶ ἀκουσίως· καὶ οἶδα ὅτι παραστήσεις τὰς ἁμαρτίας μου ἔμπροσθέν μου τοιαύτας, οἷαι καὶ παρ' ἐμοῦ γεγόνασι, καὶ συνάρεις λόγον μετ' ἐμοῦ ὑπὲρ ὧν ἐν γνώσει ἀσύγγνωστα ἔπραξα ἁμαρτήματα. Ἀλλὰ, Κύριε, μὴ τῇ δικαίᾳ σου κρίσει, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ἐλέησόν με, Κύριε, ὅτι οὐ μόνον εἰμὶ ἀσθενής, ἀλλὰ καὶ σόν εἰμι πλάσμα. Σὺ μὲν, Κύριε, ἐπεστήριξας ἐπ' ἐμὲ τὸν φόβον σου, ἐγὼ δὲ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· σοὶ οὖν μόνῳ ἥμαρτον· D ἀλλὰ δέομαί σου, μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου· ἐὰν γὰρ ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε, τίς ὑποστήσεται; Ἐγὼ γάρ εἰμι τὸ πέλαγος τῆς ἁμαρτίας, καὶ οὐκ εἰμὶ ἄξιος, οὐδὲ ἱκανὸς ἀτενίσαι καὶ ἰδεῖν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τοῦ πλήθους τῶν ἁμαρτιῶν μου, ὧν οὐκ ἔστιν ἀριθμός. Πᾶσαι γὰρ κακοπραγίαι, καὶ ἐπίνοιαι, καὶ μεθοδίαι σατανικαὶ, διαφθοραὶ, ῥεύσεις, μαλακίαι, παιδοφθορίαι, μνησικακίαι, συμβουλίαι πρὸς ἁμαρτίαν, γαργαλισμοί, ἄλλα τε μυρία πάθη οὐκ ἐξέλιπον ἀπ' ἐμοῦ· ποίοις γὰρ οὐ διεφθάρην ἁμαρτήμασι; ποίοις οὐ συνεσχέθην κακοῖς; πᾶσαν ἁμαρτίαν διεπραξάμην· πᾶσαν ἀσωτίαν διεθέμην ἐν τῇ ψυχῇ μου, ἠχρείωμαι ἀπὸ σοῦ τοῦ Θεοῦ μου καὶ ἀνθρώ-

A et illicita opera, divulgans ea et publicans. Vide, Domine meam humilitatem et dimitte omnia peccata mea; vide quoniam multiplicatæ sunt super capillos capitis iniquitates meæ. Quod enim non feci malum? Quodnam peccatum non admisi? Quodnam malum non concepi in mente mea? vel in operibus exsecutus sum? Fornicationem, adulterium, superbiam, arrogantiam, contumeliam, blasphemiam, otiosa verba, immoderatos risus, ebrietatem, gulam, cibi immoderantiam, odium, invidiam, avaritiam, cupiditatem, proprium amorem, ambitionem, violentiam, injustitiam, turpe lucrum, zelotypiam, loquacitatem, licentiam. Omnem meum sensum, et omne membrum maculavi, corrupi, perdidi, habitaculum factus omnis diaboli. Et scio, Domine, quoniam iniquitates meæ supergressæ sunt caput meum, sed incomprehensibilis est multitudo miserationum tuarum, et indicibilis misericordia tuæ patientis benignitatis, neque est peccatum vincens tuam bonitatem.

Ideo, rex admirabilis, patientissime Domine, mirifica in me peccatore tuas misericordias; ostende tuæ bonitatis virtutem, et manifesta vim tuorum viscerum misericordiæ, et conversum exhibe me peccatorem. Excipe me sicut excepisti prodigum, latronem, meretricem; excipe me qui supra modum verbo, opere, desiderio injusto, et cogitatione iniqua peccavi tibi.

Et sicut eos qui circa undecimam horam venerant et nihil mercede dignum egerant, excepisti, ita excipe me peccatorem. In multis deliqui, et prævaricatus sum, contristatus sum Spiritum tuum sanctum, exacerbavi benigna viscera tua, opere, sermone, et cogitatione, nocte dieque, palam et secreto, voluntarie et involuntarie; et scio quod sistes peccata mea coram me quot et quanta commisi, et rationem exiges mecum de his quæ sciens haud ignoscenda peccata commisi; sed, Domine, ne in tuo justo judicio, neque in furore tuo arguas me, neque in ira tua corripias me. Miserere mei, Domine, quia non solum infirmus sum, sed et tuum opus sum. Tu quidem, Domine, confirmasti in me timorem tuum, ego autem iniquitatem coram te feci; tibi igitur soli peccavi; sed rogo te, ne intres in judicium cum servo tuo. Si enim iniquitates observaveris, Domine, Domine, quis sustinebit? ego enim sum iniquitatis oceanus, et non sum dignus, neque aptus ut aspiciam et videam cœli altitudinem propter multitudinem peccatorum meorum, quorum non est numerus. Omnes enim malæ operationes, et consilia, et fraudes diabolicæ, corruptiones, effluxiones, mollities, puerorum perditiones, rancores, incitamenta ad peccatum, delectationes, aliæque mille libidines a me non abfuerunt. Quibus enim non pollutus sum peccatis? Quibus malis non impletus sum? omnem iniquitatem exercui, omne flagitium in anima mea admisi, aversus sum a te mei et hominum Deo.

Quis eriget me in talibus malis constitutum, et in tanta peccata lapsum? In te, Domine, speravi, Deus meus; si est mihi spes salutis, si vincit benignitas tua multitudinem iniquitatum mearum, sis mihi Salvator, et secundum miserationes tuas et misericordias tuas, solve, dimitte, et relaxa mihi quanta tibi peccavi; quia multis malis impleta est anima mea, et non est in me salutis spes. Miserere mei, Deus, secundum magnam misericordiam tuam, et ne retribuas mihi secundum opera mea, sed converte, suscipe, libera animam meam a malis in quibus nata est et ab exitialibus inclinationibus, salva me propter misericordiam tuam, ut ubi abundavit delictum, superabundet gratia tua; et laudabo, et glorificabo te semper omnibus diebus vitæ meæ. Tu es enim Deus pœnitentium, et Salvator peccantium, et tibi gloriam conferimus cum æterno tuo Patre, et sanctissimo, bono et vivifico tuo spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

Versus ejusdem.

Qui das mihi carnem tuam escam libens,
Qui ignis es indignos consumens,
Ne me comburas, Creator meus.
Potius intra in membrorum meorum compagines,
In omnes artus, in renes et cor meum.
Ure autem spinas omnium meorum delictorum;
Animam emunda, mentem sanctifica,
Frena obfirma, ossaque simul;
Sensuum illumina quintuplicem facultatem,
Totum me tuo timore constringe;
Semper vigila, serva, et custodi me,
Ab omni opere et verbo animam perdente.
Purifica, emunda et dirige me,
Exorna, instrue et illumina me.
Ostende me habitaculum Spiritus solius,
Et nunquam habitatio peccati.
Ut domus tua sim communionis dono.
Ut ignis me fugiat, omnis male agens, omnis libido,
Intercessores offero tibi omnes sanctos,
Incorporeorum ordines,
Præcursorem tuum, sapientes apostolos,
Et cum his tuam puram et immaculatem Matrem;
Quorum orationes, misericors, suscipe, Christe mi,
Et filium lucis tuum servum effice.
Tu enim es solus sanctificatio nostra,
O bone, animarumque nostrarum splendor;
Et tibi, ut decet, tanquam Deo ac Domino
Gloriam omnes quotidie offerimus.

A που. Τίς ἀναστήσει με τὸν ἐν τοσούτοις κακοῖς, καὶ τοσούτοις περιπεσόντα πλημμελήμασιν; Ἐπὶ σοὶ, Κύριε, ἤλπισα, ὁ Θεός μου· εἰ ἔστι μοι σωτηρίας ἐλπὶς, οἱ νικᾷ ἡ φιλανθρωπία σου τὰ πλήθη τῶν ἀνομιῶν μου, γενοῦ μοι Σωτὴρ, καὶ κατὰ τοὺς οἰκτιρμούς σου καὶ τὰ ἐλέη σου, ἄνες, ἄφες, συγχώρησόν μοι πάντα ὅσα σοι ἥμαρτον· ὅτι πολλῶν κακῶν ἡ ψυχή μου ἐπλήσθη, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ σωτηρίας ἐλπὶς, ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ μὴ ἀποδώσῃς μοι κατὰ τὰ ἔργα μου· ἀλλ' ἐπίστρεψον, ἀντιλαβοῦ, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ τῶν συμφυέντων αὐτῇ κακῶν, καὶ δεινῶν προλήψεων· σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου, ἵνα ὅπου ἡ ἁμαρτία ἐπλεόνασεν, ὑπερπερισσεύσῃ ἡ χάρις σου· καὶ αἰνέσω, καὶ δοξάσω σε διὰ παντὸς, πάσας
B τὰς ἡμέρας τῆς ζωῆς μου. Σὺ γὰρ εἶ Θεὸς τῶν μετανοούντων, καὶ Σωτὴρ τῶν ἁμαρτανόντων, καὶ σοῦ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Στίχοι τοῦ αὐτοῦ.

Ὁ δοὺς τροφήν μοι σάρκα σὴν ἑκουσίως,
Ὁ πῦρ ὑπάρχων, καὶ φλέγων ἀναξίους,
Μὴ δὴ καταφλέξῃς με, μὴ, πλαστουργέ μου·
Μᾶλλον δίελθε πρὸς μελῶν μου συνθέσεις,
Εἰς πάντας ἁρμοὺς, εἰς νεφροὺς, εἰς καρδίαν.
Φλέξον δ' ἀκάνθας τῶν ὅλων μου πταισμάτων·
Ψυχὴν κάθαρον, ἁγίασον τὰς φρένας,
C Τὰς ἡνίας στήριξον ὀστέοις ἅμα·
Αἰσθήσεων φώτισον ἁπλῆν πεντάδα·
Ὅλον με τῷ σῷ συγκαθήλωσον φόβῳ·
Ἀεὶ σκέπε, φρούρει τε καὶ φύλαττέ με,
Ἐκ παντὸς ἔργου καὶ λόγου ψυχοφθόρου
Ἅγνιζε, καὶ κάθαρε, καὶ ῥύθμιζέ με,
Κάλλυνε, συνέτιζε, καὶ φώτιζέ με·
Δεῖξόν με σὸν σκήνωμα πνεύματος μόνου,
Καὶ μηκέτι σκήνωμα τῆς ἁμαρτίας,
Ἵν' ὡς σὸν οἶκον εἰσόδῳ κοινωνίας·
Ὡς πῦρ με φεύγῃ, πᾶς κακοῦργος, πᾶν πάθος,
Πρέσβεις φέρω σοι πάντας ἡγιασμένους,
Τάς ταξιαρχίας τε τῶν ἀσωμάτων,
Τὸν πρόδρομόν σου, τοὺς σοφοὺς ἀποστόλους,
Πρὸς τοῖσδε σὴν ἄχραντον ἁγνὴν Μητέρα·
D Ὧν εάς λιτάς, εὔσπλαγχνε, δέξαι, Χριστέ μου,
Καὶ φωτὸς παῖδα τὸν σὸν ἔργασαι λάτριν
Σὺ γάρ ὑπάρχεις ἁγιασμὸς καὶ μόνος
Ἡμῶν, ἀγαθὲ, τῶν ψυχῶν καὶ λαμπρότης·
Καὶ σοὶ πρεπόντως ὡς Θεῷ καὶ Δεσπότῃ
Δόξαν ἅπαντες πέμπομεν καθ' ἡμέραν.

—

SYMEONIS METAPHRASTÆ

OPERUM PARS SECUNDA

COMPLECTENS

CARMINA PIA, EPISTOLAS, SCRIPTA CANONICA ET HISTORICA.

IAMBICI TRIMETRI.

—

(*Veteres Poetæ Græci* Genevæ 1614, fol. tom. II, pag. 753, cum interpretatione nostra.)

Στίχοι Συμεῶνος τοῦ Μεταφραστοῦ.

Μέλλων φαγεῖν, ἄνθρωπε, σῶμα Δεσπότου,
Φόβῳ πρόσελθε, μὴ φλεγῇς· πῦρ τυγχάνει.
Θεῖον δὲ πίνων αἷμα πρὸς μετουσίαν,
Πρῶτον καταλλάγηθι τοῖς σε λυποῦσι,
Ἔπειτα θαῤῥῶν μυστικὴν βρῶσιν φάγε.

Ἕτεροι στίχοι.

Πρὸ τοῦ μετασχεῖν της φρικώδους θυσίας
Τοῦ ζωοποιοῦ σώματος τοῦ Δεσπότου,
Τῷδε πρόσευξαι τῷ τρόπῳ μετὰ τρόμου·
Ἰδοὺ βαδίζω πρὸς θείαν κοινωνίαν,
Πλαστουργὲ, μὴ φλάξῃς με τῇ μετουσίᾳ·
Πῦρ γὰρ ὑπάρχεις τοὺς ἀναξίους φλέγων,
Ἀλλ' οὖν καθαρον ἐκ πάσης με κηλῖδος.

Τοῦ αὐτοῦ.

Θεουργὸν αἷμα φρίξον, ἄνθρωπε, βλέπων·
Ἄνθραξ γάρ ἐστι τοὺς ἀναξίους φλέγων.
Θεοῦ τὸ σῶμα καὶ θεοῖ με καὶ τρέφει·
Θεοῖ τὸ πνεῦμα, τὸν δὲ νουν τρέφει ξένως.

Τοῦ αὐτοῦ.

Ἐπεὶ δὲ τύχῃς τῆς καλῆς μετουσίας,
Τῶν ζωοποιῶν μυστικῶν δωρημάτων,
Ὕμνησον εὐθὺς εὐχαρίστησον μέγα,
Καὶ τάδε θερμῶς ἐκ ψυχῆς Θεῷ λέγε·
Δόξα σοι, ὁ Θεός· δόξα σοι, ὁ Θεός· δόξα σοι, ὁ Θεός.

B *Symeonis Metaphrastæ versus.*

Tu qui comedere cogitas corpus Domini,
Timens accede, homo, ne igne ardeas.
At divinum sanguinem ad communionem bibens.
Primum te molestantibus veniam dato,
Exinde fidens mysticum cibum sume.

Alii versus.

Antequam hostiam tremendam percipis
Domini tui vitam afferentis corporis,
Hoc modo precare cum timore :
Accedo jam ad communionem divinam,
O Creator, ne me aduras hoc cibo;
Namque ignis es indignos adurens,
Sed purum effice ergo me ab omni macula.

C *Ejusdem.*

Cernens divinum cruorem, horresce, homo;
Nam carbo est indignos adurens.
Dei corpus me deum facit et alit,
Nam spiritum deum facit, et mentem alit mirabiliter

Ejusdem.

Cum tu potitus es sacra communione
Deique donis mysticis vitam præstantibus,
Celebra Deum statim, et gratias totus age;
Et fervide deprome hæc pectore verba :
Gloria tibi, Deus, gloria tibi, Deus, gloria tibi Deus.

ALPHABETA MORALIA QUATUOR

(*Apud Allatium, subra col.* 131.)

ΣΥΜΕΩΝ ΜΑΓΙΣΤΡΟΥ

ΚΑΙ ΛΟΓΟΘΕΤΟΥ ΤΟΥ ΔΡΟΜΟΥ

ΕΠΙΣΤΟΛΑΙ.

—

SYMEONIS MAGISTRI

ET LOGOTHETÆ CURSUS

EPISTOLÆ.

(Apud Allatium, in Diatriba *de Symeonibus.*)

I.

Ut scite qui scripsit, et prorsus fortunate, in eum qui ante stabat, jaculum jecit: et qui vulnus accepit, si sensu non careat, gaudebit potius animumque voluptate explebit, suaviloquentiæ melle delinitus: similisque fuerat oratio quodammodo torquibus, pondere quidem gravibus, sed materia aureis; qui artificii summa venustate oculos adeo delectent, ut molestio, quæ ex pondere advenit, sub pretiosæ materiæ et artificii pulchritudine recondita, sensum effugiat.

Α'.

A Ὡς εὐστόχως ὁ γράψας, καὶ λίαν ἐπιτυχῶς κατὰ τοῦ προκειμένου ἀφῆκε τὸ βέλος, καὶ ὁ τὴν πληγὴν δεξάμενος, εἴ τις αἴσθησις, ἡσθήσεται μᾶλλον, καὶ ἡδονὴν ἕξει, τῷ μέλιτι τῆς ἡδυεπείας εὐφρανθείς. Καὶ ἔοικέ πως ὁ λόγος κλοιῷ τινι, βαρεῖ μὲν τὴν ὁλκὴν, χρυσῷ δὲ τὴν ὕλην, καὶ πολλῷ τῷ κάλλει τῆς τέχνης τὴν ὄψιν θέλγοντι· ὡς κλέπτεσθαι, καὶ διαλανθάνειν τὴν ἀπὸ τοῦ βάρους ἀχθηδόνα, τῷ τιμίῳ τῆς ὕλης καὶ τῷ περικαλλεῖ τῆς τέχνης ἐγκρυπτομένην.

II. *Nicetæ Smyrnensi metropolitæ.*

Venere ad nos litteræ amicissimi mihi, et in omnibus pretiosissimi animi verum exemplum atque imago. Sic enim per eas et mores probissimos et æquitatem (illam nempe tuam) expresseras, ut eumdem ipsum Nicetam meum oculis mihi viderer aspicere, utut est, astantem, et quam mollia atque suavia colloquia mecum conferentem. Et erat omnino necesse, animo ita composium et expetitum ab omnibus, pari ratione et lingua esse instructum, ne nimium absens eos contristares, quos tuis sermonibus hilaritate afficias; sed veluti præsens temetipsum amicis exhibeas Sed utinam perpulchræ ejusmodi imaginis rursus exemplar intueri fas esset, ut non eo solum modo, quod apparet, ad multum tempus, sed te vere etiam concupito perfruamur.

Β'. Νικήτᾳ μητροπολίτῃ Σμύρνης.

Γράμματα ἡμῖν ἧκεν, ἐναργὴς εἰκὼν τῆς πάντα ἐμοὶ τιμίας καὶ φιλτάτης ψυχῆς. Οὕτω γὰρ ἐνέφηνας δι' αὐτῶν ἤθη τε τὰ χρηστότατα, καὶ ἐπιείκειαν, B ἐκείνην δή που τὴν σὴν, ὥστε αὐτόχρημα ὁρᾷν ἐδόκουν τὸν ἐμὸν Νικήταν, ἑστάναι τε, ὥσπερ ἔχει, καὶ ὁμιλεῖν μάλα μελιχρῶς καὶ ἡδέως. Καὶ ἔδει πάντως τὸν οὕτως ἔχοντα ψυχῆς, καὶ ἐπέραστον τοῖς πολλοῖς ὄντα, οὕτως ἔχειν καὶ γλώττης, ἵνα μὴ σφόδρα λυπῇς ἀφιστάμενος, οὓς εὐφραίνεις, ἀλλ' αὐτὸς σεαυτὸν ὡς παρόντα τοῖς φίλοισι, παρέχεις. Πλὴν ἀλλὰ γένοιτο τῆς καλῆς ταύτης εἰκόνος καὶ τὸ πρωτότυπον ἐσαῦθις ἰδεῖν, ἵνα μὴ τῷ δοκοῦντι μόνον ἐπιπολὺ, ἀλλὰ καὶ τῷ ὄντι τοῦ ποθουμένου κατατρυφῶμεν.

III. *Eidem.*

Perpulchram hanc et gratiosissimam epistolam, et quam quispiam nuncupaverit Musarum artificiosissime fabrefactum opus, vere sapientissime et philosophiæ addictissime sacerdos, accipiens, gavisus sum, ita me juvet veritas, et lubentiis delibutus, genio meo benefeci, ipsumque scriptoris animum conjeci, quantæ ille mansuetudinis, quantæ modestiæ et quantæ probitatis indicia præ se ferat. Licet enim oratio videatur aspera, erga eum nempe

Γ'. Τῷ αὐτῷ.

Τῇ καλῇ ταύτῃ καὶ χαριεστάτῃ τῶν ἐπιστολῶν C ἐντυχὼν, καὶ ἣν ἄν τις καλέσειεν ἔργον τι Μουσῶν τὸ φιλοτεχνόνατον, σοφώτατε τῷ ὄντι καὶ φιλοσοφώτατε ἱερέων, ἥσθην, μὰ τὴν ἀλήθειαν, καὶ ἡδονῆς ἔσχον μεστὴν τὴν ψυχὴν, αὐτῆς τε τῆς τοῦ γράψαντος ἐστοχασάμην ψυχῆς, ὅσης μὲν ἡμερότητος, ὅσης δὲ τῆς ἐπιεικείας, ὅσης δὲ τῆς χρηστότητος τὰ σύμβολα διαφαίνει. Εἰ γὰρ καὶ τραχεῖς οἱ λόγοι δοκοῦσι καθ' ὅτου δὴ καὶ γεγόνασιν, ἀλλὰ τοῖς καλῶς αὐτῶν

γενομένοις οὐκ ἄδηλον ἕξουσι τὸ ἡδὺ, καὶ ὅσῳ δὴ τῷ μέλιτι τῆς ψυχῆς συγκεκραμένοι πεφύκασι· καί μοι δοκεῖν, ὁ τοῖς σκέμμασιν ἐκείνους βαλλόμενος τοῖς καλοῖς, οὐχ ὕβρεσι βάλλεσθαι μᾶλλον, ἢ ῥόδοις πάττεσθαι δόξει. Ἐπεὶ δὲ τὸ ῥόδον ἔχει μὲν τινας ἀκάνθας συνεξανθούσας, ἀλλ' οὐ παρὰ τοῦτο τοῖς φιλοκάλοις ἀηδὲς, ἀλλὰ καὶ σφόδρα προσφιλὲς καὶ ἐπίχαρι· καὶ τὸ γλυκὺ τοῦτο ξύλον τὸ Ἰνδικὸν (κιννάμωμον αὐτὸ καλοῦσιν) ἔχει μέντοι καὶ δάκνον ἀπὸ τῆς φύσεως, ἀλλ' ἐντεῦθεν μᾶλλον ὑπονύζει, καὶ διεγείρει τὴν ὄρεξιν· καὶ αὐτὸν δὲ τὸν Ἔρωτά φασι τοῖς βέλεσι χαίρειν, καὶ οὐκ ἐκτὸς ποιεῖσθαι τῆς ὀδύνης τὴν ἡδονήν. Ὅπως δὲ καὶ τὰ ἐκ τῆς τέχνης ἄνθη καθωραΐζε τὴν ἐπιστολήν! οἷα μὲν γὰρ ἡ τῶν ὀνομάτων καλλιέπεια καὶ φαιδρότης! οἷα δὲ ἡ τῆς συνθέσεως ἁρμονία! τὸ δὲ τῶν σκωμμάτων εὔστοχον καὶ δάκνον μετὰ τοῦ ἥδοντα· ἡ δὲ τῶν Γραφικῶν χρήσεων εὐκαιρία, καὶ ἡ ἐν ἅπασιν ἐπιπρέπουσα φυσική τις εὔροια καὶ χάρις, οἷον ὀπώρα τις κατὰ τὴν ὥραν γλυκερὰν λιβάδα καὶ μελιχρὰν ἀποστάζουσα. Καὶ τί τ' ἄῤῥητα ἀναμετρήσασθαί με δοκεῖ, κατὰ τὸν εἰπόντα. Πάντως δὲ ἔδει τὸν οὕτως εὐπρεπῆ τὸν βίον, οὕτως εἶναι καί τὸν λόγον ἐπιτερπῆ, ἵνα μὴ βασιλεύῃ μόνον ἀνδρῶν, ἀλλὰ καὶ κατὰ βίου παντὸς, καὶ κατὰ λόγου κέκτηται τὴν νικῶσαν.

Δ'. Τῷ Λαοδικείας.

Ἐδεξάμην τὴν καλὴν ἐκείνην, καὶ ἡδίστην ἐπιστολὴν, ἐναργῆ τῷ ὄντι χαρακτῆρα τῆς ἀγαθῆς σου καὶ γλυκείας ψυχῆς. Καὶ γὰρ φέρων αὐτῇ ἐνέθηκας ἦθός τε σῶφρον, καὶ ἡμερότητα, καὶ μελιχρὸν πνεῦμα, καὶ τὴν ἀπὸ τῶν χειλέων ῥέουσαν ἡδονήν. Καί μοι ἐδόκεις, δι' αὐτῆς ὁμιλεῖν, ὥσπερ ἔθους ἔχεις μάλα κοσμίως, παραμιγνύων κόσμῳ τὰς χάριτας. Οἷος σὺ ταῦτα κιρνᾶν ἐξαίσιος, καὶ κέντρον τι φιλίας ἀπόῤῥητον ταῖς ψυχαῖς ἐνιέναι. Ὥστε ὁπότε τὴν ἐπιστολὴν ἀνεγίνωσκον, Πόσον ἔλεγον δύνασθαι πλέον τὰς σώφρονας χάριτας, ἤπερ τὰς μὴ οὕτω ἐχούσας! καί τι μέγα πεποιηκέναι τὸν ἱμάντα ἐκεῖνον ἔφασκον, ἐν ᾧ φιλότης καὶ ἵμερος, καὶ τ' ἄλλα τὰ τούτων αἰσχίω, ὅτι τὸν πάνυ πρὸς τὰ τοιαῦτα ῥᾴδιον Δία γεγονέναι, θέλξαι. Ἀλλ' ἡ ἐπιστολὴ, πόσων μὲν χαρίτων πλειόνων εὔπορος ἦν! πόσῳ δὲ καὶ σώφρονα νοῦν πλέον χειρώσασθαι δυναμένη! Ταῦτά τε ἔλεγον, καὶ ἐμακάρεζόν σε τῆς γλώττης, οὐχ οὕτως ὥσπερ σὺ τὴν ἐμὴν ῥητορικῶς καὶ εὐτέχνως, ἣν ἐπεὶ μηδὲν ἔγνως ἀφ' ἑαυτῆς ἔχουσαν, ἀπὸ τοῦ κεχρῆσθαι τῷ μεγάλῳ Βασιλεῖ πρὸς λόγους, ἔκρινας ἐπαινεῖν, οὗτος δὲ ἅπαξ τὸ φιλοσοφεῖν ἑλόμενος, καὶ λιτότητα, ὡς οὐκ οἶδ' ἄλλος τις βασιλέων, ἠγαπηκὼς, ἀνέχεται καὶ ταύτης δὴ πάντως τῆς γλώττης, οὐδὲν, μὰ τὸ φίλιον, οὐδὲν κόμψον, οὐδὲ περιττὸν ἐχούσης, ὥσπερ ἔφης. Τὸ θερμουργὸν ἀπέλαβον σκεῦος, οὐ χρείας ἕνεκα μᾶλλον, μὰ τὴν σὴν ἱερὰν κεφαλὴν, ἢ φιλίας ἔμπυρόν τι ταύτης ὑπόμνημα εἶναι τῷ θερμῷ τῶν σῶν ἐπιθυμητῇ.

A quem respicit; at qui probe eam delibaverint, næ illi et dulcem degustaverint, et quantum ea cum animi melle commisceatur, animadverterint. Et mihi plane videtur, qui perpulchris dicteriis illis impetitur, non injuriis appeti, sed magis rosis inspergi. Quandoquidem etsi rosæ una cum flore enatis simul horrent spinis, non propterea coloris studiosis ingrata; imo quam maxime concupita et gratiosa evadunt; et dulce hoc lignum Indicum, cui cinnamomo nomen est, natura quidem sua mordet, sed eo magis ac magis vellicat, et cibi appetentiam excitat. Ipsum etiam Cupidinem tradunt, sagittis gaudere, ei non absque dolore voluptatem impartiri. Quonam non modo et ex arte petiti flores Epistolam decorabant? Qui nominum delectus et splendor? quæ compositionis concinnitas? B At dicteriorum exactum arte pungensque cum voluptate, et Scripturæ auctoritatum opportunitas, et in omnibus conveniens et naturalis affluentia et gratia, veluti fructus quispiam in tempore, dulcem guttam suavemque instillat. Et quid opus est, me, quæ verbis exprimi nequeunt, oratione persequi, ut ille aiebat? Prorsus addecebat eum, qui sic vita spectabilis est, ita esse et oratione jucundum, ne viris tantum imperitans, sed et inter vitæ instituta varia omnesque orationis modos, palmam haberet.

IV. *Laodiceno.*

Perpulchram illam et jucundissimam epistolam suscepi, manifestam probi tui et suavis animi effigiem. Namque in ea de tuo apposuisti et morum gravitatem, et tranquillitatem mentis, et melleum C spiritum, et, quæ a labiis effluit, voluptatem. Et mihi videbaris per eam sermonem admodum decore conferre, uti tibi moris est, pulchritudini gratias immiscens, qui in illis miscendis et aculeo amicitiæ, oratione exprimi non æque facili, in animos injiciendo præclare eximius es. Adeo ut percurrens epistolam, Quanto, inquiebam, robore plus prudentis gratiæ, quam quæ ita se non habeant, abundant? et magnum quid egisse cingulum illud, asseverabam, in quo et concubitus et amor, et alia hisce obscœniora, ad similia Jovem ipsum propensissimum alliciens. At epistola quot gratiis iisque affluentioribus redundat, quantoque potioribus viribus ad mentem prudentem mancipandam potest et pollet? Hæc ipse dicebam, et D beatum te esse ob linguæ præstantiam prædicabam, non æquæ ac tu meam, oratoriis flosculis et dicendi artificio fretus; quam cum ipse agnovisses nihil ex se habere, quod et magnus imperator ad dicendum uteretur, laudibus tuis dignam judicasti. Verum et cum semel animum ad philosophandum addixit, tenuitatem, ut ex aliis imperatoribus nemo, amplexus, et hanc quoque linguam utcunque sustinet, nihil, per nostram amicitiam, comptum neque supereminens habentem, ne tu dixeris. Vas ad calefaciendum accepi, non ut eo utar; non, per tuum sacrum caput, sed ut amicitiæ igneum mihi, calidiorum tuorum studioso, monumentum sit.

V. *Eidem*.

Tuæ pietatis tabellas, diligenter percurrens, cognoscensque te maxime animo angi, quod a nobis responsum ad tuas non habueris, hac tibi ratione valide et veritati ipsi consone respondemus. Silentii causa non est tuarum rerum oblivio, ut tute opinaris; neque quod eas flocci pendamus, segnior manus redditur ad scribendum; sed rerum publicarum indeprecabilis occupatio et assidua conflictatio, et nusquam de iis cura intermittens, et linguam et manum consistere et commorari cogit, quominus ad tuas respondeamus. Sic est, linguam et manum retinet; animum vero non impedit, quin notorum et amicorum recordemur. Nunquam enim tantumdem sollicitudo prævaluerit, ut et animo eorum memoriam evellat, quibuscum semel amicitia juncti sumus. Sed hæc quidem in optima animi parte sita est atque intime profundo insita, notasque accuratas habet. Quæ vero singulis diebus occurrunt, decenti providentia procurante, continuo feruntur, nihilum quidem eam lædentia. Addas illud quoque, nonnulla a te scripta, non responsione, sed fide magis indiguisse, ut vera apud nos æstimarentur, qualia fuere de procuratoribus, quæ non multum ante tempus in cognitionem venerunt; et ea ipse existimo, quam quæ in Sagra gesta sunt, crecredibiliora. Habes jam a nobis sufficientem responsionem; vel, si vis, plagæ quæ ab amore illata est, remedium: et oblecta te gaudio, quod non promptum et quod ad manus est, sed tutum opportunumque possideas. Facultas enim est, etiam non amanti, literas scribere; at memoria recolere, et mente retinere, qui amicitia conjunctus non est, nequit. Quod si quandoque tale scripserit, quod necessario responsum exigat, prorsus et scribemus et respondebimus. Interim modo tu preces funde, et Deum supplicationibus exorare non desinas, ut prospere nobis, quæ præ manibus sunt, eveniant.

VI.

Decursis tuæ pietatis litteris, mentem et scopum, qui in illis latebat, capere non potuimus. Namque volens et libens, cum in gremio sententiam abdidisses, multis nos ac variis erroribus implicasti, cum non esset, ubi exquisita rei propositæ comprehensione mentem firmaremus. Quod si quæ ipse tibi proposueras nobis occultare, tibi erat in animo, finem jam habuere pro tua sententia. Quare vero et in ipso ingressu ea prorsus non texisti silentio, sed litteras cum illis communicasti, quos nolebas habere participes eorum, quæ per illas significabantur. Quod si quæ scripseras omnino manifesta iis esse volebas, ad quos scripsisti, quid tibimet ipsi adversaris, rem peragens nihilo ab ænigmate dissimilem, ut quæ neque velles, ea ipsa velle te deprehendaris? Si itaque prorsus aves, sicuti te velle sat scio, quam volens offudisti scriptis obscuritatem, rejice et tui consilii sententiam aperi. Neque enim quispiam de te dixerit, voluntate qui-

A

Ε΄. Τῷ αὐτῷ.

Τὸ τῆς θεοφιλείας σου γραμματεῖον ἐπιμελῶς ἀναγνόντες, καὶ ἀθυμοῦντά σε παρὰ τὸ μὴ ἀντίγραφα δέχεσθαι παρ' ἡμῶν διαγνόντες, ταύτην ποιούμεθα τὴν ἀπολογίαν ὑγιῶς ἔχουσαν, καὶ σφόδρα τῇ ἀληθείᾳ συνᾴδουσαν. Οὐ λήθη τῶν σῶν αἰτία τῆς σιωπῆς, ὡς αὐτὸς ἔδοξας, οὐδὲ τὸ περὶ ἐλάχιστου ταῦτα ποιεῖσθαι, ῥᾳθυμοτέραν ἔχομεν τὴν χεῖρα πρὸς τὴν γραφήν· ἀλλ' ἡ τῶν δημοσίων ἀπαραίτητος ἀσχολία, καὶ τὸ διηνεκῶς ἡμᾶς ἀπειλῆφθαι τῇ περὶ ταῦτα φροντίδι, τοῦτο καὶ γλῶτταν εἴργει καὶ χεῖρα τὰ παρ' ὑμῶν ἀμείβεσθαι γράμματα. Πλὴν ἀλλὰ γλῶτταν μὲν καὶ χεῖρα διακωλύει, ψυχὴν δὲ οὐδαμῶς ἀπείργει τοῦ μεμνῆσθαι τῶν ἐγνωσμένων. Μὴ γὰρ οὕτως ἰσχύσειέ ποτε δι' αἰῶνος φροντὶς, ὡς B καὶ ψυχῆς ἐκβαλεῖν τὴν μνήμην τῶν παρ' ἡμῶν ἅπαξ φιλεῖσθαι κριθέντων· ἀλλ' ἡ μὲν ἐν καλλίστῳ τῆς ψυχῆς κεῖται καὶ ἐνδοτάτω βαθέως ἐνσημανθεῖσα, καὶ ἀκριβεῖς τοὺς τύπους ἔχουσα· τὰ δὲ καθ' ἡμέραν ἐμπίπτοντα τῆς προσηκούσης τυγχάνοντα προνοίας φέρεται ἀεννάως, μηδὲν αὐτῇ παραβλάπτοντα. Ἄλλως τε δὲ καὶ ἔνια τῶν παρὰ σου γραφέντων, οὐ τοσοῦτον ἀπολογίας, ὅσον ἐδεῖτο πίστεως, καὶ τοῦ ἀληθῆ παρ' ἡμῖν δεῖξαι, οἷα τὰ περὶ διοικητῶν οὐ πρὸ πολλοῦ γνωρισθέντα· ὧν γε δὴ καὶ ἔτυχον, καὶ πιστά μοι ἔδοξε ταῦτα μᾶλλον τῶν ἐπὶ Σάγρας. Ἔχεις ἀρκοῦσαν παρ' ἡμῶν ἀπολογίαν, ἢ θεραπείαν τῆς κατὰ πόθον πληγῆς. καὶ χαῖρε, ὅτι μὴ τὸ ῥᾷστον καὶ πρόχειρον, ἀλλὰ τὸ ἀσφαλὲς καὶ καίριον ἔχεις. Γράφειν μὲν γὰρ ἔνι καὶ C μὴ φιλοῦντι, μεμνῆσθαι δὲ καὶ κατὰ νοῦν ἔχειν, τὸ μὴ φιλίως ἔχον, ἀδύνατον. Εἰ δὲ καὶ τοιοῦτόν τί ποτε γράψῃς, οἷον ἀναγκαίως ἀπαιτοῦν τὴν ἀπολογίαν, καὶ γράψομεν πάντως καὶ ἀπολογησόμεθα. Μόνον αὐτὸς εὔχου, καὶ ταῖς πρὸς τὸ Θεῖον δεήσεσιν εὐοδοῦν ἡμῖν τὰ ἐν χερσὶ, μὴ ἀμέλει.

ς΄.

Τοῖς τῆς σῆς θεοφιλείας γράμμασιν ἐντυχόντες, τοῦ ἐν αὐτοῖς ἀποκεκρυμμένου σκοποῦ ἐφικέσθαι οὐκ ἠδυνήθημεν, ἀσαφείᾳ γὰρ ἑκουσίᾳ τὴν διάνοιαν συγκαλύψας, εἰς πολλὰς ἡμᾶς καὶ διαφόρους περιπλανᾶσθαι πεποίηκας, μὴ ἔχοντας ὅπη στῶμεν τῇ ἀκριβεῖ καταλήψει τοῦ προκειμένου. Εἰ μὲν οὖν D ἠβούλου μὴ νοηθῆναι τὰ τοῦ σκοποῦ, πεπλήρωταί σοι τὰ κατὰ γνώμην. Τί δὲ μὴ τὴν ἀρχὴν τελείως ἀπεσιώπησας, ἀλλ' ἐκοίνωνεις γραμμάτων, οὓς οὐκ ἠβούλου κοινωνοὺς ἕξειν, καὶ τῶν δι' αὐτῶν δηλουμένων; Εἰ ἅπερ ἔγραψας δῆλα πάντως βούλει γενέσθαι τοῖς πρὸς οὓς ἔγραψας, τί αὐτὸς σεαυτῷ ἐλέγχῃ διαμαχόμενος, πρᾶγμά τι ποιῶν, παρ' οὐδὲν αἰνίγματος διαλάττον, καὶ ἅπερ ἂν ἐθέλοις, ἐν ταυτῷ μὴ θέλων φαινόμενος; Εἰ οὖν ὅλως βούλει, ὥσπερ οἶδα καὶ βούλει, περίελε ἣν ἑκὼν κατέχεις τῶν γεγραμμένων ἀσάφειαν, καὶ καθαρῶς ἡμῖν δήλου τὰ τοῦ σκοποῦ. Οὐ γὰρ ἄν τις ἐπὶ σοὶ λέξειεν, βούλεσθαι μὲν, μὴ δύνασθαι δὲ, καὶ ἀτονωτέραν ἔχειν τὴν

γλῶτταν τῆς διανοίας, ὃς νοῆσαί τε ἀγαθὸς εἶ, καὶ A ἑρμηνεῦσαι τὸ νοηθὲν ἱκανώτατος. Ὃ δὲ πρὸς τῷ τέλει τῆς ἐπιστολῆς ἔγραψας, ἀποδυσπετῶν, καὶ τὰ μέγιστα ἀθυμῶν, ὥσπερ ὑπὸ τούτου κωλυόμενος, τοῦ μὴ τῆς ἡμῶν ἀπολαύειν καὶ θέας καὶ ὁμιλίας· καὶ τόδε παρὰ σοὶ κεῖται· σοῦ γὰρ βουλομένου καὶ ἡμῶν ἐθελόντων, τίς ἐσθ' ὁ κωλύων; ζητοῦμεν μαθεῖν. Πλὴν ἀλλὰ καὶ ἀπὼν, μὴ παύσῃ μεμνημένος ἡμῶν, καὶ τὸ Θεῖον ἡμῖν τε καὶ τῷ λαῷ διὰ παντὸς ἱλεούμενος.

dem valere, sed viribus destitui et linguam possidere cogitatione imbecilliorem, qui et intelligere maxime possis, et intellectu concepta verbis exprimere apprime peridoneus es. Ac quod in fine epistolæ scripseras fastidiens, et tote animi maximopere angens, quasi ab hoc impedireris, ne et aspectu nostro et colloquio fruereris, hoc in tua quoque manu est. Nam si tibi in animo est, et nos non abnuimus, quis fuerit impedimento? Hoc perquirentibus indica. Quidquid tandem sit, et hinc absens, nostri vivam perpetuo memoriam teneto, Numen nobis et populo continuo propitians.

Ζ'. Κωνσταντίνῳ τῷ Ῥωμαίῳ.

Γράμματά μοι ἧκε παρὰ τῆς φίλης ἐμοὶ καὶ χειρὸς καὶ γλώττης. Γράμματα φιλίας, ὅσης ἡδονῆς ἀποστάζοντα. Ἐγὼ δὲ ἠχθόμην διπλῆ, φιλίᾳ πάσῃ B μικροψύχως ἐπαρώμενος καὶ μεμφόμενος, οὐ τῷ στερεῖσθαι μόνον τοῦ φιλουμένου, ἀλλὰ καὶ τῷ παραζηλῶσαι πλέον, καὶ δεινῶς ὑποκνισθῆναι, καὶ παθεῖν τὴν ψυχὴν, ἐφ' οἷς ἑτέρους μὲν ἑώρων γραμμάτων ἀπολαύοντας σῶν, ἐμὲ ὥσπερ ἠμελημένον τὸν παρὰ σοὶ Ὀρέστῃ ποτὲ Πυλάδην εἶναι οἰόμενον. Ἀλλὰ νῦν ἐπέχω τὸ χρέος, ἐπιστολὴν δεξάμενος, μικρὰν μὲν, καλὴν δέ· οὐδ' ὅσον εἰπεῖν, καὶ οὐ τρεῖς, ἀλλὰ μυρίας ἔχουσαν τὰς ἐν αὐτῇ χάριτας. Χαῖρε τοιγαροῦν, καὶ γράφε, καὶ τοῖς τοιούτοις ἡδίστοις γράμμασι παραμυθοῦ ψυχὴν, πόθῳ τῷ περὶ σὲ κάμνουσαν· ὡς ἡμεῖς γε τὰ σὰ ἀξίως ἐπαινοῦμεν μηδαμῶς, φιλοῦμεν δέ.

VII. *Constantino Romano.*

Redditæ sunt mihi litteræ ab amica mihi et manu et lingua; litteræ amicitiæ maximis voluptatibus cumulatæ. Ego vero ægre tuli dupliciter, amicitiæ universæ, quasi pusilli animi essem, imprecans, et eam accusans, et quo te amato spoliarer, et, quod magis est, invidentiæ quodam motu acrique prurigine concitus, animo deficerer, cum aliis tuas litteras reddi cernerem, me vero, qui aliquando apud te Orestem Pylades esse existimabar, neglectum contemptui haberi. At nunc vere debitum mihi tribuitur, dum accipio epistolam, parvam illam quidem, sed adeo pulchram, ut sermone exprimi nequeat; et non tribus, sed innumeris Gratiis refertam. Valeas igitur scribasque, et ejusmodi minutissimis epistolis ex tuo amore animum laborantem recrees. Sic nos tua digne laudamus equidem nunquam, sed plane amamus.

Η'. Τῷ Λαοδικείας. C

Ἐγκαλοῦμαι οὖν, ἐφ' οἷς οὐκ ἔστι μοι ἀπολογήσασθαι ῥᾴδιον, οὐχ ὡς ἀποροῦντι ἀπολογίας, ἀλλ' ὡς ἀποροῦντι σχολῆς. Πλὴν τὸ μὲν σιωπᾶν ἐγκαλείσθω μοι· μετέχει γὰρ ἀληθείας, κἂν μηδὲ συγγνώμης ἀμοιρῇ· τὸ δὲ μὴ φιλεῖν, μηδέ ποτε, ἢ καὶ τὸ μὴ κατ' ἄνθρωπον λογίζεσθαι πρότερον· κἂν οἱ λόγοι μὴ φέρωνται πρὸς τοὺς φίλους. Ἐγὼ γὰρ ὅπως ἔχω φιλίας πρὸς σὲ, καὶ αὐτὸς οἶδας, ὅς γε τοῦτο τέως ὁμολογεῖς, ὅτι παρόντα φιλῶ. Ἐπεὶ δὲ τοῦτο, μηδὲ τῷ ἑτέρῳ διαπιστήσῃς, ὅτι καὶ ἀπόντα πλέον. Παρόντος μὲν γὰρ ἱκανὰ παραμυθεῖσθαι τὸ φίλτρον ὄψις τε αὐτὴ, καὶ λόγοι καὶ ὁμιλία, ἀπόντος δὲ δεινὴ ἐπιθέσθαι ἡ ἔφεσις, παντὸς χηρεύουσα τοῦ παρακαλοῦντος. Ἀλλὰ σὺ δυσπαραίτητος πρὸς τὴν σιωπὴν, πικρῶς ἡμῖν αὐτὴν καὶ βαρέως προτείνων, ἣν οὐχ ἑκόντες, πόθεν; ἀλλὰ καὶ D λίαν ἄκοντες φέρομεν πρὸς τοὺς φίλους. Γράφε τοίνυν αὐτὸς, καὶ παραμυθοῦ, καὶ κατὰ τοῦτο μᾶλλον, ὡς παρὰ γνώμην τι πάσχοντας, ἐφ' οἷς φιλεῖν ἔχοντες, κεκωλύμεθα πρὸς τὸ λέγειν· ὥσπερ εἴ τις ἀλγῶν αὐτὸ τοῦτο ἐπετράπη τὸ σιωπᾶν, καὶ μὴ λέγειν τὴν ἀλγηδόνα.

VIII. *Laodicensi.*

Accusor nunc, pro quibus non ita facilis responsio est: non quod responsione destituor, sed quod otium non suppetit. Attamen silentium mihi imperatur: namque id a veritate alienum non est, licet venia excusationis non careat: amor vero erga amicos, nunquam mihi denegetur, aut uti homines non ratiocinari, etsi sermones ad amicos non deferantur. Ego etenim qua tecum amicitia devincior, tute ipse jam bene nosti, qui nec inficias is, præsentem te amari a me. Id si ita se habet, alteri quoque fidem adhibebis, multo magis absentem. Præsentis siquidem abunde satis cupidinem solabitur et aspectus ipse et sermones et colloquia: at absentis immaniter desiderium invadit, cum nulla leniat consolatio. Tu vero adversum silentium inexorabilis, illud nobis amare equidem graviterque inculcas, quod non sponte; unde enim id contigerit? sed quam maxime inviti erga amicos facimus. Scribe itaque tu, et recrea; ideoque potissimum, quod præter sententiam patiamur, dum, cum liceat amare, dicendi facultate privamur; hoc illi silentii lege imponantur, ne in sermone æque ac si quis male se habens dolensque, ipsum deponat, sed mutos corde premat dolores.

Θ'. Τῷ αὐτῷ.

Μετὰ τὴν ἐντεῦθεν, ὡς μὴ ὤφελεν, ἐκδημίαν σου, οὐ διὰ γλώττης, οὐ διὰ γραμμάτων, οὐδ' ὁτιοῦνπερ τῆς ἐμοὶ φίλης ἀκηκοότες ψυχῆς, οὕτω διακείμεθα,

IX. *Eidem.*

Post tuum ex his partibus, qui nunquam contigisset! discessum, neque per sermones, neque per litteras quidpiam chari mihi animi audiens, ita

afficior, ut qui scissionem ac separationem violenter factam tolerant. At tu, qui hoc optime calles, quomodo sustinuisti per tantum tempus nos absque ulla consolatione deserere? Siquidem ergo nostri tibi curæ est: et certe est modis omnibus, qui pars et membrum unius animi es: quam celerrime scribito, et animum consolare, cui ipse id idem es, quod ille, absque dubio, corpori.

A ὥσπερ ἀνάγκη τοὺς τομὴν βιαίαν καὶ διαῤῥῆξιν ὑποστάντας. Ἀλλὰ σὺ ὁ ταῦτα εἰδὼς, πῶς ἠνέσχου τον τοσοῦτον χρόνον ἀπαρακλήτους καταλιπεῖν; Εἴ τι οὖν ἡμῶν μέλει σοι, μέλει δὲ πάντως· μέλος ὄντι καὶ μέρος τῆς μιᾶς ψυχῆς, γράψον τὸ τάχος καὶ παραμύθησαι ψυχὴν, ἧ τοῦτο αὐτὸς εἶ, ὅπερ ἀτεχνῶς ἐκείνη τῷ σώματι.

ΣΥΜΕΩΝ ΜΑΓΙΣΤΡΟΥ

ΚΑΙ ΛΟΓΟΘΕΤΟΥ

ΕΠΙΤΟΜΗ ΚΑΝΟΝΩΝ

—

SYMEONIS MAGISTRI ET LOGOTHETÆ

EPITOME CANONUM

(Ex Christoph. Justelli *Bibliotheca Juris canonici veteris*, tom. II, p. 710. — In Symeonis epitome quatuor priora concilia œcumenica, Nicænum, Constantinopolitanum, Ephesinum et Chalcedonense, primum locum obtinent; sequuntur particulares seu topicæ synodi, eo ordine: Ancyrana, Sardicencis, Neocæsariensis, Gangrensis, Antiochena et Laodicensis, quibus etiam addidit canones apostolicos, sed et Africanos XCIV, et Trullenses, et tres epistolas canonicas Basilii.

—

Sanctorum apostolorum.

1. Duo aut tres episcopi ordinant episcopum.

2. Unus vero presbyterum, vel diaconum.

3. Sacerdos lac, aut mel, aut siceram, aut animalia, aut legumina offerens ad altare, præterquam novas spicas et uvas et oleum, et thymiama, deponatur.

4. Fructus domum mittantur, primitiæ episcopo aut presbyteris, quos primi sequentibus distribuant.

5. Conjugem sacerdos si ejiciat, excommunicetur: si vero non introducat, gradu dejiciatur.

6. Sæculares curas suscipiens sacerdos, sacerdotio privetur.

7. Qui cum Judæis Pascha celebrat, deponitur.

8. Sacerdos non communicans dicat causam; quod si non dixerit, excommunicetur: suspectum enim reddit offerentem.

9. Excommunicabis eum qui in oratione et communione non perseverat.

10. Qui orat cum excommunicato aut gradu dejecto, suapte sententia condemnatur.

11. Qui aliunde ejectum susceperit, magis ipse ejiciendus est.

12. Qui excommunicationem mentitur, ideo maxime rejiciendus est.

13. Sedem ex sede non invades, nisi qui ibi de-

B Τῶν ἀποστόλων.

α'. Δύο ἢ τρεῖς ἐπίσκοποι χειροτονοῦσιν ἐπίσκοπον.

β'. Εἷς δὲ, πρεσβύτερον καὶ διάκονον.

γ'. Ἱερεὺς ὁ γάλα, ἢ μέλι, ἢ σίκερα, ἢ ζῶα, ἢ ὄσπρια τῷ θυσιαστηρίῳ προσάγων, πλὴν χίδρων καὶ σταφυλῆς [σταφυλῶν] καὶ ἐλαίου, καὶ κηρίου, καὶ θυμιάματος, καθαιρέσθω.

δ'. Αἱ ὀπῶραι οἶκοι πεμπέσθωσαν, ἀπαρχὴ τῷ ἐπισκόπῳ ἢ τοῖς πρεσβυτέροις, ἃς οἱ πρῶτοι τοῖς ἑξῆς διανέμοιεν.

ε'. Τὴν βοηθὸν ἱερεὺς ἐκβάλλων ἀφοριζέσθω, μὴ εἰσάγων δὲ, καθαιρείσθω.

ϛ'. Κοσμικὰς φροντίδας δεχόμενος ἱερεὺς, ἀνιερος.

C ζ'. Καθαιρεῖτο' ὁ τελῶν μετὰ Ἰουδαίων τὸ Πάσχα.

η'. Ἱερεὺς μὴ μεταλαμβάνων λεγέτω τὸ αἴτιον, ἀφοριζέσθω δὲ μὴ λέγων· ὕποπτον γὰρ πεποίηκε τὸν προσάγοντα.

θ'. Ἀφορίσεις τὸν τῇ εὐχῇ, καὶ τε μεταλήψει μὴ παραμένοντα.

ι'. Ὁ συνευχόμενος ἀκοινωνήτῳ, ἢ καθῃρημένῳ, αὐτοκατάκριτος.

ια'. Ὁ δεξάμενος τὸν ἄλλοθεν ἄδεκτον, ἀδεκτότερος.

ιβ'. Ὁ τὸν ἀφορισμὸν ψευσάμενος ἀδεκτότατος.

ιγ'. Θρόνον οὐκ ἐκπηδήσεις ἐκ θρόνου, εἰ

μὴ τοῖς ἐκεῖ λυσιτελέστερος, ὡς διδακτικώτατος κρίνοιο· καὶ τοῦτο πολλῶν ἐπισκόπων καὶ διακρίσει καὶ παρακλήσει.

ιδ'. Κληρικὸς ἅπας ὁ τῆς οἰκείας ἐκστὰς, καὶ τὴν ἀλλοτρίαν οἰκῶν, καὶ πρὸς τοῦ ἐπισκόπου δυσωπούμενος, καὶ οὐ παλινοστῶν, ἀκοινώνητος. Καὶ τοῦτον ὁ ἐν γνώσει κατέχων, αὐτοκατάκριτος.

ιε'. Ἀνίερος ἅπας δίγαμος, ἢ παλλακὴν ἐπιτρέφων.

ιϛ'. Ὁ ἀπολελυμένην, ἢ χήραν, ἢ θεράπαιναν, ἢ μαινάδα λαβὼν ἱερεὺς, ὄντως ἀνίερος.

ιζ'. Οὐ κεκλήρωται ὁ δύο ἀδελφὰς, ἢ ἀνεψιὰς ἀγαγόμενος.

ιη'. Ὁ κληρικὸς ἐγγύας οὐ δίδωσιν.

ιθ'. Εὐνοῦχος ἱερᾶται.

κ'. Ἐκτομίας δὲ οὔ.

κα'. Ὁ μετὰ κλῆρον ἑαυτὸν ἐκτεμὼν, καθῄρηται.

κβ'. Ὁ ἑαυτὸν ἐκτεμὼν λαϊκος, ἐπὶ τριετίαν ἀφορίζεται.

κγ'. Πορνείᾳ συσχεθεὶς ἱερεὺς, ἢ ἐπιορκίᾳ, ἢ κλέμματι, καθῄρηται.

κδ'. Ὁ ἱερᾶσθαι μέλλων, εἰ βούλοιτο, προγαμείτω.

κε'. Ἱερεὺς πιστὸν ἢ ἄπιστον τυπτήσας καθαιρεῖται.

κϛ'. Ὁ καθαιρεθεὶς εὐλογώτατα, εἰ τῶν θείων ἅψεται πάλιν, ἐκκηρυκτότατος.

κζ'. Ὁ ἐπὶ χρήμασιν ἱερεὺς, μετὰ τοῦ χειροτονήσαντος καθαιρούμενος ἔσται, καὶ κατὰ Σίμωνα εἰσαεὶ ἀκοινώνητος.

κη'. Ὁ δι' ἀρχόντων ἐπίσκοπος γινόμενος, καθαιρούμενος ἀφοριζέσθω.

κθ'. Ὁ ἐξ ἀναιτίου σχισθεὶς ἐπίσκοπος, καὶ πηγνὺς ἄλλο θυσιαστήριον, μετ' αὐτῶν ἕξει τὸ ἔκτωτον [ἴς. ἔκπτωτον].

λ'. Ἄδεκτος ἑτέροις ὁ ἐξ ἑτέρου περιόντος ἀφωρισμένος.

λα'. Ξένος ἱερεὺς δίχα συστατικῶν οὐ προσδέχεται· καὶ ἔχων ἐπανακρίνεται, καὶ εἰ τῶν ὀρθοτόκων προσίεται· εἰ δ' οὖν, ἐφοδιαζόμενος ἀποπέμπεται.

λβ'. Δίχα τοῦ πρώτου ποιεῖ οὐδὲν ὁ ἐπίσκοπος, εἰ μὴ τὰ τῆς παροικίας αὐτοῦ· καὶ ὁ πρῶτος ἄνευ ἐκείνου οὐδὲν διὰ τὴν ὀφειλομένην ὁμόνοιαν.

λγ'. Μὴ χειροτονεῖν ὑπερόρια· ὁ δὲ παρὰ γνώμην τῶν ἐγχωρίων ἐπιτελῶν, μετὰ τοῦ τελουμένου ἀτελέστατος.

λδ'. Ὁ νεοπρόβλητος εἰ δυσανασχετεῖ πρὸς τὸ ἐγχείρημα, ἀφορίζεται μέχρις ἂν παραδέξηται· εἰ δὲ παρὰ τοῦ λαοῦ μὴ δεχθείη, ὁ κλῆρος ἀφορίζεται, ὅτι μὴ τὸν ὄχλον πεπαίδευκεν· ὁ δὲ ἐστιν ἐπίσκοπος.

A gunt utilior sis, tanquam ad docendum aptissimus judiceris, idque multorum episcoporum judicio atque obtestatione.

14. Omnis clericus propria relicta ecclesia in aliena degens, si ab episcopo revocatus non redeat, excommunicatur, et qui hunc sciens et prudens detinet, ipsemet condemnatur.

15. Quilibet secundo matrimonio junctus, aut concubinam nutriens, ad sacerdotium non admittitur.

16. Quisquis dimissam aut viduam, aut ancillam, aut bacchantem in uxorem acceperit, vere sacerdotio indignus.

17. Non allegitur in clerum quisquis duas sorores, aut consobrinas in matrimonium duxerit.

B

18. Clericus fidejussiones non dat.

19. Eunuchus sacerdotio fungi potest.

20. Qui vero seipsum absciderit, nequaquam.

21. Si quis postquam in clerum cooptatus fuerit, seipsum absciderit, deponatur.

22. Laicus qui seipsum exsecuerit, per triennium segregatur.

23. Sacerdos fornicatione, aut perjurio, aut furto obstrictus, deponitur.

24. Qui ad sacros ordines promovendus est, si velit prius uxorem ducat.

25. Sacerdos fidelem aut infidelem si percusserit, deponitur.

26. Depositus justam ob causam, si res divinas rursum attigerit, maxime compellendus est.

C

27. Qui data pecunia sacerdos factus est, una cum eo qui ipsum ordinavit deponatur, ac Simonis Magi instar in perpetuum excommunicetur.

28. Qui principum, aut magistratuum potentia fretus ad episcopatum pervenerit, depositus segregetur.

29. Episcopus qui sine causa se ab aliis segregaverit, atque aliud altare construxerit, cum ipso dejicietur.

30. Ab aliis non recipiatur, quisquis ab alio superstite excommunicatus fuerit.

31. Externus sacerdos absque commendatitiis epistolis non recipitur, et si habeat, diligenter examinatur, num eos qui rectam fidem tenent approbet: sin vero, segregatur atque ablegatur.

D

32. Absque primate nihil facit episcopus, nisi ea quæ sunt suæ parœciæ: ac primas sine illo nihil facit propter debitam concordiam.

33. Extra proprios fines non est ordinandum: qui autem præter sententiam eorum qui in locis degunt sacros ordines peragit, pro non ordinato habeatur.

34. Qui recens designatus est, si demandatum munus exsequi gravetur, segregatur, donec susceperit: si vero a populo non receptus fuerit, clerus excommunicatur, quod plebem non edocuerit: ipse vero manet episcopus.

35. Singulis annis bis episcopi conveniant, propter dogmata et negotia. Primum quidem quarta Pentecostes hebdomada, secundo vero duodecima Octobris.

36. Episcopus res Ecclesiæ cum potestate administret.

37. Nihil quidquam consanguineo, nisi tanquam pauperi largiens.

38. Absque episcopo nihil facit presbyter et diaconus. Etenim ipsi populus creditus est.

39. Res ad Ecclesiam et episcopum pertinentes manifestæ exstent, ut et episcopus testetur, atque Ecclesia nullum damnum accipiat.

40. Episcopus potestatem habeat super res ecclesiasticas, cum eam super animas habeat : atque omnia juxta divinam voluntatem administret.

41. Sacerdos aleator atque ebriosus, si non desinat, deponatur.

42. Clericus et laicus similia faciens excommunicatur.

43. Sacerdos mutui usuras exigens, nisi desinat deturbetur.

44. Qui cum hæreticis orat excommunicatur : qui vero hos clericos existimat, gradu movetur.

45. Sacerdos baptisma et sacrificium hæreticorum recipiens, sacerdotio indignus est.

46. Qui vere baptizatum denuo baptizat, ac eum qui impietate pollutus est non rebaptizat, sacerdos non est habendus.

47. Sæcularis propriam uxorem ejiciens, aliamque aut dimissam ducens, excommunicandus est.

48. Qui non baptizat in Patrem, et Filium, et Spiritum sanctum, sed transgreditur illud præceptum, sacerdotio fungi non debet.

49. Qui non tribus initiat mersionibus : sed una in Domini mortem, quod Dominus non dixerit, sacerdotio movendus est.

50. Omnis clericus a nuptiis et carne et vino abhorrens, si non emendetur, expellendus est.

51. Qui pœnitentibus non ignoscit, ipse venia indignior est.

52. Sacerdos a vino et carnibus abstinens, nisi exercitationis causa, deponitur.

53. Clericus citra itineris necessitatem in caupona manducans, segregandus est.

54. Clericus injuria afficiens episcopum dejicitur.

55 Presbyter vero et diaconus excommunicatur.

56. Similiter autem qui surdum, claudum, et cæcum cavillis insectatur.

57. Episcopus pietatem non docens excommunicatur : deponitur vero si perseveret non docere.

58. In clericum inopia laborantem, si se beneficum non præstet sacerdos, excommunicatur : deponitur vero si immisericors permanet.

59. Qui impii libri mentionem facit in concione, deponitur.

A λε'. Δὶς κατ' ἔτος οἱ ἐπίσκοποι συνιέτωσαν δια τὰ δογματα, καὶ τὰ πράφματα· πρῶτον μὲν, τῇ τετάρτῃ τῆς Πεντηκοστῆς ἑβδομάδι· τῇ δὲ, ὑπερβερεταίῳ, δωδεκάτῃ τὸ δεύτερον.

λϛ'. Διοικείτω μετὰ κυρίας τὰ τῆς Ἐκκλησίας ὁ ἐπίσκοπος πράγματα.

λζ'. Μήτι τούτων συγγενεῖ, ἢ ὡς πένητι χαριζόμενος.

λη'. Ἄτερ ἐπισκόπου ποιεῖ πρεσβύτερος οὐδὲν καὶ διάκονος· καὶ γὰρ οὗτος πεπίστευται τὸν λαόν.

λθ'. Τὰ τῆς Ἐκκλησίας, καὶ τὰ τοῦ ἐπισκόπου προκείσθω πράγματα φανερά· ἵνα καὶ ὁ ἐπίσκοπος διατίθηται, καὶ μένῃ ἡ Ἐκκλησία ἀζήμιος.

B μ'. Ἐξουσιαζέτω τῶν ἐκκλησιαστικῶν ὁ ἐπίσκοπος πραγμάτων, καὶ τῶν ψυχῶν γάρ· καὶ διοικείτω πάντα κατὰ τὴν θείαν ἀρέσκειαν.

μα'. Ὁ κυβιστὴς καὶ πάροινος ἱερεὺς, εἰ οὐ παύει, καθῄρηται.

μβ'. Κληρικὸς, καὶ λαϊκὸς, τὰ ὅμοια πράττων ἀφορίζεται.

μγ'. Τοκους ἀπαιτῶν δανείου ἱερεὺς, εἰ οὐ παύει, καθῄρηται.

μδ'. Ὁ συνευχόμενος αἱρετικοῖς ἀφορίζεται· καθαιρεῖταί δὲ ὁ κληρικοὺς τούτους ἡγούμενος.

με'. Κάπτισμα καὶ θυσίαν αἱρετικῶν δεξάμενος ἱερεὺς ἀνίερος.

μϛ'. Ὁ ἀναβαπτίζων τὸν ὄντως βεβαπτισμένον, καὶ μὴ ἀναβαπτίζων τὸν μεμολυσμένον ἀσεβόθεν, C ἀνίερος.

μζ'. Τὴν οἰκείαν ἐκβάλλων ὁ κοσμικὸς, καὶ ἄγων ἑτέραν, ἢ ἀποβελυμένην, ἀφοριστέος.

μη'. Ὁ μὴ βαπτίζων εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, ἀλλὰ παρεκβαίνων, ἀνίερος.

μθ'. Ὁ μὴ τρισὶ μυῶν καταδύσεσιν, ἀλλὰ μιᾷ εἰς τὸν τοῦ Κυρίου θάνατον, ὃ μὴ ὁ Κύριος εἶπεν, ἀνίερος.

ν', Κληρικὸς ἅπας γάμον, καὶ κρέα, καὶ οἶνον βδελυσσόμενος, εἰ μὴ διορθοῖτο, ἐκκήρυκτος.

να'. Ὁ τοῖς μετανοοῦσι μὴ συγγινώσκων, ἀσυγγνωστότερος.

νβ'. Μὴ μεταλαμβάνων ἱερεὺς οἴνου καὶ κρεῶν, εἰ μὴ δι' ἄσκησιν, καθῄρηται.

D νγ'. Ὁ δίχα τῆς κατὰ τρίβον ἀνάγκης κληρικὸς εἰς καπηλεῖον ἐσθίων. ἀφοριστέος,

νδ'. Ὑβρίζων ἐπίσκοπον κληρικὸς καθαιρεῖται.

νε'. Πρεσβύτερος δὲ καὶ διάκονος ἀφορίζεται.

νϛ'. Ὁ δὲ κωφὸν, καὶ χωλὸν, καὶ τυφλὸν διαχλευάζων ὁμοίως.

νζ'. Τὴν εὐσέβειαν οὐ διδάσκων ἐπίσκοπος ἀφορίζεται, καθαιρεῖται δὲ μένων ἀδίδακτος.

νη'. Ἐπιδεᾶ κληρικὸν ἱερεὺς οὐκ εὐεργετῶν ἀφορίζεται, καθαιρεῖται δὲ μένων ἀνέλεος.

νθ'. Ἀσεβοῦς βίβλον ἐκκλησιάζων καθαιρεῖται.

ξ'. Πιστὸς ἐλεγχθεὶς ἐπ' ἐγκλήματι, ἄκληρος. A

ξα'. Ὁ ἀρνησίχριστος καὶ ἀπόβλητος· ὁ δὲ τὸν κλῆρον ἀθετῶν, καὶ περιστρέφων, κατὰ λαϊκὸν προσιτός.

ξβ'. Γευόμενος θύτης πνικτοῦ, ἢ θηριαλώτου, ἢ θνησιμαίου, καθαιρετέος· ὁ δὲ λαϊκὸς ἀφορίζεται.

ξγ'. Ὁ Ἰουδαίοις συνευχόμενος ἀφορίζεται.

ξδ'. Φονεὺς κληρικὸς καθαιρεῖται· λαϊκὸς δὲ ἀφορίζεται.

ξε'. Κυριακὴν καὶ Σάββατον ὁ νηστεύων, πλὴν ἑνὸς, ἀποκήρυκτος.

ξϛ'. Ὁ βιασάμενος κόρην, ἀφοριζόμενος, κατεχέτω καὶ ἄπορον αὐτὴν ὑπάρχουσαν.

ξζ'. Ὁ δὶς χειροτόνητος, μετὰ τοῦ χειροτονοῦντος B καθαιρεῖται, εἰ μὴ αἱρετικὴ χεὶρ ἡ πρότερον.

ξη'. Τὸν οὐκ ἀσιτοῦντα τὴν τεσσαρακοστὴν, ἢ τετράδα, καὶ παρασκευὴν, κληρικὸν καθαιρήσεις. τὸν δὲ λαϊκὸν ἀφορίσεις· εἰ μὴ δι' ἀσθένειαν ἐμποδίζωνται.

ξθ'. Ἀφορίζεται ὁ κηρὸν ἢ ἔλαιον τῆς ἐκκλησίας συλῶν· μετὰ τοῦτο καὶ πενταπλοῦν τοῦτο κατατίθεται.

ο'. Ὁ ἱερὰ σκεύη εἰς χρῆσιν σφετεριζόμενος ἀφορίζεται.

οα'. Κατηγορούμενος ἐπίσκοπος, καὶ καλούμενος, καὶ οὐκ ἀκούων, καὶ δὶς καλείσθω, καὶ τρίς· τοῦ δὲ ἐπιμένοντος, τὸ δόξαν ἡ σύνοδος ἀποφαίνοιτο.

οβ'. Αἱρετικὸς οὐ κατηγορεῖ ἐπισκόπου, οὐδὲ πιστὸς εἷς.

C

ογ'. Ἐπίσκοπος ἀντ' αὐτοῦ ἐπίσκοπον ἀποβιοὺς οὐ καθίστησιν.

οδ'. Γίνεται χωλὸς καὶ ἑτερόφθαλμος, ἄξιος ὑπάρχων, ἐπίσκοπος.

οε'. Ὁ μέντοι τυφλὸς καὶ κωφὸς οὐ γενήσεται.

οϛ'. Ὁ δαιμονῶν οὐ κληροῦται, οὐδὲ συνεύχεται· μετὰ δὲ τὸν καθαρμὸν, εἰ ἄξιός ἐστι, γίνεται.

οζ'. Οὐκ ἐπισκοπεῖ νεοφώτιστος, οὐδὲ ταχέων [ἴς. ταχέος] ἐκ φαύλης διαγωγῆς προϊών.

οη'. Ἐπίσκοπος ἀνεπίσκοπος ὁ δημόσια μεταχειριζόμενος.

οθ'. Οἰκέτης ἀκλήρωτος· ὁ δὲ ὢν ἄξιος, ἐλευθερωθεὶς προβιβάζεται.

π'. Ἱερεὺς ἄρχων ἀνίερος.

D

πα'. Ὁ ἄρχοντα καὶ βασιλέα παρὰ τὸ θέμις ὑβρίζων, τιμωρητέος.

πβ'. Σεβάσμιος ἡ ἑξηκοντάβιβλος μόνον.

Ἐπιτομὴ κανόνων τῶν ἐν Νικαίᾳ τριακοσίων ιη ἁγίων Πατέρων.

α'. Οἱ εὐνοῦχοι εἰς κλῆρον δεχέσθωσαν· οἱ δὲ τέμνοντες ἑαυτοὺς μὴ δεχέσθωσαν.

β'. Οἱ ἐξ ἐθνικοῦ βίου μὴ ταχέως εἰς πρεσβυτέριον ἀγέσθωσαν· δίχα γὰρ τῆς διὰ χρόνου δοκιμασίας, κακὸς ὁ νεόφυτος. Εἴ τις δὲ καὶ μετὰ τὴν χειροτο-

60. Fidelis criminum convictus, in clerum non admittitur.

61. Qui Christum negat, expellendus est : qui vero clerum spernit et subvertit, pro laico habendus est.

62. Sacerdos si suffocatum, aut a fera captum, aut morticinum gustaverit, deponendus est : laicus vero excommunicandus.

63. Qui cum Judæis orat, excommunicatur.

64. Clericus homicida deponitur, laicus vero segregatur.

65. Qui Dominica aut sabbato jejunat, uno excepto, ejiciendus est.

66. Qui puellæ vim attulerit, excommunicatur, ipsam inopem licet sibi habeat.

67. Bis ordinatus cum ordinatore deponitur, nisi hæretici manu primum ordinatus sit.

68. Clericum quadragesima, aut quatuor temporibus, et parasceve non jejunantem depones : laicum vero excommunicabis : nisi infirmitas ipsis impedimento sit.

69. Qui ceram aut oleum ecclesiæ furatur, excommunicatur : ac præterea quintuplum persolvit.

70. Qui sacra vasa in proprios usus transfert, segregatur.

71. Episcopus reus factus, si vocatus non pareat, bis et ter vocetur : si vero perseveret, sententiam synodus proferat.

72. Hæreticus non accusat episcopum, neque fidelis unus.

73. Episcopus vita excedens, episcopum in suum locum non subrogat.

74. Claudus et altero oculo privatus, si dignus sit, fit episcopus.

75. Cæcus tamen et surdus non fiet.

76. Dæmoniacus non cooptatur in clerum, neque cum aliis orat; post purgationem vero, si dignus sit, fit clericus.

77. Recens illuminatus non creatur episcopus, neque qui nuper a malo vitæ genere recessit.

78. Episcopus negotia publica tractans, episcopatu indignus est.

79. Servus in clerum non recipitur, qui vero dignus est, libertate donatus promovetur.

80. Sacerdos magistratum obiens, profanus habeatur.

81. Qui magistratum et imperatorem contra jus fasque contumelia afficit, puniendus est.

82. Sexaginta librorum canon tantum veneratione dignus est.

Epitome canonum CCCXVIII *Patrum Nicææ convocatorum.*

1. Eunuchi in clerum recipiantur; qui vero seipsos exsecant, non recipiantur.

2. Qui ex gentili vita prodeunt, ne statim ad presbyteratum promoveantur, nam absque probatione quæ progressu temporis fit rejiciendus est

neophytus. Si quis post ordinationem deliquisse compertus fuerit prius aut postea, hic clero expellatur.

3. Subintroductam ne quis habeat, præter matrem aut sororem, easque personas, quæ omnem suspicionem effugiunt.

4. Episcopus ab omnibus provincialibus constituitur: sin vero, saltem a tribus, reliquis per litteras consentientibus: præcipuam tamen auctoritatem metropolitanus habeat.

5. Qui ab aliis excommunicati sunt, ab aliis ne suscipiantur, præterquam si propter pusillanimitatem, aut contentionem, aut quid ejusmodi excommunicatio facta fuerit.

6. Alexandrinus episcopus super Ægyptum, Libyam, et Pentapolim potestatem habeat: et Romanus super eos qui Romæ subditi sunt. Item Antiochenus, aliique super sibi subjectos.

7. Si quis episcopus citra primi sententiam creatus fuerit, ne sit episcopus. Multorum suffragio secundum canonem lato si tres aliqui contradicunt, eorum sententia irrita sit.

8. Episcopus Æliæ honoretur, servata metropoli dignitate sua.

9. Hæretici Cathari, id est puri dicti accedentes primum profiteantur se Ecclesiæ functionibus assensuros, ac cum bigamis communicaturos, lapsisque veniam impertituros. Ac si qui ordinati reperiantur, sint in eodem ordine, exempli gratia, qui vere est episcopus, sit episcopus: qui vero apud Catharos est episcopus, sit chorepiscopus, vel presbyteri aut episcopi honore gaudeat. Neque enim duo erunt in una urbe episcopi.

10. Qui sine examinatione ordinantur, si deinceps delicti arguantur, e gradu deturbentur.

11. Quicunque ex lapsis ordinati sunt, per ignorantiam aut dissimulationem eorum qui eos ordinarunt, deponantur.

12. Qui sine necessitate transgressi sunt, etsi venia sint indigni, veniam tamen aliquam consecuti duodecim annos sese submittant.

13. Qui vim passi ac restitisse visi sunt: deinde impietati consenserunt ac resipuerunt, decem annos excommunicantur. Considerandum est in omnibus pœnitentiæ genus. Ac si is qui pœnam suscipit, ferventiorem se in pœnitendo ostendat, humanius cum eo agat episcopus: si vero frigidiorem, severius.

14. Qui vita excedunt, communicent. Si vero quis ipsorum convalescat, sit cum iis tantum qui orationis sunt participes.

15. Si quis catechumenus lapsus fuerit, hic tres annos audiat idque solum: deinde cum catechumenis oret.

16. Ex urbe in urbem neque episcopus, neque presbyter, neque diaconus migret. Siquidem rursus restituentur ecclesiis in quibus ordinati sunt.

17. Quotquot presbyteri et diaconi ab ecclesia

A νίαν ἁμαρτήσας ἀποδειχθείη ἢ πρότερον, ἢ ὕστερον, οὗτος πεπαύσθω τοῦ κλήρου.

γ'. Ἐπείσακτον μήτις ἐχέτω, μητρὸς δίχα, ἢ ἀδελφῆς, καὶ τῶν προσώπων ἃ πᾶσαν ὑποψίαν ἀποδιδράσκει.

δ'. Ἐπίσκοπος ὑπὸ πάντων τῶν ἐπαρχιωτῶν καθίσταται. Εἰ δὲ μὴ, τέως τριῶν, τῶν ὑπολοίπων διὰ γραμμάτων γινομένων συμψήφων· τὸ μέντοι κράτος ὁ μητροπολίτης ἐχέτω.

ε'. Οἱ δι' ἑτέρων ἀφοριζόμενοι, ὑφ' ἑτέρων μὴ προσδεχέσθωσαν, πλὴν εἰ μὴ διὰ μικροψυχίαν, ἢ φιλονεικίαν, ἤ τι τοιοῦτον ὁ ἀφορισμὸς γέγονεν.

ϛ'. Αἰγύπτου, καὶ Λιβύης, καὶ Πενταπόλεως, ὁ Ἀλεξανδρεὺς ἐχέτω τὴν ἐξουσίαν· καὶ ὁ Ῥώμης
B τῶν ὑπὸ Ῥώμην, καὶ οἱ ἐν Ἀντιοχείᾳ, καὶ οἱ λοιποὶ τῶν οἰκείων.

ζ'. Εἴ τις δὲ ἐπίσκοπος τῆς τοῦ πρώτου δίχα γένηται γνώμης, μὴ ἔστω ἐπίσκοπος· ἐπὶ δὲ τὴν τῶν πολλῶν ψῆφον γινομένην κατὰ κανόνα, εἰ τρεῖς τινες ἀντιλέγοιεν, εἶεν ἀβέβαιοι.

η'. Ὁ ἐπίσκοπος Αἰλίας τιμάσθω, σωζομένου τῇ μητροπόλει τοῦ οἰκείου ἀξιώματος.

θ'. Οἱ καθαροὶ προσερχόμενοι, πρῶτον ὁμολογείτωσαν, ὅτι συνθήσονται τοῖς τῆς Ἐκκλησίας θεσμοῖς· καὶ κοινωνήσουσι διγάμοις, καὶ συγχωρήσουσι τοῖς πεπτωκόσι· καὶ οὕτως οἱ εὑρισκόμενοι κεχειροτονημένοι ἐν τῷ αὐτῷ τάγματι. Οἷον, ὁ μὲν κυρίως ἐπίσκοπος, εἴη ἐπίσκοπος· ὁ δὲ παρὰ τοῖς
C καθαροῖς ἐπίσκοπος, ἢ χωρεπίσκοπος ἔσται, ἢ πρεσβυτέρου τιμὴν, ἢ ἐπισκόπου κεκτήσθω. Οὐ γὰρ ἔσονται δύο εἰς μίαν πόλιν ἐπίσκοποι.

ι'. Οἱ ἀνεξετάστως χειροτονούμενοι, εἰ ἐξῆς ἐλέγχοιντο ὅτι ἥμαρτον, οὕτω πεπαύσθωσαν.

ια'. Οἱ παραπεπτωκότες ἢ ἀγνοίᾳ, ἢ γνώσει τῶν χειροτονησάντων, προαχθέντες, καθαιρείσθωσαν.

ιβ'. Ὅσοι χωρὶς ἀνάγκης παρέβησαν, εἰ καὶ συγγνώμης ἦσαν ἀνάξιοι, συγγνώμης τινὸς ἀξιούμενοι, δώδεκα ἔτη ὑποπιπτέτωσαν.

ιγ'. Οἱ βιαζόμενοι καὶ δόξαντες ἀντιστῆναι, εἶτα καταθέμενοι τῇ ἀσεβείᾳ, καὶ ἀναστρατευσάμενοι, δεκαετίαν ἀφοριζέσθωσαν. Σκοπητέον δὲ ἐφ' ἅπασι τὸ εἶδος τῆς μετανοίας· καὶ θερμοτέρως μὲν μεταμελουμένου τοῦ δεξαμένου τὸ ἐπιτίμιον, φιλανθρω-
D πότερον ὁ ἐπίσκοπος διατιθέσθω· ψυχροτέρως, δὲ, δραστικώτερον.

ιδ'. Οἱ ἐξοδευόμενοι κοινωνείτωσαν· εἰ δέ τις αὐτῶν ὑγιάνοι, ἔστω μετὰ τῶν τῆς εὐχῆς κοινωνούντων, καὶ μόνον.

ιε'. Εἴ τις παραπέσοιτο κατηχούμενος, οὗτος τρισὶν ἔτεσιν ἀκροάσθω, καὶ μόνον· εἶτα μετὰ τῶν κατηχουμένων εὐχέσθω.

ιϛ'. Ἐκ πόλεως εἰς πόλιν μήτε ἐπίσκοπος, μήτε πρεσβύτερος, μήτε διάκονος μεταβαινέτω· ἐπεὶ πάλιν ἀποδοθήσονται ταῖς ἐκκλησίαις ἐν αἷς κεχειροτόνηνται.

ιζ'. Ὅσοι πρεσβύτεροι καὶ διάκονοι τῆς ἐκκλη-

σίας ἀναχωρήσουσιν, ἄδεκτοι εἰς ἑτέρας ἐκκλησίας γενήσονται, ἕως ἐπιστρέψωσιν εἰς τὰς ἑαυτῶν παροικίας· εἰ δέ τις τὸν ἑτέρῳ διαφέροντα χειροτονήσοι δίχα γνώμης τοῦ οἰκείου ἐπισκόπου, ἄκυρος ἡ χειροθεσία.

ιη'. Εἴ τις τόκους ἢ ὁμιολίας λαμβάνει, ἀλλότριος ἔσται μετὰ τὸν ὅρον τοῦτον τῆς Ἐκκλησίας, καθαιρούμενος.

ιθ'. Οἱ διάκονοι τοῖς ἰδίοις μέτροις μενέτωσαν, μηδὲ μέσον πρεσβυτέρων καθεζέσθωσαν· παρὰ κανόνα γὰρ καὶ ἀταξίαν [ἴς. εὐταξίαν] ἐστὶν, εἴ τι τοιοῦτον καὶ γένοιτο.

κ'. Οἱ Παυλικιανοὶ ἀναβαπτίζονται· καὶ εἴ τινες κληρικοὶ ἄμεμπτοι δείκνυνται ἀναβαπτισθέντες χειροτονείσθωσαν· εἰ δὲ μὴ ἄμεμπτοι δεικνύνται, καθαιρείσθωσαν. Αἱ δὲ διακόνισσαι ἐξαπατηθεῖσαι, B ἐπεὶ μὴ χειροτονίας μετέχουσιν, ἐν τοῖς λαϊκοῖς ἐξεταζέσθωσαν.

κα'. Ἐν ταῖς Κυριακαῖς οὐ δέον κλῖναι τὸ γόνυ, ἀλλ' ὀρθοὺς [ὀρθίους] εὔχεσθαι τοὺς ἀνθρώπους.

Ἐπιτομὴ κανόνων τῶν ἐν Κωνσταντινουπόλει ρν' ἁγίων Πατέρων.

α'. Ἡ κατὰ Νίκαιαν πίστις κρατείτω· τὰ δὲ τῶν αἱρέσεων τὸ ἀνάθεμα.

β'. Ὑπερόριος εἰς Ἐκκλησιῶν σύγχυσιν, μηδεὶς ἔστω, μήτε χειροτονῶν, μήτ' ἐνθρονίζων, Ἐπὶ μέντοι τῶν ἐν τοῖς ἔθνεσιν Ἐκκλησιῶν, ἡ τῶν Πατέρων κρατείτω συνήθεια.

γ'. Ὁ Κωνσταντινουπόλεως εὐθὺς μετὰ τὸν Ῥώμης τετίμηται.

δ'. Μάξιμος ὁ Κύων, τῶν ἐπισκόπων ἀλλότριος· C καὶ ἅπας ἀνίερος ὃς ἐκείνῳ κεκλήρωται.

ε'. Ὁ Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα τῶν δυτικῶν τόμος ὁμοούσια παρεγγυῶν, εὐαπόδεκτος.

ϛ'. Καὶ ὁ κακόδοξος πλεονεκτούμενος, ἐγκαλείτω κατ' ἐπισκόπου· εἰ δὲ τῶν ἱερωτέρων εἴη τὸ ἔγκλημα, μὴ λεγέτω· μὴ λεγέτω δὲ μηδ' ἄλλως, εἰ προκατέγνωσται· μὴ λεγέτω καὶ ὁ ἀκοινώνητος· μὴ λεγέτω καὶ ὁ ἀπόβλητος, καὶ ὁ κατηγορούμενος ἔν τισιν, ἕως ἀποδύσωνται τὰ οἰκεῖα. Κατηγορείτω δὲ ὁ ὀρθόδοξος, ὁ κοινωνικὸς, ὁ ἀκατάγνωστος, ὁ ἀκατηγόρητος· καὶ κοινωνείσθω τοῖς ἐπαρχιώταις τὸ ἔγκλημα. Εἰ δ' ἀδυνατοῖεν, πρὸς μείζονα τραπέσθωσαν σύνοδον· καὶ δίχα ἐγγραφῆς τῆς ταυτοπαθείας μὴ ἀκουέσθωσαν· ὁ δὲ παρὰ ταῦτα τῷ βασιλεῖ D προσιὼν, καὶ ἐνοχλῶν, ἀποκήρυκτος.

Ἐπιτομὴ κανόνων τῶν ἐν Ἐφέσῳ ἁγίων Πατέρων.

α'. Ἐὰν ἀποληφθεὶς ὁ μητροπολίτης τῶν Κελεστίνου ἀντέχεται, ἢ ἀνθέξηται, ἀπόβλητος, καὶ τὸ ἑξῆς ἀδιοίκητος.

β'. Ὅστις Νεστορίῳ σύμφρων ὁμόφρων ἐπίσκοπος, ἀποκήρυκτος.

γ'. Ὃς ὑπὸ Νεστορίου τῆς ἱερωσύνης κεκώλυται, ἱερώτατος· ὁ δὲ δεκτέως ἐκείνῳ, ἄνερος.

A recesserint, in alias ecclesias non recepiuntur, verum ad suas parœcias revertantur. Si quis vero eum quid ad alium pertinet, ordinaverit citra sententiam proprii episcopi, irrita erit ordinatio.

18. Si quis usuras aut sescuplum accipiat post Ecclesiæ determinationem, tanquam alienus deponatur.

19. Diaconi in suis terminis maneant, neque inter presbyteros sedeant; nam contra canonem et docentem ordinem est, si quid tale contingat.

20. Paulianistæ denuo baptizantur : ac si qui clerici irreprehensibiles comperiantur, rebaptizati ordinentur, nisi vero irreprehensibiles videantur, B deponantur. Diaconissæ deceptæ, quandoquidem ordinationis expertes sunt, inter laicos versentur.

21. Dominicis diebus non oportet genu flectere, sed rectos homines orare.

Epitome canonum* CL *Patrum Constantinopoli congregatorum.

1. Nicæna fides obtineat servetur que : hæreses vero anathema.

2. Nullus externus ad Ecclesiarum confusionem neque ordinet, neque in sede collocet. Verumtamen in Ecclesiis quæ sunt apud gentiles, patrum consuetudo servetur.

3. Constantinopolitanus episcopus primum post Romæ episcopum honorem obtineat.

C 4. Maximus Cynicus ab episcopis alienus : ac quisquis ab eo in clerum ascriptus est, profanus habeatur.

5. Occidentalium tomus Patrem, et Filium et Spiritum sanctum consubstantiales asserens, facile admittitur.

6. Qui mala opinione imbutus est, si injuriam patiatur, accuset coram episcopo. Si autem sacerdotum crimen sit, ne dicat, neque etiam alius antea condemnatus dicat, neque excommunicatus, neque dejectus, et qui nonnullorum criminum accusatur dicat, donec intentata sibi crimina diluerint : accuset autem orthodoxus, communionis particeps, non condemnatus, non accusatus, ac provincialibus crimen communicetur. Si vero non D possint, ad majorem se convertant synodum, ac citra professionem ejusdem affectus ne audiantur. Qui autem contra hæc imperatorem adit, eique molestiam exhibet, abdicetur.

Epitome canonum sanctorum Patrum Ephesi congregatum.

1. Metropolitanus qui Cœlestino adhæret aut adhæsurus est, rejiciendus, ac deinceps ab administratione Ecclesiæ removendus est.

2. Quisquis episcopus Nestorio assentitur, abdicandus est

3. Quicunque a Nestorio sacerdotio dejectus est, sacerdotio dignissimus est : qui vero ab illo susceptus est, profanus,

4. Qui ab episcopo condemnatus, a Nestorio susceptus est, id nihil ei prosit.

5. Laicus qui synodo resistit, excommunicatur: clericus vero insuper abdicetur.

6. Episcopus aliam a Nicæna fidem proferens, alienus ab Ecclesia habetur: laicus vero expellitur.

7. Serventur sua quique provinciæ jura pura atque inviolata: qui autem contrariam his formam inducit, futilis est.

8. Eusthathius cum resistere constanter deberet (hoc enim omnis debet episcopus), terga facile dans detrectavit. Theodorus in ejus locum ordinatus est. Ille vero lacrymans atque exorans honorem repetit. Qui illius loco alium ordinavit insons est, cum illius recusationem pro crimine habeat. Hoc autem justum esse visum est, episcopatus nomen illum habere, ipsamque communionem, quodque hoc benignius visum sit.

Epitome canonum sanctorum Patre Chalcedone congregatorum.

2. Qui emit et qui vendit ordinationem, circa gradus periclitatur. Lex autem etiam usque ad paramonarium.

3. Qui domorum sæcularium curam suscipiunt, corripiendi, nisi forte ad minoris administrationem inexcusabilem lex vocaverit, aut episcopus ad pupillorum et viduarum curam incitaverit.

4. Domus orationi dicata, aut monasterium citra episcopi sententiam non sunt exstruenda. Omnis autem monachus episcopo subjiciatur, neque a sua mansione discedat, nisi ab eo invitetur. Servus absque domini consensu monasticam vitam ne amplectatur.

5. Qui e civitate in civitatem transeunt, canonibus de hac re sancitis subjiciantur.

6. In martyriis aut oratoriis, sed non absolute ordinabis. Sin vero qui ordinatus est, gradu excidit.

7. Qui inter clericos aut monachos allectus est, si militiam aut dignitatem arroganter affectet, maledictus.

8. Clericus in medicorum domo, aut in monasterio degens episcopi urbis potestati subjaceat. Qui vero ab eo resilit, pœnam subeat.

9. Clerici litigantes, si relicto episcopo ad sæcularia judicia se conferant, canonice puniantur: ac clericus cum episcopo contendens synodum exspectet: metropolitanus vero episcopus ad Constantinopolitanum provocet.

10. Duarum urbium ecclesiis clericus non addicitur: si vero addictus fuerit, ad primam revertetur. Si quis autem jam translatus fuerit, prioris ecclesiæ rerum nullo modo particeps sit.

11. Pauperes epistolis instructi, at non commendatiis litteris iter faciant: commendatitiæ enim existimatione præditis dantur.

12. In duas provincias una provincia non scinditur, qui vero sciderit episcopatu dejicitur. Quæ

δ'. Ὁ κατακριθεὶς ἐξ ἐπισκόπου, καὶ ὑπὸ Νεστορίου δεχθεὶς, ἀνωφέλητος.

ε'. Ἀκοινώνητος ὁ λαϊκὸς ὁ ἀντοφθαλμῶν τῇ συνόδῳ· ὁ δὲ κληρικὸς, ἔτι καὶ ἀποκήρυκτος.

ϛ'. Ὁ πίστιν ἑτέραν τῆς ἐν Νικαίᾳ προσάγων ἐπίσκοπος, ἠλλοτρίωται· λαϊκὸς δὲ ἐξωστράκισται.

ζ'. Τηρείσθω τὰ ἑκάστῃ ἐπαρχίᾳ προσόντα δίκαια, καθαρὰ καὶ ἄβιαστα· Ὁ δὲ τύπον ἀντικείμενον τούτοις εἰσάγων, ἀνόνητος.

η'. Ἀντέχειν ὀφείλων Εὐστάθιος καρτερῶς· τοῦτο γὰρ ἅπας· νῶτα δοὺς ἀφελῶς παρῃτήσατο. Θεόδωρος ἀντὶ τούτου κεχειροτόνηται· ὁ δὲ κλαίων καὶ δυσωπῶν τὴν τιμὴν αἰτεῖ· ὁ ἀντ' ἐκείνου χειροτονήσας ἀνεύθυνος, ἔχων δηλαδὴ τὴν ἐκείνου παραίτησιν ἀντ' ἐγκλήματος. ὁ δὲ δεδικαίωται μόνον τοῦτο, τὸ τῆς ἐπισκοπῆς ἔχειν ὄνομα, καὶ τὴν κοινωνίαν αὐτήν· καὶ ὅτι χρηστόνερον δέδοκται.

Ἐπιτομὴ κανόνων τῶν ἐν Καλχηδόνι ἁγίων καὶ μακαρίων Πατέρων.

β'. Ὁ ἐξωνούμενος καὶ ὁ πιπράσκων χειροτονίαν, περὶ τοὺς βαθμοὺς ἐπικινδύνοι· ὁ δὲ νόμος ἕως καὶ παραμοναρίου.

γ'. Οἱ κοσμικῶν οἴκων ἐπιμέλειαν ἀναδεχόμενοι, ἐπιτιμητέοι· πλὴν εἰ μὴ καλέσει νόμος εἰς ἀφήλικος διοίκησιν ἀπαραίτητος· ἢ ὁ ἠπίσκοπος ὀρφανῶν καὶ χηρῶν ἐπιμέλειαν ἐπιτρέψειεν,

δ'. Εὐκτήριος οἶκος, ἢ μοναστήριον, γνώμης δίχα τοῦ ἐπισκόπου ἄσυστα· ἅπας δὲ μοναστὴς ὑποτετάχθω τῷ ἐπισκόπῳ, καὶ τῆς μονῆς, εἰ μὴ παρ' αὐτοῦ προτρέποιτο, μὴ ἀφίσταται. Δοῦλος δὲ, εἰ μὴ γνώμῃ τοῦ δεσπότου, μὴ μοναζέτω.

ε'. Οἱ μεταβαίνοντες ἐκ πόλεως εἰς πόλιν, τοὺς περὶ τούτου κανόνας ὑποβλεπέτωσαν.

ϛ'. Ἐπὶ μαρτυρίοις ἢ εὐκτηρίοις, οὐκ ἀπολύτως χειροτονήσεις· εἰ δὲ μὴ, ἀχειροτόνητος ὁ δῆθεν χειροτονούμενος.

ζ'. Ὁ κληρωθεὶς ἢ μονασας, ἢ [γρ. εἰ] στρατείαν, ἢ ἀξίαν. ἀπαυθαδιάσει, ἐπάρατος.

η'. Ὁ ἐν πτωχείῳ ἢ σεμνείῳ κληρωθεὶς, βλεπέτω τὴν ἐξουσίαν τοῦ ἐπισκόπου τῆς πόλεως. Ὁ δὲ τούτου ἀφηνιάζων, γινωσκέτω τὸ ἐπιτίμιον.

θ'. Κληρικοὶ δικαζόμενοι, εἰ ἀφέμενοι τὸν ἐπίσκοπον, κοσμικοῖς κριτηρίοις ὁρμήσωσι, κανονικῶς εὐθυνέσθωσαν· καὶ κληρικὸς ἐπισκόπῳ διαφερόμενος μενέτω τὴν σύνοδον· καὶ μητροπολίτης ἐπίσκοπος τὸν Κωνσταντινουπόλεως ἐξαιτήσοιτο.

ι'. Δύο πόλεων ναοῖς κληρικὸς οὐ καταλέγεται· εἰ δὲ καταλεχθείη, τῷ προτέρῳ ἐπιστραφήσεται. Εἰ δὲ μετετέθη τις ἤδη, μὴ ἐπικοινωνείτω κατά τινα τρόπον τοῖς τῆς προτέρας πράγμασιν ἐκκλησίας.

ια'. Οἱ πένητες ἐπιστολαῖς, ἀλλὰ μὴ συστατικαῖς ὁδευέτωσαν· αἱ γὰρ συστατικαὶ τῇ ὑπολήψει παρέχονται.

ιβ'. Εἰς ἐπαρχίας δύο ἡ ἐπαρχία μία οὐ τέμνεται· ὁ δὲ τεμὼν, ἀνεπίσκοπος. Αἱ δὲ γράμμασι βασιλικοῖς

τιμηθεῖσαι πόλεις, τῆς τιμῆς ἀπολαυέτωσαν μόνον, καὶ ὁ αὐτόθεν ἐπίσκοπος· τῇ δὲ ἀληθῶς μητροπόλει τὰ οἰκεῖα σωζέσθωσαν δίκαια.

ιγ'. Κληρικὸς δίχα συστατικῶν ἀκοινώνητος εἰς πόλιν ἑτέραν.

ιδ'. Ἑτερόδοξος, καὶ ψάλτης, καὶ ἀναγνώστης, εἰ γήμας ἐτέκνωσε, προσάγε τῇ κοινωνίᾳ τὰ τέκνα, εἴπερ ἐκεῖσε βεβάπτισται· εἰ δ' ἔτι μένει ἀβάπτιστα, οὐκέτι βαπτίζεται τοῖς αἱρετικοῖς.

ιε'. Διακόνισσα εἰ μὴ τεσσαράκοντα ἔτη οὐ γίνεται· τῇ δὲ διὰ γάμου τὴν λειτουργίαν ἐξυβρισάσῃ, ἀνάθεμα.

ιϛ'. Μονάζοντες ἢ μονάζουσαι μὴ γαμείτωσαν· ἐπεὶ ἔστωσαν ἀκοινώνητοι.

ιζ'. Ἐγχώριος καὶ ἀγροικὴ παροικία, εἰ τριακονταετίας ἐσχέθησαν, κατεψέσθωσαν· εἰ δὲ ταύτης ἐντὸς [*f.* γεγένηταί τις περὶ αὐτῶν ἀμφισβήτησις], εἶεν ὑπόδικοι· εἰ δὲ καὶ κανόνισται [ἴσ. κεκαίνισται] βασιλικῆς ἐκκαλέσεως πόλις, ἡ τάξις καὶ ὁ τύπος ἀκολουθείτω τοῖς πολιτικοῖς δημοσίοις, καὶ ἐκκλησιαστικοῖς [-στικῆς] παροικίας.

ιη'. Κληρικοὶ καὶ μονάζοντες εἰ φωραθεῖεν ἢ φατριάζοντες, ἢ συνομνύμενοι κατ' ἐπισκόπων, τῶν βαθμῶν αὐτῶν ἔκτωτοι [ἴσ. ἔκπτωτοι],

ιθ'. Ὁ τὴν οἰκείαν ἀπολέσας πατρίδα, εἰ ἐπ' ἄλλην Ἐκκλησίαν ἐλήλυθεν, ἀνεπιτίμητος.

κ'. Ἐπίσκοπος δὲ ξένον κληρικὸν εἰσδεξάμενος, μετὰ τοῦ δεχθέντος ἕξει τὸ ἀκοινώνητον.

κα'. Ἀδοκίμαστος κληρικὸς, ἢ λαϊκὸς ἐπισκόπου κατηγορῶν, ἀνεπίδεκτος.

κβ'. Ὁ ἐξ ἀνθρώπων τοῦ ἐπισκόπου γεγενημένου, τὰ ἐκείνου ἁρπάζων, τοῦ βαθμοῦ ἁμαρτήσεται.

κγ'. Οἱ ἐπισκόπου δίχα τῇ Κωνσταντίνου διατρίβοντες πόλει, καὶ ταραχὰς ἀνεγείροντες [ἴσ. ἀναγείροντες], τῆς πόλεος ἐλαυνέσθωσαν.

κδ'. Μοναστήριον ἐπισκόπου γνώμῃ παγὲν, μενέτω ἀμετάποίητον· καὶ ὅτι τοῦτο [ἴσ. ὅ τι τούτῳ] ἀνήκοιτο ἀνεκποίητον. Ὁ δ' ἄλλως ἐπιχειρῶν, οὐκ ἀνεύθυνος.

κε'. Εἴσω μηνῶν τριῶν αἱ τῶν ἐπισκόπων τελοῦνται χειροτονίαι· παρατείνει δὲ τὸν χρόνον ἀνάγκη τις ἀπαραίτητος. Εἰ δὲ μὴ, ὁ χειροτονῶν τὸ ἐπιτίμιον εἴσεται· ἡ μέντοι πρόσοδος μενέτω τῷ οἰκονόμῳ.

κϛ'. Οἰκονόμος ἀνὰ πάσας τὰς Ἐκκλησίας ἔστω ἀπὸ τοῦ κλήρου· ὁ δὲ τοῦτο καταφρονῶν ἐπίσκοπος οὐκ ἀνέγκλητος.

κζ'. Κληρικὸς ἁρπάζων γυναῖκα, ἀνεκκλησίαστος. ὁ δὲ λαϊκὸς ἔστω ἀνάθεμα, κατὰ τοῦτο καὶ ὁ συναιρῶν [ἴσ. συναινῶν].

κη'. Ὁ τῆς νέας ἐπίσκοπος Ῥώμης τῷ τῆς παλαιοτέρας ὁμότιμος, διὰ τὴν τῶν σκήπτρων μετάστασιν.

κθ'. Αἱ [ἴσ. Οἱ] Πόντου, καὶ Ἀσίας, καὶ Θρᾴκης, καὶ οἱ βάρβαροι τῷ τῆς Κωνσταντίνου κεχειροτόνηνται.

λ'. Ὁ καταβιβάζων ἐπίσκοπον εἰς πρεσβύτερον,

A autem imperatoris rescripto scissæ sunt civitates, honore fruantur tantum, et qui ibidem versatur episcopus : ei vero qui vere metropolitanus est, propria conserventur jura.

13. Clericus absque commendatitiis litteris in alius urbis communionem non recipitur.

14. Cantor et lector a recta fide alienus, si ducta uxore liberos sustulerit, eos ad communionem adducit, siquidem ibidem baptizati fuerint. Si vero nondum sint baptizati, non amplius baptizantur apud hæreticos.

15. Diaconissa nisi quadraginta annos nata non ordinatur : ei autem quæ inito matrimonio, sacro muneri dedecus attulerit, anathema.

16. Monachi aut moniales matrimonium ne contrahant: siquidem hoc fecerint, excommunicentur. B

17. Rusticana parœcia, seu pagi curia, si triginta annos possessæ fuerint, possideantur : si autem intra illud tempus fuerit aliqua de his controversia, sint judicio obnoxii earum possessores. Si vero imperatoris jussu urbs renovata fuerit, ordo ac forma ecclesiæ parœcialis civiles ac publicas ordinationes sequatur.

18. Clerici ac monachi si comperti fuerint conventicula habere ac conjurare contra episcopum, gradibus suis excidant.

19. Qui amissa patria ad aliam Ecclesiam venerit, irreprehensibilis.

20. Episcopus qui extraneum clericum susceperit, cum suscepto excommunicabitur.

C 21. Clericus aut laicus non probatus accusans episcopum, rejiciendus.

22. Qui episcopo vita functo, illius bona rapit, gradu dejicietur.

23. Qui injussi episcopi Constantinopoli commorantur ac turbas excitant, urbe expellantur.

24. Monasterium de sententia episcopi exstructum, maneat immutabile, et quidquid ad ipsum pertinet ne alienetur. Qui vero secus fecerit, non erit innoxius.

25. Intra tres menses episcoporum ordinationes perficiantur; tempus vero prorogat necessitas aliqua inevitabilis. Si secus fiat, ordinans pœnæ erit obnoxius, reditus tamen penes dispensatorem maneant.

D 26. Dispensator in omnibus Ecclesiis de clero constituatur : qui vero hoc contemnit episcopus, crimine non caret.

27. Clericus mulierum rapiens, Ecclesia ejiciatur, laicus vero sit anathema, et qui his consentit eidem pœnæ subjiciatur.

28. Novæ Romæ episcopus eodem cum veteris Romæ episcopo honore fruatur propter Imperii translationem.

29. Ponti, Asiæ, Thraciæque episcopi ac barbari a Constantinopolitano ordinentur.

30. Qui episcopum ad presbyteri gradum de-

mittit. sacrilegus : ipse enim culpæ obnoxius et sacerdotio indignus. Qui vero insons dejectus est, sit episcopus.

31. Mos est Ægyptiis, nisi archiepiscopus permiserit non scribere, quo fit ut minime culpandi sint, cum sancti Leonis epistolæ non subscripserint, donec archiepiscopus creatus fuerit.

Scholia ad IX *Canonem œcumenicæ quartæ synodi.* — Exarchum diœcesis, vocat patriarcham uniuscujusque diœcesis, sub quo censentur annumeranturque provinciarum illius metropolitæ. Dicit igitur canon, quando episcopus aut clericus cujuscunque diœcesis, controversiam habet cum proprio metropolitano, vel hujus diœcesis patriarcham adeat, vel si nolit, libertatem habet ad Constantinopolitanum thronum recurrendi. Quod quidem privilegium nulli aliorum patriarcharum concessum est, vel a sanctis canonibus quos exposuerunt œcumenicæ quatuor synodi, vel a religiosis legibus.

Epitome canonum beatorum Patrum Ancyræ congregaturum.

2. Presbyteri et diaconi qui prius sacrificarunt, deinde vere resipuerunt, solius cathedræ et honoris participes sint, nihil sanctorum mysterium peragentes.

3. Qui tormenta ac vim vere passi sunt, et cum tyrannide cibos idolis oblatos sumpserunt, communione ne prohibeantur : laici vero, si hoc ipsis acciderit, ac si nihil deliquissent, si velint ordines consequi, consequantur, modo in aliis irreprehensibiles sint.

4. Quotquot abducti cum animi delectatione ascenderunt et comederunt, sex annos pœnitentiæ sese submittant.

5. Qui cum lugubri veste ascenderunt et comederunt, cum lacrymis triennio submissi pœnitentiam agant : si vero non comederunt, biennio. Præcedens vita et consequens, lapsorum scilicet, bona aut mala, episcopum humaniorem aut severiorem reddit.

6. Vir qui minis tantum cesserit et sacrificaverit, deinde pœnituerit, quinquennio pœnitentiæ subjiciatur.

7. Si quis proprios cibos habens gentilium conviviis interfuerit in eorum festis, biennio pœnitentiæ subjaceat.

8. Qui secundo et tertio sacrificaverit, sed vi adactus, septennio pœnitentiæ subjiciatur.

9. Qui non solum voluntarie sacrificaverit, verum etiam alium coegerit, decem annos, pœnitentiæ submittatur.

10. Qui diaconus ordinandus est, si protestatus fuerit episcopo se non posse cælibem perseverare, uxore ducta sit diaconus. Si vero cum tacuerit, postea uxorem duxerit, ejiciatur.

11. Si desponsata puella ab alio rapta fuerit, priori restituitur.

A ἱερόσυλος· ὁ γὰρ ὑπαίτιος, καὶ ἀνίερος. Ὁ δὲ καταβιβασθεὶς ἐπίσκοπος ἀναίτιος.

λα'. Εἴθισται τοῖς Αἰγυπτίοις, εἰ μὴ ὁ ἀρχιεπίσκοπος ἐπιτρέπῃ, μὴ γράφειν· ἐντεῦθεν ἄμεπτοι μὴ ἐπιγράφοντες τῇ ἐπιστολῇ τοῦ ὁσίου Λέοντος, ἕως ἀρχιεπίσκοπος γένηται.

Σχόλια εἰς θ' κεφάλαιον τῆς δ' οἰκουμενικῆς συνόδου. — Ἔξαρχον διοικήσεως καλεῖ, τὸν πατριάρχην ἑκάστης διοικήσεως, ὑφ' ὃν οἱ τῶν ἐκείνης ἐπαρχιῶν τελοῦσι μητροπολῖται. Φησὶν οὖν ὁ κανὼν ὅτιπερ ὁ ἀμφισβητῶν πρὸς τὸν ἴδιον μητροπολίτην ἐπίσκοπος ἢ κληρικὸς οἱασδήποτε διοικήσεως, ἢ τὸν αὐτῆς καταλαμβανέτω πατριάρχην, ἢ εἰ μὴ βούλοιτο, ἄδειαν ἔχει πρὸς τὸν Κωνσταντίνου πόλεως

B ἀνατρέχειν θρόνον ὅπερ προνόμιον οὐδενὶ τῶν ἄλλων πατριαρχῶν ἐδόθη, οὐδ' ἐκ τῶν ἁγίων κανόνων, οὓς ἐξέθεντο αἱ οἰκουμένικαὶ τέσσαρες σύνοδοι. οὔτε ἐκ τῶν εὐσεβῶν νόμων.

Ἐπιτομὴ κανόνων τῶν ἐν Ἀγκύρᾳ μακαρίων Πατέρων.

β'. Πρεσβύτεροι, καὶ διάκονοι τὸ τὸ πρὶν ἐπιθύσαντες, εἶτα δι' ἀληθείας ἀναπαλαίσαντες, μόνης τῆς καθέδρας καὶ τῆς τιμῆς μετεχέτωσαν, μηδὲν τῶν ἁγίων ἐπιτελοῦντες.

γ'. Οἱ βασανισθέντες καὶ βιασθέντες ἀληθῶς, καὶ μετὰ τυραννίδος βρώματα λαβόντες εἰδώλου, τῆς κοινωνίας μὴ κωλυέσθωσαν. Καὶ λαϊκοὶ δὲ τοῦτο παθόντες, ὡς οὐδὲν ἡμαρτηκότες, εἰ βούλοιντο χει-

C ροτονίας τυχεῖν, τυγχανέτωσαν, ἄλλως ἀνεπίληπτοι ὄντες.

δ'. Ὅσοι ἀπαγόμενοι μετ' εὐθυμίας ἀνῆλθον, καὶ ἔφαγον, ἐπὶ ἑξαετίαν ὑποπιπτέτωσαν.

ε'. Οἱ μετὰ πενθικῆς στολῆς ἀνεληλυθότες, καὶ φαγόντες, μετὰ δακρύων τριετίαν ὑποπιπτέτωσαν· εἰ δὲ μὴ ἔφαγον, διετίαν. Ὁ γὰρ προάγων βίος καὶ ὁ ἑπόμενος, σπουδαῖος ὤν, ἢ οὐ σπουδαῖος, τὸν ἐπίσκοπον φιλανθρωπότερον ὢ ἀφιλανθρωπότερον δεικνυσιν.

ϛ'. Ἀνὴρ ἀπειλῇ μόνον εἴξας καὶ θύσας, εἶτα μετανοήσας, πενταετίαν ὑποπιπτέτω.

ζ'. Ἐάν τις ἴδια βρώματα ἔχων συνειστιάθη τοῖς

D ἔθνεσιν ἐν ταῖς ἑορταῖς αὐτῶν, διετίαν ὑποπιπτέτω.

η'. Ὁ δεύτερον, καὶ τρίτον θύσας, ἀλλὰ μετὰ βίας, ἑπταετίαν ὑποπιπτέτω.

θ'. Ὁ μὴ μόνον ἐθελουσίως τεθυκώς, ἀλλὰ καὶ ἕτερον ἀναγκάσας δεκαετίαν ὑποπιπτέτω.

ι'. Ὁ μέλλων διάκονος χειροτονεῖσθαι, εἰ προεμαρτύρετο τῷ ἐπισκόπῳ μὴ δύνασθαι καρτερεῖν ἄγαμος, γαμήσας ἔστω διάκονος· εἰ δὲ σιωπήσας ἔγημεν ὕστερον, ἀποβαλλέσθω.

ια'. Εἰ ἐμνηστεύθη κόρη, ἡρπάγη δὲ παρ' ἄλλου, τῷ προτέρῳ ἀποκαθίσταται.

ιβ'. Ὁ πρὸ τοῦ βαπτίσματος θύσας, ἀνεύθυνος A ἔστω μετὰ τὸ βάπτισμα.

ιγ'. Χωρεπίσκοπος οὐ χειροτονεῖ ἄνευ ἐπιτροπῆς ἐπισκόπου.

ιδ'. Ἱερατικὸς κρεῶν ἀπεχόμενος, γευσάμενος μόνον, οὕτως ἀπεχέσθω· εἰ δὲ μηδὲ τῶν [*f d.* μετὰ] κρέατος γεύοιτο λαχάνων, πεπαύσθω.

ιε. Ἐάν τι τῆς Ἐκκλησίας πρεσβύτεροι διαρπάσειαν, ἔστω ἀβέβαια, καὶ μενέτω τῇ κρίσει τοῦ ἐπισκόπου.

ιϛ'. Ὁ ἀλογευσάμενος πρὸ τῶν εἴκοσι χρόνων, πεντεκαίδεκα ἔτεσιν ὑποπιπτέτω· εἰ δὲ καὶ τὴν ἡλικίαν ταύτην ὑπερβὰς, καὶ γυναῖκα ἔχων περιπέπτωκε, πέντε καὶ εἴκοσι ἔτεσιν ὑποπιπτέτω· ὁ δὲ καὶ γυναῖκα ἔχων, καὶ ὑπὲρ τὰ πεντήκοντά τελῶν B ἔτη, ἄχρι τῆς ἐξόδου ὑποπιπτέτω.

ιζ'. Ὁ λεπρὸς ἀλογευσάμενος, ἢ καὶ λεπρωθεὶς, τοῖς χειμαζομένοις συνευχοίτο.

ιη'. Ὁ ἐπίσκοπος καταστὰς, εἰ οὐ δέχεται παρὰ τὴν παροικίαν εἰς ἣν ἐκλήθης ἀλλ' ἑτέροις ἐπισκόποις ἐνοχλεῖ, ἀφοριζέσθω· εἰ δὲ τοῖς πρεσβυτέροις ἐθέλοι [συναριθμεῖσθαι, συναριθμοῖτο [*Ἴσ.* συναριθμείσθω]. Εἰ δὲ καὶ τοῖς ἐκεῖ ἐπισκόποις διαστασιάζει, ἀπωθείσθω καὶ τῆς τοῦ πρεσβυτέρου τιμῆς.

ιθ'. Ὁ ἐπαγγειλάμενος παρθενίαν, καὶ ἀθετῶν, τετραετίαν ἀφοριζέσθω· αἱ δὲ παρθένοι ὡς ἀδελφοῖς τισι μὴ προσίτωσαν.

κ'. Ἡ μοιχαλὶς καὶ ὁ μοιχὸς ἑπταετίαν ἀφοριζέσθωσαν. C

κα'. Αἱ πόρναι λαμβάνουσαι φθόρια, δεκαετίαν ὑποπιπτέτωσαν.

κβ'. Ὁ αὐθαιρέτως ἀνδροφόνος, ἐν τῷ τέλει τοῦ βίου τυγχανέτω.

κγ'. Ὁ ἀκούσιος φονευτὴς πενταετίαν ὑποπιπτέτω.

κδ'. Ὁ καταμαντευόμενος, καὶ ὁ εἰσάγων τινὰ τοῖς οἴκοις ἐπὶ ἀνευρέσει φαρμακείας, ἢ καθάρσει, πενταετίαν ὑποπιπτέτω.

κε'. Κόρην τις μνηστευσάμενος, προσεφθάρη τῇ ἀδελφῇ αὐτῆς, εἶτα τὴν μνηστὴν ἔλαβεν, πρώτη ἀπήγξατο· καὶ οἱ συνειδότες δεκαετίαν ὑποπιπτέτωσαν.

Τῆς ἐν Νεοκαισαρείᾳ συνόδου. D

α'. Γήμας πρεσβύτερος, μετατιθέσθω. Ἐξωθείσθω δὲ πορνεύσας, καὶ μοιχεύσας.

β'. Ἡ ἀδελφοῖς γημαμένη δισσοῖς, διὰ βίου παντὸς ἐξωθείσθω· εἰ δὲ κατὰ τὸν θάνατον ἀρνοῖτο τὸν γάμον, ἕξει μετανοιαν· εἰ δὲ τελευτήσει, τῷ μείναντι κάκιστον.

γ'. Τῶν πολυγάμων ὁ χρόνος σαφὴς, τὸ δὲ τῆς μετανοίας σπουδαῖον αὐτὸν ὑποτέμνεται.

δ'. Αἱ πρὸ τῶν πορνικῶν ἔργων ἐπιθυμίαι εἰ ἐμποδίζονται, οὐκ ἀθεεὶ ἐμποδίζονται.

12. Qui ante baptisma sacrificavit, post baptisma insons habeatur.

13. Chorepiscopus non ordinat sine licentia episcopi.

14. Sacerdos a carnibus abstinens, ubi tantum gustaverit, sic abstineat : si vero neque olera quæ cum carnibus sunt gustet, a fungendo munere desistat.

15. Si quid ad Ecclesiam pertinens presbyteri distraxerint, id invalidum sit, ac penes episcopi judicium maneat.

16. Qui contra rationem venere abusus fuerit ante viginti annos, quindecim annis pœnitentiæ subjiciatur : si vero hanc ætatem transgressus uxoremque habens in hoc peccatum inciderit, viginti quinque annis pœnitentiam agat : uxorem autem habens, ac supra quinquaginta annos natus, usque ad exitum vitæ.

17. Leprosus qui contra rationem versatus, aut etiam lepra infectus fuerit, cum iis qui a dæmone infestantur oret.

18. Episcopus constitutus, si ab Ecclesia ad quam vocatus est non recipiatur, sed aliis episcopis negotium facessat, excommunicatur. Si autem presbyteris annumerari velit, annumeretur. Si vero ab episcopis qui ibi degunt dissideat, etiam presbyteratus honore expellatur.

19. Qui virginitatem professus est, ac votum irritum facit, quadriennio excommunicetur. Virgines vero ne ad aliquos tanquam fratres accedant.

20. Adultera et adulter septem annos excommunicentur.

21. Meretrices medicamenta enecandis fetibus adhibentes, decem annos pœnitentiæ subjiciantur.

22. Voluntarius homicido in fine vitæ communionem consequatur.

23. Involuntarius homicida quinquennio pœnitentiæ subjiciatur.

24. Qui vaticiniis utitur, atque introducit aliquem in domos exquirendi veneficii aut lustrationis gratia, quinquennio pœnitentiæ subjaceat.

25. Quidam puella desponsata, sorori ejus vitium attulit, deinde sponsam accepit, prima suspendio vitam finiit : ii etiam qui facti conscii sunt, decennio pœnitentiæ subjiciantur.

Synodi Neocæsariensis.

1. Presbyter qui uxorem duxerit, deponatur : si vero scortatus fuerit aut mœchatus fuerit, expellatur.

2. Mulier quæ duobus fratribus nupserit, per totam vitam expellatur : si vero morti proxima nuptias repudiet, pœnitentiam consequetur : si vero obierit, superstiti viro pessimum.

3. Eorum qui multa matrimonia contrahunt tempus certum est : pœnitentiæ vero studium illud præcidit.

4. Concupiscentiæ fornicationis opera præcedentes si impediantur, non sine divino auxilio impediuntur.

5. Qui dum fidei mysteriis instituitur peccat, A audiat non peccans : si autem adhuc perseveret, penitus ejiciatur.

6. Prægnans quandocunque vult baptizatür : uniuscujusque enim voluntas judicatur.

7. Presbyter non debet interesse convivio ejus qui secundas nuptias celebrat ; quomodo enim ipsum venia dignum judicabit ?

8. Laicus cujus uxor adulterium commisit,non ascribitur clerum ; et qui in clero versatur, si post adulterium detinet ipsam, expellitur.

9. Si confessus fuerit presbyter se peccasse, ab oblatione tantum abstineat: quædam enim peccata ordinationes remittunt. Si vero non confiteatur, neque convincatur, ipse sui potestatem habet.

10. Diaconus etiam eodem crimine obstrictus, B minister maneat.

11. Ne fiat presbyter nisi tricesimum annum agens, etiamsi dignus sit, exemplum habens Servatoris baptisma.

12. Propter morbum baptizatus ne fiat presbyter : nisi ob certamen quod postea subierit, atque hominum raritatem.

13. Presbyter ruri degens in urbis templo non offerat, nisi absit episcopus totusque presbyterorum cœtus : si autemabsint, et vocetur, offert: et chorepiscopi ut comministri offerunt.

14.Septem diaconi secundum Acta apostolorum etiam in magna urbe, septuaginta locum tenentes.

C

Epitome canonum sanctorum Patrum Sardicæ congregatorum.

1. Episcopus ex majore civitate in minorem transire non comperitur.

2. Qui igitur ex humili sede sublimiorem transilit, tanquam arrogans et avarus compertus, per totam vitam excommunicatur.

3. Episcopus in alterius episcopi urbem ne transeat non invitatus: ac provincialis si aliquam litem habeat, alienos episcopos ne evocet, præterquam a Romano pontifice, si expedire judicaverit.

4. Episcopo deposito,si affirmet se defensionem allaturum, non constituitur alius, nisi episcopus Romæ definierit ; dispiciet enim depositionem aut per nuntios, aut per litteras. D

5. Si laicis petentibus episcopum, episcopi præsentes sint, unus vero quidam absit, vocetur etiam ille. Si vero vocatus neque scribere, neque accedere voluerit, is qui peritur ordinetur.

6. Cum metropolitanus constituitur, vicini etiam episcopi accersendi sunt. In parva urbe et pago, cui unus sufficit presbyter, episcopus non constituitur: si vero populo frequentissima sit urbs, non indigna est episcopo.

8. Si pupillus et vidua, et qui tutore caret vi opprimatur, iis suppetias feret episcopus. Verumtamen ne ejusmodi prætextu in aula imperatoris ver-

ε'. Ὁ ἐν τῷ κατηχεῖσθαι ἁμαρτάνων, ἀκροάσθω μὴ ἁμαρτάνων· εἰ δ' ἔτι ἐπιμένει, τέλεον ἀπωθείσθω.

ϛ'. Ἡ κυοφοροῦσα ὅτε θέλει βαπτίζεται· ἑκάστου γὰρ ἡ προαίρεσις κρίνεται.

ζ'. Οὐχ ἑστιᾶται πρεσβύτης ἐπὶ διγάμῳ· πῶς γὰρ αὐτὸν ἀξιώσει συγγνώμης ;

η'. Λαϊκὸς οὗ ἡ γυνὴ μεμοίχευται, οὐ κληροῦται· καὶ ὁ ἐν κλήρῳ, εἰ μετὰ τὴν μοιχείαν κατέχει αὐτὴν, ἐκδιώκεται.

θ'. Ἐὰν ὁμολογήσῃ πρεσβύτερος ὅτι προήμαρτε, μὴ προσφερέτω καὶ μόνον· τινὰ γὰρ τῶν ἁμαρτημάτων αἱ χειροτονίαι ἀφιᾶσιν. Εἰ δὲ μὴ ὁμολογοίη, μήτ' ἐλέγχοιτο, αὐτὸς ἐχέτω τὴν ἐξουσίαν.

ι'. Καὶ διάκονος τῷ αὐτῷ συσχεθεὶς, ὑπηρέτης μενέτω.

ια'. Εἰ μὴ τριακονταέτης μὴ γινέσθω πρεσβύτερος, κἂν ᾖ ἀξιόλογος, ἔχων ὑπόδειγμα τὸ τοῦ Σωτῆρος φώτισμα.

ιβ'. Ὁ διὰ νόσον βαπτισθεὶς, μὴ γινέσθω πρεσβύτερος, εἰ μὴ διὰ τὸν ἑξῆς ἀγῶνα, καὶ σπάνην [*f.* σπανίαν] ἀνθρώπων.

ιγ'. Ἐπιχώριος πρεσβύτερος εἰς ναὸν πόλεως οὐ προσάγει, εἰ μὴ ἄπεστιν ὁ ἐπίσκοπος, καὶ τὸ πρεσβυτέριον ὅλον· ἐὰν δὲ ἀπῶσι, καὶ καλοῖτο, προσάγει· καὶ οἱ χωρεπίσκοποι ὡς συλλειτουργοὶ προσφέρουσι.

ιδ'. Τῶν ἑβδομήκοντα τὸν τύπον [*f.* τόπον] ἑπτὰ διάκονοι κατὰ τὰς Πράξεις καὶ εἰς μεγάλην πόλιν ἔστωσαν ὑπέχοντες.

Ἐπιτομὴ κανόνων τῶν ἐν Σαρδικῇ μακαρίων Πατέρων.

α'. Ἀνεξερεύνητος ἐπίσκοπος ἐκ μείζονος ἐπὶ ἥττονα πόλιν.

β'. Ὁ τοίνυν ἐκ ταπεινῆς ἐφ' ὑψηλοτέραν μεταπηδῶν, ὡς ἀλαζὼν καὶ πλεονέκτης ὑποβλεπόμενος, διὰ βίου παντὸς ἀκοινώνητος.

γ'. Ἐπισκόπου εἰς πόλιν, ἄκλητος μὴ διαβαίνων [*l*σ. διαβαινέτω] ἐπίσκοπος· καὶ ὁ ἐπαρχιώτης, εἰ δὲ δικάζοιτο, ἀλλοτρίους ἐπισκόπους οὐκ ἐκκαλέσεται, ἢ περὶ τοῦ Ῥώμης, εἰ ἐπικρίνοι.

δ'. Ἐπισκόπου καθαιρεθέντος, καὶ διαβεβαιουμένου φέρειν ἀπολογίαν, εἰ μὴ ὁ Ῥώμης ὁρίζοι, οὐ καθιδρύεται ἕτερος. Διασκοπήσει γὰρ τὴν καθαίρεσιν ἢ ἀποστόλοις ἢ γράμμασιν.

ε'. Εἰ τῶν λαϊκῶν ἐπιζητούντων ἐπίσκοπον, οἱ ἐπίσκοποι παρουσιάσουσιν, εἷς δέ τις ἐλλείποι, προσκαλείσθω κἀκεῖνος· εἰ δὲ προσκαλούμενος οὔτε γράφειν, οὔτ' ἐνδημεῖν βούλοιτο, ὁ ζητούμενος χειροτονείσθω.

ϛ'. Μητροπολίτου καθισταμένου, καὶ οἱ πλησιόχωροι μετάπεμπτοι ἔσονται. Καὶ εἰς ὀλίγην [*l*σ. ὀλίγην] πόλιν καὶ κώμην, ᾗ καὶ εἷς αὐτάρκης πρεσβύτερος, ἐπίσκοπος οὐ καθίσταται. Εἰ δὲ πολυανθρωποτάτη γένοιτο πόλις, οὐκ ἀνάξιον.

ζ'. Ὀρφανοῦ, καὶ χήρας, καὶ ἀπεριστάτου βιαζομένων, εἰς βοήθειαν, κατανολμήσει ἐπίσκοπος· ἀλλὰ μὴ τῇ τοιαύτῃ προφάσει διατρίβῃ εἰς τὸ στρατόπε-

δον· ἀλλὰ μᾶλλον διάκονος στέλλοιτο. Τοῖς εἰς τὴν A ἐκκλησίαν προσφεύγουσι παντὶ σθένει βοηθητέον.

η'. Ἀδελφοῦ πρὸς ἀδελφὸν ἀποστέλλοντος, ὁ μητροπολίτης τὸν ἀπόστολον ἰσχυέτω· καὶ γράφει πρὸς τοὺς ἐν οἷς ἡ ἀξίωσις ἐπισκόπου, τοῦ ἀποστόλου ἀντιλαμβάνεσθαι.

θ'. Ἀγοραῖος σχολαστικὸς, ἢ πλούσιος, εἰ μὴ τοὺς ἱεροὺς διέλθῃ βαθμοὺς ἐπίσκοπος οὐ καθίσταται· τὸ δὲ τῶν βαθμῶν διάστημα οὐ λίαν ὀλιγοστον· δι' οὗ τὸ δόκιμον τῆς πίστεως καὶ καλοκἀγαθίας αὐτοῦ δοκιμάζοιτο. Ὁ γὰρ ἑτέρως, νεόφυτος.

ι'. Ὁ προσκαλούμενος ἐπίσκοπον ἐξ ἐπισκόπου, τοῦ προσκαλουμένου ἰδιώτου τυγχάνοντος, μὴ συνεχέστερον δημηγοροίη· μῶμος γὰρ τοῦ ἰδιώτου, καὶ μνηστεία τῆς ἐπισκοπῆς ἐκείνῳ, καὶ ἀμφότερα οὐκ B ἀμώμητα. Ἀνάγκης δίχα βαρείας, δυσχερὲς τὸ ἐπιπλεῖστον τὸν ἐπίσκοπον τῆς οἰκείας ἐκκλησίας ἀπολιμπάνεσθαι.

ια'. Ἐπίσκοπος κτήσεις κεκτημένος ὑπερορίους, εἰ μέλλει ταύταις ἰέναι, χρονιζέτω μὴ πλέον Κυριακῶν τριῶν διαστήματος. Οὕτω γὰρ ἡ οἰκεία τοῦτον ποίμνη καταπλουτήσει, καὶ αὐτὸς ἄτυφος διαμένοιτο.

ιβ'. Ὁ τὸν ἀκοινώνητον ἄλλοθεν κοινωνίας ἀξιῶν, μετὰ γνῶσιν οὐκ ἀνεύθυνος.

ιγ'. Ὁ παρ' ὀξυχόλου κατάκριτος ἐπικουρίας δεόμενος, οὐκ ἀνάκουστος. Ἄχρι δὲ τῆς ἐπικουρίας δηλαδὴ ἀκοινώνητος.

ιδ'. Τὸν ἀλλότριον ὑπηρέτην, ἀλλότριος δίχα τῆς ἐκείνου γνώμης ἔμβαθμον καθιστὰς, καθίστησιν, ἀλλ' C ἀβέβαιον.

ιε'. Οἱ ἐπὶ τῆς τῶν ἐπισκόπων βραδύτητος, ὅροι, καὶ ἐπὶ πρεσβυτέρων καὶ διακόνων ἔχουσι δύναμιν.

ις'. Ἀδίκως ἐπίσκοπος ἐλαυνόμενος, εἰ ἐπὶ τὴν ἀλλοτρίαν διάγοι, δεκτέος, ἕως τὴν ὕβριν ἐπανασώσοιτο.

ιζ'. Ἄδεκτος ὁ κληρικὸς ὁ μὴ τελῶν εἰς τὴν ἐκκλησίαν ἐν ᾗ κεκλήρωται. Εὐτυχιανὸς μέντοι καὶ Μουσαῖος ἐπισκόπου κλῆσιν οὐκ ἐκδικήσουσιν. Κοινωνικὰς [ἴσ. κοινωνίας] μέντοι κατὰ τοὺς λαϊκοὺς, ἐὰν ἐθέλωσιν, ἐπιτεύξονται.

ιη'. Ὁ τὰ καλῶς καὶ θεαρέστως ἐνηνεγμένα τύφῳ παρασαλεῦσαι πειρώμενος, οὐκ ἐπίσκοπος· τεθειμένος δὲ ἐπίσκοπος ἐπίσκοπον ἐρχόμενον ἐν στρατοπέδῳ, ἐμποδὼν μὴ γινέσθω, εἰ γνοίη κατά τι τῶν D προειρημένων ἐρχόμενον· εἰ δ' ἄλλως, προαγγελλέτω τὸ ἀκοινώνητον.

Ἐπιτομὴ κανόνων τῶν ἐν Γάγγρᾳ μακαρίων Πατέρων.

α'. Τῷ ἀθετοῦντι τὸν νόμιμον γάμον, καὶ τῷ κατακρίνοντι τὸν κρεοφαγοῦντα, δίχα πνικτοῦ καὶ εἰδωλοθύτου, ἀνάθεμα.

β'. Τῷ πείθοντι δοῦλον ἀναχωρεῖν τοῦ δεσπότου, θεοσεβείας προφάσει, καὶ τῷ διακρινομένῳ μεταλαμβάνειν ἀπὸ πρεσβυτέρων, ὑπογυναίων ἀνάθεμα.

γ'. Ὁ τὸν θεῖον οἶκον εὐκαταφρόνητον ὀνομάζων,

setur, quin potius diaconus mittatur. Iis vero qui ad ecclesiam confugiunt totis viribus succurendum.

8. Si frater ad fratrem mittat, metropolitanus nuntium litteris suis muniat, scribatque ad eos, quos episcopus rogat ut nuntium suscipiant.

9. Forensis scholasticus ant dives, nisi per sacros orbines transierit, non creatur episcopus. Graduum autem interstitium ne nimis breve sit, quo major fidei morumque probitatis ejus probatio haberi possit. Qui enim aliter constituitur, neophytus est.

10. Episcopus ab episcopo accersitus, si is qui accersit imperitus sit, ne nimis assidue concionetur: hoc enim imperito erit dedecori, illeque episcopatum ambire videbitur, ac utraque reprehendenda. Sine gravi necessitate diutissime episcopum a sua abesse ecclesia, indignum est.

11. Episcopus qui possessiones extra diœcesis suæ limites habet, si eas sit invisurus, ne amplius quam tres Dominicas moretur. Sic enim ipsius grex eo fruetur, ipseque fastus suspicione carebit.

12. Qui excommunicatum ab alio communione dignatur, re cognita non est insons.

13. Ab iracundo condemnatus si auxilio indigeat, audiendus est. Quousque vero auxilium impetraverit, excommunicatus maneat.

14. Alienum ministrum si quis citra illius episcopi consensum in aliquo gradu constituat, constituit quidem, sed ordinatio invalida est.

15. Ea quæ de longiori episcoporum mora definita sunt, in presbyteris et diaconis vim habent.

16. Episcopus injuste expulsus, si in aliena ecclesia degat, suscipiendus est, donec propulsata injuria pristino statui restitutus sit.

17. Clericus non degens in ecclesia in qua ordinatus est, non est recipiendus. Eutychianus tamen et Musæus episcopi appellationem non sibi vindicabunt: communionem vero cum laicis, si voluerint consequentur.

18. Quisquis ea quæ recte et ex divino præscripto edita sunt, per arrogantiam labefactare conatur, non est episcopus. Episcopus si viderit episcopum ad aulam principis euntem, ne sit ei impedimento, siquidem cognoverit eum ob aliquid eorum quæ prædicta sunt, proficisci. Si secus, excommunicationem ei denuntiet.

Epitome canonum sanctorum in Gangra congregatorum.

1. Improbanti legitimum matrimonium, et condemnanti carnes manducantem, absque suffocato et idolothyto, anathema.

2. Ei qui servo persuadet ut a domino recedat, pietatis prætextu, atque ei qui dubitat communionem a presbyteris matrimonio junctis accipere, anathema.

3. Qui Dei domum contemptibilem esse dicit, et

qui privatim ecclesiasticos conventus habet, ac præter episcopi aut presbyteri sententiam Ecclesiæ munia obit, sit anathema.

4. Quisquis dat aut accipit fructum oblationes extra ecclesiam, ac præter sententiam episcopi aut presbyteri, anathema.

5. Qui non honestatis causa virginitatem colit, sed eo quod nuptias abominetur, aut etiam in eos qui matrimonio juncti sunt sese extollat, sit anathema.

6. Qui spernit eos qui ad agapas vocant, et qui vocatus cum his non communicat: item qui contemptui habet eos qui birosgestant: ac quæcunque mulieres virorum abutuntur vestimentis, quæque a viris separantur eo quod matrimonium fastidiant: item qui liberos relinquunt, ac non ad pietatem eos instruunt, nec non liberi qui a parentibus infidelibus discedunt, anathema.

7. Quæcunque mulieres comas tondent pietatem simulantes: et qui Dominica cibo abstinet, ac jejunia Ecclesiæ evertit: necnon quisquis conventus qui ad martyrum ædes fiunt despicit, anathema.

Epitome canonum synodi Antiochenæ.

1. Qui legibus sancitam Paschæ traditionem mutare conatur, siquidem laicus sit ejiciatur: clericus vero ab Ecclesia arceatur.

2. Qui ecclesiam ingressus sacram Scripturam attente audit, deinde egressus despicit aversaturque communionem, ejiciendus est.

3. Qui cum excommunicato communicat, excommunicatus censetur: et qui orat cum iis qui cum Ecclesia non orant, reus est. Item qui suscipit eum qui Ecclesiæ conventibus non interest, culpa non caret.

4. Episcopus a synodo depositus, ac presbyter et diaconus ab episcopo gradu motus, si per contumaciam munus obeat, deploratæ spei est.

5. Omnis presbyter aut diaconus episcopum contemnens, et ab eo recedens, aliudque altare extruens, si ab episcopo bis terque accersitus in arrogantia persistat, deponatur, curationis spe destitutus.

6. Excommunicatum ab episcopo clericum aut laicum, si major synodus susceperit, aut eondemnaverit, acquiescere oportet sententiæ.

7. Peregrinus pacificas non afferens epistolas, non est suscipiendus.

8. Presbyter ruri degens ne canonicas det epistolas, nisi ad solum vicinum episcopum.

9. A metropolitani sententia pendere oportet episcopos, nihilque citra illius consilium instituere nisi ea sola quæ ad suam cujusque diœcesim pertinent, ac viris reprehensioni non obnoxiis manus imponere.

10. Exorcistas, lectores, subdiaconos, et cantores constituit chorepiscopus: non tamen presbyterum aut diaconum absque civitatis episcopo: qui autem

A καὶ ὁ ἐκκλησιάζων ἰδίᾳ, καὶ παρὰ γνώμην ἐπισκόπου ἢ πρεσβυτέρου τὰ τῆς Ἐκκλησίας τελῶν, εἴη ἀνάθεμα.

δ'. Ὁ διδοὺς ἢ λαμβάνων καρποφορίας ἔξω τῆς ἐκκλησίας, καὶ παρὰ γνώμην ἐπισκόπου ἢ πρεσβυτέρου, ἀνάθεμα.

ε'. Ὁ μὴ διὰ τὸ καλὸν παρθενεύων, ἀλλὰ διὰ τὸ τὸν γάμον βδελύσσεσθαι, ἢ κατεπαίρεσθαι τῶν γαμούντων, εἴη ἀνάθεμα.

ϛ'. Ὁ τοὺς καλοῦντας εἰς ἀγάπην ἀθετῶν, καὶ τούτων οὐ κοινωνῶν κεκλημένος· καὶ ὁ φαυλίζων τοὺς φοροῦντας τοὺς βίρους· καὶ ὅσαι γυναικῶν [γυναῖκες] ἀνδρῶν ὑποκρίνονται ἱματίοις, καὶ ὅσαι τῶν ἀνδρῶν διαζεύγνυνται, βδελυσσόμεναι τὸν γάμον, καὶ B οἱ τὰ τέκνα καταλιμπάνοντες, καὶ οὐχὶ πρὸς θεοσέβειαν ὑπαλείφοντες, καὶ τέκνα ὡς [γρ. ὅσα] ἀπίστων ἀποσκιρτῶσι γονέων, ἀνάθεμα.]

ζ'. Ὅσαι γυναῖκες τὰς κόμας τίλλουσι, θεοσέβειαν ὑποκρινόμεναι· καὶ ὁ τὴν Κυριακὴν ἀσιτῶν, καὶ τὰς ἐκκλησιαστικὰς νηστείας ἐκτρέπων· καὶ ὁ τὰς μαρτύρων συνάξεις περιφρονῶν, ἀνάθεμα.

Τῆς ἐν Ἀντιοχείᾳ συνόδου τῶν κανόνων ἐπιτομή.

α'. Ὁ τὴν ἔνθεσμον τοῦ Πάσχα παράδοσιν διαμεῖψαι πειρώμενος, λαϊκὸς μὲν τελῶν, ἔστω ἀπόβλητος· κληρικὸς δὲ, ἀνεκκλησίαστος.

β'. Ὁ εἰς ἐκκλησίαν εἰσιὼν, καὶ προσέχων τῇ ἱερᾷ Γραφῇ, εἶτα περιφρονῶν καὶ ἀξιῶν [γρ. ἐξιὼν], καὶ ἀποστρεφόμενος τὴν μετάληψιν, ἀπόβλητος.

C γ'. Ὁ δὲ ἀκοινωνήτῳ κοινωνῶν, ἀκοινώνητος· καὶ ὁ συνευχόμενος τοῖς μὴ τῇ ἐκκλησίᾳ προσευχομένοις [γρ, συνευχομένοις], ὑπεύθυνος· καὶ ὁ τὸν εἰς ἐκκλησίαν μὴ συναγόμενον ὑποδεχόμενος, οὐκ ἀναίτιος.

δ'. Ὁ ὑπὸ συνόδου καθῃρημένος ἐπίσκοπος, καὶ ὁ ὑπὸ ἐπισκόπου πρεσβύτερος καὶ διάκονος, εἰ αὐθαδιαζόμενος λειτουργήσοι, ἀνέλπιστος.

ε'. Πᾶς ὁ ἐπισκόπου καταφρονῶν, καὶ ἀφιστάμενος πρεσβύτερος ἢ διάκονος, καὶ οἰκοδομῶν ἄλλο θυσιαστήριον, εἰ προσκαλουμένου δὶς καὶ τρὶς τοῦ ἐπισκόπου ἐπιμένοι τῇ ἀπονοίᾳ, καθαιρούμενος ἔστω καὶ ἀθεράπευτος.

ϛ'. Τὸν ἀφορισθέντα παρ' ἐπισκόπου κληρικὸν ἢ λαϊκὸν, ἐὰν μείζων σύνοδος προσδέξοιτο, ἢ κατακρίνοιτο, στέργειν χρεὼν τὴν ἀπόφασιν. D

ζ'. Ὁ ξένος εἰρηνικὰς οὐ προσάγων, ἀπρόσδεκτος.

η'. Ὁ ἐπὶ χώρας πρεσβύτερος μὴ διδότω κανονικὰς ἐπιστολὰς, ἢ πρὸς μόνον ἐπίσκοπον γείτονα.

θ'. Τοῦ μητροπολίτου τῆς γνώμης ἀναρτᾶσθαι τοὺς ἐπισκόπους, καὶ μή τι τῆς αὐτοῦ προνοίας οἰκονομεῖν δίχα, ἢ μόνα τὰ τῇ ἰδίᾳ ἐνορίᾳ προσπίπτοντα. Καὶ χειροθεσίας ἀνεπιλήπτοις ἀνδράσιν ἐπιτελεῖν.

ι'. Ἐπορκιστὰς, καὶ ἀναγνώστας, καὶ ὑποδιακόνους, καὶ ψάλτας καθίστησι χωρεπίσκοπος, οὐ μέντοι πρεσβύτερον ἢ διάκονον, ἄνευ τοῦ κατὰ τὴν

πόλιν ἐπισκόπου· ὁ δὲ τοῦτο τολμῶν ὑπερβαίνειν, εἴη καθῃρημένος· καὶ ὁ τῆς πόλεως ἐπίσκοπος ποιεῖ χωρεπίσκοπον.

ια'. Ὁ προσιὼν αὐτομάτως τῷ βασιλεῖ ἐπίσκοπος, ἢ πρεσβύτερος, καὶ οὐχὶ κελευστὸς πρὸς τοῦ τῆς χώρας μητροπολίτου, μετὰ τῆς κοινωνίας ἐκπιπτέτω καὶ τῆς ἀξίας.

ιβ'. Ὁ καθῃρημένος εἰ ἐνοχλοίη τῷ βασιλεῖ, αἰτείτω σύνοδον μείζονα, καὶ τὸ ἐκεῖθεν δόξαν στοιχείτω. Εἰ δὲ καὶ αὖθις ἀποδυσπετοίη, ἔστω ἀνέλκιστος.

ιγ'. Εἰ μηδενὸς ἀξιοῦντος, ἐπίσκοπος εἰς ἄλλην ἐπαρχίαν ἀπίῃ, καὶ χειροτονοίη, καὶ διοικοίη πράγματα· αὐτά τε ἄκυρα μένει, καὶ ἐκεῖνος καθαιρεθήσεται.

ιδ'. Εἰ ἐπισκόπου κρινομένου, οἱ τῆς ἐπαρχίας B ἐπίσκοποι διαφέροιντο, μετακλητέον ἀπὸ τῶν πέλας ἑτέρους, εἰς ἀναμφίβολον ἀμφισβήτησιν.

ιε'. Ἐπισκόπου δικαζομένου, εἰ πᾶς ἐπαρχιώτης ἐπίσκοπος ἀδιάφωνος κρίνοιτο, παλινδικία οὐ γίνεται.

ιϛ'. Ὁ δίχα συνόδου τελείας, καὶ αὐτοῦ τοῦ μητροπολίτου ἐπὶ σχολάζουσαν ἐκκλησίαν ἐπιπηδῶν, κἂν ᾖ σχολάζων ἀπόβλητος.

ιζ'. Ἀκοινώνητος ὁ δεξάμενος χειροτονίαν, καὶ ταύτης ἀποσκιρτῶν, ἕως μεταγνοὺς καταδέξοιτο.

ιη'. Μετεχέτω τῆς τιμῆς ἐπίσκοπος ὁ χειροτονηθεὶς, καὶ μὴ δεχόμενος πρὸς τῆς πόλεως· καὶ λειτουργείτω μόνον, ἀναμένων ὅ τι ἂν ἡ τῆς ἐπαρχίας ἀποφαίνοιτο σύνοδος.

ιθ'. Εἰ μὴ σύνοδος εἴη, καὶ ὁ μητροπολίτης μὴ C γινέσθω ἐπίσκοπος. Εἰ δὲ διά τι δυσχερὲς μὴ συνάγοιντο ἅπαντες, τέως οἱ πλείους ἢ γράμμασιν ἔποιντο σύμψηφοι. Εἰ δ' οὕτω τοῦ πράγματος τελουμένου φιλονεικοῖέν τινες, ἡ τῶν πλεόνων ψῆφος ἐνισχυέτω.

κ'. Ἐπίσκοπος καὶ ὑπολαῶν [ἴσ. ὑπὸ λαῶν] βιαζόμενος, καὶ ὑπὸ ἐπισκόπων ἀναγκαζόμενος μὴ μεθιστάσθω εἰς παροικίαν ἑτέραν.

κα'. Ἐπιχειροτονεῖν τινας ἐπίσκοπος ἐκ πόλεως εἰς πόλιν μὴ ἐπιέτω, ἀλλ' ἢ γνώμῃ τοῦ ἐπισκόπου τῆς πόλεως. Εἰ δ' οὖν, ἀβέβαιος ἡ χειροτονία, καὶ ἐκεῖνος ὑπόδικος.

κβ'. Μὴ μεθιστᾷν ἕτερον ἐπὶ τῇ ἐξόδῳ ἐπίσκοπον ὁ ἐπίσκοπος· ἐκείνου δὲ κοιμηθέντος, μετὰ συνόδου τῶν ἐχόντων τὴν ἐξουσίαν, ὁ ἄξιος προβεβλήσθω.

D κγ'. Παντὶ τῷ κλήρῳ τὰ τῆς ἐκκλησίας θέμις διαγινώσκεσθαι, ἵνα τοῦ ἐπισκόπου τελευτῶντος, τὰ οἰκεῖα τῆς ἐκκλησίας διαφυλάττηται· τὰ δὲ τοῦ ἐπισκόπου κατὰ τὴν ἐκείνου διοικῆται διάταξιν.

κδ'. Κύριος ὁ ἐπίσκοπος τῶν τῆς ἐκκλησίας ἔστω πραγμάτων· εἰ δὲ μὴ ἱκανοῖτο, τοῖς ἱκανοῦσιν αὐτῶν, τὰ δὲ πράγματα καὶ τοὺς πόρους μεταβάλλοι τῆς ἐκκλησίας, μὴ μετὰ γνώμης τοῦ κλήρου, εἰσπραττέσθω δίκας πρὸς τῆς συνόδου. Εἰ δὲ καὶ τὰ πένησιν ὀφειλόμενα εἰς ἑαυτὸν σφετερίζεται, καὶ οὕτω τῇ συνόδῳ λόγον ἀποδιδότω.

A hoc audeat, deponatur. Urbis episcopus facit chorepiscopum.

11. Si episcopus, aut presbyter sponte ac sine provinciæ metropolitani jussu imperatorem adierit, communione ac dignitate excidat.

12. Depositus si molestiam imperatoris auribus exhibeat, synodum majorem petat, illiusque decreto stet. Quod si rursus indignetur, pristinæ dignitatis recuperandæ nulla ei spes esse potest.

13. Si nemine rogante episcopus in aliam provinciam se conferat, ordinetque ac res administret : ipsa irrita manent, atque ille deponetur.

14. Si accusato episcopo provinciæ episcopi inter se discrepent, alii sunt e vicinis locis advocandi ad controversiam certo dirimendam.

15. Accusato episcopo, si omnium provinciæ episcoporum sententiæ concordes sint, redintegratio actionis non datur.

16. Qui citra integram synodum, atque ipsum metropolitanum in vacantem ecclesiam invadit, quamvis ipse munere vacet, ejiciendus est.

17. Qui suscepto ordine ab eo resilit, excommunicatur, quousque pœnitentia ductus munus suscipiat.

18. Episcopus ordinatus honore fruatur, licet a civitate non recipiatur, tantumque munus obeat exspectans quidquid provinciæ synodus pronuntiaverit.

19. Absque synodo et metropolitano ne fiat episcopus. Si autem propter aliquam difficultatem non convenerint omnes, interim plures vel litteris assentiantur. Si vero re ita peracta contendant aliqui, plurium suffragium valeat.

20. Episcopus, nisi vi a populis illata et ab episcopis cogatur, in aliam parœciam ne transeat.

21. Episcopus ex urbe in urbem ad ordinandos aliquos ne abeat, præterquam de urbis episcopi sententia. Sin vero, invalida est ordinatio, ipseque judicio obnoxius.

22. Episcopus in exitu vitæ constitutus alium pro se episcopum ne constituat : postquam autem ille obdormierit, cum eorum qui potestatem habent conventu, dignus creetur.

23. Toti clero res ecclesiæ cognoscere licet, ut decedente episcopo, ecclesiæ quæ sua sunt conserventur ; quæ vero sunt episcopi, juxta illius dispositionem administrentur.

24. Episcopus rerum ad ecclesiam pertinentium potestatem habeat : si autem non sit contentus iis quæ sufficiunt, res vero ac reditus ecclesiæ in alienos usus transferat, absque cleri consilio, synodi judicium subeat. Si vero ea etiam quæ pauperibus debentur, sibi ipsi vindicet, ita etiam synodo rationem reddat.

Epitome canonum synodi Laodicenæ.

1. Bigamus si non occulte matrimonium inierit, ubi paululum pœnas subierit, insons habeatur.

2. Qui variis delictis obstricti sunt, si iis agnitis confiteantur, ac pro eorum ratione pœnitentiam agant, facile recipiuntur.

3. Recens illuminatus, sacris ordinibus non est idoneus.

4. Sacerdos fenora non accipit.

5. Ordinationes coram audientibus tantum non fiunt.

6. Hæreticis sacra ædes inaccessa.

7. Novatiani et Quartodecimani, nisi cæteras hæreses suamque abjurent, non sunt suscipiendi: post tamen abjurationem uncti, communicent.

8. Phryges pœnitentiam agentes denuo baptizandi sunt, licet apud illos in clerum cooptati sint.

9. Qui in cœmeteriis et martyriis hæreticorum orat, excommunicatus est.

10. Viduæ seniores in ecclesia ne baptizantor.

11. Cum hæretico affinitatem ne contrahas.

12. Qui fide ac vitæ ratione probatissimus atque eruditissimus est, idoneus est qui in episcopum elibatur.

13. A sæcularibus electus, non est ordinandus episcopus.

14. Sancta ad aliam parœciam mitti, indignum.

15. Nullus in ambonem ascendit, exceptis iis qui de codice legunt.

16. Evangelia atque apostoli legantur Sabbatis.

17. In conventibus lectiones psalmos intersecent.

18. Horis Nonis ac Vesperis eædem preces peragantur.

19. Post catechumenorum orationem pœnitentium preces offerantur, postea vero fidelium: ac post pacem oblatio fiat, solis sacerdotibus pro suggestu sedentibus.

20. Diaconus nisi jussus sedeat.

21. Vasa minister ne tangat, neque enim orarium induitur.

22. Cantor et lector non ferunt orarium.

23. Omnis clericus cauponam ingredi non debet.

24. Panem et calicem minister non dat.

25. Non exorcissat, nisi qui ab episcopo ad hoc munus provectus est.

26. Ab altari clericus partes non offert.

27. Accubitus et Agapæ in ecclesiis non fiunt.

28. Christianus ne sabbatizet, sed prima hoc est Dominica die ferietur.

29. Cum mulieribus lavari nefas.

30. Accipiendi sunt, non dandi hæreticis in matrimonium liberi.

31. Hæreticorum benedictiones maledictiones sunt censendæ.

A 'Επιτομὴ κανόνων τῆς ἐν Λαοδικείᾳ συνόδου.

α'. Ὁ μὴ λάθρα γαμήσας δίγαμος, ὀλίγα τοῖς ἐπιτιμίοις σχολάσας, ἀνεύθυνος.

β'. Οἱ διαφόροις ἀγνοήμασιν ἑαλωκότες, εἰ ἐπιγνόντες ὁμολογοῖντο, ἀναλόγως μετανοοῖεν, εὐπρόσδεκτοι.

γ'. Ὁ νεοφώτιστος, ἀνιεράτευτος.

δ'. Τόκους ἱερατικὸς [*f. d.* οὐ] λαμβάνει.

ε'. Αἱ χειροτονίαι ἐπ' ἀκροωμένοις οὐ γίνονται.

ς' Αἱρετικοῖς τὸ ἱερὸν ἀνεπίβατον.

ζ'. Ναυατιανοὶ καὶ Τεσσαρεσκαιδεκατῖται, εἰ μὴ τάς τε ἄλλας αἱρέσεις ἀναθεματίζοιεν, καὶ τὴν οἰκείαν, ἀπρόσδεκτοι. Μετὰ μέντοι τὸ ἀνάθεμα χριό-B μενοι, κοινωνείτωσαν.

η'. Φρύγας μεταμέλους ἀναβαπτίζεσθαι, εἰ καὶ παρ' ἐκείνοις κεκλήρωνται.

θ' Ὁ κοιμητηρίοις καὶ μαρτυρίοις αἱρετικῶν ἐπευχόμενος, ἀκοινώνητος.

ι'. Πρεσβύτιδες ἐν ἐκκλησίᾳ μὴ βαπτιζέσθωσαν.

ια'. Αἱρετικῷ μὴ συνάλλασσε.

ιβ'. Ὁ πίστει καὶ πολιτείᾳ εὐδοκιμώτατος καὶ λογιώτατος, ἐπιτήδειος εἰς ἐπίσκοπον.

ιγ'. Ἀνεπίλεκτος ὁ κοσμικοῖς ἐκλεγόμενος.

ιδ'. Διαπεμπέσθαι τὰ ἅγια εἰς παροικίαν, ἀνάξιον.

ιε'. Εἰ μὴ ἀπὸ διφθέρας, οὐδεὶς ἀμβωνίζεται.

C ις'. Εὐαγγέλια καὶ ἀπόστολοι ἀναγινωσκέσθωσαν τοῖς Σάββασιν.

ιζ'. Ἐν ταῖς συνάξεσιν αἱ ἀναγνώσεις τοὺς ψαλμοὺς περικοπτέτωσαν.

ιη'. Ἐννάταις, ἑσπέραις αἱ αὐταὶ εὐχαὶ ἐπιτελείσθωσαν.

ιθ'. Μετὰ τὴν τῶν κατηχουμένων εὐχὴν, τῶν ἐν μετανοίᾳ προσάγεσθαι, καὶ μετὰ τοῦτο τὴν τῶν πιστῶν· καὶ μετὰ εἰρήνην, τὴν ἀναφορὰν γίνεσθαι, βηματιζόντων μόνων τῶν ἱερέων.

κ'. Ἀκέλευστος μὴ καθεζέσθω διάκονος.

κα'. Σκευῶν ὑπηρέτης μὴ ἅπτοιτο· οὐ γὰρ ὠράριον ἀμφιέννυται.

κβ'. Ψάλτης καὶ ἀναγνώστης οὐ φορουσιν ὠράριον.

D κγ'. Ἅπας κληρικὸς ἀναπήλευτος.

κδ'. Ἄρτον καὶ ποτήριον ὁ ὑπηρέτης οὐ δίδωσιν.

κε'. Οὐκ ἐφορκίζει ὁ μὴ παρ' ἐπισκόπου ἀγόμενος.

κς'. Ἀπὸ ἑστίας κληρικὸς μερίδας οὐκ ἄγεται.

κζ'. Ἀκούβιτα καὶ ἀγάπαι ἐπ' ἐκκλησίας οὐ γίνονται.

κη'. Οὐ σαββατίσει Χριστιανὸς, ἀλλὰ σχολάσει τῇ α' ἡμέρᾳ, ἤγουν τῇ Κυριακῇ.

κθ'. Γυναιξὶ τῶν ἀθεμίτων συλλούεσθαι κωλυτέον.

λ'. Λαμβάνειν οὐ διδόναι τοῖς αἱρετικοῖς εἰς συνάφειαν τέκνα.

λα'. Ἀλογίαι αἱ τῶν αἱρετικῶν εὐλογίαι.

λβ'. Ὁ ψευδομάρτυρας αἱρετικοὺς τιμῶν, εἴη τὸ A ἀνάθεμα.

λγ'. Ὁ παρασυνάγων, καὶ ὀνομάζων ἀγγέλους, εἰδωλολατρείας πλησίον.

λδ'. Οὐκ ἔσται μάγος, ἢ ἐπαοιδὸς, ἢ μαθητικὸς [ἴσ. μαθηματικὸς], ἢ ἀστρολόγος, ἢ περιάπτης, ὁ ἱερατείαν ἐπαγγελλόμενος.

λε'. Οὐ συνεορτάσεις, οὐδὲ δεξιωθείης Ἑβραίοις καὶ ἔθνεσιν.

λϛ'. Ὁ καλούμενος ἐπὶ σύνοδον, καὶ ἀθετῶν, εἰ μὴ ἀνώμαλος, αἴτιος.

λζ'. Ἀκανόνιστος κληρικὸς, ἢ ἀνεπίτακτος, οὐ πρόεισιν.

λη' Ὑπηρέτης τὰς θύρας ἀφεὶς οὐ προσεύχεται.

λθ'. Γυναιξὶ τὸ ἱλαστήριον ἄβατον. B

μ'. Εἴποι τὴν πίστιν τῇ πέμπτῃ τῆς ἑβδομάδος ὁ βαπτιζόμενος.

μα'. Καὶ ἐν νόσῳ, μετὰ βραχύ.

μβ'. Τῇ Τεσσαρακοστῇ μὴ προσάγειν, μηδὲ διαλύειν καθόλου, μηδὲ μνείας μαρτύρων τελεῖν, εἰ μὴ Κυριακαῖς τε καὶ Σάββασιν.

μγ'. Οὐ τελεῖται τῇ Τεσσαρακοστῇ γάμος, οὐδὲ γενέθλιον.

μδ'. Βαλλίζειν [ἴσ. Αὐλίζειν] ἐν γάμοις, ἢ ὀρχεῖσθαι, ἀνάξιον.

με'. Τὸν μέντοι ἱερατικὸν καὶ πρὸ τῆς θυμέλης ἀπέρχεσθαι.

μϛ'. Ἐράνους οὔτε κληρικὸς, οὔτε λαϊκὸς ἐκτελέσεται.

μζ'. Πρεσβύτερος ἐπὶ βήματος πρὸ τοῦ ἐπισκόπου C οὐκ εἴσεισιν, οὐδὲ κάθηται.

μη'. Εἰς κώμην, ἢ χώραν ἐπίσκοπον [ἴσ. ἐπίσκοπος] οὐ καθίσταται· εἰ δέ τις κατέστη, μήτι διοικείτω τοῦ ἐπισκόπου δίχα τῆς πόλεως.

μθ'. Ἐπίσκοπος, ἢ πρεσβύτερος εἰς οἶκον μὴ προσαγέτω προσφοράν.

ν'. Ἰδιωτικὰ βιβλία ναοῖς οὐκ ἀναγινώσκεται.

Ἐπιτομὴ κανόνων τῆς ἐν Καρθαγένῃ συνόδου.

A εἰ μὴ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον καὶ ἡ διηνεκὴς ἠπείλητο βάσανος, ὁ με καὶ φοβεῖ, καὶ ταράττει, καὶ εἰς ἀμηχανίαν ἐμβάλλει· ὃ καὶ δέδοικα ἐννοῶν, καὶ ὃ μέσης αὐτῆς ἅπτεταί μου τῆς καρδίας· ἔτι γὰρ αἱ χεῖρες ἀδελφικοῦ μου στάζουσιν αἵματος· ἔτι μου τοὺς ἐμφυλίους φαντάζεται φόνους· ποία οὖν παραμυθίας ἐλπίς; ποία μοι σωτηρίας ὁδός; Γενοῦ μοι βοηθὸς ἀπορουμένῳ, δοῦλε Θεοῦ, καὶ ὄρεξον χεῖρα ψυχῇ πρὸς ἔσχατον ἀπωλείας κατενεχθείσῃ.

λγ'. Ταῦτα καὶ τὰ τοιαῦτα προσανακλαιόμενος τῷ ἁγίῳ, ἔλεον αὐτῷ τῶν οἰκείων συμφορῶν ἐμποιεῖ, καὶ δῆτα ὁ καὶ πρὸ τῶν ἐκείνου λόγων τὴν ἐν τῷ βάθει τῆς καρδίας μετάνοιαν ἐνορῶν, συνήλγησε τῷ λῃστῇ, ῥήμασί τε αὐτὸν ἀνελάμβανε φιλανθρώποις καὶ χρηστὰς ὑπέτεινε τὰς ἐλπίδας. Ἐν ὅσῳ δὲ ταῦτα B τοῦτον εἶχε τὸν τρόπον, τὸ στρατιωτικὸν ἐκεῖνο ἐπιστάντες, ὡς οὐκέτι λῃστηρίους ἐκεῖνος, ἀλλ' ἱκεσίους χεῖρας ἔφερε, θρασύτατα τοῦτον εἰς τιμωρίαν ἐζήτουν, καὶ οὕτω σφόδρα ὡς καὶ πρὸς αὐτὴν δήπου τὴν ἱερὰν ἀποθρασύνεσθαι κεφαλὴν, καὶ μὴ δεῖν φάναι, μηδὲ γνώμης εἶναι φιλανθρώπου, τοσούτων αὐτόχειρι φόνων ἀνδρὶ βοηθεῖν. Τὸ μέντοι γαλήνιον ἐκεῖνο στόμα καὶ πρᾶον, μικρὰ τῶν μακρῶν ἐκείνων λήρων φροντίσας, Ὁ τὴν μετάνοιαν, φησὶ, τῶν ἁμαρτανόντων θέλων ἀεί, οὗτος καὶ τοῦτον τῷ βαράθρῳ τῆς ἀπωλείας καταπεσόντα παρ' ἐλπίδα πᾶσαν ἀνασωσάμενος ἐνταῦθα ἤγαγεν, οὐκ ἐγώ. Πῶς ἄρα τις τοίνυν, ὃν ἐκεῖνος χερσὶν ἰδίαις ἀνεκαλέσατο, τοῦτον θλιβόντων χερσὶ παραδοίη; Τὸ δὲ τῶν στρατιωτῶν ἐκεῖνο στῖφος τούτων ἀκούσαντες, τότε μὲν ὑπεχώ- C ρησαν· ᾔδεισαν γὰρ ἀνδρὸς ἀρετὴν αἰδεῖσθαι καὶ οὗτοι, κἂν εἰ καὶ τῷ παντὶ θυμῷ κατὰ τοῦ Ἀντιόχου ἐφέροντο. Ὁ μέντοι Ἀντίοχος πρηνῆ ῥίπτων ἑαυτὸν, καὶ θερμὰ δάκρυα προχέων, καὶ πικρὸν κάτωθεν στενάζων, καὶ ὅλως πολλὴν τὴν θερμότητα κατὰ τὸν ἐν τῷ σταυρῷ λῃστὴν καὶ μετάνοιαν ἐνδεικνύμενος, ἐξωμολογεῖτο τῷ Κυρίῳ τὰ πλημμελήματα· καὶ εἴργετο μὲν τῷ πλήθει τῶν τετολμημένων πρὸς τὴν τῆς φιλανθρωπίας ῥοπήν. Μεσίτῃ δὲ ὅμως χρηστῷ τῇ τοῦ θείου Συμεὼν προσευχῇ χρώμενος, ταχὺ παρ' αὐτοῦ καὶ οὗτος λαμβάνει τὴν ἄφεσιν. Καὶ τὴν τῆς ἱερᾶς γλώττης ἐκείνης ψῆφον φωνὴ ἄνωθεν ἐπεκύρου θεία, προσδεχθῆναι μὲν λέγουσα τοῦ λῃστοῦ τὴν μετάνοιαν, κατὰ πόδας δὲ τὸ τοῦ βίου τέλος αὐτῷ, καὶ τὴν πρὸς τὸν κοινὸν ἁπάντων Δεσπότην ἐκδημίαν D παρεγγυῶσα, καὶ τοῦτο τεκμήριον ἱκανὸν τῆς ἐκείνου πρὸς αὐτὸν εὐμενείας παρεχομένη. Περιηχηθεὶς οὖν ταῦτα καὶ ὁ λῃστὴς, πρόσεισι τῷ τῆς μετανοίας ὁδηγῷ, καὶ τὴν ξένην αὐτῷ ἀκοὴν καταλέγει· ἔτι δὲ περὶ τὰ χείλη τῆς διηγήσεως στρεφομένης, εἰς οὐρανοὺς τὰς χεῖρας ἀνασχὼν ὁ Ἀντίοχος· Κύριε Ἰησοῦ Χριστὲ, φησί, Παῖ μονογενὲς ἀνάρχου Πατρός, ὁ μὴ δικαίοις ἐλθὼν, ἀλλὰ ἁμαρτωλοῖς εἰς μετάνοιαν, δέξαι τὸ πνεῦμά μου· καὶ μετὰ τῆς προσευχῆς εὐθέως αὐτὸν καὶ ἡ ψυχὴ ἀπολείπει, καὶ φανερὰ τῷ ἀνδρὶ παραδόξως ἡ ἄφεσις δίδοται. Θάμβος οὖν ἐπὶ τούτῳ πάντας εἶχε, κοινή τε μετάνοια κατέσχε τὸν δῆμον, καὶ ἡδονῇ τὸ θέατρον καὶ δά-

κρυσιν ἐμερίζετο · τὰ μέν γε ἦν τῆς μετανοίας, ἡ δὲ τῆς ἀφέσεως · καὶ διὰ πάντων ὁ ἐπὶ πᾶσιν ὑμνεῖτο Θεὸς, καὶ σωτὴρ ὁ ἐκείνου θεράπων ἀνεκηρύττετο. Ὡς δὲ ταῦτα ἡ ἄνωθεν ᾠκονόμει Πρόνοια, καὶ τὸν μέγαν ἐπὶ πλέον Συμεὼν μεγαλύνουσα, καὶ τὰ τῆς μετανοίας ἅπασι πύλας εἰς τὸ τῆς σωτηρίας ἀπροφασίστως ἐρᾷν διανοίγουσα.

hæc enim a delictorum remissione, illa vero a pœnitentia proficiscebatur; atque ob hæc omnia laudabatur Deus ab omnibus, et salvator illius famulus Symeon celebrabatur. Sic autem hæc superna administrabat Providentia, quæ et magnum Symeonem magis extollebat, omnibusque pœnitentiæ portam ad salutem sine excusatione amplectendam aperiebat.

λδ'. Τὸ στρατιωτικὸν, ἄγνοιαν ἔχοντες τῶν γεγενημένων (πρὸς γὰρ τὸ σπουδαζόμενον ὥστε συλλαβεῖν τὸν Ἀντίοχον, ἄλλως τε καὶ τῆς τοῦ πράγματος φήμης διὰ τὸ παράδοξον οὐκ ἐξαρκούσης εἰς πίστιν, εἰ μή τις αὐτὸ καὶ γινόμενον ἴδοι), μείζονι χρησάμενοι τόλμῃ καὶ ἀναιδείᾳ, πρὸς τὸν μέγαν αὖθις Συμεὼν ἀφικνοῦνται, καὶ, Τὸν τὰ δεινότατα εἰργασμένον τὸν τὰ μέγιστα ἠδικηκότα καὶ συγγνώμης ἁπάσης μείζονα, τὸν ἐπὶ τοῖς ἐσχάτοις ἁλόντα κακοῖς, τὸν κοινὸν τῆς πόλεως ἀναιρέτην, παράδος ἡμῖν, ἐβόησαν · τί καὶ τῶν κειμένων νόμων τὴν σὴν γνώμην ἄγεις προτιμοτέραν, καὶ τὸν ὑπεριδόντα τούτων, φιλανθρώπῳ συμπαθείας ὄμματι, τῆς ἐπηρτημένης τοῖς κακούργοις τιμωρίας ἐξελέσθαι φιλονεικεῖς; Ὁ δὲ μηδὲ ἐνταῦθα τῆς συνήθους πρᾳότητος μεταβαλὼν, ἱλαρῶς οὕτω καὶ πράως αὐτοῖς ἀποκρίνεται · Ὅτι μὲν οὐκ ἐγὼ τὸν ἄνδρα μετεστειλάμην, ἀλλ' ὁ κοινὸς ἁπάντων Δεσπότης τοῦτον ἐνταῦθα ἤγαγεν, ἐγώ τε πρότερον εἶπον ὑμῖν ἤδη, καὶ νῦν γοῦν ὁ ἐκείνου τάφος ἀπαραγράπτῳ μαρτυρίᾳ τὴν ἀλήθειαν βεβαιοῦται · ὁ γὰρ αὐτὸν πρὸς μετάνοιαν καλέσας, οὗτος αὐτὸν καὶ τῶν ἐνθένδε μετέστησε, καὶ πρὸς ἑαυτὸν ἐκ τῶν ἐπικήρων μετεκαλέσατο. Ταῦτα ἐπειδὴ ὁ θαυμαστὸς Συμεὼν εἶπεν, καὶ ὑπεδείκνυτο ἤδη καὶ ὁ τάφος αὐτοῖς, τρόμος τε τοὺς ἄνδρας ἀνυπόστατος εἷλε, καὶ χαλεπώτατα εἶχε · εἶτα πολλὰ συγγνώμην ἐξαιτησάμενοι, καὶ παρὰ τῆς μακαρίας ἐκείνης λαβόντες ψυχῆς, ἄγγελοί τε τοῦ θαύματος ἀψευδεῖς καὶ κήρυκες ἐπανῄεσαν.

34. Milites eorum quæ contigerant ignari (nam in id unum, ut Antiochum comprehenderent, omnes vires conferebant; præsertim cum rumor rei gestæ propter facti insolentiam haudquaquam ad fidem faciendam sufficere videretur, nisi quis quod factum erat oculis ipse suis spectasset): itaque majori quam antea temeritate et impudentia ad magnum Symeonem accedunt, et hominem gravissimorum facinorum patratorem, qui injurias omni venia majores intulisset, in maximis sceleribus deprehensum, denique urbis universæ eversorem, magno clamore tradi sibi postulabant, ista vociferantes: Itane legibus omnibus ac decretis tuum judicium præferendum censes, eorumque contemptorem benigno ad commiserationem aspectu intueris? meritis suppliciis eximere contendis? Ille vero nihil de solita lenitate remittens hilari et mansueto vultu respondit: Quoniam non ego virum huc accersivi, sed communis omnium Dominus huc eum perduxit, quod primum ego asserui, idipsum nunc ejus tumulus indelebili veritatis testimonio confirmat: qui ad pœnitentiam eum vocavit, idem et hinc transtulit, et ad se ex humanis eripuit. His dictis, cum funus illis admirabilis Symeon coram ostenderet, omnium animos tremor incredibilis occupavit, ex quo indentem dolorem concepere, deinde erroris sui a beata illa anima venia obtenta, hujus miraculi promulgatores, ac minime fallaces præcones abierunt.

CAPUT X.

Absentia et futura divinitus cognoscit.

λε'. Ἡμῖν δὲ καὶ ναῦς ἐν τῷ τούτου τῶν θαυμάτων πελάγει φερέσθω μυριοφόρος, καὶ τὴν ἐκ τῶν ἐκείνου προσευχῶν σωτηρίαν τοῖς ἐν αὐτῷ κινδυνεύουσι παρεχέσθω · χαλεπώτατον μὲν γὰρ ταύτην κλυδώνιον κατὰ μέσην ποτὲ τὴν θάλασσαν εἶχε, κατεδύετο δὲ ἤδη, σφοδρότερον αὐτῇ τῶν κυμάτων προσρηγνυμένων. Καὶ οἱ πλέοντες πάσης μὲν τέχνης, πάσης δὲ χρηστῆς ἀπογνόντες ἐλπίδος, τὸ ἔσχατον ἀλλήλους προσειπόντες καὶ ἐπιβαλόντες καὶ τὸν κίνδυνον μένοντες, ὀψὲ τὴν ἐσχάτην ἄγκυραν βάλλονται, καὶ τοῦ Συμεὼν πρὸς τὸν κοινὸν Δεσπότην ἐπιμνησθέντες, ὁμοῦ τε αὐτὸν ἐπὶ στύλου εἶχον ὑπὲρ τῆς αὐτῶν σωτηρίας δεόμενον, καὶ ὁμοῦ τούτοις ἐπὶ τῆς νεὼς πάλιν ἐπιφαινόμενον· καὶ χρηστοῦ μὲν εὐθὺς ἀπολαύουσι τοῦ πελάγους, λεπτὴ δέ τις αὖρα περιέπνει τούτους, καὶ πλήρει φερομένους τῷ ἱστίῳ διὰ σταθερᾶς τῆς θαλάσσης ἡ χέρσος ἐδέχετο.

35. Nobis in hoc miraculorum pelago navis infinita ferens proferatur, salutemque, precum ejus interventu, periclitantibus in mari præbeat. Hanc enim aliquando in medio mari gravissima procella invasit, et jam illisis ad eam magna vi fluctibus prope mergenda videbatur. Navigantes omni arte, omnique rei bene gerendæ spe deposita, postrema sibi invicem salutis verba inter amplexandum, periculum exspectantes, impertiebantur: tandem ultimam anchoram jaciunt, et Symeonis ad communem Dominum memoriam refricantes, simulque eum in columna habuerunt pro sua salute deprecantem, et simul ipsis rursus in navi apparentem: et mox mare sedatum perceperunt; nam leni mox aura afflante, plenis velis per tranquillum pelagus deducti, ad continentem pervenerunt.

36. Nec illud de eo prætereatur. Virgam aliquando e cœlo delapsam videre visus Symeon: Flagellum, inquit, nobis Deus post duos annos immittet. Jam tempus ab eo præscriptum aderat, et terra nihil omnino tulit, imbribus carens; ingens siquidem siccitas eam occuparat, et simul fames ac pestis, mala inde provenientia, quavis pœna gravius eam affligebant, hominesque amare cruciabant. Tales igitur habebat oculos mentis Symeon, ita omni terrena caligine perpurgatos, ut futura omnia quasi jam præsentia intueretur. Deinde prædixit erucarum plagam. Verum non ita in Dei ira prænuntianda celer et promptus erat, ut ad malum depellendum negligens aut impotens esset; sed eam ob causam præmonebat, ut prævisa minus nocerent: Intra enim, inquiebat, minas adhuc decreta stat pœna: solum quæ peccavimus corrigamus. Hoc vero dicebat, propriorum laborum recte facta tegens: hinc et non tam suam erga Deum fiduciam, quam illorum pœnitentiam testatam esse volebat; noverat enim se indigna passos non neglecturum, sed ita fore, ut propria interpellatione iram divini Numinis sedaret, imminensque flagellum sistere se posse confidebat. Nondum igitur triginta dies elapsi erant, cum ecce ingens erucarum circumfusa nubes parum abfuit quin totam terræ faciem occuparet. Homines neque quid boni de futuro sperarent habebant, neque vero, si quæ mali solutio futura esset, cognoscere poterant; denique de tanto reptilium periculo evadendo penitus jam desperabant, neque aliud quam præsentissimum inde exitium exspectabant, terræ fructibus partim nondum enascentibus, partim ab erucis jam consumptis. Symeon vero vix Deum erat deprecatus, cum ecce omnis erucarum copia, quæ jumentorum pabulum fere labefactaverat, extemplo consumpta est, terræ frugibus in hominum usus accommodatis nullo penitus nocumento illato.

37. Dignum quod his addatur et illud. Duæ aliquando virgæ huic invisibilium istarum rerum spectatori e cœlo deferri visæ fuerant, quarum una versus orientem solem incumbebat, altera versus aquilonem. Eam visionem Persarum et Scytharum in Romanos irruptionem indicare declaravit, et hanc visionem præsentibus narravit (31-32). Ipse vero multa lacrymarum profusione et precibus Deo supplicabat: neque prius ab oratione destitit, quam Persæ in Romanos incitati, civili inter se dissensione oborta, apparatum militarem dissolverent. Scythæ vero, cognita Persarum cunctatione, et ipsi quieverunt, neque vulgo sensum commotionis præbuerunt.

38. Talis erat admirabilis ille Symeon: ita com-

A λϛ'. Ἀλλ' ὅπως με μηδὲ τοῦτο τῶν ἐκείνου παρέλθοι· Ῥάβδον ποτὲ τοῦ οὐρανοῦ καταφερομένην δόξας ἰδεῖν, Μάστιγα, εἶπεν, ἡμῖν ὁ Θεὸς μετὰ δεύτερον ἔτος ἐπαφήσει. Ἐπῆγε τοίνυν ὁ χρόνος τὴν προθεσμίαν, καὶ ἡ γῆ μὲν οὐδὲν ἐδεδώκει στερηθεῖσα τοῦ ἄνωθεν ὕδατος, αὐχμὸς δὲ αὐτὴν κατειλήφει μέγας, καὶ λιμὸς ὁμοῦ καὶ λοιμὸς, τὰ ἐκεῖθεν τικτόμενα κακὰ, τιμωρίας τε πάσης χαλεπώτερον ταύτην ἐμάστιζον, καὶ τοὺς ἀνθρώπους πικρῶς ἐμερίζοντο. Τοιοῦτο ἦν αὐτῷ τὸ τῆς ψυχῆς ὄμμα, πάσης ἀχλύος περιγείου κεκαθαρμένον, καὶ ὡς παρόντα ἤδη τὰ μέλλοντα προορῶν. Εἶτα καὶ κάμπης προσβολὴν προμηνύει. Ἀλλὰ γὰρ οὐχ ὥστε μὲν ὀργὴν προειπεῖν, οὕτω ταχὺς ἦν καὶ πρόχειρος, ὥστε δὲ τὸ δεινὸν στῆσαι ἀμελὴς ἢ ἀδύνατος· ἀλλ' ἐπήνεγκεν, ὡς οὐδὲν μέγα λυ-

B μανεῖται· μέχρι γὰρ τῆς ἀπειλῆς ἡ βάσανος, μόνον ἐὰν ἁμαρτάνοντες ἐπιστρέφωμεν. Τοῦτο δὲ εἶπεν, τῶν οἰκείων πόνων κρύπτων τὰ κατορθώματα· διὰ τοῦτο γὰρ καὶ τῆς ἐκείνων μετανοίας, οὐ τῆς ἑαυτοῦ πρὸς τὸν Θεὸν παῤῥησίας, τὸ πρᾶγμα ἐτίθετο· ᾔδει γὰρ ὡς οὐ περιόψεται αὐτοὺς κακῶς πάσχοντας, ἀλλὰ τῇ οἰκείᾳ πρὸς τὸν Δεσπότην ἐντεύξει κοιμήσειε λοιπὸν τὴν ὀργὴν, καὶ στήσει κατ' αὐτῶν ἐπανατεινομένην τὴν μάστιγα. Οὔπω τοίνυν τριάκοντα τὸ ἀπ' ἐκείνου παρῆλθον ἡμέραι, καὶ κάμπης πολύ τι νέφος περιχυθὲν μικροῦ δεῖν τὸ πρόσωπον ἅπαν ἐπέσχε τῆς γῆς. Καὶ οἱ μὲν ἄνθρωποι οὐδὲ ὑπὲρ τῶν μελλόντων θαῤῥεῖν εἶχον, οὐδὲ εἰδέναι σαφῶς εἴ ποτέ τις ἔσται τοῦ κακοῦ λύσις· ἀμέλει καὶ ἑαυτοὺς ἀπεγίνωσκον, ὡς οὐ τὸν ἐκ τῆς κάμπης κίνδυνον διαδράσοντας, ἀλλὰ κακῶς ἀπολουμένους, καρπῶν, τῶν

C μὲν οὐδὲ ἀναφύντων, τῶν δὲ ὑπὸ τῆς κάμπης ἀναλωθέντων. Ὁ δὲ χρῆται τῇ πρὸς τὸν Θεὸν δεήσει, καὶ ἡ κάμπη εὐθὺς ἐκ ποδῶν, τὸν τῶν ἀλόγων χιλὸν βραχέα λυμηναμένη, τῆς γε μὴν τῶν ἀνθρώπων τροφῆς οὐδ' ὅπως οὖν ἁψαμένη, οὐδέ τι βλάβος αὐτοῖς ἐμποιήσασα.

λζ'. Τούτοις ἄξιον ἐκεῖνο προσθεῖναι· Δύο ῥάβδοι ποτὲ τῷ τῶν ἀθεάτων τούτῳ θεατῇ ἐξ οὐρανοῦ καταφερόμεναι ὤφθησαν· ὧν ἡ μὲν πρὸς ἀνίσχοντα ἐπέσκηπτεν ἥλιον, ἡ δὲ πρὸς βοῤῥᾶν. Πέρσας δὲ ἄρα καὶ Σκύθας κατὰ Ῥωμαίων στρατεύειν παρεδήλου τὰ τῆς θέας· καὶ τὴν μὲν ὄψιν διηγήσατο τοῖς παροῦσιν. Αὐτὸς δὲ δάκρυσι καὶ παρακλήσεσι καὶ

D ἱκετείαις τὸ θεῖον ἐξελιπάρει· καὶ οὐ πρότερον ἀνῆκε δεόμενος, ἕως οὗ οἱ κατὰ Ῥωμαίων κινηθέντες Πέρσαι μὲν στάσει τινὶ ἐμφυλίῳ εἰς ἀλλήλους διελύσαντο τὴν παρασκευὴν, τὸ δὲ Σκυθικὸν, τὴν τῶν Περσῶν συστολὴν μαθόντες, ἠρέμησαν καὶ αὐτοὶ, καὶ οὐδὲ αἴσθησιν παρέσχον τοῖς πολλοῖς τοῦ κινήματος.

λη'. Τοιοῦτος ἦν ὁ θαυμάσιος οὗτος, καὶ οὕτω

(31-32) Aliter Theodoretus, « In terram autem orientalem cadebant et occidentalem. » Baronius hæc ad annum 420 refert, quando mortuo Isdigerde successor Vararanes fœdus rupit, malo suo. At non tum in exordio ipso sopitum est ob civiles dissensiones bellum, ut patet ex iis quæ narrat Socrates lib. VII, cap. 18, quod hic S. Symeonis precibus factum scribit Theodoretus et Metaphrastes. De regibus Persarum Isdigerdem et Vararanem secutis vide Agathiam lib. IV et Petrum Teixeiram lib. I *de Reg. Pers.*

τῆς κοινῆς ἁπάντων ἐφρόντιζε σωτηρίας, ἀλλὰ μὴν A οὐδὲ τῆς καθ' ἕκαστον ἠμέλει. Ἀλλὰ κἀνταῦθα προθεωρὸς ἦν καὶ προάγγελος. Οἶδεν ὁ ἀρχιερεὺς Θεοδώρητος, οὗ πρότερον ἤδη φθάσαντες ἐπεμνήσθημεν. Ἐπολεμεῖτο μὲν γὰρ ὑπό τινος ἰσχυρῶς· καὶ πολὺς ἦν ἀλύων καὶ σφόδρα ταῖς ἐπιβουλαῖς ἐδυσχεραίνετο. Ἐπειδὴ δὲ πάντα κάλων κινῶν, τὸ ᾀδόμενον, οὐδὲν χρηστὸν ἀπέλαβεν ἐκείνου τοῦ πόνου, πρὸς τὸ τῶν ἐλπίδων κεφάλαιον τὸν θαυμαστὸν Συμεὼν καταφεύγει, καὶ τούτῳ τὰ καθ' ἑαυτὸν ἐπιτρέπει. Ὁ δὲ ψυχαγωγίαις τε ἄλλαις αὐτὸν ἀνελάμβανεν ἀθυμοῦντα, καὶ γενναίως φέρειν τοὺς πειρασμοὺς ὑπετίθει, παράγων ἐκ τῶν θείων Γραφῶν καὶ δεικνὺς ὅσον τὸ τῶν πειρασμῶν κέρδος ἐστίν· εἶτα μικρὸν διαλιπών· Σὲ δὲ καὶ ἄλλως εὐχαριστεῖν, εἶπε, φίλτατε, χρή· μετὰ γὰρ πέντε καὶ δέκα ἡμέρας B οἰχήσεται μὲν ὁ πόλεμος, ταχέως δὲ σὺ τὸν κολοφῶνα τῶν κακῶν διακρούσῃ. Τοσοῦτος τοίνυν ἡμερῶν ἀριθμὸς ἠνύετο, καὶ καταστρέφει μὲν ἐκεῖνος τὸν βίον· ὁ δὲ πραγμάτων ἐκτὸς καὶ ζάλης καθίσταται, τοῖς ὑπὸ τοῦ ἁγίου εἰρημένοις τῆς θείας ψήφου τὸ πέρας ἐπενεγκούσης.

munem omnium salutem curabat, ut nec singulorum etiam negligeret. Sed et hic prænuntius ac vates fuit. Novit id Theodoretus episcopus, cujus jam antea mentionem fecimus. Vehementer (33) is a quodam oppugnabatur, unde et mœrorem contrahebat, et accusationem graviter ferebat. Postquam vero omnibus, ut proverbio decantatur, rudentibus contenderat, neque ullum ex labore fructum se consequi videbat, tum ad admirabilem Symeonem, tanquam ad omnis spei caput, confugit, eique negotium omne suum committit. Ille mœrentem animum consolatione recreat, calumnias ferendas monet, etiam ex sacris paginis ostendens, quantum ex tentationibus lucrum proveniat: deinde, paululum moratus: Te vero etiam Deo, inquit, gratias quam potes maximas agere oportet, carissime; post quindecim dies tuus morietur adversarius: tum demum omnem hanc procellam a te repelles. Eo igitur dierum numero absoluto, vitam ille cum morte commutavit; hic vero extra omnem tempestatem in tranquillo constitit, divini Numinis suffragio S. Symeonis verbis terminum statuente.

CAPUT XI.

Theodosium et Danielem monachos ad sanctiora hortatur; barbaris varie opitulatur.

λθ. Ὑπὸ γοῦν τῆς θεοφόρου ταύτης γλώττης ἀρδόμενος καὶ ὁ μέγας ἐξήνθησε Θεοδόσιος· Θεοδόσιος ἐκεῖνος τὸ τῶν ἀσκητικῶν ἀγώνων καὶ τῆς ποιμαντικῆς σοφίας κεφάλαιον. Οὗτος ἄρτι τὸν τῆς ἀρετῆς ἔρωτα ἐν τοῖς τῆς ψυχῆς θαλάμοις διαθερμαίνων, μήπω δὲ εἰς πυρσὸν ἀναφθέντα ἔχων, πρόσεισι τῷ C κοινῷ τῆς σωτηρίας μυσταγωγῷ, καὶ προσπελάσας τῷ στύλῳ, πρὶν ἤ τινα τοῦ στόματος προέσθαι φωνὴν, Εὖγε ἥκεις, ἄνθρωπε τοῦ Θεοῦ Θεοδόσιε, ἄνωθεν παρὰ τοῦ θαυμαστοῦ Συμεὼν ἀκούει. Καὶ ὁ μὲν ἐπὶ τῇ τῆς οἰκείας κλήσεως προγνώσει καταπλαγεὶς, ὅτι μὴ πώποτε πρότερον εἰς γνῶσιν ἐλθὼν τῷ ἀνδρὶ, ὁ δὲ ὥσπερ αὐτῷ πολὺν συγγενόμενος χρόνον οὕτως ὀνόματι παρ' αὐτοῦ ἐκαλεῖτο, προσήρειδε τὴν κεφαλὴν τῷ ἐδάφει, καί τινα παρ αὐτοῦ εὐλογίαν ἐζήτει. Καὶ ὃς οὐ τὴν αἴτησιν ἐξεπλήρου μόνον, ἀλλὰ καὶ ὡς αὐτὸν ἀναβαίνειν ἐπέτρεπεν. Ἀναβάντα τοίνυν τὸν Θεοδόσιον ἱκανῶς τε πρὸς τοὺς ἀσκητικοὺς ὑπαλείψει ἀγῶνας, καὶ, Ὦ φίλε, προστίθησι, Θεοδόσιε, τὴν ὁδὸν χαίρων πορεύου· παρὰ Κυ- D ρίου γὰρ κατευθυνθήσεταί σου τὰ διαβήματα· εἶτα οὐ μέχρι τούτου τὸν λόγον ἵστησιν, ἀλλὰ καὶ τὰ μέλλοντα αὐτῷ προσημαίνει, ὡς ἐπὶ μέγα τε ἀρετῆς ἥξοι, καὶ ὡς πολλοὺς τῶν τὴν κοσμικὴν ταύτην ματαιότητα περικειμένων πρὸς τὸν μοναδικὸν μεταστήσοι βίον, ὡς λογικοῦ τε ἀφηγήσοιτο ποιμνίου, καὶ ὡς εἰς μέγεθος ἐκεῖνο καὶ ἀρετῆς ὕψος προέλθοι, καὶ ὡς πολλοὺς τῶν οἰκείων πόνων μιμητὰς ἀπεργάσοιτο, καὶ Θεῷ προσενέγκοι. Ταῦτα μὲν οὖν ὁ θαυμάσιος Συμεὼν τῷ μεγάλῳ προειρήκει Θεοδοσίῳ· τὰ δὲ εἰ καὶ χρόνῳ ὕστερον ἐξέβη, ὁ τῷ ἐκείνου βίῳ ἐντυχὼν εἴσεται.

39. Theodosius (34) quoque magnus sacræ hujus linguæ eloquio irroratus effloruit: Theodosius, inquam, ille spiritualium exercitationum, necnon pastoralis sapientiæ summa et caput. Ille nuper virtutis amorem in intimo mentis thalamo foverat, nondum tamen in flammam accensum habebat: communem salutis mystagogum accedit, atque ad columnam propius accedens, priusquam ex ore aliquam emitteret vocem, ita ab admirando Symeone compellatur: Bene venisti, vir Dei Theodosi. Tum proprii nominis præcognitione stupefactus, quod cum nundum in viri notitiam venisset, quasi multo tempore cum illo habitasset, ita proprio nomine appellaretur: Itaque capite terræ admoto, benedictionem sibi dari postulavit. Cujus petitioni non tantum satisfecit Symeon, sed et ad se sursum ascendere jussit, ad ascetica certamina ad se venientem excitavit: et, Amice, inquit, Theodosi, cum gaudio iter arripe; a Domino gressus tui dirigentur. Neque vero huc usque stetit sermonem, sed et futura ita prædixit, ut quod ad magnam virtutem perventurus esset, multosque sæculari vanitate implicitos ad monasticam vitam inducturus; denique quod hominum gregi præficiendus; quod ad eximiam magnitudinem virtutisque excelsitam perventurus; quod plures suorum laborum imitatores effecturus, et Deo oblaturus esset. Hæc omnia admirabilis ille Symeon Theodosio prædixit, quæ num postea evenerint, qui illius Theodosii vitam legerit, sciet.

(33) Multa perpessus ab adversariis Theodoretus, quæ recensentur a Baronio, tom. V et VI.

(34) XI Januar (*infra col.* 456) sancti Theodosii Cœnobiarchæ vitam dabimus, ubi hæc ipsa narrantur, dicunt urque accidisse sub finem vitæ Marciani imperatoris.

40. Prodeat in medium Daniel (35), qui idem cum Symeone suscepit certamen, ejusque propheticæ linguæ in se charismata patefaciat. Adhuc enim sub magistro et pastore asceticæ concertationis labores exercebat Daniel, et ingens eum desiderium invasit ascendendi columnam, et cum Symeone coram agendi. Aliquando igitur cum magistro suo ad Symeonem cum pervenisset, ambos maxime rogavit, hunc quidem, ut sibi columnæ ascensum permitteret; dein magistrum, ut sibi ascensum annueret. Utriusque fit compos voti, columnam enim libere ascendit. Quem dum Symeon convenienter venientem excipit, Confortare, ait, et virum te præbe, fili Daniel: multi enim tibi ob communem Dominum labores perferendi sunt. Verum gaude; ejus enim gratia roboratus, communi hoste superato, frueris tandem ea, quæ ita fortiter dimicantes manet, beatitudine. Simulque manu capiti Danieli imposita, precibus a se jam dicta consignavit.

41. Hæc ita dicta, opere deinde fidem fecerunt. Symeon enim Danielem a se gratia et benedictione repletum dimisit, et magis eum posthac in visceribus habuit, magnoque ejus non tantum præsentis adhuc amore, sed post discessum etiam absentis desiderio exarsit. Cum aliquando e Mesopotamia Hierosolymam (36), loca sancta adorandi gratia, Daniel proficisceretur, inde autem eremum petere cuperet; ecce Symeon, assumpto viatoris habitu, præsens, ab eo itinere, quod jam fere iniverat, detinuit, cum ob multas rationes, tum potissimum ne cum Samaritanorum (37) pravitate quidquam commune haberet: nam ingens tunc et ferox seditio inter eos excitata viam Hierosolymorum malefactoribus infestam fecerat, qui passim transeuntibus deprædationem et cædem minitabantur. Contra vero Danieli, ut Byzantium versus iter capessat, persuadet, ubi nihil quod ad salutem animæ pertineat ei defuturum. Erat autem circa vesperam, cum sanctus Symeon, viatoris persona assumpta, hæc Danieli præcepit. Qui cum ad hospitium diverteret, et itineris comitem ad quietem una expectaret, is nusquam comparuit. Verum Danieli sumpta cœna somnum capienti, iterum Symeon apparuit, ac eadem, quæ prius, præcepit: hic vero animo vigili, somno ab oculis excusso, mandata exsecutus est. Symeon multo post relicto corpusculo et columna, ad immortalium ac beatarum mentium sedes translatus, Danieli rursum secundum quietem astare visus est, eumque ad columnarem vitam evocatum, columnam quoque ascendere præcepit. His visis e lectulo consurgens, statim ut visio ipsi declarabat, sic ascendere in columnam con-

A μ'. Ἀλλὰ παρίτω τῷ λόγῳ καὶ Δανιὴλ ὁ τὸν αὐτὸν τῷ Συμεὼν διαδεξάμενος ἆθλον, καὶ δεικνύτω τῆς προφητικῆς ἐκείνης γλώττης ἐν ἑαυτῷ τὰ χαρίσματα. Ὑπὸ καθηγητῇ μὲν γὰρ ἔτι καὶ ποιμένι τοὺς ἀσκητικοὺς ὁ Δανιὴλ ἐγυμνάζετο πόνους, καὶ ἔρως αὐτὸν εἰσέδυ σφοδρὸς ἐπὶ τὸν στύλον τε πρὸς τὸν Συμεὼν ἀναβῆναι, καὶ ἀπολαῦσαι τῆς τοῦ ἀνδρὸς ὁμιλίας· Ποτὲ τοίνυν σὺν τῷ οἰκείῳ ποιμένι πρὸς αὐτὸν παραγεγονὼς, ἐδεῖτο ἀμφοῖν ὡς μάλιστα, τοῦ μὲν ὥστε τὴν εἰς αὐτὸν ἄνοδον ἐπιτρέψαι, τοῦ δὲ ποιμένος, ὥστε συλλαβέσθαι αὐτῷ τῆς ἀναβάσεως τῆς ἐπὶ τὸν στύλον, Τυγχάνει οὖν τῆς σπουδῆς, καὶ ὁ μὲν ἐπὶ τὸν στύλον ἄνεισι. Αξιωσάμενος δὲ αὐτὸν ὁ θεῖος Συμεὼν τὰ εἰκότα, Ἴσχυε καὶ ἀνδρίζου, τέκνον Δανιὴλ, ἔφη· πολλοὺς γὰρ διὰ τὸν κοινὸν Δεσπότην B ὑποστήσῃ καμάτους. Πλὴν ἀλλὰ χαῖρε· τῇ γὰρ αὐτοῦ χάριτι τοῦ κοινοῦ πολεμίου κρατήσας ἀπολαύσεις τῆς τοὺς οὕτως ἀθλοῦντας περιμενούσης μακαριότητος. Σαὶ τὴν χεῖρα τῇ τοῦ Δανιὴλ κεφαλῇ ἐπιθεὶς, εὐχαῖς τὰ εἰρημένα ἐπεσφραγίσατο.

μα'. Ἀλλὰ ταῦτα μὲν δὴ οὕτω λεχθέντα ἔργοις τὴν πίστιν ὕστερον εἴληφεν. Εὐλογίας γαρ τότε ὁ Συμεὼν πλήρη καὶ χάριτος τὸν Δανιὴλ ἀποπέμψας, ἔτι μᾶλλον αὐτὸν ἐπὶ τῶν σπλάγχνων εἶχε, καὶ σφόδρα τούτου περιεκαίετο, οὐ περιὼν ἔτι μόνον, ἀλλὰ καὶ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. Ποτὲ τοίνυν ἐπὶ τὰ Ἱεροσόλυμα τὸν Δανιὴλ ἐκ Μεσοποταμίας ἀπάραντα, ἐφ' ᾧ τοὺς ἱεροὺς μὲν ἐν αὐτοῖς προσκυνῆσαι τόπους, τὴν ἔρημον δὲ ἐκεῖθεν καταλαβεῖν, ὑποκρινάμενος τὸν συνοδοιπόρον ὁ Συμεὼν, ἐπέσχεν αὐτὸν C ἤδη ἀψάμενον ὁδοῦ, πολλῶν τε ἄλλων ἕνεκεν, καὶ ὅπως μὴ τῶν κακῶν κοινωνήσοι τοῖς Σαμαρείταις. Καὶ γὰρ στάσις μεγάλη τότε παρ' αὐτῶν καὶ βάρβαρος ἀναῤῥιπισθεῖσα, κακούργων τε τὴν τῶν Ἱεροσολύμων ἐμπεπλήκει ὁδὸν, καὶ λῃστείας καὶ φόνους τοῖς παριοῦσιν ἐπῆγε. Τοὐναντίον μὲν οὖν καὶ τραπέσθαι τὴν ἐπὶ τὸ Βυζάντιον τὸν Δανιὴλ ἀναπείθει, οὗ δὴ παραγεγονότα μηδενος τῶν ὅσα τὴν τῆς ψυχῆς προξενεῖ σωτηρίαν διαμαρτεῖν. Ἦν πρὸς ἑσπέραν ἤδη ὅτε ὁ θεῖος Συμεὼν τὸν συνοδοιπόρον προσποιηθεὶς ἐπέσκηπτε ταῦτα τῷ Δανιήλ. Καταλύσαντι δὲ τούτῳ εὐθὺς καὶ ἀναπαύσασθαι προσδοκήσαντι ὁ συνοδοιπόρος ἦν οὐδαμοῦ. Ὕπνου τοιγαροῦν μετὰ τροφὴν τῷ Δανιὴλ μετασχόντι ὄναρ ὁ Συμεὼν καὶ πάλιν ἐφίστατο, καὶ πάλιν τὰ αὐτὰ ἐπέσκηπτε· ὁ δὲ νηφούσῃ τῇ ψυχῇ τὸν ὕπνον αὐτίκα D τῶν ὀφθαλμῶν ἀποτιναξάμενος, εἰς ἔργον πάντα ἐπέραινε, Χρόνῳ τε πολλῷ τοῦ Συμεὼν ὕστερον τὸ σῶμα καὶ τὸν στύλον ἀπολιπόντος, καὶ πρὸς τὰς ἀκηράτους ἐκείνας καὶ θείας μεταβάντος διατριβὰς, γίνεται τῷ Δανιὴλ ὄναρ τοιόνδε. Ἐδόκει τὸν Συμεὼν μεταστάντα ἐπὶ τὸν στυλίτην βίον τοῦτον καλεῖν καὶ ἀναβιβάζειν ἐπὶ τὸν κίονα. Ταῦτα εἶδε, καὶ ἀνα-

(35) Hæc ipsa fusius narrantur xi Decemb. in S. Danielis Stylitæ Vita, et alia, quæ inferius referemus, de S. Symeonis reliquiis.

(36) Paulo aliter in Vita sancti Danielis: dicitur enim, cum e monasterio suo venisset ad mandram sancti Symeonis, inde abiisse Hierosolymam versus.

(37) De Samaritanorum flagitiis fusius agemus in Symeonis Stylitæ junioris Vita 24 Maii. Sed quod Baronius ad an. 452, n. 27, ait prohibitum esse Danielem proficisci Hierosolymam ob tumultum ab Eutychianis monachis excitatum contra Juvenalem episcopum Hierosolymitanum, id in Danielis Vita non dicitur, licet eam citet.

στὰς εὐθὺς, ὡς ἡ ὄψις αὐτῷ ἐδήλου, οὕτω τὴν ἄνοδον A διετίθετο τὴν ἐπὶ τὸν στύλον, πολιτείαν δὲ τὴν αὐτὴν ἐκείνῳ μετῄει, καὶ ἄλλος ἦν Ἐλισσαῖος τὸν Ἠλίαν μιμούμενος. Καὶ ταῦτα μὲν δὴ οὕτως ἔσχεν.

μβ'. Ὁ μέντοι Περσῶν βασιλεὺς μηδενὸς ἡττᾶσθαι φιλοτιμούμενος, ἑνὸς τούτου μόνου τῆς τοῦ ἀνδρὸς φήμης δεύτερος πολλῷ γίνεται· καὶ τῶν πρὸς αὐτὸν φοιτώντων ἐπιμελῶς ἐπυνθάνετο τίς τε εἴη τοῦ ἀνδρὸς ὁ βίος, καὶ ὁποῖα τὰ θαύματα· καὶ ἦν αὐτῷ τῶν δημοσίων φροντίδων οὐκ ἐλάττων ἡ περὶ τοῦ Συμεὼν μνήμη, καὶ τὰ τοῦ ἀνδρὸς διηγήματα· οὐκ αὐτὸν δὲ μόνον οὕτω κατ' ἄκρας εἷλεν ἡ φήμη, ἀλλὰ καὶ ἡ τούτου σύζυγος ἐπὶ τοῖς παραδόξοις θαύμασι τῷ ἀνδρὶ συνεκπληττομένη, ἔλαιόν τε ᾔτησε παρ' ἐκείνου εὐλογηθὲν, καὶ ὡς ἥδιστα ἐκομίσατο· δι' οὗ πολλὰ οὐ τῶν οἰκείων μόνον παθῶν οἶδεν B ἰασαμένη, ἀλλὰ καὶ πολλοῖς τῶν τοῦ γένους αὐτῇ κοινωνούντων, ὅσοις τι δεινὸν ἠνώχλει, μεταδοῦσα τῆς θεραπείας. Καὶ οἱ περὶ βασιλέα δὲ πάντες ὑπὸ τῆς αὐτῆς χειρούμενοι φήμης, καὶ ἀκριβῶς τὰ κατὰ τὸν Συμεὼν διδασκόμενοι, θεῖον ἄνδρα τοῦτον ὠνόμαζον.

stituit, eamdemque vitæ rationem, quam Symeon prius servaverat, inivit, visus novus Elisæus qui Eliæ sibi exemplum proposuit. Et hæc quidem hactenus.

42. Persarum rex hactenus a nemine se vinci passus (38), solius hujus viri fama audita superatus est: ita diligenter omnes qui Symeonem frequentabant de eo percunctatus est, et quænam viri vita, qualia miracula: eratque publicis curis non inferior Symeonis memoria; neque vero viri tantum gesta, sed et fama ipsa percellebat. Verum et uxor ejus admirandis Symeonis miraculis simul cum conjuge obstupefacta, oleum benedictum ab illo sibi mitti postulavit, et libentissime accepit: quo non solum proprios morbos curavit, sed et multis e consanguineis, quocunque malo premerentur, medelam adhibuit. At vero regis ipsius subditi omnes fama viri capti, accurate rebus ejus gestis cognitis, divinum virum passim appellabant Symeonem.

μγ'. Ἡ δὲ τῶν Ἰσμαηλιτῶν βασίλισσα στεῖρα οὖσα, καὶ τῇ τῆς ἀπαιδίας ὀδύνῃ σφόδρα δακνομένη, καὶ μηδενὸς αἴσθησιν τῶν ἡδέων λαμβάνουσα, πρῶτα μέν τινας τῶν ἀξιολογωτάτων ἀποστείλασα, γενέσθαι μήτηρ ἱκέτευεν. Ἐπειδὴ δὲ ἔτυχε τῆς αἰτήσεως, ἀπολυθεῖσα τῆς ἀθυμίας, καὶ τὴν ψυχὴν γαλήνης ὥσπερ καὶ ἡδονῆς πληρωθεῖσα, τὸν γεννηθέντα λαβοῦσα βασιλέα, πρὸς τὸν θεῖον ἤγαγε Συμεών· καὶ ἐπεὶ οὐκ εἰσιτητὸς ἦν γυναιξὶν ὁ περίβολος, πέμψασα πρὸς αὐτὸν τὸ βρέφος, τῆς παρ' αὐτοῦ C τυχεῖν εὐλογίας ἠξίου. Σὸν, γὰρ, ἔφη, τόδε τὸ δρᾶμα· ἐγὼ μὲν γὰρ μετὰ δακρύων τὸ τῆς εὐχῆς προσενήνοχα σπέρμα· σὺ δὲ τὸ σπέρμα πεποίηκας δράγμα· τῆς θείας χάριτος διὰ προσευχῶν ἑλκύσας τὸν ὑετόν. Κἀκείνη μὲν ὧν ἐπόθει τυχοῦσα, ἐπανῆκε πρὸς τὴν οἰκίαν· ἡμεῖς δὲ μέχρι τίνος φιλονεικοῦμεν τὰ καὶ πάσης ἀνθρωπίνης ἐννοίας κρείττω διηγήσει περιλαβεῖν;

43. Regina Ismaelitarum sterilis cum esset, ac liberorum carentiam amaro animo ferret, nec ullam e rebus creatis voluptatem hauriret, primo quidem viros quosdam illustres submisit, qui ut prolem concipere et parere posset supplicabant; postquam vero compos voti facta est, soluta omni mœstitia, et animæ tranquillitate, sicut et voluptate repleta, natum regem accipiens, ad sanctum Symeonem accurrit; et cum septum ejus mulieribus inaccessum esset, misso ad ipsum filio, ejus benedictione impertiri rogabat: Tuus, ait, ille est manipulus; ego enim cum lacrymis et precibus semen conjeci; tu manipulum divinæ gratiæ effecisti, precibus desuper pluviam elicens. Mulier itaque, quæ magno desiderio quæsiverat consecuta, domum suam læta rediit. Nos vero quousque pergemus res omni humano ingenio sublimiores oratione prosequi?

CAPUT XII.

Quotidianæ ejus exercitationes; præcepta variis data.

μδ'. Ἑστήκει γὰρ νύκτωρ καὶ μεθ' ἡμέραν ὑπὸ D πάντων ὁρώμενος. καὶ τὰς θύρας ἀφελὼν, καὶ τοῦ περιβόλου μέρος οὐκ ἐλάχιστον καταλύσας, προὔκειτο πᾶσι θέαμα, θαύματος λόγον ἅπαντα ὑπερβαῖνον, νῦν μὲν ἑστὼς μέχρι πολλοῦ, νῦν δὲ πύκνὰ κατακαμπτόμενος, καὶ Θεῷ προσφέρων προσκύνησιν. Πολλοὶ δὲ καὶ ἀριθμῆσαι τὰς προσκυνήσεις ἐπεχείρησαν ταύτας· ἅπαξ δέ τις τῶν παρὰ τῷ φιλαρέτῳ Θεοδωρήτῳ χιλίας καὶ διακοσίας ἐπὶ τεσσαράκοντα καὶ τέσσαρι ἀριθμήσας, εἶτα ὀκλά-

44. Stabat ille noctes et dies omnibus conspicuus (39), et ostio aperto, ac septi parte non minima dissoluta, omnibus propositus erat velut spectaculum omnem admirationem superans, nunc multo tempore stando, nunc frequenter corpus inflectendo, Deoque adorationem offerendo. Multi vero adorationes illas numerare, conati sunt: semel autem quidam apud virtutis amantem Theodoretum se mille ducentas et quadraginta quatuor adorationes enumerasse retulit. Flectendo frontem semper pedum

(38) Hæc paulo aliter narrat Theodoretus, atque unde sibi cognita sint ostendit, ita scribens: « Ejus quoque fuit magna fama apud regem Persarum: ut enim narrarunt legati qui ad ipsum venerunt, diligenter sciscitabatur quænam esset ejus vita, et quænam miracula. Dicunt autem ejus quoque conjugem, et petiisse oleum dignatum ejus benedictione, et tanquam donum maximum accepisse. Quin etiam omnes regis asseclæ et a fama commoti, et multas in eum a magis adornatas accipientes calumnias, diligenter rogabant; et cum intellexissent, virum divinum nominabant. Cætera vero turba, et ad muliones accedentes et ad famulos et milites, et pecuniam offerebant, et rogabant ut essent participes olei benedictionis. »

(39) Habet hæc Theodoretus.

digitis applicabat; facile enim venter ob alimenti defectum dorsum inflecti permittebat (40).

45. Porro ex illa perpetua et supra naturam admirabili statione effectum, ut in altero pede ingens ulcus contraxerit, e quo plurima sanies defluebat. Verum nihil horum ejus philosophiam repressit; omnia enim generose pertulit, labores animi promptitudine vincens. Ulcus vero istud cuidam aliquando ostendere coactus est. Erat enim vir quidam dignitate diaconus, virtutis studiosus: is Symeonis fama excitus, venit Ravenna (41), et collis illius vertice conscenso, Dic mihi, ait, per ipsam veritatem, an tu homo es, an vero alia quædam natura corporis expers, et humanam effigiem ementita. Hanc interrogationem cum astantes moleste ferrent, divinus Symeon tumultum sedavit, et ad illum conversus, Quid, inquit, me tu hoc rogas? Subnectit alter: Quia, quoscunque de te audio sermonem facientes, nec cibum sumere, nec somnum capere te affirmant; utrumque vero homini proprium: neque enim quispiam hanc habens naturam sine somno aut nutrimento vivit. Ad hæc Symeon scalas columnæ adhiberi jubet, et ad se ut ascendat monet: quo cum pervenit, primo quidem manus cognoscere præcepit, deinde intra vestem pelliceam (42) manum injicere, neque solum pedes videre, sed et gravissimum illud ulcus aspicere. Vix visa ulceris scaturientis magnitudine, e columna descendit, et ad Theodoretum, de quo prius sermo incidit, profectus, omnia accurate narravit. Inde in patriam revertitur præco disertissimus omnem naturam excedentium viri hujus certaminum.

46. Aliis enim certatoribus dierum circumvolutiones grata quadam remissione labores excipiunt; huic vero continuæ illius pœnitentiæ quies, erat laborum mutatio. Sol jam occubuerat (43), ille ad intelligibilem e inocciduum Solem manus tum extendens, noctes integras stabat, neque somno delinitus, neque ignavia victus, donec ille iterum ad orientis horizontem reverteretur, et noctis tristitiam diei amœnitate terminaret. His deinde certaminibus exercitia alia, aliæ praxes, aliarum denique precum modi multo difficiliores succedebant.

47. Ita ille in tantis molestiis, tanta rerum præclare gestarum mole, tanta miraculorum multitudine, virtutis culmine ascenso, multis spatiis omnes mortales longe supergressus, ita erat animi sensu

A σας ἀφῆκε τὴν ψῆφον, κατακύπτων δὲ τὸ μέτωπον ἀεὶ τοῖς τῶν ποδῶν δακτύλοις προσήρειδε· διὰ γὰρ τὴν τῆς τροφῆς ἔνδειαν ἡ γαστὴρ εὐπετῶς ἐπικύπτεσθαι τῷ νώτῳ παρεῖχεν.

με'. Ἀπὸ μέντοιγε τῆς ὑπερφυοῦς ἐκείνης στάσεως χρόνιον ἕλκος θατέρῳ ποδὶ ἐγγενομένον πλεῖστον ἐκεῖθεν ἰχῶρα ἐξέκρινεν. Ἀλλ' ὅμως οὐδὲν τούτων ἤλεγχεν αὐτοῦ τὴν φιλοσοφίαν· ἔφερε δὲ πάντα γενναίως, τῇ προθυμίᾳ τῶν πόνων περιγινόμενος. Τοῦτο δὲ τὸ ἕλκος καὶ ὑποδεῖξαί τινί ποτε ἠναγκάσθη. Ἀνὴρ γάρ τις τὸν βαθμὸν διάκονος, τὸν τρόπον φιλάρετος, τῇ περὶ τὸν Συμεὼν φήμῃ κεκινημένος, ἀφίκετό ποτε ἀπὸ Ῥαβέννης, καὶ τὴν κορυφὴν ἐκείνην καταλαβών· Εἰπέ μοι, ἔφη, πρὸς τῆς ἀληθείας, αὐτὸς ἆρά γε ἄνθρωπος εἶ, ἤ τις
B ἑτέρα φύσις ἀσώματος, τὴν ἀνθρωπίνην ὑποκρινομένη διάπλασιν; Δυσχερανάντων δὲ πρὸς τὴν ἐρώτησιν τῶν παρόντων, τὸν θόρυβον αὐτοῖς ὁ θεῖος Συμεὼν καταστείλας, καὶ πρὸς ἐκεῖνον ἐπιστρέψας, Τί ποτε, φησί, τουτο με ἤρου; Τοῦ δὲ εἰρηκότος, ὅτι Πάντων ἀκούω θρυλούντων, ὡς οὔτε ἐσθίεις, οὔτε καθεύδεις· ἑκάτερον δὲ ἀνθρώπῳ ἴδιον· οὐ γὰρ ἄν τις ταύτην ἔχων τὴν φύσιν τροφῆς δίχα καὶ ὕπνου βιῴη· ἐπιτεθῆναι προστάττει τῷ κίονι κλίμακα, κἀκεῖνον ὡς αὐτὸν ἀναβῆναι· ἐπεὶ δὲ ἤδη ἀνέλθοι, πρῶτα μὲν καταμαθεῖν τας χεῖρας ἐπετρέπετο· εἶτα εἴσω τοῦ δερματίνου περιβολαίου τὴν χεῖρα βαλεῖν, καὶ ἰδεῖν μὴ τοὺς πόδας μόνον, ἀλλὰ καὶ τὸ χαλεπώτατον ἕλκος ἐκεῖνο. Ἰδὼν δὲ τὴν τοῦ ἕλκους ὑπερβολήν, τοῦ στύλου τε κατεληλύθει, καὶ πρὸς ὃν ὁ λόγος
C φθάσας ἐδήλωσε Θεοδώρητον ἀφικόμενος, πάντα διηγεῖται σὺν ἀκριβείᾳ. Ἐκεῖθέν τε πρὸς τὴν πατρίδα ἐπάνεισι, κῆρυξ τῶν ὑπερφυῶν τοῦ ἀνδρὸς ἄθλων λαμπρότατος.

μς'. Τοῖς μὲν ἄλλοις τῶν καλῶν ἀγωνισταῖς περίοδοί τινες ἡμερῶν καὶ προθεσμίαι ἀνέσεσι δεξιοῦνται τοὺς πόνους· τῷ δὲ τῆς συνεχοῦς ἐκείνης καρτερίας ἀνάπαυσις ἦν ἡ πρὸς ἑτέρους τῶν πόνων μεταβολή. Ἔδυε μὲν γὰρ ὁ ἥλιος, ὁ δὲ πρὸς τὸν νοητὸν καὶ ἄδυτον Ἥλιον τὰς χεῖρας ἀνέχων παννύχιον ἕστηκε, οὔτε ὕπνῳ θελγόμενος, οὔτε ὄκνῳ νικώμενος, ἕως ἂν οὗτος εἰς τὸν ἑῷον αὖθις ὁρίζοντα γένοιτο, καὶ τὸ τῆς νυκτὸς σκυθρωπὸν τῷ τῆς ἡμέρας διαλύσειε μειδιάματι. Εἶτα τὸν ἀγῶνα τοῦτον ἕτεραι πάλιν ἀσκήσεις, καὶ πράξεις ἕτεραι, καὶ
D προσευχῶν ἄλλων τρόποι πολλῷ βαρύτεροι διεδέχοντο.

μζ'. Οὕτω τοίνυν καὶ ἐν τοσούτοις πόνοις καὶ κατορθωμάτων ὄγκῳ καὶ πλήθει θαυμάτων τὴν τῶν ἀρετῶν κορυφὴν ὑπεραναβεβηκώς, καὶ πολλῷ τῷ μέσῳ πάντας ἀνθρώπους παρενεγκών, οὕτως ἦν τὸ

(40) Paullo aliter Theodoretus: « Nam cum venter semel in hebdomada alimentum accipiat, idque exiguum, quantum est divinorum sacramentorum participatio, dorso concedit ut facile inflectatur. » Unde colligitur, eum singulis hebdomadis solitum Christi corpus percipere. Nam si de alio cibo ageret Theodoretus, secum ipse pugnaret, qui ante scripserit, eum quadragesimo solum die cibo refici consuevisse. Haræus certe sibi contradicit, dum primo nonnisi quadragesimo die, postea semel in hebdomada cibum sumere solitum scribit. Idem habet Alphonsus Villegas.

(41) Theodoretus Herveti, *ab Arabena;* Longi, a *Rhamene.*

(42) Villegas et Ribad. *cilicinam.*

(43) Theodoretus hæc eum festis factitare solitum scribit.

φρόνημα μέτριος καὶ γλυκὺς καὶ ἐπίχαρις, καὶ A πρὸς ἕκαστον τῶν διαλεγομένων ἀποκρινόμενος, εἴτε χειροτέχνης, εἴτε προσαίτης, εἴτε τις ἄγροικος αὐτῷ προσίοι, ὥσπερ πολλῷ πάντων κατά γε τὴν τῆς ἀρετῆς ἀξίαν λειπόμενος, ἐπὶ μέντοι τοῖς ἄλλοις καὶ λόγων χάρις πνευματικῶν τοῖς χείλεσιν ἐπήνθει, καὶ πειθώ τις ἐπεκάθητο θεία, ὡς δὶς μὲν ἑκάστης ἡμέρας ποιεῖσθαι τὰς παραινέσεις πολὺ τὸ χάριεν μετὰ τοῦ ὠφελεῖν ἐχούσας, καὶ ἀνανεύειν εἰς οὐρανοὺς, καὶ πέτεσθαι τῷ τῆς ἀρετῆς πτερῷ παρεγγυᾷν, τῆς γῆς τε ἀπαλλάττεσθαι καὶ τὴν προσδοκωμένην φαντάζεσθαι βασιλείαν, καὶ τῆς γεέννης δεδιέναι τὴν ἀπειλὴν, καὶ καταφρονεῖν τῶν γηΐνων, καὶ προσμένειν τὰ μέλλοντα.

μη'. Ἦν δὲ αὐτὸν ἰδεῖν καὶ δικάζοντα· ταύτῃ τοι καὶ πολλοὶ πολλοῖς πρότερον κακοῖς τὸν βίον ὑβρί- B ζοντες, δικαιοσύνης μετὰ τὴν ἐκείνου κρίσιν ὤφθησαν ἐρασταὶ, καὶ ὥπερ ἂν ἡ ἐκείνου ψῆφος τὸ ἧττον ἀπένειμεν, οὐδὲν ἔλαττον οὗτος τοῦ νενικηκότος χαίρων ἀπῄει. Ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα ἔργον αὐτῷ μετὰ τὴν ἐννάτην ἦσαν ὥραν· τὴν γὰρ νύκτα πᾶσαν καὶ τὸ μέχρις ἐννάτης τῆς ἡμέρας διάστημα προσευχόμενος διετέλει· μετὰ δὲ τὴν ἐννάτην πρῶτα μὲν τὴν θείαν διδασκαλίαν τοῖς παροῦσι προσῆγε, καὶ εἶτα πρὸς τὴν ἑκάστου αἴτησιν τὰς ἰάσεις ἐπιμετρήσας, εὐθεῖάν τε τὴν κρίσιν ἐξῆγε, καὶ τοῖς ἀμφισβητοῦσι τὰς στάσεις διέλυε· περὶ δὲ ἡλίου δύσιν τῆς πρὸς τὸν Θεὸν λοιπὸν ἤρχετο διαλέξεως.

μθ'. Ἀλλ' ἐν τούτοις ὢν καὶ οὕτω πολλοῖς μεριζόμενος, οὐδὲ τῆς τῶν ἁγίων Ἐκκλησιῶν ἠμέλει C φροντίδος, νῦν μὲν Ἑλληνικῇ δυσσεβείᾳ μαχόμενος, νῦν δὲ τὴν τῶν Ἰουδαίων καταλύων θρασύτητα, ἄλλοτε δὲ τὰς τῶν αἱρετικῶν σκεδαννὺς συμμορίας· καὶ τοῦτο μὲν βασιλεῖ περὶ αὐτῶν ἐπιστέλλων, τοῦτο δὲ τοὺς ἄρχοντας εἰς τὸν τοῦ Θεοῦ ζῆλον διανιστῶν, ἔστι δὲ ὅτε καὶ αὐτοῖς τῶν Ἐκκλησιῶν τοῖς ποιμέσι πλείονα ποιεῖσθαι παρεγγυῶν τῶν ποιμνίων τὴν ἐπιμέλειαν· ἄξιον δέ τινος καὶ τῶν ἐπιμέρους μνησθῆναι.

ν'. Θεοδόσιος ὁ Νέος εἰς ὃν καταδιαδοχὴν τὰ Ῥωμαίων σκῆπτρα μετέπεσε (νέος τε γὰρ ἦρξε, καὶ τῇ πρὸς τὸν πάππον ἀντιδιαστολῇ Νέος ἐκαλεῖτο), οὗτος οὖν ὁ χρηστὸς Θεοδόσιος μοχθηρίᾳ τινῶν χρήμασιν, οἴ μοι, τὴν εὐσέβειαν προϊεμένων ἀναπεισθεὶς ἐφῆκε τοῖς κατὰ τὴν Ἀντιόχειαν Ἰουδαίοις τὰς προτέρας συναγωγάς. Τοῦτο μαθὼν ὁ πολὺς τὰ θεῖα καὶ θερμὸς D τὴν εὐσέβειαν Συμεὼν ἀνοσιότητά τε αὐτοῦ τῆς πράξεως καταγινώσκει, καὶ μετὰ πολλῆς τῆς παῤῥησίας ἐπιτιμᾷ. Ὁ δὲ αὐτίκα παλινῳδίαν τε ᾖσε, καὶ τὰς οἰκείας ἀνεκαλέσατο διατάξεις, καὶ οὐ τοὺς Ἰουδαίους μόνον ταύτας ἀφείλετο, ἀλλὰ καὶ αὐτὸν τὸν ὕπαρχον (οὗτος γὰρ αὐτῷ τοὺς πονηροὺς ἐκείνους ὑποβεβλήκει λογισμοὺς) τῶν δημοσίων τε φροντίδων

moderatus, ita suavis et gratus, ita singulis accedentibus responsa dabat, sive opifices essent, sive agrestes qui illum accederent, ac si cæteris omnibus virtutis dignitate longe inferior esset. Porro præter alia sermonum quoque spiritualium venustas in ejus labris efflorescebat, et divina quædam suadela, ut bis quotidie adhortationes faceret, gratia quadam singulari conditas, plurimumque afferentes utilitatis : et ut in cœlum suspicerent, atque alis virtutum sursum evolarent cohortabatur ; et terra relicta præparatum cœli regnum contemplari jubebat; alias iterum gehennæ minas metuere, terrena contemnere, futura denique exspectare.

48. Erat etiam ipsum videre judicantem : nam multi, qui prius variis probris vitam suam infamaverant, post ejus judicium insignes justitiæ cultores effecti sunt : et quem ejus calculus victum declarabat, ille nihilominus victore lætus recedebat. Sed hæc quidem et similia post horam nonam exercebat, nam noctem omnem et diurnum spatium usque in horam nonam precando transigebat. Post nonam horam primo quidem doctrinam sacram præsentibus explicabat; deinde singulorum postulatis medelam adhibebat (44), et rectum judicium ferebat, dubitantibus ac inter se dissidentibus controversias dissolvebat. Circa solis occasum iterum cum Deo colloquium inibat.

49. Atque in his cum esset, atque ita in multa divisus, neque ecclesiarum curam negligebat, nunc gentilium impietatem oppugnando, nunc Judæorum dissolvendo audaciam, alias denique hæreticorum societatem dissipando ; tum regem de hujusmodi negotiis per internuntios admonens, tum principum animos in Dei amorem excitando, et Ecclesiarum pastoribus majorem gregum curam commendando. Dignum autem est de aliquo in particulari meminisse.

50. Theodosius Junior (45), ad quem Romana sceptra per successionem devoluta erant (juvenis enim imperavit, ac proinde ad avi discrimen Junior appellatus est): pius igitur ille Theodosius quorumdam improbitate, qui pecuniis (eheu !) pietatem prodebant, inductus, in urbe Antiochia Judæis, uti prius, synagogas concessit. Hoc cognito rerum divinarum et pietatis fervidus admodum zelator Symeon, rei impietatem vehementer arguit, et maxima libertate reprehendit. Hic statim sententiam mutat, et proprias constitutiones revocat, easque non tantum Judæis sustulit, sed et ipsum prætorem (hic enim ipsi malignas illas inventiones suggesserat) a cura publica removit, et in tantum periculum con-

(44) Clarius Theodoretus, « cum aliquas fecerit curationes. »

(45) Idem narrant Evagrius lib. I, cap. 13 ; Nicephorus lib. XIV, cap. 51, Baronius tom. V, ann. 432, n. 51. At n. 49 recitat (quod huc quoque pertinet) ejusdem Theodosii litteras, quibus Symeonem rogat, ut ad pacem Ecclesiarum sarciendam allaboret, ac præcipue ut Joannem Antiochenum patriarcham a Nestorii defendendo dogmate revocet.

jecit, ut de sua vita et incolumitate timeret, ne una cum prætura ea illi eriperetur. Hæc Theodosius adhuc juvenis præstitit : deinde epistolam ad Symeonem orbis terrarum miraculum destinavit veniamque delicti sui, quod aliorum culpa commiserat, supplex rogavit (46).

μετακινεῖ, καὶ εἰς τοῦτο κινδύνου ἐμβάλλει, ὥστε καὶ ὑπὲρ αὐτῆς δεδοικέναι τῆς ζωῆς καὶ τρέμειν μὴ μετὰ τῆς ἀρχῆς καὶ αὐτὴν προσαφαιρεθείη. Καὶ ταῦτα μὲν δὴ ὁ νεάζων τὴν σύνεσιν Θεοδόσιος· γράφει δὲ καὶ πρὸς τὸ τῆς οἰκουμένης θαῦμα τὸν Συμεὼν, συγγνώμην αἰτῶν ἐφ' οἷς παρὰ τὴν ἑτέρων αἰτίαν ἡμάρτηκε.

CAPUT XIII.

Mutis vox reddita. Publica calamitas depulsa.

51. Et hæc quidem res talis fuit: illa autem quomodo non explicanda? Viatores nonnulli a via sua deflectentes, in campo non multum remoto, sed eo fere spatio, ad quod oculus aspectu res distinguere potest, ingentem cervum pascentem contuentur : illi feræ amore detenti, cum ad manum non haberent quo cervum ex tempore venari possent, novo retis genere, nempe Symeonis nomine invocato usi, statim feram quasi pedicis quibusdam vinctam capiunt, mactant, et cænam parant, utroque simul, et animalis venatione, et convivio recreati. Verum gaudium istud non multo post dolor superveniens excipit : nam et sermo illis quasi extinctus, et vox subito, cujus ope cervum ceperant, intercepta est. Itaque sese undequaque discutientes, cum hujus rei causam ne conjectura quidem assequi possent, nutibus se invicem interrogant, et quam ob causam vox illos deficeret, inquirebant. Tandem rationem subodorati sunt, et ob malitiam suam se in hanc calamitatem incidisse cognoverunt : divinus enim Symeon, qua erat clementia, benigne illis cervum elargitus est ; illi vero crudeliter nimis dono usi, et feram propriis manibus immisericorditer mactare aggressi sunt. Igitur ad Symeonem iterum magno cum dolore et planctu confugiunt, cervinam pellem, quam tunc manu gestabant, suæ inhumanitatis ac feritatis argumentum proferunt, quorum pœnitudinem et confessionem miseratus, loquendi facultate restituta, gratos æque ob beneficium acceptum et gaudentes a se dimisit.

να'. Καὶ τοῦτο μὲν δὴ τοιοῦτον· ἐκεῖνο δὲ πῶς οὐ διηγητέον; Ὁδοιπόροι ποτέ τινες τὴν ἑαυτῶν παριόντες, ὁρῶσιν ἐπί τινος πεδιάδος οὐ πόῤῥω διακειμένης, ἢ ὅσον ὀφθαλμοῖς δυνατὸν τοῦ ὁρωμένου στοχάσασθαι, νεμομένην ἔλαφον εὐμεγέθη. Ἔρωτι οὖν τῆς θήρας ληφθέντες, ἐπειδὴ οὐκ εἶχον ὅπως τὴν ἔλαφον ἐκποδὼς μεταδιώξαντες ἕλωσι, καινὸν τοῦτο θήρατρον αὐτῇ τὸ τοῦ Συμεὼν ἐπάγουσιν ὄνομα, καὶ τούτου μνησθέντες αἱροῦσί τε αὐτὴν παραχρῆμα, ὥσπερ τινὶ προκατειλημμένην πέδῃ, καὶ καταθύσαντες δεῖπνον τίθενται, ἀμφοῖν δὴ τούτοιν, τῇ τε θήρᾳ καὶ τῇ ἐκεῖθεν εὐωχίᾳ ἡδόμενοι. Ἀλλ' εἰς ὀδύνην αὐτοῖς τὰ τῆς ἡδονῆς οὐκ εἰς μακρὰν μετεβάλλετο, καὶ τὸ φθέγμα τούτοις ἐσβέννυτο, καὶ αὐτὴ ἐπέλιπεν ἡ φωνὴ δι' ἧς καὶ τὴν ἔλαφον εἷλον. Σκοπούμενοι τοίνυν ἐφ' ἑαυτῶν καὶ συμβαλεῖν αὐτῶν ἕκαστος τὴν αἰτίαν οὐκ ἔχων, νεύμασιν ἀλλήλους ἠρώτων, ἥτις ποτὲ αὕτη εἴη καὶ ὅθεν αὐτοὺς ἡ φωνὴ ἐπιλίποι. Ὀψὲ γοῦν τὸ πρᾶγμα αἰσθόμενοι καὶ γνόντες ὡς παρὰ τὴν ἑαυτῶν κακίαν τῇ συμφορᾷ περιπέσοιεν ταύτῃ (ὁ μὲν γὰρ θεῖος αὐτοῖς Συμεὼν φιλανθρώπως ἔδωκεν, οἱ δὲ ὠμῶς τῷ δώρῳ ἐχρήσαντο, καὶ τὴν ἔλαφον ταῖς οἰκείαις σφάξαι χερσὶν ἀνηλεῶς κατεδέξαντο), ἐπὶ τὸν μέγαν τοῦτον καταφεύγουσι Συμεὼν, κοπτόμενοί τε καὶ ἀλγοῦντες, καὶ τὴν τῆς ἐλάφου δορὰν τῆς οἰκείας ὠμότητος καὶ τῆς ἀπανθρωπίας ἔλεγχον προβαλλόμενοι· ἔτι γὰρ αὐτὴν ἐπὶ τῶν χειρῶν ἔφερον. Ὁ δὲ τῆς μετανοίας τούτους καὶ τῆς ἐξομολογήσεως κατοικτείρας, καὶ τὸ φθέγμα πάλιν αὐτοῖς ἀποδοὺς, εὐχαριστοῦντας ὁμοῦ καὶ χαίροντας ἀποπέμπει.

52. Haud multo post terræ motus ingens urbem Antiochenam (47), et loca vicina concusserat : hunc æstus maris secutus, hiatus quoque, qui usque

νβ'. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ κλόνος μὲν γῆς τὴν Ἀντιόχειαν καὶ τὰ πέριξ κατέσειε· τῷ δὲ καὶ βρασμὸς ἐπηκολούθει καὶ χάσματα, καὶ μέχρι τῶν τῆς

(46) Huc referendum est quod Evagrius lib. II, cap. 9 commemorat, nimirum dedisse Leonem imperatorem litteras tum ad episcopos, tum ad alios viros pios, ob monasticum vitæ genus commendatos, ac nominatim ad Symeonem Stylitam, quibus eos consuluit de concilio Chalcedonensi, et Timothei Æluri causa, qui flagitiis omnibus coopertus, cathedram Alexandrinam invaserat, S. Proterio (de quo 28 Februar. agemus) trucidato. Et respondit quidem Leoni Symeon, atque ad Basilium Antiochenum patriarcham alias litteras dedit, quas idem recitat Evagrius, et Nicephorus lib. XV, cap. 19, ac Baronius ann. 458 ; qui tamen falli videtur, dum legatum tunc a Symeone ad Leonem imp. putat Sergium monachum, ut 11 Decembr. ad S. Danielis Stylitæ vitam dicemus; nam mortem tunc nuntiavit Symeonis Danieli Sergius et donum ad imperatorem missum ei obtulit. Ad eumdem S. Symeonem legatum misit Eudocia Augusta, sciscitatum quid de concilio Chalcedonensi sentiret, cum ipsa Eutychianæ hæresi obstinato animo diu adhæsisset. « Scias, inquit S. Symeon, quod malignus, videns opes tuarum virtutum, expetivit te ut cribraret sicut triticum, et per pestiferum illum Theodosium (qui ejecto S. Juvenale episcopo, de quo nos 11 Jul. sedem Hierosolymitanam invaserat, secta Eutychianus, de quo Baronius ad ann. 452, n. 27), tuam corrupit animam. » Deinde ad S Euthymium eam remittit, ut pluribus narrat Cyrillus monachus in vita ejusdem Euthymii 20 Januarii; Nicephorus lib. XV, cap. 13; Baronius ad ann. 451, n. 18 et seqq.

(47) Accidit hic terræmotus anno 2 Leonis imperatoris. Narrat eum Evagrius l. II, cap. 12 : Nicephorus l. XV, c. 20; Baronius ad an. 458, n. 27 et seqq.

Ἀνατολῆς ὁρῶν τὸ δεινὸν παρετείνετο, καὶ ναοὺς μὲν πάντας καὶ οἰκίας πάσας ἐρείπια ἐποίει, καὶ εἰς ἔδαφος κατέσπα, τὰς μὲν ἐξ ὀροφῆς καταβάλλων, τὰς δὲ καὶ ἐξ αὐτῶν κρηπίδων ἀνατρέπων. Ἄνθρωποι δὲ καὶ τὰ διάφορα τῶν ἀλόγων γένη, οἱ μὲν καταστρεφομένης ἔνδον ἀπολαμβανόμενοι τῆς οἰκίας, συγκατέστρεφον καὶ οὗτοι τὸν βίον, οἱ δὲ αὐτοσχεδίῳ τάφῳ τῷ τῆς γης χάσματι ἐλεεινότατα κατεχώννυντο. Πικροῦ τοίνυν οὕτω τοῦ ὀλέθρου καὶ ἀνυποστάτου τῆς μάστιγος διὰ πάσης ἡλικίας καὶ γένους παντὸς φερομένων, μία καὶ κοινὴ πᾶσι καταφυγὴ ὁ θαυμαστὸς γίνεται Συμεών. Καὶ τούτῳ διαλλακτῇ χρῶνται πρὸς τὸν Θεὸν, καὶ λύσιν εὑρίσκουσι τοῦ κακοῦ καὶ ἀπαλλαγήν. Ὅς γε πολλὰ τῆς ῥᾳστώνης αὐτῶν καὶ ἀκρασίας καὶ τῶν ἄλλων κατὰ τὸν βίον παθῶν πρότερον καταγνοὺς, καὶ ἱκανῶ· τούτοις ἐπιτιμήσας, μιᾷ πάντας μετὰ δακρύων φωνῇ, Κύριε ἐλέησον, κράζειν προτρέπεται, τοῦτο μὲν τὸ Θεῖον αὐτοῖς ἱλεούμενος, τοῦτο δὲ καὶ εἰς κατάνυξιν ἄγων, ἑξῆς δὲ τρέπεται εἰς προσευχὴν καὶ αὐτός.

νγ'. Τῆς μετὰ δακρύων τοίνυν ταύτης δεήσεως ἐπὶ πολὺ τεινομένης, τῷ πλήθει κάτασείσας ἐκεῖνος καὶ σιωπὴν τῇ χειρὶ σημάνας, περιαλγεῖ σφόδρα πρὸς αὐτοὺς καὶ φωνῇ καὶ γνώμῃ, Ἄνδρες ἀδελφοὶ, ἔφη, ἃ μέλλω πρὸς ὑμᾶς ἐρεῖν, πολλὰ τὴν ἐμὴν πρότερον ὀδυνήσαντα καρδίαν, καὶ αὐτὴν ὀξέως ἐμοὶ κατακεντήσαντα τὴν ψυχὴν, οἶδα ὡς οὕτω καὶ ὑμᾶς διαθήσει, ἐρῶ δὲ ὅμως. Ὁρᾶτε ὅσοι τὸ πλῆθος ἐστὲ, καὶ ὅσας μὲν δακρύων σταγόνας προήκατε, ὅσην δὲ κραυγὴν ἀνεπέμψατε· ἀλλ' ἑνὶ τῶν ἁπάντων ὁ Κύριος προσέσχε τὸ οὖς, καὶ μόνη τούτου ἡ δέησις ἀνέβη εἰς τὰ ὦτα αὐτοῦ. Ταῦτα εἰπὼν τὸν ἄνδρα τινὰ ὀνομαστὶ προσηγόρευσε, καὶ πρὸς ἑαυτὸν καλέσας, εἰς ἐπήκοον ἁπάντων, Ἡ μὲν σὴ, ἔφη, προσευχὴ τὴν δικαίαν ὀργὴν φερομένην ἵστησι τοῦ Θεοῦ, καὶ τὸ δεινὸν ὅσον οὔπω παύσεται. Λέγε δὲ μηδὲν ὑποστειλάμενος, τίνα πράττων οὕτως εὐηρέστησας τῷ Θεῷ· κελεύει γάρ σοι τὸ Θεῖον πάντα εἰπεῖν, ὡς ἂν τὴν ἀρετὴν καὶ οὗτοι ζηλώσαντες πρὸς τὰ ἴσα διαναστῶσιν. Ὁ δὲ μᾶλλόν τε εὐλαβεῖτο, καὶ ἁμαρτωλὸν ἑαυτὸν καὶ γυμνὸν ἀρετῆς ἁπάσης ἐκάλει, καὶ μηδὲ συνειδέναι ἔλεγεν εἴ ποτέ τι ἀγαθὸν τὸν ἅπαντα βίον αὐτοῦ καὶ ἄκων ἐργάσαιτο. Ἐπειδὴ δὲ ὁ θεῖος Συμεὼν πολὺς ἐνέκειτο ἔτι κελεύων αὐτῷ πάντα εἰπεῖν, Ἐμοὶ ἐργατικὸς, ἔφη, ὁ βίος· πρόσκειμαι γὰρ τῇ γῇ καὶ ὑπόκειμαι ταῖς ὥραις, καὶ πρῶτα μὲν γήδιόν τι ἐμαυτῷ σπείρω, τὸν δὲ ἄλλον χρόνον μισθοῦ τῷ βουλομένῳ ὑπηρετοῦμαι·

A ad mentes Orientis horribilem in modum protendebatur. Itaque templa omnia ac ædificia solo stravit, hæc quidem e summo dejiciens, alia a fundamentis evellens. Homines ad hæc cum diversis animalium generibus, illi quidem eversis intus interclusi domibus, simul et ipsi vitam ad exitum perduxere, illi vero terræ scissura veluti ex tempore sibi sepulchro parato miserandum in modum vivi defodiebantur In tam acerbo exitio, cum flagellum tam intolerabile per omnem sexum et ætatem promiscue ferretur, unicum erat et commune omnibus solatium admirandus ille Symeon. Eo apud Deum reconciliatore utuntur, et levamine invento, a malo suo liberantur. Ipse enim postquam primum luxum et intemperantiam eo- B rum (48), aliaque scelera reprehendisset, eosque sufficienter increpuisset, tum hortatur ut unanimi voce omnes cum lacrymis inclament : Kyrie eleison, id est, Domine miserere. Dein placare iis Deum, et ad compunctionem excitare eos cupiens, ad preces et ipse convertitur.

53. Cum in longum cum lacrymis protenderetur deprecatio, annuit populo, manu silentium indiceus, ipseque vehementem voce et sensu dolorem præ se ferens in hæc verba prorupit : Viri fratres, inquit, quæ dicturus sum vobis, primum cor mihi vehementer cruciant, intimumque animum quasi vulnere quodam confodiunt : scio equidem quod ea ipsa vos etiam vehementer afficient, dicam tamen. Videte, obsecro, quanto numero sitis, quantum lacrymarum fuderitis, quem C clamorem emiseritis ; tamen uni solum ex omnibus Deus aurem præbuit, ejusque solius deprecatio aures ejus attigit. His dictis virum quemdam nominatim compellat, ac omnibus audientibus ad se venire jubet : Tua, inquit, oratio justam Dei iram sistit, ac proinde malum omne quantumquantum fuerit, cessabit. Dic vero mihi, nihil omittens, qua re potissimum ita Deo placuisti ? Præcipit enim tibi Deus ut omnia exponas, ut virtutem æmulati, ad eadem præstanda stimulentur. Hic vero multo magis metuebat, ac peccatorem se, omnique virtute nudum proclamabat, neque conscium esse in omni vita boni quippiam etiam invitum præstitisse. Cum vero divinus Symeon admodum instaret, et ad dicendum cogeret ; tum D tandem sic ait : Vitam opere manuum sustento, terræ colendæ addictus, et sub dio dormio, et pri-

θ'. Ὁ δὲ Λουκιανὸς πάρεργα τῆς ὁδοῦ ταῦτα καὶ τοιαῦτα πλείω διαπραξάμενος, εἰς τὴν Νικομήδειαν ἐκομίσθη· τούτου δὲ τοῦ ἀνδρὸς ὁμιληταὶ γεγόνασι πλείους, καὶ οἱ μὲν αὐτόθι συμπαρῆσαν αὐτῷ κατὰ τὴν Νικομήδειαν ἀγωνιζομένῳ· οἱ δὲ οὔ· ἐξ ὧν τινες προβαλόντων αὐτοῖς τῶν ἑλληνίσαι βιασαμένων, ἐνέδοσαν μὲν τὰ πρῶτα μὴ δυνηθέντες ἀρκέσαι πρὸς τὰς βασάνους· ἔπειτα μέντοι Λουκιανὸς ὁ θεῖος (ἔτι γὰρ ἔζη) προσκαλεσάμενος αὐτοὺς, καὶ λόγοις παν-

8. Cum autem Lucianus, dum duceretur, venisset in Cappadociam (8), et convenisset quosdam illic milites, qui erant quidem Christiani, coacti autem fuerant abnegare, eorum mentem revocavit, ostendens et exponens, quod sit omnium turpissimum, viros eosque milites videri ignavos ac pusillanimes, et ad mortis adeundum periculum timidissimos, quibus quædam jam feminæ, atque adeo pueri, fuere superiores. Quomodo autem vos, inquit, pro rege caduco et terreno pericula adibitis, qui cœlestem tam cito prodideritis? Quod autem erit vobis munimentum aut præsidium salutis, si ille vos mox hinc accersierit? Non cogitatis eum hoc universum et regere et administrare; illumque et vitæ esse dispensatorem, et mortis dominum? Est ergo longe melius, præsentem vitam minus curantes, consequi, quæ apud illum nunquam desinit, beatitudinem, quam vitam, quæ hic est, amplectentes, ab hac nihilo secius excidere, ut qui forte sitis et hac privandi ab hostibus, et illam non assecuturi, et præterea daturi pœnas puniendi immortales. Illi ergo cum hæc audivissent, resipuerunt, et eos pœnituit se negasse. Et cum rursus ad se rediissent, et libere essent locuti, plurimi (9) propter Christum mortem subierunt, cum essent non pauciores numero quam quadraginta; nonnulli autem cum decertassent adversus omnia genera suppliciorum, vixerunt adhuc, cum nihil turpe et ignavum præ se tulissent in secunda experientia; sed prius quoque judicium negationis, invicta deinceps pro pietate constantia delevissent.

9. Lucianus autem, cum in transitu itineris hæc et plura hujusmodi effecisset, delatus est Nicomediam. Hujus autem viri fuere multi familiares, et ex iis nonnulli cum eo aderant decertante Nicomediæ, alii aberant. Ex quibus cum aliqui ad eos accessissent ii, qui cogebant Christianos ritum sequi gentium, primo quidem cesserunt, ut qui non possent tormentis sufficere; at cum divinus Lucianus (adhuc enim vivebat) eos ad se accersivisset, et omne genus

(8) Hinc patet, terrestri itinere Antiochiæ Nicomediam perductum esse Lucianum.

(9) Hi cum aliis fortasse in eadem Cappadocia passis coluntur 23 Maii.

sermonibus eorum animos correxisset, et quantum A sit transgressionis periculum ostendisset, et quod nemo eorum, qui suam prodiderit in Christum confessionem, effugiet flammam gehennæ, quæ non potest exstingui; ducti pœnitentia, ab eo reducti sunt in Ecclesiam.

10. Ex iis autem, qui ad Lucianum venerant Nicomediam, erat etiam Antonius(10), discipulorum suorum dilectissimus: quo, postquam venit, usus est ministro ad scribendas epistolas, ut ipse quoque ostendit Lucianus in una epistola. Ex iis autem qui aberant, erant quidem plures viri, ex mulieribus autem Eustolia, et Dorothea, et Severa. Aiunt autem Pelagiam (11) quoque fuisse ex ejus discipulis, quæ Antiochiæ Syriæ vixit: quæ etiam dicitur seipsam e tecto altissimo dejecisse, cum accessissent B qui eam erant comprehensuri, timens ne abominandum quid per vim sustineret (erat enim virgo), et eo modo esse mortuam: quam etiam in hodiernum usque diem honorant tanquam martyrem, qui sunt amantes martyrum.

11. Porro autem cum de Luciano a multis audiret Maximianus, tantam in ejus facie insidere reverentiam, ut si eum solum vidisset, veniret in periculum ne fieret Christianus; postquam jussit ut ille adduceretur, timens ne sibi tale quid accederet, velo interjecto separat sermonis congressionem, et verba procul ad eum emittebat, intermedio utens sermonis ministro. Et primum quidem pollicebatur se innumerabilia ei esse largiturum, et rerum gerendarum habiturum eum esse consiliarium, et Patrem C imperatoriæ dignitatis, et socium sollicitudinis quæ pro summa rerum suscipitur; et plura alia hujusmodi: pro quibus omnibus unum solum dicebat se petere, nempe ut diis sacrificaret. Cum autem ille, audita donorum magnitudine, quæ de eis dicebantur, nihili fecisset, et ne universum quidem mundum esse cum pietate in Deum conferendum dixisset, tunc jam mutatus imperator, minatus est se ad supplicium ei esse intentaturum, quidquid longum tempus invenisset, et si quid ipse posset invenire novum et inauditum. Illo autem adversus hæc interritam opponente audaciam, et parato prodire in aciem, valde indignatus imperator, eum quidem noluit quam primum tollere de medio; putabat enim se sic ei gratificaturum, ut qui eum illico liberaret D a malis; sed jussit in carcerem conjectum torqueri variis modis.

τοίοις αὐτῶν ἀνορθώσας τὰς γνώμας, καὶ ὅσῳ τὸ κινδυνῶδες τῆς παραβάσεος ὑποδείξας, καὶ ὡς οὐδεὶς τὴν εἰς Χριστὸν ὁμολογίαν καταπροδοὺς διαδράσεται τὴν ἄσβεστον φλόγα τῆς γεέννης εἰπὼν, μεταγνῶναί τε παρεσκεύασεν, καὶ εἰς τὴν Ἐκκλησίαν ἐπανήγαγεν αὖθις.

ι'. Τῶν δὲ εἰς τὴν Νικομήδειαν τῷ Λουκιανῷ ἐπεληλυθότων, καὶ Ἀντωνῖνος ἦν τῶν αὐτοῦ μαθητῶν ὁ ἀγαπητότατος, καὶ διακόνῳ γε τούτῳ ἐπειδὴ ἀφίκετο πρός τὴν τῶν ἐπιστολῶν ἐχρήσατο γραφὴν, ὡς καὶ αὐτὸς ὁ Λουκιανὸς ἐν μιᾷ ἐπιστολῇ τοῦτο δεδήλωκεν· τῶν δὲ ἀπόντων ἀνδρῶν μὲν πλείους ἐτύγχανον, γυναικῶν δὲ Εὐστόλια, καὶ Δωροθέα, καὶ Σεβουήρα. Φησὶ δὲ καὶ Πελαγίαν τῶν αὐτοῦ γενέσθαι μαθητριῶν, τὴν ἐν Ἀντιοχείᾳ τῆς Συρίας πρὸς Ἀμανῷ τῷ ὄρει βιώσασαν· ἥτις λέγεται καὶ ἑαυτὴν ἄνωθεν ἀπὸ στέγους ὑψηλοτάτου βαλεῖν, ἐπιστάντων αὐτῇ τῶν συλληψομένων, δέει τοῦ μήτι πρὸς βίαν ὑπομεῖναι τῶν ἀπευκτῶν (παρθένος γὰρ ἦν), καὶ τοῦτο ἀποθανεῖν τὸν τρόπον· ἣν καὶ εἰς δεῦρο τιμῶσιν ὡς μάρτυρα γενομένην οἱ φιλομάρτυρες.

ια'. Ὁ μέντοι Λουκιανὸς ὡς τῆς Νικομηδείας ἐπέβη φερόμενος παρὰ πολλῶν ὁ Μαξιμιανὸς πυνθανόμενος, ὥσει καὶ μόνον θεάσαιτο τὸν ἄνδρα, κἂν χριστιανίσαι κινδυνεύσειε· τοσαύτην γὰρ αἰδῶ προκαθῆσθαι τῆς τοῦ ἀνδρὸς μορφῆς, δείσας μή τι πάθοι τοιοῦτον, παραπετάσματι μέσῳ διατειχίζει τὴν ὁμιλίαν, καὶ ἐκ μακροῦ τοὺς πρὸς αὐτὸν διέπεμπε λόγους, μέσῳ τῷ τῶν λόγων διακόνῳ χρώμενος. Καὶ πρῶτον μὲν ὑπισχνεῖτο μυρία δῆτα φιλοτιμούμενος, σύμβουλόν τε τῶν πρακτέων αὐτὸν ἕξειν, καὶ πατέρα τῆς βασιλικῆς ἀξίας, καὶ κοινωνὸν τῆς ὑπὲρ τῶν ὅλων φροντίδος, καὶ ἄλλα πλείω τοιαῦτα, ὧν ἁπάντων ἔφασκε μονώτατον ἀνταιτεῖν τὸ θῦσαι τοῖς θεοῖς. Ἐπεὶ δὲ ἐκεῖνος ἀκούσας τὸ τῶν δωρεῶν μέγεθος, ἐν φαύλῳ τε τοὺς περὶ τούτων λόγους πεποίητο, καὶ οὐδὲ αὐτὸν ἔφη τὸν ἅπαντα κόσμον ἀντάξιον τῆς εἰς τὸν Θεὸν εὐσεβείας τίθεσθαι, τότε δὴ μεταβαλλόμενος ὁ κρατῶν ἠπείλει πᾶν ὅ τι τε ὁ μακρὸς χρόνος ἐξεῦρεν εἶδος εἰς κόλασιν ἐπάξειν αὐτῷ, καὶ εἴ τιπερ αὐτὸς ἐφευρεῖν δυνηθείη καινότερον. Ἐκείνου δὲ καὶ πρὸς ταῦτα τὸ θαῤῥεῖν ἀκαταπλήκτως προβαλλομένου, καὶ πρὸς ἀντιπαράταξιν ἀπομαχομένου, ὑπεραγανακτήσας ὁ βασιλεὺς ἀνελεῖν μὲν αὐτὸν διὰ ταχέων οὐκ ἐγίνωσκε δεῖν· χαριεῖσθαι γὰρ ἐνόμιζεν αὐτῷ τὴν ἀθρόαν τῶν χαλεπῶν ἀπαλλαγήν· προσέταξε δὲ αὐτὸν εἰς τὴν εἱρκτὴν ἐμβληθέντα κατὰ ποικίλους τὸ σῶμα στρεβλοῦσθαι τοὺς τρόπους.

CAPUT IV.

In tormentis moritur.

12. Cum eum ergo accepissent ii, quibus hoc erat imperatum, eum multis et variis affecere cruciatibus, quibus erat quidem gravem accepturus dolo-

ιβ'. Παραλαβόντες τοίνυν αὐτὸν οἱ πρὸς τοῦτο τεταγμένοι ποικίλας ἐπῆγον αὐτῷ καὶ πολυτρόπους αἰκίας, αἷς ἀλγυνεῖσθαι μὲν σφοδρῶς ἔμελλεν, ἀν-

(10) Hic est, ni fallor, quem Niceph. lib. VIII, cap. 31, et lib. IX, c. 17. Antonium vocat, aitque, Tarsi Ciliciæ episcopum fuisse, et postquam cum aliis Luciani discipulis, quos recenset, tormentis victus ad gentilitias superstitiones deflexisset, præceptore opem ad pœnitentiam ferente, iisdem renuntiasse; quamvis deinde in Arii declinaverit errores.

(11) Colitur S. Pelagia 9 Junii.

θέξειν δὲ χρόνον ἐπὶ πολὺν κολαζόμενος· καὶ τοῦτο μὲν, εἰς τὴν ποδοκάκην, ξύλον δὲ πρόμηκές ἐστιν στρεβλωτήριον, ἀμφοτέρους αὐτοῦ τοὺς πόδας ἐνεβίβαζον, ἐπὶ τέσσαρα τρήματα διελκύσαντες, ὅπερ ἐστὶ τὸ τῆς τιμωρίας ταύτης βαρύτερον, ἅτε τῶν γλουτῶν ἑκατέρωθεν αὐτῷ βιαίως ἐξαρθρουμένων· τοῦτο δὲ, κατὰ νώτου παντὸς δεινὰς ὀστράκων ἀκίδας κακομηχάνῳ γνώμῃ πυκνὰς καὶ συνεχεῖς ὑπεστόρεσαν, καὶ ἵνα γε μηδὲ στρέφεσθαι τῷ δικαίῳ ἐξῇ, μηδὲ κινεῖσθαι τιτρωσκομένῳ ταῖς τοιαύταις ἀκίσι, διατείναντες αὐτοῦ τὰς χεῖρας ἐπί τινι ξύλῳ ὑπὲρ κεφαλῆς κειμένῳ ἐδέσμουν. Καὶ ἄλλα τε πλεῖστα ἐνύβριζον αὐτῷ, καὶ δὴ καὶ τροφῆς αὐτὸν εἶργον ἁπάσης, πλὴν εἰ νῶν παρ' αὐτοῖς μιαρῶς θυομένων ἐθελήσειε μετασχεῖν· τούτων γὰρ καὶ ἐπιδαψιλευόμενοι ὤρεγον. Ὁ δὲ μυρίους μᾶλλον ἀνῃρεῖτο θανάτους, καὶ ἴδιον ἦν αὐτῷ μένοντι ἀποσίτῳ ταῖς ἐκ τοῦ λιμοῦ παραφθείρεσθαι κεδόσιν, ἢ καὶ μόνην ἐκείνων ὑπομεῖναι τὴν θέαν· καὶ διέμενεν οὕτως ὁ τοῦ Χριστοῦ μάρτυς τῷ λιμῷ καταδαπανώμενος τέσσαρας καὶ δεκάτας πάσας ἡμέρας, τὰ συνήθη τε ποιῶν, καὶ λόγοις διδασκαλίας ἐπιθαρσύνων τοὺς ἐν τῷ δεσμωτηρίῳ διὰ Χριστὸν κατακεκλεισμένους, καὶ προσευχαῖς ἐπιμονωτάταις ἐπιστηρίζων.

ιγ'. Ἐπειδὴ δέ τινες ἡμέραι διεληλύθεσαν αὐτῷ τρόπον ὃν εἴρηται κακουμένῳ, καὶ ἤγγιζε μὲν ἤδη τῶν Θεοφανίων ἡ ἑορτὴ, τοὺς δὲ μαθητὰς (παρῆσαν γὰρ αὐτόθι πλείους ἔκ τε τῆς Ἀντιοχείας αὐτῷ καί τινων ἄλλων τόπων συναθροισθέντες) κατηφεία εἰσῄει, λογιμένους ὡς αὐτίκα τε τούτους ἀπολιπὼν οἰχήσεται μὲν ὁ διδάσκαλος, οὐκέτι δυνάμενος ἀντέχειν πρὸς τὸν πολυχρόνιον ἐκεῖνον λιμόν· αὐτοὶ δὲ οὐδαμῶς τούτῳ συνεορτάσαι τὴν τῆς θεοφανίας ἡμέραν ἀξιωθήσοντας (πόῤῥω γὰρ αὐτοῖς ἐφαίνετο οὖσα), καὶ μὴ δύνασθαι μέχρις αὐτῆς τὸ τοῦ διδασκάλου σῶμα ἀποχρήσειν αὐτῷ ἅτε τῆς ἀσιτίας ἤδη τὸ πλεῖστον αὐτῷ κατηναλωκυίας· ὁ ἀοίδιμος ἐκεῖνος ἀνὴρ πρὸς ταῦτα αὐτοῖς ἀντιφθεγγόμενος θαῤῥεῖν ἰσχυρῶς ἐκέλευε. Συνέσομαι γὰρ ὑμῖν, ἔφη, καὶ τὴν τῶν θεοφανίων ἡμέραν σὺν ὑμῖν ἑορτάσω, οἰχήσομαι δὲ τῇ ἐπιγινομένῃ. Καὶ μὲν δὴ καὶ ἐτελεύτησεν εἰς ἔργον οὗτος ὁ λόγος, θείας ἐπ' αὐτῷ δυνάμεως σαφῶς διαδεικνυμένης.

ιδ'. Ἐπεὶ οὖν ἡ προσδοκωμένη τῆς ἑορτῆς ἡμέρα κατέλαυνεν, ἐπόθησαν μὲν οἱ μαθηταὶ τελευταίας δὴ παρὰ τοῦ διδασκάλου ταύτης ἀπολαῦσαι μυσταγωγίας. Ἐδόκει δὲ ἄπορον εἶναι πῶς ἂν ἢ τράπεζαν εἰς τὴν εἱρκτὴν εἰσαγάγοιεν, ἢ τοὺς τῶν ἀθέων λάθοιεν ὀφθαλμοὺς, πολλῶν τότε τῶν μὲν παρόντων ἐκεῖ, τῶν δὲ εἰσαφικνουμένων. Ὁ δὲ τράπεζαν μὲν, ἔφη, τόδε τὸ ἐμὸν ἔσται στῆθος ὑμῖν, οὐ μοι δοκῶ τῆς ἐξαψύχου ὕλης ἀτιμοτέρα γενησομένη Θεῷ, ναὸς δὲ ἅγιος ὑμεῖς μοι γενήσεσθε, πανταχόθεν με περιστοιχισάμενοι· καὶ οὕτως ἐτελεῖτο μὲν ταῦτα τόνδε τὸν τρόπον. Ἤδη γὰρ ὡς ἐπὶ τελετῆς ζωῆς ὄντος τοῦ μάρτυρος, οἵ τε φύλακες ἀνεῖντο, καὶ Θεὸς, ἔγωγε οἶμαι, τόν τε μάρτυρα τιμῶν, καὶ τῶν αὐτοῦ μαθητῶν ἀπαραμύθητον ἀφεῖναι τὸν πόθον μὴ ἀνεχόμενος, παρασκευάζει τὸ πρὸς τὴν ἐκκληρωτιν τῶν

A rem, longo autem tempore in pœnis duraturus. Et nunc quidem in cippum (est autem hoc tormenti genus oblongum) ambos ejus pedes immittebant, ad quatuor distrahentes foramina: quod quidem est in hoc supplicio gravissimum, cum utrinque coxendices violenter e suis moveantur articulis: nunc autem in toto dorso graves testarum aculeos densos et continuos maligno animo substernebant: et ut ne liceret quidem viro justo se vertere, et ne moveri quidem, dum talibus sauciaretur aculeis; ejus manibus extensis, eas vinciebat in quodam ligno, quod erat positum super ejus caput. Quin etiam aliis quoque multis eum afficiebat probis ac contumeliis, et eum etiam arcebant ab omni cibo, nisi vellet vesci iis quæ ab ipsis sacrificabantur; ea

B enim affatim porrigebant. Ille autem maluisset subire mortes vel innumerabiles, et libentius manens jejunus, paulatim a fame esset consumptus, quam vel illorum solum passus esset conspectum. Sic igitur permansit Christi servus, qui a fame consumebatur, totos quatuordecim dies faciens consueta, et verbis doctrinæ animum addens iis qui pro Christo erant inclusi in carcere, et eos confirmans constantissimis et perpetuis precibus.

13. Cum autem aliquod jam dies transissent, et quo eo modo, quo diximus affligebatur, et jam appropinquaret quidem dies festus Theophaniorum; discipulos autem (jam enim ei plures aderant ex Antiochia et ex aliis locis congregati) subiisset tristitia, reputantes fore, ut eis statim relictis abeat quidem magister, non valens resistere diuturnæ illi

C fami; ipsi autem nequaquam digni censeatur, qui Theophaniæ diem festum cum eo celebrent; videbatur enim eis esse adhuc valde remotus, et non posse magistri corpus usque ad eum diem sufficere, utpote quod inedia illud jam magna ex parte consumpsisset; vir ille inclytus eos consolans, jubebat esse bono animo: Ero enim, inquit, vobiscum, et diem festum Theophaniorum vobiscum celebrabo: recedam autem postridie. Ad effectum autem deductum fuit id quod dixerat, aperte divina in hoc ostensa virtute.

14. Cum ergo advenisset dies festus, qui exspectabatur, desiderabant quidem discipuli hanc ultimam a magistro consequi mysterii divini celebra-

D tionem. Videbatur autem esse dubium, quonam modo mensam quidem in carcerem inferrent, aut laterent impiorum oculos, cum multi quidem tunc partim illic adessent, partim autem accederent, ille vero: Mensa quidem, inquit, erit vobis hoc meum pectus, non, ut arbitror, Deo futura minus honesta ea quæ fit ex inanima materia, templum autem sanctum vos mihi eritis, me omni ex parte circumdantes. Et sic hæc facta quidem sunt hoc modo. Jam enim, ut quod esset sanctus in fine vitæ, et remissi erant custodes, Deo, ut ego quidem arbitror, qui martyrem honorare volebat, et suorum discipulorum non sustinebat inconsolabile videri

desiderium, efficiente, ut citra impedimentum fierent ea, quæ erant proposita. Nam cum omnes eos martyr fecisset in orbem consistere, ut inter se invicem alter prope alterum stantes, eum tuto comprehenderent, jussit suo pectori imponi signa divini sacrificii. Postquam hæc fecissent, et in cœlum protinus sustulit obtutum, cum jam vix posset extollere, et preces peregit consuetas. Deinde cum divina plurima esset effatus, et sacro ritu omnia peregisset proposita, ipse et fuit particeps Sacramentorum, et transmisit ad eos qui aderant, ut ipse quoque ostendit in ultima ad eos epistola. Et hunc quidem diem cum eis transegit, sicut erat pollicitus.

A προκειμένων ἀκώλυτον· πάντας γὰρ αὐτοὺς ὁ μάρτυς κύκλῳ περιστησάμενος, ὡς ἂν ὁμοῦ τοῦτον καὶ παρ' ἀλλήλους στάντες ἀσφαλῶς περιλάβωσιν, ἐκέλευε τῷ ἑαυτοῦ στήθει ἐπιφέρειν τὰ τῆς θείας ἱερουργίας σύμβολα. Ἐπεὶ δὲ ταῦτ' ἔθεσαν, εἰς οὐρανόν τε ἀνῆκεν εὐθὺς συμπεσὼν ἤδη τὸ βλέμμα καὶ μόλις ἀνατεῖναι δυνάμενος, καὶ τὰς συνήθεις εὐχὰς ἐποιεῖτο, εἶτα καὶ πλεῖστα ἐπιθειάσας, καὶ κατὰ τὸν ἱερὸν θεσμὸν ἅπαντα τὰ προτεθέντο τελεσάμενος, αὐτός τε μετέσχε τῶν μυστηρίων, τούς τε παρόντας τῶν μαθητῶν ἐπέτρεψε μετασχεῖν, καὶ τοῖς ἀποῦσι διέπεμψεν, ὡς καὶ αὐτὸς ἐν τῇ ἐσχάτῃ πρὸς αὐτοὺς ἐπιστολῇ ταῦτα δεδήλωκεν. Καὶ ταύτην μὲν δὴ τὴν ἡμέραν συνδιήρκεσε τούτοις ὥσπερ ἦν ὑποσχόμενος.

15. Postridie autem cum venissent quidam ab imperatore, visuri an adhuc viveret (videbatur enim eis valde mirandum, quod vitam hucusque produxisset), postquam prope se stantes aspexit eos qui advenerant, cum se, quantum poterat extendisset, et ter dixisset, Sum Christianus; simul cum ultima voce emisit spiritum.

B ιε'. Εἰς δὲ τὴν ὑστεραίαν ἐλθόντων παρὰ τοῦ βασιλέως τινῶν τῶν ὀψομένων εἰ ἔτι γε διαζῇ (θαῦμα γὰρ αὐτοὺς ἐξαίσιον ἡ τῆς ζωῆς αὐτοῦ μέχρι τούτου παράτασις), ἐπειδὴ πλησίον ἑαυτοῦ σταντας ἐθεάσατο τοὺς ἀφικομένους, ὁπηλίκον ἐδύνατο βιασάμενος ἑαυτὸν, καὶ τρίτον ἀνειπὼν τὸ Χριστιανός, εἰμι, τῇ τελευταίᾳ φωνῇ συναφῆκε τὸ πνεῦμα.

CAPUT V.

Ejus sepultura. Helenopolis civitas.

16. Sunt autem qui dicant, eum adhuc spirantem projectum fuisse in profundum maris. Maximianus enim admiratus ejus perpetuam ad finem usque constantiam, jussit iis qui in ejusmodi rebus inserviunt, ipsum in mare jacere, cum magnum lapidem appendissent brachio ejus dextero, ut, submersus nusquam appareret, et corpus ejus nullam assequeretur sepulturam, nec justa ei fierent. Atque fuit quidem in profundo quatuordecim dies, nempe totidem, quot in carcere decertarat adversus varias corporis perpessiones. Quintodecimo autem delphinus in siccum eum hoc modo extulit: cum ejus discipuli circa ripas et littora alius alibi versarentur, ut viderent, si quo modo possent eum e mari ejectum invenire, tempore autem hiberno id valde esset turbatum: diuturnum tempus effecit, ut plane desperarent se posse id invenire.

ις'. Εἰσὶ δέ τινες οἳ λέγουσι αὐτὸν ἔτι μᾶλλον ἔμπνουν ὑπάρχοντα τῷ τῆς θαλάσσης ἐναπορριφῆναι βυθῷ. Ὁ γὰρ Μαξιμιανὸς πρὸς τὴν μέχρι τέλους ἔνστασιν αὐτοῦ καὶ τὸ ἀνένδοτον ἐκπλαγεὶς προσέταξε τοῖς ταῦτα διακονοῦσιν εἰς τὴν θάλασσαν αὐτὸν C ῥίψαι, λίθον μέγιστον τοῦ δεξιοῦ βραχίονος ἐξαρτησαμένους, ἵν' ὑποβρύχιος ἀφανισθείη γενόμενος, καὶ μηδεμιᾶς ὁ νεκρὸς αὐτοῦ ταφῆς, ἤ τινος ἄλλης θεραπείας δυνηθείη τυχεῖν. Ὃν μὲν οὖν ἐν τῷ βυθῷ τεσσαρες καὶ δεκατὰς ὅλας ἡμέρας, ἐν ὅσαις περ ἦν καὶ ἐν τῇ εἱρκτῇ πρὸς τὰ ποικίλα πάθη τοῦ σώματος διαγωνιζόμενος. Τῇ δὲ πεντεκαιδεκάτῃ δελφὶς αὐτὸν ἐξεκόμισεν ἐπὶ τὸ ξηρὸν, τοῦτον τὸν τρόπον· τῶν μαθητῶν αὐτοῦ περὶ τὰς ἀκτὰς καὶ τοὺς αἰγιαλοὺς ἄλλων ἄλλῃ διατριβόντων, εἴ που δυνηθεῖεν αὐτὸν ἀποπτυσθέντα τῆς θαλάσσης ἀνευρεῖν· ἐν ὥρᾳ χειμερίῳ σφοδρῶς ἐκταραττομένης αὐτῆς, ὁ χρόνος παρατεινόμενος ἀπογνῶναι τούτους τὴν ἀνεύρεσιν παρεσκεύαζεν.

17. Interim vero adveniente quintodecimo die, martyr in somnis apparens cuidam Glycerio, germano suo discipulo, qui tunc versabatur in regione adversa continenti Nicomediæ, dicit ei: O tu, cum primum mane surrexeris, abi in hunc locum (ostendens locum littoris); te enim, inquit, conveniam, cum illuc veneris. Ille autem, cum primum, ex magna evidentia et admiratione eorum quæ ostensa fuerant, cum somnus dimisisset, et jam dies illucesceret, surgens, et quosdam alios, ex piis secum assumens, cum eis venit in locum, qui fuerat ei significatus. In eo autem ingens delphinus ascendebat e mari, jam ex eo emergens: qui cum esset extensus super aquæ superficiem, valde spirabat, et ad

D ιζ'. Ἐν τούτῳ δὲ καὶ τῆς πεντεκαιδεκάτης ἡμέρας ἐφισταμένης, ὄναρ ἐπιφανεὶς ὁ μάρτυς τῷ Γλυκερίῳ τινὶ τῶν γνησίων αὐτοῦ φοιτητῶν, ἐπὶ τῆς ἀντιπέρας πρὸς τὴν Νικομήδειαν ἠπείρου τηνικαῦτα τὴν διατριβὴν ποιουμένῳ, φησὶ πρὸς αὐτόν· Αὐτίκα, ὦ οὗτος, ἕωθεν ἀναστὰς εἰς τόδε τὸ χωρίον ἄπιθι (τῆς ἠϊόνος δηλώσας τὸν τόπον)· ἐντεύξομαι γάρ σοι, ἔφη, ἐκεῖ παραγενομένῳ. Ὁ δὲ, τάχιστα αὐτὸν ἐκ τοῦ λίαν ἐναργοῦς καὶ πληκτικοῦ τῶν δειχθέντων ὡς ὕπνος ἀνῆκεν, ἡμέρα τε ἤδη ὑπηύγαζεν, ἀναστὰς καί τινας ἑτέρους τῶν φιλευσεβῶν συμπαραλαβὼν, εἰς τὸ δηλωθὲν χωρίον ἐφοίτα μετ' αὐτῶν. Ἐν τούτῳ δὲ καὶ δελφῖνος μέγιστόν τι χρῆμα ἐκ τῆς θαλάττης ἀνῄει, ἄρτι ταύτης ἀναδυόμενος, καὶ ἐπειδὴ

πρὸς τῇ ἐπιφανείᾳ τοῦ ὕδατος ἦν ἁπλωθεὶς, ἐφύσα τε μέγα καὶ πρὸς τὴν χέρσον ἐχώρει, καὶ πολὺς περὶ αὐτὸν ἀφρός τε καὶ ῥοῖζος ἦν, τῶν κυμάτων αὐτῷ συνεχῶς ἐπισχιζομένων. Ἔφερε δὲ ἄρα τὸν νεκρὸν ἐκτάδην, ὡς ἐπί τινος κλίνης κείμενον· καὶ θέαμα παράδοξον ἦν ἐφ' οὕτως ὀλισθηροῦ σώματος καὶ περιφεροῦς, μένων ἀτρέμας ὁ νεκρὸς, καὶ μήθ' ὑπὸ τοῦ οἰκείου βάρους, μήποτε μὴν ὑπὸ τῆς τῶν κυμάτων βίας τοῦ φέροντος αὐτὸν ὀχήματος περικυλινδούμενος. Ἐπειδὴ δὲ πρὸς τῇ ἠπείρῳ γεγονὼς ὁ δελφὶς, μετέωρος ἤρθη τῷ κύματι, καὶ γέγονεν ἐπὶ τοῦ ξηροῦ, ὁ μὲν αὐτίκα θεὶς ἀπέπνευσεν.

ιη'. Ὁ δὲ νεκρὸς ἐπὶ τὴν ψάμμον ἐνεχθεὶς ἔκειτο σῶος, καὶ τὰ πάντα ἄρτιος, πλὴν ὅτι γε ἡ δεξιὰ χεὶρ, ἧς ὁ λίθος ἐξαρτηθεὶς ἔτυχεν, οὐ συνεπηκολούθησεν ἐξ αὐτῆς τῷ λοιπῷ σώματι. Καὶ εἰσὶν οἱ λέγοντες ὡς οὐδὲ ὕστερον ἐξεπέμφθη τῆς θαλάσσης, ἀλλ' ἔμενεν ἐν τῷ βυθῷ, ὅτι καὶ ἔδοξε τῷ Θεῷ, γενομένη. Τινὲς μέντοι φασὶ, μετ' οὐ πολὺ καὶ ταύτην ἀναδοθῆναι, παραρυέντος αὐτῇ τοῦ δεσμοῦ, καὶ αὐτὴν τῇ χέρσῳ προσκομισθεῖσαν τοὺς παρόντας ἀνελομένους, εἰς τὴν αὐτὴν ἀποκαταστῆσαι πάλιν τοῦ σώματος ἁρμονίαν. Συνέβη δὲ τὸ περὶ τὴν χεῖρα πάθος, τοῦ Θεοῦ, μοι δοκῶ, τιμῆσαι ταύτην ἰδίως βουληθέντος, ἅτε τὸν διὰ ταύτης ἐπὶ τῇ τῶν Γραφῶν ἐπανορθώσει γενόμενον πόνον ἀποδεξάμενον. Ἐν γὰρ τοῖς ὑπὲρ Χριστοῦ πάθεσι τὸ βαρύτερον ἐντιμότερον.

ιθ'. Οὐ γὰρ ἂν ἀπὸ ταυτομάτου νομίσειέν τις τὸν νεκρὸν ὑπὸ τοῦ δελφῖνος ἐκκομισθῆναι, οὐδὲ τινὸς αὐτῷ τύχης ἐργασαμένης. Ὅτι μὲν γὰρ τῷ ὄντι δελφὶς αὐτὸν τυγχάνει τῆς θαλάττης ἐξενεγκὼν, ὃν εἴρηται τρόπον, σαφέστατον εἶναι δοκεῖ, πολλῶν τε τῶν κατ' ἐκεῖνον γενομένων τὸν χρόνον μνήμην τοῦ τοιούτου ποιησαμένων. Καὶ αὐτὸς δὲ ἔτι ἐκ παιδὸς οἶδα ᾀδόμενον ἐπ' αὐτῷ, οὗ τὸ ἀκροτελεύτιόν ἐστι τόδε·

Δελφὶς δ' ἐπὶ νῶτα κομίζων
Ἐξέπνευσε φέρων ἐπὶ γαίην.

Ὅτι δὲ οὐ συντυχίας τὸ τοιοῦτον ἂν εἴη, δηλοῖ μὲν οὐχ ἥκιστα καὶ αὐτὸ τὸ μέγεθος τοῦ τελεσθέντος θαυματουργήματος, καὶ μὲν δὴ καὶ τὸ ἐνύπνιον τὸ ἐπὶ τούτῳ γενόμενον· οὐ μὴν ἀλλὰ καὶ τὰ μετὰ ταῦτα δειχθέντα. Ἐξενεχθεὶς γὰρ τῆς θαλάσσης ὁ νεκρὸς θαῦμα τοῖς θεωμένοις ἐξαίσιον ἦν· πλὴν τοῦ κατὰ τὴν χεῖρα πάθους, τὰ ἄλλα γε ἀπαθὴς διαμένων, μήτε τῆς θαλάσσης ἐπὶ τοσαύτας αὐτὸν ἡμέρας λωβησαμένης, μήτε τινῶν ἰχθύων προσαψαμένων, μήτε τινὸς δυσώδους ὀσμῆς ἐκεῖθεν ἀποφερομένης, ὡς πανταχόθεν εἶναι σαφὲς ὅτι θεῖον ὑπῆρχε τὸ τελεσθὲν, καὶ οὔτε τὸ πρότερον ὀλιγωρίᾳ τινὶ Θεὸς, οὐδὲ τοῦ ἀμύνειν ἀδυναμίᾳ, τοὺς τηλικούτους ἀφῆκε τῷ μάρτυρι συνενεχθῆναι κινδύνους, οὔτε νῦν εὐλογωτάτης ἄνευ αἰτίας εἴασεν αὐτῷ διαζυγῆναι τὴν χεῖρα τοῦ λοιποῦ σώματος, ὅ γε τοσαύτην ἐπ' αὐτῷ θαυματουργίαν ἐκτελεσάμενος· ἀλλὰ τηνικαῦτά τε τὴν ἅπασαν αὐτοῦ κοσμῶν ἀρετὴν εἰς κοινωνίαν αὐτὸν ἐκάλεσε τῶν τοῦ παιδὸς ἑαυτοῦ παθημάτων.

A terram contendebat: eratque circa ipsum multa spuma, et murmur fluctuum, qui ab ipso scindebantur. Ferebat autem extensum mortuum, tanquam in lecto jacentem. Eratque spectaculum admirabile, super corpus adeo lubricum et rotundum quiete manens mortuus, et nec a suo pondere, neque a vi fluctuum devolutus ab eo, quod ipsum portabat, vehiculo. Cum autem delphinus fuisset prope continentem, fluctu sublime fuit sublatus, et terræ id appulit. Atque ille quidem statim exspiravit.

18. Mortuus autem statim in arenam delatus, jacebat salvus et omni ex parte integer, nisi quod manus dextra, cui lapis fuerat appensus, non est corpus quoque reliquum consecuta. Et sunt quidam qui dicunt, eam nec postea quidem fuisse e mari emissam, sed mansisse in profundo, effectam id quod Deo visum fuit. Nonnulli autem dicunt B eam quoque non ita multo post fuisse redditam, cum effluxisset ei vinculum; eamque in terram delatam, cum sustulissent ii qui aderant, restitutam fuisse rursus in eamdem compagem corporis. Hoc autem accidit manui, cum Deus, ut arbitror, eam seorsum voluisset honorare, ut qui acceptum habuisset laborem, qui per eam fuit susceptus in corrigendis Scripturis. Nam in perpessionibus, quas pro Christo susceperat, in majori honore fuit ea quæ erat gravior.

19. Non autem existimabit quispiam, corpus mortuum a delphino casu fuisse allatum, neque id factum fuisse forte fortuna. Nam quod revera quidem delphinus eum eo modo, qui dictus est, exportarit, videtur esse manifestissimum, cum C multi, qui fuerunt illo tempore, hujus fecerint mentionem. Quin etiam ipse quoque scio ab ineunte ætate de illo cani solitum hoc, cujus est pars extrema:

In terram dorso portansque ex æquore delphin,
Exspiravit.

Quod autem non factum sit casu, vel maxime quidem ostendit ipsa magnitudo miraculi quod factum est; somnium quoque, quod propter id evenit; quin etiam ea quoque quæ postea sunt ostensa. E mari enim exportatum corpus, erat insigne miraculum iis qui contemplabantur, ut quod præter id quod in mari acciderat, illæsum alioqui maneret, et nec mare tam multis diebus ei nocuisset, neque ulli pisces D id tetigissent, neque ullus malus odor illinc emitteretur: adeo ut esset omni ex parte manifestum, fuisse divinum id quod factum est. Neque vero prius aliquo contemptu, neque quod eum non posset defendere, sivit Deus tanta pericula adire martyrem: neque nunc sine justissima causa sivit ei disjungi manum a reliquo corpore is qui in eo tam multa fecerat miracula. Sed et tunc universam ornaturus ejus virtutem, vocavit ipsum ad societatem passionum sui Filii, optimam et justissimam ei præbens occasionem ad

hoc ut ipsum quoque illius impertiret gloria. Et hæc est mihi communis ratio in omnibus martyribus, id est, testibus veritatis. Nunc autem volens confirmare studium, quod contulit in sacras Scripturas, esse opus plurimi faciendum, manum, quæ ei proprie in hac re inserviit, voluit etiam propriis honorare passionibus, quomodo etiam, ut arbitror, solent spectatores sertis redimire brachia athletarum. Quod si quis etiam crediderit eam in mari mansisse, ei licet et hæc considerare, et quod Deus miraculis sæpe etiam admiscet ea quæ procedunt a natura, ut per illa quidem ostendatur virtus effectrix miraculorum, per hæc autem fides quoque habeatur naturæ. Sed hæc quidem, et propter quam causam unumquodque contigit, pure demum sciat is qui hæc administrat. Quinetiam in singulis eorum, quæ ab ipso admirabiliter fiunt et geruntur, didicerit quisque aliam quoque esse arcanam, et quæ sit supra nos rationem, optimamque, et quæ comprehendi non potest, administrationem, neque temere aliquid fieri aut fortuito.

A ἀρίστην αὐτῷ πρόφασιν παρασχὼν καὶ δικαιοτάτην, εἰς τὸ καὶ τῆς δόξης αὐτὸν τῆς ἐκείνου ποιήσασθαι κοινωνόν. Καὶ οὗτός μοι κοινός ἐστι κατὰ πάντων τῶν τῆς ἀληθείας μαρτύρων ὁ λόγος. Νῦν δὲ κυρῶσαι βουλόμενος τῷ ἀνδρὶ τὴν ἐν ταῖς ἱεραῖς Γραφαῖς εἰσενεχθεῖσαν σπουδὴν, καὶ ὡς πολλοῦ τινος ἄρα ἦν ἡ πραγματεία ἀξιωτάτη, τὴν χεῖρα αὐτοῦ τὴν ἰδίως πρὸς τοῦτο διακονησαμένην ἰδίοις ἠξίωσε τιμῆσαι καὶ τοῖς παθήμασι· καθάπερ, οἶμαι, καὶ τῶν ἀθλητῶν οἱ θεαταὶ τοὺς βραχίονας εἰώθασι ταινιοῦν. Εἴ γε μέντοι τις αὐτὴν ἐγκαταμεμενηκέναι τῇ θαλάσσῃ πιστεύσειε, πάρεστι καὶ ἐπὶ τούτῳ λογίσασθαι ταῦτά τε, καὶ ὅτι ταῖς θαυματουργίαις Θεὸς πολλάκις ἐγκαταμίγνυσι, καὶ τὰ ἀπὸ τῆς φύσεως, ἵνα διὰ τὸ μὲν θαυματουργὸς δεικνύηται δύναμις, διὰ
B δὲ τῶν μὴ ἀπιστοῖτο ἡ φύσις· ἀλλὰ ταῦτα μὲν, καὶ δι' ἣν ἕκαστον τὴν αἰτίαν συμβαίνει, ἴστω καθαρῶς αὐτὸς ὁ τάδε διέπων. Πλὴν ἐφ' ἑκάστοις τῶν παρ' αὐτοῦ θαυματουργουμένων ἢ πραττομένων, ἐκμάθοι τις ἂν καὶ ἕτερον εἶναι λόγον ἀπόρρητον, καὶ ὑπὲρ ἡμᾶς, καὶ ἀρίστην οἰκονομίαν, καὶ ἀκατάληπτον, καὶ μηδὲν εἰκῇ μηδὲν ὃν ἔτυχε γενέσθαι τρόπον.

20. Tunc ergo sic a delphino exportatum corpus, delatum est in arenam. Concurrentes autem discipuli, primum quidem, ut decebat, id salutabant, alius aliunde venientes, et osculabantur, et amplectebantur, unusquisque pro viribus, ob promptum et alacre animi studium. Deinde vero cum id sumpsissent, et propriis manibus extulissent, et ei justa omnia de more fecissent, in loco insigni deposuerunt. Et tunc quidem illi sepulcrum, quale potuerunt, prout tempus urgebat, statuerunt. Postea autem, quæ nobis salutarem Domini restituit Crucem, et magnum inter claros imperatores genuit Constantinum, veneranda Helena, quando revertebatur Hierosolymis, locum honorans, et in eo condidit (12) civitatem, convocatis habitatoribus ex iis, quæ circum circa erant, regionibus, et effectis operis participibus, et validis eam cinxit mœnibus, et martyri templum ædificavit maximum : quod nunc quoque insigne et pulchre exstructum cernitur ab iis, qui et terra et mari ingrediuntur ac navigant ; ad gloriam Domini nostri Jesu Christi, et eorum, qui propter ipsum decertaverunt : quoniam eum decet gloria in sæcula sæculorum. Amen.

κ'. Τότε δ' οὖν ὡς ὑπὸ τοῦ δελφῖνος ἐκκομισθεὶς ὁ νεκρὸς ἐπὶ τὴν ψάμμον ἠνέχθη, συνδραμόντες οἱ μαθηταὶ πρῶτα μὲν ἠσπάζοντο κατὰ τὸ πρέπον, ἀλλαχόθεν ἄλλος ἐπιγινόμενοι, καὶ ἐφίλουν τε ὡς ἦν δυνατὸν ἕκαστος ὑπὸ προθυμίας, καὶ περιέβαλλον. Ἔπειτα μέντοι διαλαβόντες, καὶ χερσὶν οἰκείαις ἐκκομισάμενοι, πάντα τε τὰ ἐπ' αὐτοῖς νενομισμένα
C τελέσαντες, ἐν τόπῳ ἐπισήμῳ κατέθεσαν· καὶ τηνικαῦτα μὲν ὁποῖον ἠδυνήθησαν αὐτῷ τὸν τάφον ὡς ὁ καιρὸς ἤπειγε περιέστησαν· ὕστερον δὲ, ἡ τὸν σωτήριον ἡμῖν γνωρίσασα τοῦ Κυρίου σταυρὸν, καὶ τὸν μέγαν ἐν ἀοιδίμοις καὶ βασιλεῦσι βασιλέα Κωνσταντῖνον γεννήσασα σεβασμία Ἑλένη, ἡνίκα ἐξ Ἱεροσολύμων ὑπέστρεφε, τιμῶσα τὸν τόπον, πόλιν τε συνῴκισεν ἐν αὐτῷ, τοὺς τῶν πέριξ χωρῶν οἰκήτορας συγκαλεσαμένη, καὶ κοινωνοὺς τοῦ ἔργου ποιησαμένη, καὶ τεῖχος περιέβαλε καρτερὸν, καὶ τῷ μάρτυρι τὸν νεὼν ᾠκοδομήσατο μέγιστον, ὃς νῦν ἔτι περιφανὴς καὶ εἰς κάλλος ἐξειργασμένος, τοῖς ἐκ γῆς καὶ θαλάττης ὁδοιποροῦσί τε καὶ ναυτιλομένοις ὁρώμενος, εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν δι' αὐτὸν ἀθλησάντων, ὅτι αὐτῷ πρέ-
D πει κράτος καὶ αἴνεσις καὶ μεγαλοπρέπεια, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

(12) Chronicon Alexandrinum anno Constantini 22 Constantio Cæsare V et Maximo coss., qui erat Christi 327 hæc habet : « Constantinus instaurata Drepani urbe in Bithynia ad cultum S. Luciani martyris, illam a matre sua Helenopolim nuncupavit, donata civitati in martyris honorem, quousque patet ante urbem prospectus, immunitate vectigalium ad hodiernum usque diem. » Nota et Stephano Byzantio Drepane Bithyniæ ad sinum Astacenum civitas. Socrates lib. I, cap. 13, Helenæ nomine Drepane Helenopolis vocatur, olim vicus, jam civitas ab imperatore facta. Nicephorus Callistus lib. VIII, cap. 31, de S. Helena agens : « Perinde enim, inquit, atque pignus quoddam futura sæcula habent, ad memoriam ejus sempiternam, in Bithynia unam ; et in Palæstina alteram urbem ; quibus imperator filius conditis memoriam illi tribuit immortalem. Admodum vero B. Helenam regione et situ alterius delectatam esse ferunt, quæ antehac Drepanum nominata fuerat ; cum quod ibi orta esset, tum quod Lucianum martyrem post martyrium obitum eo a delphino deportari contigerit. » Baronius tom. III, ad an. 306, n. 16, S. Helenam Britannam fuisse asserit, non Bithynam.

ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΠΟΛΥΕΥΚΤΟΥ

CERTAMEN

SANCTI MARTYRIS POLYEUCTI (1).

(Anno 250.)

[Græce nunc primum editur ex cod. ms. Parisiensi n. 1467, sæculi XIV. Latine dedit Surius ad diem 9 Januarii, EDIT. PATR.]

—

Α′ Εἴπερ τις ἄλλη, καὶ καλλίστη τῶν διηγήσεων, A καὶ ἡ τοῦ θαυμαστοῦ μάρτυρος Πολυεύκτου· ἔχει γὰρ μετὰ τῆς ὠφελείας κομιδῇ καὶ τὸ χάριεν, καὶ τούτου τὴν πεῖραν αὐτὴν ἀψευδῆ μάρτυρα δύναται παρέχειν. Λεγέτο γοῦν καὶ εἰς μέσον ὑμῖν προτιθέτω τοῖς φιλοθέοις ἀκροαταῖς, καὶ ὑμῶν ὅση δύναμις τὰ παρ' ἑαυτῶν εἰσφερόντων, ἀνέτους τε διδόντων τῷ λόγῳ τὰς ἀκοὰς, καὶ πρόθυμον ὅλως καὶ ἀνεγηγερμένην διάνοιαν παρεχόντων πρὸς τὴν διήγησιν.

Β′. Κατὰ τοὺς Δεκίου καὶ Οὐαλεριανοῦ χρόνους τῶν βασιλέων, ἦν τις Νέαρχος καὶ Πολύευκτος, στρατιῶται μὲν τὸ ἐπιτήδευμα, οὕτω δὲ φιλίᾳ πρὸς ἀλλήλους συνδεδεμένοι, ὡς πολλῷ πλέον αἵματός τε καὶ συγγενείας, ἐκ τῆς κατὰ πόθον ἀκριβοῦς ὁμονοίας συνηρμόσθαι αὐτῶν τὰς ψυχὰς, ἑκάτερόν τε ἐν B ἑκατέρου σώματι ζῆν ὅλως ἢ καὶ ἀναπνεῖν οἴεσθαι. Ἦν δὲ ὁ μὲν Νέαρχος Χριστιανὸς, καὶ πιστὸς, καὶ περὶ τὴν εὐσέβειαν ἀκριβής· Πολύευκτος δὲ ὁ καλὸς τὴν μὲν θρησκείαν Ἕλλην, καὶ οὔπω τῷ φέγγει τῆς ἀληθείας περιλαμφθεὶς, νοῦν δὲ τὸν ἀκριβῆ Χριστιανὸν ἀποσώζων, καὶ ἀρετῇ πάσῃ κομῶν, καὶ ἐλαία μὲν κατάκαρπος ὢν, τὸ δὲ ἐν οἴκῳ Θεοῦ εἶναι τοῦτο μόνον ἔτι λειπόμενος. Ἐπεὶ δὲ Δέκιος ἐκεῖνος καὶ Οὐαλεριανὸς οὐ καλῶς τῇ βασιλείᾳ χρησάμενοι, οὐδὲ τὸν δεδωκότα ταύτην ἐπιγνῶναι καὶ λατρεῦσαι ἐθελήσαντες, ἀλλὰ κατ' αὐτοῦ μᾶλλον χεῖρα θεομάχον ἐπάραντες, καὶ οὐκ αὐτοὶ μόνον ἀρνούμενοι, ἀλλὰ καὶ πᾶν τὸ ὑπήκοον ἐγγράφοις ἐπιτάγμασιν εἰς τοῦτο προσκαλοῦντες, καὶ πᾶσι τρόποις τῆς θεογνωσίας, ἀπείργοντες ἦσαν, θεούς τε, οἴ μοι, ψευδοῦς καὶ ματαίους εἰς τὴν τοῦ ἀληθινοῦ Θεοῦ C χώραν ἐγκαθιστῶντες, καὶ σέβειν ἐκείνους μᾶλλον καὶ προσκυνεῖν ἀναγκάζοντες, εἰ καὶ λίθων ὄντως καὶ ξοάνων ἀναισθητοτέρους.

Γ′. Ἐπεὶ δὲ ταῦτα οὕτως εἶχε, καὶ κατὰ πόδας αἵ τε τιμωρίαι καὶ ἀμοιβαὶ, τοῖς μὲν πειθομένοις

I. Si est ulla alia pulcherrima narratio, pulcherrima quoque est narratio admirabilis martyris Polyeucti. Nam cum utilitate, magna quoque est conjuncta jucunditas. Hujus autem rei potest ea non falsam testem adducere experientiam. Dicatur ergo, et a nobis in medium proferatur piis Deique amantibus auditoribus, vobis quoque pro viribus, quæ vestra sunt afferentibus, aures orationi attentas exhibentibus, promptumque et alacrem animum præbentibus narrationi.

II. Tempore imperatorum Decii et Valeriani, erat quidam Nearchus et Polyeuctus, studio quidem milites, amicitia autem ita inter se devincti, ut longe magis, quam si inter eos intercessisset sanguinis et cognationis necessitudo, summo sui invicem desiderio et insigni concordia ac consensione conjuncti essent eorum animi, et uterque in alterius corpore se putaret vivere et spirare. Erat autem Nearchus quidem Christianus et fidelis, pietateque ac vera religione perfectus. Egregius autem Polyeuctus, gentilis quidem religione, et veritatis luce nondum illuminatus, alioqui se Christianum accurate conservans, et omni virtute exornans: et erat quidem olea frugifera, hoc autem solum ei deerat quod nondum erat in domo Dei. Quoniam autem Decius ille et Valerianus non recte utebantur imperio, nec eum, qui illud eis dederat, agnoscere et colere volebant, imo vero manum impiam, et cum Deo pugnantem, in ipsum erexerant: et non solum eum negabant, sed omnes quoque subjectos scriptis edictis incitabant, et omnibus modis arcebant a Dei cognitione: et deos, proh dolor! falsos et vanos, in veri Dei locum constituebant, et illos colere et adorare cogebant, qui minus habent sensus, quam lapides et statuæ.

III. Quoniam ergo hæc ita habebant, et proposita erant supplicia et præmia: iis quidem qui parebant,

(1) Ejus festum martyrol. Rom., Beda, Usuardus et alii 13 Febr. habent: quod forte translationis ejus festum est: constat enim ex actis, eum 10 die Jan. martyrium consummasse. Græci ejus natalem hac die celebrant.

honores, dona et pecuniæ; iis autem, qui non parebant, minæ, pœnæ et ultimum malum mors: amico timuit Nearchus, et putavit hoc esse tempus quod effecturum esset, ut dissensio in religione, eorum quoque dissolveret amicitiam. Hæc eum in animo haberet, et apud se versaret, aperte ostendebat se cruciari animo, magnisque agitari fluctibus, et occulte deflere amicum. Præstantissimus autem Polyeuctus cum videret sic se habere amicum, pungique aculeis doloris, et qui verbis explicari nequeunt, gemitibus conari levare magnam animi ægritudinem, et vestigia lacrymarum indicare oculis, amice ad eum accedens, interrogat, et causam quærit discere, cur ita se habeat. Nam ipse quoque nihilominus dolebat, cum eum videret sic affectum, qui erat ejusdem cum eo animi. Ille autem volebat quidem dicere, et significabat se nihil posse celare amicum: esse autem aliquam causam, propter quam etiam si velit dicere, necesse habeat tacere, et amici consolationem hac in re minime consequi. Cum autem valde divinus urgeret Polyeuctus, et postularet ut ei secretum aperiret et ei exprobraret contemptum amicitiæ, et mutatam affectionem, Nunquid, dicens, aliquid offendimus? Quanam in re tibi molesti fuimus? Quænam res tam dira et tam atrox facta est, ut Polyeuctum tuum a venia arceas?

IV. Hæc cum diceret, et animo angeretur, non ferens Nearchus, oculos suffusus lacrymis, et profundo suspirio internam cordis flammam significans: Cum, inquis, o amicissime, nostræ consensionis et dilectionis apud me cogito separationem, necesse quoque habeo animum abrumpere. Hæc postquam ille audiit, corde gravissime perculsus: Quomodo hæc, inquit, Nearche, quomodo, et cur hæc verba dicis præter spem? et undenam hæc erit nobis separatio, quam statuimus ne mortem quidem posse nobis facere? Hoc est, inquit, o amicissime, quod me propemodum suffocat, et ipsum comprimit spiritum et animam, quoniam hæc, quam dixi, separatio est nobis humana morte validior et gravior. Cum autem nondum, quid sibi vellet oratio, intelligeret Polyeuctus, statim surgens, et amicum complexus, et ei ita ut eum tenebat, ardentissime circumfusus: Sed dic, inquit, mihi, o Nearche, dic aperte, et explica quemadmodum hæc sit futura separatio. Non enim fero amplius hoc minime amicum silentium. Sin minus, videbis jam tuum Polyeuctum in terra jacentem mortuum et examinem. Atque videbatur quidem Nearchus velle dicere, sed victus ab animi perturbatione vinctam habebat linguam: et solum mœstus ac conturbatus, amicum fixis aspiciebat oculis, et immoderatum significabat dolorem. Postquam autem videt Polyeuctum mœrore confectum, abjecisse animum, et humi procidere, et esse jam a dolore omnino superatum, cogitur in hanc vocem erumpere: O amantissime, inquit, Polyeucte, hoc edictum imperatoris nobis separationem afferet et disjunctionem. Postquam autem hanc vocem sapientis-

A τιμαὶ, δωρεαὶ, χρήματα· τοῖς δὲ ἀπειθοῦσι ἀπειλαὶ, κολάσεις, καὶ τελευταῖον κακὸν ὁ θάνατος, ἐφοβήθη περὶ τοῦ φίλου Νέαρχος, καὶ καιρὸν ἐνόμισεν εἶναι τοῦτον, ὃς τὴν περὶ τὸ σέβας διαφορὰν διάλυσιν αὐτοῖς γενέσθαι παρασκευάσει καὶ τῆς φιλίας. Ταῦτα ἐπὶ νοῦν ἔχων καὶ στρέφων, δῆλος ἦν ἰσχυρῶς ἀνιώμενος, καὶ πολὺν τὸν σάλον φέρων ἐν τῇ ψυχῇ, καὶ τὸν φίλον κρυφίως ἀνιώμενος. Πολύευκτος δὲ ὁ πανταχαλὸς οὕτω Νέαρχον ὁρῶν ἔχοντα, λύπης τε κέντροις βαλλόμενον, καὶ στεναγμοῖς ἀλαλήτοις τὸ πολὺ τῆς ἀθυμίας κουφίζειν πειρώμενον, ἴχνη τε δακρύων τοῖς ὀφθαλμοῖς ὑποφαίνοντα, ἠρώτα προσιὼν φιλίως, καὶ τὴν αἰτίαν τοῦ ὄντως ἔχειν ἐζήτει μαθεῖν. Ἤλγει γὰρ καὶ αὐτὸς οὐδὲν ἧττον, τὸν ὁμόψυχον ὁρῶν οὕτω πάσχοντα, ὁ
B δὲ ἠβούλετο μὲν εἰπεῖν, καὶ ἐδήλου μηδὲν ἀπόῤῥητον ἔχειν πρὸς τὸν φίλον δυνάμενος· εἶναι δὲ τινὰ ἄλλην αἰτίαν δι' ἣν καὶ λέγειν ἐθέλων ἀνάγκην ἔχει τοῦ σιωπᾶν, καὶ τῆς ἐκ τοῦ φίλου μὴ ἀπολαβεῖν ἐν τούτῳ παραμυθίας. Ἐπεὶ δὲ ὁ θεῖος Πολύευκτος πολὺς ἦν ἐγκείμενος, καὶ τοῦ ἀποῤῥήτου τὴν δήλωσιν ἀπαιτῶν, ἀμέλειάν τε ὀνειδίζων αὐτῷ τοῦ πόθου, καὶ ἀλλοίωσιν οἵαν τῆς πρὸς αὐτὸν διαθέσεως· εἰ δὲ καὶ προσκεκρούκαμέν τι, λέγων; εἰ δὲ καὶ λελυπήκαμεν; τί ἂν οὕτως ἰσχυρὸν εἴη τὸ πραχθὲν, ὡς συγγνώμης πάσης Πολύευκτον τὸν σὸν ἐκβαλεῖν;

Δ'. Ταῦτα λέγοντος καὶ ἀλύοντος, οὐκ ἐνεγκὼν Νέαρχος δακρύων ὑποπλήσας τοὺς ὀφθαλμοὺς, καὶ στεναγμῷ βυθίῳ τὴν ἔνδον φλόγα τῆς καρδίας ὑπο-
C σημήνας· Τὸν μέλλοντα χωρισμὸν, ἔφη, φίλτατε, τῆς ἡμῶν συμπνοίας καὶ στοργῆς ἐννοῶν, ἀναγκάζομαι ἀποῤῥῆξαι ἤδη καὶ τὴν ψυχήν. Τοῦτο ἤκουσεν ἐκεῖνος βαρύτατα πληγεὶς τὴν καρδίαν. Πῶς ταῦτα, ἔφη, Νέαρχε, πῶς καὶ τί τὰ παρ' ἐλπίδα ταῦτα ῥήματα; καὶ πόθεν ἡμῖν οὕτως ὁ χωρισμὸς ἔσται, ὃν οὐδὲ θάνατον αὐτὸν δύνασθαι ποιεῖν εἰς ἡμᾶς ἔγνωμεν; Καὶ ὁ Νέαρχος· Τοῦτο γάρ ἐστιν, ἔφη, φίλτατε, ὃ μικροῦ με καὶ ἀποπνίγει, καὶ αὐτὸ συνέχει τὸ Πνεῦμα καὶ τὴν ψυχήν· ὅτι ὁ χωρισμὸς οὗτος, ὃν ἔφην, καὶ ἀνθρωπείου θανάτου ἰσχυρότερος ἡμῖν ἐστι καὶ βαρύτερος. Οὔπω δὲ τὸν λόγον ὅ τι ἂν εἴη συνιέναι ἔχων Πολύευκτος, ἀναστὰς εὐθὺς καὶ περιβαλὼν τοῦ φίλου, καὶ ὡς εἶχε θερμότατα περιχυθεὶς αὐτῷ· ἀλλ' εἰπέ μοι, ἔφη, Νέαρχε, εἰπὲ σαφῶς καὶ ἀνάπτυξον ὅπως οὗτος ὁ χωρισμὸς ἔσται· οὐ γὰρ
D φέρω ταύτην ἐπὶ πλέον τὴν ἄφιλον σιωπήν. Εἰ δὲ οὐχ, ἀλλ' ὄψεις με Πολύευκτον ἤδη τὸν σὸν νεκρῶντα καὶ ἄπνουν πρὸς τῇ γῇ κείμενον. Καὶ ὁ Νέαρχος ἐῴκει μὲ εἰπεῖν βούλεσθαι, ἡττώμενος δὲ τοῦ πάθους, ἐπεδεῖτο τὴν γλῶτταν, καὶ τοῦτο μόνον κατάδυνον τι καὶ πεπονθὸς, ἠτένιζεν εἰς τὸν φίλον, καὶ τῆς ἀθυμίας ἐμήνυε τὴν ὑπερβολήν. Ὡς δὲ εἶδε Πολύευκτον παθόντα τι καὶ μακροψυχότερον, καὶ εἰς γῆν ἑαυτὸν καταβάλλοντα, καὶ ὅλον ἤδη τῷ πάθει νικώμενον, ἀναγκάζεται ῥῆξαι φωνήν· καὶ, Ὦ φίλτατε, ἔφη, Πολύευκτε, τουτὶ τὸ βασιλικὸν ἐπίταγμα τὸν χωρισμὸν ἡμῖν ἐμποιήσει καὶ τὴν διάζευξιν. Ἐπεὶ δὲ ταῦτα ἤκουσεν ὁ σοφὸς τὰ πάντα Πολύευκτος, συμβαλὼν εὐθέως ὅπερ Νεάρχῳ βού-

λεται τὸ λεχθὲν, ἐνενόει γὰρ ὡς ἡ περὶ τὸ σέβας ἀμφοτέρων διαφορὰ, πρὸς ἐξέτασιν ἰοῦσα καὶ ἀρχόντων βαρύτης ἀναγκάσει θεῖναι μεταξὺ τὴν διάστασιν. Ἀλλ' αὐτὸν ἀνέφερε διάνοιά τις θειοτέρα καὶ ἣν εἶδεν ὄψιν ἀνανοούμενος, καὶ συνᾴδουσαν αὐτὴν τῷ καιρῷ κρίνων, χαρᾶς τε ἤρξατο πληροῦσθαι καὶ ἡδονῆς, καὶ ὅπως εἶχεν ἡ ὄψις ἐκοινοῦτο τῷ φίλῳ· Ἔστι τι, Νέαρχε, λέγων, ὃ τάχα τοῦτον ἡμῖν κωλύσει γενέσθαι τὸν χωρισμόν.

Ε'. Εἶδον γὰρ ἐγὼ τὸν Χριστὸν, ὃν σὺ προσκυνεῖς, προσελθόντα μοι, καὶ τουτὶ μὲν τὸ πιναρὸν ἱμάτιον ὃ περιβέβλημαι ἀποδύσαντά με· ἑτέραν δέ τινα στολὴν μάλα τιμίαν (τίς ἂν ἐκείνης εἴποι τὸ κάλλος καὶ τὴν φαιδρότητα;) ἀμφιάσαντα, χρυσῇ τῇ περόνῃ περὶ τὸν ὦμον συνεχομένην· ἔπειτα δέ μοι καὶ ἵππον ἐγχειρήσαντα πτερωτόν. Ἀλλὰ τοιαύτη μὲν ὄψις ἦν ὁ θεῖος Πολύευκτος εἶδε· ἔλεγε εἰς δὲ κενὸν οὐδαμῶς, ἀλλὰ τὸ μέλλον ἀκριβῶς εἰκόνιζεν. Ἡ γὰρ ἀμφιθεῖσα καλλίστη ἐκείνη στολὴ τὴν ἀπὸ τοῦ χείρονος ἐπὶ τὰ κρείττω μεταβολὴν ἀπὸ τῆς ἐπὶ γῆς στρατιᾶς εἰς τὴν ἐπουράνιον καὶ θείαν στρατολογίαν, καθ' ἣν ὁ Μάρτυς τῷ μαρτυρικῷ χορῷ συνάπτεσθαι μέλλοι· ὁ δέ γε πτηνὸς ἵππος, τί ἂν ἕτερον εἶχε δηλοῦν ἢ τὴν ταχεῖαν ἀπὸ τῆς ἐκείνου πρὸς οὐρανοὺς ἀνάβασιν;

Ϛ'. Ταῦτα ἀκούσαντα Νέαρχον ἡσθῆναί τε καὶ εὐφροσύνης γενόμενον· Τὸν Χριστὸν, εἰπεῖν, ἔγνως; τὸν Χριστὸν, Πολύευκτε, τὸν ἀληθῆ ὄντως Θεόν; Τὸν δὲ πρὸς ταῦτα· Πότε δὲ, φάναι, τοῦτον ἠγνόησα; Ἢ πότε, σοῦ περὶ αὐτοῦ λέγοντος, τρόμος οὐκ εἰσέδυ μου τὴν ψυχήν; Ἢ ἀναγινώσκοντος, οὐκ ἐν θαύματι ποιούμενος ἦν τοῖς λόγοις; μόνου γὰρ ἐδεόμην ὀνόματος, ἔπειτα ἀλλά γε τῇ διαθέσει Χριστιανὸς ἦν, καὶ εἰς δουλείαν ἔσπευδον ἐμαυτὸν ἐντάξαι τῷ Δεσπότῃ Χριστῷ, πολλὰ χαίρειν εἰπὼν ταῖς ματαίαις τῶν εἰδώλων λατρείαις. Τί οὖν πράττομεν, ὦ Νέαρχε; τί δὲ μὴ φανερῶς ἐπιδείκνυμεν τὴν εἰς Χριστὸν ὁμολογίαν; Καὶ ὁ Νέαρχος ἀσμένως ταῦτα δεξάμενος; Καὶ ὥσπερ ἀπογυμνῶν ἑαυτὸν καὶ ἀνακαλύπτων. Ἀλλ' ἐμοὶ, ἔφη, Πολύευκτε, οὐ πλοῦτος, οὐ δόξα, οὐ στρατιωτικὸν ὅλως ἀξίωμα, οὐδὲν ἄλλο τῶν τοῦ κόσμου τῆς ἐν Χριστῷ ζωῆς προτιμότερον· ταύτης γὰρ ἐφίεμαι μόνης, τὰ δ' ἄλλα μικρά μοι καὶ τοῦ μηδενός εἰσιν ἄξια. Εἶτα καὶ πάλιν ὁ θεῖος Πολύευκτος, ὥσπερ ἀποπειρώμενος αὐτοῦ τῆς γνώμης· Τί δὲ, οὐκ ὀρέγει, ἔφη, τοῦ παρόντος τοῦδέ σοι ἀξιώματος; Καὶ ὁ Νέαρχος ἐκ καρδίας ταῦτα καὶ οὐκ εἰς ἀπόπειραν προελθεῖν νοήσας· Ἀγνοεῖν μοι ἔοικας, ἔφη, Πολύευκτε, τὸ ἀληθὲς ἐν Χριστῷ ἀξίωμα, καὶ τὴν παρ' ἐκείνῳ δόξαν, καὶ τὴν εἰς οὐδέποτε παυομένην μακαριότητα. Οὕτω μέντοι ἦσαν κοινολογούμενοι, καὶ φανερὰν ἀλλήλοις τὴν ἑαυτῶν γνώμην ποιοῦντες.

Ζ'. Πολύευκτος δὲ ὁ καλὸς καὶ ἡδέως δὲ πρὸς τὸν φίλον καὶ χαριέντως ἐθέλων εἰπεῖν· Τὸ μὲν, ἔφη, ἀγνοεῖν με ὑπώπτευσας τὴν ἐν Χριστῷ δόξαν, καὶ τὴν παρ' ἐκείνῳ μακαριότητα· ἐγὼ δὲ καὶ πρὸ σοῦ,

A simus audiit Polyeuctus, statim conjiciens quid sibi vellet, quod dixerat Nearchus: cogitavit enim quod amborum in religione dissensio jam examinanda, et acerbitatem subitura judicum coget, eos a se invicem disjungi: convertit eum ad diviniorem quantam cogitationem, et revolvens animo quam viderat visionem, et eam judicans tempori convenientem, cœpit repleri gaudio et voluptate: et quemadmodum hæc fuerit visio, communicavit amico. Est aliquid, dicens, o Nearche, quod prohibebit nobis hanc fieri separationem.

V. Vidi enim ego Christum, quem tu adoras, ad me accendentem, hac sordida, qua sum indutus, veste me exuisse, alia vero valde pretiosa (o quis illius pulchritudinem dixerit et splendorem!) induisse, cujus humerum fibula constringebat aurea.
B Deinde vero mihi quoque equum tradidisse alatum. Atque talis quidem fuit visio, quam vidit divinus Polyeuctus: ejus autem nequaquam fuit vanus exitus, sed præclare expressit id quod erat futurum, mutata quidem illa vestis pulcherrima, mutationem in melius ex eo quod est deterius: nempe, ut ex terrena militia in cœlestem et divinum militum referretur numerum, per quem erat in chorum martyrum coaptandus. Alatus autem ille equus quid aliud possit significare, quam illius celerem a terra in cœlos ascensum?

VI. Hæc cum audiisset Nearchus, lætatus est, hilarisque effectus, ei dixit: Christum cognovisti? Christum, o Polyeucte, qui vere est Deus? Ille vero ei dicit: Quando autem eum ignoravi? Num, cum
C tu de eo diceres, tremor meum subibat animum? aut cum legeres, non ejus admirabar sermones? solum enim mihi nomen deerat: alioqui enim eram affectione Christianus, et studebam me Domini Christi mancipare servitio, multum valere jubens cultus inanes simulacrorum. Quid ergo facimus, o Nearche: cur non aperte ostendimus nostram in Christum confessionem? Cum hæc autem lubenter accepisset Nearchus, dixit, se veluti nudans et aperiens: Mihi, o Polyeucte, non divitiæ, non gloria, nec omnino dignitas militaris, nec aliquid aliud ex iis, quæ sunt hujus mundi, præfertur vitæ, quæ est in Christo, eam enim solam desidero: alia autem apud me sunt parva, et nullius pretii. Deinde rur-
D sus divinus Polyeuctus ejus animi veluti faciens periculum. Quid vero? inquit; annon concupiscis hanc, quæ adest tibi, dignitatem? Nearchus autem existimans hæc ab eo dici ex animo, et non ejus tentandi gratia: Videris, inquit, mihi, o Polyeucte, ignorare veram in Christo dignitatem, et eam quæ est apud illum gloriam, et quæ nunquam cessat, beatitudinem. Sic quidem inter se conferebant sermones, et sibi invicem suam aperiebant sententiam.

VII. Egregius autem Polyeuctus jucunde et lepide volens aliquid amico dicere: Tu quidem suspicaberis, inquit, me ignorare eam, quæ est in Christo, gloria, et quæ est apud illum, beatitudinem. Ego

autem, o Nearche, videor te præcessisse, et imperatoriam, ut scis, et cœlestem chlamydem accepisse per revelationem. Sed tamen volo ex te sciscitari aliquod caput spiritale. Vereor enim me, si absque sacramentis et mysteriis accesserim ad Servatorem, ei videar minime acceptus, et indignus qui referar in numerum ejus militum. Postquam hæc audivit Nearchus, statim surgit, et evadit animo acrior et vehementior: et amicum incipit recreare, promptiorique et alacriori animo eum reddere ad Christi fidem, dicens: Nulla, o amicissime, sit tibi de hac re dubitatio. Scriptum est enim posse Deum vel ex his lapidibus suscitare filios Abrahæ. Quod quidem quid est aliud, quam hoc, posse etiam gentiles ex insperato salutem assequi, et esse milites Christi? Nam omnibus, ut semel dicam, aperta est porta cœli: nulli omnino ex omnibus occlusus est salutis aditus. Quamobrem is quoque qui credit, magnam recipiet mercedem parvæ illius fidei. Propterea enim iis quoque, qui prima et tertia et nona hora accesserunt ad vineam, æqualis merces decernitur [1]. Quamobrem, etiamsi ipse tardus accesseris eadem quæ primi præmia consequeris. Ad hæc divus Polyeuctus, tanquam ejus subiisset animum recordatio. Per veritatem, inquit, Nearche amicissime, audivi aliquando latenter te aliquid ejusmodi legentem ex divina scriptura, quod eos, qui unam horam essent operati, æquali Christus honorasset portione iis, qui sustinuissent totum æstum diei. Nearchus autem: Multa quoque, inquit, o vir egregie, invenies ejusmodi exempla. Ecce enim, inquit, latro, qui fuit cum Christo crucifixus, cum innumerabilium reus esset criminum, pro modico, et brevi verba magnas invenit remunerationes: et quæ multis emitur sudoribus in paradiso conversatio, admodum facile ab eo paratur. Nam vel parva fides potest magnos montes transferre.

VIII. Hæc cum divinus audiisset Polyeuctus, animo statim in altum extollitur, et ut corpore horum et terrenorum omnium plane oblitus, Paciscamur, dicit Nearcho, nos firmius et stabilius servaturos ea quæ visa fuerint. Ego enim rebus humanis de cætero renuntiavi. Quodnam autem de Christo nos oporteat ferre testimonium, planum fecit, quæ id præscivit, divina Domini clementia. Ecce enim, o Nearche, eam, quæ est in cœlis pulchritudinem mihi visioni apprehendit cogitatio: quam quidem assistere, et Christum video ante oculos, et splendore ejus visionis mihi vultus illuminatur. Sed jam tempus est legere impium edictum imperatorum, et recte scire quidnam velit nos facere. Sic dixit: cumque id accepisset, perlegit, inter legendum conspuit: et cum id in frusta minuta confregisset, ventis mandavit. Deinde sic conversus videt idola quæ portabantur, et a stultis adoranda deducebantur ad aras. Quæ cum jucundissime et

A Νέαρχε. φαίνομαι προκόψας, καὶ βασιλικὴν, ὥσπερ οἶσθα, χλαμύδα καὶ οὐρανίαν δι' ἀποκαλύψεως κομισάμενος. Πλὴν ἀλλὰ βούλομαί σε καὶ πνευματικόν τι ἐρέσθαι κεφάλαιον· δέδοικα γὰρ μὴ ἄνευ τελετῶν τε καὶ μυστηρίων προτελθὼν τῷ Σωτῆρι ἀπρόσδεκτος ὀφθείην αὐτῷ, καὶ οὐκ ἄξιος τοῖς ἐκείνου συγκαταλέγεσθαι στρατιώταις. Ταῦτα ὡς ἤκουσεν ὁ Νέαρχος, εὐθύς τε διανίσταται, καὶ θερμότερος τὴν ψυχὴν γίνεται, καὶ τὸν φίλον ἀναλαμβάνειν ἄρχεται, καὶ προθυμότερον περὶ τὴν τοῦ Χριστοῦ πίστιν διατιθέναι· μηδεὶς, ὦ φίλτατε, λέγων, μηδεὶς ἔστω σοι περὶ τούτου δισταγμός· γέγραπται γὰρ δυνατὸν εἶναι τῷ Θεῷ καὶ ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Ὅπερ τί ἄλλο ἢ τοῦτο
B ἐστὶ, τὸ ἐξ ἀνελπίστου καὶ τοὺς ἐξ ἐθνῶν δύνασθαι σωθῆναι, καὶ στρατιώται καταστῆναι Χριστοῦ; ἐπεὶ καὶ πᾶσιν ἁπλῶς ἡ οὐράνιος ἤνοικται πύλη, οὐδενὶ τῶν πάντων ἡ τῆς σωτηρίας ἀποκέκλεισται εἴσοδος. Ὅθεν καὶ ὁ πιστεύων πολὺν τὸν μισθὸν τῆς μακρᾶς ἐκείνοις πίστεως κομίσεται. Διὰ ταῦτα γὰρ τοῖς πρώτην καὶ τρίτην, ἕκτην τε καὶ ἐννάτην ὥραν προελθοῦσι τῷ ἀμπελῶνι κατ' ἴσαν ἀφορίζεται ὁ μισθὸς, ὥστε κἂν βραδέως αὐτὸς προσέλθῃς, τῶν αὐτῶν τοῖς πρώτοις ἐξιωθήσῃ γερῶν. Πρὸς ταῦτα ὁ θεῖος Πολύευκτος ὥσπερ ἀναμνῆσαι βουλόμενος αὐτόν· Νὴ τὴν ἀλήθειαν, ὦ φίλτατε, ἔφη, Νέαρχε, ἤκουσά σού ποτε λεληθότως τοιοῦτόν τι τῆς θείας γραφῆς ὑπαναγινώσκοντος, ὅτι τοῖς τὸν ὅλον καύσωνα τῆς ἡμέρας ὑπομεμενηκόσι, τοὺς μίαν ὥραν
C ἐργασαμένους περὶ τὴν τοῦ μισθοῦ δόσιν ἰσομοιρίᾳ τετίμηκεν ὁ Χριστός. Ὁ δὲ Νέαρχος· Καὶ ἑτέρων, ἢ βούλῃ, ἔφη, θαυμάσια πολλῶν τοιούτων εὑρήσεις ὑποδειγμάτων· αὐτίκα γὰρ ὁ συσταυρωθεὶς τῷ Σωτῆρι λῃστὴς μυρίοις ἐγκλήμασιν ἔνοχος ὢν, ὀλίγου καὶ βραχέως ῥήματος μεγάλας εὑρίσκεται ἀντιδόσεις· καὶ ἡ πολλοῖς ἱδρῶσιν ὤνιος τοῦ παραδείσου διαγωγὴ μάλα ῥᾳδίως αὐτῷ πορίζεται, ἐπεὶ καὶ μικρὰ πίστις μέγαλα ὄρη μεθιστᾷν δύναται.

Η'. Τούτων δὲ ἀκούσας ὁ θεῖος Πολύευκτος, εὐθὺς πτεροῦται τὴν ψυχὴν, καὶ οἷα τῶν σωματικῶν ὅλων καὶ χαμαιζήλων λήθην ἤδη καταγνοὺς βαθυτάτην, συνθώμεθα, λέγει τῷ Νεάρχῳ, βεβαιότερον τὰ δεδογμένα φυλάξαι. Ἐγὼ γὰρ τοῖς ἀνθρωπίνοις πράγμασι τὸ λοιπὸν ἀπεῖπον· τὸ δὲ τίνα ἡμῶν περὶ Χριστοῦ μαρτυρῆσαι δεῖ, δῆλον ἤδη πεποίηκεν ἡ καὶ
D προγνοῦσα, φημὶ περὶ τούτου, θεία τοῦ Δεσπότου φιλανθρωπία. Ἰδοὺ γὰρ ἐμοὶ, Νέαρχε, τὰ ἐν οὐρανοῖς κάλλη φαντάζεται ἡ διάνοια, οἷα δέ μοι παρεστῶτα, καὶ τὸν Κριστὸν πρὸ τῶν ὀφθαλμῶν ὁρῶ, καὶ τῇ τῆς ὄψεως αὐτοῦ μαρμαρυγῇ τὸ πρόσωπον καταλάμπομαι. Πλὴν ὥρα ἤδη καὶ τῷ δυσσεβὲς πρόσταγμα τῶν βασιλέων ἀναγινώσκειν, καὶ ὃ βούλεται πράττειν ἡμᾶς ἀκριβῶς εἰδέναι. Οὕτως ἔφη καὶ λαβὼν ἀπῄει, διέπτυέ τε ἀνάγινώσκων, πρὸς δὲ ταῦτα καὶ λεπτὰ διαῤῥήξας αὖρaις ἐδίδου· εἶθ' οὕτως ἐπιστραφεὶς εἴδωλα ὁρᾷ διαβασταζόμενα, εἰς προσκύνησίν τε τοῖς ἀνοήτοις παρὰ τοὺς βωμοὺς

[1] Matth. xx, 1. seqq.

ἀπαγόμενα. Ὧν μάλα ἡδὺν καὶ θερμὸν τὸν γέλωτα καταχύσας, πρότερον μὲν αὐτοῖς ὑποκρίνεται προσελθεῖν προθύμως, εἶτα καθ' ἓν ἐκεῖνα λαμβάνων, καὶ εἰς γῆν αὖθις προσαράσσων πάντα ὁμοῦ συνέτριψε, καὶ εἰς λεπτὴν ἔθετο κόνιν.

Θ'. Τούτῳ οὖν γενομένων ὁ κηδεστὴς αὐτοῦ προσελθὼν Φῆλιξ (ἦν γὰρ ὑπὸ τῶν βασιλέων ἤδη διώκτης κατασταθείς) καὶ ἰδὼν ἃ Πολύευκτος εἴργασται, πάνυ ἀποδυσπετῶν, Φεῦ! ἄτεκνος, ἔλεγε, καθίσταται Φῆλιξ, καὶ ὁ πρότερον ἐν παισὶ περίβλεπτος ἐξαίφνης ἀτεκνίαν ἐγὼ δυστυχῶ· οὐδεὶς Πολύευκτον οὔτε θεῶν οὔτε ἀνθρώπων ἐλεῆσαι δύναται, τοιαῦτα τετολμηκότα, καὶ τοὺς ἡμετέρους θεοὺς συντρίψαντα. Πρὸς ταῦτα δὲ ὁ θεῖος Πολύευκτος, ὥσπερ τῷ γενομένῳ μᾶλλον ἐπικαυχώμενος (τοσοῦτον γὰρ ἀπεῖχε τοῦ καὶ ὑποπτεύειν τι φοβεῖσθαι), Νῦν μὲν ἐγώ, ἔφη, τούτων καταφρονήσας, ἐπὶ τῶν ἔργων ὅπως εἰσὶν ἀσθενεῖς ἤλεγξα. Εἰ δὲ καὶ ἕτεροί εἰσιν, ἀλλὰ καὶ αὐτοὶ προσαχθήτωσαν εἰς τὸ μέσον· εἴσῃ γὰρ ἐντεῦθεν ὅπως παρ' ἡμῶν τῶν τοῦ Χριστοῦ δούλων διαπτύεσθαι ταῦτα δεῖ. Καὶ ὁ Φῆλιξ ἀνθρώπινά καὶ περιπαθῆ πρὸς τὸν ἅγιον διανοούμενός τε καὶ φθεγγόμενος· Ἀλλὰ θέλησον, ἔφη, κἂν μικρόν τι ἐπιζῆσαι, Πολύευκτε, ἕως τὴν σὴν γυναῖκα θεάσῃ. Ποία δὲ, εἶπεν ὁ ἅγιος, γυναικὸς ἔτι καὶ τέκνων ἔμοιγε φροντίς, ὃς οὐδενὸς τῶν ἀνθρωπίνων οὐκέτι νῦν ἐπιστρέφομαι, περὶ τὰ οὐράνιά τε καὶ ἄφθαρτα μόνα τὴν διάνοιαν ἔχων; Ἡ δὲ σὴ θυγάτηρ, εἰ μὲν ἐμοὶ ἕψεται, μακαρία τῆς γνώμης ἔσται καὶ τοῦ σκοποῦ· εἰ δὲ μή, ἀλλὰ καὶ αὐτὴ σὺν τοῖς ὑμῶν θεοῖς κακῶς ἀπολεῖται.

Ι'. Δάκρυα ἐπὶ τούτοις τὸν Φήλικα ἔχοντα ἀπογνῶναι καθάπαξ· ὅθεν καὶ διπλῇ τυφλώττων, ἔκ τε τῆς περιεχούσης αὐτὸν ἀθυμίας, ἔκ τε τῆς περὶ τὰ εἴδωλα μανίας, ἄξια τοσούτου σκότους καὶ παρανοίας ἐφθέγγετο ῥήματα· Οἴμοι! λέγων, ὅτι καὶ σὲ, Πολύευκτε, αἱ τοῦ Χριστοῦ μαγεῖαι ἐξηπατήκασιν. Ὁ μάρτυρ δὲ, μάλα συνετῶς καὶ γενναίως· Οὐ μὰ τοὺς ἱεροὺς τῶν μαρτύρων ἀγῶνας, οὐ διαρνοῦμαι, ἔφη, τὸ μὴ ὑπ' ἐκείνου πρὸς τὴν ἐπίγνωσιν κληθῆναι τῆς ἀληθείας· αὐτὸς γάρ ἐστιν ὃς ταῖς χερσὶ ταῖς οἰκείαις τὴν ἐμὴν θέλξας ψυχὴν, ἀπὸ τοῦ σκότους εἰς τὸ φῶς, καὶ ἀπὸ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν ἐπηγάγετο, στρατιώτην τε αὐτοῦ καὶ εἶναί με καὶ ὀνομάζεσθαι κατηξίωσεν. Ἐν ᾧ δὲ ταῦτα ἐλέγετο, οἱ τῶν ἁγίων διῶκται προσελθόντες, καὶ συλλαβόντες τὸν μάρτυρα, τὸ ἱερὸν αὐτοῦ στόμα ἔπαιον· μισοῦντες ἀληθῶς ἐν πύλαις ἐλέγχοντα, φαύλαις τε ἀκοαῖς ἰσχὺν ἀληθείας ὑπενεγκεῖν οὐ δυνάμενοι. Πολυεύκτῳ δὲ τῷ γενναίῳ τῶν μὲν πληγῶν τούτων ἔμελλεν οὐδαμῶς· ἑώρα γὰρ τὸν ὑπὲρ αὐτοῦ παθόντα Χριστὸν πλησίον αὐτοῦ παριστάμενον, ὃν ἐκεῖνος καταφυγὴν θέμενος, οὔτε κακὰ εἶχε πρὸς αὐτὸν ἐπερχόμενα, οὔτε μάστιγας ὅλως τῷ σκηνώματι αὐτοῦ προσεγγιζούσας.

ΙΑ'. Αἱ γοῦν πληγαὶ αὗται, καθάπερ εἴρηται, τῷ Πολυεύκτῳ βραχεῖα φροντίς, πρὸς ἄλλην δὲ διεπάλαιε τοῦ πονηροῦ τέχνην. Παραστήσας γὰρ ἐκεῖνος αὐτῷ μετὰ τοῦ κηδεστοῦ καὶ τὴν γυναῖκα δακρύοντας καὶ παθαινομένους, ἐπειρᾶτο ταύτῃ καταγοῇ τε ἀπα-

A vehementissime risisset, prius quidem simulat se prompto et alacri animo ad ea accedere. Deinde illorum singula accipiens, et protinus humi allidens, simul contrivit omnia, et redegit in subtilem pulverem.

IX. His ergo factis, cum ejus socer venisset Felix, fuerat enim jam constitutus persecutor ab imperatoribus: et vidisset quæ fecerat Polyeuctus, admodum ægre ferens: Heu! dixit, Felix est privatus liberis: et qui prius eram insignis, et suspiciebar propter filios, repente me affligit filiorum orbitas! Nullus deorum nec hominum potest misereri Polyeucti, qui talia est ausus, et nostros deos contrivit. Ad hæc divus Polyeuctus, eo quod factum fuerat, veluti magis glorians, tantum aberat, ut reformidaret

B aliquid, et extimesceret: Nunc quidem, inquit, ego eos contemnens, re ipsa ostendi, quam sint imbecilli. Quod si sunt tibi alii, ii quoque in medium adducantur. Hinc enim scies, quemadmodum nos Christi servos ea conspuere oporteat. Felix autem cum humana et miserabili quadam affectione de sancto cogitans et loquens, Si velis, inquit, o Polyeucte, aliquantisper vivere, donec tuam videas uxorem. Quænam autem adhuc, inquit sanctus, uxoris mei cura est, et filiorum, qui ex rebus humanis nihil omnino curo, cum in solis cœlestibus mens versetur, et iis in quæ non cadit interitus? Tua autem filia, si me quidem sequatur, beata erit propter suum animum et institutum: sin minus, ipsa quoque cum vestris diis mala male peribit.

C 10. Post hæc Felix profundebat lacrymas, ut qui spem omnem abjecisset. Qua de re dupliciter cæcutiens, nempe et ex ægritudine animi, quæ eum angebat, et ex insania, qua laborabat in simulacra, loquebatur verba digna tantis tenebris, et tanta dementia: Hei mihi, dicens, te quoque, o Polyeucte, Christi artes fefellere magicæ? Martyr autem admodum prudenter et fortiter. Non, per sacra, inquit, martyrum certamina, non nego, me ab illo esse vocatum ad cognitionem veritatis. Ipse enim est, inquit, qui cum suis manibus meam demulsisset animam, a tenebris ad lucem, et ab errore deduxit ad veritatem, et dignum censuit, qui essem et nominarer ejus miles. Cum autem hæc dicerentur, accedentes sanctorum persecutores, cum mar-

D tyrem comprehendissent, sacrum os ejus pulsabant, vere odio habentes confutationem, quæ erat in foribus, et malis auribus non volentes ferre vim veritatis. Præclaro autem Polyeucto eæ quidem plagæ nullo modo erant curæ. Videbat enim Christum, qui pro eo erat passus, prope ipsum assistere. Quem cum suum posuisset refugium, nec pro malis habebat ea, quæ ipsum invadebant: nec scuticam, quæ ejus corpus cædebat.

XI. Has ergo plagas, ut dictum est, parum curabat Polyeuctus: luctabatur autem adversus aliam diaboli maligni artem. Nam cum ille ad eum adduxisset socerum et uxorem lacrymantes, et miserabiliter ejulantes, sic conabatur ejus animam suis

decipere præstigiis, et pro viribus dissolvere ejus robur et constantiam. Is autem non ignorans maligni insidias, cum seipsum valde utiliter conturbasset, animæque fortitudinem et iram excitasset, et quæ ex lacrymis oritur, effeminatæ mollitiei eam opposuisset, graviter admodum et fortiter: O scelerate, inquit, et profanorum mystagoge simulacrorum, cur me insidiosis tuis et uxoris lacrymis studes abducere a confessione in Christum? Cur autem defles Polyeuctum, cum teipsum multo magis deflere et lugere oporteat, propterea quod cum principibus, qui sunt ad tempus, servieris, igni sis æterno tradendus? Et hæc quidem dixit socero Felici. Postquam autem vidit uxorem quoque suam Paulinam miserabiliter lacrymantem, et dicentem: Quid tibi accidit, o Polyeucte? Quomodo autem fraude es inductus, ut duodecim deos nostros confringeres? Eam suaviter irridens sanctus: Si solus, inquit, ego duodecim deos tuos vici et contrivi: ecce deorum es omnino egena. Adesdum ergo, inquit, Paulina, et faciam, ut verum Deum cognoscas, quem ipsa stude diligenter adorare, et hac brevi vita æternam commutare. Cum hæc sic dicerentur, et multi infideles per ipsum ad fidem in Christum converterentur, et omnes persecutores simul congregarentur, et partim quidem promissis, partim vero etiam minis sanctum studerent in contrariam traducere sententiam, quoniam nulla via et ratione id effici poterat, nec ejus rei ulla erat spes reliqua, fertur in eum sententia, ut ense statim mortem subeat.

XII. Cum autem ei jam res fuisset aperta, erat videre Polyeuctum nihil mœstum, nihil triste, nihil omnino, quod esset effeminati et pusilli animi, aut dicentem, aut pati præ se ferentem: quod quidem accidisset alicui alii, qui ab hac jucunda luce et vita separaretur. Imo vero tanquam ex tenebris et afflictione ad gloriam transiret et delicias, magnam ostendebat lætitiam et animi alacritatem, ut qui jam frui inciperet ea, quæ est illic, beatitudine. Nam iis quoque, qui aderant, affirmabat se quemdam accedentem videre adolescentem, et secum loquentem, et omnibus modis efficientem, ut oblivisceretur omnium terrenorum. Sed quis, o divine Polyeucte, hoc vel tui solum laudandum assumens, te dignam possit laudem contexere? Nam cum jam esses consummandus, et per sacrum tuum sanguinem divinum baptismum, et in Christo signaculum accepturus: o generosam animam! o mentem firmam et stabilem et a mendacio alienam! nec sic amicitiæ Nearchi es oblitus, sed eum aspiciens, Vale, inquit, Nearche, et pactorum conventorum recordare. Hanc cum tu, vir fortis, vocem, tanquam ultimum aliquod donum, amico reliquisses, ad ensem processisti, et per eum illatam mortem prompto et alacri animo subiisti.

XIII. Cum sic autem fuisset consummatus Polyeuctus, pretiosum quidem ejus corpus, qui ex fratribus erant studiosiores, deposuerunt in Meli-

A τῷν αὐτοῦ τὴν ψυχὴν, καὶ, ὅση δύναμις, τὸν τόνον ἐκλύειν. Ὁ δὲ μὴ ἀγνοήσας τὸ τοῦ πονηροῦ ἔνεδρον, διαταράξας ἑαυτὸν πάνυ χρησίμως, τὸ γενναῖόν τε καὶ θυμοειδὲς τῆς ψυχῆς ἀνεγείρας, καὶ ὥσπερ ταῖς ἀπὸ τῶν δακρύων γινομέναις θηλύτησι καὶ μαλακίαις ἀντιστήσας αὐτῷ λίαν ἐμβριθῶς καὶ γενναίως, πρὸς μὲν τὸν κηδεστήν· Ὦ μιαρὲ, ἔφη, καὶ βεβήλων εἰδώλων μυσταγωγὲ, τί με δάκρυσιν ὑπούλοις τοῖς σοῖς τε καὶ τῆς γυναικὸς ἀποστῆσαι τῆς εἰς Χριστὸν ὁμολογίας σπουδάζεις; Τί δὲ καὶ δακρύεις Πολύευκτον, δέον πολλῷ μᾶλλον σεαυτὸν ὀδύρεσθαι καὶ θρηνεῖν, ἀνθ' ὧν διὰ προσκαίρων ἀρχόντων αἰωνίῳ πυρὶ παραδίδοσαι; Καὶ ταῦτα μὲν πρὸς τὸν κηδεστὴν Φήλικα. Ἐπεὶ δὲ καὶ Παυλίναν τὴν γυναῖκα ἑώρα περιπαθῶς δακρύουσαν, καὶ λέγουσαν· Ὦ τί
B πέπονθας, Πολύευκτε; πῶς δὲ καὶ ἀπάτῃ προήχθης τοὺς δώδεκα ἡμῶν συντρίψας θεούς; Ἡδὺ λίαν ἐγγελάσας αὐτῇ ὁ ἅγιος· Εἰ μόνος, ἐγὼ, ἔφη, τοὺς δώδεκά σου θεοὺς νενίκηκα, καὶ συνέτριψα, ἰδοὺ θεῶν πάντως γέγονας ἐνδεής· δεῦρο οὖν μοι, Παυλίνα, καὶ γνωρίσω σοι Θεὸν ἀληθῆ, ὃν αὐτὴ προσκυνῆσαι, καὶ τῆς βραχείας ταύτης ζωῆς τὴν αἰωνίαν ἀλλάξασθαι σπούδασον. Τούτων οὕτω λεγομένων καὶ πολλῶν ἀπίστων δι' αὐτοῦ πρὸς τὴν εἰς Χριστὸν πίστιν μεταβαλλόντων, πάντων τε ὁμοῦ τῶν διωκόντων ἀθροιζομένων, καὶ τοῦτο μὲν ὑποσχέσεσι, τοῦτο δὲ καὶ ἀπειλαῖς μεταπεῖσαι τὸν ἅγιον σπουδαζόντων, ἐπεὶ ἄπορον ἦν, καὶ ἀμήχανον, καὶ οὐδεμία πρὸς τοῦτο ἐλπὶς ὑπολείπετο, δίδοται γοῦν κατ' αὐτοῦ ἡ ἀπόφασις, τὸν διὰ ξίφους εὐθὺς θάνατον ὑποστῆναι.

C ΙΒ'. Δήλου δὲ αὐτῷ ἤδη τοῦ πράγματος γενομένου, ὁρᾷν ἦν Πολύευκτον οὐδὲν στυγνὸν, οὐδὲν κατηφὲς, οὐδὲν ὅλως θῆλυ καὶ ἀγεννὲς ἢ λέγοντα, ἢ πάσχειν ὑποφαινόμενον, ὅπερ ἄν τις ὑπέστη ἕτερος, τοῦ ἡδέος τούτου φωτὸς καὶ τῆς ζωῆς χωριζόμενος. Ἀλλ' ὥσπερ ἐκ σκότους μᾶλλον καὶ θλίψεως πρὸς δόξαν καὶ τρυφὴν μεταβαίνων, πολὺ τὸ φαιδρὸν ἐδείκνυ καὶ εὔθυμον, οἷα τῆς ἐκεῖθεν μακαριότητος παραπολαύειν ἤδη ἀρχόμενος. Διεβεβαιοῦτο γὰρ τοῖς παροῦσι, νεανίσκον τινὰ λέγων ὁρᾷν προσιόντα μοι καὶ ὁμιλοῦντα, καὶ πᾶσι τρόποις παρασκευάζοντά με πάντων ἐπιλαθέσθαι τῶν ἐπιγείων. Ἀλλὰ τίς ἄν σου, θεῖε Πολύευκτε, τοῦτο δὲ καὶ μόνον ἐπαινέσαι παραλαβὼν, ἄξιον αὐτοῦ τὸν ἔπαινον
D ἠδύνατο πλέκειν; Μέλλων γὰρ ἤδη τελειοῦσθαι, καὶ διὰ τοῦ αἵματός σου τοῦ ἱεροῦ τὸ θεῖον βάπτισμα καὶ τὴν ἐν Χριστῷ σφραγῖδα λαμβάνειν (ὢ ψυχῆς γενναίας! ὢ γνώμης βεβαίας καὶ ἀψευδοῦς!), οὐδὲ οὕτω τῆς Νεάρχου φιλίας ἐν λήθῃ γέγονας, ἀλλὰ προσβλέψας αὐτῷ· Ὦ Νέαρχε, ὑγίαινε, λέγεις, καὶ μέμνησό μου τῶν συνθηκῶν. Ταύτην γενναίως σὺ τὴν φωνὴν, οἷόν τι τελευταῖον δώρημα τῷ φίλῳ καταλιπὼν, πρὸς τὸ ξίφος ἐχώρεις, καὶ τὸν δι' αὐτοῦ θάνατον προθύμως ὑπέρχῃ.

ΙΓ'. Οὕτω τοιγαροῦν τοῦ θείου Πολυεύκτου τελειωθέντος, τὸ μὲν τίμιον αὐτοῦ σῶμα οἱ σπουδαιότεροι τῶν ἀδελφῶν ἐν Μελητινῇ κατατίθενται, πόλει τῆς Ἀρμενίας, αἰωνίαν οὕτω κληρονομίαν ἑαυτοῖς περι-

ποιησάμενοι. Τετρὰς δὲ τῶν ἡμερῶν ἦν, ἥτις ἄρα A καὶ τὸ τέλος εἶδε Πολυεύκτου, καὶ τοῦ σώματος τὴν κατάθεσιν. Ὑπηρέτησεν ἐνταῦθα καὶ Νέαρχος, τοῦ φίλου καὶ μάρτυρος αἷμα λαβὼν, καὶ λαμπρᾷ ὀθόνῃ τιθεὶς, καὶ εἰς τὴν Χαναναιωτῶν πόλιν μετακομίσας, ὅπλον σωτηρίας, καὶ κλῆρον ὄντως μακάριον αὐτοῖς ὀνησάμενος.

tene civitate Armeniæ, æternam hæreditatem sic sibi acquirentes. Fuit autem dies quartus, qui vidit finem Polyeucti et corporis depositionem. Inservit autem hic quoque Nearchus, qui accepto sanguine martyris, cum eum in nitido imposuisset linteo, portavit in civitatem Chananæotarum, donans ei arma salutis, et vere beatam hæreditatem.

XIV. (a) Hæc gesta sunt tempore Decii et Valeriani in prima Orientis persecutione. Nam fuit quidem primo martyr Hierosolymis sacratissimus Stephanus, secundo autem Philoromus in Alexandria civitate Ægypti, et tertio divus Polyeuctus in Melitene Armeniæ quarto Idus Januarii. Is sæpe se magnam curam agere Christianorum, etiam post mortem, non leviter et obscure, sed aperte et evidenter ostendit. Quidni enim faceret, qui talis erat, et genus illinc ducebat, et ejusdem fuerat sodalitatis? nobilium, inquam, et illustrium ex fide in Christum: qui sequebantur quidem Marcum (5) imperatorem, bellum gerentem adversus Barbaros, aquæ autem penuria laborabat Romanorum exercitus, tristique erat imperator, cum hostes quidem valde invalescerent, sitis autem inter cætera nostros vexaret. Ii autem Christi fortes milites, qui eamdem implebant legionem, quam hic venerandus martyr, cum se separassent, et procul ab exercitu removissent, manus quidem pias ad Deum tollunt, piam, quæ ab eis honorabatur, fidem accerrime proferentes. Rogant autem Dei miserationes, ut eos benignis oculis aspicerent, et hanc solverent necessitatem, quæ opprimebat multitudinem. Cum illi sic orassent, suis non sunt fraudati precibus. Nondum enim precationibus finem imposuerant, et densa nubes cœlum subiens, aerem quidem implevit tonitru: fulgura autem elisa micabant, et multa erupit pluvia, adeo ut, dum sic ferrentur fulmina et imbres, recreati quidem sint Christiani, plurimi autem Barbari interierint, et ex eo sit legio nuncupata κεραυνοβόλος, id est, Fulminum jaculatrix (6) hucusque cognita ex hac magni miraculi effectione, ad gloriam Patris, et Filii, et Spiritus sancti, unius et consubstantialis divinitatis. Cui convenit omnis gloria, honor et adoratio, nunc et in sæcula sæculorum. Amen.

(5) Vide Tertul. *Apolog.* et Euseb. Cæs. *Histor. Eccl.* lib. v, c. 5.
(6) Alii vertunt *Fulminea.*
(a) Quæ sequuntur desunt in codice ms. Græco. EDIT. PATR.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΡΚΙΑΝΟΥ

VITA ET CONVERSATIO

S. P. N. MARCIANI PRESBYTERI

QUI FUIT ŒCONOMUS MAGNÆ ECCLESIÆ CP. (7)

(Anno 450.)

(E duobus mss. Græci bibl. Imp. Paris. n. 1536, sæc. XI, et n. 1467, sæc. XIV; Latine apud Surium diem ad 10 Jan. EDIT. PATR.)

A'. Πολλὰ μὲν καὶ ἄλλα τὰ μὲν βασιλίδα ταύτην C σεμνύναντα πόλιν· θρόνοι τε βασιλέων, καὶ πλοῦτος, καὶ κάλλη παντοδαπὰ, θέσις τε καὶ μέγεθος, καὶ τείχη, πολεμίας χειρὸς κρείττονα· οὐδὲν οὕτως ὡς ἀνδρῶν φιλαρέτων σεμνύνουσι βίοι. Οὗτοι γὰρ πλεῖον μὲν ἐμποιοῦσι τὸ τέρπον, πλεῖον δὲ τὸ θαῦμα, πλείω δὲ ταύτῃ περιποιοῦσι καὶ τὴν ὠφέλειαν. Διὰ δὴ

I. Sunt quidem multa quoque alia, quæ hanc regiam exornant civitatem, imperatorem sedes et opes, et omne genus pulchritudo, situsque et magnitudo, et mœnia, quæ sunt hostili manu potentiora: nihil autem ei affert æque magnum decus et ornamentum, atque vita virorum honorum et virtutis amantium. Ii enim majorem quidem afferunt dele-

(7) Sanctum Marciannm Novatianis aliquando favisse, post pedem retulisse, factumque œconomium Eccles. Constantinopol. refert Baronius

ctationem, et majorem etiam admirationem: quinetiam majorem pariunt utilitatem. Propterea major est gloria civitatis, ornari potius viris piis et religiosis, quam murorum propugnaculis. Atque ea quidem multos viros tulit præclaros, qui eam decorant variis virtutis ornamentis : ex quibus si quis primos accurate elegerit, et iis vitam Marciani conferre, vel etiam præferre voluerit, is mihi non videatur a recto excidere judicio. Quod autem non sit mala de eo nostra, sed recta sententia, ipse, ut aiunt, ostendet, eritque procedens fide digna oratio.

2. Hic ergo Marcianus floruit quidem tempore ejus, cui fuit idem nomen, nempe Marciani, qui tunc erat dominus Romani imperii. Patriam autem suam veterem Romam ab alto repetens a parentibus (illi enim ex ea profecti, in hanc Constantini civitatem, quæ erat recentior, migrarunt), consequenter erat et illustri natus genere, insignique opibus et dignitate, et quod nobilitatem referebat ad splendorem imperatorium. Tanta autem gloria insignes nactus parentes, pietate autem et religione longe insigniores, ipse quoque educatur liberaliter, et eruditionem pulchre docetur, nostram, inquam, et externam. Deinde sicut Moses quoque ad Ægyptios, ita etiam Marcianus optime ventitat ad Byzantinos, et ad majorem et perfectiorem sapientiam, eam, inquam, quæ est ex spiritu, convertitur. Qua quidem ex re et vitæ splendor, et sermonis gratia illi accedens, nomen ei peperit, et insignem fecit inter omnes laicos. Paulo post autem etiam cooptat in clerum Ecclesiæ : et cum sacris esset dignus, deducit ad gradum sacerdotum. Qui autem et ad hoc vim attulit, fuit hujus civitatis patriarcha. Nam illum quoque cepit siren illius virtutis, et plenæ erant aures iis, qui de illo spargebantur, sermonibus et laudibus. Cum ergo gradus, qui inter sacerdotium intercedunt, nihil esset quod prohiberet, sed multo magis, ut ad majora procederet, invitaret : cum omnes brevi tempore pervasisset, vocante tempore, refertur etiam in numerum sacerdotum. Deinde etiam fit œconomus maximæ ecclesiæ communi suffragio, non vim afferens, sed invitus, et non tam honoratus, quam eos honorans, qui eum prætulerant. Sed hæc quidem postea.

III. Modo autem cum ei admodum juveni creditum esset sacerdotium, et ejus parentes e vita jam excessissent, et utriusque facultates, quæ erant luculentæ, accepisset, eum juventutem quidem moderate, sacerdotium autem honeste, opes vero pie regere administrare fuit cognitum: ut qui egenos suæ hæreditatis assumeret cohæredes, et eis majori parte cederet: vel ut hoc potius dicam, cum eis quæstuosam exerceret negotiationem, et in parvis suppeditandis maxima vicissim acquireret. Atque alias quidem voluptates magno quodam et excelso animo apparuit eum despicere, et eis minime uti : ab uno autem solo victus fuit amore, a verbis, inquam, divinæ Scripturæ : et ad illa oculos perpetuo con-

ταῦτα καὶ μεῖζον τῇ πόλει κλέος, ἀνδράσι φιλοθέοις μᾶλλον ἢ τειχῶν ὀχυρότητι καλλωπίζεσθαι. Πολλοὺς μὲν οὖν ἤνεγκεν αὕτη βίους ἀνδρῶν, οἳ καὶ ποικίλοις αὐτὴν κόσμοις τῆς ἀρετῆς ὡραΐζουσιν. Ὧν εἴ τις τοὺς πρώτους κατὰ ἀκριβὲς ἐκλεξάμενος, καὶ τὸν Μαρκιανοῦ βίον συνάπτειν αὐτοῖς, ἢ καὶ προτιθέναι θελήσειεν, οὐκ ἄν μοι κρίσεως ὀρθῆς οὗτος ἐκπίπτειν δοκῇ · καὶ ὅτι μὴ φαύλην ἡμεῖς ἔχομεν ἀλλ' ὑγιᾶ τὴν περὶ τούτου γνώμην, αὐτός, φασί, δείξει καὶ ὁ λόγος ἐχέγγυος προϊὼν ἔσται.

Β'. Μαρκιανὸς τοιγαροῦν οὗτος ἤνθησε μὲν ἐν τοῖς χρόνοις τοῦ τὴν αὐτὴν ἔχοντος κλῆσιν Μαρκιανοῦ, ὃς τηνικαῦτα τῆς Ῥωμαίων ἀρχῆς κύριος ἦν. Πατρίδα ἄνωθεν ἐκ πατρῴων τὴν πρεσβυτέραν Ῥώμην αὐχῶν (ἐκ ταύτης δὲ προελθόντες ἐκεῖνοι εἶτα τὴν Κωνσταντίνου ταύτην καὶ νεωτέραν πόλιν μετῴκησαν), ἀκολούθως καὶ γένους ὑπῆρχε λαμπροῦ, χρήμασί τε καὶ ἀξιώμασι περιβλέπτου, καὶ τὴν τῆς εὐγενείας πηγὴν εἰς βασιλικὴν περιφάνειαν ἀναφέροντος. Τυχὼν δὲ γονέων οὕτως ἐπισήμων μὲν τὴν δόξαν, ἐπισημοτέρων δὲ πολλῷ μᾶλλον καὶ τὴν εὐσέβειαν, ἐλευθερίως καὶ αὐτὸς τρέφεται, καὶ παιδείαν καλῶς ἐκδιδάσκεται, αὐτήν τε τὴν ἡμετέραν φημὶ καὶ τὴν θύραθεν. Ἔπειτα καὶ Μωσῆς ὥσπερ τοῖς Αἰγυπτίοις, οὕτω δὲ καὶ Μαρκιανὸς ἄριστα τοῖς Βυζαντίοις ἐπιφοιτᾷ, καὶ πρὸς τὴν μείζονα καὶ τελεωτέραν σοφίαν, τὴν κατὰ πνεῦμά φημι, τρέπεται. Ἐξ οὗ δὴ βίου τε λαμπρότης καὶ λόγου χάρις ἐκείνῳ προσγενομένη, ὀνόματος ἠξίου τὸν ἄνδρα, καὶ περίβλεπτον ἐν πᾶσι καθίστη τοῖς λαϊκοῖς · μικρὸν δὲ ὕστερον καὶ τῷ τῆς Ἐκκλησίας κλήρῳ ἐγκαταλέγει, καὶ εἰς τὸν ἱερέων ἄγει βαθμὸν τὸν τῶν ἱερῶν ἄξιον. Ὁ δὲ πρὸς τοῦτο αὐτὸν ἀποβιασάμενος, ὁ ταύτησὶ τῆς πόλεως πατριάρχης ἦν. Εἷλε γὰρ αὐτὸν ἡ τῆς ἀρετῆς ἐκείνου σειρήν, καὶ πλήρης ἦν τὰ ὦτα τῶν ὑπὲρ αὐτοῦ λόγων καὶ ἐγκωμίων. Τοὺς οὖν μεταξὺ τῶν ἱερέων βαθμοὺς (ἐπεὶ μηδὲν ἦν τὸ κωλῦον, ἀλλὰ πολὺ μᾶλλον τὸ πρὸς τὰ μείζω χωρεῖν ἐκκαλούμενον), πάντας ἐν βραχεῖ διελθών, καιροῦ καλοῦντος καὶ τῷ καταλόγῳ τῶν πρεσβυτέρων ἐντάττεται. Εἶτα καὶ οἰκονόμος τῶν ἐκκλησιῶν τῆς μεγίστης ἐκ ψήφου κοινῆς, οὐκ ἀναγκάσας, ἀλλὰ ἀναγκασθεὶς γίνεται · καὶ τιμήσας μᾶλλον ἢ τιμηθεὶς τοὺς οὕτω περὶ αὐτοῦ κρίναντας. Ἀλλὰ τοῦτο μὲν ὕστερον.

Γ'. Ἄρτι δὲ νέος ὢν καὶ τὴν ἱερατείαν ἐγχειρισθείς, τῶν τε γονέων αὐτῷ τὸν βίον ἤδη ἀπολιπόντων, τὰ μὲν τῆς νεότητος σωφρόνως, τὰ δὲ τῆς ἱεροσύνης κοσμίως, τὰ δὲ τοῦ πλούτου πάνυ φιλοθέως οἰκονομῶν ἐγνωρίζετο · συγκληρονόμους αὐτῷ τοῦ κλήρου τοὺς δεομένους παραλαμβάνων, καὶ κατὰ πολὺ τοῦ πλείονος αὐτοῖς ἐξιστάμενος, ἢ τοῦτο μᾶλλον εἰπεῖν, πραγματείαν κερδαλεωτάτην πρὸς αὐτοὺς ποιούμενος, καὶ παροχῇ μικρῶν τὰ μέγιστα ἀντικτώμενος. Ταῖς μὲν οὖν ἄλλαις τῶν ἡδονῶν μέγα καὶ ἀρχικὸν ἔφανε φρονῶν, καὶ οὐδαμῶς αὐταῖς συγκλινόμενος · πρὸς ἕνα δὲ μόνον ἔρωτα φανερῶς ἥττητο τῶν λόγων τῆς θείας Γραφῆς, καὶ πρὸς ἐκείνους στρέφων τε καὶ τρέφων τοὺς ὀφθαλμοὺς ἦν, καὶ διὰ παντὸς αὐτοῖς

προσκαθήμενος. Ὡς ἐντεῦθεν μηδὲν κρυπτὸν ἢ δυσεύρετον ἐν αὐταῖς εἶναι, ὃ μὴ φανερὸν αὐτῷ καὶ γνώριμον τῇ φιλοπόνῳ γέγονε προσεδρείᾳ. Γαστρὸς δὲ ἰσχυρῶς ἐκράτει καὶ ὀφθαλμῶν, εἰδὼς ὅπως τὸ ἀκμάζον καὶ ἀνδρικὸν τῆς νεότητος εὔπτωτον ἐντεῦθεν καὶ ὀλισθηρὸν γίνεται. Καὶ πολλὰ τούτου καὶ χαλεπὰ τὰ πτώματα. Εὐχαῖς τε καὶ ἀγρυπνίαις τὰ πολλὰ ἐδίδου, καὶ κομιδῇ παῖδας ἐδείκνυ πρὸς ἀρετῆς λόγον, οὐ μόνον ὅσους ὁ τῶν ἱερέων εἶχε κατάλογος, ἀλλὰ καὶ ἁπλῶς ὅσον ἐν πολιᾷ φιλευσεβὲς ἦν, καὶ φιλοσοφίας ἐπιμελούμενον. Τῷ δὲ τῆς ψυχῆς φιλοκάλῳ σφόδρα καὶ τῶν ἱερῶν οἴκων τῶν τοῦ Χριστοῦ μαρτύρων ἐραστὴς ἦν, καὶ τοὺς μὲν αὐτῶν πεπονηκότας ἰᾶτο, τοὺς δὲ καὶ μήπω γεγονότας ἀνίστη. Οὗ δὲ θερμότατα ἤρα, καὶ ὃ τέλος τῆς ἐπιθυμίας ἐνόμιζε, τοῦτο ἦν ὥστε τῇ μεγαλοδόξῳ καὶ περικαλλεῖ τῶν μαρτύρων Ἀναστασίᾳ λαμπρὸν ἀναστῆσαι ναόν. Ἔκαμνεν οὖν περὶ τὴν εὕρεσιν τοῦ χωρίου, οὗ δὴ καὶ μάλιστα ὡς ἐπικαιρότατα τὸ ἱερὸν αὐτῇ τέμενος ἀναστήσει.

Δ'. Οὕτω διαμεριμνῶντος, γυνή τις τὸ γένος ἐκ τῶν Σύρων Ἀντιοχείας ἕλκουσα, Νικὼ τοὔνομα, ἄρτι τὸν σύζυγον ἀποβεβληκυῖα, οἶκον αὐτῇ κατὰ κλῆρον περιελθόντα τῶν ἐπισήμων, ὃς ἄρα κατὰ τὴν μέσην τῆς Βυζαντίδος ἀγορὰν ἵδρυτο, διαπιπράσκειν ἐβούλετο, ἐφ' ᾧ τὴν ἀξίαν κομισαμένη τιμὴν, ἐπὶ τὰ οἰκεῖά πάλιν ἐπανελθεῖν. Ταῦτα μεμαθηκὼς ὁ θερμὸς οὗτος τῆς μάρτυρος ἐραστὴς, τόν τε τόπον ἑωρακὼς ὡς ἁρμόδιον, καὶ τὴν θέσιν ὡς ἐπιτηδείως ἔχουσαν τῷ σκοπῷ, ἕρμαιον τὸ πρᾶγμα λογίζεται, καὶ τῇ γυναικί προσελθὼν περί σῆς τιμῆς διαλέγεται, καί δισχιλίους χρυσοῦς καταβαλὼν πείθει τὸν οἶκον ἀποδοῦναι. Οὕτω διαπραξάμενος καὶ ἔργον ἤδη ἅπτεσθαι δῆλος ἦν· ἀλλ' ὁ πᾶσι τοῖς ἀγαθοῖς ἀντικείμενος οὐδ' ἐνταῦθα δείκνυται τῆς οἰκείας τέχνης ἐπιλαθόμενος οὐδ' ὅλως τοῦ κακουργεῖν παυόμενος, ἢ παυσόμενος· ἀλλ' ὑπελθὼν τὴν γυναῖκα καί δεινὴν αὐτῇ τὴν μεταμέλειαν ἐμβαλὼν, σφόδρα τοὺς λογισμοὺς ἐξεπολιόρκει, καθάπερ τι μηχάνημα τὴν αἰσχύνην ἐπάγων αὐτῇ, ὡς ἄρα κωμῳδοῖτο ὑπὸ πολλῶν, τὰ κάλλιστα οὕτω τῶν κτημάτων διαπραθῶσα· καί γὰρ ἦν ὁ οἶκος τῶν ἀρχαιοζήλων καὶ μεγαλοπρεπῶν, καί τῶν ὑπὸ τοῦ μεγάλου, φημί, Κωνσταντίνου τὴν οἰκοδομίαν ἐκ μακροῦ λαχόντων, ἀρκούντως τε τοῖς στεγονομίοις καί ταῖς δι' ἔτους προσόδοις ἐνευθηνούμενος. Τούτοις ἡ γυνὴ, ἅτε γυνὴ, τὰς φρένας ὑποσεισθεῖσα, λύειν τὸ συνάλλαγμα ἐπειρᾶτο· καὶ ὁ Μαρκιανὸς οὐδὲν ἀβούλητον ἢ ἐπαχθὲς οὐδενὶ ἐπάγειν βουλόμενος, τῶν οἰκείων ἐξίστη δικαίων, καὶ τοῦ κτήματος παρεχώρει τῇ γυναικὶ, πράξεως ἱερᾶς ἱερὰν εἶναι καὶ τὴν κρηπῖδα ζητῶν, καὶ οὐδὲν ἐθέλων τῇ ἀγαθῇ μάρτυρι προσάγειν ἀπρόθυμον, οὐδ' ἠναγκασμένον. Ὁ μὲν οὖν πονηρὸς ἐντεῦθεν ἐδόκει νικᾷν, τὸ δὲ ἦν ἐκείνῳ τῆς μεγίστης ἥττης ἀρχή. Θεὸς γὰρ ὁ μετάγειν πάντα πρὸς τὸ συμφέρον εἰδὼς, οὗτος δηλαδὴ καὶ τὴν περὶ τούτου ἀπόβασιν πολλῷ κρείττονα καὶ λαμπροτέραν οἰκονομεῖ.

A vertebat, et eis perpetuo assidebat; quo fiebat, ut nihil esset in eis adeo occultum et inventu difficile, quod non manifestum et notum evasisset laboriosæ ejus diligentiæ. Ventri autem et oculis fortiter imperabat, ut qui sciret florem et robur juventutis per ea facile impelli ad lapsum. Sunt autem casus, qui ex iis oriuntur, multi et difficiles. Precibus autem et vigiliis se dedebat plurimum, et valde pueros edocebat, quod ad virtutis rationem attinet, non solum eos, qui erant relati in numerum sacerdotum, sed ut semel dicam, quotquot in canitie erant pii ei religiosi, et curam gerebant philosophiæ. Illo autem suo præclaro boni et honesti amore, valde quoque amabat sacras ædes Christi martyrum et ex eis alias quidem, quæ laborabant, et ruinam B minabantur, reficiebat: alias autem, quæ nondum factæ fuerant, excitabat. Quod autem ardentissime amabat, et sui desiderii finem existimabat, hoc erat, ut præclaræ et insigni inter martyres Anastasiæ præclarum templum exstrueret: laborabat autem in loco inveniendo, in quo opportunissime sacram ei ædem exstrueret.

IV. Cum de eo autem esset sollicitus, mulier quædam, quæ genus ducebat ex Syrorum Antiochiæ, Nico nomine, cum paulo ante conjugem amisisset, insignem domum, quæ ei hæreditate obvenerat (posita autem erat in medio Constantinopolis foro), volebat vendere, ut cum ejus pretium accepisset, ad sua reverteretur. Hæc cum rescivisset hic ardens amator martyris, et locum vidisset convenientem, C et situm esse aptum suo proposito, pro lucro rem esse ducit, et ad mulierem veniens, loquitur de pretio, et numeratis bis mille aureis, persuadet ei domum vendere. Cum sic fecisset, planum erat eum jam velle opus aggredi. Sed qui bonis omnibus adversatur, ne hic quidem ostendit se suæ artis oblitum, neque omnino cessare aut cessaturum esse malefacere: sed se mulieri astute insinuans, et ei gravem immittens pœnitentiam, ejus mentem valide oppugnabat: tanquam alias machinas ei pudorem admovens, quod scilicet a vulgo haberetur ludibrio, quæ sic pulcherrimas consumeret possessiones; erat enim domus antiqua et magnifica, et cui longo ante tempore, magni scilicet Constantini, contigisset ædificari: locari autem mercedibus et annuis possessionibus, satis magnum commodum afferebat). His D mulier, ut mulier, labefactata, contractum solvere conabatur. Marcianus autem, qui nulli volebat esse molestus, nec cogere ut aliquid facere quod nollet, suo jure cessit, et possessionem dimisit mulieri, quærens actionis sacrum esse fundamentum, et nihil volens offerre sanctæ martyri, quod non prompto et alacri daretur animo, aut quod esset coactum. Ex hoc ergo videbatur malignus victoria potitus: sed fuit illud principium, quo factum est, ut maxime vinceretur. Nam Deus, qui scit omnia traducere ad id quod est conducibile, is providet, ut hujus rei exitus sit longe melior et præclarior.

V. Hic enim Marcianus cum hoc amore teneretur, et aliquando versaretur in legendis orationibus ejus, qui et sermone, et moribus, et theologia præclarissime refulsit, sapientis, inquam, Gregorii, et de hujus martyris templo cognovisset, ut ille dicit, quod positum quidem esset in iis, qui Domini Rostra vocabantur : erat autem tunc veluti quædam sedes orthodoxis adversus Arianos. Cum ergo cognovisset quæ ille de eo templo prædixerat, suum gregem incitans, et ei addens animum: Hanc Anastasiam, hanc, inquam, quæ cognomen accepit ex resurrectione, videbitis (sat scio) ampliorem et majorem. Cumque didicisset non sine Dei numine nec temere prædictum fuisse a magno illo viro (etsi non magis prædictum fuisset de templo, quam de populo): et utpote quod is, qui per illum hæc prædixisset, posset quoque verba in opus deducere, neque reputans impensarum multitudinem, neque quod major esset conatus, quam qui ejus viribus conveniret, ei, quæ omnia potest, fidei rem credens, opus cœpit urgere : et illud quidem minus et vetus templum relinquit in priori figura, ut sic omnibus ad spectandum propositum, apertius quam lingua prædicaret Theologi prophetiam: alterum autem ei excitat maximum et pulcherrimum, in orbem quidem variis porticibus atriisque et vestibulis, quæ vel ante templum elegantem præ se ferunt speciem, comprehendens : id autem veluti quamdam magnam stellam vel lunam, a multis iisque pulchris stellis circumdatam, in medio erigens. Qualis enim id complexa sit pulchritudo, columnarum splendores, et colores, et magnitudo, lampidumque fulgor, et claritas materiæ, aurum tectum supra illustrans, ut ubique picturæ, quæ artis quidem perfectione mentes obstupefaciunt, oculos autem demulcent varietate materiæ. Jam vero demum venerandæ illuminationis, aut eam quæ est constituta ad reponenda sacra vasa et donaria, quomodo quis dicens, non minus dixerit, quam postulet operum dignitas? Ipsorum autem vasorum multitudinem, aut materiam, aut artem qui volet oratione persequi, sciet omnino, se ea solum mirari posse, non lingua exprimere. Adeo sunt omnia æque excellentia, ut etiamsi nemo prædixerit, vel ex hoc possit esse manifestum videntibus, quod ea mente divina processerunt, et manu divina opem ferente e superis.

VI. Omnibus autem convenientibus, novi quidem templi (8), ut par est, encænia celebrabantur, et dies quoque quo ipsa martyr certamen consummavit, ipso, inquam, Decembre. Vocabant autem encænia (9) et fideles imperatores et sacrum senatum, et universam (ut semel dicam) civitatem. Oportebat autem, qui latebat, Marcianum eo die videri qualis esset moribus, qualis virtute et quantum se ultra mandata extendebat. Nam cum tota concurreret civitas et egentes una cum ea quodam pacto attra-

A Ε'. Οὕτω γὰρ ὁ Μαρκιανὸς θάλπων τὸν ἔρωτα, καί ποτε τοῖς λόγοις τοῦ καὶ λόγοις καὶ τρόποις καὶ θεολογίᾳ φαιδρότατα διαλάμψαντος ὁμιλῶν Γρηγορίου, φημὶ, τοῦ σοφοῦ, καὶ γνοὺς τι περὶ τοῦ ναοῦ τῆς μάρτυρος ταύτης, ἐκεῖνός φησιν, ὃς κεῖται μὲν ἐν τοῖς οὕτω καλουμένοις Δομνίνου Ἐμβόλοις, ὥσπερεὶ δὲ ὁρμητήριον τότε τοῖς ὀρθοδόξοις κατὰ τῶν ἀρειανιζόντων ἐτύγχανεν ὤν. Περὶ τούτου τοίνυν τοῦ ἱεροῦ γνοὺς οἷα ἐκεῖνος προεῖπε, τὴν ἑαυτοῦ ποίμνην ἐπιθαῤῥύνων· Ἀναστασίαν ταύτην, τὴν τῆς ἀναστάσεως λέγω ἐπώνυμον, ὄψεσθε πλατυτέραν, εὖ οἶδα, ἔτι καὶ μείζω. Καὶ μαθὼν οὐκ ἂν ἀθεεὶ ταῦτα, οὐδὲ εἰκῇ τῷ μεγάλῳ προειρῆσθαι, εἰ καὶ μὴ περὶ τοῦ ναοῦ μᾶλλον ἢ τοῦ λαοῦ πρόῤῥησις ἦν, καὶ ὡς ὁ δι' ἐκείνου ταυτὶ προειπὼν οὐκ ἀδύνατος πάντως καὶ εἰς ἔργον B τοὺς λόγους ἐξενεγκεῖν, οὔτε τὸ πλῆθος τῶν ἀναλωμάτων ἐπὶ νοῦν θέμενος, οὐθ' ὅτι μεῖζον ἢ κατ' αὐτὸν τὸ ἐγχείρημα, τῇ πάντα δυναμένῃ πίστει τὸ πρᾶγμα πιστεύσας, ἔργου εἴχετο. Καὶ τὸν μὲν ἥττω καὶ παλαιὸν ἐκεῖνον ναὸν ἐπὶ τοῦ προτέρου σχήματος καταλείπει, ἵν' οὕτω μᾶλλον εἰς θέαν ἅπασιν κείμενος, τρανότερον ἢ γλῶττα τοῦ Θεολόγου προφητείαν ἀνακηρύττῃ· ἄλλον δὲ αὐτῷ ἐπεγείρει μέγιστόν τε καὶ κάλλιστον, κύκλῳ μὲν στοαῖς καὶ ποικίλοις προαυλίοις τε ἅμα καὶ ὑπαίθροις διαλαβὼν, πολλὴν καὶ πρὸ τοῦ ναοῦ τὴν ὥραν προβαλλομένοις, μέσον δὲ αὐτὸν ἀνεγείρας οἱονεὶ μέγαν ἀστέρα ἢ σελήνην αὐτὴν, πολλοῖς καὶ καλοῖς ἄστροις περικυκλούμενον. Οἷα γὰρ αὐτὸν καὶ περιειλήφασι κάλλη, κιόνων αὐγαὶ καὶ χροιαὶ καὶ μέγεθος, λίθων τε στιλπνότης, καὶ C ὕλης λαμπρότης, χρυσὸς ἄνω καταλάμπων τὴν ὀροφὴν, καὶ γραφαὶ πανταχοῦ, τέχνης μὲν ἀκριβείᾳ φρένας ἐκπλήττουσαι, ὕλης δὲ ποικιλίᾳ τοὺς ὀφθαλμοὺς θέλγουσαι. Τόν γε μὴν τοῦ σεπτοῦ φωτίσματος οἶκον, ἢ αὐτὸν τὸν πρὸς ἀπόθεσιν τῶν ἱερῶν σκευῶν καὶ ἀναθημάτων, πῶς ἄν τις εἰπὼν ἀξίως εἴποι καὶ τῶν ἔργων οὐκ ἐνδεῶς; Αὐτῶν δὲ τῶν σκευῶν τὸ πλῆθος, ἢ τὴν ὕλην, ἢ τὴν τέχνην, ὁ γε διεξιέναι βουλόμενος εἴσεται πάντως ὅτι θαυμάζειν μόνον εἰσὶ ταῦτα, οὐχὶ καὶ γλώττῃ δυνατὰ λέγεσθαι. Οὕτω πάντα ἐπίσης ὑπερφυᾶ, ὥστε καὶ μὴ προειπόντος μηδενὸς αὐτόθεν εἶναι τοῖς ὁρῶσι σαφὲς, ὅτι γνώμῃ Θεοῦ ταῦτα προέβη, καὶ θείας ἄνωθεν χειρὸς συνεργούσης.

D Ϛ'. Πάντων οὖν συνελθόντων, ὥσπερ εἰκὸς, ἐγκαίνια μὲν τοῦ καινοῦ τούτου ναοῦ ἤγετο. Καὶ ἡμέρα καθ' ἣν καὶ ἡ μάρτυς ἐτελείου τὴν ἄθλησιν, κατ' αὐτὸν, φημὶ, τὸν Δεκέμβριον. Ἐκάλει δὲ τὰ ἐγκαίνια καὶ τοὺς πιστοὺς βασιλεῖς, καὶ τὴν ἱερὰν βουλὴν, καὶ τὴν πόλιν, ὡς εἰπεῖν ἅπασαν. Ἔδει δὲ ἄρα καὶ Μαρκιανὸν κρυπτόμενον κατ' αὐτὴν ὀφθῆναι τὴν ἡμέραν, οἷος τὸν τρόπον ἦν, οἷος τὴν ἀρετὴν, καὶ τῆς ἐντολῆς πλέον ἐπεκτεινόμενος. Τῆς γὰρ δὴ πόλεως συντρεχούσης πάσης, καὶ τῶν δεομένων ὥσπερ

(8) Dedicatur templum sanctæ Athanasiæ an. 459, ut habet Baronius.
(9) *Ad Encœnia*, legit Baronius.

αὐτῇ συνεφελκομένων, πένης τις προσελθὼν τῷ γενναίῳ, (καὶ γὰρ ἐκζητοῦσιν οὗτοι καὶ μανθάνουσι τὰς φιλανθρώπους ψυχὰς οὐδὲν ἧττον ἢ τοὺς ἰατροὺς οἱ κάμνοντες)· προσελθὼν οὖν ἔβλεψέ τε πρὸς τὴν αὐτοῦ δεξιὰν, καὶ ᾔτει δέξασθαί τι τοῦ λιμοῦ φάρμακον... Ὁ δὲ (καὶ γὰρ ἦν τότε πρὸς μὲν κόλπον φέρων οὐδὲν, εἴσω δὲ τῆς ψυχῆς κόλπων πολλὴν ὄντως χρηστότητα καὶ μυσταγωγίαν) ἐκ μέσου πάντων γενόμενος, καὶ ὡς μάλιστα λανθάνοντά που τόπον περιβλεψάμενος, ἐτύγχανε δὲ οὐδενὶ ἄλλῳ ἢ ἑνὶ χιτῶνι σκεπόμενος, ὅπερ καὶ σύνηθες αὐτῷ διὰ βίου δυσὶ μὴ χρήσασθαι ἱματίοις· οὕτως οὖν ἔχων ὁ θεῖος ἀνὴρ, καίτοι ῥᾷον ὂν ἀπολογίᾳ, τοῦ ἐνδεοῦς τὴν ἱκετείαν ἀφοσιώσασθαι, ἐπεὶ καὶ τοῦ μηδὲν ἐπάγεσθαι μάρτυρας εἶχε τοὺς πάντα βλέποντας ὀφθαλμούς· ἐκεῖνος ὥσπερ οὐκ ἄλλως ὄν, εἰ μὴ B δοίη, λυπῆσαι Θεὸν, καὶ αὐτὴν τὴν ἐσθῆτα ἣν μόνην περιεβέβλητο ἀποδὺς τῷ δεομένῳ προθύμως δίδωσι, καὶ λοιπὸν ἱερατικὴν στολὴν εἶχε μόνην καὶ τὸν φελώνην τὸ σῶμα κρύπτοντα, ὃν καὶ πανταχόθεν συνέλκων ὡς οἷόν τε λαθεῖν ἔσπευδεν, καὶ τὸ γεγονὸς ἄδηλον πάντων θεῖναι τοῖς ὀφθαλμοῖς.

Ζ'. Ἐπεὶ δὲ καὶ τὸ ἱερὸν αὐτοὺς ἔνδον εἶχεν, αὐτῷ δὲ τὴν θείαν ἱερολογῆσαι μυσταγωγίαν ὁ τῶν ἱερέων πρῶτος ἐπέτρεπεν, ὁ μὲν ὁμοίως τὸν φελώνην συνῆγέ τε καὶ συνέπτυσσε, λαθεῖν, ὡς ἔφημεν, τὸ πρᾶγμα σπουδάζων. Οἱ δέ γε παρεστῶτες, καὶ σὺν αὐτοῖς ὁ ἀρχιερεὺς, τοὺς ὀφθαλμοὺς αὐτῷ προσερείσαντες ὁρῶσι θαῦμά τι καινὸν καὶ ἀπόρρητον, καὶ σχεδὸν αὐτοῖς μόνοις πιστὸν τοῖς θεασαμένοις· βασιλικήν τινα στολὴν ἐξαισίαν καὶ χρυσίῳ λαμπρῷ C κατάστικτον εἴσω περιβεβλημένην, ἣ δὴ καὶ τότε φανερώτερον τῶν χειρῶν διεφαίνετο, ὅτε τοῦ θείου σώματος μετεδίδου τοῖς προσιοῦσι. Ταῦτα ὁρῶντες, οἱ μὲν τὸ θαῦμα παρ' ἑαυτοῖς εἶχον, οἱ δὲ καὶ ἄλλοις ἐξήγγελλον· οἱ μὲν ὡς θαυμάζοντες, οἱ δὲ, ὥσπερ εἰκὸν, καὶ φθονοῦντες. Οἱ καὶ αὐτῷ δήπου τῷ ἀρχιερεῖ Γενναδίῳ προσελθόντες, ὡς ἀγνοεῖν οἰόμενοι ἅπερ εἰδέναι τοῦτον λίαν ἐβούλοντο, ἀπαγγέλλουσιν. Εἶτα καὶ διασύρειν αὐτὸν ἐπεχείρουν, καὶ διαβολὰς κατὰ τῆς μακαρίας ἐκίνουν ψυχῆς· καὶ ὃς ἑωρακέναι μὲν καὶ αὐτὸς ἔλεγε, τὸν δὲ τρόπον ἀγνοεῖν, καὶ ἀτεχνῶς ἐν τούτῳ διαπορεῖσθαι.

Η'. Ἐπεὶ δὲ καὶ τέλος εἶχε Μαρκιανῷ ἡ μυσταγωγία, μετακαλεῖται τοῦτον ὁ πατριάρχης, ἰδίᾳ τε ἐντυχὼν περὶ τῆς στολῆς ἐνεκάλει, καὶ ὅτι βασιλεῦσι μᾶλλον, ἀλλ' οὐχ ἱερεῦσι ταῦτα προσήκει. Ὁ D δὲ εἰς ἀποροῦντα μᾶλλον ἀπορηθεὶς, πίπτει τε πρὸς τοῖς ἐκείνου ποσὶ, καὶ πολλὰ τούτων δάκρυα καταχέων ἀπηρνεῖτο παντάπασι τὸ λεχθὲν, καὶ ἀπάτην ὀφθαλμῶν εἶναι τὸ πρᾶγμα διισχυρίζετο. Τὸ γὰρ δὴ καὶ φρονῆσαι μόνον τοιοῦτον, φησὶ, μανία σαφής. Πρὸς ταῦτα ὁ πατριάρχης (καὶ γὰρ εὔηθες εἶναι ᾤετο καὶ φανερῶς ἄλογον ὄμμασι τοῖς ἰδίοις διαπιστεῖν) ἁψάμενος εὐθὺς ἰδίᾳ χειρὶ, ἀναστέλλει τὸν φελώνην αὐτὸς τῇ ἱερατικῇ σὺν ἀναστολῇ, καὶ τὸ λοιπὸν θαῦμα ἦν καὶ ὁρώμενον καὶ λεγόμενον. Ὁ γὰρ χρυσοῦς ἐκεῖνος χιτὼν, ὁ μικρῷ πρόσθεν βλεπόμενος, οὐδαμοῦ, γυμνὸς δὲ ἦν ὁ ἅγιος, ὥσπερ ἄρα καὶ ἦν,

A herentur, pauper quidam accedens ad hunc virum egregium (ii enim exquirunt ac discunt benignas et clemens animas, non secus atque ii, qui laborant, medicos), accedens ergo, respexit ad ejus dexteram, et petiit ut acciperet aliquod medicamentum famis. Ille autem (tunc enim nihil gestabat in sinu, sed revera habebat intra animæ sinum benignitatem multam et clementiam, cum remotus fuisset ab omnibus, et locum aspexisset valde latentem, nullo autem alio, nisi una tegeretur tunica, quod quidem fuit ei tota vita familiare ut duabus non uteretur tunicis : cum sic se haberet vir divinus, etsi facile erat excusando egestatem, repellere supplicationem : nam quod nihil portabat, testes habebat omnes intuentes oculos. Ille, perinde ac si non daret, B fieri non posset, ut non Deo afferret molestiam, cum se ea ipsa, qua sola indutus erat, veste exuisset, dat egenti prompto et alacri animo: et de cætero habebat solam vestem sacerdotalem, et penulam, quæ corpus contegebat, quam etiam undiquaque contrahens, cupiebat quantum fieri poterat, latere, et id quod factum fuerat omnium celare oculos.

VII. Postquam autem fuerunt intra ædem sacram, ei autem divinum celebrare sacrificium jussit primus sacerdotum : ille quidem penulam similiter contrahebat et complicabat, cupiens, ut diximus, rem latere. Qui autem aderant, et una cum eis pontifex cum oculos in eum defixissent, vident quoddam novum et arcanum miraculum, et propemodum iis solum credibile, qui aspexerunt : vident eum intus C indutum eximia quadam veste regia, et auro nitenti intertexta, quæ tunc etiam magis apparebat in manibus, quando eos qui accedebant, divino corpore impertiebat. Hæc videntes, alii quidem apud se mirabantur : alii autem aliis quoque enuntiabant, nonnulli quidem ut admirantes, nonnulli vero, ut est verisimile, etiam invidentes. Qui etiam ad ipsum pontificem Gennadium accedentes tanquam existimantes eum nescire quæ eum scire maxime volebat, ei renuntiant. Deinde ei etiam conabantur detrahere, et movebant calumnias adversus beatam illam animam. Et ille seipsum quoque dicebat vidisse, modum autem ignorare, et se revera de eo dubitare.

VIII. Postquam autem a Marciano fuit impositus finis sacrificio, eum accersit patriarcha, et eum seorsum conveniens, de veste reprehendit, dicens eam D magis imperatoribus convenire quam sacerdotibus. Ille autem magis animi dubius, quam is, qui dubitabat, procidit ad pedes illius, et in eos multas fundens lacrymas, negabat omnino id quod dictum fuerat, et dicebat deceptos fuisse ejus oculos. Tale quid enim vel solum cogitasse, aperta est insania. Ad hæc patriarcha (stultum enim existimabat et a ratione aperte alienum, propriis non credere oculis) manu propria statim tangens, relaxat ipse penulam simul cum veste sacerdotali, et de cætero miraculum videbatur et dicebatur. Nam illa quidem aurea, quæ paulo ante videbatur, tunica, nusquamt erat : nudus autem sanctus videbatur sicut era

exceptis his indumentis sacerdotalibus : nudus, A inquam, qui vere aureis virtutis tunicis, quæ sub aspectum non cadunt, tegebatur. Hoc pontificem quidem adducit in admirationem : in admirationem autem adducit etiam imperatores (10), cum jam fama ad eos pervenisset : clarum autem erigit tropæum simul et adversus malignam et sceleratam Arii [*al.* Eutychetis] insaniam, quæ, proh dolor ! usque ad id tempus defendebatur ab aliquibus. Fidelium enim multitudo, cum miraculo ei esset veluti additus animus, et in recta esset confirmata sententia, Arii quidem dogmata respuebat tanquam nugas : ipsi autem perinde ac quædam amnium fluenta, prompto et alacri animo ad templum confluebant, partim quidem contemplaturi ejus pulchritudinem, partim autem rectos quoque audituri B sermones. Tanta autem et tam innumerabilis confluebat multitudo, ut vel solum accessisse prope ambitus, esset præmium multorum sudorum, et a multis existimaretur dignum, de quo acriter contenderent.

δίχα τῶν ἱερατικῶν τούτων ἐπιβλημάτων· γυμνὸς ὁ χρυσοῖς ὄντως τῆς ἀρετῆς χιτῶσι τοῖς ἀθεάτοις σκεπόμενος. Τοῦτο ἐξίστησι μὲν τὸν ἀρχιερέα, ἐξίστησι δὲ τοὺς κρατοῦντας, ἤδη τοῦ λόγου καὶ πρὸς αὐτοὺς διαβαίνοντος· ἵστησι δὲ τρόπαιον ἐμφανὲς κατὰ τοῦ πονηροῦ ἅμα καὶ τῆς μιαρᾶς Ἀρείου μανίας, ὑπό τινων, φεῦ ! εἰσέτι πρεσβευομένης. Τὸ γὰρ δὴ τῶν πιστῶν πλῆθος ἀναθαρσῆσαν ὥσπερ τῷ θαύματι, καὶ τῇ ὀρθῇ δόξῃ βεβαιωθὲν, τὰ Ἀρείου μὲν ἴσα καὶ λήρους διέπτυον· αὐτοὶ δὲ ὥσπερ τινὰ ποταμοῦ ῥεύματα τῷ ναῷ προθύμως συνέῤῥεον, τοῦτο μὲν τὸ κάλλος αὐτοῦ θεασόμενοι, τοῦτο δὲ καὶ τῶν ὀρθῶν λόγων ἐπακουσόμενοι. Οὕτως δὲ τὸ συῤῥέον πολύ τι καὶ ἄπειρον ἦν, ὥστε καὶ τὸ τῶν περιβόλων ἐγγὺς γενέσθαι μόνον, ἆθλον ἱδρώτων εἶναι πολλῶν καὶ φιλοτιμίας ἄξιον τοῖς πολλοῖς νομιζόμενον.

IX. Conveniebant ergo, diem unum festum frequenti deinceps tempore celebrantes. Nam ab eo quoque frequentia fiebant miracula Ex quibus, ne in multis dicendis immorer, aliquod unum accipiens narrabo, quod satis est et ad ostendendam magni Marciani gratiam, et quod hoc sacrum templum Dei voluntate factum sit : Incendium (11), quod non multa habuit similia, exitio dabat Rostra (12) Domini. Nam cum ignis apprehendisset loca, quæ sunt ad mare Boreale, totam urbem cingebat, et sic serpens ferociter, usque ad mare, quod est in meridie, depascebat omnia quæ intercedebant. Consequenter ergo hanc quoque sacram ædem ignis comprehendebat impetus. Unusquisque ergo propriis neglectis calamitatibus, ad tem- C plum acriter procedebat, igni, qui non cernebatur, eorum inflammatis animis. Homo autem Dei nihil perterritus, et ne si quidem cum in orbem circumsideret ignis, nihili faciens, sed fidei in Deum credens omnia cedere, sacris acceptis Evangeliis, in summum tectum ascendit, et stans in medio flammæ, et se convertens ad preces : Christe Deus, dicebat, Deus patrum nostrorum, qui Abrahæ sacrificium suscepisti, et qui ei ex promissione præter spem præbuisti filium, præter spem a cæde liberasti : qui etiam in fornace Babylonica tres pueros captivos eo effecisti potentiores : ipse nunc quoque, Domine, hanc tuam domum conserva, ne lædatur ab igne : et ne concedas, ut opus tuum quod nos multo labore et tanto perfecimus desiderio, ignis D destruat, ne adhuc pergat inimicus in nos insolenter gloriari, nec ora Arianorum, qui sunt nobis propinqui, nos probris appetant : sed nunc quoque ostende aliquid dignum tua benignitate et majestate, ad gloriam tui nominis, et ad nostram, qui veritati credimus, gloriationem et exsultationem.

Θ'. Συνίεσαν οὖν, ἑορτὴν μίαν συχνὸν ἐφεξῆς ποιούμενοι χρόνον· καὶ θαύματα ἐτελεῖτο συχνά. Ὧν, ἵνα μὴ τὰ πολλὰ λέγων ἐνδιατρίβω, ἕν γέ τι τούτων ἀπολαβὼν διηγήσομαι, ἱκανὸν παραστῆσαι τήν τε τοῦ μεγάλου Μαρκιανοῦ χάριν, καὶ τὸ νὸν ἱερὸν αὐτοῦ σηκὸν κατὰ γνώμην γεγενῆσθαι Θεοῦ· Ἐμπρησμὸς οἷος οὐ πολλοὺς ἔχειν ὁμοίους, τοὺς Δομνίνου ἐμβόλους διελυμαίνετο. Τὸ γὰρ πῦρ τῶν πρὸς τῇ ἀρκτῴᾳ θαλάσσῃ τόπων ἐπιλαβόμενον, τὴν πόλιν ὅλην ἐζώννυ, καὶ οὕτως ἕρπον ἀγρίως ἄχρι καὶ τῆς ἐν μεσημβρίᾳ θαλάσσης πάντα τὰ μεταξὺ διεβόσκετο. Ἀκολούθως οὖν καὶ τὸν ἱερὸν οἶκον τοῦτον ἡ τοῦ πυρὸς ῥύμη περιελάμβανε. Τῶν οὖν οἰκείων ἕκαστος ἀμελήσαντες συμφορῶν περὶ τὸν ναὸν ἐκθύμως ἐχώρουν, ἀθεάτῳ πυρὶ τὰς ψυχὰς αὐτοὶ διακαιόμενοι. Ὁ δέ γε τοῦ Θεοῦ ἄνθρωπος οὐδὲν ἀποδειλιάσας, οὐδ' εἰ κυκλόθεν αὐτῷ περιχάνοι το πῦρ οὐδὲν ὑπολογισάμενος, ἀλλὰ τῇ πρὸς Θεὸν πίστει εἴκειν πάντα πιστεύσας, τὰ ἱερὰ λαβὼν Εὐαγγέλια, ἐπὶ τὸ ἄκρον τῆς ὀροφῆς ἄνεισιν· καὶ μέσος τῇ φλογὶ παραστὰς, ἑαυτόν τε πρὸς εὐχὴν ἐπιτρέψας· Χριστὲ ὁ Θεὸς, ἔλεγεν, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ὁ τὴν θυσίαν Ἀβραὰμ προσδεξάμενος, καὶ ὃν ἐξ ἐπαγγελίας αὐτῷ παρ' ἐλπίδα παρέσχες υἱὸν, παρ' ἐλπίδα σφαγῆς ῥυσάμενος, ὁ καὶ Βαβυλωνίας καμίνου ποτὲ τρεῖς αἰχμαλώτους παῖδας κρείττονας αὐτῆς ἀναδείξας, αὐτὸς καὶ νῦν, Δέσποτα, τὸν οἶκον τόνδε τὸν σὸν ἀπαθῆ πυρὸς διαφύλαξον. καὶ μὴ δῷς ἔργον τοσοῦτον ὅπερ ἡμεῖς πόνῳ πολλῷ καὶ πόθῳ τῷ νῷ κατηρτίσαμεν, τὸ πῦρ καθελεῖν, ἵνα μὴ προσθῇ ἔτι τοῦ μέγα αὐχεῖν ἐχθρὸς καθ' ἡμῶν, μηδὲ τῶν ἐγγιζόντων ἡμῖν Ἀρειανῶν στόματα ὀνειδισμὸν λάβωσιν ἐφ ἡμᾶς· ἀλλὰ δεῖξόν τι καὶ νῦν ἄξιον τῆς σῆς χρηστότητος καὶ μεγαλωσύνης εἰς δόξαν τοῦ ὀνόματός σου, καὶ ἡμῶν τῶν ἐν ἀληθείᾳ πιστεύντων καύχημά τε καὶ ἀγαλλίαμα.

(10) Leonem scil. et Irenen Aug. intelligit.

(11) Incendium urbis Constantinopol. anni 465. De hoc incendio vide 11 et 29. Decemb. in Vitis Dan. Stylitæ, et Marcelli archimand Evag. I 2. c. 13.

(12) Hoc etiam nomine nuncupatam esse basilicam Anastasiæ, quod in eo loco Greg. Nazianz. pulpitum ad conciones exstitisset, memorat Baronius.

Ι'. Ταῦτα λέγοντος ἐκείνου καὶ τὸ δάκρυον ἐπέῤῥει τοῖς λόγοις, καὶ τὴν ψυχὴν εἴσω τήκεσθαι παρεδήλου. Εἶτα τὸ Ἀμὴν ἐπειπόντος, ἑώρων πάντες σχεδὸν οἱ παρόντες τὰ μὲν πρῶτα τὸ πῦρ κύκλῳ τοῦ παντὸς οἴκου διασυρίζον, καὶ τὴν ὁρμὴν οἷον ἐπ' ἐκεῖνον ποιούμενον· εἶθ' οὕτως ὑποχωροῦν καὶ ἀνακοπτόμενον, καθάπερ ὑπό τινος ἀμάχου καὶ ἰσχυροτάτης δυνάμεως. Ἀμέλει καὶ ὁ ἱερὸς οὗτος οἶκτος, ὥσπερ τὰ τῶν θείων παίδων ποτὲ σώματα, ὅλος ἀπαθὴς, ὅλος ἄψαυστος ἐν πυρὶ τοσούτῳ, Χριστὲ Σῶτερ, διετηρήθη. Καὶ οὐ τοῦτο μόνον, ὡς ἤδη φθάσαντες ἔφημεν, ἀλλὰ καὶ ἄλλα πάμπολλα τῶν θαυμασίων ἐν τῷδε τῷ ναῷ δείκνυται· πολλὰ μὲν καὶ τότε διὰ Μαρκιανοῦ, πολλὰ δὲ καὶ μετὰ τελευτὴν ἐκείνου, τὰ μὲν τῆς μεγάλης ἐν μάρτυσιν Ἀναστασίας, τὰ δὲ καὶ αὐτῆς τῆς κοινῆς βασιλίδος πάντων, τῆς ἀχράντου, φημὶ, Θεοτόκου διενεργούσης, καὶ μάλιστα ἐναργῶς τοῖς σπουδαιοτέροις ἐν αὐτῷ διαφαινομένη. Ἡ μετὰ τοῦ συνήθους σχήματος, καὶ τοῦ εἴδους, οὐκ ὄναρ μόνον, ἀλλὰ καὶ ὕπαρ, πάθεσί τε καὶ δαίμοσι καὶ νοσήμασι φυγῆς αἰτία καθίσταται, φαρμακείαις τε καὶ ἄλλοις κακοῖς φάρμακόν ἐστιν ἀτεχνῶς ἄμαχον. Ἀλλὰ ταῦτα μὲν καὶ λέθειν ἄθλος οὐκ εὐπετὴς, καὶ ἀριθμεῖν ἴσον ἐστὶ καὶ κυάθῳ τὸ πέλαγος ἐκμετρεῖν.

ΙΑ'. Ὅτι δὲ μὴ ζῶντες μόνον τὸ εὖ ζῆν, ἀλλὰ καὶ τεθνηκότες ἤνη τὸ ζῆν ὅλως ἐν τῷδε τῷ ναῷ ἀπειλήφασιν, ὁ λόγος ἤδη δηλῶσαι βουλόμενος εὕροι τὰς ἀκοὰς τῶν παρόντων ὑποδέξασθαι τὸ θαῦμα προθύμους. Γυνή τις ἐκ τῆς ὑπερῴου στοᾶς τῶν εὐωνύμων μερῶν ὑπερκύπτουσα, καὶ πλέον ἢ ἀσφαλῶς εἶχεν αἰωρηθεῖσα πίπτει τε ἅμα τοῦ ὕψους, καὶ νεκροῖ μὲν ἑαυτὴν, νεκροῖ δὲ, φεῦ! καὶ τὸ εἴσω αὐτῆς οἰκουροῦν ἔμβρυον. Ὅπερ ἰδόντες ὅ τε θεῖος Μαρκιανὸς, καὶ τὸ πλῆθος, φέρειν οὐκ εἶχον, ἀλλ' ἐν μέσῃ τῇ ἑορτῇ θρῆνος ἦν, καὶ δακρύων ἀφορμὴ τὸ γινόμενον. Πλὴν ἀλλ' οὐκ εἴασεν ὁ φύσει χρηστὸς ἐπιπολὺ κρατῆσαι τὸ πάθος, ἀλλὰ πρὶν ἢ τὸν ναὸν ἐξελθεῖν τοὺς συνειλεγμένους (ἔδει γὰρ ὁμοῦ καὶ φιλανθρωπίας Θεοῦ, καὶ περὶ τοὺς αὐτὸν φιλοῦντας ἔργον δόξης ὀφθῆναι), ὑψοῦ τὰς χεῖρας Μαρκιανοῦ ἄραντος, καὶ σὺν τῷ πλήθει κοινῶς εὐχομένου, ἥ τε γυνὴ παραδόξως ἀνίστατο, καὶ τὸ βρέφος ἔνδον θαυμαστῶς ἐκινεῖτο. Ἀλλὰ τὰ μὲν τῶν θαυμάτων νῦν ἅλις ἐχέτω.

ΙΒ'. Δεῖ δὲ πάντως τῷ λόγῳ διαλαβεῖν καὶ περὶ τῶν ἄλλων ὧν ἐκεῖνος ναῶν φιλοθέως ᾠκοδομήσατο, Εἰρήνης, φημὶ, τῆς θαυμασίας ἐν μάρτυσιν, ὃς πρὸς θάλασσάν ἐστι κείμενος· καὶ τοῦ ὀπεχομένου τούτου, Ἰσιδώρου δηλαδὴ τοῦ θείου. Οὗτος γὰρ ὁ τῆς μάρτυρος Εἰρήνης ναὸς ἐτύγχανε μὲν τὴν ἀρχὴν οὔτε μεγέθει, οὔτε κάλλει, οὔτε ἄλλῳ κόσμῳ καὶ ταῖς φιλοτιμίαις ἀξιοθέατος ὤν· ἀλλ' ἔμελε τῷ Θεῷ πάντως εἰς οἷον νῦν ὁρᾶται μέγεθός τε καὶ κάλλος αὐτὸν ἀναστῆσαι. Ὅθεν καὶ Γενναδίῳ τῷ πατριάρχῃ θεία τις ἐπιφαίνεται ὄψις. Καὶ ἡ ὄψις ἔλεγε· Λῦσον τὸν ναὸν τοῦτον· μέλλω γὰρ, φησὶ, ἐπὶ τοῦ μετὰ σὲ πάλιν αὐτὸν ἀνιστῆν. Ὁ μὲν οὖν τὸ προσταχθὲν ἅμα

X. Hæc cum ille diceret, una cum verbis effluebant, lacrymæ, et ostendebant eum intus extabescere. Deinde cum subjunxisset, Amen, videbant omnes fere qui aderant, primum quidem ignem sibillantem circa totam ædem, et in illam facientem impetum : deinde vero recedentem, et veluti repressum a quadam inexpugnabili et fortissima virtute. Certe hæc quoque sacra ædes, quomodo divinorum puerorum aliquando corpora tota illæsa, tota intacta, in tanto, o Christe Servator, igne est conservata. Nec hoc solum, ut jam ante diximus, sed plurima quoque alia admirabilia in hoc templo ostenduntur : multa quidem et tunc per Marcianum, multa autem post illius quoque mortem, partim quidem magna inter martyres Anastasia : partim autem ipsa quoque communi omnium regina, intemerata, inquam, Deipara, operante. Quæ quidem evidentissime apparens iis, qui in eo sunt paulo meliores, cum figura et forma consueta, non solum in somnis, sed revera, causa est, ut fugentur dæmones, morbi et ægritudines : veneficiisque et aliis malis medicamentum vere est inexpugnabile. Sed hæc quidem dicere certamen est non facile, et enumerare perinde est ac mare metiri cyatho.

XI Quod autem non solum vivi, ut recte viverent, sed etiam jam mortui, ut viverent, in hoc templo acceperunt, jam volens declarare oratio, inveniat eorum, qui adsunt, aures paratas ad accipiendum miraculum. Mulier quædam ex superiori porticu dexteræ partis despiciens, et plus, quam tutum esset, se in altum extollens, simul et cadit ex alto : et sibi quidem mortem affert, affert autem, proh dolor, mortem quoque fetui qui in ea habitabat. Quod quidem cum vidissent divinus Marcianus et populus, id ferre non poterant : sed in medio festo erat lamentatio et lacrymarum occasio id quod acciderat. Verum enimvero is qui est natura bonus, non sinit diu dominari illam affectionem: sed antequam e templo exirent, qui congregati fuerant (oportebat enim simul et Dei clementiæ, et in eos, qui ipsum amabant, gloriæ opus conspici) cum in altum manus sustulisset Marcianus, et communiter oraret cum populo, et mulier surrexit præter opinionem, et intus motus est infans admirabiliter. Sed de miraculis quidem satis sit in præsentia.

XII. Oportet autem omnino alia quoque templa complecti oratione, quæ ille pie ac religiose ædificavit: Irenes, inquam, quæ est inter martyres admirabilis, quod est ad mare positum: et ejus, quod est illi continens, divini scilicet Isidori. Hoc enim templum martyris Irenes erat quidem in principio, neque propter magnitudinem, nec pulchritudinem nec ullum alium ornatum aut magnificentiam, dignum quod spectaretur. Sed Deo omnino curæ fuit tribuere huic, quale nunc cernitur, magnitudinem et pulchritudinem. Quamobrem Gennadio quoque patriarchæ divina quædam apparet visio. Dicebat autem visio : Solve hoc templum : tempore

enim tui successoris sum id rursus excitaturus. Atque ille quidem simul jussum implevit, et vitam finiit. Marcianus autem ille admirabilis, cum ad ejus aures pervenisset hæc visio, atque ei etiam fuisset tradita magnæ Ecclesiæ dispensatio, existimans somnium id ad se deferre, varias apud se versabat cogitationes, quonam modo fieri posset, ut ei succederet hoc opus ex sententia. Inscientibus itaque fere omnibus, cum paucis aliquot illuc venit. Deinde etiam cum ipsos jussisset recedere: jam enim erat nox: solus et genu et anima Deo inclinata, ubi nunc sacra ara est posita, Deus, orabat, dicens, qui exsecranda templa simulacrorum tuo nutu et salutari voluntate evertisti, ab eorum autem deceptione opus tuarum manuum liberasti, ædes autem sacras et templa sancta excitari jussisti, in quibus tu quoque semper divina multa signa peragis: ipse nunc quoque convenienter tuo divino promisso, ad hunc locum respice, et eum sanctifica tua ineffabili gratia et virtute: per nos, Domine, excitans jam tibi præcognitam domum ad tuam gloriam, ad nostram exsultationem, ad multarum animarum salutem, quæ tuum nomen invocant. Certe Deus et rex omnium, cujus voluntati cedunt omnia, et cujus vere est opus cogitatio. Cum sic orasset, ejus oculis somnum immittit Deus, et statim ei ostendit in somnis, et templi situm, et magnitudinem, et aliam omnem ædificationem. Deinde etiam divinam tanquam in somnis audivit vocem: O Marciane, fieri possunt omnia credenti.

XIII. Cum itaque surrexisset, metu et gaudio plenus, accedit ad archiepiscopum, et exponit visionem. Illius autem gratum assensum assecutus ad opus aggreditur, et ut, prout ei ostensum fuerat, ædem faceret magnificam, cum proximum mare, quod tunc templi fores propemodum alluebat, labore et magnis sumptibus effodisset, templi sic jacit fundamentum: adeo ut huic quoque templo conveniat, quod dictum est: Ipse super maria fundavit eam, omnium scilicet opifex. Jactis autem fundamentis, reliqua quoque pergit ædificare. Magnificas enim columnas per seriem utrinque statuens, deinde alia iis superne imponens, effecit inferiores et superiores porticus. Deinde cum totam ædem omni ex parte comprehendisset subdiali deambulatorio, ita tectum imponit, maximis id complexus trabibus. Qui autem dixerit quispiam, quam sint validi parietes, quam sit amœnum pavimentum, quam sint alia omnia ornata, accurata, et elegantia? Nam ubicumque quispiam oculum defixerit, existimans se immorari in eo, quod est pulcherrimum, deinde rursus aliud attenderit: eum pœnitebit moræ, quam in priore traxerit: et sic omnia pervadens inveniet, cum semper id, quod præcessit, videatur vinci ab eo quod adest. Cujusmodi autem invasit quoque dæmon, hoc præclarum opus impedire aggrediens? Nam cum duæ magnæ columnæ, quæ statutæ erant ante aram venerandam, jam essent

A καὶ τὸν βίον ἐπλήρου. Μαρκιανὸς δὲ ὁ θεῖος εἰς ἀκοήν τε τῆς ὄψεως ταύτης ἐλθὼν, ἀλλὰ καὶ τὴν οἰκονομίας ἤδη τῆς Μεγάλης Ἐκκλησίας ἐγχειρισθεὶς, εἰς αὐτὸν φέρειν τὸν ὄνειρον οἰηθεὶς, ποικίλους ἦν στρέφων καθ' ἑαυτὸν λογισμοὺς, πῶς ἂν αὐτῷ γένοιτο καὶ τουτὶ τὸ ἔργον κατὰ νοῦν ἀποβῆναι. Λαθὼν τοιγαροῦν σχεδὸν ἅπαντας, μετ' ὀλίγων τινῶν ἐκεῖ γίνεται. Εἶτα καὶ αὐτοὺς κελεύσας ὑποχωρεῖν (ἤδη γὰρ καὶ νὺξ ἦν), μόνος τὸ γόνυ καὶ τὴν ψυχὴν τῷ Θεῷ κλίνας, ἵνα τὸ ἅγιον νῦν θυσιαστήριον ἵδρυται, Ὁ Θεὸς, προσηύχετο λέγων, τὰ μὲν εἰδώλων μιαρὰ τεμένη τῷ σῷ νεύματι καὶ θελήματι τῷ σωτηρίῳ καταστρεψάμενος, ῥυσάμενος δὲ τῆς αὐτῶν ἀπάτης τὸ τῶν σῶν χειρῶν δημιούργημα, ἱερὰ δὲ καὶ ναοὺς ἁγίους ἀνεγερθῆναι κελεύσας, ἐν οἷς καὶ πολλὰς ἀεί
B ποτε τὰς θεοσημείας ἐπιτελεῖς, αὐτὸς καὶ νῦν, κατὰ τὴν ἀψευδῆ σου ἐπαγγελίαν, ἐπίβλεψον ἐπὶ τόνδε τὸν κόπον, καὶ ἁγίασον αὐτὸν ἀῤῥήτῳ σου χάριτι καὶ δυνάμει, ἀνιστῶν, Δέσποτα, δι' ἡμῶν τὸν ἤδη σοι προεγνωσμένον οἶκον εἰς δόξαν τὴν σὴν, εἰς ἐμὸν ἀγαλλίαμα, εἰς πολλῶν ψυχῶν σωτηρίαν τῶν τὸ σὸν ὄνομα ἐπικαλουμένων. Ναὶ, Θεὲ πάντων καὶ βασιλεῦ, οὗ τῷ θελήματι πάντα εἴκει, καὶ οὗπερ ἔργον ἀληθῶς τὸ ἐννόημα. Οὕτως αὐτῷ εὐξαμένῳ ὕπνον ἐμβάλλει τοῖς ὀφθαλμοῖς ὁ Θεὸς, καὶ ὄναρ εὐθὺς παρίστησι τήν τε θέσιν τοῦ ἱεροῦ καὶ τὸ μέγεθος, καὶ τὴν ἄλλην πᾶσαν οἰκονομίαν. Εἶτα καὶ θείας ὡς ἐν ὀνείροις ἀκούει φωνῆς· Μαρκιανὲ, πάντα δυνατὰ τῷ πιστεύοντι,

C ΙΓ'. Ἀναστὰς οὖν φόβου καὶ χαρᾶς ἔμπλεως τῷ ἀρχιεπισκόπῳ πρόσεισιν, καὶ τὸ ὅραμα ἐξηγεῖται· κἀκείνου δὲ συνευδοκοῦντος τυχὼν τῷ ἔργῳ ἑαυτὸν δίδωσι, καὶ ἵνα πρὸς τὸ ὑποδειχθὲν αὐτῷ σχῆμα μεγαλοπρεπῆ τὸν οἶκον ἐργάσηται, τὴν ἐγγυτάτω θάλασσαν πόνῳ τε καὶ δαπάναις πολλαῖς ἀναχώσας, ἄχρι τότε τὰς τοῦ ἱεροῦ θύρας σχεδὸν ἐπικλύζουσαν οὕτω τὴν κρηπῖδα τοῦ ναοῦ καταβάλλεται, ὡς ἂν καὶ ἐπὶ τῷ ναῷ τῷδε ἁρμόζον εἴη τὸ εἰρημένον· Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, ὁ πάντων δηλονότι Δημιουργός. Μετὰ δὲ τὴν τῶν θεμελίων καταβολὴν, ἀκολούθως καὶ τὰ λοιπὰ τῆς οἰκοδομῆς ἐπεδίδου· κίονας γὰρ διαπρεπεῖς στοιχηδὸν ἑκατέρωθεν στήσας, εἶτα τούτοις ἄλλους ἄνω ἐπιθεὶς, τάς τε κάτω στοὰς, καὶ τὰς ὑπερκειμένας εἰργάσατο.
D Εἶτα διαλαβὼν ὑπαίθροις τὸν οἶκον πανταχόθεν, οὕτω τὴν ὀροφὴν ἐπιτίθησι, ξύλοις αὐτὴν μεγίστοις περιλαβὼν, καὶ μολύβδῳ καλύψας. Τί ἄν τις εἴποι περὶ τῆς τῶν τοίχων στεῤῥότητος, περὶ τῆς τοῦ ἐδάφους τερπνότητος, περὶ τῆς τῶν ἄλλων πάντων εὐκοσμίας ἀκριβοῦς καὶ ὥρας; Ἔνθα γὰρ ἄν τις τὸν ὀφθαλμὸν ἐρείσας προσμείνοι, τῷ καλλίστῳ προσκεῖσθαι δοκῶν, εἶτα πάλιν ἑτέρῳ προσχοίη· μεταμελήσει τούτῳ τῆς προτέρας διατριβῆς, καὶ οὕτω διὰ πάντων ἐπιὼν εὑρήσει, τοῦ προλαβόντος ἀεί ποτε νικᾶσθαι φαινομένου τῷ παρεστῶτι. Οἷος δὲ καὶ ὁ δαίμων ἐπῆλθε τῷ καλῷ τούτῳ ἔργῳ ἐμποδίζειν ἐπιχειρῶν! Τῶν γὰρ μεγάλων τού-

τῶν δύο κιόνων τῶν σεπτοῦ προεστώτων θυσιαστηρίου ἀνεστῆναι ἤδη μελλόντων, ἕτερος αὐτῶν ἐπιπολὺ ταῖς χερσὶν ἠπείθει, καὶ δυσκάτοχος ἦν, καὶ τῆς εὐαρμόστου στάσεως παρετρέπετο, τά τε ὄργανα συνεχῶς διεῤῥήγνυτο, καὶ τοῖς πρὸς τοῦτο διακονουμένοις ἀπέκαμεν ἡ σπουδή. Τέλος οὖν συμφρονήσαντες καὶ οἱονεὶ τὴν πρᾶξιν ἀπαγορεύσαντες ἀπίασι πρὸς τὸν ἅγιον, καὶ τὸ γεγονὸς ἀπαγγέλλουσιν. Ὁ δὲ οὐκ ἔγνω ῥᾳθυμίᾳ προσέχειν, οὔτε μὲν ἀπέγνω τὴν θεραπείαν, ἀσθενείᾳ λογισμῶν τε καὶ χειρῶν ἀνθρωπίνων ἐμβλέψας· ἀλλὰ τῇ πρὸς Θεὸν ἐλπίδι τὸ πᾶν ἐπιτρέψας, ἐπὶ τὸν τόπον ἐφοίτα. Καὶ πρῶτα μὲν τὰς χεῖρας ἐκτείνας καὶ ὅλον ἑαυτὸν συντείνας εἰς προσευχὴν, τόν τε τοῦ σταυροῦ τύπον ἐπισημήνας, τῷ τῶν ἐμποδισμῶν αἰτίῳ δαίμονι ἐπετίμα· Ἐχθρὲ, λέγων, παντὸς ἀγαθοῦ πολέμιε, παῦσαι βασκαίνων, καὶ τοῖς πρὸς δόξαν Θεοῦ γινομένοις ἐμποδίζων ἀεί. Ἔπειτα καὶ αὐτὸς τοῦ ἔργου τοῖς ἄλλοις συνεφαψάμενος, χερσὶν ἤδη γεγηρακυίαις πολλὴν ἔδωκε τὴν ῥοπὴν, ἐκ τοῦ πνεύματος μᾶλλον εἰπεῖν ἢ τοῦ σώματος· καὶ ἡ στάσις εὐθέως ἐνδόσιμος ἦν, καὶ ταῖς χερσὶν εἴκουσα. Πρόκειται τοῦ θαύματος ἄχρι καὶ νῦν ἡ δήλωσις τῷ κίονι ἐπιφαινομένη διὰ τῆς ὀλίγον τι τοῦ λίαν ὀρθοῦ παρεκκλίσεως· κίονα δὲ τοῦτόν φαμεν ὃς ἐξ ἀριστερῶν τοῦ ἱεροῦ θυσιαστηρίου τῶν ὁρώντων πρὸς ἀνατολὰς ἵδρυται.

ΙΔʹ. Ἀλλὰ πῶς ἄρα καὶ τοῦ κατασκευασθέντος αὐτῷ παγκάλου φωτιστηρίου, ὃ δὴ καὶ βαπτιστήριον καλεῖν εἰώθαμεν, δι' ὀλίγου τις ἐκφράσοι τὴν καλλονὴν, πολλὴν προχέοντος μετὰ θαύματος τοῖς ὁρῶσι τὴν ἡδονήν; Πέντε γὰρ διείληπται ταῖς στοαῖς, ὥσπερ ἄρα καὶ τὴν Ἱερουσαλὴμ προβατικὴν φασι κολυμβήθραν· ἀλλ' ἐνταῦθα καὶ μείζω μοι δοκεῖ μᾶλλον ἢ ἐκεῖ τελεῖσθαι τὰ θαύματα. Ἐν ἐκείνῃ μὲν γὰρ ἐπιφοιτῶν ἄγγελος ἦν, καὶ κατὰ μίαν εἰς ἡμέραν τῆς ἰάσεως ἀξιούμενος· ἐνταῦθα δὲ οὐ δοῦλός ἐστιν ὁ διακονούμενος, ἀλλὰ Δεσποτικὴ μὲν ἡ ἐπιφοίτησις. Ἡ δέ γε ἴασις οὐ κατὰ μίαν ἡμέραν, ἀλλὰ συνεχῶς· καὶ αἱ θεραπεῖαι οὐκ εἰς ἕνα μόνον, ἀλλὰ καὶ εἰς πολλούς· καὶ οὐ σωμάτων μόνος, ἀλλὰ καὶ ψυχῶν ἄντικρυς. Ἔδειξε δὲ Μαρκιανὸς ὁ θεῖος καὶ τῷ περὶ τὸ βαπτιστήριον τοῦτο σχήματι, ὅτι πρὸς τύπον ἐποίει τὸ πᾶν τῆς θρυλλουμένης ταύτης κολυμβήθρας. Τὴν γὰρ ὀροφὴν θόλοις καταμερίσας, καὶ χρυσαῖς ψηφῖσι τὰ ἐκείνης πάντα κοσμήσας, τὰ τῶν νοσούντων τε πρὸς τὸ ἀκριβὲς ὑπέγραψε σχήματα, πρὸς δὲ καὶ Χριστὸν τοὺς ἀσθενοῦντας ἰώμενον, ἵνα μὴ τοὺς νοσοῦντας μόνον, ἀλλὰ καὶ τὸν ἰατρὸν ἐξῇ καθορᾷν. Οὐδὲν δὲ οἷον τοῦ παντὸς δεηθέντος λόγου αὐταῖς ὄψεσι τὰ εἰρημένα παραλαβεῖν· ἐπεὶ καὶ κρείττω λόγου τὰ ἐκεῖ νομίζω, καὶ ὀφθαλμοῖς μόνοις συνερχόμενα πρὸς κατάληψιν. Διὸ καὶ ταῦτα μὲν παρελθεῖν μοι δοκῶν. Ἃ δὲ ἀδελφὰ τούτοις καὶ ἅμα τῷ χρόνῳ προσεχῶς ἐτελεῖτο, ταῦτα δὴ καὶ ἐρῶ, καὶ τὸν ἤδη μοι διὰ μνήμης γενόμενον Ἰσιδώρου τοῦ θείου ναὸν ἐν μνήμῃ καὶ ἔτι διαρκεστέρᾳ ποιήσομαι.

ΙΕʹ. Δριμύτατόν τινα τῆς τῶν εὐκτηρίων οἴκων οἰκοδομῆς ἐρῶν ἔρωτα ὁ χρηστὸς τῷ ὄντι Μαρκιανὸς,

A erigendæ, altera ex iis manibus hominum diu parere noluit, vixque contineri poterat, et a statu concinno divertebat, et instrumenta continenter dirumpebantur : iisque, qui ad hoc administrabant, defatigata jam erat industria. Tandem cum fieri posse veluti desperassent, ad sanctum uno consensu accedunt, et id, quod factum fuerat, renuntiant. Is autem non statuit se debere otio et socordiæ. Neque vero afferendi remedii spem abjecit, respiciens imbecillitatem cogitationum et manuum humanarum : sed spei in Deum universum permittens, venit ad locum. Et cum primo manus extendisset, et se totum contulisset ad precationem, et figuram crucis signasset, increpavit dæmonem, qui erat causa impedimenti : Inimice, B dicens, et hostis omnis boni, cessa invidere et ea impedire, quæ fiunt ad Dei gloriam. Deinde ipse quoque cum aliis, manibus jam seni affectis, opus una attingens, magnum attulit momentum, ex spiritu potius, ut ita dicam, quam ex corpore : et protinus moveri cœpit columnæ status, et cessit manibus. Apparet autem in hodiernum usque diem in columna miraculum per hoc quod a recto paululum declinaverit. Hanc autem dicimus columnam, quæ posita est a sinistris aræ sacræ iis qui aspiciunt ad orientem.

XIV. Sed quomodo pulcherrimi quoque ab eo constructi illuminatorii, quod quidem solemus vocare baptisterium, paucis explicare quis possit pulchritudinem, quod videntibus cum admiratione magnam profundit voluptatem? C Comprehensum enim est a quinque porticibus, sicut probaticam quoque aiunt piscinam, quæ est in Jerusalem. Sed hic quoque majora, quam illic, videntur fieri miracula. Nam in illa quidem erat qui accedebat angelus, et uno die unus assequebatur curationem. Hic autem non est servus qui ministrat, sed advenit quidem Dominus. Curatio autem non uno fit die, sed assidue : et non solum corporum, sed etiam aperte animarum. Ostendit autem divinus Marcianus hac quoque figura baptisterii, se universum fecisse ad formam hujus, quæ sermone celebratur piscinæ. Cum enim tectum tholis divisisset, et aureis lapillis quæcunque erant illius ornasset, et ægrotorum figuras descripsit ad unguem, et ipsum etiam Christum ægrotos curantem : D ut non solum eos qui laborant, sed medicum quoque videre liceat. Optimum autem fuerit, non ita valde indigendo præsenti oratione, ea quæ dicta sunt, ipsis oculis apprehendere. Nam quæ illic sunt, majora esse existimo, quam ut ea possimus oratione consequi, et quæ possit solus visus comprehendere. Quamobrem ea quidem statuo prætermittere. Quæ autem sunt his germana, et simul propinquo tempore perfecta fuere, ea dicam utique : et quod jam mihi fuit in memoria, divini Isidori templum, adhuc magis litteris memoriæ mandabo.

XV. Cum divinorum oratoriorum ædificationis quodam vehementissimo teneretur amore bonus

revera Marcianus; nec magnum quoque neglexit Isidorum : sed ut ejus sacras afferret reliquias, et magnificentissimam ei ædem exstrueret, magno sibi duxit studio contendendum. Nec cessabat omnem locum considerare ac contemplari. Et ideo adhuc quidem differebatur ædificatio; cum autem ejus collegisset reliquias, et in loculo deposuisset, eas statuit in præsentia servare in hoc templo martyris Ubi autem brevi aliquo post tempore aggressus est eas transferre, accidit ibi aliquid admirabile et arcanum. Neque enim ipse, nec alia multa manus hominum potuit thecam amplius movere. Divinam ergo aliquam rem esse arbitratus, et cum alio qui ei in somnis ipse significasset martyr, se loco delectari, neque velle hinc suas transferri reliquias, deinceps parens visioni, construxit hanc ædem, quæ sita est prope templum martyris Irenes. Quod hæc ædes autem sit grata martyri, per multa hoc signa significat, evidenter apparens, et magna miracula assidue efficiens, et a dæmonibus quidem liberans eos qui ab eis detinentur : naufragis autem fluctus sedans, et ventorum sævitiam increpans : eos qui molestia afficiuntur, consolans, et tristitiæ causas eis adimens, et alioqui ægrotantibus aut egentibus ea, quæ sunt gravia, cessare faciens : et quæ bona sunt, præbens. Hæc cum magnus perfecisset Marcianus, et his veluti aliis muris aureis, ornatus gratia et securitatis, civitatem decorasset, dissolvit vitam in profunda senectute, priusquam maximo templo Irenes celebraret encænia : hoc veluti excedendi appositum quidpiam elocutus : Hæc ambo in manus tuas commendo, Domine, nempe animam quam ipse creasti, et templum, quod ego tua voluntate construxi. Quæ cum dixisset, decessit decimo mensis Januarii.

XVI. Concurrit autem universa civitas, deductura reliquias, ipseque qui tunc erat pontifex, et quicunque erant sortis ecclesiasticæ, et multitudo monachorum, et cœtus honestarum mulierum, et ex magistratibus, quotquot erant pii ac religiosi. Atque sacras quidem ejus reliquias Joannis Baptistæ monasterium, quod etiam dicitur Danielis, suscipit: quod situm est prope divinum templum præclari martyris Mocii : quod ipsum quoque fuit opus illius manus, vel, ut verius dicam, propositi. Quo quidem in loco in hodiernum usque diem præclare et pie ejus memoria celebratur. Ædis autem magnæ Irenes, quam ipse fuerat fabricatus, maxime pia Verina (ea autem erat uxor Magni Leonis) curam suscipit. Quæ quidem, quæ ei ad ornamentum deerant, implet diligentissime, auroque tectum ornat magnifice. Hæc autem declarat, quæ illic est inscriptio. Templi vero encænia quotannis peraguntur vicesimo Januarii. Quo tempore magnus quoque est concursus multitudinis, et frequens in ore omnium decantatur Marcianus, tanquam illius filias hæc duo templa vidente multitudine, et ejus memoriam per ea renovante : adeo ut nonnulli inter

A οὐδὲ τὰ περὶ τὸν μέγαν Ἰσίδωρον ἀμελῶς ἐτίθει· ἀλλὰ τὸ τὰ ἱερὰ αὐτοῦ λείψανα συγκομίσαι, καὶ σεμνότατον οἶον αὐτῷ οἶκον ἀναστῆσαι πολλῆς ἠξίου σπουδῆς. Πάντα τε τόπον ἀναθεωρεῖν οὐκ ἐπαύετο, καὶ διὰ τοῦτο τὰ μὲν τῆς οἰκοδομῆς ἔμελλεν ἔτι· τὰ δὲ λείψανα τούτου συναγαγὼν, καὶ ἐν σορῷ καταθεὶς, φυλλάτειν αὐτὰ, τό γε νῦν ἔχον, ἐν τῷ καινῷ ναῷ τῆς μάρτυρος ἔγνω. Ἐπεὶ μετὰ βραχύν τινα χρόνον μεταθήσειν αὐτὰ ἀπεχείρει, ἐνταῦθα γοῦν θαυμαστὸν οἶον ἀπήντα τι καὶ ἀπόῤῥητον. Οὔτε γὰρ αὐτὸς οὔτε ἄλλη πολυχειρία διασαλεύειν ἔτι τὴν θήκην δυνατὴ κατέστη· θεῖον οὖν τι τὸ πρᾶγμα εἶναι ὑπολαβὼν, ἄλλως δὲ καὶ αὐτοῦ τοῦ μάρτυρος δι' ὀνειράτων αὐτῷ σημήναντος ὡς χαίρει τῷ τόπῳ, καὶ ἀβουλήτως ἔχει πρὸς τὴν τῶν λειψάνων μεταφορὰν, οὕ-
B τω λοιπὸν πειθαρχήσας τῇ ὄψει, τουτονὶ τὸν προσνείμενον τῷ τῆς μάρτυρος Εἰρήνης ναῷ κατέσκεύασεν οἶκον. Ὅτι μέντοι κεχαριςμένος ὁ οἶκος οὗτος τῷ μάρτυρι, τοῦτο διὰ πολλῶν δείκνυσι τῶν σημείων διαδήλως ἐπιφαινόμενος, καὶ τὰ μεγάλα τῶν θαυμάτων συνεχῶς ἐργαζόμενος, καὶ δαιμόνων μὲν ἀπολύων τοὺς ὑπ' ἐκείνων κατεσχημένους, ναυαγοῦσι δὲ κύματα πραΰνων, καὶ ἀνέμων ἐπιμῶν ἀγριότητι, λυπουμένους παρακαλῶν, καὶ τὰ τῆς λύπης περιαιρῶν αὐτοῖς αἴτια, τοῖς μὲν ἄλλως τε νοσοῦσιν ἢ δεομένοις τὰ χαλεπὰ παύων, καὶ τὰ χρηστὰ παρεχόμενος. Ταῦτα ὁ μέγας Μαρκιανὸς, καὶ τούτοις ὥσπερ ἑτέροις χρυσοῖς τείχεσι κόσμου καὶ ἀσφαλείας ἕνεκα τὴν πόλιν καταλαμπρύνας, καταλύει τὸν βίον ἐν γήρει βαθεῖ, πρὶν ἢ τὸν ἐγκαινισμὸν τελέσαι
C τῷ μεγίστῳ τῆς Εἰρήνης ναῷ· τοῦτο καθάπερ τι ἀλεξητήριον προσειπών· Ἄμφω ταῦτα εἰς χεῖρας τὰς σὰς παρατίθημι, Κύριε, ἥν τε ψυχὴν αὐτὸς ἔκτισας, καὶ ὃν ἐγὼ ναὸν τῷ σῷ βουλήματι κατεσκεύασα. καὶ ταῦτα εἰπὼν ἐτελεύτα, Ἰανουαρίου τότε δεκάτην τοῦ μηνὸς ἄγοντος.

ΙϚ'. Συνέτρεχε δὲ πᾶσα ἡ πόλις, οἷα τὴν τοῦ λειψάνου προπομπὴν ποιησόμενοι· αὐτός τε ὁ τηνικαῦτα ἀρχιερεὺς, καὶ ὅτιπερ ἦν τοῦ ἐκκλησιαστικοῦ κλήρου, πλῆθός τι μοναχῶν, καὶ γυναικῶν σεμνῶν τάγματα, καὶ τῶν ἐν τέλει ὅσον εὐσεβὲς καὶ φιλόθεον. Τὸ μὲν οὖν ἱερὸν αὐτοῦ λείψανον ἡ τοῦ Βαπτιστοῦ Ἰωάννου μονὴ, ἥτις ἄρα καὶ τοῦ Δανιὴλ λέγεται, δέχεται, ἐγγύς που τοῦ θείου ναοῦ τοῦ μάρτυρος Μωκίου διακειμένη, ἔργον καὶ αὐτὴ οὖσα τῆς ἐκείνου χειρὸς, ἢ μᾶλλον εἰπεῖν τῆς προθέσεως.
D Ἔνθα δὴ καὶ εἰς δεῦρο λαμπρῶς αὐτοῦ καὶ φιλοθέως ἡ μνήμη τελεῖται. Τοῦ δὲ δημιουργηθέντος αὐτῷ οἴκου τῆς μεγάλης Εἰρήνης, ἡ εὐσεβεστάτη Βηρίνα (γυνὴ δὲ αὕτη τοῦ μεγάλου Λέοντος ἦν) τὴν πρόνοιαν ἀναδέχεται. Ἣ τά τε πρὸς κόσμον ελλιπῶς ἔχοντα σπουδαίως ἀποπληροῖ, καὶ τὴν ὀροφὴν χρυσίῳ φιλοτίμως κατακοσμεῖ· καὶ ἡ ἐπιγραφὴ ταῦτα ἐκεῖσε δῆλα ποιεῖ. Τά τε μὴν ἐγκαίνια τοῦ ναοῦ κατὰ τὴν εἰκάδα τοῦ Ἰανουαρίου δι' ἔτους τελεῖται· ὁπότε δὴ καὶ πολλὴ τοῦ πλήθους ἡ συνδρομὴ, καὶ πολὺς ὁ Μαρκιανὸς ἐν τοῖς ἁπάντων ᾄδεται στόμασιν, ὡσανεὶ παῖδας ἐκείνου τοὺς δύο ναοὺς τοῦ πλήθους ὁρώντων, καὶ τούτοις τὴν περὶ αὐτὸν μνήμην ἀνα-

νεούντων· ὥστε τινὰς καὶ χαριέντως πρὸς ἀλλήλους A σὺν ἡδονῇ λέγειν· Ἰδοὺ καὶ ἄλλη θυγάτηρ αὕτη τοῦ μεγάλου Μαρκιανοῦ, τὸ κάλλος τε καὶ τὴν πολυτέλειαν ἀδελφὴ τῆς μεγαλης Ἀναστασίας. Ὅπερ μέντοι μόνως περὶ τοῦ ναοῦ τῆς θείας αὐτὸς ἐκεῖνος ἔφη Ἀναστασίας, πῶς ἄν τις παραλιπεῖν ἀξιώσειε; Τῶν γὰρ συνήθων αὐτῷ τινος τὸ πολὺ τῆς δαπάνης ἐν θαύματι ποιουμένου, ἐκεῖνον, Εἰ δὲ καὶ πρὸς γάμον, εἰπεῖν, θυγατέρα κατεγγυᾷν ἔμελλον, οὐκ ἂν τὰ πρὸς εὐπρέπειαν καὶ κόσμον αὐτῇ φιλοτίμως ὡς εἶχον παρασχεῖν εἱλόμην; Νῦν δὲ πρὸς ναὸν Χριστοῦ νύμφης προθέμενοι δαπανᾷν, καὶ νύμφης οὕτω καλῆς, καὶ τὸ αἷμα ὑπὲρ αὐτοῦ προχέαι μὴ φεισαμένης, οὐ πολλῷ μᾶλλον καὶ προθυμότερον ἐμέλλομεν ἀναλίσκειν, καὶ κόσμου παντὸς καὶ ὥρας καὶ χαρίτων ἐλλείπειν οὐδέν; Οὕτω φιλότιμος ἦν ἐν ἔργοις τοῖς B τῷ Θεῷ φίλοις Μαρκιανὸς, καὶ δαπάνης οὐδεμιᾶς φειδόμενος.

ιζʹ. Καὶ γὰρ οὐ τοσούτων μόνον νεουργὸς γέγονεν, ἀλλὰ καὶ πολλῶν ἄλλων ἱερῶν οἴκων, οὐ δημιουργὸς μόνον, ἀλλὰ καὶ θεραπευτὴς ἐδείκνυτο· οἷα δὴ καὶ τοῦ μεγάλου μάρτυρος Θεοδώρου τοῦ ἐν Ταινάρῳ· καὶ Στρατονίκου μάρτυρος τοῦ ἐν τῷ Ῥηγίῳ. Καὶ τόγε θαυμαστότατον, ὅτιπερ οὕτως ἐν τοῖς ἱεροῖς οἴκοις την χεῖρα πολυαρκὴς ὤν, πολλῷ πλέον αὐτὴν ῥέουσαν ἐν ταῖς τῶν πενήτων παρεῖχεν ἐπιμελείαις. Περὶ οὗ καὶ νῦν διεξοδικώτερον ὁ λόγος διεξελθεῖν βούλεται, ὥστε δήλην γενέσθαι μὴ τὴν ἐκείνου μόνον περὶ τοὺς δεομένους φιλανθρωπίαν, ἀλλὰ καὶ αὐτὸ τοῦτο τὸ φιλάνθρωπον, οἵων ἄρα τοὺς ἐραστὰς ἐκείνου τῶν χαρισμάτων καταξιοῖ. C Νύκτωρ ὁ θαυμάσιος τάς τε πλατείας καὶ τοὺς τῆς πόλεως περιιὼν στενωπεὺς, ἐπιμελὲς ἐποιεῖτο, ποῦ ποτε ἂν καὶ εὕροι νεκρὸν ὑπὸ πολλῆς πενίας παρεῤῥιμμένον· καὶ ὡς ἂν ἴδοι τοιοῦτον, ὥσπερ μεγάλου τινὸς κέρδους ἐπιτυχὼν ἀσμένως ἑώρα· καὶ σπουδῇ λούσας καὶ ἀμφιέσας, καὶ τῶν ἄλλων δὴ τῶν νενομισμένων ἀξιώσας τιμῶν, εἶτα καὶ ὥσπερ καὶ ζῶντα τὸν νεκρὸν προσεφθέγγετο· Δεῦρο, λέγων, καὶ τῆς ἐν Χριστῷ ἀγάπης κοινώνησον ἡμῖν, ἀδελφέ. Οὕτως εἰπὼν, ὑπακούοντα τὸν κείμενον εἶχεν· ἀνίστατο γὰρ (ὢ θαύματος, ἀποῤῥήτου! καὶ Μαρκιανὸν ἠσπάζετο τὸν χρηστὸν τῆς προνοίας, ὥσπερ τῆς περὶ αὐτὸν, οὐκ ἐκεῖνον, ἀλλὰ τὸν Χριστὸν μᾶλλον ὑποφαίνων ἀποδεχόμενον. Εἶθ' οὕτως ὁ νεκρὸς πάλιν νεκρὸς ἦν, καὶ τοιοῦτος ὑπὸ D τῶν παριόντων ὁρώμενος. Τοῦτο δὲ γνώριμον μὲν καὶ ἄλλως γέγονεν, ἐκ δὲ τούτου φανερώτερον.

ΙΗʹ. Μέσων νυκτῶν, ὅτε καὶ μάλιστα μηδενὶ ὀφθῆναι ᾤετο, πρός τινα συνήθη τραπεζίτην τὸ χρυσίον καταλλάξων ἐφοίτα, καὶ κέρμα λαμβάνων πλειόνων χαλκῶν, ὡς ἂν ἔχοι τοῦτο διανεῖμαι τοῖς πενομένοις, εὐθὺς ἐπανήει. Ὁ γοῦν τραπεζίτης εἰς κέρδους πρόφασιν τὸ ἄωρον τῆς νυκτὸς λαμβάνων, ζυγοῖς ἀδίκοις τοὺς χρυσοῦς ἐταθμᾶτο, καὶ ἐκεῖνος οὐδὲν ἀντιλέγων οὔθ' ὅλως ἐξακριβούμενος, δῆλος ἦν τὸ πᾶν τῇ συνειδήσει τοῦ σταθμίζοντος ἐπιτρέπων. Ὡς δὲ πολλάκις τοῦτο γενόμενον, ὁ Μαρκιανὸς τὸν μὴ συνιέντα ὑποκρινόμενος, οὐδὲν

se lepide dicant cum voluptate: Ecce hæc quoque est alia filia Magni Marciani, pulchritudine et magnificentia soror magnæ Anastasiæ. Quod certe ille quidem ipse solummodo de divina dixit Anastasia, quemadmodum censuerit quispiam esse prætermittendum? Nam cum quidam ex ejus familiaribus magnam miraretur impensam: Si desponsurus essem, inquit ille, meam filiam, non quæ ad ejus decorem pertinerent, et ornatum, statuerem mihi esse præbenda quam possem magnificentissime? Nunc autem cum impensas statuerimus facere in templum sponsæ Christi, et sponsæ adeo pulchræ, et quæ pro ipso sanguinem non possit fundere: non longe amplius et alacrius sumus sumptus facturi, nullumque ornamentum speciemque et elegantiam prætermissuri? Tam splendidus et magnificus erat Marcianus in iis, quæ Deo grata erant, operibus: neque ullis parcebat sumptibus.

XVII. Etenim non harum solum fuit conditor, sed multarum quoque aliarum ædium non tantum se præstitit opificem, verum etiam refectorem atque reparatorem. Ut magni quoque martyris Theodori, qui fuit in Tænaro: et Stratonici martyris, qui fuit Rhegii. Et quod est magis admirabile, cum in sacris ædibus ejus esset manus tam liberalis, ea erat multo magis profusa in cura gerenda pauperum. Quod quidem nunc vult cursim persequi oratio, adeo ut non solum manifesta fieret illius in egenos benignitas, sed hæc ipsa quoque beneficentia, qualibus donis dignaretur illius amatores. Noctu vir ille admirabilis obiens plateas et civitatis angiportus, hujus quoque curam gerebat. Sicubi invenisset mortuum præ nimia paupertate abjectum, et cujus nemo curam gereret, et quem talem vidisset, tanquam magnum aliquod lucrum assecutus, eum libenter videbat: cumque eum diligenter lavisset et induisset, et alia justa pro more ei fecisset, deinde etiam mortuum tanquam vivum alloquebatur: Agedum, dicens, sis quoque nobiscum particeps ejus, quæ est in Christo, charitatis. Quæ cum sic diceret, habebat eum qui jacebat, audientem. Surgebat enim (o miraculum, quod verbis non potest explicari!), et bonum amplectebatur Marcianum, curam quæ ejus gerebatur, non illum, sed Christum potius ostendens suscipere. Deinde sic mortuus, rursus erat mortuus: et talis videbatur ab iis, qui erant superstites. Hoc autem fuit alias quoque cognitum: sed ex hoc evasit manifestius.

XVIII. Media nocte, quando maxime putabat fore ut a nemine videretur, ventitabat ad quemdam argentarium sibi familiarem, ut aurum permutaret: et accipiens multum minutæ monetæ æneæ, ut haberet quod posset distribuere pauperibus, statim revertebatur. Argentarius autem adhibens noctem intempestivam ad lucri occasionem, iniqua trutina ponderabat aureos. Ille autem nihil contradicens, nec omnino accurate considerans, aperte ostendebat se omnia permittere conscientiæ ejus qui ponderabat. Cum autem hoc sæpe fieret, et Marcianus

simulans se non intelligere, nequaquam insimularet argentarium, eum magna subiit admiratio: et simul tempus considerans, nempe medium noctis, ad meliorem venit considerationem: cœpitque suspicari id quod erat veritati propius, et Marciani vitæ convenientius. Unum certe ex suis pueris jussit eum sequi egredientem, ut sciret, quidnam ab eo illa minuta fieret pecunia. Neque enim ab argentario cognoscebatur Marcianus, ut qui apte vultum celaret, quando ad ipsum ingrediebatur, ut illam minutam acciperet pecuniam. Atque puer quidem sequebatur. Postquam autem incidit vir divinus in quemdam pauperem mortuum in lecto jacentem, et acceptum ex quadam cauponis domuncula, lavit et induit: et cum surrexisset, est amplexus, et eo deinde reclinato, rursus abiit: puerum, cum hæc vidisset, horror invasit, et conversus, quam citissime fieri potuit, omnia declarat ei qui illum miserat. Illum autem subiit pœnitentia eorum, quæ fecerat: et quod se iniquissime in sanctum gesserat, deflebat, et pœnas sumebat de sua conscientia. Certe cum is rursus venisset, ut faceret similia, procidit ei ad pedes, et confessus est ea, quæ male fecerat: et quidquid per fraudem lucratus fuerat, enumeravit. Ita bona tacens actio plura potest facere, quam verborum multitudo: et quibus nihil prosunt reprehensiones et suasiones, iis opus laudabile procedens silentio, et latenter transmissum ad eorum conscientiam, meliores reddidit, et effecit, ut bonum sua sponte discerent. Divinus autem Marcianus cum dixisset se fuisse nulla affectum injuria, ab eo quod dabatur, et qui dabat se deinceps abstinuit: non tanquam improbum aliquem aversans: illi enim non solum ignovit, sed etiam professus est se eum habere amicissimum: sed toto pede fugiebat cramben, ex vana gloria proserpentem, et non volens sua alicui homini fieri manifesta, sed ea apud Deum solum reponens. Licet ergo ei qui velit, considerare, quidnam prius possit admirari, insignene miraculum, an beneficentiæ studium, an in universa machinatione ejus animi liberalitatem. Verum enimuero de illius beneficentia oratio aliud quoque bonum mihi revocat in memoriam.

XIX. Hæc virtus ei tantæ erat curæ, ut propter eam ne in meretricum quidem domos venire dedignaretur, neque eam rem esse turpem existimaret: sed ad illum ipsum, quem diligebat, Christum aspiciens tanquam ad exemplar, qui cum publicanis et peccatoribus propter eorum salutem sæpe habuit consuetudinem, et malis suaderet mulieribus, quæ erant salutaria: quibus nonnunquam inopia erat causa sui interitus, dum vellent, proh dolor! suo corpore quæstum facere. In eas ergo magis erat profusus, et dextera magis promptus optimus Marcianus: et maxime si contigisset festum agi die sequenti. Tunc enim erat paratus plura eis prœbere, quam illæ erant accepturæ ex abominanda nequitia: persuadebatque eis et uti lavacro, et se in sequentem diem servare impollutas, et ad ecclesiam deinde accedere, et

A εἰνκάλει τῷ τραπεζίτῃ, πολλὴ ἔκπληξις εἶχεν αὐτὸν, καὶ ἅμα τὴν ὥραν ἀνασκοπῶν ὅτι τῆς νυκτὸς τὸ μεσαίτατον, εἰς κρείττονα λογισμὸν ἐχώρει, καί τὰς ὑπολήψεις ἐγγιζούσας εἶχε τῇ ἀληθείᾳ, καὶ τῷ Μαρκιανοῦ βίῳ πρεπούσας. Ἀμέλει, καί τινα τῶν αὐτοῦ παίδων ἀκολουθεῖν ἐκέλευεν αὐτῷ ἐξιόντι, ὥστε μαθεῖν ποῦ ποτε ἄρα τὰ τοῦ κέρματος ἐκείνῳ χωροῦσιν. Οὐδαμῶς γὰρ ἐπίδηλος ὁ Μαρκιανὸς τῷ τραπεζίτῃ γενόμενος ἦν, ἐπιδεξίως τὴν ὄψιν ἐπικρυπτόμενος, ὅτε πρὸς αὐτὸν εἰσῄει τὸ κέρμα λαβεῖν. Ὁ μὲν οὖν παῖς ἠκολούθει. Ἐπεὶ δὲ καὶ νεκρῷ πένητι ἐντυχὼν ὁ θεῖος ἀνὴρ ἐπὶ κλίνης κειμένῳ, λαβὼν ἔκ τινος οἰκίσκου καπηλικοῦ ἔλουσέ τε καὶ ἠμφίασε, καὶ ἀναστάντα ἠσπάσατο, καὶ εἶτα ἀνακλίνας αὖθις ἀπῄει· ταῦτα τὸν παῖδα ἰδόντα φρίκη B κατέσχε, καὶ στραφεὶς ὡς τάχος τῷ πέμψαντι πάντα διασαφεῖ. Τὸν δὲ μετάνοια τῶν γενομένων εἰσῄει, καὶ ἐφ' οἷς πρὸς τὸν ὅσιον ἀδικώτατα διετέθη μετακλαίων ἦν, καὶ τιμωρίαν ἀπὸ τοῦ συνειδότος ἑαυτὸν εἰσπραττόμενος. Ἀμέλει, καὶ παραγενομένῳ πάλιν ἐφ' ᾧ τὰ ὅμοια πράξεις, προσέπιπτέ τε τοῖς ἐκείνου ποσὶ, διωμολόγει τὰ πραχθέντα κακῶς, καὶ πᾶν τὸ πλεονεκτηθὲν ἀπηρίθμει. Οὕτω πρᾶξις ἀγαθὴ σιωπῶσα μᾶλλον ἢ πλήθη ῥημάτων ἀνύειν δύναται, καὶ οὓς ἔλεγχοι καὶ παραινέσεις οὐδὲν ὤνησαν, τούτοις ἔργον ἐπαινετὸν ἡσύχως χωροῦν, καὶ ἀφανῶς αὐτῶν τῆς συνειδήσεως παραπτόμενον, ἐβελτίωσε καὶ αὐθαιρέτως μεταμαθεῖν τὸ ἀγαθὸν παρασκεύασε. Ὁ δὲ θεῖος Μαρκιανὸς μηδὲν ἠδικῆσθαι φήσας, τοῦ τε διδομένου καὶ αὐτοῦ τοῦ C διδόντος τὸ λοιπὸν ἀπέσχετο· οὐχ ὡς ἄν τινα πονηρὸν ἐκτρεπόμενος (ἐκείνῳ γὰρ οὐ συγγνώμην ἁπλῶς ἔνειμεν, ἀλλὰ καὶ φίλτατον αὐτὸν διωμολόγησεν ἔχειν), ἀλλ' ὅλῳ ποδὶ φεύγων τὴν ἀπὸ τῆς ματαίας δόξης παρερπουσαν βλάβην, καὶ οὐκ ἐθέλων οὐδενὶ ἀνθρώπων τὰ ἑαυτοῦ δῆλα γίνεσθαι, ἀλλὰ τῷ Θεῷ ταῦτα μόνῳ ταμιευόμενος. Πάρεστι τοιγαροῦν τῷ βουλομένῳ σκοπεῖν, τί τις πρότερον ἔχοι θαυμάζειν, τὴν τοῦ θαύματος ὑπερβολὴν, ἢ τὴν περὶ τὴν εὐποιίαν σπουδὴν, τὴν τῆς δόξης ὑπεροψίαν, ἢ τὴν παντὸς τεχνάσματος τῆς γνώμης ἐλευθερίαν. Ἀλλ' οὗτος γοῦν ὁ τῆς εὐποιίας ἐκείνου λόγος καὶ ἑτέρου ἤδη ἀναμιμνήσκει καλοῦ.

ΙΘʹ. Τοσαύτη γὰρ τῷ ἀνδρὶ ἡ περὶ τήνδε τὴν ἀρετὴν ἐπιμέλεια, ὥστε χάριν αὐτῆς καὶ εἰς πορD νικὰς οἰκίας φοιτᾷν μὴ ἀπαξιοῦν, μηδὲ τὸ χρῆμα ἕν τι τῶν ἀκόσμων ἡγεῖσθαι· ἀλλ' εἰς αὐτὸν ἐκεῖνον ὃν ἐφίλει Χριστὸν ὥσπερ εἰς ἀρχέτυπον ἀφορῶντα (ὃς καὶ τελώναις ἐπὶ σωτηρίᾳ καὶ ἁμαρτωλοῖς πολλάκις ὡμιληκὼς ἦν), καὶ αὐτὸν γυναιξὶ φαύλαις τὰ σωτήρια παραινεῖν, αἷς ἡ ἀπορία ὑπόθεσις ἦν, ὅτε τῆς ἑαυτῶν ἐτύγχανεν ἀπωλείας, ἀπὸ τοῦ ἰδίου, φεῦ! σώματος πορίζεσθαι βουλομέναις. Πρὸς ταύτας τοιγαροῦν καὶ μαλλον ὁ χρηστὸς τὰ πάντα Μαρκιανὸς πολλῷ ῥέων ἦν καὶ ἑτοιμότερος, καὶ μάλιστα εἰ τύχοι τῆς ἐπιούσης ἑορτὴν ἄγεσθαι. Τότε γὰρ καὶ πλείω παρέχειν ἢ ἐκεῖναι τῆς βδελυρίας ἔμελλον ἀποφέρειν ἑτοιμότατος ἦν, λουτρῷ τε χρήσασθαι καὶ ἀμιάντους φυλαχθῆναι τῇ ἑξῆς ἔπειθεν,

καὶ τῇ ἐκκλησίᾳ ἔπειτα προσελθεῖν, καὶ τῶν προλαβόντων ἐπιμνησθείσας τὸν φόβον τῆς γεέννης φρικτῆς ἑαυταῖς ἐπισεῖσαι, καὶ δάκρυσι τὸ Θεῖον ἐξιλεώσασθαι. Οὗ δὴ πολλάκις γινομένου, ἔστιν ὧν καὶ συνήθεια τοῦ καλοῦ κατεκράτει, φόβος τε θεῖος αὐταῖς ἐπισκήψας παρεσκεύαζεν οὐ πορνείοις μόνον, ἀλλὰ καὶ παντὶ κόσμῳ χαίρειν εἰπούσας, εἰς μοναστήριά τε καὶ ἀσκητήρια εὐθύμως φοιτᾷν· πολλαὶ δὲ τούτων καὶ εἰς Ἱεροσόλυμα βαδίζειν ἔγνωσαν, τὰς ἐνοδίους ἀπ' ἐκείνου δαπάνας ἀρκούντως ἀπειληγυῖαι· αἳ καὶ βίον μάλιστα καθαρὸν καὶ ἀντίθετον ἐκ διαμέτρου τῷ προλαβόντι ἐπιδειξάμεναι, οὐδὲ τῶν τοῦ ἀγαθοῦ Πνεύματος χαρισμάτων κατέστησαν ἄμοιροι· ἀλλὰ αἱ μὲν αὐτὸν προσευχῇ νόσους ἔλυσυν, αἱ δὲ καὶ δαίμονας ἐξ ἀνθρώπων, οὓς πρότερον ἐπιμελῶς ἐθεράπευσαν, ῥᾳδίως ἀπήλασαν. Ταῦτα ἐκεῖνος οὐχ ὡς ἄν τις ἐποίει τῶν πλούτῳ πολλῷ περιαντλουμένων, καὶ τὸ περιττῶς ἔχον ἀποκενῶν, ἀλλὰ διὰ τὴν πολλὴν περὶ τοὺς δεομένους ῥοπήν, μηδὲ αὐτῶν, φημί, τῶν ἀναγκαίων φειδόμενος. Ἀλλ' ἔστιν ὅτε καὶ ἃ εἶχεν ἐν χερσὶν ἐκφορήσας πάντα καὶ μεταδοὺς ἑαυτῷ τὰς χρηστὰς ἐλπίδας καὶ τὸ εἰς χεῖρας ἀφορᾷν μόνον του Θεοῦ κατελίμπανεν, ὥστε μετὰ τῶν ἄλλων, ὧν εἶχε καλῶν, καὶ πρὸς ἀκτημοσύνης λόγον, μηδενὶ τῶν πρωτείων παραχωρεῖν.

Κ'. Σημεῖον δὲ τοῦ λόγου. Λέγεται γὰρ ὡς ἐξ ἑορτῆς ἁγίων ὑποστρέφων ποτὲ (καὶ γὰρ οὐδὲ τῶν τοιούτων καὶ τοῦ ἐν μέσῳ πολλῶν αἰνεῖν τὸν Κύριον θεοσεβείας χάριν ἀπελιμπάνετο, ἀλλὰ κατὰ πολλὴν ἐφοίτα τὴν προθυμίαν)· ἐπανιὼν τοιγαροῦν, ἐπεὶ ὄμβρον καταῤῥαγῆναι συνέβη, διάβροχος γεγονὸς, καὶ εἰσελθὼν τὴν οἰκίαν, καὶ ἐγκλεισάμενος, ἔπειτα ἀποδὺς τὸ ἱμάτιον ἐπὶ μετρίοις ἄνθραξιν ἀνεξήραινεν. Οὕτω δὲ συμπεσὸν, ὁ τότε θεοφιλέστατος ἀρχιερεὺς μετάκλητον αὐτὸν ἐποιεῖτο. Οἱ δὲ σταλέντες κεκλεισμένην εὑρόντες τὴν οἰκίαν, ἔκοπτόν τε τὴν θύραν, καὶ ἐξιέναι ἐκέλευον. Τὸν δὲ ἡ τοῦ φανῆναι γυμνὸν αἰσχύνη εἴσω μένειν ἐποίει, τῷ μηδὲ ἕτερον ἱμάτιον αὐτῷ προσεῖναι, ὥστε περιβαλόμενον προελθεῖν. Διὰ τοῦτο ἐπηγγείλατο μὲν τὴν ἔλευσιν, ἔμελλε δὲ καὶ ἔτι. Εἷς τῶν παρόντων περιεργότερόν τι ποιῶν, καὶ ὀπῇ τινι τὸν ὀφθαλμὸν προσθεὶς καὶ τὸ γινόμενον θεασάμενος, αὐτός τε θαύματος ἐπληροῦτο, καὶ τοὺς ἄλλους μάρτυσι χρήσασθαι τούτου τοῖς σφετέροις ὀφθαλμοῖς παρεσκεύασεν. Ὡς οὖν ἐξέπληξε πάντας τὸ θεαθὲν ἐπανίεσαν, καὶ τῷ πατριάρχῃ πάντα μετὰ θαύματος διεσάφουν. Τῷ δὲ, οὐχ ὅπως οὐδὲν θαυμάζειν, ἀλλὰ καὶ μέμφεσθαι μᾶλλον αὐτοῖς ἐπῄει, εἰ ἐκ μικρῶν οὕτω Μαρκιανὸν μέγαν ἐγνώκασι κρίνειν, παρὸν ἐκ πολλῶν ἑτέρων, καὶ οὐδενὶ ἄλλῳ κατορθῶσαι ῥᾳδίων, θαυμαστὸν ἐκεῖνον λογίζεσθαι καὶ μακάριον.

ΚΑ'. Ὅσης δὲ τῆς αἰδοῦς ὁ μέγας οὗτος ἀπήλαυε παρὰ πάντων ὁμοίως, δήμου, βουλῆς, βασιλέως αὐτοῦ, μαρτυρεῖ μὲν ἡ φήμη, μαρτυροῦσι δὲ καὶ οἱ δυνατώτατοι τῶν τότε Ἄσπαρ καὶ Ἀρδαβούριος.

A recordantes eorum quæ præcesserant, horribilis gehennæ metum sibi incutere, et Deum placare lacrymis. Quod qeidem cum sæpe factum esset, nonnullas boni vincebat consuetudo, divinusque eis ingruens metus efficiebat, ut non solum stupris, sed omni etiam ornamento valedicentes, ad monasteria et asceteria, id est, loca in quibus se exercerent, prompto et alacri venirent animo. Multæ quoque ex iis statuerunt ire Hierosolymam, cum ab illo accepissent sumptus, qui sufficerent ad viaticum. Quæ cum vitam maxime puram et priori ex diametro oppositam ostendissent, ne boni quidem spiritus donorum fuere expertes: sed aliæ quidem ex ipsis morbos solverunt oratione, aliæ autem dæmones quoque, quos prius

B diligenter coluerant, facile ejecerunt ex hominibus. Hæc ille, non ut faceret aliquis ex iis qui magnis affluunt opibus, id quod redundat exinaniens, sed propter magnum quod egentibus afferebat auxilium, ne ipsis quidem parcens necessariis. Sed nonnunquam cum omnia etiam extulisset et erogasset, quæ habebat in manibus, sibi solam spem bonam et ad Dei solum manus aspicere, relinquebat: adeo ut cum aliis, quæ habebat bonis, etiam quod ad nihil possidentem attinet, primas partes nulli cederet.

XX. Hujus autem quod dico, signum est. Dicitur enim quod a festo Sanctorum revertens aliquando: nam nec iis, nec Domini, quæ fit in medio multo-

C rum, laudationi deerat, divini cultus et religionis gratia. Revertens ergo, quoniam pluviam erumpere contigerat, madefactus et domum ingressus, cum se inclusisset et vestem exuisset, paucis exsiccabat carbonibus. Accidit autem, ut Dei amantissimus pontifex tunc eum accerseret. Qui autem missi fuerant, cum domum invenissent clausam, pulsabant ostium, et jubebant egredi. Illum vero pudor, ne nudus videretur, cogebat intus manere, quoniam ne alia quidem ei vestis aderat, ut posset indutus progredi. Et ideo renuntiavit quidem se venturum, sed tamen adhuc differebat, donec unus ex iis qui aderant, se gerens paulo curiosius, cum uni foramini oculum admovisset, et contemplatus esset id quod fiebat, et ipse repletus fuit admiratione, et

D effecit ut aliis uteretur hujus rei testibus, dum suis cernerent oculis. Postquam itaque id quod visum fuerat, omnes obstupefecisset, reversi sunt, et patriarchæ cum admiratione omnia aperuere. Illi autem non modo venit in mentem admirari, sed potius eos increpare, quod ex adeo parvis statuerint magnum indicare Marcianum, cum liceret ex multis aliis, et quæ nullus posset alius facile efficere, illum existimare admirandum et beatum.

XIX. Quanto autem fuerit ex æquo omnium in hunc magnum reverentia, populi, inquam, et senatus, et ipsius imperatoris, testatur quidem fama: testantur autem etiam, qui tunc fuere potentissimi,

Aspar et Adabarius. Qui etsi essent mala opinione A prædili, et iis qui recte sentiebant, inimicissimi, divinum tamen Marcianum ne facile quidem intueri poterant, insignem ejus virtutem reverentes: et ideo illi magnum honorem tribuebant, et templum magnæ Anastasiæ, quod ab illo fuerat conditum, pretiosis vasis ex auro et argento factis decoraverunt. Ille autem donum remunerans, decrevit ut diebus solemnibus, patria eorum lingua (Gothi enim erant) divinitus inspiratæ Scripturæ in eo templo legerentur. Sed Byzantinis quidem erat Martianus adeo venerandus. Vocabat autem fama eas quoque, quæ procul sitæ erant, civitates, et undique confluebant: alii quidem, percepturi peccatorum curationem, alii vero morborum: ut nec deerant quidem qui a Roma veteri veniebant. Inter B quos alio quoque, quod factum est dignum memoratu, non par esse arbitror fraudare vestras aures.

XXI. Quædam enim mulier laborans diuturno fluxu sanguinis adeo graviter, ut omnis medicinæ, quod ad eam attinebat, vanum existimaretur studium et supervacaneum. Ea, Roma relicta (eam enim vocabant divina signa Marciani, quæ canebantur ab omnibus), pervenit Constantinopolim. Neque vero eam tantum iter confecisse pœnituit, ut quæ tanta vexatione nihil dignum obtinuerit: sed simul ut ad justum accessit Marcianum, et morbum significavit, curata est mulier. Talis enim fuit hic vir divinus, ut nec tactu quidem sæpe, sed sola precatione et nudo aspectu liberaret eos qui accedebant, et ei exhibebant negotium. Tantus C quidem fuit Marcianus miraculis. Talis autem iis quoque, quæ recte et ex virtute gesta sunt, convenienter divinæ promissioni, quæ dicit: *Eos qui me glorificant, glorificabo* [5]. Cujus intercessionibus nobis concedatur, illius esse bonorum participes, in Christo Jesu Domino nostro, cui gloria et potentia nunc et in sæcula sæculorum, Amen.

Οἳ καίτοι κακόδοξοι ὄντες, καὶ, τοῖς ὀρθῶς ἔχουσι δόξης διαφερόντως πολέμιοι, ὅμως Μαρκιανὸν τὸν θεῖον οὐδὲ προσβλέπειν εὐχερῶς ἠδύναντο, τὸ περιὸν αὐτοῦ τῆς ἀρετῆς δυσωπούμενοι· καὶ διὰ τοῦτο πολλήν τε ἐκείνῳ τὴν τιμὴν ἀπένεμον, καὶ τὸν ὑπ' αὐτοῦ κτισθέντα ναὸν τῆς μεγάλης Ἀναστασίας σκεύεσι πολυτελέσι χρυσοῦ καὶ ἀργύρου πεποιημένοις ἐφαίδρυνον. Κἀκεῖνος τῆς δωρεᾶς αὐτοὺς ἀμειβόμενος, διετυπώσατο κατὰ τὰς ἐπισήμους τῶν ἡμερῶν τῇ πατρίῳ αὐτῶν γλώττῃ (Γότθοι γὰρ ἦσαν) τὰς θεοπνεύστους Γραφὰς ἐν τῷ ἱερῷ τῷδε ἀναγινώσκεσθαι, ἀλλὰ Βυζαντίοις μὲν οὕτως αἰδέσιμος ἦν ὁ ἀνήρ. Ἐκάλει δὲ ἡ φήμη καὶ τὰς μακρὰν ᾠκισμένας τῶν πόλεων, καὶ πανταχόθεν συνέῤῥεον· οἱ μὲν ἁμαρτημάτων, οἱ δὲ καὶ νοσημάτων τὴν θεραπείαν ἂν τρυγήσοντες· καὶ οὐδὲ τῆς πρεσβυτέρας ἀπελιμπάνοντο Ῥώμης, ἀλλὰ καὶ αὐτοὶ προσῄεσαν. Ἐν οἷς καὶ μνήμης ἄξιόν τι γενόμενον, οὐ τὰς ὑμετέρας ἀκοὰς οἶμαι ζημιῶσαι καλόν.

ΚΒʹ. Γυνὴ γάρ τις αἱμοῤῥοίᾳ πιεζομένη χρονίᾳ οὕτω χαλεπῶς, ὡς πᾶσαν ἰατρικὴν τέχνην ὅσον ἐπ' αὐτῇ σπουδὴν ματαίαν καὶ περιττὴν νομισθῆναι, αὐτὴ τὴν Ῥώμην καταλιποῦσα (καὶ γὰρ ἐκάλουν αὐτὴν αἱ θεοσημεῖαι Μαρκιανοῦ ᾀδόμεναι παρὰ πάντων) εἰς τὴν Κωνσταντίνου κατέλαβε. Καὶ οὐδὲν ἐμέμψατο ἑαυτῇ τῆς ὁδοιπορίας, ὡς μὴ ἄξιόν τι κακοπαθείας τοσαύτης ἀποναμένη· ἀλλ' ἅμα τε προσῆλθε τῷ δικαίῳ, καὶ τὴν νόσον ἐγνώρισεν, ἥ τε πηγὴ τοῦ αἵματος ἔληγε, καὶ ἡ γυνὴ τῆς θεραπείας ἀπέλαυε. Τοιοῦτος γὰρ ὁ θεῖος ἀνὴρ, ὡς μηδὲ ἁφῇ πολλάκις, ἀλλὰ εὐχῇ μόνῃ καὶ ψιλῷ βλέμματι τοὺς προσιόντας ἀπαλλάττων τῶν ἐνοχλούντων. Τοσοῦτος μὲν ὁ Μαρκιανὸς τοῖς θαύμασι, τοσοῦτος δὲ καὶ τοῖς ἐν ἀρετῇ κατορθώμασι, κατὰ τὴν, Τοὺς δοξάζοντάς με δοξάσω, θεολόγον ἐπαγγελίαν. Οὗ καὶ ἡμᾶς γένοιτο ταῖς πρεσβείαις τῶν ἐκείνου συμμετασχεῖν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[5] I Reg. II, 30.

DE S. THEODOSIO CŒNOBIARCHA

JUXTA HIEROSOLYMAM IN JUDÆA.

(Anno 529 apud Bolland. 11 Jan.)

§ I. *S. Theodosii natalis, sacri honores.*

Quatuor uno sæculo Ecclesiam illustravere Theodosii, imperatores duo, duo archimandritæ; illi prudentia, pietate, catholicæ studio religionis, senior etiam bellica virtute; hi vitæ sanctimonia, gloriaque miraculorum. Horum utrique publica decreta uno eodemque die sacrorum veneratio est, priori fere ab solis Græcis, ut supra diximus, alteri etiam a Latinis. Ille Antiochenus fuit, conditque in D Cilicia celebre, etiam apud posteros, cœnobium, in Scopulo appellatum: hic Cappadox in Palæstina monasterium construxit, de quo post paulo: junior hic fuit, aliquot post alterius obitum annis natus, ut qui sacram populo Scripturam explicaret, cum Theodosius II imperator e vivis excessit an. 450. Longe alius ab his Theodosius ex monacho pseudoepiscopus Hierosolymitanus Eutychianus, qui Marciani imperatoris vivit ætate, ut infra in Vita S. Euthymii 20 Januarii dicetur.

2. Natalem igitur S. Theodosii cœnobiarchæ hoc die ita celebrant Græci in Menologio a Canisio edito: *Commemoratio S. P. N. Theodosii cœnobiarchæ, ex oppido Marissi Cappadociæ*. Refertur et in horologio, ac Menologiis Maximi episc. Cytheræi, atque Christophori proconsulis Mitylenæi: in Kalendario quoque Græcorum a Genebrardo edito, et eisdem verbis a Molano in addit. ad Usuard. « Die undecima sancti Patris Theodosii Cœnobiarchæ. » *Martyrologium Romanum*. « In Cappadocia, in vico Magariasso, S. Theodosii Cœnobiarchæ, qui multa pro fide catholica passus est. » Galesinius, secutus Græcorum Euchologion, eum 10 Januarii refert: « In Græcia S. Theodosii Cœnobiarchæ. Is incredibili abstinentia fuit, ut per triginta ipsos annos panem non gustarit, palmæ fructu et paucis siliquis victitans: sicque corpori cum cibum detraheret, animam diu noctuque pavit assidua cœlestium rerum contemplatione. » Galesinium sequitur Martyrologium Germanicum.

3. De eo isthæc prædicant Menæa. « Venerandus hic S. P. N. Theodosius in Mogariso Cappadociæ pago, Christianis et religiosis admodum parentibus, Proæresio et Eulogia natus; vitam complexus monasticam, sacram induit religionis vestem: Hierosolymamque profectus, inde Antiochiam adiit, ubi Symeonem eximium illum Stylitam convenit, a quo futura illius vitæ sanctimonia illi prædicta, ut qui magni gregis ovium ratione pollentium futurus esset pastor. Deinde apud Longinum laudatissimum quemdam virum rebus divinis in solitudine eruditus, ad eam pervenit abstinentiam, ut in hebdomada nonnisi semel cibo corpus reficeret, tandemque totis triginta annis panem non gustaret: pariterque in aliis virtutum studiis tantum promovit, ut in summum pietatis culmem enisus, illustria ederet miracula. Basilium quemdam monachum defunctum, et in tumbam depositum, vidit unus ille cum altero quodam monacho fratribus astantem, et psalmis accinentem. Carbones, nullo subjecto igne, ubi monasterium erat conditurus, accendit. Feminam ad se adeuntem sanguinis profluvio liberavit. Ex uno frumenti grano per preces integra granaria replevit. Puerum in altam putei delapsum voraginem, inaspectabili præsentia extraxit. Fetuum abortiones repressit, qui dum in vitam immaturi prodibant, per mortem ex vita exturbabantur. Quare horum matrem ob hanc affectionem perinde ac si sterilis fuisset fecundam reddidit. Ingens locustarum agmen verbo increpitans abegit. Kericum Orientis comitem veste sua cilicina, qua pro thorace illum induerat, invulnerabilem præstitit. Sata terræ ardore læsa, impetrato per preces imbre recreavit. Prædixit ingentem per terræ motum Antiochiæ ruinam. Multos, qui naufragium fecerant, cum fluctibus colluctantes, periculo spectabilis eripuit. Multis auctor vitæ religiosæ factus, ad Dominum e vita excessit. Dies illi solemnis in veneranda B. Petri Apostoli æde peragitur. » Hactenus Menæa. Quæ hic dicitur femina sanguinis profluvio liberata, in vita, n. 58, refertur cancro in mamilla laborasse. Eadem, omissis tamen plerisque miraculis, leguntur in Anthologio Græcorum, a Clemente VIII approbato.

§ II. *Vitæ S. Theodosii scriptores.*

Vitam S. Theodosii ex Metaphraste edidit Lipomanus tom. V, atque ex eo Surius. Plurima ex ea Baronius t. VI et VII suorum Annalium intexuit. Nos eamdem damus cum ms. Græco bibliothecæ Vaticanæ collatam, et pluribus locis emendatam. Eadem exstat, sed contracta, Latine in Vitis Francisci Haræi et Lippeloi, ac fastis Marianis; Italice edita a Gabriele Flamma; Hispanice a Ribadineira nostro, etc.

5. Acta vero hæc asserit Baronius in notis ad Martyrol. « omni acceptatione dignissima, » et t. VI *Annal.* an. Ch. 511. n. 20: « Quam exactissime descripta, etsi ab incerto, certo tamen temporis ejusdem auctore, ut nihil sit quod jure revocari possit in dubium, utpote veritate omni ex parte constantia. » Coævum auctorem fuisse probant quæ de Anastasio imperatore scribit, n. 45. « Tulit aliquando nostrum quoque tempus imperatorem, qui quidem prius fuerat (quantum apparebat) paradisus voluptatis, postremo autem rebus fuit cognitus campus destructionis, et unus scilicet ex his pastoribus qui gregis oves dispergunt, et perdunt, et eas turbida potant subversione, et, ut reliqua illius prætermittam, hoc quidem accipiet quod post nos sequetur tempus. »

6. Auctorem hunc conjicit Baronius fuisse Cyrillum monachum, a quo Acta SS. Euthymii, Sabæ, et Joannis Silentiarii descripta sunt. Ita an. Ch. 491, num. 14, scribit: « Sed et ejusdem auctoris creduntur esse Vitæ Theodosii Cœnobiarchæ, nec non Quiriaci anachoretæ, qui iisdem temporibus claruere viri sanctissimi: sed quod illæ careant auctoris inscriptione, feruntur nomine ejus, qui postremo edidit Metaphrastes, cum tamen ipse ea antiquitus scripta tantum exscripserit. » Et anno 511, n. 21: « Auctor etsi nomine habeatur incognitus, Cyrillum hunc ipsum existimo, qui sicuti sanctorum Sabæ et Euthymii atque Joannis Silentiarii et aliorum vitas scriptis est prosecutus, ita haud par est credere, quem habebat præ oculis, Theodosium præteriisse, prætermisisseque res ab eo præclare gestas, minime præ sui dignitate obruendas silentio, posteris tradere. Conjicio quidem ab imprudente aliquo obliteratum Cyrilli auctoris nomen, qui referens illud ad Cyrillum Hierosolymitanum episcopum, qui claruit sub Constantio imperatore, falso putarit tribui Cyrillo historiam, qua res gestæ sub Leone, Zenone et Anastasio Augustis tractantur, ignorans ipsum de quo est sermo, nobilem historicum Cyrillum, atque Palæstinum, hoc vixisse tempore. »

7. Hæc Baronii conjectura. Cyrillus juvenis ad

modum eo tempore fuit, quo S. Sabas ex suscepta ad Justinianum imperatorem legatione an. 530, reversus est, haud diu dein superstes. Eum tunc Scythopoli adiverunt Cyrilli parentes, atque ipsi puero impetrarunt benedictionem. Ita de se ipse Cyrillus in Vita S. Sabæ: « Cum me magnus Sabas aspexisset, et salutasset, et sua dignatus esset benedictione; Hic exhinc, inquit patri, est meus discipulus. Doceatur ergo Psalterium: eo enim opus habeo. » In Vita S. Quiriaci 29 Septembris, dicitur fuisse « ex monasterio Magni Euthymii, et a magni Euthymii laura ad B. Sabæ lauram accessisse, ut videret Silentiarium Joannem episcopum, cui fit minister litterarum ad B. Quiriacum, et ab hoc didicisse res gestas SS. Euthymii et Sabæ, quas conscripsit. » Plura 20 Januarii ad vitam S. Euthymii. Hæc sufficiant ut professio ejus, et ætas agnoscatur.

8. Alium tamen ab hoc arbitramur vitæ S. Theodosii auctorem; vel ideo, quod nusquam in ea mentio fiat aut S. Euthymii, aut certe S. Sabæ, inter quem tamen et S. Theodosium constat summam amicitiam atque familiaritatem intercessisse, ut infra, § 5, patebit. Deinde multus est Cyrillus in describendis circumstantiis loci, temporis, sociorum, etc., quas alter vix attingit. Denique seipsum alibi citat, et vitas a se descriptas: at ne quidem in S. Sabæ actis, ubi toties meminit S. Theodosii, vel leviter indicat a se ejus esse vitam compositam.

9. Dicuntur infra, n 40, multi eruditione insignes S. Theodosii institutum amplexi, et n. 39, multi ex hac eruditione prodiisse, Ecclesiæ episcopi et pastores, et variorum monasteriorum antistites. Quidni aliquis horum præclaras magistri sui optimique parentis virtutes descripserit? Quod haud diu post ejus obitum, sub successore fortassis, factum indicat citatus locus, in quo et qui S. Theodosii, et qui ejus successoris eruditi sunt disciplina, enumerantur. Fuit inter Theodosii discipulos Julianus, quem magnus Theodosius, ut n. 71 legitur, « semper habebat socium vitæ ex Christo agendæ, volebatque cum eo philosopharii, et esse eum sibi socium solitudinis. » Ex ejus relatione, aut forte etiam commentariis, haud pauca hausisse hunc auctorem, conjicere licet ex iis quæ, c. 16, n. 71, dicuntur. Fuit vero Julianus vir magnus, dignusque tanto magistro discipulus, ipso etiam tum vivente factus episcopus Bostrensis, coactusque quod Severo Antiocheno hæretico consentire nollet, fugam ultro arripere, ut Evagrius, l. III, c. 33. Isque ipse est, cujus vitam, seu potius miraculum calicis venenati, signo crucis ante edito, innoxie epoti, narrat, c. 94 *Prati spiritualis* Joannes Moschus; qui et ipse, ut in præfatione operis refertur, « principio quidem sæculo renuntiavit in monasterio S. P. N. Theodosii abbatis et archimandritæ omnium, quæ sunt Hierosolymis cœnobiorum, sive monasteriorum, » ad cujus cœmiterium reliquiæ ejus Roma, ubi obierat, delatæ requiescunt. « Est autem, » ut ibidem additur, « locus cœmiterii spelunca, in qua, cum a Magis illusus esset Herodes, juxta Evangelii oraculum, illi inde solventes, cum in patriam redirent, manserunt. In hac spelunca sanctus Pater noster Theodosius cum religiosæ vitæ certamina confecisset, gratia donatus est dæmones ejiciendi: neque tantum in hac temporaria brevique vita, sed etiam post obitum illos ejicit ad hunc usque diem, ad gloriam et laudem Christi veri Dei, et Salvatoris nostri, cui gloria in sæcula sæculorum. Amen. » Hæc in Elogio auctoris, ex mss. Græcis in posteriori editione a Rosweydo nostro præfixo, quod ab obitu ipsius Moschi ab aliquo ejusdem cœnobii monacho concinnatum suspicamur. Multa ex eo in Bibliotheca Photii, tmemate 199 citantur. Quæ porro hic de Magis, sepultura et potestate. S. Theodosii in dæmones referuntur, eadem leguntur in Vita n. 9, 10, etc., quam pridem antea conscriptam fuisse vel inde conjicere fas est, quia alioqui ejus virtutes non idem commemorasset Moschus, nisi in omnium jam fuisset manibus scriptus de iis libellus.

§ III. *Ætas ejus. Tempus obitus.*

10. Ut Cyrillus in temporis ratione adnotanda diligens fuit atque accuratus, ita hic auctor eam fere neglexit, unum hoc dixisse contentus n. 84, S. Theodosium obiisse, cum annos vixisset centum et quinque et paulo amplius Ex quo, si annus aut nativitatis aut obitus sit compertus, reliqua facile deducentur. Tempus obitus (nam quæ senex potissimum gessit, ea diligentius descripta sunt) prius inquirendum. Supervixit S. Theodosius Anastasio imperatori (n. 55) exstincto an. Ch. 518. Prædixit terræmotum Antiochiæ (n. 76) aliquot diebus priusquam fieret, an. Ch. 526. Sepulturæ ejus (n. 87) interfuit Petrus III hujus nominis Hierosolymorum patriarcha, qui Joanni II, an. 524, 22 April. ind. 2, mortuo successit, supremum diem clausit an. 546. Hæc ex Vita Nicephorus Callistus l. XVII *Hist. eccl.* c. 24, ita scribit: « Justiniano adhuc imperium administrante, et magnus ille Sabbas et præclarus Theodosius, eremi præsides, superstites erant. Verum prior Theodosius ad Deum transiit. Sabbas autem nonagesimum tunc agens annum ab Æliensi antistite legatus iterum Constantinopolim ad Justinianum in tenui atque imbecilli admodum senecta fluctuans, profectus est. Samaritani namque, Juliano quodam rege sibi creato, plurimas Christianis superbe injurias tulerant, » etc. quæ Nicephorus e Vita S. Sabæ desumpsit, ubi ea sic refert Cyrillus: « Cum jam autem imperium assumpsisset Justinianus, et rerum suscepisset administrationem, agebat quidem B. Sabas 91 annum, finem vero vitæ acceperat divinus Theodosius. Qui in Palæstina quidem erat populus Samaritanorum, cum Julianum quemdam, qui ipse quoque erat Samaritanus, sibi regem creassent, multas injurias faciebant Christianis, » etc.

Petavius noster l. XIII *De doctrina temporum*, scribit an. Ch. 529, Junio mense, a Samaritanis et Judæis rebellantibus hunc Julianum regem constitutum, et deinde a copiis Justiniani cum suis rebellibus interemptum. Anno sequenti 530 refert legationem S. Sabæ ad Justitianum, quo tempore S. Sabas agebat annum ætatis 91, utpote natus sub consulatu 17 Theodosii, id est anno Chr. 439, ut ex Cyrilli assertione apparet initio Vitæ S. Sabæ. Obierit ergo S. Theodosius hoc 11 Januarii, anno Ch. 529, ante inchoatam Samaritanorum seditionem, secundo anno imperii Justiniani, qui Justino avunculo anno 527 Augusti 1 aut 2 (variant auctores) defuncto, successerat ipsis ante Kalendis Aprilis feria 5 in Cœna Domini, ab eo imperator creatus. Quo imperante supervixerit S. Theodosius anno uno, mensibus quinque, aut novem. Quo tempore Kericus victoriam de Persis reportavit, indutus S. Theodosii cilicio, ejusque admonitione ante confirmatus, ut n. 73 et 74 dicitur. His ita constitutis, natus fuerit S. Theodosius an. Ch. 423. Discesserit e patria, post sacram Scripturam populo diu prælectam, n. 4, anno ætatis 28, Christi 451, dum Chalcedonensis synodus congregabatur. »

4 Matth. XXII, 37.

batur illius ætatis hominibus spectaculum, os capitis defluente carne nudum. At illi recondentes cranium, loco illi nomen indidere Κρανίον, id est, Calvariam. Probabili ratione potuit Noe non ignorasse sepulcrum principis hujus, et mortalium omnium primigenii : siquidem hac de re fama a diluvio mox per orbem propagata est ab ipso, et dimanavit, eoque Dominus excussa origine humanæ mortis, in loco qui Κρανίον dicitur, id est, Calvaria, passus est, ut quo in loco corruptio, sive mors hominum initium accepit, illic vita regni suum sumeret exordium. » Hæc Basilius. Idem sentiunt Tertullianus, Cyprianus, Origenes, Epiphanius, Athanasius, Chrysostomus, Ambrosius, Augustinus, aliique quos refert Salianus noster tomo I *Annal. eccl. Veteris Testamenti*, anno mundi 930, num. 7, et seqq.

(12) Lipomanus, « Maligni nosse artes, quæ subferantur per dexteras. »

ρίσπαστον, τῆς ψαλμῳδίας τὸ εὔτακτον, τὸ τῶν ὀφθαλμῶν πρὸς δάκρυα γονιμώτατον, ὡς στῆναι πρότερον ἐλπίσαι ποταμῶν ἀέναα ῥεύματα, ἢ τὰς τῶν δακρύων ἐκείνου πηγὰς, τὰς δι' ὅλων νυκτῶν στάσεις, τοὺς κρυφῇ κρεμαστῆρας ἐκείνους ἐφ' οἷς διὰ τὸ χαυνοῦσθαι τῷ ὕπνῳ καὶ ὑποῤῥεῖν πρὸς δὲ καὶ τὰς τῶν βουβώνων ὀδύνας ὑπεστηρίζετο, τὸ δὲ ταπεινὸν τοῦ πνεύματος, τὸ δὲ πρᾶον, τὸ δὲ σύννουν ὡς τὰ πολλὰ καὶ προσεκτικὸν, τὸ δὲ τῆς διανοίας ὀξὺ, καὶ λίαν εὐπετῶς εὐθὺ τῶν οὐρανῶν ἀνιπτάμενον; ταῦτα εὔξασθαι μὲν δυνατὰ καὶ ἄλλοις, μιμήσασθαι δὲ παντάπασι χαλεπά.

ιδ'. Γαστρὸς δὲ τίς οὕτω κρατῶν ἦν, ἢ πρὸς νόμους ἐγκρατείας ὑπείκουσαν ἔχων; ὃς ἐπίσης αὐτῇ καὶ θεραπαίνῃ χρώμενος ἦν, ὁπότ' ἂν αὐτὸς κελεύοι τροφῆς κοινωνοῦσαν, κοινωνοῦσαν δὲ οὐχ ὅσον αὐτὴ βούλοιτο ἀλλ' ὅσον ἤρκει τῆς φυσικῆς συζυγίας διακρατεῖσθαι τὸν σύνδεσμον. Ἡ τροφὴ μέντοι φοινίκων καρποὶ, ἢ τῶν κερατίων ὀλίγα, ἢ ὄσπριόν τι δευθὲν ὕδατι, ἢ καὶ τῶν ἀγρίων βοτανῶν αἱ ἐδώδιμοι. Εἰ δὲ καὶ σπάνις ἀπήντα τῶν εἰρημένων διὰ τὸ τῆς ἐρημίας ἐπιεικῶς ἄπορον, ὀστᾶ φοινίκων διαβραχέντα φιλότιμος ἐκείνῳ τροφὴ διὰ τὴν ἀνάγκην, καὶ τοῦ λιμοῦ σοφὸν παραμύθιον. Ἄρτου δὲ καὶ εἰς τριάκοντα παρέτεινε χρόνους, μηδὴ βραχὺ γευσάμενος. Πλὴν οὕτω περὶ τὴν χρείαν τοῦ σώματος ἔχων λίαν ἐνδεῶς καὶ ἠναγκασμένως, οὐχ ὁμοίως καὶ περὶ τὴν τῆς ψυχῆς διέκειτο, ἀλλ' ἐναίνην ἀπεναντίας μᾶλλον καὶ περιττῶς ἔτρεφεν ἡμέρας τε καὶ νυκτὸς, ἅτε τῷ νόμῳ Κυρίου καθ' ἑκάστην ἐμμελετῶν, καὶ τοῖς ἱεροῖς λογίοις διηνεκῶς ἀρδευόμενος. Παρ' ὃ καὶ ὡς ξύλον ὤφθη τὸ παρὰ τὰς τῶν ὑδάτων διεξόδους πεφυτευμένον, καὶ τὸν καρπὸν ἐδίδου κατὰ καιρὸν ἥδιστόν τε καὶ δαψιλέστατον. Τὸν μὲν οὖν τοῦ σώματος ἐν νεότητι πρὸς τὰς ἐπιθυμίας ἐρεθισμὸν, οὕτως εὖ ἐκεῖνος ἠρεμεῖν παρεσκεύασε· τοῦτον δὲ τὸν νόμον τῆς ἐγκρατείας οὐχ ἅμα καὶ τῇ ἀκμῇ τῆς νεότητος συναποβαλεῖν ἔκρινεν, οὐδ' ὡς ἄχρηστον ἔτι καὶ μὴ ἀναγκαῖον ἀπώσατο, ἀλλὰ καὶ μέχρι βαθυτάτου διέσωσε γήρως ἐπιτείνων οὐκ ἀνιεὶς, καὶ ὥσπερ τινὰ σύμπλουν ἐν χειμῶνι καὶ ζάλῃ συνδιαπλεύσαντα, καὶ πόνων αὐτῷ κοινωνήσαντα πολλῶν καὶ καμάτων, ἐν τῷ λιμένι ἤδη γενόμενος αἰδεσθεὶς ἀπωθεῖσθαι.

A severantiam, orandi assiduitatem, pulchrum psalmodiæ ordinem, oculorum in lacrymas innatam profusionem, ut prius spes esset sisti perennia fluviorum fluenta, quam fontes illius lacrymarum; per totas noctes stationem; occulta lora, quibus, eo quod in somnum diffluеret et resolveretur, cum inguinis dolore suffulciebatur; humilitatem spiritus, mansuetudinem, animum ut plurimum cogitabundum et attentum, acre ingenium, et quod admodum facile recta ad cœlos usque volabat? Hæc optare quidem possunt etiam alii; sunt autem ad imitandum omnino difficilia.

14. Qui ventri ita imperavit, aut eum abstinentiæ legibus magis habuit obedientem? Qui eo utebatur non secus ac ancilla, cibum sumente quando
B ipse juberet; sumente, inquam, cibum, non quantum ipse vellet, sed quantum sufficeret ad continendum vinculum naturalis conjunctionis. Alimentum autem erat fructus palmæ, aut paucæ siliquæ, aut legumen aliquod aqua madefactum, aut etiam quæ ex agrestibus herbis erant esui aptæ. Quod si horum quoque, quæ dicta sunt, erat penuria propter summam solitudinis inopiam, ossa dactylorum madefacta, erant illi lautum et splendidum nutrimentum propter necessitatem, et famis scitum solatium. Perpetuis autem triginta annis panis nihil gustavit penitus. Sed etsi ita parce et stricte se gerebat in iis, quæ pertinebant ad usum corporis, non ita tamen se habebat in iis, quæ pertinebant ad animam: sed illam contra abunde et copiose noctu diuque
C alebat: ut qui in lege Domini quotidie meditaretur, et sacris oraculis quotidie rigaretur. Quo factum est, ut visus sit tanquam lignum quod plantatum est secus decursus aquarum, et fructum dedit in tempore jucundissimum et copiosissimum. Atque corporis quidem in juventute ad libidines incitationem sic pulchre effecit conquiescere. Hanc autem abstinentiæ legem non statuit simul abjicere cum flore jeventutis, neque eam repulit tanquam adhuc inutilem et minime necessariam; sed conservavit usque ad profundissimam senectutem, augens, et non remittens; et non secus ac quemdam socium navigationis, qui una navigavit in hieme et tempestate, multorumque laborum et ærumna-
D rum fuit particeps, cum jam fuerit in portu, erubescens amandare.

CAPUT IV.

Accessus discipulorum. Pius Basilii obitus.

ιε'. Ἐτύγχανε τοιγαροῦν τοὺς μὲν πόνους ὥσπερ ἄλλοι τὰς ἡδονὰς ἀσπαζόμενος, ἀνέσεις δὲ καὶ τρυφὰς διωθούμενος ἴσα καὶ πολεμίους, τοιαύτην αὐτῷ τῆς μακρᾶς συνηθείας τὴν ἕξιν ἐντυπωσάσης. Ἐν τούτοις οἷά τις ἀστὴρ χαριέστατος πάνυ λαμπρόν τε καὶ κάλλιστον ταῖς ἀκτῖσι βάλλων, ἤδη καὶ πόῤῥωθεν φανερὸς ἦν. Ἐπεὶ καὶ πόλιν ἐπάνω κειμένην ὄρους κρύπτεσθαι χαλεπόν· οὔκουν οὐδὲ διέλαθε, κἂν ἐκείνῳ τοῦτο διαπαντὸς ἐσπουδάζετο. Μὴ λαν-

15. Amplectebatur itaque labores, sicut alii voluptates: remissiones autem et delicias repellebat ut hostes, cum longa consuetudo ei talem impressisset habitum. His non secus ac stella jucundissima, splendissime ac pulcherrime micans radiis, jam etiam procul apparabat. Nam civitatem quoque sitam supra montem, est celari difficile. Ergo nec latuit, etiamsi illud ipsum perpetuo fugeret. Cum non lateret autem, consentaneum erat omnino, ut

boni et honesti studiosas animas ad se traheret, non secus ac magnes ferrum, aut potius ut bonas quasdam apes, jucundum illud mel virtutis. Ad illum itaque jam ventitabant quidam ex iis, qui erant amatores virtutis, et malebant cum eo incolere solitudinem, quam cum imperatoribus præclaras civitates. Qui vim afferentes, vis quidem, sed tamen persuadent, ne sua solum consideraret, sed ea etiam, quæ sunt proximorum : et ejus, quæ est ex Deo, vitæ eum accipiunt veluti pedotribam. Et tunc quidem sex vel septem numero erant chorus qui erat circa ipsum.

16. Cum autem sciret ille magnus, iis qui ex Deo vivere elegerint, nihil æque conducere ad parandam virtutem et ad partam conservandam, ac mortis memoria, quæ etiam vera philosophia et dicitur et creditur ; quid facit ? Sepulcrum jam construere his suis jubet discipulis : simul quidem ut ejus esset monumentum finis, sicut etiam vocatur, et sic eos magis excitaret ad decertandum, et diligentius stimularet ad virtutem ; et simul etiam et mortuos acciperet ; quin etiam ille ex futuris aliquid prævidens et præsagiens ; jam enim hæc charismata et gradus attigeret, in luce gratiæ lucem videns. Quid autem erat quod præsagiebat, jam declare aggreditur oratio. Paratum enim erat sepulcrum, et adstabat quidem ipse desuper ; discipuli autem ipsum circumsistebant. Ille autem acuto mentis oculo intuens id, quod erat eventurum, sic lepide dicit, eos aspiciens : Sepulcrum quidem est paratum, quisnam autem ex vobis est encænia ejus celebraturus? Et ille quidem sic, lepide et urbanæ orationi miscens seria : solebat enim ipse quoque inter alia tempus nosse, austeritatemque et tristitiam gratia moderata solvere.

17. Quidam autem Basilius, dignitate quidem sacerdos, propter rerum autem bonarum desiderium, expressos aperte servans paternos characteres; et eum qui ipsum genuerat spiritaliter, non minus referens similitudine virtutis, quam carnales patres ii qui ex illis nati sunt, et alioqui sciens quæstionem non frustra esse propositam a magistro, primus arripiens sermonem, erat prompto et alacri animo ad mortem eligendam, tanquam rem non repudiandam, sed valde utilem et conducibilem. Protinus ergo genibus flexis, cum se humi projecisset: Benedic mihi, inquit, Pater, Ego autem, inquit, hujus sepulcri primo celebrabo encænia. Hic ergo petiit, ille vero dedit. Et ipsum quidem habuit sepulcrum. Jubet autem Pater omnia ipsi fieri, quæ lex vult fieri mortuis ; tertianas, inquam, et novenas, et consequenter etiam quadragenas. Cum autem jam finem acciperent quadragenæ, (o quomodo explicaverit oratio id quod est valde quidem verum, sed est valde creditu difficile, propterea quod modum exsuperat !) Basilius neque a febre arreptus, nec capitis dolore vexatus, nec ullum dolorem sentiens in ulla parte corporis, tanquam molli

A θάνοντα δὲ, ἀκόλουθον πάντως ἐφ' ἑαυτὸν ἕλκειν τὰς φιλοκάλους ψυχὰς, ἡράκλειά τις λίθος ὥσπερ τὸν σίδηρον· ἢ μᾶλλον ὡς μελίττας τινὰς ἀγαθὰς τῷ ἡδεῖ ἐκείνῳ τῆς ἀρετῆς μέλιτι. Ἐφοίτων τοιγαροῦν ὡς αὐτὸν ἤδη τῶν φιλαρέτων τινὲς, καὶ σὺν αὐτῷ μᾶλλον τὴν ἐρημίαν, ἢ τὰς λαμπρὰς πόλεις μετὰ βασιλέων οἰκεῖν ἠσπάζοντο· οἳ καὶ βιασάμενοι μόλις μὲν πείθουσι δ' ὅμως μὴ τὰ ἑαυτοῦ μόνον σκοπεῖν, ἀλλὰ δὴ καὶ τὰ τῶν πέλας, καὶ οἷα παιδοτρίβην αὐτὸν τοῦ κατὰ Θεὸν βίου παραλαμβάνουσι· καὶ τέως μὲν ἓξ που καὶ ἑπτὰ τὸν ἀριθμὸν ὁ περὶ αὐτὸν χορὸς ἦν.

ιϛ'. Εἰδὼς δὲ ὁ μέγας ὅτι τοῖς κατὰ Θεὸν ζῆν ἑλομένοις οὐδὲν οὕτως ἀτεχνῶς πρὸς τὸ καὶ κτήσασθαι ἀρετὴν, καὶ φυλάξαι κτησθεῖσαν, ὡς μνήμην
B θανάτου συνεργεῖν δύναται, ἣ καὶ ἀληθὴς φιλοσοφία λέγεται καὶ πιστεύεται, τί ποιεῖ ; τάφον ἤδη κατασκευάσαι τοῖς οἰκείοις τούτοις μαθηταῖς ἐπιτρέπει, ἅμα μὲν ἵνα μνημεῖον αὐτοῖς, ὥσπερ δὴ καὶ καλεῖται, τοῦ τέλους γίνηται, καὶ οὕτω μᾶλλον αὐτοὺς ἐναγωνίους ποιῇ, καὶ κεντρίζῃ πρὸς ἀρετὴν ἐμπονώτερον, ἅμα δὲ καὶ θνήσκοντας ὑποδέχοιτο· πλὴν ἀλλὰ καὶ προβλέπων τι τῶν μελλόντων ἐκεῖνος, καὶ προνοούμενος, ἤδη γὰρ καὶ χαρισμάτων τοιούτων καὶ βαθμῶν ἥπτετο, ἐν φωτὶ τῆς γνώσεως φῶς ὁρῶν. Καὶ ὅπερ ἄρα τὸ μνηθὲν ἦν, ὁ λόγος ἤδη δηλοῦν ἔρχεται. Ηὐτρεπίζετο γὰρ ὁ τάφος, καὶ παρίστατο μὲν αὐτὸς ἄνωθεν, οἱ μαθηταὶ δὲ αὐτὸν περιίσταντο. Καὶ ὃς ὀξυτέρῳ τῆς διανοίας ὄμματι τὸ ἐκβησόμενον καθορῶν, χαριέντως οὕτω πως φησὶ πρὸς αὐτοὺς
C ἰδών· Ὁ μὲν τάφος ἤδη ἕτοιμος, τίς δὲ ἂν εἴη ὅ γε τοῦτον ἐξ ὑμῶν ἐγκαινίσων ; καὶ ὁ μὲν οὕτω πως τῷ χαρίεντι τοῦ λόγου καὶ σπουδὴν ἐπιμίσγων· ἔθος γὰρ μετὰ τῶν ἄλλων αὐτῷ καὶ καιρὸν εἰδέναι, καὶ τὸ σύντονον ἔστιν ὅτε καὶ σκυθρωπὸν ἐμμετρίαις λύειν ταῖς χάρισι.

ιζ'. Βασίλειος δέ τις, τὸ μὲν ἀξίωμα ἱερεὺς, τῷ δὲ περὶ τὰ κατὰ ζήλῳ διαφανεῖς σώζων τοὺς πατρικοὺς χαρακτῆρας, καὶ τὸν γεγεννηκότα πνευματικῶς οὐδὲν ἧττον ὑποφαίνων ἀπὸ τῶν τῆς ἀρετῆς ὁμοιώσεων, ἢ τοὺς σαρκικοὺς πατέρας οἱ ὑπ' αὐτῶν οὕτω τικτόμενοι, ἄλλως τε καὶ εἰδὼς μὴ εἰς κενὸν εἰρῆσθαι τῷ διδασκάλῳ τῷ πρόβλημα, πρῶτος τὸν λόγον ἁρπάσας, ἕτοιμος περὶ τὴν τοῦ θανάτου αἵρεσιν καὶ πρόθυμος ἦν, ὥσπερ οὐκ ἀβουλήτου τινὸς προκειμένου, ἀλλ'
D ἐπικερδοῦς λίαν καὶ ὠφελίμου. Αὐτίκα γοῦν εἰς γόνυ κλιθεὶς καὶ πρὸς γῆν ἐρείσας τὸ πρόσωπον, Εὐλόγησόν δή με, Πάτερ, φησὶν, ἐγὼ δέ σοι τοῦ τάφου τοῦδε πρῶτος ἐγκαινιστὸς ἔσομαι. Ὁ μὲν οὖν ᾔτει, ὁ δὲ ἐδίδου· καὶ ὁ μὲν τάφος εἶχεν αὐτόν. Ἐκέλευε δὲ ὁ Πατὴρ πάντα ἐπ' αὐτῷ ποιεῖν ὅσα νόμος ἐν τεθνεῶσίν ἐστι· τρίτα, φημὶ, καὶ ἔννατα, καὶ ἀκολούθως δὴ τεσσαράκοστα. Ὅδη δὲ τῶν τεσσαρακοστῶν πέρας ἐχουσῶν (ὦ πῶς ἂν ὁ λόγος δηλώσει τὸ καὶ λίαν μὲν ἀληθὲς, λίαν δὲ πιστευθῆναι διὰ τὴν ὑπερβολὴν δυσχερές ;) ὁ Βασίλειος μήτε πυρετῷ ληφθεὶς, μήτε κεφαλὴν ἢ ἄλλο τι τῶν τοῦ σώματος μερῶν ἀλγήσας μηδὲν, ὥσπερ ὕπνον τινὰ μαλακὸν καὶ ἥδιστον ἀφυπνώσας, πρὸς Κύριον ἐξεδήμει, ἆθλον τῆς ἀρετῆς

καὶ τῆς τοῦ μεταβῆναι πρὸς τὰ ἐκεῖ προθυμίας. Ὁ A τοῦ μὴ ἡδέως ἔχειν πρὸς τὰ ἐνταῦθα δήλωσις ἀκριβής, τὸ πρῶτος ἐμφανισθῆναι Θεῷ, καὶ στεφθῆναι πρῶτος ἀπενεγκάμενος, ὥστε καὶ αὐτὸ ἐν τούτῳ παρευδοκιμεῖν τὸν διδάσκαλον, εἰ μήπω δόξει περιεργότερον τὸ λεχθὲν, εἴπερ δὴ μέγα, Θεοῦ πρόσωπον ἠπίως καὶ εὐμενῶς ὁρώμενον.

quodam et suavi somno sopitus, excessit ad Dominum: præmium virtutis, et illuc migrandi promptitudinis. Quod quidem aperte significavit cum eorum, quæ hic sunt, nequaquam affici voluptate : ut qui primus ut ante Deum sisteretur, et primus coronaretur, elegerit; adeo ut ipse hac in re laudem magistri superaverit : nisi forte nimis videatur curiosum id, quod dictum est; siquidem magna res est, Dei faciem placidum ac benignam intueri.

ιη'. Τούτων οὕτω τελειωθέντων, τῷ θαύματι θαῦμα συνήπτετο· τεσσαράκοντα γὰρ ἐφεξῆς ἡμέρας κατὰ τὰς ἑσπερίους ᾠδὰς, μεταξὺ τοῦ ἱεροῦ τῶν μαθητῶν χοροῦ, καὶ ὁ θεῖος οὗτος Βασίλειος ἑστὼς καὶ συνᾴδων τῷ μεγάλῳ Θεοδοσίῳ ἐβλέπετό τε καὶ ἠκούετο. Καὶ τῶν μὲν ἄλλων οὐδεὶς ἕτερος· οὔτε τῆς φωνῆς ἀκούων οὔτε τὴν μορφὴν ἐκείνου θεώμενος B ἦν. Μόνος δέ τις Ἀέτιος, ἀνὴρ καὶ αὐτὸς κατ' ἴχνος τῷ διδασκάλῳ βαίνων, καὶ μαθητὴς εἶναι Θεοδοσίου οὐκ ἀπὸ τοῦ τὰ ἐκείνου εἰδέναι τε καὶ διηγεῖσθαι μόνον, ἀλλὰ ἀπὸ τοῦ μιμεῖσθαι μᾶλλον βουλόμενος, ὁρᾷν μὲν οὐκ εἶχεν αὐτὸν, τῆς δὲ φωνῆς ἤκουεν. Ἤρετο οὖν τὸν διδάσκαλον, εἰ καὶ αὐτὸς τῆς τοῦ τελευτήσαντος ἀκούει φωνῆς· ὁ δὲ καὶ ἀκούειν ἔφη σε καὶ ὁρᾷν, καὶ εἰ βούλοιτο καὶ αὐτῷ δείξει καθ' ὃν ἂν φανείη καιρόν. Ἡ μὲν οὖν νὺξ ἐπελάμβανε, καὶ ἡ σύναξις ἐτελεῖτο, καὶ ὁ τοῦ Θεοῦ ἄνθρωπος ἑώρα πάλιν ἀκριβῶς τὸν Βασίλειον τοῖς ἱσταμένοις καὶ ᾄδουσι συνεστῶτα τε καὶ συνᾴδοντα, καὶ τῷ δακτύλῳ τοῦτον τῷ Ἀετίῳ παραδεικνύς. Εἶτα καὶ εὐχὴν συνῆπτεν· Ἄνοιξον, Κύριε, λέγων, καὶ τοῦδε τοὺς ὀφθαλμοὺς, καὶ ἰδέτω σου τὸ μέγα τοῦτο τῶν C μεγάλων ἔργων μυστήριον. Τοῦ δὲ αὐτίκα θεασαμένου καὶ ἐπιγνόντος, πρὸς δὲ καὶ ἐπιδραμόντος καὶ περιβαλεῖν ἐκ τοῦ πόθου θελήσαντος, ὁ Βασίλειος οὐκ ἄλειπτος μόνον, ἀλλ' ἤδη καὶ ἀφανὴς ἦν, τοῦτο εἰς ἀκοὰς εἰρηκώς· Σώζοισθε, ὦ Πατέρες καὶ ἀδελφοί, σώζοισθε, ἐμὲ δὲ ὄψεσθε τὸ λοιπὸν οὐκέτι, ὥστε τὸ ὑπὸ Χριστοῦ λεχθὲν ἐν Εὐαγγελίῳ· Ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται, δείκνυσι τὸ πραχθὲν ἀληθέστατον ὁμοῦ καὶ πιστότατον.

18. His sic perfectis, miraculo miraculum successit. Quadraginta enim deinceps dies, in canticis vespertinis inter sacrum chorum discipulorum hic divinus quoque stans Basilius, et una cantans videbatur et audiebatur a magno Theodosio. Et ex aliis quidem nullus alius aut vocem audiebat, aut illius formam cernebat. Solus autem quidam Aetius, (qui ipse quoque magistri sequebatur vestigia, et volebat esse discipulus Theodosii non ex eo solum, quod res illius et sciret, et narraret, sed eum etiam imitaretur) ipsum quidem videre non poterat, sed vocem audiebat. Rogavit autem magistrum, an ipse mortui quoque vocem audiret. Ille vero dixit se et videre et audire : et, si vellet, se ei esse ostensurum eo tempore, quo apparuerit. Atque nox quidem successit, et peragebatur conventus, et homo Dei rursus plane videat Basilium cum iis, qui stabant et canebant, simul stantem et canentem, eumque digito ostendens Aetio, preces quoque addidit : Aperi, Domine, dicens, hujus quoque oculos, et videat hoc quoque magnum tuorum operum mysterium. Cum is autem statim vidisset et agnovisset, atque etiam accurrisset, et præ desiderio eum complecti voluisset, Basilius non solum apprehendi non potuit, sed etiam evanuit, cum dixisset aliis audientibus, Salvi estote, o Patres et fratres, salvi estote : me autem de cætero non videbitis amplius. Quamobrem id quod a Christo dictum fuit in Evangeliis : *Qui credit in me, etiamsi mortuus fuerit, vivet* [5], ostendit id quod factum fuit, esse verissimum et fide dignissimum.

CAPUT V.

Annona ei divinitus submissa.

ιθ'. Τοῦτο πρῶτον Θεοδοσίου τῆς ἀρετῆς μαρτύ- D ριον· δεύτερον δὲ ἐπὶ τούτῳ διεξελθεῖν ἤδη ὁ λόγος βούλεται, κατ' οὐδένα τρόπον τοῦ προτέρου λειπόμενον. Ἑορτὴ ἦν, καὶ ἑορτῶν ἡ πρώτη τε καὶ κυρία, αὐτὸ φημὶ τὸ Πάσχα, ἡ τοῦ ἐμοῦ Χριστοῦ, ἐμὴ δὲ μᾶλλον εἰπεῖν ἀνάστασις καὶ ἀνάπλασις. Τῆς ἱερᾶς οὖν νυκτὸς ἡ μὲν ἑσπέρα παρῆν, τοῖς δὲ φοιτηταῖς εἰς βρῶσιν τῶν ἀναγκαίων οὐδὲν ἦν, οὐκ ἄρτος, οὐκ ἔλαιον, οὐκ ἄλλο τι τῶν ἐδωδίμων οὐδέν. Ὁ μὲν οὖν τῶν μαθητῶν χορὸς ὥσπερ εἰκὸς ἤχθετο, δώδεκα ἤδη τὸν ἀριθμὸν ὄντες· ἤχθετο δὲ οὐχ ὑπὲρ ἑαυτῶν μόνον, ἀλλ' ὅτι μηδὲ τοῦ προσφερομένου εἰς θυσίαν ἄρτου ὑπόντος, ἄθυτον αὐτοῖς τὸ Πάσχα, καὶ σώματος τοῦ Χριστοῦ, χωρὶς

19. Hoc fuit primum testimonium virtutis Theodosii. Secundum autem mea jam vult persequi oratio, quod priori nullo modo est inferius. Dies erat festus, et festorum omnium primus et præcipuus, ipsum, inquam, Pascha, mei Christi, vel mea potius resurrectio et reformatio. Sacræ autem noctis aderat quidem vespera: iis autem, qui ad eum ventitabant, nihil erat eorum, quæ sunt ad vescendum necessaria, non panis, non oleum, non aliquid aliud erat ex iis, quæ sunt esculenta. Atque choros quidem discipulorum ægre ferebat, ut est verisimile, qui jam erant numero duodecim : ægre ferebant autem non pro se tantum, sed quod cum jam non adesset panis, qui offerretur ad sacrificium, erat eis

5 Joan. xi, 25.

futurum Pascha absque sacrificio, et absque corpore Christi dies festus celebrandus. Circumsistentes itaque adversus magistrum murmurabant, cum causam rationi consentaneam veluti ex re cepissent. Ille vero cum tantum dixisset: Parari oportet sacram mensam; reliquorum autem, inquit, nihil ulli curæ sit. Nam qui olim tot Israelis millia in solitudine, deinde etiam non parvam multitudinem aluit ad satietatem, hic ipse nostri quoque curam gerit, nec est viribus imbecillior, nec ad providendum debilior. Hæc ille quidem dixit: sed quemadmodum ejus verba effectum sint quam primum consecuta, nec ipsa fraudaverint discipulos, jamjam dicet oratio.

20. Quomodo enim olim ovis in vepribus a Sabec (13) adfuit Abrahæ parata ad holocaustum; ita etiam huic quoque Beato, sole jam terram relinquente, accedit quidam par mulorum ducens, per quos afferebatur sarcina variorum alimentorum, convenientium hominibus qui se exercent: et nec aberat quidem ipse sacræ mensæ, qui videtur et intelligentia percipitur, panis, sed erat una cum aliis. Propter quod magis lætati sunt Theodosii discipuli, Christi cultores. Et hoc quidem donum, fuit donum illius precum, quod non ex cœlo pluerat, ut prius manna; sed ex terra scaturierat nutibus cœlestibus, et aluit non solum sensibiliter, sed etiam spiritaliter, quod ad panem quidem attinet, qui fuit oblatus sanctificationibus. Sic ergo cum simul terrestribus bonis et cœlestibus se jucunde satiassent, qui apud ipsum erant, usque ad sanctam Pentecosten, paulatim dicebant, qualis esset illorum doctor. Et hoc quidem ita se habuit.

21. Quod autem consequitur, illius dico esse fraternum, et similis fidei et spei fetum germanissimum. Vir quidam cujus erant magnæ opes, bonis autem operibus laudem assequi statuerat, suas facultates distribuebat in benedictionibus, et pecuniæ materiam efficiebat animæ salutarem. Is, inquam, cum omnibus aliis, et præcipue iis, qui vivebant ex Christo, et se a mundo removere, ad Deum autem prope accedere recte cogitabant, dextera apparuisset jucundissima, ut divina dicit Scriptura; aut rursus, ut cum Scriptura magis dicam: *hortus ejus non conclusus*, et fons conspectus esset non signatus: solis Theodosii discipulis per oblivionem aut ignorationem non impertiit beneficentiam; aut forte etiam Deo in his Sanctum probante aut glorificante. Atque discipuli quidem accedentes, ei exhibebant molestiam, ut et se et illos manifestos redderet divisori, et magno studio instabant: neque enim se habere, quo deinceps alantur, qui paucas quidem habebant siliquas, et cum eæ nonnunquam defice-

A ἔμελλε τελεσθήσεσθαι. Περιστάντες οὖν κατεγόγγυζον ἠρέμα τοῦ διδασκάλου, τὸ εὔλογον ὥσπερ ἀπὸ τοῦ πράγματος εἰληφότες. Ὁ δὲ τοσοῦτον εἰπών· Εὐτρεπῶ τὴν ἱερὰν τράπεζαν γενέσθαι χρή, τῶν λοιπῶν, ἔφη, μηδενὶ περὶ μηδενὸς ἔστω λόγος. Ὁ γὰρ πάλαι τοῦ Ἰσραὴλ τὰς τοσαύτας ἐν ἐρήμῳ χιλιάδας, εἶτα καὶ ὕστερον οὐκ ὀλίγον πλῆθος διαθρέψας εἰς κόρον, αὐτὸς οὗτος καὶ ἡμῶν ἐστι προνοῶν, οὔτε περὶ τὴν δύναμιν ἀσθενέστερος νῦν, οὔτε περὶ τὸ προνοεῖν νωθέστερος γεγονώς. Ἀλλ' ὅπως αὐτῷ τὰ ῥήματα καὶ εἰς πραγμάτων δύναμιν τὸ τάχος ἐξέβη, καὶ τῆς ἐλπίδος τοὺς φοιτητὰς οὐ διέψευσεν, ὁ λόγος ἤδη κατὰ πόδας ἐρεῖ.

κʹ. Ὥσπερ γὰρ πάλαι τὸ πρόβατον ἐν φυτῷ Σαβὲκ
B τῷ Ἀβραὰμ παρέστη πρὸς ὁλοκάρπωσιν ἕτοιμον, οὕτω δὴ καὶ τῷδε τῷ μακαρίῳ, τοῦ ἡλίου λοιπὸν ἤδη τὴν γῆν ἀπολείποντος, ζεῦγος ἡμιόνων ἄγων τις παραγίνεται δι' ὧν φόρτος ποικίλης τροφῆς, ἀνδράσιν οἰκείας ἀσκηταῖς ἐκομίζετο· καὶ οὐδὲ αὐτὸς ἀπῆν ὁ τῆς ἱερᾶς τραπέζης ὁρώμενός τε καὶ νοούμενος ἄρτος, ἀλλὰ τοῖς ἄλλοις συνῆν· ἐφ' ᾧ καὶ μᾶλλον οἱ Θεοδοσίου μαθηταὶ Χριστοῦ δὲ θεραπευταὶ ἥσθησαν. Καὶ τοῦτο δὴ τὸ δῶρον οὐκ ἀπ' οὐρανῶν ὀμβρηθὲν ὡς τὸ μάννα πρὶν, ἀλλ' ἐκ γῆς πηγάσαν νεύμασιν οὐρανίοις, καὶ θρέψαν οὐκ αἰσθητῶς μόνον, ἀλλ' ἤδη καὶ πνευματικῶς, ὅσον ἀπὸ τοῦ προσενεχθέντος ἄρτου τοῖς ἁγιάσμασιν. Οὕτω τοῖς χθονίοις ἅμα καὶ
C οὐρανίοις ἀγαθοῖς οἱ περὶ αὐτὸν μέχρι τῆς ἁγίας Πεντηκοστῆς ἐντρυφήσαντες, τὸν διδάσκαλον οἷος ἦν ἐκεῖνος κατὰ μικρὸν ἐδιδάσκοντο. Καὶ τοῦτο οὕτως ἔχον.

καʹ. Καὶ ὅδε μετ' αὐτὸ πρόεισιν ἀδελφὸν ἐκείνου, καὶ τῆς ὁμοίας πίστεως, φημὶ, καὶ ἐλπίδος γέννημα γνησιώτατον. Ἀνήρ τις τῶν πλούτῳ κομώντων καὶ ἀγαθοῖς ἔργοις κομᾷν ἐγνωκὼς, τὸν οἰκεῖον ἐπ' εὐλογίαις διέσπειρε βίον, καὶ ὕλην σωτηρίας ψυχῆς τὴν τῶν χρημάτων ὕλην ἐποίει· πᾶσαν οὖν τοῖς ἄλλοις καὶ προηγουμένως τοῖς κατὰ Θεὸν ζῶσι, καὶ τὸ μακρύνεσθαι κόσμου ἐγγίζειν Θεῷ καλῶς λίαν λογιζομένοις δεξιᾷ φανεὶς τερπνοτάτη, τὸ τῆς θείας φάναι Γραφῆς, ἢ ἔμπαλιν ἐνταῦθα τῆς Γραφῆς μᾶλλον εἰπεῖν, Κῆπος αὐτοῦ οὐ κεκλεισμένος καὶ πηγὴ
D ὀφθεὶς μὴ ἐσφραγισμένη· τοῖς τοῦ Θεοδοσίου μόνοις κατὰ λήθην ἢ ἄγνοιαν τῆς εὐποιίας οὐκ ἐκοινώνησεν, ἢ τάχα καὶ τοῦ Θεοῦ τὸν Ἅγιον ἐν τούτῳ δοκιμάζοντος. Οἱ μὲν οὖν μαθηταὶ προσιόντες ἠνώχλουν τῷ διανομεῖ φανερὸν ἑαυτόν τε κἀκείνους ποιεῖν, καὶ μετὰ πολλῆς ἐνέκειντο τῆς σπουδῆς· μηδὲ γὰρ ᾧ τὸ λοιπὸν τραφήσονται ἔχειν, οἵ γε κερατίων μὲν ηὐπόρουν ὀλίγων, ἔτι δ' ὅτε καὶ τούτων ἐπιλειπόντων τὰ καταλειφθέντα τῶν ὀστῶν ἕψοντες, ὥσπερ

6 Cant. IV, 2.

(13) In Hebræo legitur Gen. XXII, 13, *Detentus aries cornibus suis in Sabech*, quod LXX at Theodotion ut proprium retinuerunt: κριὸς εἷς κατεχόμενος ἐν φυτῷ Σαβέκ. Significat autem Sabech Hebraice perplexitatem, cujusmodi est illa, quæ in condensis vepribus cernitur, a radice *sabach*, *implecti, intricari*, ut optime in vulgata editione: *Vidit arietem inter vepres hærentem cornibus.*

ἤδη δεδήλωται, τούτοις ἐχρῶντο τοῦ πεινᾷν παρα- A μύθιον. Οὕτως ἐκεῖνοι ἄνθρωπον ἀεὶ τὸ λαθεῖν σπεύσαντα, δῆλον γενέσθαι διὰ μικροψυχίαν ἠνάγκαζον, καὶ τὸν εἰς Θεὸν τρέπειν ὀφθαλμοὺς εἰθισμένον πρὸς ἀνθρώπους ὀρέγειν χεῖρας ἀγεννῶς ἤπειγον, χεῖρα τὴν ἀνοιγομένην ἀπολιπόντα, καὶ πᾶν ζῶον εὐδοκίας ἀποπληροῦσαν, οἱονεὶ στένωσιν αὐτῆς ἢ μικρολογίαν τό γε νῦν ἔχον κατεγνωκότα. Οἱ μὲν οὖν ἠθύμουν, ὁ δὲ παραινῶν ἠρέμα· τίς, ἔλεγε, τῶν πώποτε θαῤῥήσας Θεῷ μέχρι παντὸς κατελείφθη; Ἢ τίς ὑπομείνας αὐτὸν εἰς τέλος οὐ παρακέκληται; Ὃς μεθύει πᾶσαν ψυχὴν διψῶσαν. Ἱερεμίας ὁ θεῖος λεγέτω μεθ' ἡμῶν ταῦτα, καὶ πᾶσαν ψυχὴν πεινῶσαν ἐμπίμπλησιν, ὃς ἑτοιμάζει κόραξι βορρᾶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων, ἵνα καὶ Ἰὼβ ἅμα καὶ τὸν θεῖον Δαυῒδ εἰσάγω συμφθεγγομένους. Γνῶμεν B ὅσον τὸ μεταξὺ ἀνθρωπίνης σπουδῆς, καὶ προνοίας ἐστὶ θεϊκῆς μέχρι καὶ τῶν ἐσχάτων ἡκούσης, καὶ εἰσόμεθα ὅπως καὶ ὧν ἑκόντες διὰ Χριστὸν ἀπέστημεν, τούτων αὖθις κατὰ Χριστοῦ πρόνοιαν δαψιλῶς ἀπολαύσομεν.

rent, ea quæ restabant ossa coquebant, ut jam dictum est, et eis utebantur ad famis solatium. Sic ergo illi hominem, qui semper latere studuerat, manifestum fieri cogebant propter pusillum suum et abjectum animum : et eum, qui ad Deum oculos convertere consueverat, urgebant; ut turpiter manus porrigeret hominibus, relicta manu quæ est aperta, et implet omne animal benedictione, ut qui eam esse augustam vel parcam ac sordidam judicasset in præsentia. Atque, illi quidem erant tristes. Is vero eos sensim admonens : Quis, aiebat, ex iis qui in Deo confisi sunt, omnino est derelictus? At quis, qui ipsum ad finem usque sustinuit, non accepit consolationem? Qui inebriat omnem sitientem animam. Hæc nobiscum dicat divinus Jeremias : *Et omnem esurientem impletanimam*[8]. *Qui præparat corvis cibum, et pullis corvorum;* ut Job quoque et divinum David introducam simul loquentes[9]. Cognoscamus quantum interest inter humanum studium et divinam providentiam, quæ pertingit usque ad extrema : et sciemus, quemadmodum iis etiam, quæ propter Christum lubenter reliquimus, divina rursus providentia abunde et copiose fruimur.

κβ'. Ταῦτα εἶπε, καὶ μετ' ὀλίγον ἀνεφαίνετό τις ζῶον ἄγων πεφορτισμένον. Ἀπῄει δὲ οὐ πρὸς τὴν τοῦ Μεγάλου μονὴν, ἀλλὰ σκοπὸς αὐτῷ ταύτην μὲν παρελθεῖν, ἀλλαχοῦ δέ που καταθεῖναι τὸν φόρτον. Ὡς δὲ πλησίον ἤδη τῆς μονῆς ἦν, καὶ ἄκοντα τὸν ἄνδρα τὸ ὑποζύγιον ἵστη, καὶ πολλὰς τῇ μάστιγι ἐντείνοντι τὰς πληγὰς, ἐκεῖνο πέτραις ὁμοίως ἀκίνητον ἦν. Εὖ τοίνυν ὑπολαβὼν ὁ ἄνθρωπος μὴ ἀθεεὶ C τοῦτο γίνεσθαι στέψας παραχρῆμα τὴν τάξιν ὡς ὁδηγῷ μᾶλλον αὐτῷ ἐχρῆτο τῷ ζώῳ, καὶ τὸν χαλινὸν ὑπανεὶς ἐδίδου φέρεσθαι ἧπερ αὐτῷ ἡ ὁρμή. Οὕτω τοῦ ἀνδρὸς πράξαντος, τὸ ζῶον ἀθρόως ἀλλαχοῦ μὲν οὐδαμοῦ, ἀλλ' ὥσπερ τινὸς ἀοράτως τὸν χαλινὸν ἕλκοντος καὶ εὐθύνοντος, εὐθὺ τῆς μονῆς ἐχώρει. Ἔνθα δὴ καὶ εἰσελθὼν ὁ ἀνὴρ, καὶ τὴν ἔνδειαν ᾗ τούτους συνεῖχεν ὡς πλείστη μαθὼν, καὶ τῆς τοῦ Θεοῦ προνοίας τὸ ἀπόῤῥητον ἐκπλαγεὶς, ὅπως ἐκείνοις μὲν πρόφασιν στεφάνων τῆς ἐνδείας τὸ λυπηρὸν, αὐτῷ δὲ τοῦ λυπηροῦ τὴν λύσιν ἐμηχανήσατο, καὶ ὅτι πρὸς τοῦτο φανερῶς ἡ τοῦ ζώου ἀπείθεια, καλούσης αὐτὸν τῆς προνοίας τρέψαι ψυχὰς, Θεῷ μὲν λειτουργούσας, ἀσθενείᾳ δὲ καμνούσας τοῦ λειτουργοῦ σώματος. Ταῦτα δὴ ἐκεῖνος καταμαθὼν διπλῆ D παρέσχε τὸν ἀριθμὸν, καθ' ὃν ὁ πρῶτος διανομεὺς ἐδίδου τὸν ἔλεον. Τὸ λοιπὸν οὖν οἱ μαθηταὶ τοῦ διοχλεῖν αὐτῷ παυσάμενοι καὶ μικροψυχεῖν, τοῦ μιμεῖσθαι μᾶλλον ἔσπευδον καὶ ζηλοῦν τῆς πρὸς Θεὸν βεβαίας ἐλπίδος καὶ πίστεως. Ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον.

22. Hæc dixit, et paulo post apparuit quidam, ducens animal onustum. Ibat autem non ad magni Theodosii monasterium; sed scopus quidem erat ei id transire, onus autem in aliquo alio loco deponere. Postquam vero fuit jam prope monasterium, vel invitum virum sistit jumentum : cumque ei flagello multas plagas incuteret; illud erat immobile, non secus ac si esset saxum. Cum homo ergo recte existimasset id non fieri sine Dei numine, mox converso ordine, animali utebatur tanquam duce; et laxato freno ei permittebat ire, quo eum ferret impetus. Cum homo sic fecisset, animal confestim nusquam quidem alio, sed perinde ac si aliquis frenum, cum a nemine videri posset, traheret et dirigeret, recta vadit ad monasterium. Quo cum vir esset ingressus, et inopiam, quæ eos urgebat maxima, didicisset, et Dei providentiæ arcanum esset admiratus, quemadmodum scilicet effecisset, ut inopiæ molestia eis esset occasio coronarum, et ut ipse eam solveret molestiam, et quod ea de causa non parebat animal, eum divina vocante providentia ad alendas animas, quæ Deo quidem ministrabant, ministrantis autem corporis laborabant imbecillitate. Hæc cum ille didicisset, duplum præbuit ejus eleemosynæ, quam primus divisor dederat. De cætero ergo ejus discipuli cessantes ea exhibere molestiam, et esse pusillo et abjecto animo, studebant potius eum imitari, beatumque eum ducebant propter firmam spem et fidem in Deum. Sed hæc quidem hucusque.

CAPUT VI.

Exstruitur monasterium.

κγ'. Ἐπεὶ δὲ καθ' ἑκάστην αὐτῷ οἱ φοιτηταὶ προσετίθεντο, (ἐκάλουν γὰρ αἱ τῶν ἐκείνου χαρίτων

23. Quoniam autem ei quotidie accedebant discipuli (fontes enim illius gratiarum vocabant bonas

8 Jer. xxxi, 23. 9 Job xxxviii, 4 ; Psal. cxlvi, 9.

A et virtutis studiosas animas; cervas rationis compotes dixerit aliquis, aquas amantes spirituales) aliique plurimi accesserunt, et non pauci ex iis, quorum magna erat auctoritas et opes. Et jam magnus quidem erat numerus discipulorum: spelunca autem exigua, et plane minor, quam ut eos posset capere; ipsi autem accedentes sollicitabant, ut excitaret monasterium, et ampliorem eis faceret caulam ovium spiritualium, dicentes, nihil oportere eum curare sumptus faciendos ad ædificationem. Nam et sumptu, aiebant, qui ad eam sufficit, manus, et manu nobis animus largior. Sic cum majori gregi cogeretur præesse vere bonus pastor, dici non potest quantis jactaretur curis, et quam variis distraheretur cogitationibus. Quandoque enim ad honum quietis et silentii respiciebat, et B ad puram et tranquillam mentem, ab hac chara quiete tanquam a matre se avelli dolebat; quandoque autem considerebat, curam esse gerendam eorum qui ventitabant, et non oportere sibi soli vivere, sed multo magis etiam proximis, et ejus rei ipsum Dominum fuisse nobis ab initio exemplar propositum, qui et sibi congregavit discipulos, et conspectus est pastor ovium rationis compotum, et pro eis emisit animam.

24. Hæc ergo quando per otium considerabat, et in contrariam partem trahebatur animus, neque sciebat cuinam pure adhæreret. Nam quietis quidem et silentii fructus non ignorabat; rursus autem sciebat, quinam essent fructus curæ, quæ gereretur fratrum : et ideo utrisque adhærebat, et neutrius erat penitus : et ab utroque recedebat, et cum am- C bobus rursus conveniebat. Quid ergo facit? Deo permittit universum, qui vel solus potest miscere, quæ misceri non possunt : et illius auxilio credit posse fieri, ut et conservetur bonum quietis et silentii, et non privetur mercede præfecturæ. Non enim in eo, quod sit corpus solitarium, sed in eo, quob sit cor bene compositum et tranquillum, vitam recte geri monasticam, ut a divino David est definitum. Certe etiamsi ita se haberet judicium, tamen Deo permittit, et ei supplicat, si omnino ei gratus esset conatus (ei enim in mente versabatur, quod olim divinus Simeon de eo prædixerat), si ergo omnino Deo placaret, ut hoc signo declararet, et locum aperte indicaret, in quo erat monasterii jacturus fundamenta.

D 25. Cum ergo in manus sumpsisset thuribulum, et implesset carbonibus, et deinde absque igne imposuisset suffitum, pervasit solitudinem, labris preces decantans. Preces autem ita habebant: O Deus, qui per multa et magna miracula olim Israelem confirmasti, qui famulo tuo Moysi multis et variis prodigiis persuasisti, ut eos regendi onus subiret, et virgam quidem in serpentem, in alborem autem leprosam manum mutasti, et deinde ei rursus priorem restituisti colorem; qui aquam quidem mutas in sanguinem, ipsum autem rursus facile in aquam restituis; qui Gedeoni signum victoriæ vellus ex-

πηγαὶ τὰς φιλαρέτους ψυχὰς, ἐλάφους λογικὰς εἴπεν ἄν τις ὑδάτων ἐρώσας πνευματικῶν) ἄλλοι τε πλεῖστοι καὶ τῶν ἐν ἀξιώμασι καὶ χρήμασι περιττῶν οὐκ ὀλίγοι προσῄεσαν. Καὶ ὁ μὲν τῶν μαθητῶν ἀριθμὸς ἤδη πολὺς ἦν, βραχὺ δὲ τὸ σπήλαιον καὶ σαφῶς ἧττον ἢ κατὰ χώρησιν, αὐτοὶ προσιόντες ἠνώχλουν καὶ μοναστήριον ἐγεῖραι, καὶ τὸν σηκὸν αὐτοῖς τῶν πνευματικῶν πλατῦναι προβάτων, μηδὲν ἑαυτῷ μᾶλλον ἀναλωμάτων τῶν εἰς τὴν οἰκοδομὴν λέγοντες· τῆς τε γὰρ ἀρκούσης ἐπ' αὐτὴν δαπάνης ἡ χεὶρ, καὶ τῆς χειρὸς ἡμῖν ἡ γνώμη δαψιλεστέρα· οὕτω μείζονος προστῆναι ποιμνίου ὁ καλὸς τῷ ὄντι ποιμὴν ὑποβιαζόμενος, οὐκ ἔστιν εἰπεῖν ὅσαις τε ἐβάλλετο ταῖς φροντίσι, καὶ ὅπως τοῖς λογισμοῖς ἐμερίζετο. Ὅτε μὲν γὰρ πρὸς τὸ τῆς ἡσυχίας ἐπ- B ίδοι καλὸν, καὶ τὸ καθαρὸν τοῦ νοῦ καὶ γαλήνιον, τῆς φίλης ταύτης ἡσυχίας οἷα μητρὸς ἀποσπώμενος ἤλγει. Ὅτε δὲ πρὸς τὸ τῶν φοιτούντων κηδεμονικὸν ἀποβλέψειε, καὶ τὸ μὴ δεῖν ἑαυτῷ μόνῳ ζῆν, ἀλλὰ πολλῷ μᾶλλον καὶ τοῖς πλησίον, καὶ τούτου γε τὸν κοινὸν Δεσπότην ἑώρα τύπον ἐξ ἀρχῆς γενόμενον, ὃς καὶ μαθητὰς ἑαυτῷ συνήγαγε, καὶ ποιμὴν ὤφθη λογικῶν προβάτων, καὶ ὑπὲρ αὐτῶν τὴν ψυχὴν προίετο.

κδ'. Ταῦτα ὅτε κατασχολὴν διασκέψαιτο, τὸν λογισμὸν αὖθις ἀνθείλκετο καὶ οὐκ εἶχεν ὅτῳ καθαρῶς προστεθῇ. Τοὺς μὲν γὰρ τῆς ἡσυχίας καρποὺς οὐκ ἠγνόει, ᾔδει δὲ καὶ τῆς προνοίας τῶν ἀδελφῶν ὁποῖοι, καὶ διὰ τοῦτο καὶ ἀμφοτέροις προσέκειτο, καὶ οὐδ' ἑτέρου παντελῶς ἐγίνετο, ἑκατέρου τε ἀφ- C ίστατο, καὶ ἀμφοτέροις πάλιν συνήρχετο. Τί οὖν ποιεῖ; Θεῷ τὸ πᾶν ἐπιτρέπει τῷ καὶ μόνῳ δυναμένῳ μιγνύναι τὰ ἄμικτα, καὶ τῇ ἐκείνου πιστεύει ῥοπῇ δυνατὸν αὐτῷ γενέσθαι καὶ τὸ τῆς ἡσυχίας διασωθῆναι καλὸν, καὶ τῶν ἐπὶ τῇ προστασίᾳ μισθῶν ἄμοιρον μὴ ἀπολειφθῆναι. Οὐ γὰρ ἐν τῇ μονώσει τοῦ σώματος, ἀλλ' ἐν τῷ εὐσταθεῖ μᾶλλον τῆς καρδίας καὶ γαληνῷ κατορθοῦσθαι τὸ κατὰ μόνας, ὡς τῷ θείῳ Δαβὶδ ὡρίζετο. Ἀμέλει καὶ οὕτως ἔχων τὴν κρίσιν ὅμως τῷ Θεῷ δίδωσι, καὶ ἱκέτης αὐτοῦ γίνεται, εἴπερ ὅλως κατὰ γνώμην. Αὐτῷ τὸ ἐγχείρημα (ἐπὶ νοῦν γὰρ εἶχε καὶ τὸ τῷ θείῳ Συμεὼν περὶ αὐτοῦ πάλαι προφητευθὲν), εἰ οὖν ὅλως ἀρέσκων εἴη Θεῷ σημείῳ τοῦτο παραδηλῶσαι, καὶ τὸν τόπον ὑποδεῖξαι σαφῶς ἐφ' ᾧ, τοὺς θεμελίους πηγνύναι τοὺς τῆς μονῆς D ἔμελλεν.

κε'. Λαβὼν οὖν εἰς χεῖρας θυμιατήριον καὶ ἀνθράκων πλήσας, εἶτα καὶ πυρὸς ἄνευ ἐπιθεὶς τὸ θυμίαμα, τὴν ἐρημίαν διῄει εὐχὴν ἐπᾴδων τοῖς χείλεσιν· εἶχε δὲ τὰ τῆς εὐχῆς οὕτως· Ὁ τὸν Ἰσραὴλ πάλαι διὰ πολλῶν καὶ μεγάλων θαυμάτων Θεὸς πιστωσάμενος, ὁ τὸν θεράποντά σου Μωϋσῆν πολλοῖς καὶ ποικίλοις τέρασι πείσας τὴν προστασίαν αὐτῶν ὑπελθεῖν, καὶ τὴν μὲν ῥάβδον εἰς ὄφιν, εἰς λευκότητα δὲ τὴν λεπρῶσαν χεῖρα μεταβαλὼν, εἶτα τὴν προτέραν αὐτῇ πάλιν περιβαλὼν εὐχροιαν, ὃς τὸ μὲν ὕδωρ εἰς αἷμα μεταποιεῖς, αὐτὸ δὲ πάλιν εἰς ὕδωρ ἀνασώζεις εὐκόλως, ὃς τῷ Γεδεὼν σύμβολον νίκης τόν τε πόκον

καὶ τὰ περὶ τὸν πόκον εὖ παριστὰς, δημιουργὲ πάντων καὶ συνοχεῦ, ὃς Ἐζεκίᾳ τῆς τῶν ἀναβαθμῶν σκιᾶς τῇ πρὸς τὰ ὄπισθεν ἀναποδίσει τὴν τῆς ζωῆς ὑπέγραψας προσθήκην, ὃς καὶ τῶν εὐχῶν Ἡλίου πρότερον ὑπήκουσας πῦρ καθεὶς οὐρανόθεν, καὶ διὰ τὴν εἰς σὲ τῶν ἀσεβούντων ἐπιστροφὴν, τὰς σχίδακάς τε καὶ ὁλοκαυτώματα καὶ τὸ ὕδωρ αὐτοῖς λίθοις συγκατέφλεξας, αὐτὸς εἶ καὶ νῦν Κύριε, καὶ αὐτὸς ἐπάκουσόν μου τοῦ δούλου σου, καὶ δεῖξον ἔνθα σοι φίλον ναὸν μὲν τῷ κράτει τῷ σῷ, τοῖς δὲ σοῖς δούλοις καὶ μοῦ φοιτηταῖς καταγώγιον ἀναγεῖραι. Δείξεις δὲ πάντως ὅπη τοὺς ἄνθρακας τούτους ἀναφθῆναι κελεύσεις, εἰς δόξαν μὲν σὴν, ἐπίγνωσιν δὲ πολλῶν καὶ τῆς ἀληθείας βεβαίωσιν. Ταῦτα καὶ τὰ τούτοις ὅμοια περιᾴδων, τῶν τόπων οὓς μάλιστα τῶν ἄλλων ἐπιτηδειοτέρους ᾔδει διήρχετο.

κϛ'. Τὴν πολλὴν δὲ διαβὰς τῆς ἐρήμου γῆν ἄχρι τοῦ λεγομένου Κουτιλᾶ, καὶ τῶν τῆς Ἀσφαλτίδος λίμνης ὀχθῶν, ἐπὶ νεκροῖς οὕτω καὶ ἀπύροις τοῖς ἄνθραξιν, ὡς ἑώρα μηδαμοῦ τούτους ἀναπτομένους, μηδὲ τὸ ἐγχείρημα κατὰ γνώμην ὑπαντῆσαν αὐτῷ, ὑποστρέφειν ἔγνω. Τοῦτο δὲ δράσαντος, καὶ ὀλίγον ἤδη τοῦ σπηλαίου διέχοντος (ὢ τίς ἀξίως αἰνέσει σου τὸ κράτος, ἀθάνατε Βασιλεῦ;), καπνὸς ἄφνω τῶν ἀνθράκων ἀνῄει, καπνὸς εὐώδης, πυρὸς ἀῤῥήτως διαδραμόντος τοὺς ἄνθρακας, καὶ ἀφανῶς αὐτοὺς ἀναζωπυρήσαντος. Οὕτω τοιγαροῦν τοῦ πυρὸς κρεῖττον ἢ γλῶττα τὸν τόπον ὑποσημαίνοντος, αὐτίκα θεμέλιοι τε ἐπήγνυντο, καὶ ναὸς ἀνηγείρετο, καὶ φροντιστήριον ἐπῳκοδομεῖτο, φροντιστήριον ἀρετῶν μᾶλλον εἰπεῖν καταφύγιον, ἢ σκηνὴ ἀτέχνως ἐπὶ γῆς, ὑπέργειος καὶ οὐράνιος, μεγέθει τε μέγιστον ὄν, ὡς ἤδη ταῖς κατὰ μικρὸν αὐξηθὲν προσθήκαις, καὶ πᾶσι κομῶν ἀγαθοῖς, οὐ τοῖς κατὰ πνεῦμα μόνον καὶ ἀρετὴν, ἀλλὰ καὶ τοῖς κατὰ χρείαν φημὶ σώματος. Ἔδει γὰρ αὐτῶν ἀνθρώποις γε οὖσιν, οὐ τῶν κομψῶν ἐκείνοις καὶ περιττῶν, ἀλλ' ὧν ἡ χρῆσις ἀναγκαία καὶ ἀπαραίτητος. Καθάπερ γὰρ ἐπὶ πόλεως λαμπρᾶς καὶ πολυανθρώπου, οὕτω δὴ κἀνταῦθα πρόκειται θεωρεῖν παντοδαπὰ τῶν τεχνῶν ἐργαστήρια, τῷ κοινῷ τῆς ἀδελφότητος ἀπονητὶ παρέχοντα πάντα, καὶ τῶν ἔξω περισπασμῶν ἀπαλλάττοντα.

A hibes, et quæ circa vellus; qui omnia fabricaris et contines; qui Ezechiæ umbræ graduum retro reversione descripsisti vitæ additamentum; qui etiam Eliæ præces prius exaudiisti, ignemque de cœlo demisisti; et propter eorum, qui se impie gerebant, ad te conversionem, ligna et holocausta et aquam una cum ipsis lapidibus combussisti; ipse etiam nunc es, Domine, ipse quoque exaudi me servum tuum, et ostende ubi tibi placeat, ut templum quidem tuæ potentiæ, tuis autem servis et meis discipulis habitaculum ædificem. Ostendes autem omnino, ubi jubebis accendi hos carbones, ad gloriam quidem tuam, multorum autem agnitionem, et veritatis confirmationem. Hæc et his similia decantans, obibat loca, quæ B noverat aliis aptiora.

26. Cum autem solitudinis multam terram pervasisset usque ad locum, qui dicitur Gutilla et ripas lacus Asphaltidis (14-15), sic mortuis et minime ignitis carbonibus, cum vidit eos minime ascendi, neque conatum ei ex animi sententia succedere, constituit reverti. Cum hoc autem fecisset, et parum esset remotus a spelunca (o quis tuam digne laudarit potentiam, Rex immortalis!) fumus repente ascendit ex carbonibus, fumus bene olens, cum ignis modo ineffabili percurrisset carbones, et eos latenter suscitasset. Cum itaque ignis melius quam lingua locum significasset, et jacta sunt fundamenta et templum exstructum est, et ædificatum est monasterium (15), vel, ut melius dicam, virtutum habiC taculum, aut tabernaculum in terra, quod est revere terra superius et celeste: quod quidem est e magnitudine maximum, ut quod paulatim creverit iis, quæ factæ sunt, accessionibus, et abundat bonis omnibus, non iis solis, quæ sunt ex spiritu et virtute, sed iis etiam, quæ sunt ad usum corporis. Nam eis quoque erat illis opus, cum essent homines, non lautis quidem et supervacaneis, sed quorum est necessarius usus et inevitabilis. Quomodo enim in præclara civitate et populo frequenti, ita etiam hic quoque licet sidere omnigenas artium officinas, quæ communi fraternitati omnia præbent citra laborem, et ab externis, quæ eos avellant, curis liberant.

CAPUT VII.

Benignitas in pauperes, ægros, hospites, divinitus remunerata.

κζ'. Οὐ μὴν ἀλλὰ καὶ τὸ παραλλάττον δηλαδὴ τῶν καταγωγῶν καὶ διάφορον τίνα μὲν ὀφθαλμὸν εἰς θέαν, τίνα δὲ γλῶττα εἰς ἔπαινον κινεῖ; ποίαν ὅλως ψυχὴν, ποίαν τῶν καταλυόντων οὐ θεραπεύει σώματα; Αὐτὴ μοναχῶν, ἐκείν μιγάδων· ἄλλη τῶν ἐνδεῶν, ἑτέρα τῶν ἄλλως ἐπιδημούντων. Καὶ συνελόντας εἰπεῖν, ἑκάστῳ τῶν παραβαλλόντων τόπος τε τῆς ὑποδοχῆς, καὶ τρόπος τῆς θεραπείας, ἄλλῳ ἄλλος

D 27. Jam vero habitationem varietas et diversitas quemnam oculum quidem non movet ad contemplandum; quamnam autem non linguam ad laudandum? Quam enim omnino animam, aut quod corpus earum, qui diversantur, non curat? Hæc est monachorum, illa eorum qui promiscue vitam agunt; alia egenorum, alia eorum, qui alias peregrinantur. Et ut in summa dicam, unicuique eo-

(14-15) Lacus Asphaltidos, id est bituminis, vulgo mare Mortuum dicitur, post eversas ibidem Sodomam, Gomorrham, aliasque urbes.

(16) *Cathisma* appellatur in Vita S. Sabæ. Vide Prolegom.

rum, qui accedunt, et locus quo excipiantur, et A modus quo curentur, alius alii est attributus. Unum est, quod ex æquo omnibus exhibetur, nempe summa hospitii hilaritas et benignitas. Cæterum pauperum quidem magnam curam gerebat Theodosius: quorum ille egestatem vincens suppeditatione, eam rursus habebat voluntate inferiorem: quomodo etiam voluntatem semper victam a liberalitate et munificentia spiritus, ut paulo post ostendetur. Hoc autem est ipsis rebus consentaneum et valde consequens. Si enim ipse cum esset homo, studebat hominum egentium superare cupiditates voluntatis magnitudine; quomodo non humana rursus voluntas superanda erat ab opibus divinis et benignitate?

28. Cum autem in omnes, qui ejestate preme- B bantur, ita esset misericors, ejus magis augebatur misericordia in eos, in quibus rursus erat malum gravius, et cum egestate erat præterea morbus, aut membrorum mutilatio excrucians, eaque sacra, quod est gravissimum. Ea ratione erat etiam oculus quidem cæcorum, pes vero claudorum, indumentum autem nudorum, eorum, qui tecto carebant, tegumentum, ægrotorum medicus, largitor, administer, famulus; omnibus omnia factus propter excellentem benignitatem; sanguinem abluens, vulnera mundans, labra admovens labris eorum, quorum erat caro mutila, et ita eos sapienter consolans et persuadens, ut moderate ferrent calamitatem, cum scirent eos, qui sapiunt, non modo ipsos non aversari, sed eos potius beatos ducere et C amplecti. Non autem se superbe et inhumane gerens, ut complures, quos cum oporteret miserando fratres, Dei sibi conciliare benignitatem et clementiam, illi (o inhumanitatem!) adeo sunt elati et sublimis animi, aut (ut verius dicam) nimis sui amantes, et tam pusilli et abjecti animi, ut non solum eos non admittant, sed eos etiam videre non inducant in animum: perinde, ac si nolint meminisse neque omnino scire, quod ipsis quoque sunt carnes subjectæ talibus affectionibus. Sed non sic hic beatus, sed fuit magno (sicut diximus) et generoso animo. Et sunt hujus quidem multi oculi testes: maxime autem ex iis, qui hoc ministerium una cum eo obibant: qui cum primo hanc insignem benignitatem et commiserationem similiter atque alii aversarentur, illius deinde egregiam reveriti moderationem, persuasi fuerunt recte sapere, et juxta imbecillitatem humanem et D humilitatem.

29. Quamobrem si quis eum dixerit communem portum, et communem medicinæ officinam, communem domum, commune penu, recte dixerit et congruenter veritati, ægrotantium, esurientium, algentium, peregrinantium. Eorum enim omnium, quam par erat, curam gerebat. Qui autem contemneretur aut despiceretur, propterea quod esset vilis et humilis, si quæsivisses, illic invenisses neminem: sed propter hoc ipsum, quod esset, inquam,

ἀπονενέμηται. Ἕν ἐστι πρὸς πάντας ἔχον ὁμοίως, τὸ τῆς ξενοδοχίας ἄκρως ἱλαρὸν καὶ φιλάνθρωπον. Ἀλλ' οἵ γε πένητες, ἡ μεγάλη Θεοδοσίῳ φροντίς, ὧν τὴν ἔνδειαν ἐκεῖνος τῇ χορηγίᾳ νικῶν, αὐτὴν πάλιν εἶχεν ἡττωμένην τῆς προαιρέσεως· ὥσπερ δὴ τὴν προαίρεσιν τῇ μεγαλοδωρεᾷ τοῦ πνεύματος ἀεί ποτε νικωμένην, ὡς μετ' οὐ πολὺ δηλωθήσεται. Τοῦτο δὲ εἰκότως λίαν, καὶ τοῖς πράγμασιν ἀκολούθως. Εἰ γὰρ αὐτὸς ἄνθρωπος ὢν ἀνθρώπων ἔσπευδε δεομένων ὑπερβάλλειν ἐπιθυμίας τῷ μεγαλείῳ τῆς προαιρέσεως, πῶς οὐκ ἔμελλε πάλιν ἀνθρωπίνη προαίρεσις θείῳ πλούτῳ καὶ χρηστότητι παρευδοκιμεῖσθαι;

κη'. Οὕτω δὲ συμπαθείας ἐπὶ πᾶσιν ἔχων ἁπλῶς τοῖς ἐνδείᾳ πιεζομένοις, ἔτι μᾶλλον ἐπέτεινε τὴν συμπάθειαν ἐφ' οὓς πάλιν τὸ δυσχερὲς ἐπετείνετο, καὶ μετὰ τῆς ἐνδείας ἔτι καὶ νόσος, ἢ μελῶν πήρωσις τρύχουσα ἦν, καὶ αὐτή γε ἡ ἱερὰ τὸ βαρύτατον. Ταύτῃ τοι καὶ ἦν ὀφθαλμὸς μὲν τυφλῶν, ποὺς δὲ χωλῶν, ἀμφίασις γυμνῶν, ἀστέγων σκέπη, νοσούντων ἰατρὸς, χορηγὸς, ὑπουργὸς, οἰκέτης, πᾶσι πάντα διὰ τὸ περιὸν τῆς φιλανθρωπίας γενόμενος, αἵματα πλύνων, τρύματα καθαίρων, χείλη προσάγων χείλεσι τῶν τὴν σάρκα λελωβημένων, καὶ οὕτω λίαν σοφῶς ἐκείνους παραμυθούμενος, καὶ πείθων πρᾴως φέρειν τὴν συμφορὰν τῷ γινώσκειν ἑαυτοὺς ὅτι μὴ μόνον οὐκ ἀποστροφῆς ἄξιοι δι' ἃ πάσχουσι γίνονται, ἀλλὰ καὶ μακαρισμοῦ μᾶλλον καὶ ἀσπασμοῦ τοῖς γε νοῦν ἔχουσιν. Οὐ μὲν παθὼν τὸ τῶν πολλῶν ὑπεροπτικὸν καὶ ἀνάλγητον, οὓς δέον ἐν τῇ πρὸς τοὺς ἀδελφοὺς συμπαθείᾳ, τὸ τοῦ Θεοῦ χρηστὸν ἑαυτοῖς μνηστεύεσθαι καὶ φιλάνθρωπον, οἱ δὲ, ὢ τῆς ἀπανθρωπίας! οὕτως εἰσὶν ὑψηλοί τε καὶ μεγαλόφρονες, ἢ τἀληθὲς μᾶλλον εἰπεῖν φίλαυτοι περιττῶς καὶ μικρόψυχοι, ὡς μὴ μόνον μὴ προσίεσθαι τούτους, ἀλλὰ καὶ ὁρᾷν μὴ ἀνέχεσθαι. καθάπερ οὐδὲ μεμνῆσθαι βουλόμενοι, οὐδ' ὅλως εἰδέναι, ὅτι καὶ αὐτοῖς σάρκες εἰσὶ τοιούτοις πάθεσιν ὑποκείμεναι. Ἀλλ' οὐχ ὁ μακάριος οὗτος οὕτως, ἀλλὰ καὶ λίαν ὥσπερ ἔφημεν εὐγενῶς καὶ μεγαλοψύχως· καὶ τούτου πολλῶν μὲν ὀφθαλμοὶ μάρτυρες, μάλιστα δὲ τῶν τὴν ὑπηρεσίαν ταύτην αὐτῷ συνδιαφερόντων· οἳ καὶ τὸ πρῶτον τὰ κομιδῇ φιλάνθρωπα ταῦτα καὶ συμπαθῆ τοῖς ἄλλοις ὁμοίως ἀποτρεπόμενοι, ἔπειτα τὴν πολλὴν ἐκείνου δυσωπηθέντες μετριοπάθειαν, ἐπείσθησαν ὑγιῶς φρονεῖν, καὶ ἀξίως τῆς ἀνθρωπίνης, ἀσθενείας καὶ ταπεινότητος.

κθ'. Ὥστε κοινὸν αὐτὸν εἴ τις εἴπῃ λιμένα, κοινὸν ἰατρεῖον, κοινὴν ἑστίαν, κοινὸν ταμιεῖον, καλῶς ἐρεῖ καὶ συμφώνως τῇ ἀληθείᾳ, νοσούντων πεινώντων, ῥιγώντων ἀποδημούντων· πάντες γὰρ προνοίας ἀπέλαυον αὐτῷ τῆς δεούσης. Ἀμελούμενον δὲ ἢ παραθεωρούμενον· εἴπερ ἐζήτησας ἐκεῖ δι' εὐτέλειαν εὗρες ἂν τῶν πάντων οὐδένα, ἀλλ' αὐτὸ μὲν τοῦτο, τὸ εὐτελὲς φημι, καὶ ἐλάχιστον, καὶ πλείονος ἀξιούμενος τῆς προνοίας· ἐπεὶ καὶ Χριστὸς ἐν ἐλαχίστοις, καὶ τὰ

ἐκείνων μᾶλλον φανερῶς οἰκειούμενος· ὥστε οὐδεὶς A ἦν ὅλως ἐκεῖ τῶν ἐκβαλλομένων, οὐδεὶς παροπτέος καὶ σπλάγχνων φιλανθρώπων ἀνάξιος· ὅπερ καὶ τῶν πατέρων ἐνίοις οὐ πάνυ ῥάδιον εἰς παῖδας φυλάξαι. Ἄλλοι μὲν καὶ ἀμφίων ὅσοις ἔνδεια τούτων ἦν, πάντες δὲ ὁμοίως τρυφῆς ἀξιούμενοι· καὶ μέμνηνται ποτε οἵ γε πρὸς ταῦτα διακονούμενοι πλείους ἢ ἑκατὸν μιᾶς ἡμέρας διαθεῖναι τραπέζας. Ἀλλ' ἡ μὲν ἀνθρωπίνη τοῦ ἐλέους πηγὴ τοιαύτη καὶ οὕτω δαψιλῶς βλύζουσα. Ἡ δὲ τοῦ Θεοῦ ὁποία; Ἢ δῆλον ὅτι πολλῷ τῷ μέσῳ καὶ ἀπείρῳ τὸ ὑπερβάλλον ἔχουσα; Δηλώσει δὲ νῦν ὁ λόγος τίσι τεκμηρίοις, καὶ τῷ ἐπαγγελθέντι πέρας ἐπάξει.

vilis et minimus, majorem consequeretur curationem; quoniam Christus quoque est inter minimos, et quæ sunt illorum, aperte sibi tribuit. Quare eorum qui expellerentur, nulla illic habebatur ratio. Nullus despiciebatur, nullusque indignus reputabatur commiseratione. Quod quidem patrum quoque nonnullis non est admodum facile servare in filios. Sed aliis quidem vestes quoque dabantur, quibus iis erat opus: omnibus similiter dabantur alimenta. Atque meminerunt quidem, qui ad hæc ministrabant, se uno die plusquam centum mensas parasse. Et humanus quidem misericordiæ fons erat hujusmodi, et tam aliunde scaturiens. Dei autem fons qualis? Nunquid est manifestum, quod multis atque adeo infinitis partibus superabat? Nunc autem declarabit oratio, quibusnam indiciis, et finem imponet ei, quod est pollicita.

λ'. Ἐπαίδευσέ ποτε τὴν γῆν ὁ Θεὸς, ἐπαίδευσε B δὲ λιμῷ, καὶ ὀλίγος οὐκ ἐπὶ βραχὺ, οὐδὲ τῶν μὲν, τῶν δὲ οὐ κατεκράτει, ἀλλ' ἐπῄει πᾶσιν ἡ μάστιξ ὁμοίως· οὕτω δὲ τῶν ἀνθρώπων πιεζομένων διὰ κακῶν ἔργων ἀντέκτισιν (ἐπεὶ καὶ πονηρῶν ἐπιτηδευμάτων Μιχαίας ὁ θεῖος καρπὸν εἶναι τὰ τοιαῦτά φησι), καὶ ἡ τῶν βαΐων παρίστατο ἑορτὴ, καθ' ἣν τὸ τῶν πενήτων καὶ ἀγροίκων πλῆθος πρόφασιν λαβὸν τὴν πανήγυριν ἐπεδήμει τῷ τόπῳ ἤδη μὲν καὶ δι' ἔθους τοῦτο ποιοῦντες, ἀλλὰ καὶ τότε καὶ πλέον ὑπὸ τοῦ λιμοῦ κελευόμενοι. Οἱ γοῦν περὶ τὴν ἀριστοποιίαν διακονούμενοι πρὸς τὸ πλῆθος ἰλιγγιάσαντες ὑπὸ σταθμοῖς τισι καὶ ζυγοῖς τὴν τῆς τροφῆς ποιεῖσθαι διανομὴν [*alii* διακονὴν] ἐπειρῶντο ὡς ἂν τῇ φειδοῖ ταύτῃ καὶ ἀκριβείᾳ πρὸς πλείονας ἀρκέσῃ τὰ τῆς τροφῆς. Ὁ δὲ σταθμὸς αὐτοῖς εἰς λίτραν, C ὡς ἄν τις εἴποι γλώττῃ Ῥωμαίων χρώμενος, περιΐστατο· παριὼν τε ὁ μέγας καὶ τὸ πραττόμενον ὄψει παραλαβὼν, πλήθει τε πολλῷ τὰς πύλας βιαζομένας, καὶ τὸ τοῦ Ἰὼβ ὥσπερ καὶ αὐτὸς φρονεῖν καὶ λέγειν πεπαιδευμένος, ὅτι μὴ ἔξω ηὐλίζετο ξένος καὶ ἡ θύρα μου παντὶ ὁδοιπόρῳ ἀνέῳκτο, κελεύει τὰς πύλας διαπετάσαντες εἰσιτητὰ θεῖναι τὰ ἐντὸς πᾶσι τοῖς βουλομένοις· εἶτα καὶ τὰς συνήθεις παραθεῖναι τραπέζας ἀνδράσιν, οἷς ἔργον καὶ ἀριθμῷ δοῦναι, μή τι γε ὅλως καὶ τροφῇ κορέσαι. Ὅσοι μὲν πρὸς τοῦτο ὑπηρετεῖν ἔμελλον, ἕως μὲν πρὸς μόνον ἁπλῶς τὸ πλῆθος ἑώρων, ἀπιστοῦντες μόνον ἦσαν, οὐχ ὅπως δή τι καὶ ἐνεργοῦντες ἰδίᾳ τὴν ὑπερβολὴν τοῦ κελεύσματος. Ἐπεὶ δὲ καὶ πρὸς τὴν ἀρετὴν καὶ τὴν χάριν τοῦ κελεύσματος εἶδον, ἀπέστησάν τε τῶν D ἀνθρωπίνων καὶ ὑψηλότερον ἔβλεψαν, ἤνοιγόν τε τὰς πύλας εὐθέως, καὶ ἀσμένως τοὺς εἰσιόντας ἐδέχοντο, εἶτα καὶ πρὸς τραπέζας διεπονοῦντο, καὶ ἱλαρῶς παρετίθουν αὐτὰ ταῦτα ὅσα παρεῖχον. Τί οὖν ὁ τῶν θαυμασίων Θεός; Ἤρκει καὶ αὖθις δι' ὀλίγων τρέφειν πλήθη πολλὰ, ὥσπερ ἄρα καὶ τοῖς πέντε ἄρτοις τοὺς πεντακισχιλίους τὸ πρότερον ἅμα γοῦν αὐτοί τε τὰς γαστέρας ἐπίμπλαντο, καὶ αἱ ἀρτοθῆκαι κατάπλεω τῶν ἄρτων ἐδείκνυντο, καὶ οἱ μὲν πάντα ἐπιλιπεῖν ἐνόμιζον, οἱ δὲ πλήρεις ἦσαν πλέον ἢ παρέσχον ἀντιλαβοῦσαι, καὶ δι' εὐχῆς ὥσπερ

30. Castigabat aliquando terram Deus, castigabat autem fame: erat autem non brevis aliqua fames, neque in hos quidem dominabatur, in alios vero non; sed ex æquo omnes invaserat flagellum. Cum sic autem affligerentur homines, ut eorum, quæ scelerate fecerant, pœnas darent (malorum enim studiorum hæc esse fructum, dicit divinus Michæas[10]) et adesset dies festus Palmarum, quo pauperum et agrestium multitudo, festi accepta occasione, in eum locum convenerat, jam hoc quidem pro more facientes, sed tunc magis a fame jussi. Qui itaque ad parandum prandium inserviebant, ad tantam caligantes multitudinem, conabantur quibusdam libris et trutinis alimentum distribuere, ut hac accurata subtilique ratione et parcitate posset pluribus alimentum sufficere. Pondus autem eis ad libram, ut dixerit quispiam utens lingua Romanorum, redibat. Accedens autem magnus ille Theodosius, cum id quod fiebat, visu apprehendisset, et a magna multitudine vim afferri januis, et idem quod Job, didicisset sentire et dicere: *Foris non diversabatur hospes, et patebat ostium omni viatori*[11]; jubet portas aperiri, et permittere, ut omnes volentes possent ingredi: et hominibus mensas consuetas apponere, quos difficile erat vel numerare, non solum eos cibo satiare. Quicunque ergo ei erant inservituri, quando ad solam tantummodo aspiciebant multitudinem, non credebant: tantum abest, ut aliquid facerent, propterea quod modum jussio exsuperabat. Postquam autem aspexerunt ad virtutem et gratiam ejus, qui jubebat, ab humanis destiterunt, et altius aspexerunt, et portas statim aperuerunt, et lubenter admiserunt eos qui veniebant: et deinde etiam parandis mensis dabant operam, et hilariter ea etiam apponebant, quæ habebant. Quid ergo Deus admirabilium? Rursus quoque suffecit ad paucis alendam magnam multitudinem, sicut etiam prius quinque panibus quinque millia. Simul ergo eorum impleti sunt ventres, et arcæ panariæ ostendebantur plenæ panibus: et illi quidem existimabant fore, ut omnia deficerent: eæ vero erant plenæ, et plura tenebant quam præbuerant, et

[10] Mich. vi, 13. [11] Job. xxxi, 17 et 18.

A per orationem veluti ad replendos ventres pauperum plurimum fructum produxerant. Sic pro ejus proposito Deus ipsum est remuneratus, et pro ejus beneficentia in pauperes, non solum abunde desuper pluens propter ejus munificam voluntatem, sed etiam efficiens, ut vir ille in admiratione haberetur et celebraretur, propterea quod sit minime falsum promissum. Promisit enim eos glorificare, qui eum sciunt glorificare per opera [12].

εἰς τὰς τῶν πενήτων γαστέρας πολυγονώτατα γεωργήσασαι. Οὕτως αὐτὸν ὁ Θεὸς ἠμείβετο τῆς προθέσεως, οὕτω τῆς περὶ τοὺς πένητας εὐποιΐας, οὐ μόνον ἀφθόνως ἄνωθεν ὑετίζων διὰ τὴν ἀφθονίαν τῆς προαιρέσεως, ἀλλὰ πανταχοῦ θαυμαζόμενόν τε καὶ περιᾳδόμενον τὸν ἄνδρα δεικνύων, διὰ τὸ ἀψευστον τῆς ἐπαγγελίας. Δοξάζειν γὰρ ἐπηγγείλατο τοὺς διὰ τῶν ἔργων αὐτὸν δοξάζειν ἐπισταμένους.

μθ'. Δύο τῶν προκειμένων ἡμῖν, ὦ βασιλεῦ, ἢ ζῆν αἰσχρῶς καὶ ἀνελευθέρως τοῖς Ἀκεφάλοις συναπαχθέντας, ἢ θανεῖν καλῶς τοῖς ὀρθοῖς τῶν Πατέρων ἀκολουθοῦντας δόγμασιν, ἴσθι τὸν θάνατον ἡμῖν εἶναι προτιμητέον. Τοσοῦτον γὰρ δέομεν τοὺς καινοῖς τούτοις ἕπεσθαι δόγμασιν, ὅσον οὐχ ἡμεῖς μόνοι κατὰ D χώραν μενοῦμεν τοῖς προλαβοῦσι νόμοις τῶν Πατέρων στοιχοῦντες· ἀλλὰ καὶ τοὺς ἄλλως παρὰ ταῦτα πρεσβεύειν ἀνασχομένους, ἀποκηρύξομεν εὐσεβῶς καὶ ἀναθέματι καθυποβολοῦμεν· οὐ μὲν ἀλλὰ καὶ χειροτονούμενόν τινα τῶν Ἀκεφάλων πρὸς βίαν ἡμεῖς οὐ παραδεξόμεθα. Μηδὲ γένοιτό ποτε, Χριστὲ Βασιλεῦ, κἂν τι τοιοῦτον συμβῇ, τὸν ἔφορον τῆς ἀληθείας Θεὸν μάρτυρα ποιησάμενοι· μᾶλλον δὲ αὐτὸν ἐκεῖνον εἰπεῖν τὸν νῦν ὑπ' αὐτῶν βλασφημούμενον, μέχρις αἵματος ἀντικαταστῆναι θελήσομεν· καὶ ὥσπερ ὑπὲρ πατρίδος, οὕτως μᾶλλον ὑπὲρ τῆς ὀρθῆς

46. Cum (31) hæc duo sint nobis proposita, o imperator, vel turpiter et illiberaliter vivere consentiendo Acephalis, vel honeste mori sequendo recta Patrum dogmata; scito mortem a nobis esse præferendam. Tantum enim abest, ut hæc nova sequamur dogmata, ut non solum in loco mansuri simus, præcedentes Patrum leges sequentes; sed eos etiam, qui præter hæc alia tueri sustinuerint, pie abdicabimus, et subjicimus anathemati: sed nec ullum ex Acephalis ordinatum, per vim suscipiemus. Absit ut hoc fiat, o Rex Christe! et si tale quid contigerit, veritatis Deum præsidem testantes, vel potius illum ipsum, qui nunc ab ipsis maledictis et blasphemis appetitur, usque ad sanguinem resistemus: et quomodo pro patria, ita multo magis pro recta fide libenter animas profundemus, etiamsi ipsa sancta loca igni perdenda visuri sumus, Quid

(31) Epistolæ hæc referuntur a Baronio ad an. Ch. 511. Ejusdem spiritus et zeli exstat epistola S. Sabæ ad imperatorem quæ an. Christ. 513 refertur a Baronio: licet non constet, quo quæque tempore fuerit scripta.

enim opus esse solo nomine, quando ipsa sacra revera afficiuntur contumelia? Nos ergo (32) nequaquam admittemus aliquid sentire, tantum abest ut dicere, quod discrepet a sanctis et œcumenicis conciliis. Ex quibus primum quidem ornatur trecentis decem et octo Patribus, qui cum adversus Arium in sancto Spiritu Niceæ convenissent, anathemati miserum subjiciunt, et a corpore abscindunt ecclesiastico, alienantem a Patris essentia eum, qui est natura Filius, et introducentem dogmata aliena a recta fide. Secundum autem impulsu divino congregatum adversum Macedonium, qui ipse quoque scelerate loquebatur adversus bonum Spiritum, eum abdicat. Tertium autem adversus profanam et exsecrandam linguam Nestorii, qui ipse quoque absurda erat locutus adversus Christi carnis susceptæ consilium, pulchre Ephesi convenit. Post hæc, quod fuit, etiam Chalcedone sexcentorum et triginta divinorum Patrum: qui cum etiam ea dixissent, quæ conveniebant prioribus, et qui illi dixerant, adhuc accuratius exposuissent, infelicem et exsecrandum Eutychem una cum Nestorio abscindunt a corpore Ecclesiæ, et fidem confirmant apostolicam: et quicunque non ita sentiebat, decernunt esse alienum ab Ecclesia. Adversus hæc et ignis accendatur, et ensis acuatur, et mors quoque nobis acerba afferatur, imo vero, si fieri possit, pro una innumerabiles; nos vero nunquam prodemus veram religionem, neque ea, quæ recte placuerunt Patribus, ea abrogando probro afficiemus. Testes sint eorum sudores, quos pro fide susceperunt, et multæ dimicationes. Sed ea manebunt firma et immobilia, et apud nos, et apud eos, quos fas est et Deum et nos sequi. Pax autem Dei, quæ superat omnem mentem, sit custos et dux tuæ potentiæ.

50. Cum hanc imperator accepisset epistolam, mittens et vim afferre, et conari persuadere, se potius submittens, aggressus est se de iis excusare, quorum accusabatur, et sic composuit epistolam: Hujus innovationis, o homo Dei, nos non sumus auctores. Testem confidenter invocamus, qui omnia cernit, Dei oculum: sed ab illis oritur hic motus, quos, plus quam alii, oportebat hæc honorare silentio. Nunc autem cupientes singuli primi videri et dicendi facultate et dignitate, seipsos feriunt, et nos ad se invicem attrahunt. Quid nos ergo aliud oportet facere, quam, dum ii moventur, nos non simul moveri, sed quietem amplecti: ut sic persuadere possimus eis, qui hic movere statuerint, dimissa tali contentione, una nobiscum quiescere? Omnino enim tuam non latet pietatem, quod quidam monachi et clerici, qui rectam fidei sibi vindicant sententiam, hæc movere scan-

A πίστεως ἡδέως τὰς ψυχὰς προσόμεθα, κἂν αὐτοὺς δὴ τοὺς ἁγίους τόπους πυρὶ θεασώμεθα φθειρομένους. Τί γὰρ δὴ καὶ ὄφελος ὀνόματος μόνου, ὅταν αὐτὰ γοῦν τὰ ἱερὰ πράγματα καθυβρίζηται; Οὐ μὲν οὖν ἡμεῖς ἀπᾷδον τι τῶν τεσσάρων ἁγίων καὶ οἰκουμενικῶν συνόδων φρονῆσαι, μήτι γε καὶ εἰπεῖν ὅλως παραδεξόμεθα· ὧν ἡ μὲν πρώτη τοῖς τριακοσίοις δέκα καὶ ὀκτὼ κοσμεῖται Πατράσιν, οἳ κατὰ Ἀρείου ἐν ἁγίῳ Πνεύματι περὶ τὴν Νικαίαν συνελθόντες, ἀναθέματι τὸν ἄθλιον ὑποβάλλουσί τε καὶ τοῦ ἐκκλησιαστικοῦ σώματος ἀποτέμνουσιν, ἀλλοτριοῦντα τῆς τοῦ Πατρὸς οὐσίας τὸν φύσει Υἱὸν, καὶ ἀλλότρια τῆς ὑγιοῦς πίστεως δογματίζοντα. Ἡ δευτέρα δὲ κατὰ Μακεδονίου θεοκινήτως συναθροισθεῖσα, πονηρὰ καὶ αὐτὸν κατὰ τοῦ ἀγαθοῦ φθεγγόμενον πνεύματος ἐκ- B κηρύττει. Καὶ ἡ τρίτη δὲ κατὰ Νεστορίου τῆς βεβήλου γλώττης καὶ μιαρᾶς ἄτοπα καὶ αὐτοῦ κατὰ τῆς οἰκονομίας Χριστοῦ φθεγξαμένου ἐν Ἐφέσῳ καλῶς συνελήλυθεν. Ἐπὶ τούτοις καὶ ἡ ἐν Καλκηδόνι τῶν ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων, οἳ καὶ αὐτοὶ συνῳδὰ τοῖς προλαβοῦσιν εἰπόντες, καὶ τὰ ἐκείνων ἔτι ἐξακριβώσαντες, Εὐτυχῆ τὸν ἀτυχῆ καὶ κατάπυστον ἅμα Νεστορίῳ τοῦ ἱερου τῆς Ἐκκλησίας ἐκκόπτοησι σώματος, τὴν ἀποστολικήν τε διακρατύνουσι πίστιν, καὶ πάντα τὸν μὴ οὕτω φρονοῦντα ξένον εἶναι τῆς Ἐκκλησίας Χριστοῦ δογματίζουσι. Πρὸς ταῦτα καὶ πῦρ ἁπτέσθω, καὶ ξίφος θηγέσθω, ἐπαγέσθω δὲ καὶ ὁ πικρὸς καθ' ἡμῶν θάνατος, μᾶλλον δὲ ἀνθ' ἑνὸς, ἂν ἐγχωροῦν ᾖ, μυρίοι· ὡς οὔποτ' ἂν προδῶμεν ἡμεῖς τὴν εὐσέβειαν, οὐδὲ τὰ καλῶς δόξαντα τοῖς Πατράσι τῷ ἀθετεῖν ἀτιμάσο- C μεν. Οὐ μὰ τοὺς ὑπὲρ τῆς πίστεως αὐτῶν ἱδρῶτας, καὶ τὰ πολλὰ σκάμματα, ἀλλὰ μενεῖ ταῦτα καὶ παρ' ἡμῖν καὶ παρ' οἷς ὅσιον ἀκολουθεῖν Θεῷ τε καὶ ἡμῖν ἀκίνητα. Ἡ δὲ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φύλαξ εἴη καὶ ὁδηγὸς τοῦ κράτους σου.

ν'. Ταύτην δεξάμενος ὁ βασιλεὺς τὴν ἐπιστολὴν, εὐθὺς γοῦν τὸ βιάζεσθαι καὶ τὸ πειρᾶσθαι πείθειν ἀφεὶς, εἰς ἀπολογίαν μᾶλλον διὰ Γραφῆς ὑπὲρ ὧν ᾐτιᾶτο πρότερον ὑφειμένως ἐχώρει, καὶ οὕτω πως συνέταττε τὴν ἐπιστολήν. Τῆς καινοτομίας ταύτης, ὦ ἄνθρωπε τοῦ Θεοῦ, οὐχ ἡμεῖς αἴτιοι· μάρτυρα θαῤῥοῦντες ἐπικαλούμεθα τὸν πάντα βλέποντα τοῦ Θεοῦ ὀφθαλμόν· ἀλλὰ παρ' ἐκείνων ἡ τουτων κίνησις οὓς ἔδει μᾶλλον τῶν ἄλλων σιωπῇ ταῦτα τιμᾷν. D Νῦν δὲ ὀρεγόμενοι τοῦ πρῶτος αὐτῶν ἕκαστος δυνάμει τε λόγου καὶ ἀξιώματι φαίνεσθαι, ἀλλήλους τε βάλλουσι, καὶ ἡμᾶς πρὸς ἑαυτοὺς ἀνθέλκουσι. Τί οὖν ἕτερον ἡμᾶς χρὴ ποιεῖν, ἢ τούτοις κινουμένοις μὴ συγκινεῖσθαι, ἀλλὰ τὴν ἡσυχίαν ἀσπάζεσθαι; ἵν' οὕτω πεῖσαι δυνηθῶμεν καὶ τοὺς ταῦτα προειρημένοος κινεῖν, ἀφεμένους τοιαύτης ἐρεσχελίας νοῦν ἡσυχάζεεν ἡμῖν. Πάντως γὰρ οὐκ ἄδηλον τοῦτο τῇ σῇ θεοσιβείᾳ, ὡς μοναχοί τινες καὶ κληρικοὶ ὀρθοδοξίας

(32) S. Sabas in sua ad imperat epistola: « Nos ergo nec patiemur aliquid aliud addere præter ea quæ decreta sunt a trecentis decem et octo Patribus qui fuerunt Nicææ, et tribus, quæ postea consecutæ sunt, synodis, nec quidquam aliter innovare; sed pro eis etiam animas profundere, et innumerabiles, si fieri possit, mortes parati sumus suscipere. »

δῆθεν ἀντιποιούμενοι, τὰ τοιαῦτα σκάνδαλα κεκινή- A κασιν, ἑαυτοὺς δεῖξαι σπουδάζοντες, ὥσπερ ἔφημεν, ἐπειλῆφθαι τῶν πρωτείων ἐν τῷ ταῦτα εἰδέναι, καὶ τὸ μυστήριον καὶ τὴν πίστιν τοῖς στόμασιν αὐτῶν περιφέρειν. Ἅπερ ἀνθρώποις ἀκατάληπτα ὄντα, οὐδὲν ἕτερον ἢ ψεύστας ἐκείνους καὶ συκοφάντας ἀποδεικνύουσιν· ὅθεν καὶ μεγάλη ἡμῖν ἀπὸ Θεοῦ ἀγανάκτησις, ἀνθ' ὧν νομίζομεν τὸ μυστήριον, οὐ μυστήριον εἶναι, οὐδὲ καὶ ἐκ πίστεως συνεστάναι μόνης, ἀλλ' ἐξ ἀτόπων φλυαριῶν, καὶ κατηγοροῦμεν τῶν διδαξάντων ἡμᾶς πίστει καὶ μυστηρίῳ τὰ θεῖα σέβεσθαι. Ὑπερεύξασθαι οὖν τῆς Ἐκκλησίας εἴπερ ποτὲ καὶ νῦν ὑμᾶς χρὴ, φιλανθρώποις ὄμμασι τὸν Θεὸν ἐπιβλέψαι, καὶ εἰρήνην ταῖς Ἐκκλησίαις αὐτοῦ βραβεῦσαι κακῶς οὕτω διῃρημέναις διὰ τὴν τῶν προέδρων αὐτῶν προαίρεσιν. Αἱ δὲ σταλεῖσαι παρ' B ὑμῶν εὐλογίαι ἡδέως ἄγαν ἡμῖν ἐδέχθησαν, καὶ τὴν ἡμετέραν προαίρεσιν ὅπως ἔχει ἀναγγέλλουσιν οἱ παρ' ὑμῶν ἀπεσταλμένοι εὐλαβεῖς μοναχοί. » Καὶ οὕτω μὲν ἡ ἐπιστολή.

να'. Ἀλλὰ τὸν ταῦτα γράψαντα βασιλέα καὶ μικρὸν τότε τῆς μανίας ἐνδεδωκότα, στήσαντα δὲ καὶ τὸν κατὰ τῆς ὀρθῆς δόξης, μᾶλλον δὲ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς πόλεμον, οὐ πολὺ τὸ ἐν μέσῳ καὶ μετάνοια λαμβάνει δεινή· καὶ καθαπερεὶ μεταμεληθέντα, εἰ καὶ μικρὸν ὅλως εὐσεβεῖν προείλετο, πολλήν τε εὐκολίαν ἑαυτοῦ κατεγίνωσκε, καὶ πρὸς τὰ πρότερον ἐπανῄει. Ἔργον γὰρ ἀληθῶς, ὡς ὁ λόγος, ὄνον ἀποτρέψαι κνώμενον. Πάλιν οὖν κατὰ τῆς εὐσεβείας προγράμματα, καὶ πάλιν ὁ γεννάδας οὗτος μάρτυς αἱμάτων χωρὶς, εἴγε τὰς προαιρέσεις, ἀλλὰ μὴ C τὰς τῶν πραγμάτων ἐκβάσεις προσήκει σκοπεῖν.

A dala, seipsos, ut diximus, studentes ostendere primas obtinere partes in harum rerum cognitione; et quod mysterium et fidem in ore suo circumferant. Quæ quidem cum non possint comprehendi ab hominibus, nihil aliud quam illos mendaces ostendunt et sycophantas. Ex quo etiam proficiscitur magna Dei in nos indignatio, eo quod existimamus mysterium non esse mysterium, nec ex sola fide consistere, sed ex absurdis nugis: et condemnamus eos, qui nos docuerunt fide et mysterio divina venerari. Vos ergo nunc quoque oportet, si unquam, orare pro Ecclesia, ut nos benignis oculis aspiciat, et pacem suis conciliet Ecclesiis, quæ tam male sunt divisæ propter studia ipsorum præsulum. Quæ autem a B vobis missæ sunt eulogiæ, eas admodum libenter suscepimus: nostrum autem quale sit institutum, annuntiabunt pii monachi, qui a vobis missi sunt. » Et hoc quidem modo se habuit epistola.

51. Verum imperatorem, qui hæc quidem scripserat, et tunc de furore paululum remiserat, et bellum quod adversus rectam opinionem vel suum potius caput gerebat, represserat; non multo interjecto spatio, gravis subit pœnitentia: et perinde ac si eum pœniteret, quod omnino parum esse pius statuisset, et se facilitatis nimiæ condemnaret, ad priora est reversus. Difficile enim est, ut est in proverbio, asinum confricantem avertere. Rursus ergo edicta adversus pie- C tatem; rursusque egregius martyr citra sanguinem; siquidem consideranda est voluntas, et non rerum exitus.

CAPUT XIII.

Zelus, et exsilium fidei causa.

νβ'. Πάντων γὰρ ἀμηχανούντων καὶ ἀπορούντων, καὶ τῶν μὲν τῇ βλασφημίᾳ συνηγορούντων, τῶν δὲ καὶ δαψιλῶς ἀντιλέγειν ὀκνούντων, ἴσως δὲ καὶ τῆς ἐν τούτῳ παῤῥησίας τῷ κοινῷ Πατρὶ παραψωρούντων, καὶ ὥσπερ στρατηγοῦ περιμενόντων τὸ σύνθημα, τότε δὴ, τότε δῆλον καθίσταται, ὁποῖα οὖν καὶ τὸ γῆρας, ὅταν τῷ ζήλῳ ῥωννύηται, πρὸς τοὺς ὑπὲρ τοῦ καλοῦ κινδύνους νεανιεύεται· γραμμάτων ἐκείνων καὶ θεσπισμάτων ὀλιγωρήσας, ἀπειλῶν τε μυρίων, ὄχλων τε τὰ βασιλέως ἐν ἴσῳ καὶ τὰ θεῖα δυσωπουμένων, καὶ στρατιωτῶν τοὺς τοιοῦτόν τι φθεγξαμένους ἐπιτηρούντων, πάντων ἐκεῖνος τούτων οἷα κενῶν ψόφων, καταφρονήσας, καὶ οὐκ αὐτοῦ μᾶλλον, ἀλλὰ παίδων εἶναι εἰπὼν τοιαύτας ὑποφρίττειν βροντὰς, λέοντος ὑποδὺς ὅρμημα, καὶ εἰς τὸ D τοῦ Θεοῦ ἱερὸν εἰσελθὼν, ἐπ' ὀκρίβαντός τε ἀναβὰς, οὗ τὰς ἀναγνώσεις τοὺς ἱερεῖς ποιεῖν σύνηθες, τῇ χειρὶ σιγὴν τῷ πλήθει σημήνας καὶ τὴν φωνὴν ἐπάρας· Εἴ τις, ἔφη, τὰς τέσσαρας ἁγίας συνόδους μὴ ἐπίσης τοῖς τέσσαρσιν Εὐαγγελίοις ἡγοῖτο,

52. Cum omnes essent plane consilii inopes et dubii quid agerent; et alii quidem blasphemiam(33) defenderent, alii autem vererentur vel solummodo contradicere; fortasse autem etiam hac in re communi Patri, dicendi libertate cederent, et veluti ducis signum exspectarent: tunc tunc evadit manifestum, qualis etiam senectus, quando zelo confirmatur, se fortiter et juveniliter gerit adversus ea, quæ pro bono et honesto suscipiuntur pericula. Contemptis enim illis scriptis et decretis, minisque innumerabilibus, turbaque quæ imperatorem et Deum ex æquo reverebatur, militibusque qui eos observarent, qui essent tale quid dicturi; illis omnibus contemptis, tanquam vanis strepitibus, et D dicens non esse suum, sed puerorum talia horrere tonitrua, leonis suscipiens impetum, cum Dei templum esset ingressus, et suggestum conscendisset, in quo solent legere sacerdotes, manu populo significans silentium, vocemque attollens: Si quis, inquit, quatuor sanctas synodos non tanti esse exi-

(33) Cedrenus scribit multos episcopos, in gratiam imperatoris, Chalcedonense concilium impugnasse.

stimat, quanti quatuor Evangelia, sit anathema. Hæc cum dixisset, et tanquam angelus populum adduxisset in admirationem, et vocem omnibus ademisset præ miraculi magnitudine, silentio procedit per medium eorum tacentium et tanquam dormientium, et existimantium se somnium videre, non autem vere id quod fiebat. Et fuit hoc quidem viri stratagema : ex quo dictas quoque sanctas synodos in sacris diptychis collocare statuerunt.

53. Cum post hæc autem nihil esset cunctatus, et nec parum quidem substitisset, obiit civitates quæ erant circumcirca, discipulos et alios zelotas ex solitudine, veluti quidam dux (34) exercitus, eos qui sub se erant, inducens, primus canos, primus etiam ostendens promptum animi studium: omnes obiens, factus omnia omnibus, certiores reddens eos qui dubitabant, adhuc confirmans eos, qui erant stabiles; eos excitans, qui erant socordiores, eorum qui erant prompto et alacri animi studio, augens diligentiam ; addens animum iis, qui extimescebant ; adhortans eos, qui decertabant; terrens adversarios, quod tam esset magno ac generoso animo, ut ad eum non pateret aditus; medicinæ celeritate omnem hæreticum morbum præveniens ; docens omnes, quod Dei Verbum esset quidem idem simul Deus et homo, una autem hypostasis sive persona, utrumque eorum habens natura, divinitatem scilicet et humanitatem.

54. Ad ea autem, quæ dicta sunt, probanda adduxit illam sanctam synodum œcumenicam (35), qua ipsa quoque de Christo sic agit, et ea ratione effugit declinationes hæreticorum, quæ fiunt in utramque partem. Nam eo, inquit, quod unam confiteatur personam, repellit impiam Nestorii hæresim : eo autem, quod non neget duas naturas, Eutychetis et Dioscori magis impiam exturbat hæresim : neque similiter, ut Nestorius, Christum unum dividens in duos filios et hypostases ; neque similiter ac Eutyches, et Dioscorus, et etiam Severus (36), in unam confundens naturam, unius scilicet Christi divinitatem et humanitatem. Nam plus quam par sit habet unusquisque eorum: unus quidem fugiens divisionem, alter vero conjunctionem : ille quidem ad hoc ut duos diceret filios ; alii vero, ut ne unum quidem proprie filium faterentur, misere exciderunt. Nam Nestorio quidem, quoniam utique timebat confusionem, venit in mentem, ut diceret habitudine solum et dignitate seu auctoritate factam esse divinitatis conjunctionem

A ἀνάθεμα ἔστω. Ταῦτα εἰπὼν, καὶ ὥσπερ ἄγγελος καταπλήξας τὸ πλῆθος, πάντων τε τὴν φωνὴν ἀφελὼν τῷ μεγέθει τοῦ θαύματος, σιγῇ διὰ μέσων αὐτῶν σιγώντων ἐχώρει, καθαπερεὶ καθευδόντων καὶ ὄναρ βλέπειν οἰομένων, οὐχ ὡς ἀληθῶς τὸ γενόμενον. Καὶ τοῦτο μὲν τοιοῦτο τοῦ ἀνδρὸς στρατήγημα, ἀφ' οὗ δὴ καὶ τὰς εἰρημένας ἁγίας συνόδους ἐν τοῖς ἱεροῖς διπτύχοις ἐξ ἐκείνου τάττειν ἐνόμισαν.

νγ'. Μετὰ δὲ ταῦτα μηδὲν μελλήσας, μηδὲ μικρὸν ἐπισχὼν τὰς πέριξ διῄει πόλεις, τοὺς φοιτητὰς καὶ ἄλλους ζηλωτὰς ἐκ τῆς ἐρημίας, καθάπερ τις στρατηγὸς, τοὺς ὑπ' αὐτὸν ἐπαγόμενος, ὁ πρῶτος τὴν πολιὰν, πρῶτός τε τὴν προθυμίαν ἐπιδεικνύμενος· B πάντας περιϊὼν, πᾶσι τὰ πάντα γινόμενος, τοὺς ἀμφιβόλους πληροφορῶν, τοὺς βεβαίους ἐπιστηρίζων, διανιστῶν τοὺς ῥαθυμοτέρους, τῶν προθύμων ἐπιτείνων τὴν ἐπιμέλειαν, τοὺς δειλιῶντας ἐπιθαῤῥύνων, τοῖς ἀγωνιζομένοις ἐγκελευόμενος, φοβῶν τοὺς ἀντιπάλους τῷ ἀπροσίτῳ τῆς γενναιότητος, πᾶσαν αἱρετικὴν προκαταλαμβάνων νόσον τῷ τάχει τῆς ἰατρείας, διδάσκων ἅπαντας, ὡς ὁ τοῦ Θεοῦ Λόγος εἴη μὲν αὐτὸς ὁμοῦ Θεὸς καὶ ἄνθρωπος, μία δὲ τούτου ὑπόστασις, εἴτ' οὖν πρόσωπον, φύσει τούτων ἑκάτερον ἔχουσα τὴν θεότητα δηλαδὴ καὶ τὴν ἀνθρωπότητα.

νδ'. Ἱκανὴν δὲ πιστώσασθαι τὰ εἰρημένα καὶ τὴν C ἁγίαν ἐκείνην καὶ οἰκουμενικὴν παρήγαγε σύνοδον, οὕτω πρεσβεύουσαν ὑπὲρ Χριστοῦ καὶ αὐτὴν, καὶ ταύτῃ τὰς ἐπ' ἀμφότερα τῶν αἱρετικῶν παρατροπὰς διαφεύγουσαν. Τῷ μὲν γὰρ ἓν, φησὶ, πρόσωπον ὁμολογεῖν, τὴν δυσσεβῆ τοῦ Νεστορίου αἵρεσιν διωθεῖται· τῷ δὲ τὰς δύο φύσεις μὴ ἐξαρνεῖσθαι, τὴν ἔτι δυσσεβεστέραν Εὐτυχοῦς τε καὶ Διοσκόρου συναίρεσεν ἀποκρούεται· μήτε κατὰ Νεστόριον εἰς υἱοὺς δύο καὶ ὑποστάσεις ὁμοίως τὸν ἕνα διαιροῦσα Χριστὸν, μήτε μὴν Εὐτυχῇ καὶ Διοσκόρῳ, πρὸς δὲ καὶ Σευήρῳ παραπλησίως, εἰς μίαν συγχέουσα φύσιν, τὴν τοῦ ἑνὸς Χριστοῦ θεότητά τε καὶ ἀνθρωπότητα. Πλέον γὰρ ἢ καλῶς ἔχει τούτων ἕκαστος, ὁ μὲν τὴν διαίρεσιν, ὁ δὲ τὴν συναίρεσιν ἀποφεύγων· ὁ μὲν εἰς τὸ δύο λέγειν υἱοὺς, οἱ δὲ εἰς τὸ μηδὲ D τὸν ἕνα κυρίως ὁμολογεῖν ἀθλίως ἐξέπεσον. Νεστορίῳ μὲν γὰρ τῷ δεδιέναι δῆθεν τὴν σύγχυσιν, σχέσει μόνον ἐπῆλθεν εἰπεῖν καὶ ἀξίᾳ εἴτ' οὖν αὐθεντίᾳ τὴν τῆς θεότητος ἕνωσιν γενέσθαι τῇ ἀνθρωπότητι, ὥστε μετὰ τῶν φύσεων καὶ ὑποστάσεις πάνυ δυσ-

(34) Hæc refert Baronius ad an. Ch. 511, ubi n. 36, ita exclamat : « Hoc certamen magni Theodosii, quem vita angelis haud impar, et in editione signorum ac propugnatione catholicæ veritatis, apostolis comparanda, mirifice nobilitavit. Ita plane decuit præconem veritatis hujuscemodi confessionis insignibus decorari, » etc.

(35) Chalcedonensem intelligit

(36) Hic plenius describitur in Vita S. Sabæ, in cujus epist. citata appellatur « omnium malorum auctor atque origo. » Idem, « Clementino et Probo coss. an. Chr. 513, Eutychetis perfidiæ cultor, Anastasio Cæsare volente, sedem Flaviani antistitis, ex monacho factus episcopus, occupavit. » Ita Marcellinus in Chron. Hujus in monachos Syriæ dira persecutio et carnificina refertur in epistola ad Hormisdam papam scripta ab archimandritis et monachis secundæ Syriæ; exstat ea cum subscriptis nominibus inter epistolas Hormisdæ.

σεβῶς δύο, καὶ δύο υἱοὺς πρεσβεύειν, ἕνα μὲν τὸν ἐκ τοῦ Πατρὸς Θεὸν γεννηθέντα ἰδίᾳ καὶ ἀνὰ μέρος, ἕτερον δὲ τὸν ἐκ τῆς ἁγίας Παρθένου χάριτι μόνον αὐτῷ περιάπτων τὸ τῆς υἱοθεσίας ἀξίωμα.

νε'. Εὐτυχὴς δὲ καὶ Διόσκορος, καὶ μέντοι καὶ Σεύηρος, ὁ τούτοις ἑαυτὸν ἄρτι παραζεύξας καὶ κοινωνῆσαι τῆς ἀσεβείας ἑλόμενος, τὴν ἀτοπωτάτην ὥσπερ ἐθέλοντες ἀναιρεῖν τοῦ Νεστορίου διαίρεσιν, κακῷ τὸ κακὸν ἰῶνται, καὶ σύγχυσιν καὶ αὐτοὶ πάλιν ἀνοήτως ἐπιτολμῶσι, μίαν καὶ τὴν αὐτὴν ὀνομάζοντες φύσιν θεότητός τε καὶ ἀνθρωπότητος, καὶ εἰς πάθος τό γε εἰς αὐτοὺς ἧκον, μὴ ὀκνοῦντες κατάγειν τὸ ἀπαθὲς τῆς θεότητος. Εἰ γὰρ μία κατ' αὐτοὺς ἡ τοῦ Χριστοῦ φύσις, ὁ δὲ Θεὸς καὶ ἄνθρωπος ἀτεχνῶς, κεκοινώνηκεν ἄρα θανάτου καὶ ἡ θεότης. Ἀλλ' ἐμφραγείη τούτοις τὰ μιαρὰ στόματα, καὶ κακοὶ κακῶς αὐτοῖς δόγμασιν ἀπολέσθωσαν. Ἐπιτιμάτω δὲ αὐτοῖς καὶ ὁ μακάριος Πέτρος, Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκὶ λέγων, ἀλλ' οὐχὶ καὶ θεότητι προστιθείς. Εἰ γὰρ καὶ κατ' οὐσίαν ἡ τοῦ Χριστοῦ θεότης πασχούσῃ, ἥνωτο τῇ σαρκὶ, ἀλλ' οὐχὶ καὶ κοινωνός οὐμενοῦν αὐτῇ τοῦ πάθους ἐγίνετο· πῶς γάρ; ἐπεὶ παντάπασιν ἀπαθὲς το Θεῖον. Τοιγαροῦν ὀρθῶς ἄγαν καὶ ἀσφαλῶς ὑπὸ τῆς ἱερᾶς ταύτης ἐκυρώθη συνόδου, δύο φύσεις θεότητος τε καὶ ἀνθρωπότητος ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως ἐν μιᾷ τιμᾶσθαι τῇ ὑποστάσει, τὸν αὐτὸν πρὸ αἰώνων μὲν ἐκ τοῦ Πατρὸς κατὰ τὸν τῆς θεότητος δηλαδὴ λόγον, ἐπ' ἐσχάτων δὲ πάλιν ἐκ τῆς ἁγίας Παρθένου γεννηθέντα, νόμῳ καινοτέρῳ τῆς ἀνθρωπότητος, ὅμοιον τῷ Πατρὶ καὶ τῇ Μητρὶ κατὰ τὴν οὐσίαν, ἀμήτορα τὸν αὐτὸν καὶ ἀπάτορα, τὸ μὲν ἀπὸ τῆς κάτω γεννήσεως, τὸ δὲ ἀπὸ τῆς ἄνω καλῶς γινωσκόμενον, μονογενῆ καὶ πρωτότοκον, τὸ μὲν κατὰ τὴν τῆς θεότητος φύσιν, οὐδὲ γὰρ ἀδελφὸς αὐτῷ κατ' αὐτήν, τὸ δὲ κατὰ τὴν τῆς ἀνθρωπότητος οὐσίαν· πολλοὶ γὰρ οἱ μετ' αὐτὸν υἱοθετηθέντες τῷ Πατρὶ διὰ τοῦ βαπτίσματος.

νς'. Ταῦτα τοιγαροῦν καὶ τὰ τούτοις ὅμοια διδάσκων ἐκεῖνος ἐλευθέρᾳ γλώττῃ καὶ παῤῥησίᾳ καλῶς ὑποτεθηγμένῃ, ἐπεὶ πλέον ἀνῆπτε τῷ βασιλεῖ τὸν θυμὸν, ἀειφυγίαν ὑπ' αὐτοῦ κατακρίνεται· ὑπ' ἐκείνου, φεῦ, τοῦ τὴν ἄφευκτον ἐξομίαν ἤδη τὴν ἑαυτοῦ, καὶ τὴν ἐντεῦθεν, μετάστασιν ἥκουσαν ἀγνοοῦντος. Καὶ διὰ τοῦτο αὐτὸς μὲν τῆς ζωῆς νῦν γοῦν τῆς παρούσης, ὁ δὲ θεῖος οὗτος ἀνὴρ τῆς φυγῆς εὐθὺς ἀπαλλάττεται· καὶ ὁ σφοδρὸς κλύδων ἐκεῖνος ταῖς Ἐκκλησίαις κοιμίζεται νεύσει πάντως τοῦ ποιοῦντος κρίμα τοῖς ἀδικουμένοις καὶ δόγματι θειοτέρῳ. Καὶ οἱ μὲν λῃστρικῶς ταύταις ἐπιπηδήσαντες, ὃ δρᾷν ἔμελλον αὐτοὶ πεπόνθασι μᾶλλον, ὥσπερ ὀστράκου, φασὶ, μεταπεσόντος καὶ ὑπερορίᾳ κατεδικάζοντο.

A cum humanitate : adeo ut cum naturis duas quoque valde impie defenderet hypostases, et duos introduceret filios, unum quidem Deum, genitum ex Patre seorsum et separatim, alterum vero, qui ex sancta Virgine, per gratiam solum ei tribuens dignitatem adoptionis.

55. Eutyches autem Dioscorus, atque etiam Severus, qui se eis nuper adjunxit, et impietatis elegit esse particeps, ut qui vellent absurdissimam Nestorii tollere divisionem, malum malo medicantur: et ipsi quoque rursus stulte audent introducere confusionem, unam et eamdem nominantes naturam divinitatis et humanitatis, et ad passionem, quantum ad eos attinebat, non verentes deducere impatibilem divinitatem. Si enim eorum sententia una B est Christi natura, is autem est revera Deus et homo, fuit ergo divinitas mortis quoque particeps. Sed scelerata his ora obstruantur, et mali male cum suis pereant dogmatibus. Eos autem increpat beatus quoque Petrus, *Christo passo pro nobis carne*, dicens [23], sed non addens, divinitate. Nam etsi quod attinet ad essentiam, unita erat Christi divinitas carni patienti, non fuit tamen ipsa socia passionis. Nam quomodo esset? est enim divinitas omnino impatibilis. Recte ergo et secure prædicatum est ab hac sancta synodo, duos naturas divinitatis et humanitatis, inconfuse, immutabiliter, citra divisionem, in una honorari persona: eumdem ante sæcula quidem genitum ex Patre, quod attinet quidem ad divinitatem ; in extremis autem C rursus temporibus natum ex sancta Virgine, recentiori lege humanitatis : patri et matri similem essentia; eumdem sine patre et sine matre: ut qui illud quidem pulchre esse cognoscatur ex ea, quæ inferne fuit, generatione, hoc vero ex ea, quæ superne, unigenitum, et primogenitum: illud quidem, quod attinet ad naturam divinitatis : neque enim, quod ad eam attinet, est ei frater; hoc vero, quod attinet ad essentiam humanitatis : multi enim post eum fuerunt a Patre in filios adoptati per baptisma.

56. Hæc ergo et his similia docens illa lingua libera, et quam acuerat confidenter loquendi audacia, quoniam imperatorem ad iram magis provocaverat, ab eo perpetuo damnatur exsilio: ab eo, inquam, qui jam inevitabilem suam exterminationem, et D quæ hinc erat futura, venientem ignorabat migrationem. Et ideo ipse quidem a vita tunc præsente (57), hic autem vir divinitus liberatur statim ab exsilio; et vehemens ille fluctus sedatur Ecclesiis, nutu ejus plane qui facit judicium iis, quibus fit injuria, et diviniore decreto. Et qui in eas quidem prædonum instar impetum fecerant, quod facturi erant, ipsi passi sunt: et testa, ut est in proverbio, conversa damnati sunt exsilio. Qui autem

[23] I Petr. IV, 1.

(57) Interiit fulmine, ut plerique scribunt, examinatus, anno 518 feria 5 majoris hebdomadæ 11 Aprilis. Successit illi Justinus anno eodem 9 Julii.

expulsi fuerant e suis sedibus, in eas gloriose sunt restituti, et gregi suo unusquisque redditus est mirabiliter.

A Οἱ δέ γε τῶν οἰκείων ἀπελαθέντες, ἐπ' αὐτοὺς πάλιν εὐκλεῶς ἀνεσώζοντο, καὶ τῇ ποίμνῃ τούτων ἕκαστος τῇ ἰδίᾳ θαυμαστῶς ἀπεδίδοντο.

57. Sic ille conservatus, non iis solum, qui aderant et spectabant certamina, sed iis etiam, qui omnino longe erant remoti, fuit admonitio et zelus ad virtutem. Nam cum de eo intellexissent, et qui veteris Romæ sedem pulchre tenebat, (iis autem erat Agapitus (38) et qui Antiochenam sedem regebat Ephraim (39); ipsi quoque litteris rectam fidem prædicabant: in quibus multa quoque sunt ad laudem hujus beati composita, quæ non minorem afferebant gloriam iis, qui scripserant, quam ei qui laudabatur; quod non ad gratiam, sed plane ad veritatem fieret laudatio. Quoniam autem difficile est recensere omnia ejus certamina pro fide orthodoxa, oportet illud in summa dicere, quod ipsi quoque cum Propheta 24 inimicos Christi odisse mirabiliter inerat: maxime autem ostendebat se aversari Origenem (47), qui existimavit suum in hoc ponendum studium, ut divinæ apostolorum prædicationi nugas contexeret gentilium, et luderet in rebus minime ludicris.

νζ'. Οὕτως ἐκεῖνος διασωθεὶς οὐ τοῖς παροῦσι μόνον καὶ θεαταῖς τῶν ἀγώνων, ἀλλὰ καὶ τοῖς πόῤῥω πάμπολυ διεστηκόσιν ὑπόμνησις πρὸς ἀρετὴν καὶ ζῆλον κατέστη. Ἐπεὶ γὰρ ἤδη τὰ κατ' αὐτὸν ἔμαθον ὅ τε τῆς πρεσβυτέρας Ῥώμης τοῖς θρόνοις ἐμπρέπων, Ἀγάπιος οὗτος ἦν, ὅ τε τῶν τῆς Ἀντιοχέων ἐπειλημμένος Ἐφραΐμ, γράμμασι καὶ αὐτοὶ τὴν ὀρθὴν ἀνεκήρυττον δόξαν, ἐν οἷς καὶ πολλὰ τῷ μακαρίῳ πρὸς ἔπαινον συνετέθη τοῖς γράψασιν οὐδὲν ἧττον ἢ τῷ ἐπαινουμένῳ τὸ κλέος περιποιοῦντα, τῷ μὴ πρὸς χάριν, ἀλλὰ σαφῶς πρὸς ἀλήθειαν γενέσθαι τὴν εὐφημίαν. Ἐπεὶ δὲ χαλεπὸν καὶ κατὰ μέρος τὰ B ὑπὲρ τῆς ὀρθοδοξίας αὐτοῦ παλαίσματα καταλέγειν, ἐκεῖνο δεῖ συνελόντας εἰπεῖν, ὅτι καὶ αὐτῷ μετὰ τοῦ Προφήτου τοὺς ἐχθροὺς μισεῖν τοῦ Χριστοῦ διαφερόντως ἐπῆν· μάλιστα δῆλος ἦν τὰ Ὠριγένους ἀπεστραμμένος, ὃς τῷ θείῳ τῶν ἀποστόλων κηρύγματι λήρους συνείρειν Ἑλλήνων, καὶ αὐτὸ τοῦτό παίζειν ἐν οὐ παικτοῖς σπουδῆς ἄξιον ἐλογίσατο.

CAPUT XIV.

Cancer miraculo curatus: frumentum multiplicatum.

58. Sed tempus est transeundi ad ea, quæ deinceps sequuntur, et hujus viri miraculis piorum ac religiosorum auribus gratificandi. Nam cum imperator impius edicta in omnes partes misisset, ut omnes, per familias, inquam, et sodalitates, in eumdem locum convenirent; congregatus quidem est hic quoque sacer cœtus, senum qui erant in solitudine insignis canities, circa locum qui dicitur C Hierateon (41), cum communi patre et filiorum amante. Est autem hoc, locus cathedræ quod fama est excitasse Constantinum, magnum inter imperatores: in quo mos est, qui perpetuo servatur, et crux veneranda quotannis exaltetur.

νη'. Πλὴν ἀλλὰ ὥρα καὶ πρὸς τὰ ἑξῆς μεταβῆναι, καὶ τοῖς τοῦ ἀνδρὸς θαύμασιν εὐσεβῶν ἀκοὰς καὶ φιλοθέων χαρίσασθαι. Τοῦ γὰρ δὴ δυσσεβοῦς βασιλέως προστάγματα πανταχοῦ διαπέμψαντος, ὥστε πάντας καθ' ἑταιρείαν, φημὶ ἐπὶ τὸ αὐτὸ συνελθεῖν, συνήχθη μὲν καὶ τὸ ἱερὸν τουτὶ σύστημα, ἡ τῶν ἐν ἐρήμῳ γερόντων ἐπίσημος πολιά, περί τὸ καλούμενον οὕτως Ἱερατεῖον, μετὰ τοῦ κοινοῦ Πατρὸς καὶ φιλόπαιδος. Τόπος δὲ τοῦτο τῆς καθέδρας ἐστίν, ὃ Κωνσταντῖνον τὸν Μέγαν ἐν βασιλεῦσιν ἀναστῆσαι λόγος· καθ' ὃν δὴ καὶ ἔτους ἑκάστου τὸν τίμιον ὑψοῦσθαι σταυρὸν ἔθος ἐκ παντὸς συντηρούμενον.

59. Quædam autem mulier, quæ morbo laborabat in mamilla (cancrum eum solent nominare medici): et jam longo tempore ab eo premebatur; et a nulla quidem abstinuerat medicina, ex ea autem nullum adjumentum ceperat, nisi quod in Deo magis sperabat, quod humana desperaret remedia. Ea cum ingressa esset per angelicam, quæ dicitur, portam,

νθ'. Γυνὴ δέ τις πάθος ἔχουσα περὶ τὸν μαζὸν (καρκῖνον τὸ πάθος ἰατρῶν παῖδες οἴδασιν ὀνομάζειν) καὶ τούτῳ συχνὸν ἤδη χρόνον πιεζομένη, τέχνης δὲ μηδεμιᾶς μὲν ἰατρικῆς ἀποσχομένη, οὐδ' ὁτιοῦν ὅλως ἐκ τούτων ἀποναμένη, ὅτι μὴ τὸ πρὸς Θεὸν ἐλπίσαι πλέον διὰ τὴν τῶν ἀνθρωπίνων ἀπόγνωσιν· αὕτη διὰ τῆς ἀγγελικῆς οὕτω καλουμένης εἰσελθοῦσα πύ-

24 Psal. CXXXIII.

(39) Græcum ms. Vatic. Ἀγάπιος. Inter hunc et S. Hormisdam, cujus tempore Anastasius obiit, intercesserunt quatuor pontifices. Colitur in Martyrol. Romano 20 Septembris, die, ut ait Baronius, translationis. Supra vero B. Theodosium jam defunctum aliquot annis, ab eo laudatum diximus.

(39) Ephræm aliis, qui cum comes Orientis esset, de voluntate Justini imperatoris factus est Antiochenus patriarcha an. Ch. 527, post convulsam terræ motu urbem. Evagrius. l. IV, c. 5. Eo munere cum laude 20 annis perfunctus, obiit an. 546. Ejus vitam et contra hæreticos zelum describit Joannes Moschus in *Prato spirituali*. c. 36.

D (40) Origenis errores ex variis breviter colligit Jacobus Gualterius noster in Tabula chronographica sæculo III c. 6. Palæstinam ab Origenistis hoc tempore infectam fuisse ostendit pluribus Cyrillus in Vita SS. Sabæ et Joannis Silentiarii. At tandem cum Severo aliisque hæreticis condemnati sunt in synodo œcumenica V.

(41) Andreas Cretensis vocat *speculam* cruci demonstrandæ et publice honorandæ ab ipso Constantino Magno deputatam, locum ecclesiæ excelsum. etc., ut scribit Gretserus noster lib. I *De sancta cruce*, cap. 73, ubi hunc de Hierateo locum explicat.

λης πλησίον τοῦ περὶ αὐτῆς χοροῦ σκυθρωπὸς ἔστη, A καὶ πρὸς ἕνα τούτων, Ἰσίδωρος ἦν ὁ θεοφιλέστατος, ἀπιδοῦσα, ὃς τῆς εὐαγοῦς τοῦ Σουκᾶ λαύρας ἦρξε, σχήματί τε καὶ βλέμματι καὶ δακρύων φορᾷ τὸ πιέζον ἰσχυρῶς τῆς ὀδύνης ὑποσημήνασα, εἶτα καὶ μᾶλλον αὐτῷ πλησιάσασα, (οὐδὲ γὰρ ἠφίει αὐτὴν τὸ ἄλγος τὴν πρέπουσαν αἰδῶ, γυναιξὶν ὡς προσῆκόν ἐστι φυλάττειν) ἠρώτα· εἰ μετὰ τῆς ἱερᾶς ταύτης πληθύος καὶ ὁ μέγας δηλαδὴ Θεοδόσιος, καὶ ὁποῖος οὗτος τὴν θέαν ἐστίν· ἱκανῶς γὰρ ἡ τοῦ ἀνδρὸς φήμη καὶ αὐτὴν ἤδη κατέσχε. Καὶ ὃς τὴν αἰτίαν μαθὼν ἧς ἕνεκεν ἡ ζήτησις ἦν, καὶ ἅμα πρὸς τὸ πάθος ἰδών, καὶ ὅπως ἀλγεινὸν ἦν καὶ μόνον ἰδεῖν, καὶ ἀποστρέφων ὄψιν τῷ πικρῷ τοῦ θεάματος, ἔπειτα καὶ εἰδὼς ὡς ἐκείνου εἴη καὶ τοῦ ἐν αὐτῷ πνεύματος λύειν τὰ τοιαῦτα τῷ ἰσχυρῷ φαρμάκῳ τῆς χάρι- B τος, ἐπεὶ μηδὲ καὶ αὐτὸς ἄπειρος ἦν τῆς ἐν Χριστῷ τοῦ ἀνδρὸς δυνάμεως, δακτύλῳ τῇ γυναικὶ δεικνύει τὸν ἰατρὸν καὶ συμβόλοις αὐτὸν ἀκριβῶς ὑπογράφει.

ξ'. Κἀκείνη ἀψοφητὶ πρόσεισι, πάνυ αὐτὸν διψῶσα, καὶ τὴν αἱμόῤῥουν ἐκείνην ἐπὶ νοῦν ἔχουσα. Ἐπεὶ δὲ καὶ ἐγγὺς ἦν, τὴν θηλὴν ἠρέμα παραγυμνώσασα, καὶ τοῦ κουκουλίου ψαῦσαι παρασχοῦσα, κλέπτει πάλιν ὡς ἐκείνη τὴν θεραπείαν, καὶ λύσιν μεγάλων πόνων ἀπονητὶ λίαν εὑρίσκει· ἅμα τε γὰρ τοῦ ῥάκους ἔψαυσε, καὶ τοῦ ἄλγους ἀπέστη, οἷόν τινος σκότους παρουσίᾳ φωτός, ἢ χόρτου λυθέντος πυρὸς προσβολῇ. Ὁ δὲ (καὶ γὰρ οὐκ εἶχεν ὅπως ἂν ἀγνοήσοι καλῶς οὕτω καὶ κατὰ πίστιν κλαπείς) ἐπεστράφητο εὐθέως, καὶ τὴν γυναῖκα ἰδὼν λύει τὸν ἐπελθόντα C φόβον ἐν ἡδονῇ μεγάλῃ τῆς θεραπείας· Θάρσει, θύγατερ, εἰπών, ὁ γὰρ ἐμὸς ἔφη Δεσπότης, Ἡ πίστις σου σέσωκέ σε. Ὁ μέντοι θεῖος Ἰσίδωρος τῇ γυναικὶ ὡς εἶχεν εὐθέως ἐπιδραμὼν ἐπόθει γὰρ καὶ ὀφθαλμοῖς αὐτοῖς τῷ θαύματι ἐντρυφῆσαι), ἔπειτα φθάσας καὶ προσβλέψας περιεργότερον ὁρᾷ τὸν μαστὸν ὑγιῶς οὕτω καὶ ἀπαθῶς ἔχοντα, ὡς μηδὲ οὐλὴν αὐτῷ μηδὲ ἴχνος ἐντετυπῶσθαι τοῦ πρὸ βραχέως λίαν χαλεποῦ τραύματος. Οὕτως ὁ Θεὸς τὴν κρυπτομένην ἀρετὴν φανεροῖ, καὶ τοὺς τοῖς ἐκείνου μόνον ὀφθαλμοῖς δῆλα κεῖσθαι ὑπ' αὐτῶν κατορθούμενα βουλομένους οὐκ ἐᾷ κρύπτεσθαι, οὐδὲ τῇ γωνίᾳ παραχωρεῖ, οὐδὲ ἐν τῷ μέλλοντι μόνον αὐτοὺς ταμιεύει τὴν ἀνακήρυξιν, ἀλλὰ κἀνταῦθα κρυπτομένους εἰς φῶς ἄγει, ἀνακηρύττει, ἀσήμους ὄντας D πολλάκις καὶ ἀφανεῖς ἐνδόξους καὶ περιβλέπτους ποιεῖ, καὶ μετὰ λαοῦ δυναστῶν καθίζει. Πλὴν ἀλλὰ τοῦτο μέντοι τοῦτο. Δεῖ δὲ καὶ περὶ τῶν ἄλλων διεξελθεῖν.

ξα'. Ἐπεὶ γὰρ τὸν μὲν τύραννον ἡ τοῦ θανάτου περιεῖλε τομή, καὶ κατωρθώθη δὲ τοῖς Πατράσι τὸ σπου-

tristis stetit prope chorum, qui erat circa ipsos: et ad unum ex iis (is erat religiosissimus Isidorus) aspiciens, qui postremo præfuit sanctæ Lauræ sive monasterio Syca (42) dicto, cum et specie ipsa, et aspectu et lacrymarum fluxu significasset dolorem, qui eam vehementer cruciabat, et deinde propius cum accessisset, (neque enim sinebat dolor eam servare illum pudorem, qui decet mulieres,) rogavit an cum sacra hac multitudine magnus quoque esset Theodosius, et qualis is esset aspectu: viri enim fama ad eam satis pervenerat. Is autem cum didicisset causam propter quam cum querebat, et simul morbum vidisset, et quam vel solo aspectu esset molestus, quique oculos ab acerbo spectaculo posset avertere, sciens illius esse, et ejus qui esset in eo spiritus, hæc potenti solvere medicamento gratiæ; quoniam nec ipse erat ignarus illius in Christo virtutis mulieri medicum ostendit digito, et signis accurate describit.

68. Illa vero sensim et sine ullo strepitu accedit, eum valde sitiens, et in animo habens illam, quæ laborabat (43) profluvio sanguinis [25]. Deinde cum prope esset, mamillam sensim aperuit, fecitque ut cuculam attingeret: et rursus sicut illa suffuratur curationem, et a magnis doloribus citra laborem invenit solutionem. Simul enim ac pannum attigit, ejus dolor recessit: perinde ac si tenebræ aliquæ solutæ essent adventu luminis, aut fenum ignis irruptione. Ille autem (nullo enim modo poterat ignorare, quod ea tam pulchre et ex fide fuerat suffurata) protinus est conversus, et cum vidisset mulierem, solvit timorem, qui eam invaserat, in magnum gaudium curationis. Esto, dicens, bono animo, o filia. Meus enim dixit Dominus: *Fides tua te salvam fecit* [25]. Divinus Isidorus confestim currens ad mulierem, (cupiebat enim oculos quoque suos pascere aspectu miraculi) cum ad eam pervenisset, et curiosius aspexisset, videt mamillam plane sanam, et omnis morbi adeo expertem, ut nec cicatrix, nec ullum in eo esset impressum vestigium gravis quod paulo ante fuerat, ulceris. Ita Deus aperit illam, quæ latet, virtutem, et eos, qui illius solam oculis volunt manifesta fieri, quæ ab eis recte geruntur, non sinit abscondi, nec relinquit in angulo: nec ut prædicentur, eis solummodo reservat in futurum; sed eos quoque, qui hic sunt abditi, producit in lucem, et prædicat: et eos, qui sunt sæpe obscuri et inglorii, claros facit et illustres, et sedere facit cum principibus populi. Verumenim vero hos quidem est ejusmodi. Oportet autem alia quoque persequi.

61. Postquam enim tyrannum quidem falx mortis abstulit, Patribus autem certe successit id, cujus

[25] Matth. IX, 22,

(42) Laura Sycæ, seu Sucæ, ad fluvium Sucam, de quo in proleg. num. 18.

(43) Hæc occasio auctori Menæorum fuit scribendi hanc feminam liberatam a profluvio sanguinis; ut n. 3, in prolegomenis dictum.

studio tenebantur, et unusquisque ad suum rediit A monasterium; modo quidem ibat Bethleem orationis causa hic vir præclarus; modo cum orasset, revertabatur. Magnum autem laborem itineris recreans, divertit ad Marcionum. Vir hic erat plenus spiritualium gratiarum. Cum autem venissent ad amplexus, et se invicem spirituali impetiissent osculo, cum eo anima quoque congrediente, primum quidem fuit eis apposita mensa sermonum, quibus præclare suos pascebant animos, se oblectantes sanctorum eloquiis, et senum narationibus, cum quibus intercedebat eis morum cognatio. Cum autem tempus invitaret, ut meminissent etiam alimenti corporis, non aderat quidem frumentum, ut panis apponeretur: lentem autem discipulis jussit coquere bonus Marcianus. Et illa quidem B fuit apposita sine pane. Cum autem cognovisset magnus Theodosius tam apertam inopiam, qui egens erat, fuit dives in inopia, ipseque magnopere studebat, ut lautiori convivio exciperentur hospites. Jussit ergo discipulo, ut e pera proferret panes, quos paraverat ad viaticum. Et illi quidem producti sunt et appositi. Ii vero propter charitatem, quæ lætificat, non minus lautum celebrarunt convivium ex iis, quæ erant necessaria, quam si prolati essent cibi superflui.

δαζόμενον, καὶ τὸ οἰκεῖον ἕκαστος ἀπείληφε φροντιστήριον, νῦν μὲν εἰς Βηθλεὲμ ὁ γενναῖος εὐχῆς χάριν ἐχώρει, νῦν δὲ προσευξάμενος ἀνήρχετο. Τὸν πόνον δὲ τὸν ἐκ τῆς ὁδοῦ πολὺν ὄντα διαπαύων, παρὰ Μαρκιανῷ καταλύει. Ἀνὴρ οὗτος μεστὸς χαρίτων πνευματικῶν. Ὡς οὖν εἰς ἀσπασμὸν συνῆλθον, καὶ φιλήματος μετέδοσαν ἀλλήλοις πνευματικοῦ, τῷ φιλήματι τούτων συνερχομένης καὶ τῆς ψυχῆς, πρῶτα μὲν αὐτοῖς ἡ τῶν λόγων τράπεζα παρετίθετο, οἷς καὶ πάνυ λαμπρῶς τὰς ψυχὰς εἱστιῶντο, λογίοις ἁγίων καὶ διηγήμασιν ἐντρυφῶντες γερόντων, συγγενῶς αὐτοῖς τὸν τρόπον διακειμένων. Ἐπεὶ δὲ ὁ καιρὸς ἐκάλει καὶ τροφῆς μνησθῆναι σωματικῆς σῖτος μὲν οὐ παρῆν ἵνα καὶ ἄρτος παρατεθῇ· φακῆν δὲ τοῖς μαθηταῖς ὁ χρηστὸς Μαρκιανὸς ἐκέλευεν ἕψειν. Καὶ ἡ μὲν ἄρτων χωρὶς παρετίθετο· γνοὺς δὲ ὁ μέγας τὴν ἔνδειαν οὕτω καταφανῆ, πλούσιος ἐν ἀπόροις ὁ ἐνδεὴς ἦν, καὶ αὐτὸς ἑστιᾷν μᾶλλον τοὺς ξενίσαντας ἐφιλοτιμεῖτο. Ἐπέσκηπτε τοίνυν τῷ μαθητῇ τῶν ἐνοδίων ἄρτων τῆς πήρας ἐξενεγκεῖν, καὶ οἱ μὲν ἐξήγοντό τε καὶ παρετίθεντο· οἱ δὲ εἱστιῶντο διὰ τὸ φαιδρὸν τῆς ἀγάπης τοῖς ἀναγκαίοις ὡς περιττοῖς.

62. Ut solet autem fieri, sermones quoque admiscentur convivio, et complures ex iis lepidi et jucundi. Hilariter autem divinus eum rogabat Marcianus, dicens: Noli ægre ferre tanta fame laborans hospitium, nec conqueri quod panem vobis non ap- C posuerimus, cum frumentum nobis admodum turpiter defecerit. Cum hoc dixisset, admirabilis Theodosius defixis oculis in barbam Marciani, vidit granum frumenti, quod nescio unde ceciderat; et illinc sustulit hilari et cauta dextera, et dixit: Ecce frumentum. Quomodo ergo dicitis vos egere frumento? Et hoc quidem ab eo dictum, vel etiam factum fuerat lepide et jucunde. Ille autem cum granum, tanquam egregiam aliquam et præstantem sementem, supinis manibus accepisset, id ponit in horreo frumenti, credens eam sine labore multum fructus allaturam, et esse superaturam agricolarum industriam. Id autem ei accidit longe amplius et copiosius, quam sperabat. Nam cum sequenti die esset horre ostium aperturus (o arcana tua, Domine, D miracula!) videt quæ intus erant plena fructibus, qui revera provenerant absque agricultura, aut potius cum agricultura solius orationis. Cum ergo nihil esset in eo cunctatus Marcianus, statim mittit unum ex suis discipulis ad magnum Theodosium, ei significans mirum et ineffabilem rei eventum, et simul ad admirabilis spectaculi societatem eum vocans. Postquam ergo is quoque venit, ostium quidem erat parum apertum, frumentum autem a seipso extrudebatur, cum non posset horreum capere multitudinem, et sic ex eo permultum foras effundebatur. Hoc est prioribus quoque simile, et miraculo de panibus nihil dissimile, quod olim meus effecit Christus [26.27]. Nam una omnino est utriusque operatio:

ξβ'. Οἷα δὲ ἐν τοῖς τοιούτοις φιλεῖ, προσμίγνυνται καὶ λόγοι τῇ ἑστιάσει, καὶ οἱ πλείους αὐτῶν χαρίεντες. Ἠξίου καὶ νῦν ὁ θεῖος Μαρκιανὸς ἐν φαιδρότητι· Μὴ δυσχεραίνειν, λέγων, οὕτω ξενίαν λιμώττουσαν, μηδὲ μέμφεσθαι εἰ μὴ ἄρτους ὑμῖν παρέθεμεν, τοῦ σίτου ἀγεννῶς λίαν ἀπολιπόντος ἡμᾶς. Τοῦτο εἰπόντος, ὁ θαυμαστὸς Θεοδόσιος τῷ Μαρκιανοῦ πώγωνι ἀτενίσας, καὶ σίτου κόκκον ἰδὼν οὐκ οἶδα πόθεν ἐπειπεσόντα, ἐκεῖθέν τε ἄρας ἱλαρᾷ καὶ πεφυλαγμένῃ τῇ δεξιᾷ· Ἰδοὺ, ἔφη, καὶ σῖτος· πῶς οὖν ὑμεῖς φατε σίτου διαπορεῖσθαι; καὶ τοῦτο μὲν δὴ χαριέντως ἄγαν αὐτῷ καὶ μεθ' ἡδονῆς εἴρητο ἢ καὶ πέπρακτο. Ἐκεῖνος δὲ καθάπερ τινὰ σπόρον εὐγενῆ τε καὶ ἀγαθὸν ὑπογίαις τὸν κόκκον χερσὶ δεξάμενος τῷ τοῦ σίτου ἐντίθησι ταμιείῳ, πιστεύων ἄνευ πόνων πολὺν αὐτῷ τὸν καρπὸν οἴσειν καὶ τὰ γεωργῶν νικήσειν. Τόδε ἄρα κρεῖττον αὐτῷ παραπολὺ καὶ τῶν ἐλπίδων ἀπήντα· ὡς γὰρ τὴν τοῦ σιτῶνος θύραν τῆς ἐπιούσης ἔμελλε διανοίγειν (τῶν ἀποῤῥήτων σου, Δέσποτα, θαυμασίων·), ὁρᾷ τὰ ἔνδον σίτου πεπληρωμένα καρπῶν οὕτως αγεωργήτων, ἢ μᾶλλον γεωργίων μόνης εὐχῆς. Μηδὲν οὖν ὁ Μαρκιανὸς ἐν τούτῳ μελλήσας ἕνα τῶν αὐτοῦ μαθητῶν ἐπὶ τὸν μέγαν Θεοδόσιον ὡς τάχος ἐκπέμπει, γνωρίζων αὐτῷ τοῦ πράγματος τὸ ἀπόῤῥητον, καὶ ἅμα πρὸς κοινωνίαν τῆς παραδόξου θέας τὸν ἄνδρα καλῶν. Ὡς οὖν ἦλθε καὶ οὗτος, αἱ μὲν θύραι βραχύ τι διηνοίγοντο, ὁ σῖτος δὲ ὑφ' ἑαυτοῦ ἐξωθεῖτο, στέγειν τῆς ἀποθήκης τὸ πλῆθος οὐ δυναμένης, καὶ οὕτω πολὺς ἦν ἔξω καταχεόμενος. Τοῦτο καὶ τοῖς προλαβοῦσιν ὅμοιον, καὶ τοῦ περὶ τοὺς ἄρτους θαύματος κατ' οὐδὲν ἀνόμοιον, ὅπερ ὁ ἐμὸς Χριστὸς πάλαι θαυματουργεῖ. Ἐπεὶ καὶ μία πάντων ἐπ' ἀμφοῖν ἡ ἐνέργεια, πλὴν ὅσον ἐκεῖ μὲν αὐτὸς ἦν παρὼν τε

[26.27] Matth. XIV et XV.

καὶ θαυματουργῶν, ἐνταῦθα δὲ τῷ οἰκείῳ θεράποντι A τοῦ θαύματος ὑπηρέτῃ χρώμενος, ὥσπερ ἄρα καὶ τοῖς ἀποστόλοις πρότερον. Μετὰ γοῦν τοῦτο δεῖ καὶ ἐκείνου ἐπιμνησθῆναι.

nisi quod illic quidem ipse erat præsens et administrans; hic autem suo famulo utens ministro miraculi, sicut prius quoque apostolis. Post hoc autem oportet illius quoque meminisse.

CAPUT XV.

Submersionis abortionumque depulsum periculum.

ξγʹ. Γυνή τις πατρίδα μὲν αὐχοῦσα τὴν Ἀλεξάνδρειαν, πλούτῳ δὲ κομῶσα βαθεῖ, λεγέσθω καὶ τῷ πολλῷ κρεῖττον αὐτῆς καὶ δοθῆναι μᾶλλον εἰς ἀκοὴν ἄξιον, ὅτι καὶ πλουτοῦσα τρόπῳ χρηστῷ, καὶ βίου πρόνοιαν θεοφιλοῦς ἔχουσα. Αὕτη, τὸν υἱὸν λαβοῦσα (μονογενὴς δὲ οὗτος αὐτῇ, καὶ μόνος ἀκριβῶς τὰ τοῦ γένους σπέρματα σώζων, ἐν ἑαυτῷ), ἐφοίτα πρὸς τὴν μονὴν, καὶ τοῖς ποσὶν αὐτὸν τοῦ μεγάλου Θεοδοσίου προσῆγεν. Ὁ παῖς μέντοι καὶ πρὶν ἢ παρὰ τῆς μητρὸς προσαχθῆναι, ὡς πόῤῥωθεν ἴδοι τὸν Θεοδόσιον, εὐθὺς τοῦτον ἐκεῖνον εἶναι ἀνέκραγεν, ὅς αὐτὸν ἐπὶ τοῦ φρέατος ἀνέχων τῇ χειρὶ διεσώσατο. B Ἐρωτωμένη δὲ ἡ γυνὴ ὅ τι ποτὲ ἄρα τῷ παιδὶ βούλεται τὰ λεχθέντα, συμπαίζειν μὲν αὐτὸν ἔλεγε τοῖς ἡλικιώταις τῇ παιδείᾳ προσέχοντα, καὶ ἀπροόπτως τῶν ἐν ποσὶν ἔχοντα εἰς φρέαρ κατενεχθῆναι, φρέαρ ὅτι βαθύτατον. Οἱ μὲν οὖν παρόντες τοῦ ἀώρου καὶ πικροῦ δῆθεν θανάτου τὸν παῖδα ὠδύροντο· οὐδεὶς γὰρ ἦν ᾧ μὲν δόξα ἦν τὸν παῖδα εὐθὺς ἀποπνιγῆναι τοῖς ὕδασι. Τί γὰρ καὶ ἄλλο ἔμελλον ὅσον ἀπὸ τοῦ πράγματος ὑποπτεύειν; Ἔπειτα καὶ φιλάνθρωπόν τι ποιοῦντες καθίασιν ἑαυτοὺς εὐθὺς εἰς τὸ φρέαρ, οὐχ ἵνα ἐκεῖνον πρότερον ἢ καὶ ἀποθανεῖν λάβωσιν, (ποῦ γὰρ ἦν τούτου καὶ μικρά τις ἐλπίς;) ἀλλ' ἵνα αὐτοῦ τὸ σῶμα πρὸ τῆς διαφθορᾶς ἀνελύσωσι δῶρον συμφορᾶς μητρὶ, καὶ θέαμα πικρὸν ὀφθαλμοῖς, C καὶ κέντρον ὀδύνης, καθάπερ τι ἐκ ναυαγίου διασωθὲν, φευκτόν τε ἅμα καὶ ποθεινὸν μητρῴοις ὄμμασιν.

ξδʹ. Ἐπεὶ δὲ κατῆλθον, ἐπικαθήμενον αὐτὸν εὑρόντες τοῖς ὕδασι, καὶ οὐδὲ βραχύ τι καταδυόμενον, ἀλλ' ἐνεχόμενον ὥσπερ ὑπό τινος στερεοῦ, ἀχανεῖς ἔμενον, ἐθαύμαζον, ἠποροῦντο, οὐκ εἶχον ὅ τι ἂν ἄρα ἐπὶ τῷ θεωμένῳ διενοήσαντο. Πλὴν ἀλλὰ τοῦ ὕδατος ἀνελκύσαντες, καὶ ὡς οὐ θείας ἐπισκοπῆς ἄνευ τὸ πρᾶγμα γενέσθαι καλῶς κρίναντες ἀνηρώτων· ὁ δὲ μοναχόν τινα ἔφη παραστῆναί μοι, τὸ σχῆμα, τὴν ἀναβολὴν, τὴν μορφὴν τοιάνδε, τὰ παράσημα πάντα τοῦ Πατρὸς λέγων ἐοικότα πρὸς τὸ ἀκρότατον. Καὶ τούτου μοι αἱ χεῖρες, φησὶ, τοῦ μὴ εὐθὺς τοῖς ὕδασιν ἐναποθανεῖν αἴτιοι, ἀνέχουσαί με καλῶς, καὶ D ὑπέρτερον εἶναι τῶν ὑδάτων παρασκευάζουσαι.

ξεʹ. Ταῦτα ἡ μήτηρ διεξηγεῖτο καὶ προσετίθει, ὅτιπερ, Ἐξ ἐκείνου ἐγὼ τὸν παῖδα λαβοῦσα, πόλεις τε καὶ κώμας καὶ ὄρη καὶ κρημνοὺς περίειμι πόνους ὑφισταμένη, πολλοὺς μὲν, οὐκ ἀηδεῖς δὲ, ὅπως ἂν μοι τῷ σωτῆρι περιτυχεῖν αὐτοῦ γένοιτο. Νῦν δὲ πόῤῥωθεν αὐτὸν ὁ παῖς ἐπιγνοὺς, καὶ ἐμοὶ τῇ μητρὶ μαθεῖν ἔδωκε, καὶ κηρύττει τοῦτον ἐπιφανῶς ἐλευθέρᾳ γλώττῃ καὶ ὑπονοίας πάσης καὶ ψεύδους κρείτ-

63. Mulier quædam, cui insignis patria erat Alexandria, ingentibus autem abundabat opibus: dicatur id etiam quod erat in ea multo melius et dignius quod committatur auribus, nempe quod et dives erat bonis moribus, et curam gerebat vitæ piæ ac religiosæ. Ea cum accepisset filium (erat autem hic ei unigenitus, et solus in se recte servans semina generis), ventitabat ad monasterium, et adducebat eum ad pedes magni Theodosii. Puer vero etiam antequam adduceretur a matre, ubi procul vidit Theodosium, protinus illum esse exclamavit, B qui eum super puteum sustinens conservavit. Rogata autem mulier, quidnam sibi vellent ea, quæ dicebantur a puero, dicebat eum quidem lusisse una cum æqualibus; cum autem ludo esset intentus, et non prævideret quæ erant in pedibus, dejectum fuisse in puteum, eumque profundissimum. Et qui aderant quidem, immaturam et acerbam mortem pueri deflebant. Nemo enim erat, qui non existimaret puerum fuisse statim ab aqua suffocatum. Quid enim ex ea re poterant aliud suspicari? Deinde etiam se humane gerentes, seipsos demittunt in puteum, non ut eum acciperent antequam moreretur (quomodo enim ejus esse posset vel spes minima?), sed ut antequam corrumperetur, ejus corpus attraherent, matri domum calamitatis, et acerbum oculis spectaculum, et stimulum doloris, tanquam ex naufragio conservatum, simul et fugiendum et desiderandum matris oculis. C

64. Postquam autem descenderunt, et eum invenerunt sedentem super aquas, et nec tantillum quidem madefactum, sed qui sustinebatur veluti ab aliquo solido, ore aperto manebant, mirabantur, dubitabant, nesciebant quidnam cogitarent de eo, quod cernebant. Sed cum eum ex aquis extraxissent, et non absque divina providentia rem factam fuisse judicassent, eum rogabant: is dixit quemdam astitisse monachum, tali habitu, amictu et forma præditum, dicens omnia insignia, quæ erant Patris Theodosii longe simillima. Et hujus, inquit, mihi manus causæ sunt, ne in aquis interierim, D quæ me recte sustinebant, et efficiebant ut essem aquis superior.

65. Hæc mater et narrabat et adjiciebat: Ego, inquit, cum ex illo tempore filium accepissem, urbes obeo et vicos et montes et præcipitia, labores subiens, multos quidem, sed non injucundos, ut liceret mihi incidere in ejus servatorem. Nunc autem cum eminus eum agnovit filius, mihi quoque matri dedit ut agnoscerem: et eum aperte prædicat libera lingua, et quæ suspicionem omnem superat

et mendacium, meque gaudio repletam et admiratione, et veluti quodam divino furore percitam, non sinit quiescere. Hæc cum dixisset, ad opus quoque accessit, ut quæ protinus ad genua patris advolveretur, et illius vestigia ambabus prensaret manibus, et complecterentur labris simul et animo, calidas in ea lacrymas effundens: et servatorem, et vitæ auctorem, non solum filii, sed suæ quoque magnum vocans Theodosium : revera enim ei fuisse futuram deinceps vitam non vitalem, aut vel ipsa morte longe amariorem, si tam intempestive, inquit, et misere ei filius interiisset.

66. Potest autem oratio quoque aliquid aliud dicere, simile præcedenti. Nam quædam alia mulier, quæ in partu quotannis graviter laborabat, et nec ex eo aliquam capiebat utilitatem. Priusquam enim infans editus esset in lucem, e vita excesserat, et labores luctus, et mors partum excipiebat. Hæc ergo quæ sic et multos pariebat filios, et erat orbata filiis, cum jam longo tempore eo malo esset vexata, vix tandem invenit mali medicamentum : et cum ad sanctum confugisset, eique affectionem suam dixisset et calamitatem, lacrymis potius quam verbis virum orat vehementer, ut malum ei sisteret, ne amplius progrederetur. Sistetur autem, inquit, non aliter, quam solo tuo nomine, si permiseris id quod nascetur, sic vocari. Et hoc erit, inquit, mihi et solutio calamitatis, et filio causa vitæ.

67. Hæc cum petiisset, et annuentem magnum nacta esset Theodosium, et quod deinde natum est, Theodosium nominasset, vehementi quoque fide dignam invenit mercedem. Non amplius enim partus labores ei peperere lacrymas, sed aperte lætitiæ occasionem, cum eum, qui inter vicos erat primogenitus, Theodosium adhuc videret superstitem, et complentem chorum monachorum ejus, qui illum genuerat secundum spiritum; et orationis fructum potius, quam alvi, conspici ex operibus ; quando quidem hæc quidem morientium, illa vero viventis mater fuit : et ideo adductus est ad monasterium ab ea, quæ genuit, et vicissim Deo est redditus : ut sicut præsentem, ita etiam manentem vitam consequeretur. Multa alia ejusmodi posset quispiam illius recensere.

68. Quædam itaque alia mulier, profecta quidem ex civitate Bethleem, quæ similiter in partu laborabat, æque autem infelix erat eis eventus, et in pariendo graviter affligebatur, et in magnum vocabatur periculum, eamdem quoque impetrat a magno Theodosio, eodem medicamento usa, curationem, et filio suo eodem, quo ille, vocato nomine. Quem non solum vidit grandem, et qui jam ad virilem ætatem pervenerat ; sed manuum quoque artificio præstantem, et qui fuit ædificator optimus sui temporis. Sunt admirabilia, quæ dicta sunt : sed quæ restant, sunt iis longe admirabiliora.

A τονι, κἀμὲ δὲ χαρᾶς καὶ θαύματος πληρωθεῖσαν καὶ οἷον ἐνθουσιῶσαν ἠρεμεῖν οὐκ ἐᾷ. Ταῦτα εἰποῦσα καὶ ἔργου εἴχετο, τοῖς τοῦ πατρὸς εὐθὺς γόνασι προσκυλιομένη, ἴχνῶν τε ἐκείνου ἀμφοτέραις ἐφαπτομένη, περιπτυσσομένη καὶ χείλεσιν ἅμα καὶ τῇ ψυχῇ, δάκρυα τούτων θερμὰ καταχέουσα, καὶ σωτῆρα καὶ ζωῆς αἴτιον, οὐ τοῦ παιδὸς μόνον, ἀλλὰ καὶ ἑαυτῆς τὸν μέγαν ἀποκαλοῦσα· ἢ γὰρ ἂν ἀβίωτον αὐτῇ λοιπὸν ἔσεσθαι τὸν βίον, ἢ πολὺ μᾶλλον καὶ αὐτοῦ θανάτου πικρότερον, εἰ οὕτω, φησὶν, ἀώρως ἐμοὶ καὶ ἀθλίως ὁ παῖς ἀπολώλει.

ξϛʹ. Ἔχει τι καὶ ἄλλο τοῦ προλαβόντος ὁ λόγος εἰπεῖν παραπλήσιον. Γυνὴ γάρ τις ἑτέρα τόκους μὲν καὶ πικρὰς τόκων ὠδῖνας ἐτησίως ὑφισταμένη,
B οὐδὲ ὀλίγα δὲ τούτων ἀποναμένη· καὶ γὰρ πρὶν ἢ τεχθὲν εἰς τὸν βίον προκύψαι, τοῦ βίου μετήρχετο, καὶ τὰς ὠδῖνας τὸ πένθος, καὶ τὸν τόκον ἡ τελευτὴ διεδέχετο. Αὕτη οὖν ἡ οὕτω πολύπαις τε ἅμα καὶ ἄπαις πολὺν ἤδη προσκακοπαθήσασα τῷ κακῷ χρόνον, ὀψὲ καὶ μόλις εὑρίσκει τοῦ κακοῦ φάρμακον. Καὶ πρὸς τὸν ὅσιον καταφυγοῦσα καὶ τὸ πάθος αὐτῷ καὶ τὴν συμφορὰν εἰποῦσα, τοῖς δάκρυσι μᾶλλον ἢ τοῖς ῥήμασι, δεῖται θερμῶς τοῦ ἀνδρὸς στῆσαι αὐτῇ τὸ λοιπὸν τὴν ἐπὶ πλέον τοῦ κακοῦ πρόοδον. Στήσεται δὲ οὐκ ἄλλως, φησὶν, ἢ ὀνόματι μόνῳ τῷ σῷ, εἰ ἐπιτρέψεις οὕτω καλεῖσθαι τὸ τεχθησόμενον. Καὶ τοῦτο ἔσται καὶ τῆς συμφορᾶς ἐμοὶ λύσις, καὶ τῆς τῷ παιδὶ ζωῆς αἴτιον.

C ξζʹ. Ταῦτα αἰτησαμένη καὶ ἐπινεύοντος τοῦ μεγάλου τυχοῦσα, καὶ Θεοδόσιον τὸ μετὰ ταῦτα τεχθὲν ὀνομάσασα, τῆς θερμῆς πίστεως ἀξίους εὗρε καὶ τοὺς μισθούς. Οὐκ ἔτι γὰρ δακρύων εἶχε γονὰς τὰς ὠδῖνας, ἀλλ' εὐφροσύνης ἄντικρυς ἀφορμὰς, τὸν ἐν ζῶσι πρωτότοκον Θεοδόσιον ἔτι περιόντα ὁρῶσα, καὶ τὸν μοναχῶν χορὸν τοῦ κατὰ πνεῦμα γεννήσαντος συμπληροῦντα καὶ εὐχῆς καρπὸν μᾶλλον ἢ γαστρὸς ἀπὸ τῶν ἔργων φαινόμενον· ὅσον ἡ μὲν θνησκόντων μήτηρ, ἡ δὲ ζῶντος ἐδείχθη, καὶ τῇ μονῇ προσήχθη παρὰ τῆς γειναμένης καὶ ἀντεδόθη Θεῷ, ἵνα ὡς τῆς παρούσης, οὕτω δὴ καὶ τῆς μενούσης τύχῃ ζωῆς· πολλά τις ἂν ἔχοι τῶν ἐκείνου, καὶ ἄλλα καταλέγειν τοιαῦτα.

D

ξηʹ. Γυνὴ οὖν ἑτέρα τις πόλεως μὲν τῆς Βεθλεὲμ ὁρμωμένη, ἴσας δὲ ὠδίνων ἀνάγκας, ἴσας τε τὰς ἀποτυχίας ὑφισταμένη, καὶ οὕτω δυσφόρως ἄγαν περὶ τοὺς τόκους καὶ φιλοκινδύνως ἔχουσα, τῶν ἴσων καὶ αὐτὴ παρὰ τοῦ μεγάλου τυγχάνει Θεοδοσίου, ἴσῳ χρησαμένη φαρμάκῳ πρὸς θεραπείαν, καὶ ὁμωνύμῳ ἐκείνῳ τὸν παῖδα καλέσασα. Ὃν οὐκ αὐξηθέντα μόνον εἶδε καὶ ἀνδρὸς ἡλικίαν ἀπολαβόντα, ἀλλὰ καὶ χειρῶν σοφίᾳ διενεγκόντα, καὶ ἄριστον οἰκοδόμον ἐν τοῖς τότε γενόμενον. Παράδοξα τὰ εἰρημένα, πολλῷ τούτων ἔτι παραδοξότερα τὰ λειπόμενα.

CAPUT XVI.

Noxia animantia cohibita, Homines malevoli puniti

ξθ'. Βρούχου ποτὲ καὶ ἀκρίδος τὰς ἀρούρας διαλυμαινομένων, δεσμοῖς τοῦ γήρως ἀφύκτοις ὁ μέγας πεπεδημένος, καὶ μηδὲ ποσὶν ἐλευθέροις χρῆσθαι δυνάμενος, δεύτερα δ' οὖν ὅμως πάντα τῆς τῶν πολλῶν τιθέμενος σωτηρίας, οὕτως εἶχε ποδῶν, ἔτι καὶ ῥάβδῳ τοῖς τῶν πρεσβυτέρων νόμοις ἀναπληρῶν τὸ ὑστέρημα, τὴν ὁδὸν διανύει, ἵνα οὕτω μᾶλλον καὶ Θεὸν ἑλκύσῃ πρὸς ἔλεον, τὸ ἀναγκαῖον τῆς πορείας δυσωπηθέντα. Τῶν φοιτητῶν τοίνυν καὶ χεῖρας ὑπεχόντων, καὶ πᾶσι τρόποις θεραπευόντων τὸ βάδισμα, καταλαμβάνει τὸν τόπον αὐτοῖς ἐπικεκυφὼς, ὅπου τῶν ἀκρίδων πληθὺς ἔκειρε τὰς ἀρούρας ἴσα καὶ πολεμίους, καὶ τοὺς ἀγροὺς ἐληΐζετο. Στάντος οὖν ἐκεῖ τοῦ ὁσίου καὶ χεῖρας ἀνασχόντος τῷ Θεῷ ἱκεσίους, εἶτα καὶ τοῦ βρούχου δὴ τούτου καὶ τῶν ἀκρίδων ἵνα μετὰ χεῖρας λαβόντος, B καὶ τὸ μὲν ὡς ὁμοδούλοις τοῖς εὐτελεστέροις τούτοις καὶ βραχυτάτοις ζώοις διαλεχθέντος, τὸ δὲ καὶ φείδεσθαι τούτων πενήτων πόνου καὶ τῆς γεωργίας παρεγγυήσαντος· τοῦτο γὰρ ὑμῖν καὶ ὁ κοινὸς, φησὶν, ἐπιτάττει Δεσπότης· καὶ οὕτως ἡμέρως ὡς ἐμψύχοις λαλήσαντος, θαῦμα ἠκολούθει τοῖς εἰρημένοις. Τὸ γὰρ τοσοῦτον σμῆνος ἔμενε τοῦ λοιποῦ κατὰ χῶρον, καὶ οὔτε μετέβαινεν ἀλλαχοῦ, οὔτε οἷς διέτριβε πάλιν κατελυμαίνετο· ἀλλ' οἷον σπεισάμενον ταῖς ἀρούραις τοῦ λοιποῦ τὰς μὲν ἀκάνθας περιεπετᾶτο καὶ κατέκειρε· φίλα δὲ ἦν αὐτῷ καὶ εἰρηναῖα πρὸς τοὺς καρποὺς, καὶ ὅλως ἐκείνων ἀπείχοντο.

ο'. Ἀλλὰ ταῦτα μὲν δι' ἑαυτοῦ, ἕτερα δὲ καὶ δι' ἑτέρων κατώρθου. Ἄλλοτε γὰρ τῆς ὁμοίας μάστι- C γος τὴν γῆν πιεζούσης, ἐπισκῆψαι δὲ ὅσον οὔπω καὶ τῇ κώμῃ ταύτῃ μελλούσης, ἀφ' ἧς οἵ τε πλησίον πάντες ἀπεσιτίζοντο, καὶ πολλοῖς τῶν ἐνδεῶν ὑπῆρχε κοινωνὸς ἀγαθὴ, ἄγγος τι, πλήσας ἐλαίου, καὶ θείᾳ τοῦτο ἐπικλήσει καθαγιάσας, πέμπει πρὸς τὴν κώμην, αὐτὸ πιστοῖς καὶ φιλοθέοις ἐγχειρίσας ἀνδράσι, καὶ ἤρκεσε τοῦτο μόνον λύσις τοσούτου γενέσθαι κακοῦ. Τότε γὰρ βλάπτον ἐκ μέσου παραχρῆμα ἦν, καὶ ἡ κώμη ἀπαθὴς ἐτηρεῖτο.

οα'. Ἐσθημάτων ἔδει ποτὲ τοῖς ἀδελφοῖς, καὶ οἱ μὲν προσιόντες ἠνώχλουν, τῷ δὲ παρέχειν τι πρὸς ὤνησιν, ὅτι μὴ τὸ βούλεσθαι μόνον καὶ συναλγεῖν οὐδὲν ἦν· πλὴν ἀλλὰ τοῦ Δεσπότου τῇ ἀψευδεῖ θαῤῥήσας ἐπαγγελίᾳ, ταύτῃ πρὸς αὐτοὺς ἐχρῆτο καὶ τότε· D Μὴ μεριμνήσητε, λέγων, περὶ τῆς αὔριον, καὶ τῆς ἐπιούσης εἰς ἔργον ἐξέβαινε τὰ ἐπηγγελμένα. Εὐθὺς γάρ τις ποθὲν ἐπιδημήσας, χρυσοὺς ἑκατὸν ἐδωρεῖτο, οὗ καὶ δοθέντες εἰς τὴν τῶν ἐσθημάτων χρείαν ὑπηρέτουν τοῖς ἀδελφοῖς.

οβ'. Ἰουλιανός τις ἐν ἀρχῇ μὲν ἤδη τῆς ἡλικίας τῷ μεγάλῳ φοιτήσας, ὕστερον δὲ ποιμὴν καὶ αὐτὸς

A 69. Cum bruchus aliquando et locusta terras depopularentur, inevitabilibus senectutis vinculis vinctus magnus Theodosius, et qui nec liberis quidem pedibus uti poterat, saluti multorum postponens omnia, ita ut erat affectus pedibus, et baculo more senum supplens quod sibi deerat, viam peragis: ut sic magis Deum quoque traheret ad misericordiam, ut qui aspecturus esset necessitatem ejus profectionis. Discipulis ergo manus sustinentibus, et omnibus modis ejus ingressum adjuvantibus, pervenit iis innixus ad locum, ubi bruchorum et locustarum multitudo ingens, agros non minus quam hostes, populabatur et devastabat. Cum ergo sanctus illic staret, et manus sustulisset Deo supplices, et deinde horum bruchorum et locustarum B unum in manus sumpsisset; et partim quidem cum vilissimis et brevissimis animalibus, tanquam cum conservis, disseruisset; partim autem jussisset, ut labori pauperum et agriculturæ parcerent; (hoc enim vobis, inquit, communis quoque præcipit Dominus,) cumque cum eis ita placide locutus esset, tanquam cum animatis; ea quæ dicta fuerant, consecutum est miraculum. Tantum enim examen deinceps mansit in regione, et nec transivit alio, nec damnum dedit iis locis, in quibus versabatur: sed veluti fœdere inito cum agris de cætero circumvolabat quidem, et arrodebat spinas: amicitia autem et pax ei intercedebat cum fructibus, et ab eis omnino abstinebat.

70. Sed hæc quidem per se, alia autem recte C quoque gessit per alios. Nam cum alias flagellum simile terram premeret, et videbatur fore, ut mox ei vico incumberet, ex quo et vicini omnes parabant commeatum, et qui multis benigne communicabat ea, quibus opus habebant; cum vas quoddam implesset oleo, et hoc invocatione divina sanctificasset, id mittit in vicum: et cum viris tradidisset fidelibus et piis, hoc solum suffecit, ut esset tanti mali solutio. Tunc enim repente de medio sublatum est id quod lædebat, et vicus conservatus est illæsus.

71. Vestimentis aliquando fuit opus fratribus: et illi quidem ei exhibebant molestiam, ut aliquid præberet ad emendum: quoniam si velle et commiserari tolleretur, nihil erat. Sed tamen confidens D veridicæ Domini promissioni, ea tunc apud eos est usus, dicens: *Nolite esse solliciti de crastino* [23]. Sequenti autem die effectum sunt consecuta ea, quæ promissa fuerant. Protinus enim quidam alicunde adveniens, centum dedit aureos: qui quidem dati: ad usum vestimentorum servierunt fratribus.

72. Julianus quidam, qui ab ineunte quidem ætate ventitavit ad magnum Theodosium, postea autem

[23] Matth. VI, 34.

fuit ipse quoque cognitus pastor optimus, ecclesiæque, quæ est in Bostra (44), fuit ei credita administratio. Is ergo de ipso quoque hæc narrabat, quod cum essent in civitate Bostrenorum (semper enim magnus Theodosius eum habebat socium vitæ ex Christo agendæ, volebatque cum eo philosophari, et esse socius solitudinis) cum ergo fuissent in dicta civitate, primum quidem mulier quædam insignis et vitio nobilis, cum sanctum dixisset planum et impostorem, in oculis eorum dedit pœnas, intemperantis linguæ acerrimum subiens supplicium, cum gravi morte ejus erupisset anima.

ἄριστος γνωρισθεὶς, καὶ προστασίαν τῆς κατὰ Βόστραν ἐγχειρισθεὶς ἐκκλησίας. Οὗτος οὖν καὶ ταῦτα περὶ αὐτοῦ διηγεῖτο, ὡς ἐπεὶ κατὰ τὴν Βοστρηνῶν ἐγενόμεθα πόλιν (ἀεὶ γὰρ ὁ μέγας κοινωνὸν αὐτὸν ἐποιεῖτο τῆς κατὰ Θεὸν ἀγωγῆς, καὶ συμφιλοσοφεῖν αὐτῷ καὶ κοινωνεῖν τῆς ἐρημίας ἐβούλετο). Ἐπεὶ οὖν κατὰ τὴν εἰρημένην γένοιντο πόλιν, πρῶτα μὲν γυνή τις ἐπίσημος καὶ διαφανὴς τὴν κακίαν, πλάνον εἰποῦσα τὸν ὅσιον, ἐν ὀφθαλμοῖς ἡμῶν ἔτισε δίκας, ἀκολάστου γλώττης ὀξοτάτην ὑπομείνασα τιμωρίαν, καὶ χαλεπῷ θανάτῳ τὴν ψυχὴν ἀποῤῥίψασα.

73. Deinde autem, inquit, nos quidem civitate egressi, proficisbamur ad apostolorum templum, quod est propinquum. Monachi autem quidam ex monasterio propinquorum, qui morbo Severi laborabant, cum nos vidissent accedentes, lignum quod convocat ad ecclesiam, pulsabant ante horam consuetam, et synaxim significabant fratribus. Magnus autem Theodosius, intellectis insidiis, cum divino zelo accensus esset ejus animus, verbis Domini opportune est usus : et eos, qui ipsi insultabant, juste est ultus, lapidem non esse mansuram supra lapidem in eo loco, ipse quoque minatus. Porro autem minas consecutus est effectus. Breve tempus intercessit, et quædam Agarenorum multitudo, nocturna facta incursione, illud quidem igni mandant monasterium, et diripiunt etiam quæcunque illic erant : et abducunt captivos monachos, et nunc proponitur locus, acerbum oculis spectaculum, qui non magis meretur videri, quam defleri. Sed hæc quidem narratio aperte est disciplinæ et castigationis. Alteram autem, quæ est plane gratiæ particeps et utilitatis, vult addere oratio.

ογ'. Ἔπειτα δὲ, φησὶ, καὶ τῆς πόλεως ἐξελθοῦσιν ἡμῖν μὲν πρὸς τὸν πλησίον τῶν ἀποστόλων ναὸν ἐτύγχανεν ἡ ὁρμή· μοναχοὶ δέ τινες τῆς ἐκ γειτόνων μονῆς τὰ Σευήρου νοσοῦντες παριόντας ἡμᾶς ἰδόντες τὸ συγκαλοῦν εἰς τὴν ἐκκλησίαν ξύλον, καὶ πρὸ τῆς ὥρας εἰθισμένης ἔκρουον, καὶ σύναξιν τοῖς ἀδελφοῖς ἐπεσήμαινον. Ὁ μέγας τοίνυν συνεὶς τὴν ἐπιβουλὴν, ζήλῳ τε θείῳ τὴν ψυχὴν διαθερμανθεὶς, κατὰ καιρὸν τοῖς τοῦ Δεσπότου ῥήμασιν ἐχρῆτο, καὶ τοὺς εἰς αὐτὸν παροινοῦντας δικαίως ἠμύνετο, μηκέτι λίθον ἐπὶ λίθου μεῖναι κατὰ τὸν τόπον καὶ αὐτὸς ἀπειλήσας. Ἄρ' οὖν ἠκολούθει τῇ ἀπειλῇ καὶ ἔργος· βραχὺς ὁ μεταξὺ χρόνος, καὶ Ἀγαρηνῶν τι πλῆθος ἐφόδῳ νυκτερινῇ χρησάμενον, μοναστήριον μὲν ἐκεῖνο πυρὶ χαρίζονται, λῄζονται δὲ καὶ τὰ ἐκεῖσε κομιδῇ πάντα, καὶ τοὺς μοναχοὺς αἰχμαλώτους ἄγονται, καὶ νῦν ὁ τόπος ὀφθαλμοῖς πρόκειται θέαμα λυπηρὸν, οὐχ ὁρᾶσθαι μᾶλλον, ἢ δακρύεσθαι ἄξιος. Ἀλλὰ τούτου παιδείας ἄντικρυς καὶ σωφρονισμοῦ τὸ διήγημα· ἕτερον δὲ καὶ χάριτος ἀκριβοῦς μετέχει καὶ ὠφελείας, ὁ λόγος προσθεῖναι βούλεται.

CAPUT XVII.

Adest variis periclitantibus. Prædicit terræmotum Antiochiæ.

74. Dux Romani exercitus, (mos est autem eum vocare comitem Orientis) nomine Kericus (45), in bello audax, in Deum autem pius. Is jam incursionem facturus contra Persas, existimavit oportere se primum currere Hierosolyma, et illinc adversus hostes assumere auxilium. Cum autem statuisset in transitu ire ad hominem Dei (cum enim valde trahebat illius fama, et virtutis illecebræ) dum abiret, et multa alia licuit ei audire ex sacro illa lingua, et hoc inter cætera, ne, quomodo divinus David, in arcu speraret, nec poneret salutem in gladio, sed nec in multorum hominum confideret millibus :

οδ'. Ὁ τοῦ Ῥωμαϊκοῦ στρατεύματος ἀρχηγὸς (κόμητα τῆς Ἀνατολῆς σύνηθες ἐκεῖνον καλεῖν), Κήρυκος αὐτῷ ὄνομα, εὔτολμος τὰ πρὸς πολέμους, εὐλαβής τε πρὸς Θεὸν, οὗτος τρέχων ἄρτι κατὰ Περσῶν, δεῖν ᾠήθη πρῶτον δραμεῖν ἐπὶ τὰ Ἱεροσόλυμα, καὶ σύμμαχον τὴν ἐκεῖθεν ῥοπὴν κατὰ τῶν πολεμίων λαβεῖν. Ἐπεὶ οὖν κατὰ πάροδον καὶ πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον ἔκρινεν ἀπελθεῖν, (εἷλκε γὰρ αὐτὸν ἡ φήμη στεῤῥῶς καὶ οἱ ἐκείνου τῆς ἀρετῆς ἴυγγες,) ἀπελθόντα τοῦτον, ἄλλα τε πολλὰ πρὸς τῆς ἱερᾶς γλώττης ἐκείνης ἀκούειν ὑπῆν, καὶ τῷ μὴ ἐπὶ τῷ τόξῳ ἐλπίζειν κατὰ τὸν θεῖον Δαβὶδ, μηδ' ἐπὶ τὴν

(44) Bosra aliis, ut Bostrum, sedes metropolitana Arabiæ primæ, seu desertæ, sub patriarcha Antiocheno, urbs munitissima ; nunc *Busseret*. Consule Adrichomium.

(45) Ms. Græcum Κήρυχος. Menæa Κήρυχος. Ejus meminit Cedrenus anno Justiniani primo, Chr. 526. « Eodem anno Rex Persarum Tzatbo bellum ob initam cum Romanis societatem intulit. » « Huic Tzatbo Justinianus auxiliares mittit copias, ducibus Belisario, Keryco (Græce Κήρυχος dicitur), et Petro ; qui cum in bello gerendo mutua invidia transversi agerentur, a Persis victi sunt. » Hæc ipse. Verum ex Procopio l. I *De bello Persico* constat, ad quatuor annos bellum fuisse productum, et Romanos plures de illis tulisse victorias. Cæterum quod inter duces simultas esset, ideo Procopius, qui Belisario inhærebat, hanc Kerici de Persis victoriam prætermisit, ut observat Baronius an. Chr. 527.

ῥομφαίαν τιθέναι τὴν σωτηρίαν μήτε μὴν τοῖς τῶν A πολλῶν μυριάσιν ἐπιθαῤῥεῖν, ἕνα δὲ σύμμαχον εἰδέναι τὴν ἰσχὺν ἄμαχον, ᾧ ῥᾴδιον πάνυ ποιεῖν ὑφ' ἑνὸς χιλίους διώκεσθαι, καὶ ὑπὸ δύο μυριάδας μετακινεῖσθαι. Τοιαῦτα τῷ κόμητι τοῦ ὁσίου διαλεχθέντος, οὕτως ἐκεῖνος ἑάλω τῶν αὐτοῦ παραινέσεων, καὶ τοῦ πρὸς αὐτὸν ἀνηρτήθη πόθου καὶ τῆς θερμῆς πίστεως, ὡς καὶ αὐτὸ δήπου τὸ τρύχινον ῥάκος, ὅπερ ὁ μέγας εἴσω περιεβέβλητο, ἀντ' ἄλλου τινὸς τά γε πρὸς τὸν πόλεμον αἰτῆσαι φυλακτηρίου· καὶ τοῦτο δὴ λαβὼν καὶ ἐνδὺς, ἀγώνων τε τῶν συνήθων ἀψάμενος, μετ' οὐ πολὺ Καλλίνικος ἐπανῄει, πολλὰ καὶ ἄξια λόγου ψυχῆς τε καὶ χειρὸς ἔργα ἐπιδειξάμενος.

οε'. Λαμπρὸς τοιγαροῦν οὕτω τοῖς κατὰ πόλεμον ἀριστείοις ἐπανελθὼν, οὐκ ἀγνώμων ἐφάνη περὶ τὸν εὐεργέτην, οὐδ' ὥσπερ οἱ πολλοὶ μετὰ τὸ τυχεῖν τῆς B χάριτος ἐπιλανθανόμενος, ἀλλ' ὅμοιον ἐν πᾶσιν ἑαυτὸν φυλάττων, πρὸς τὸν ὅσιον αὖθις ἐφοίτα μετὰ θερμοῦ τοῦ τῆς καρδίας σκιρτήματος, χάριτός τε ὁμολογῶν, καὶ τὸ πᾶν αὐτῷ τῆς νίκης ἐπιγραφόμενος. Ἔλεγε γὰρ, ὡς, Κατὰ τὸν τῆς μάχης καιρὸν, ἐμοὶ μὲν ἀντὶ θώρακος ἐνδυσαμένῳ τὸ ῥάκος τὸ σὸν ἐποίει θαῤῥεῖν ὁμόσε τε τοῖς πολεμίοις χωρεῖν. Ἐπεὶ δὲ καὶ εἰς χεῖρας ἀλλήλοις ἤλθομεν, πολὺς ἐγένετο σκότος ὥσπερ ἐν ὁμίχλῃ βαθείᾳ, καὶ τοῖς μὲν ἄλλοις πᾶσι καὶ τὰ πάνυ πλησίον ἀθέατα ἦν, ἐφῶ δὲ σε μόνον ἐδόκουν ὁρᾷν προηγούμενόν μου καὶ τῇ χειρὶ σημαίνοντα καὶ ὑποτιθέμενον, τάδε μὲν τοῦ πολέμου μέρη χαίρειν ἐᾷν, ἐπὶ ταῦτα ἰόντα μάχεσθαι, καὶ ὑπὸ σοὶ ὁδηγῷ τε καὶ ἡγεμόνι τὸν ἵππον ἡμᾶς ἐξελαύνειν, ἕως φοβερός τις καὶ ἀνυπόστατος τοῖς ἐναν- C τίοις ὀφθεὶς, δεῖ δέος πᾶσιν ἄστεκτον ἐμβαλὼν, τέλος εἰς πόδας αὐτοὺς βλέψαι, καὶ τὴν ἄδοξον φυγὴν ἀσμένως ἑλέσθαι παρασκευάσαι. Καὶ ταῦτα μὲν ἐκεῖνος, ὁ καὶ τῆς θείας ταύτης ἐπιφανείας ἀξιωθείς.

ος'. Οὐκ αὐτῷ δὲ μόνον, ἀλλὰ καὶ ἄλλοις ὁ μέγας, πολλοῖς μὲν ἐν πλῷ, πολλοῖς δὲ ἐν ὁδῷ, καὶ τοῖς μὲν τραχυνομένῃ θαλάσσῃ καὶ πνευμάτων βίᾳ παλαίουσι, τοῖς δὲ καὶ στόμασιν ἀγρίων ἐμπεσοῦσι θηρῶν, τοῖς μὲν ἐν ὕπνῳ, τοῖς δὲ καὶ ὑπ' ὀφθαλμοῖς ἐπιστὰς, τῶν κινδύνων ἐξείλετο. Οὐ ἀνθρώποις δὲ μόνον ὀξὺς οὕτω παρίστατο βοηθὸς, ἀλλὰ πολὺ καὶ ἐν τοῖς ἀλόγοις ζώοις τῆς φιλαγάθου ταύτης ψυχῆς τὸ φιλάγαθον ἕτοιμον ὑποδεῖξαι τῷ λόγῳ. Ὁδοιπόρῳ γάρ ποτε ὄνον ἐπαγομένῳ λέων συνήντα πικρὸς, ὃς τοῦ μὲν ὁδίτου D ἠμέλει, πρὸς δὲ τὸν ὄνον ὁρμῆς ἐπίμπλατο. Τὸν γοῦν ὁδοιπόρον, οἷα φίλον ἐν τοῖς παρ' ἐλπίδα δεινοῖς, κατάπληξις ἐπέσχε καὶ δέος· ἡ τοῦ καιροῦ δὲ ὀξύτης ἓν φάρμακον εἰς βοήθειαν, τοῦ ἁγίου ὄνομα παρέσχεν εὑρεῖν· ὅπερ εἰπόντος, παραχρῆμα ὅ τε τοῦ θηρίου θυμὸς ἔληγε καὶ τὸ ῥαγδαῖον ἵστατο τῆς ὁρμῆς.

οζ'. Οἷος δὲ καὶ περὶ τὴν τῶν μελλόντων πρόγνωσιν ἦν. Δεῖ γὰρ δι' ὀλίγων τὰ ἐκείνου πάντα δεικνύειν ὥσπερ ἐν γεύμασιν, ἵνα καὶ δῆλον ἅπασιν ᾖ, ὅτι ὥσπερ οὐδενὸς τῶν κατορθωμάτων, οὕτω δὴ καὶ τῶν

unum autem sciret adjutorem, vim inexpugnabilem, cui est facile, ut unus mille persequatur, et decem millia profligentur a duobus. Hæc cum comiti Sanctus disseruisset, ita fuit ille captus ejus desiderio et ardenti fide, ut ipsum cilicium, quo magnus ille interius induebatur, loco cujusvis alterius rei, arma peteret, quibus se conservaret. Quod quidem cum accepisset et induisset, et consueta agressus esset certamina, paulo post victor rediit, cum et animi et manus præclara ostendisset facinora, et digna quæ commemorentur.

75. Cum rebus ergo fortiter in bello gestis insignis et clarus esset reversus, nequaquam ingratus fuit in benefactorem; neque ut multi, qui postquam sunt conseculi, obliviscuntur beneficii: sed se similem conservans in omnibus, rursus venit ad Sanctum cum vehementi cordis exsultatione, et gratias agens, et ei universam ascribens victoriam. Dicebat enim enim: Illo ipso tempore pugnæ, mihi quidem cum pro thorace tuum induissem cilicium, veniebat in mentem confidere, et in hostes irruere. Cum autem manus conseruissemus, magnæ exoriebantur tenebræ, tanquam in densa caligine: et ab aliis quidem omnibus ea etiam, quæ prope erant, cerni non poterant: ego autem te solum mihi videbar videre me præcedentem, et manu significantem et admonentem, ut has quidem prælii partes dimitterem, in has autem pugnarem: et te ducem equum agere, donec conspectus terribilis et intolerabilis inimicis, vehementi terrore omnibus injecto efficerem, ut se conjicerent in pedes, et turpem fugam lubenter eligerent. Et hæc quidem ille, qui etiam dignus est habitus divina hac apparitione.

76. Non ad illam antem solum, sed etiam ad alios magnus Theodosius, ad multos buidem inter navigandum, ad multos autem in faciendo itinere, et ad alios quidem, qui cum furenti mari et vi ventorum colluctabantur, ad alios autem qui in ora ferarum inciderant, et ad alios quidem in somnis, ad alios autem videntibus revera eorum oculis accedens, liberavit a periculis. Non hominibus autem solum adeo promptus fuit adjutor, sed bonæ hujus quoque animæ benignitatem vel in bruta animantia, parata est ostendere oratio. Viatori enim aliquando asinum deducenti sævus leo occurrit, qui viatorem quidem neglexit, in asinum autem irruit. Atque viatorem quidem, ut accidit iis malis quæ præter spem eveniunt, stupor invasit et metus; temporis autem velocitas effecit, ut unum solum inveniret medicamentum ad ferendam opem, nempe nomen sancti Theodosii. Quod quidem cum dixisset, statim cessavit et ira feræ, et repressus est vehemens ejus impetus.

77. Jam vero qualis fuit in futurorum præscientia? Oportet enim paucis quæcunque sunt illius ostendere, et veluti eorum gustum præbere, ut sit etiam manifestum omnibus, quod quomodo nullius

ex iis, quæ ex virtute geruntur, ita nec charismatum seu gratuitorum donorum fuit expers. Jussit aliquando ut præter solitam horam pulsaretur lignum; nondum enim erat hora secunda diei: et præcepit, ut fratribus significaret synaxim. Illi autem convenerunt quidem (neque enim poterant contradicere, ut qui optime didicissent obedientiam), cum autem fuissent congregati, rogabant curnam convenissent ante tempus. Ille vero (o puram animam! o oculos procul omni cernentes) flebiliter lugens et miserabiliter: Orandum est, inquit, o Patres, orandum est. Video enim iram Domini, quæ jam movetur adversus Orientem. Hæc ille quidem dixit. Illi autem tunc quidem neque videbant aliquid, neque una cum eo dolorem accipiebant: quoniam non iisdem, quidem ille, intuebantur oculis. Sexto autem aut septimo die, postquam prædixerat, auditum est Antiochiam (46) fuisse magno terræ motu eversam, illo tempore, quo jam prædixerat ille magnus; totque ornamenta, tantamque cecidisse speciem et pulchritudinem, et in vitem pulverem redactam jacere civitatem: quæ neque tanto casu dignas consecuta est lacrymas, neque luctum, qui exæquaretur calamitati. Atque talis quidem fuit ejus præscientia. Res autem multas præclare ab eo gestas, præcedens ostendit oratio.

A χαρισμάτων ἄμοιρος ἦν, Προστάττει ποτὲ παρὰ τὸ εἰθισμένον δὴ τοῦ καιροῦ τὸ ξύλον κρούεσθαι· ὥρας γὰρ οὔπω δευτέρας ἔψαυεν ἡ ἡμέρα, καὶ τοῖς ἀδελφοῖς σημαίνειν παρηγγύα τὴν σύναξιν. Οἱ δὲ ἠθροίζοντο μὲν (οὐδὲ γὰρ εἶχον ἀντιλέγειν, ἄριστα παιδευθέντες ὑπακοὴν) ἀθροισθέντες δὲ τὴν αἰτίαν ἐπυνθάνοντο τῆς πρὸ τοῦ καιροῦ συνελεύσεως· καὶ ἐκεῖνος (ὢ ψυχῆς καθαρᾶς, ὢ πάντα βλεπόντων πόῤῥωθεν ὀφθαλμῶν·) περιπαθές τι καὶ οἴκτιστον ἀνοιμώξας· Εὔξασθαι, Πατέρες, ἔφη. εὔξασθαι χρή· ὀργὴ γὰρ Κυρίου κινουμένην ἤδη κατὰ τῆς Ἑῴας ὁρῶ. Ταῦτα ὁ μὲν ἔφη. οἱ δὲ τότε μὲν οὔτ' ἔτι ἑώρων οὔτε συνήλγουν· ἐπεὶ μὴ τοῖς ἴσοις ὀφθαλμοῖς ἔβλεπον. Ἕκτην δὲ ἢ ἑβδόμην ἡμέραν μετὰ τὴν πρόῤῥησιν, κατεστράφθαι δεισμῷ μεγάλῳ τὴν Ἀντιοχείων ἠκούετο πόλιν κατ' ἐκεῖνον B δὴ τὸν καιρὸν καθ' ὃν ἤδη καὶ προεῖπεν ὁ μέγας καὶ κόσμον, καὶ ὥραν, καὶ κάλλη τοσαῦτα καταπεσεῖν, καὶ κόνιν ἄτιμον κεῖσθαι τὴν πόλιν, μηδὲ δακρύων εὐποροῦσαν τοῦ πάθους ἀξίων, μηδὲ πένθους ἰσουμένου τῇ συμφορῇ. Καὶ τὰ μὲν τῆς προγνώσεως τῷ ἀνδρὶ οὕτως ἔχει· τὰ δὲ τῶν κατορθωμάτων πολλὰ μὲν καὶ περὶ πολλῶν ὁ λόγος φθάσας ἐδήλωσε.

CAPUT XVIII.

Ejus in senectute et ultimo morbo virtus.

78. Oportet autem hoc quoque addere et perspicue exponere, ad quantam humilitatis altitudinem pervenerit. Contendebant et depugnabant inter se aliquando duo ex fratribus. Is autem suadebat, ut componerent inimicitas, et odium commutarent amicitia, quæ decet omnem Christianum, multo autem magis monachos. Quoniam autem dicens non persuadebat, videbat autem illorum esse majores inimicitias, quam ut suis verbis placari posset, fit supplex protinus pastor ovium, magister discipulorum, pater filiorum; et illorum bonum postulabat ipse, tanquam proprium beneficium: eorumque morbum et vulnus medicus rogabat ut sanaret. Rogabat autem non leviter, nec contemptim, sed magnopere et vehementer, sed magnam moderationem afferens et humilitatem. Se enim humi dejiciens jacebat, aperta figura humilitatis mollire se credens duritiem inimicitiarum: nec prius destitit rogare, quam eorum mollierit, et eos, qui a se invicem male erant divisi, amicitiæ vinculis colligarit.

C οη'. Δεῖ δὲ καὶ ταῦτα προσθεῖναι καὶ γνωρίσαι σαφῶς, εἰς οἷον ὕψος ἐκεῖνος ἔφθασε ταπεινώσεως· Διεπληκτίζον τότε καὶ ἐμάχοντο πρὸς ἀλλήλους δύο τῶν ἀδελφῶν· ὁ δὲ παρῄνει καταλῦσαι τὴν ἔχθραν, καὶ φιλίαν ἀλλάξασθαι μίσους, παντὶ Χριστιανῷ πρέπουσαν, πολλῷ δὲ μᾶλλον καὶ μοναχοῖς. Ἐπεὶ δὲ λέγων οὐκ ἔπειθεν, ἀλλὰ τῶν αὐτοῦ λόγων ἰσχυροτέραν τὴν ἐκείνων ἀπέχθειαν, ἱκέτης εὐθὺς γίνεται ὁ ποιμὴν τῶν θρεμμάτων, ὁ διδάσκαλος τῶν μαθητῶν, ὁ πατὴρ τῶν τέκνων, καὶ τὸ ἐκείνων καλὸν αὐτὸς ὡς ἰδίαν εὐεργεσίαν ᾐτεῖτο, καὶ τὴν νόσον αὐτῶν καὶ τὸ τραῦμα ὁ ἰατρὸς θεραπεύειν ἐδεῖτο. Ἐδεῖτο δὲ οὐχ ἁπλῶς οὐδ' ἠμελημένως, ἀλλὰ καὶ λίαν ἐκθύμως καὶ πολὺ τὸ μέτριον εἰσφέρων καὶ ταπεινόν· καταβαλὼν γὰρ ἑαυτὸν εἰς ἔδαφος ἔκειτο, τῷ σαφεῖ τῆς ταπεινώσεως σχήματι, μαλάξαι πιστεύων D ἔχθρας ἀντιτυπίαν, καὶ οὐ πρότερον ἀνῆκε δεόμενος, ἕως ἐμάλαξέ τε καὶ τὸ μῖσος αὐτῶν διελύσατο, καὶ τοὺς κακῶς ἀλλήλων διῃρημένους φιλίας δεσμοῖς συνέδησεν.

79. Segregavit aliquem ex fratribus, juste se gerens, cum justo scilicet conjuncta clementia: videbat enim morbum egere tali medicamento. Ille vero bona malis commutans, simul et ordinem transiliit, et eamdem rursus intulit pœnam ei, qui nihil habe-

οθ'. Ἀφώρισέ τινα τῶν ἀδελφῶν, δίκαια δρῶν, ἢ μετὰ τοῦ δικαίου δηλαδὴ καὶ φιλάνθρωπα· ἑώρα γὰρ τοιούτου φαρμάκου τὴν νόσον χρῄζουσαν. Ὁ δὲ ἀγαθὰ κακοῖς ἀμειβόμενος, τήν τε τάξιν ὁμοῦ παρέβαινε, καὶ τὴν αὐτὴν ἐπιτίμησιν ἐπὶ τῷ μηδὲν

(46) Contigit hic terræmotus, indictione IV, Olymio solo consule, ut habet Marcellinus IV. Kal. Juni, die Veneris anno septimo et mense decimo regni Justini, ut Evagrius l. IV, c. 5, quæ omnia in annum Chr. 526 incidunt, ut mirum sit a Baronio ad annum præcedentem referri: sed videtur anni septimi mensem decimum accepisse, cum sit decimus post septimum expletum.

ἔχοντι παρόμοιον ἀντεπῆγεν, ὥσπερ εἴ τις τὰ τῶν A νοσούντων ἀνοήτως ὑπομένειν ἐπιτρέπει τοὺς ὑγιαίνοντας· ὥστε δῆλον εἶναι τὸν ἀδελφὸν καὶ ἑτέραν νόσον χαλεπωτάτην νοσεῖν, τὴν ἀναισχυντίαν. Τί οὖν ὁ μέγας τῇ μετριότητι καὶ τῷ ταπεινῷ λίαν ὑψηλὸς καὶ οὐράνιος; δέχεται τὴν ἐπιτιμίαν ὡς καλῶς γενομένην, καὶ ὡς χώραν ἐπ' αὐτῷ ἔχουσαν, καὶ οὐ πρότερον τῶν θείων ἐκοινώνησεν μυστηρίων, ἕως αὐτὸς ὁ δήσας, αὐτὸς ἄρα καὶ τὴν λύσιν ἐπήγαγεν. Ἦν γὰρ Μωσέως ἄντικρους ζηλωτὴς, φοβερὸς μὲν καὶ ἀπαραίτητος τοῖς ἁμαρτάνουσι πρὸς Θεὸν, ἐπιεικὴς δὲ λίαν καὶ ἥμερος τοῖς πρὸς αὐτὸν πταίουσι γνωριζόμενος· ὡς μήτε διὰ τὸ πρᾶον εὐκαταφρόνητον, μήτε τῷ παντάπασιν αὐστηρῷ φορτικὸν εἶναι, καὶ σωμάτων μόνον, οὐ ψυχῶν ἄρχοντα. Καλῶ μὲν γὰρ τὴν μὲν ἐκ φόβου μόνον ἀρχὴν, σωμάτων B ἀρχὴν, τὴν δέ γε καὶ πόθον συγκεκραμένου ἔχουσαν καὶ ψυχῶν.

π'. Οὐ Μωσέως δὲ μόνον, ἀλλὰ καὶ παντὸς ἄλλου τὸ διατέρον εἰς ἀρετὴν ἐμιμεῖτο· οἷον Ἀβραὰμ τὸ πρὸς πάντα Θεῷ πειθαρχεῖν, καὶ δι' ἐκεῖνον πάντων ὀλιγωρεῖν, οὐ χρημάτων ἁπλῶς, ἢ πατρίδος, ἢ συνήθων καὶ συγγενῶν, ἀλλὰ καὶ φύσεως αὐτῆς καὶ ζωῆς. Τῶν γὰρ δὴ προσηκόντων οὐ Θεοῦ μόνον, ἀλλὰ καὶ τοὺς κατὰ Θεὸν ζῶντας ἡγεῖτο προτιμητέους, καὶ τούτους μᾶλλον εἰς συγγένειαν εἷλκε τῷ τῆς ἀρετῆς λόγῳ, καὶ τῆς περὶ αὐτὸ σπουδῆς καὶ συννεύσεως. Ἰσαὰκ τὴν πρὸς τοὺς πνευματικοὺς πατέρας μέχρι καὶ θανάτου ὑπακοὴν, καὶ τὴν εὐάρεστον θυσίαν αὐτοῦ τοῦ σώματος. Ἰακὼβ τὸ ἄπλαστον C ἀκριβῶς καὶ πονηρίας πάσης ἐλεύθερον, (καὶ τούτου μάρτυρες ἀξιόχρεοι ὅσοι πεῖραν αὐτου τῶν συνουσιῶν καὶ τῆς ὁμιλίας εἰλήφασιν). Ἰωάννου τὴν ἐρημίαν καὶ ἀτροφίαν· Πέτρου τὸ θερμὸν, μετὰ τῆς ἀκριβοῦς πίστεως· Παύλου τὸ ἐνεργὸν διαπαντὸς ὑπὲρ τοῦ καλοῦ καὶ ταλαιπωρικὸν καὶ φερέπονον, καὶ τὸ πᾶσαν μικροῦ τὴν οἰκουμένην ὥσπερ ἐκεῖνος, τὴν μὲν ποσὶ, τὴν δὲ λόγοις, τὴν δὲ φήμῃ διαδραμεῖν· καὶ συνελόντα φάναι, οἷά τις γραφέων ἄριστος τὰ κάλλιστα πανταχόθεν τῆς ἀρετῆς χρώματα συλλεξάμενος, καὶ κεράσας εὖ, ἀρχέτοπον οἷον τὸν ἑαυτοῦ βίον ἐπαινέσαι μᾶλλον, ἢ μιμήσασθαι ῥᾴδιον, τοῖς φιλαρέτοις προέστησεν.

D

πα'. Οὐδὲ ὁ θαυμαστὸς Ἰὼβ ἔξω τοῦ χοροῦ τῶν αὐτῷ ληφθέντων εἰς μίμησιν, ἀλλὰ καὶ αὐτοῦ τὴν ὑπομονὴν, καὶ πάντοτε μὲν, πρὸς τῷ τέλει δὲ καὶ τρανότερον ἐμιμήσατο. Ἐπεὶ γὰρ ἔμελλεν ἤδη τὸν ἀνθρώπινον ὑπεξέρχεσθαι βίον, καὶ ἀντὶ κόπων ὧν εἶδεν, ἀμοιβὰς ἃς ἤλπισε καὶ ἀντιδόσεις ἀπολαβεῖν, ἐπεισί τις αὐτῷ τελευταία νόσος καὶ χρονία, καὶ ὀλίγου δεῖν οὐδὲ νέῳ καὶ ἀκμάζοντι σώματι φορητὴ, οὐχ ὅπως γήρατος οὕτω καὶ φιλαρέτῳ κακοπαθείᾳ κατειργασμένῳ. Ταύτῃ τοι καὶ ὅλον ἐνιαυτὸν κλινοπετὴς ἦν, καὶ ὀδύναις ἀμάχοις παλαίων, καὶ ταῖς τοιαύταις θλίψεσι πλατυνόμενος. Τότε γὰρ δέρμα τοῦ λαγόνος διὰ τὴν ἐκ τῆς νόσου τῆξιν ὑποσυρεὶς, καὶ τὸ τοῦ λόγου σκιᾶς εἴδωλον γεγονὼς, ὡς αὐτῷ

A bat simile, perinde ac si quis juberet sanos ea tolerare, quæ tolerant ægroti: adeo ut sit manifestum, fratrem quoque alio morbo laborare graviori, nempe impudentia. Quid ergo magnus Theodosius moderatione et humilitate valde excelsus et cœlestis? Pœnam quidem suscipit, tanquam quæ recte fuerit imposita, et ut quæ in ipso locum habeat: neque prius divinis communicavit sacramentis, donec ipse, qui ligavit, induxit ipse quoque solutionem. Erat enim Moysis evidenter imitator: terribilis quidem et inexorabilis iis, qui in Deum peccabant; valde autem mitis et mansuetus iis, qui ipsum offendebant: adeo ut nec veniret in contemptum propterea, quod esset mitis et mansuetus; nec gravis ac molestus esset propter nimiam austeritatem, et ut qui solum B corporibus imperaret, non animis. Voco enim, quod ex metu quidem solum est imperium, imperium corporum; id autem quod desiderium quoque habet contemperatum, etiam animorum.

80. Non solum autem Moysis, sed etiam cujusvis alterius in virtute excellentiam imitabatur: utpote Abrahæ, quod Deo pareret in omnibus, et omnia propter illum contemneret, non solummodo pecuniam aut patriam, aut familiares et cognatos, sed ipsam quoque naturam et vitam. Cognatis enim, non Deum solum, sed eos etiam, qui ex Deo vivebant, putabat esse præferendos, et eos magis attrahebat ad cognationem, propter virtutis rationem et studii et voluntatis, quæ in idem confertur. Isaac in spirituales patres usque ad mortem, obedientiam et C ejus corporis gratum et acceptum sacrificium imitabatur: Jacob perfectam sinceritatem et libertatem ab omni improbitate (hujus autem sunt fidei digni testes, qui cum eo consuetudinis et familiaritatis fecere periculum), Joannis solitudinem et inediam: Petri, cum exacta fide vehementiam et ardorem: Pauli, pro eo quod est honestum, perpetuam actionem, afflictionem et diligentiam; et quod propemodum universum orbem terræ sicut ille, partim quidem pedibus, partim vero sermonibus, partim vero fama pervaserit: et, ut semel dicam, quomodo quis pictor præstantissimus, qui præstantissimos virtutis colores undique collegit et recte miscuit, in veluti quoddam exemplar suam vitam, laudatu quam imitatu faciliorem, proposuit virtutis studiosis.

81. Neque vero Job admirabilis erat extra chorum eorum, qui sumpti sunt ad imitandum: sed ejus etiam tolerantiam, semper quidem, in fine autem apertius et imitatus. Nam cum jam esset e vita humana excessurus, et pro iis, quos tulit, laboribus mercedes et remunerationes, quas speravit, accepturus, postremo eum invadit morbus diuturnus, et propemodum ne juveni quidem et florem, corpori tolerabilis, nedum tanta senectute confecto, et quam virtutis causa susceperat, afflictione. Ea de causa et toto anno jacebat in lecto, cum inexpugnabilibus colluctans doloribus, et talibus dilatatus afflictionibus. Tunc enim tabe exhaustus, pelleque exesa, atque umbræ, ut dicitur simulacrum effe-

ctus, adeo ut nihil ei præter ossa relinqueretur; nihil tamen molle, nihil illiberale, nihil indignum aut fecit, aut est locutus eo spiritu, qui tali vitæ convenit. Quin etiam cum quidam senex intensam ac vehementem vim morbi aspexisset, et ei dixisset: Roga Deum: forte enim malum sic sistetur; non amico nec benigno, ut solebat, eum aspectu intuens. Ne tu mihi, inquit, o Pater, quidquam de eo dixeris. Nam cum me sæpe tales subiissent cogitationes, arbitratus has esse potius maligni insidias, quam consilium, eas toto studio repuli, ut qui illud apud me reputaverim, quod præsentis quidem vitæ bonorum satis magnum fructum ceperimus, ut qui gloriam scilicet et nomen simus consecuti. Oportet ergo omnino affligi et mala perpeti et aliquam habere partem, quæ digna sit ea, quæ est illic, consolatione; ne nobis quoque merito illud dicatur, quod diviti dictum est: *Percepisti bona tua in vita tua* [29]. His auditis, se abscondit senex, et nec habebat quidem omnino quod sancto responderet.

82. Ceterum illius patientiæ et tolerantiæ multa quidem sunt alia quoque signa; testes autem sunt ii quoque, qui in tempore infirmitatis ei inserviere, quod nihil ex animæ operationibus a morbo fuerit ei surreptum, nec in amore divinorum eloquiorum ipse omnino seipso visus sit inferior, aut frigidior. Est autem hoc quoque signum vehementis illius rerum divinarum meditationis. Nam etsi illius oculus somnum sæpe gustavit, utpote flexus ab ea, quæ omnia vincit, natura; at ejus quidem certe labra faciebant, quod consueverant. Quocirca etiam interim, dum a somno surgeret, canticum ad Deum comprehendebat labris: adeo ut quod dicit divinus David, in eo impleretur: *Et noctu canticum ejus est apud me* [30].

A μηδὲν πλέον τῶν ὀστῶν ὑπολείπεσθαι, ὅμως οὐδὲν μαλακὸν, οὐδὲν ἀγεννὲς, οὐδὲν ἀνάξιον ἢ ἔδρασεν ἢ ἐφθέγξατο τοῦ προσήκοντος βίῳ τοιούτῳ φρονήματος· ἀλλὰ καί τινος γέροντος πρὸς τὸ σφοδρὸν τῆς νόσου καὶ διατεταμένον βλέψαντο, καὶ, δεήθητι τοῦ Θεοῦ, πρὸς αὐτὸν εἰρηκότος, τάχα γὰρ τὸ δεινὸν οὕτω στήσεται, μὴ φίλον ἐκεῖνος μηδὲ κατὰ τὸ σύνηθες, εὐμενὲς ἐπιβλέψας· Μή σοί γε, Πάτερ, ἔφη, μηδὲν περὶ τούτου· ἐμὲ γὰρ πολλάκις τοιούτων λογισμῶν ἐλθόντων, ἐπιβουλὴν τοῦ πονηροῦ τὸ πρᾶγμα, μᾶλλον συμβουλὴν εἶναι δοκιμάσας, ὅλῃ σπουδῇ, τούτους διακρουσάμην, ἐκεῖνο ὑπολαβὼν ὡς τῶν μὲν τοῦ παρόντος βίου καλῶν ἱκανῶς ἀπελαύσαμεν, δόξης ἐνταῦθα τυχόντες δηλαδὴ καὶ ὀνόματος· δεῖ γοῦν καὶ κακοπαθῆσαι πάντως, καί τινα μοῖραν ἔχειν ἀξίαν B τῆς ἐκεῖ παρακλήσεως. μὴ καὶ πρὸς ἡμᾶς ἐκεῖνο λεχθείη δικαίως, ὃ καὶ πρὸς τὸν πλούσιον εἴρηται τὸ, Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου. Πρὸς ταῦτα τὸν γέροντα ἐγκαλύψασθαι καὶ μηδὲν ἔχειν ὅλως ἥντινα πρὸς τὸν ὅσιον ποιήσεται τὴν ἀπόκρισιν.

πβ'. Πλὴν ἀλλὰ τῆς ὑπομονῆς ἐκείνου καὶ καρτερίας, πολλὰ μὲν καὶ ἄλλα τεκμήρια· μάρτυρες δὲ, καὶ οἱ κατὰ τὸν τῆς ἀῤῥωστίας καιρὸν χεῖρας αὐτῷ ὑπηρετούσας εἰσενεγκόντες, ὅτι μηδὲν μήτε τὰς τῆς ἐνεργείας ὑπὸ τῆς νόσου παραβλαβείη, μήτε τὸν ἔρωτα τῶν θείων λογίων αὐτὸς ἥττων ὀφθείη, μηδ' ὅλως ἑαυτοῦ καὶ ψυχρότερος. Σημεῖον δὲ καὶ τοῦτο τῆς πολλῆς ἐκείνου περὶ τὰ θεῖα θερμότητος, καὶ μελέτης. Εἰ γὰρ καὶ ὀφθαλμὸς αὐτῷ ὕπνου πολλάκις C γεύσαιτο, καμφθεὶς ὑπὸ τῆς πάντα νικώσης φύσεως, πλὴν ἀλλὰ τὰ χείλη γοῦν τὰ ἑαυτοῦ τὰ συνήθη ποιεῖν ἦν· διὸ καὶ μεταξὺ ἀναφέρων ἀπὸ τοῦ ὕπνου τὴν πρὸς Θεὸν ᾠδὴν ἐν τοῖς χείλεσι κατελάμβανεν, ὥστε τὸ τοῦ θείου Δαβὶδ, καλῶς καὶ ἐπ' αὐτῷ πληροῦσθαι, τὸ, Καὶ νυκτὸς ᾠδὴ αὐτοῦ παρ' ἐμοί.

CAPUT XIX.

Mors, sepultura, miracula.

83. Porro autem multa quoque dicunt eum in morte divinasse, multa autem etiam prædixisse de futuris, per Spiritum qui in ipso cohabitabat. Nam cum eum circumsistens totus cœtus fraternitatis, specie quidem illum, revera autem seipsum unusquisque deflebat, ut qui talem Patrem amitteret, qui eos in Christo genuit ex Pauli sententia, quique carnalium patrum viscera longe vincebat sua in illos affectione, et cum quo una maluissent deficere, si fieri potuisset, quam eum videre excedentem. Is autem cum eos satis esset adhortatus, ut in loco permanerent, et ut ingruentes tentationes ad finem usque fortiter ferrent, et ut eis obedirent, qui post ipsum præfuturi essent monasterio; et prædixisset omnia, quæ erant eventura, dat eis illud signum, quod finem essent acceptura ea, quæ dicta sunt. Si enim post meum, inquit, decessum videritis mihi gregem augeri, et quo magis tempus processerit,

πγ'. Πολλὰ μὲν οὖν καὶ ἐν τῇ τελευτῇ φασι τὸν ἄνδρα ἐπιθειάσαι, πολλὰ δὲ καὶ περὶ τῶν μελλόντων, διὰ τοῦ συνοικοῦντος αὐτῷ Πνεύματος προειπεῖν· Ἐπειδὴ γὰρ περιστάντες αὐτὸν πᾶν τὸ τῆς ἀδελφότητος πλήρωμα, τῷ μὲν δοκεῖν ἐκεῖνον, τῇ δὲ ἀληθείᾳ ἕκαστος ἑαυτὸν ἀπεδύρετο, Πατέρα τοιοῦτον, φεῦ, ἀποβάλλοντες, ὃς ἐν Χριστῷ κατὰ Παῦλον αὐ- D τοὺς ἐγέννησε, πολλῷ σαρκικῶν πατέρων σπλάγχνα τῇ πρὸς ἐκείνους νικῶντα φιλοστοργίᾳ, καὶ συνεκλιπεῖν αὐτῷ μᾶλλον, εἴπερ οἷόν τε ἦν, ἢ ἐκδημοῦντα ἰδεῖν ἐβούλοντο. Ὁ δὲ ἱκανῶς αὐτοῖς παραινέσας ἐπιμονὴν τὴν ἐν τῷ τόπῳ, πειρασμῶν τε τῶν ἐπερχομένων ἄχρι καὶ τέλος ὑπομονὴν, ἔτι γε μὴν πρὸς τοὺς μετ' αὐτὸν τῆς μονῆς ἐξηγησομένους ὑπακοὴν, πάντα τε τὰ καταληψόμενα προειπὼν, σημεῖον αὐτοῖς τοῦ καὶ πέρας τὰ εἰρημένα λαβεῖν ἐκεῖνο δίδωσιν. Εἰ μὲν γὰρ μετὰ τὴν ἐμὴν, ἔφη, τελευτὴν αὐξανόμενόν μοι τὸ ποίμνιον ἴδητε, καὶ ὅσῳ μᾶλλον

29 Luc. XVI, 25. 30 Psal. LI, 9.

ὁ χρόνος προΐοι, τοσούτῳ μεῖζον ἑαυτοῦ καὶ κρεῖττον γινόμενον, χρῆναι τηνικαῦτα φημὶ καὶ περὶ τῶν ἄλλων εὐέλπιδας ὑμᾶς εἶναι. Εἰ δὲ μὴ ταῦτα τοῦτον ἕξει τὸν τρόπον, εὔδηλον ὅτι πέρας οὐδὲ τὰ λειπόμενα λήψεται. A

πδ'. Ἅπερ εἰ κατὰ τὰς αὐτοῦ προῤῥήσεις ἐξέβη καὶ τέλος εἴληφεν, αὐτὰ πρὸ τῶν ἄλλων μαρτυρεῖ τὰ ὁρώμενα· μέγεθός τε τῶν τῆς μονῆς οἰκοδομημάτων, καὶ πλῆθος τῶν ἐνοικούντων, καὶ τὸ τῆς ἀρετῆς αὐτῶν ἀπαράμιλλον. Τὴν δὲ δὴ ζῶσαν ἐκείνου δόξαν καὶ μετὰ τὸν θάνατον, καὶ ὅση τῷ ἀνδρὶ πρὸς Θεὸν παῤῥησία, τίνες ἂν ἄλλοι σαφῶς παραστήσαιεν, ἢ ὀφθαλμοὶ μὲν τυφλῶν, πόδες δὲ χωλῶν, καὶ χεῖρες τῶν ταύτας πρὸ τῶν εὐχῶν ἐκείνου πηρῶν, αἱ μὲν τὸ κινεῖσθαι, οἱ δὲ τὸ τρέχειν, οἱ δὲ δι' ἐκείνου τὸ βλέπειν ἀπολαμβάνοντες, καὶ πρὸ τούτων, B αὐτὴ τῶν λειψάνων ἡ σοφὸς, πηγὴ μύρου γνωριζομένη;

πε'. Ἀλλ' ἐνταῦθα μὲν ὁ λόγος ἡμᾶς ὥσπερ τι ῥεῦμα φέρων παρήνεγκε· δεῖ δὲ καὶ πλέον ἐπιμεῖναι τῇ τελευτῇ, καὶ τὸν τρόπον ὅπως ἐπῆλθε διαλαβεῖν, καὶ μέντοι τὰ ἐπ' αὐτῇ παρακολουθήσαντα τρανότερον ἐξειπεῖν. Ἐπεὶ γὰρ πλησιάζουσαν αὐτὴν ὁ μέγας ἑώρα, καὶ ᾔδει λοιπὸν ὅτι μετὰ τρίτην αὐτὴν ἡμέραν τῷ κοινῷ καὶ οὐρανίῳ Πατρὶ παραπέμψει, τρεῖς μόνους τῶν ἐπισκόπων ἐπὶ προφάσει κοινῆς χρείας μεταστειλάμενος, (τὸν ὄχλον γὰρ ἐκεῖνος καὶ τοὺς θορύβους μάλιστα περιΐστατο) καὶ ἅμα, ἵνα καὶ τῶν ἡμερῶν ἀριθμὸν δι' αὐτῶν ὑποφήνῃ, ὡς τῶν τριῶν οὐ πλείους ἐπιβιώη· τούτους οὖν μετα- C στειλάμενος ἀσπάζεται χαίρων ἀνιωμένους, δακρύοντας οὐ δακρύων, ἀθυμοῦντας αὐτὸς εὐφραινόμενος, ὥσπερ ἄρα καὶ ἀκόλουθον ἦν. Οἱ μὲν γὰρ τὸν ποθούμενον ἀφῃροῦντο, ὁ δὲ πρὸς ὃν ἐπόθει μᾶλλον ἀνήγετο· καὶ οἱ μὲν πατρὸς ὑπέμενον στέρησιν, ὁ δὲ πρὸς πατρὸς μᾶλλον ἐχώρει σκηνάς. Ὁ μὲν τέλος ἑώρα τῶν ἀνιόντων, οἱ δὲ λυπηρῶν ἀρχὴν τοῦ ἐκείνου θάνατον ἐποιοῦντο. Ἔπειτα χεῖρας εἰς προσευχὴν ἀνασχὼν, τὰ χείλη τε ἠρέμα ὑποκινήσας, ὡς τοῖς παρεστῶσι παρέχειν ὑπονοεῖν, ὅτι τὰ τῆς ἐσχάτης φθέγγεται πρὸς Θεὸν ἐκδημίας, καὶ μετὰ τὴν εὐχὴν κατὰ τὸ εὔσχημον αὐτὰς ἐπιθεὶς τῷ στήθει, τὴν γενναίαν ἐκείνην ψυχὴν καὶ δαίμοσιν ὄντως φοβερὰν, καὶ ἀήττητον, εἰς χεῖρας Θεοῦ παρατίθεται, ἔτη πέντε πρὸς τοῖς ἑκατὸν τὰ πάντα βιοὺς, καὶ D ὀλίγῳ πλέον ἢ ἔλαττον. Τιμᾷ δὲ ὁ Θεὸς αὐτίκα τὴν τελευτὴν θαύματι θεσπεσίῳ. Τόδε ἦν·

πϛ'. Ἀνήρ τις, τοὔνομα Στέφανος, γένος Ἀλεξανδρεὺς, ἱκανὸν ἤδη χρόνον πνεύματι πονηρῷ κάτοχος ἦν, καὶ τυχεῖν μὲν καὶ πρότερον θεραπευτοῦ τοῦ μεγάλου δεόμενος, καὶ διὰ τοῦτο μέχρι καὶ τελευταίας αὐτῷ παραμείνας ἀναπνοῆς· οὐ τυχὼν δὲ, θειοτέρᾳ τινὶ πάντως οἰκονομίᾳ, ὥστε μετὰ τὴν τοῦ συνδέσμου λύσιν καὶ ἄφεσιν τοῦ μακαρίου φημὶ πατρὸς καὶ τῆς τοῦ πονηροῦ πνεύματος ἀφέσεως ταμιευομένης. Οὗτος οὖν τῇ φερούσῃ κλίνῃ νεκρὸν ἤδη

tanto se majorem evadere et meliorem, tunc dico vos de aliis quoque bonam spem oportere concipere. Quod si non sint hæc hoc modo se habitura, clarum est fore ut nec reliquia finem sint acceptura.

84. Quæ quidem an evenerint, sicut ille prædixit, et finem acceperint, ipsa ante alia testantur quæ videntur, magnitudo quidem ædificiorum monasterii, et multitudo eorum qui inhabitant, et eorum virtus ejusmodi, ut cum eis nemo possit contendere. Vivam autem illius post mortem quoque gloriam, et quanta ei fuerit apud Deum fiducia; quinam alii apertius ostenderint, quam oculi quidem cæcorum, pedes vero claudorum, et manus eorum qui erant manci ante illius preces: ex quibus illæ quidem ut moverentur, hi vero ut currerent, oculi autem ut viderent, per eum acceperunt: et præ his ipse loculus reliquiarum, qui unguenti fons esse cognoscitur?

85. Sed huc nos quidem oratio, tanquam fluentum aliquod detulit: oportet vero in ejus morte amplius immorari, et tractare quemadmodum excesserit, et ea etiam, quæ post ipsam sunt consecuta, apertius eloqui. Postquam enim vidit magnus illam appropinquare, et scivit futurum, ut post tres dies ad communem Patrem et cœlestem transmitteret: cum tres solos episcopos accersisset, perinde ac de re aliqua communi cum eis tractaturus, (turbam enim et tumultus vitabat ille maxime), et simul etiam, ut dierum numerum per ipsos ostenderet, quod scilicet plus quam tres non viveret; cum eos ergo accersisset, salutat lætus tristes, lacrymantes non lacrymans, animo anxios ipse hilaris, sicut etiam erat consentaneum. Nam illi quidem privabantur eo, qui desiderabatur; hic vero deducebatur ad eum, quem magis desiderabat; et illi quidem se patre privari ægre ferebant, hic vero proficiscebatur ad Patris tabernacula. Hic quidem videbat finem eorum, quæ ei afferebant molestiam; illi vero ducebant illius mortem esse rerum molestarum principium. Deinde cum manus sustulisset ad orandum, et labra sensim movisset, ita ut iis, qui astabant, relinqueret cogitandam, quod extremi ad Deum excussus verba loqueretur, et post orationem eas decore pectori imposuisset, generosam illam et vere dæmonibus terribilem et inexpugnabilem animam commendat in manus Dei, cum omnes annos vixisset centum et quinque, et paulo amplius Deus autem ejus mortem statim honorat divino miraculo. Hoc autem fuit:

86. Vir quidam, nomine Stephanus, genere Alexandrinus, qui jam longo tempore vexabatur a maligno spiritu, et magnum quidem prius rogarat Theodosium, ut eum curaret, et ideo usque ad extremum ejus spiritum permanserat, non autem impetraverat, quodam diviniori omnino consilio, utpote quod post vinculi solutionem, et beati patris dimissionem, maligni quoque spiritus reservaretur dimissio. Hic ergo cum fuisset prope lectum, qui

corpus ferebat jam mortuum: tunc enim erat sanæ et compositæ mentis, quod majorem quoque ei dolorem afferebat, ut qui posset considerare, in qualem incidisset infelix calamitatem, et quod quam solam habebat spem liberationis, ea quoque sit privatus, mansurus sit autem perpetuo hanc gravem sustinens tyrannidem, et ferens motum dæmonis, secretos illos impetus, furorem horribilem, et quæ dici nequit, agitationem, casusque miserabiles, qui ex eis oriuntur, et inenarrabilem apud homines ignominiam. Hæc cùm animo versaret et recte intelligeret, quod nulla spes de cetero, et nulla ab eis relicta esset liberatio, gravi dolore cor ei feriebatur, igne viscera incendebantur, gravissimo luctu anima tenebatur; quid non dicebat? quid non faciebat miserabile? capillos acerbe vellens, pectus valde feriens, fronte misere solum pulsans, longum et acutum ejulans, pedes rigans lacrymis, eum qui jacebat, tanquam vivum alloquens: Qui solus erat spes, inquit, solus servator, recedit, reliquit nos deditos dæmoni. Quodnam adhuc est refugium? quænam est adhuc exspectatio? Nunc ensi melius est sua sponte incumbere: nunc ignem, nunc mare ingredi, et sic dæmonis insultus effugere.

87. Hæc deflens infelix, se in lectum dejecerat, amplectebatur reliquias, malebat una cum eo sepeliri, quam lucem aspicere, tali tyranno serviens. Quid ergo Deus rerum admirabilium? Movet quidem dæmon interim, dum flet, hominem, et cum eum humi dejecisset, et totum ipsum in oculis omnium dilacerasset, ut vel sic involuntarium significaret recessum, quamque hominibus infestus, et quanto in eos cleatur furore, cum relinquit, aut potius ipse exturbatur, motus flagello diviniore. Sic ergo ei et vivo, et post mortem cessit terra, et cœlum, et mare, et aer, et dæmones; terra quidem a feris, cœlum vero a siccitate, mare autem a periculis, aer vestro a locusta et brucho, dæmones autem a plagis homines liberos relinquentes: et nihil fuit, quod non deinceps ejus testaretur virtutem multamque apud eum fiduciam.

88. Cum autem fama repente in omnem locum pervasisset, quod et magnus Theodosius ad suum Dominum jam excessisset, et magnum de dæmoniaco miraculum esset a non paucis auditione acceptum, Petrus ille magnus, qui tunc apostolicam sedem tenebat Hierosolymis, ille, inquam, Petrus, cujus magna quidem fuit fama, famam autem superabat virtus; accedit cum multis aliis episcopis ad sepeliendas reliquias. Undique autem concurrebat et multitudo monachorum simul et promiscui vulgi. Omnes autem multum ponebant studii, ut et partem aliquam attingerent, aut sanctorum illius capillorum, aut sacræ vestis, aut certe ut vel solum appropinquarent, et beatum illum vultum viderent: et de eo tanta certabatur contentione, ut ne diu quidem permitteretur sepelire reliquias, sed melius

A τὸ σῶμα παρεστηκώς, ἐτύγχανε γὰρ τότε νήφων καὶ τὰς φρένας καθεστηκώς, ὃ καὶ μᾶλλον αὐτῷ σφοδρότερον ἀνῆπτε τὸ πένθος λογίζεσθαι δυναμένῳ εἰς οἵαν ὁ ἄθλιος συμφορὰν περιπέσοι, καὶ ὅπως, ἣν εἶχε καὶ μόνην ἀπαλλαγῆς ἐλπίδα, καὶ ταύτην ἀφῄρηται, μενεῖ δὲ τὸ λοιπὸν ἄχρι τέλους τὴν χαλεπὴν ταύτην ὑφιστάμενος τυραννίδα, καὶ τὰς ἐκ τοῦ δαίμονος ὑπομένων κινήσεις, τὰς προσβολὰς ἐκείνας τὰς ἀποῤῥήτους, τὴν μανίαν, τὸν φρικώδη κλόνον καὶ ἀπόῤῥητον, καὶ τὰ ἐκεῖθεν ἐλεεινὰ πτώματα καὶ συμπτώματα καὶ τὴν ἀδιήγησον ἐξ ἀνθρώπων αἰσχύνην. Ταῦτα ἐπὶ νοῦν λαμβάνων καὶ καλῶς συνιών, ὡς οὐδεμία τὸ λοιπὸν ἐλπὶς, οὐδεμία τῶν τοιούτων ἀπαλλαγὴ καταλείπεται, ὀδύναις τὴν καρδίαν ὀξείαις ἐβάλλετο, τὰ σπλάγχνα πυρὶ διεπίμπρατο, βαρυτάτῳ τὴν ψυχὴν πένθει κατείχετο. Τί μὲν οὐ λέγων, τί δὲ μὴ B πράττων ἐλεεινόν; τίλλων τὰς τρίχας πικρῶς, πλήττων τὰ στέρνα σφοδρῶς, τῷ μετώπῳ κόπτων δεινῶς τὸ ἔδαφος, ὀξὺ καὶ μακρὸν ἀνοιμώζων, δάκρυσι κατακλύζων τοὺς πόδας, ὡς ζῶντι τῷ κειμένῳ διαλεγόμενος· Ἡ μόνη, λέγων, ἐλπὶς, ὁ μόνος σωτὴρ οἴχεται, καταλέλοιπεν, ἐκδότους ἡμᾶς ἀφῆκε τῷ δαίμονι. Τίς ἔτι καταφυγή; τίς ἔτι προσδοκία; νῦν ἐπὶ ξίφος ἑκόντα κρεῖττον ἐλθεῖν, νῦν ἐπὶ πῦρ, νῦν ἐπὶ θάλατταν, καὶ οὕτω φυγεῖν δαίμονος ἐπιθέσεις.

πζ'. Τοιαῦτα ὁ δυστυχὴς ὀδυρόμενος τῇ κλίνῃ προσέῤῥιπτο, τῷ λειψάνῳ περιεπλέκετο, συνταφῆναι μᾶλλον ᾑρεῖτο ἢ φῶς ὁρᾷν τοιούτῳ τυράννῳ δουλεύων. Τί οὖν ὁ τῶν θαυμασίων Θεός; Κινεῖ μὲν ὁ δαίμων μεταξὺ τοῦ θρήνου τὸν ἄνθρωπον, καταβαλὼν δὲ εἰς γῆν, καὶ ὅλον αὐτὸν ἐν ὀφθαλμοῖς πάν- C των διαπαράξας, ἵνα ἀκούσιον οὕτω δηλώσῃ τὴν ἀναχώρησιν, καὶ ὅσον τὸ πρὸς ἀνθρώπους ἀπεχθὲς ἐκείνῳ καὶ μανικὸν, ἀπολείπει. ἢ μᾶλλον αὐτὸς ἐξωθεῖται μάστιγι θειοτέρᾳ κινούμενος. Οὕτως αὐτῷ καὶ ζῶντι καὶ μετὰ θάνατον γῆ τε εἶχε, καὶ οὐρανὸς, καὶ θάλασσα, καὶ ἀὴρ, καὶ δαίμονες· γῆ μὲν θηρίων, οὐρανὸς δὲ αὐχμοῦ, θάλασσα δὲ κινδύνων, ἀὴρ δὲ ἀκρίδος, φημὶ, καὶ βρούχου, δαίμονες δὲ πληγῶν τοὺς ἀνθρώπους ἐλευθεροῦντες· καὶ οὐδὲν αὐτοῦ λοιπὸν τῆς ἀρετῆς καὶ τῆς πολλῆς ἐκείνης πρὸς Θεὸν παῤῥησίας ἀμάρτυρον.

πη'. Τῆς οὖν φήμης ἀθρόον πάντα διαλαβούσης, ὅτι τε ὁ μέγας ἤδη τὸν οἰκεῖον Θεοδόσιος ἐκδημήσοι Δεσπότην, καὶ δὴ καὶ τοῦ κατὰ τὸν δαιμονῶντα θαύματος ἀκοαῖς οὐκ ὀλίγαις διαδοθέντος, Πέτρος ὁ μέ- D γας, ὁ τὸν ἀποστολικὸν ἐν Ἱεροσολύμοις θρόνον τηνικαῦτα διέπων, Πέτρος ἐκεῖνος ὁ πολὺς μὲν τὴν φήμην, μείζων δὲ τῆς φήμης τὴν ἀρετὴν, μετὰ πολλῶν καὶ ἄλλων ἐπισκόπων πρὸς τὴν τοῦ λειψάνου ταφὴν παραγίνεται. Συντρέχει δὲ πανταχόθεν καὶ πλῆθος μοναστῶν ἅμα καὶ μιγάδων. Καὶ πάντες ἐγγὺς γενέσθαι καὶ τινὸς ἅψασθαι μέρους, εἴτε τῶν ἁγίων ἐκείνου τριχῶν, εἴτε τῆς ἱερᾶς ἐσθῆτος, ἠγοῦν καὶ πλησιάσαι μόνον καὶ τὴν μακαρίαν ὄψιν ἰδεῖν, σπουδῆς ἄξιον ἐποιοῦντο· καὶ χρῆμα κομιδῇ περιμάχητον, ὥστε μηδὲ τῷ λειψάνῳ μέχρι πολλοῦ τὴν ταφὴν συγχωρεῖσθαι, ἀλλὰ κρεῖττον αὐτὸ νομίζεσθαι.

καὶ τοὺς ἐπὶ νεκρῷ νόμους διαφυγεῖν. Εἶτα μόλις A ποτὲ τοῦ πλήθους ἐφέντος, τιμίως ὁμοῦ καὶ λαμπρῶς τὸ τίμιον ἐκεῖνα καὶ οὐρανῶν ἄξιον τῇ γῇ κατατίθεται σῶμα καὶ καλύπτεται· οὐχ ὡς κρύπτεσθαι καὶ λαθεῖν προσῆκον, ἄλλως πλοῦτος μᾶλλον καὶ θησαυρὸς τοῖς φιλοθέοις ταμιευόμενον, εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἅμα τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

existimaretur prætermittere justa quæ fiunt mortuis. Deinde vero tandem permittente multitudine, honorifice simul et splendide illud venerandum et cœlis dignum corpus terræ mandatur et contegitur: non ut quod oporteret quidem abdi et latere, sed quod servabatur potius piis, tanquam opes et thesaurus, ad gloriam Domini nostri Jesu Christi, simul cum Patre et sancto Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

ΜΑΡΤΥΡΙΟΝ

ΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ ΕΡΜΥΛΟΥ ΚΑΙ ΣΤΡΑΤΟΝΙΚΟΥ

MARTYRIUM

SS. MARTYRUM HERMYLI ET STRATONICI.

(Anno 300.)

[Latine apud Surium ad diem 13 Januarii; Græca descripsimus ex codice ms. bibliothecæ majoris Parisiensi n. 1467 notato, sæculi XI. EDIT. PATR.]

Α'. Βασιλεύοντος Λικινίου τοῦ δυσσεβοῦς, πολλήν B τε περὶ τὰ εἴδωλα τὴν σπουδὴν ποιουμένου, θυσίαις αὐτὰ τιμᾶσθαι καὶ τελεταῖς, χαλεπὸς πᾶσι Χριστιανοῖς ἐπήρτητο θάνατος, πόλεις τε δι' αὐτοὺς ἠρευνῶντο, καὶ χωρία περιειργάζοντο, κῶμαί τε καὶ ἀγροὶ καὶ οἰκίαι, καὶ πᾶς ὅστις Χριστιανῶν ἕνα τῷ βασιλεῖ προσήγγειλεν, εὔνους οὕτως ἐδόκει καὶ τιμῶν αὐτῷ τῶν μεγίστων ἄξιος. Ὅθεν καὶ πολλὴ παρ' αὐτοῦ τε καὶ τῶν ὑπ' αὐτῷ πάντων, ἡ περὶ τοῦτο ἦν ἐπιμέλεια, τοῦ μὲν θεοῖς ματαίοις, τῶν δὲ βασιλεῖ ἀνόμῳ καὶ πονηρῷ χαριζομένων. Ποτὲ γοῦν ἐπὶ βήματος ὑψηλοῦ, τῷ δυσσεβεῖ τούτῳ Λικινίῳ προκαθημένῳ, πρόσεισί τις τῶν τῆς τάξεως τὰ περὶ τοῦ θείου μάρτυρος προσαγγέλλων· Ἔστι τις, λέγων, ἀνὴρ Ἑρμύλος ὄνομα διακόνου τάξιν ἐπέχων, ἐκ πολλοῦ μὲν τὰ Χριστιανῶν πρεσβεύων, θεοὺς δὲ καὶ σὲ μυ- C κτηρίζων, καὶ εἰς τὸ μηδὲν εἶναι, βασιλεῦ, τιθέμενος. Τούτων ὁ Λικίνιος ἀκούσας, οὐ μέλλων ἦν οὐδ' ἀναβαλλόμενος· ἀλλὰ τοῖς παρεστῶσιν εὐθὺς ἐκέλευε συλλαβόντας αὐτὸν ὅπουπερ ἂν ᾖ παραστῆσαι τῷ βήματι. Ἐκεῖνοι μὲν οὖν πανταχοῦ διερευνησάμενοι, καὶ τοῦτον εὐχόμενον που καὶ ὁσίας αἴροντα χεῖρας καταλαβόντες, τὸ βασιλικὸν αὐτῷ γνωρίζουσι πρόσταγμα. Ὁ δὲ παραχρῆμα εἵπετο, πρόθυμος προθύμοις, οὐδὲν ἀγεννές, οὐδὲν μαλακὸν ἐπὶ τῆς ὄψεως ὑποφαίνων, ἀφ' ὧν ἡ διάθεσις τῆς ψυχῆς φανερὰ γίνεται· ἀλλὰ χαίρων μᾶλλον καὶ πολλῆς ἔμπλεως ἡδονῆς, ὅτι διὰ Χριστὸν μέλλοι παθεῖν, τῷ βασιλεῖ παρίστατο.

Β'. Καὶ εὐθὺς ἐκεῖνος· Ἀπόκριναι, λέγει, καὶ σα-

I. Impio imperante Licinio, et magnum adhibente studium, ut idola honorarentur sacris et sacrificiis, impendebat mors gravis omnibus Christianis, civitatesque propter ipsos indagabantur, et regiones vicique et agri curiose perquirebantur: et quicunque Christianum unum deferebat ad imperatorem, videbatur is esse ei benevolus, et dignus maximis honoribus. Quocirca et ipse, et quicunque ei suberant, hac in re magna utebantur diligentia: cum ille quidem variis diis, hi vero imperatori gratificarentur impio et scelerato. Ad hunc ergo Licinium aliquando in sublimi sedentem tribunali, accedit quidam ex ordine militari, divinum deferens martyrem: Est, dicens, vir quidam Hermylus nomine, qui ordinem obtinet diaconi: qui diu quidem abhinc observat et colit ritus Christianorum: deos autem et te subsannat, et nihili facit, o imperator. Hæc cum audiisset Licinius, non distulit nec protelavit; sed iis, qui aderant, statim jussit, ut eum ubicunque esset comprehenderent, et ad tribunal adducerent. Atque illi quidem cum in omni loco scrutati essent, et eum alicubi orantem, et sanctas manus tollentem comprehendissent, ei significant jussum imperatoris. Is vero statim alacer alacres est secutus, nihil ignavum nec molle aspectu præ se ferens, quibus ex rebus manifesta fit animæ affectio: sed gaudens potius, et magna repletus lætitia, quod est propter Christum passurus.

II. Ille vero: Responde, inquit, et aperte signi-

fica, an te Christianum faleris esse, sicut audivimus. Hic vero : Non solum hoc, inquit, cum præclara sententia et voce confiteor, sed etiam, quod Deo, qui sub visum non cadit, sum consecratus : et ei assisto, ut qui illius factus sim diaconus. Imperator autem volens se ostendere urbanum, et valde ingeniosum : Ergo te, inquit, diis diaconum, hoc est, ministrum exhibe. Martyr autem in risum vertens ejus promptum et versatile responsum : Videris, inquit, mihi esse surdus, o imperator, aut etiam stultum agere. Dixi tibi me ministrare Deo, qui non cadit sub aspectum : non autem horum qui videntur, aut potius ne vident quidem, esse diaconum, quos ipse, ut qui falleris, perinde ac deos colis : cum sint lapides et ligna omnino inanima, et surda opera manus humanæ, et quæ iis qui sapiunt sunt potius ridenda quam adoranda. Non tulit imperator dicendi libertatem, sed statim quibusdam instrumentis æneis, ad sumendum supplicium confectis, jubet genas quidem verberari martyris, præconem autem hæc proclamare: Ne sis lingua nimium profusus, o Hermyle : honora imperatorem, diis sacrifica, et liberare a supplicio. Is autem, etiamsi sic verberaretur, perinde ac si nihil subiret molestum, contra tyranno etiam exprobrabat imbecillitatem, ut qui dubii perplexique esset animi, et plane victus: et ideo non secus ac ii, qui sunt pusilli et abjecti animi, ex ira inferret supplicium. Deinde etiam clariore voce utens : Plagas, inquit, quæ nunquam desinunt, et divinas manus experieris, quod eo qui te fecit, relicto, surdis et mutis diis attendis, et quod est gravius, aliorum veluti saluti invidens contendis ad eumdem trahere interitum.

III. Postquam autem visum est imperatori sufficere supplicium, et ita aliquid remisit de nimia acerbitate, tradit martyrem carceri, et tres dies jussit in eo manere, Fortasse, dicens, ducetur pœnitentia vanæ suæ pertinaciæ. Martyr itaque abiens in carcerem, psallebat : *Dominus mihi adjutor, non timebo quid faciat mihi homo* [1]. *Dominus mihi adjutor, non timebo quid faciat mihi caro* [2]. Jam autem ingrediens custodiam, *Qui pascis Israel,* dicebat, *attende, qui deducis tanquam ovem Joseph. Qui sedes super Cherubim, manifestare* [3]; et veni ad nos servandos. Sed sic quidem martyr, et sic quæ erant gravia et molesta, propter Christum pati voluit. Christus autem quomodo se habuit ? Num famulum contempsit? Num illo patiente, neglexit ipse consolationem ? Et quomodo fuerit hoc nostri Dei, benignitatisque et clementiæ, quæ omnem superat cogitationem? Non ergo defecit opem ferens, sed etiam incitavit ad animi fortitudinem, et ad eum angelum mittit consolatorem, dicentem : Hermyle, esto bono animo, et noli timere : loquere, et noli tacere. Decerta, et noli timere. Mox enim vinces tyranni machinas et desuper feres præclaram coronam martyrii,

A φῶς δίδαξον, εἴπερ ἄρα Χριστιανὸς εἶναι ὁμολογεῖς ὥσπερ ἠκούσαμεν. Ὁ δὲ, Οὐ μόνον, ἔφη, τοῦτο μετὰ λαμπρᾶς ὡς ἔχω καὶ γνώμης καὶ φωνῆς ἀνομολογῶ, ἀλλ' ὅτι καὶ τῷ ἀοράτῳ Θεῷ καθιέρωμαι, καὶ αὐτῷ παρίσταμαι, διάκονος ἐκείνου γεγενημένος. Καὶ ὁ βασιλεὺς κομψὸν ἑαυτὸν εἶναι καὶ περιττῶς ἀγχίνουν δεῖξαι βουλόμενος, Οὐκοῦν, ἔφη, τοῖς θεοῖς διακόνησον. Ὁ δὲ μάρτυς εἰς γέλωτα λύων αὐτοῦ τὸ ἀρχίστροφον, Κωφεύειν μοι φαίνῃ, βασιλεῦ, ἔφη, ἢ καὶ τὸν μωρὸν ὑποκρίνεσθαι· Θεῷ σοὶ ἔφην τῷ ἀοράτῳ διακονεῖν· μὴ γὰρ δὴ τούτων τῶν ὁρωμένων ἢ μηδὲ ὁρώντων μᾶλλον εἶναι διάκονος· οὓς αὐτὸς ὡς θεοὺς πλανώμενος σέβεις, λίθους ὄντας, καὶ ξύλα, καὶ κωφὰ ἔργα τῆς χειρὸς ἀνθρωπίνης, καὶ τοῖς εὐφρονοῦσι γελᾶσθαι μᾶλλον ἢ προσκυνεῖ-B σθαι ἄξια. Οὐκ ἤνεγκε τὴν παῤῥησίαν ὁ βασιλεὺς, ἀλλ' εὐθέως ὀργάνοις τισὶ χαλκοῖς πρὸς τιμωρίαν ἐξειργασμένοις κελεύει τὰς σιαγόνας μὲν τὸν μάρτυρα τύπτεσθαι, τὸν δὲ κήρυκα τοιαῦτα ἐπιφωνεῖν· Φείδου τὰ πολλὰ γλώττης, Ἑρμύλε, τίμα τὸν αὐτοκράτορα, θύε τοῖς θεοῖς, καὶ ἀπαλλάττου τῆς τιμωρίας. Ὁ δὲ καὶ οὕτω τυπτόμενος, ὥσπερ τῶν λυπούντων οὐδὲν ὑφιστάμενος, τοὐναντίον μὲν οὖν καὶ ἀσθένειαν ὠνείδιζε τῷ τυράννῳ, οἷα τοῖς ὅλοις ἀπορουμένῳ καὶ ἡττωμένῳ, καὶ παρὰ τοῦτο τοῖς μικροψύχοις ὁμοίως κατ' ὀργὴν ἐπάγοντι τὰς βασάνους. Εἶτα καὶ λαμπροτέρᾳ χρησάμενος τῇ φωνῇ, Πληγῶν, ἔφη, τύραννε, τῶν μηδέποτε ληγουσῶν καὶ θείων πειραθήσῃ χειρῶν, ὅτι τὸν ποιήσαντά σε καταλιπὼν κωφοῖς καὶ ἀλάλοις προσανέχεις θεοῖς, C καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ τοῖς ἄλλοις ὥσπερ βασκαίνων τῆς σωτηρίας πρὸς τὴν ἴσην ἀπώλειαν ἑλκῦσαι φιλονεικεῖς.

Γ'. Ἐπεὶ δὲ ἱκανῶς ἔδοξεν ἔχειν τῷ βασιλεῖ τὰ τῆς τιμωρίας, καὶ ὁ θυμὸς αὐτῷ ἤδη τῆς πολλῆς πικρότητος ἐνεδίδου δεσμωτηρίῳ τὸν μάρτυρα παρεδίδου, καὶ εἰς τρίτην ἐν αὐτῷ ἐνέλευε διαμένειν, Ἴσως, λέγων, καὶ μεταμελήσοι αὐτῷ τῆς ματαίας ἐνστάσεως. Ὁ μάρτυς τοιγαροῦν πρὸς τὴν εἱρκτὴν ἀπιὼν ἔψαλλε· Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος· Κύριος ἐμοὶ βοηθὸς, καὶ οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ. Εἰσιὼν δὲ ἤδη τὴν φυλακὴν, Ὁ ποιμαίνων τὸν Ἰσραὴλ, ἔλεγε, πρόσχες· ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσὴφ, ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, D ἐπιφάνηθι, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. Ἀλλ' ὁ μὲν μάρτυς οὕτως, καὶ οὕτω τὰ λυπηρὴ πάσχειν διὰ Χριστὸν προῄρητο. Ὁ δὲ Χριστὸς εἶχε πῶς; μὴ ἄρα τοῦ θεράποντος ὠλιγώρει; μὴ ἐκείνου πάσχοντος αὐτὸς ἠμέλει τῆς παρακλήσεως; καὶ πῶς ἂν εἴη τοῦτο τοῦ ἡμετέρου Θεοῦ, καὶ τῆς πάντα νοῦν ὑπερεχούσης φιλανθρωπίας; Οὐκ οὖν ἀπέλιπε βοηθῶν, ἀλλὰ πρὸς ἀνδρίαν διερεθίζων ἦν, καὶ ἄγγελον αὐτῷ παράκλητον ἐπιπέμπει, Ἑρμύλε, λέγοντα, θάῤῥει καὶ μὴ φοβοῦ, λάλει καὶ μὴ σιώπα, ἀγωνίζου καὶ μὴ δειλία. Νικήσεις γὰρ ὅσον οὔπω τὰς μηχανὰς

[1] Psal. CXVII, 6. [2] Psal. LV, 5. [3] Psal. LXXIX, 3.

τοῦ τυράννου, καὶ λαμπρότερον ἄνωθεν κομιῇ τοῦ μαρτυρίου στέφανον. Οὕτως ὁπλίζει Θεὸς κατὰ τοῦ ἀφανοῦς μᾶλλον τυράννου, οὕτω περιζώννυσι δύναμιν, καὶ διδάσκει μὲν εἰς πόλεμον χεῖρας, τόξον δὲ χαλκοῦν τίθησι τοὺς βραχίονας, καὶ ὑπερασπισμὸν δίδωσι σωτηρίας.

Δ'. Μετὰ γοῦν τὴν τρίτην ἡμέραν, βήματος αὖθις προτεθέντος τῷ Λικινίῳ, τὸν θεῖον Ἑρμύλον αὐτίκα παραστησάμενος, Ἦ που κἂν ἄρτι θῦσαι τοῖς θεοῖς ἔγνωκας, φησίν, καὶ τῶν ἐπικειμένων φόβων, τῶν ἀπειλῶν, τῶν κινδύνων ἀπαλλαγῆναι; ἢ κατὰ κρημνοῦ φέρῃ καὶ ἔτι; καὶ ἡ αὐτή σε πάλιν εἷλεν ἀπόνοια, πρὸς ταῦτα μάλα γενναίως ὁ τοῦ Χριστοῦ στρατιώτης καὶ ἄξιος τοῦ καλῶς ἐκεῖνον ὁπλίσαντος· Ἅπαξ ἀπειπάμην, ἔφη, βασιλεῦ, καὶ χρὴ τοῖς προτέροις στέρξαντα μηκέτι περὶ τῶν αὐτῶν αὖθις ἀνακινεῖν. Ἔστι γάρ μοι Θεὸς ἐν οὐρανῷ, ᾧ ζῶ, καὶ ᾧ θῦμα προσαγαγεῖν ἐμαυτὸν ὡς τάχος ἐπείγομαι, καὶ παρ' οὗ μεγίστην ἥξειν μοι προσδοκῶ τὴν βοήθειαν. Οὐκοῦν ἴδω, φησὶν ὁ βασιλεύς, εἰ ὁ τοὺς οὐρανοὺς οἰκῶν οὗτος ἔσται σοι βοηθός. Καὶ αὐτίκα ἐκέλευε, καὶ ἄνδρες ἓξ τὸ κεκελευσμένον ἁρπάσαντες, ἄνδρες ῥωμαλέοι τὰς χεῖρας, ἀπηνεῖς τὴν ψυχήν, φόνιόν τι καὶ μανικὸν πνέοντες, κατὰ γῆς τὸν μάρτυρα διατείναντες, ῥάβδοις ᾔκιζον ὠμοτάτως. Ἐκεῖνοι μὲν οὖν οὕτως ἐποίουν φθαρτῷ βασιλεῖ τὴν θεραπείαν προσάγοντες, ὁ μάρτυς καθάπερ οὐδὲν ἔχων πρὸς τὴν οὕτω πάσχουσαν σάρκα, οὔτε μὴν λαμβάνων τῶν ὀδυνῶν αἴσθεσιν, ἀδεῶς πάνυ καὶ ἠρεμαίως εὐχῇ προσέκειτο, καὶ Θεῷ προσεῖχεν. Ἡ δὲ εὐχὴ ἦν·

Ε'. Κύριε ὁ Θεός μου, ὁ δι' ἐμὲ μάστιγας ἐπὶ Ποντίου Πιλάτου καὶ πληγὰς ὑπομείνας, αὐτὸς διὰ σὲ πάλιν ἐμὲ πάσχοντα, τὸν παρόντα τελειῶσαι δρόμον ἐνίσχυσον· ὡς ἂν κοινωνήσας σου τοῦ πάθους, ἀξιωθῶ κοινωνὸς γενέσθαι καὶ τῆς λαμπρότητος. Καὶ τοιαύτη μὲν ἡ εὐχή, φωνὴ δὲ εὐθὺς ἠκούετο ἄνωθεν· Ἀμήν, ἀμήν, Ἑρμύλε, λέγουσα, μετὰ τρεῖς ταύτας ἡμέρας, ἀπαλλαγήσῃ μὲν τῶν παρόντων ἀνιαρῶν, δαψιλεῖς δὲ παρ' ἐμοῦ καὶ φιλοτίμους λήψῃ τῶν πόνων τὰς ἀμοιβάς. Καὶ ἡ φωνὴ θάρσος μὲν πολὺ τῷ μάρτυρι καὶ ἀνδρίαν ἐνῆκε, τοῖς δημίοις δὲ δεινὸν ἐπέσεισε φόβον, καὶ πρὸς γῆν ἀθρόοι κατενεχθέντες ὑπότρομοι πάντες ἦσαν, οὐδ' αὐτοῦ βασιλέως καὶ τῶν ἄλλων φεισαμένου τοῦ πάθους, ἀλλὰ πάντας ἐπίσης ὁμοῦ διαθέντος, κἂν ἐκεῖνος τυφλώττων ὑπὸ τῆς εὐσεβείας καὶ βαρύτατα μεμηνὼς οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι, οὐδὲ κακίᾳ προσώχθισε, τὸ τοῦ θείου Δαβὶδ φάναι, οὐδὲ μικράν τινα τοῦ ταῦτα θαυματουργοῦντος Θεοῦ λαβεῖν ἔννοιαν, ἀλλὰ φυλακῇ καὶ αὖθις ζοφώδει καὶ ἀλαμπεῖ τὸν μάρτυρα παρεδίδου.

Ϛ'. Πλὴν ἀλλὰ προσέχειν τῷ λόγῳ προσήκει τὸν νοῦν, καὶ τῆς τοῦ Θεοῦ σοφίας τὸ ἀπόρρητον ἐννοεῖν. Ἔνθεν γὰρ καὶ προσκύπτει τὸ τοῦ λόγου χαριέστατον, καὶ συνάπτειν ἥκει τῷ ἀθλητῇ τὸν συστρατιώτην. Ὁ γάρ τοι τὸν ἅγιον πιστευθεὶς φυλακῆς ἕνεκα,

Sic Deus armat potius adversus tyrannum, qui non apparet. Sic accingit virtute et *docet quidem manus ad bellum, dat arcum autem æneum : ponit brachia et clypeum salutis* [4].

IV. Post tertium certe diem, cum tribunal ascendisset Licinius, protinus divino adducto Hermylo : Num modo, inquit, statuisti diis sacrificare, et ab imminentibus terroribus, minisque et periculis liberari? An adhuc, inquit, ferris per præcipitium, et eadem rursus te cepit amentia? Ad hæc fortiter admodum Christi miles, et pro dignitate ejus, qui illum armaverat : Semel, inquit, dixi tibi, o imperator, et oportet contentum prioribus, de iisdem non movere amplius. Est enim mihi Deus in cœlis cui soli vivo, et cui mox me ipsum hostiam offerre propero: et a quo spero maximum venturum auxilium. Videam ergo, inquit imperator, an is, qui cœlos habitat, satis tibi afferet auxilii. Statimque jussit, et viri sex raptim, quod jussi fuerant, exsequentes, viri manibus robusti, immites et crudeles animo, cædem et furorem spirantes, cum humi martyrem extendissent, virgis cædebant crudelissime. Atque illi quidem sic faciebant, mortali regi servientes Martyr autem perinde ac si nihil haberet commune cum carne, quæ sic patiebatur, neque dolorum ullum sensum caperet, quiete perseverabat in oratione, et Deo attendebat. Hæc autem erat oratio :

V. Domine Deus meus, qui propter me sub Pontio Pilato flagella et plagas tolerasti, ipse me rursus propter te patientem confirma, ut possim cursum præsentem perficere, ut cum socius fuero perpessionis, dignus quoque sim, qui splendoris efficiar socius. Et talis quidem fuit ejus oratio. Vox autem protinus audita est desuper, dicens : Amen, Amen, Hermyle, post tres dies liberaberis a præsentibus molestiis: præclaras autem et magnificas accipies præsentium laborum remunerationes. Et vox quidem martyri magnam attulit audaciam et animi fortitudinem: lictoribus autem magnum incussit timorem: omnesque repente in terram procidentes, tremebant et trepidabant, adeo ut nec ipse imperator, nec ulli alii fuerint immunes ab animi perturbatione, sed omnes ex æquo moti fuerint: etiamsi ille præ impietate cæcutiens et gravissime furens, noluerit intelligere ut bene ageret; nec vitium est aversatus, ut dicam cum divino Davide [5]; nec ullam ejus, qui hæc faciebat miracula, vel minimam acceperit notitiam: sed in carcerem rursus obscurum et tenebricosum lucisque expertem tradidit martyrem.

VI. Sed mentem adhibere oportet orationi, et Dei sapientiæ arcanum intelligere. Hinc enim proficiscitur id, quod est orationis jucundissimum, et est athletæ conjuncturum commilitonem. Is enim, cui in custodiam fuerat sanctus creditus, et qui curam

[4] Psal. XVII, 35, 36. [5] Psal. XXXV, 3.

μύλος, Ἔχεις, ἔφη, τὰς ἀποκρίσεις, ὦ βασιλεῦ, καὶ A τούτων οὐδὲν ἀκούσεις παρ' ἐμοῦ πλέον, ποίει λοιπὸν ὃ βούλῃ, καὶ πέραινε τὰ νενομισμένα.

Η'. Ἐντεῦθεν ὀξὺ χολωθεὶς ὁ Λικίνιος κελεύει ῥάβδοις αὐτὸν τὸ σχῆμα τριγώνοις ὕπτιον διαταθέντα κατὰ τῆς γαστρὸς τύπτεσθαι. Ἡ μὲν οὖν βάσανος αὕτη χαλεπὴ λίαν, καὶ σώμασιν ἀνθρωπίνοις ἥκιστα φορητή. Αἱ γὰρ γωνίαι τῶν ῥάβδων οἷά τις ἠκόνηντο μάχαιρα, καὶ σφοδρῶς ἥπτοντο τῶν σαρκῶν. Πλὴν ἀλλὰ καὶ οὕτως ἀνηλεῶς τυπτομένῳ τῷ ἀθλητῇ ἓν παραμύθιον ἦν τὸ κατὰ νοῦν ἀτενίζειν Χριστῷ, ἓν εὐμενὲς φάρμακον, ἡ πρὸς ἐκεῖνον εὐχὴ, ἣν ἡδέως ἐπετάττεται πληγαῖς, Κύριε, λέγων, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. Καὶ ὃς ταχὺς αὐτῷ παρίστατο, ῥᾷόν τε τὰς ὀδύνας φέρειν ποιῶν, καὶ τὴν τελείωσιν εὐαγγελιζόμενος. Ὁ βασιλεὺς τοίνυν B ἅτε τὸν θυμὸν ἐκ τοῦ μὴ πείθειν παρωξυμμένος, καὶ τὴν καλὴν ἐκείνην ὑπὲρ τῆς εὐσεβείας τοῦ ἀθλητοῦ ἔνστασιν, ὀλιγωρίαν εἶναι τῆς αὐτοῦ ἐξουσίας ὑπολαμβάνων, ἔμενεν ἔτι κολάζων καὶ πρὸς βίαν πείσειν αὐτὸν οἰόμενος. Ὅθεν καὶ ὄνυξιν ἀετῶν τὴν αὐτοῦ γαστέρα προσέταττε διαπείρασθαι, μέχρις ἂν ὀφθαλμοῖς ἴδῃ, φησὶν, αὐτὸς ἑαυτοῦ καὶ τὰ ἔγκατα. Ἐφ' οἷς ὁ μάρτυς, Ἡ καρδία μου καὶ ἡ σάρξ μου, ἔλεγεν, ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα, ὡς ἐκ στέατος καὶ πιότητος ἐπλήσθη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. Καὶ ταῦτα μὲν οὕτως, τὰ δὲ ἐντεῦθεν πῶς;

Θ'. Ὁ τύραννος μὲν ἐσκέπτετο φυλακῇ καὶ αὖθις δοῦναι τὸν ἀθλητὴν, ὥστε πικρότερον πάλιν αὐτὸν τιμωρήσασθαι. Στρατόνικος δὲ καλὸς (ἥκει γὰρ ὁ C λόγος εἰς πέρας ἀγαγεῖν τὴν ἐπαγγελίαν), οὕτω πάσχοντα τὸν Ἑρμύλον ὁρῶν, καὶ ἀμύνειν ὅλως οὐκ ἔχων, ὅπερ εἶψεν ἐποίει· καὶ τῷ φίλῳ συνέπασχε, καὶ ἤλγει πικρῶς, καὶ τὸ πρόσωπον εἶχε συμπεπτωκὸς, καὶ τῶν ὀφθαλμῶν ἀστακτὶ προΐει τὸ δάκρυον. Ὅθεν οὐδὲ διέλαθεν οὕτως ἔχων, ἀλλὰ τῶν συστρατιωτῶν τινες ἐπίλυπον τὸν ἄνδρα καὶ σκυθρωπὸν ὁρῶντες, καὶ τοῦ πράγματος τὴν αἰτίαν φωράσαντες, τῷ βασιλεῖ προσελθόντες, Στρατόνικος, λέγουσιν, ὦ βασιλεῦ, Στρατόνικος ὁ δεσμοφύλαξ δῆλός ἐστιν Ἑρμύλῳ τῆς πλάνης, καὶ τοῦ Χριστιανισμοῦ κοινωνῶν. Φαίνεται γὰρ συναχθόμενος, καὶ πολλὴν ὑπὲρ αὐτοῦ τρέφων τὴν λύπην εἰς τὴν ψυχήν. Ὁ δὲ μεταστειλάμενος εὐθὺς τὸν Στρατόνικον, εἰ φίλος εἴη τοῦ Ἑρμύλου διεπυνθάνετο. Καὶ ὁ μαθητὴς τῆς ἀλη- D θείας οὐδαμῶς διεψεύσατο, οὐδὲ ἠνέσχετο καὶ ἔτι ἀγεννῆ καὶ ἄτολμον ἑαυτὸν ἀποφαίνειν, καὶ κρύπτειν παρ' ἑαυτῷ τὴν εὐσέβειαν. Ἀλλὰ καιρὸν εἶναι ὑπολαβὼν τοῦ τὴν ἄπρακτον ταύτῃ θεογνωσίαν ἐνεργὸν γενέσθαι, καὶ πολὺν αὐτῷ τὸν καρπὸν μνηστεύσασθαι δι' ὁμολογίας, φίλον ἑαυτὸν Ἑρμύλου καὶ Χριστιανὸν εὐθέως ἀνωμολόγει, καὶ πολλὴν τῶν τὰ εἴδωλα σεβόντων καταγινώσκειν τὴν ἄνοιαν· Φοβοῦμαι γὰρ, ἔφη, μόνον ἐγὼ τὸν Θεὸν, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν.

tyr Hermylus: Habes, inquit, responsa, o imperator, et nihil ex iis a nobis amplius audiveris: fac deinceps quod velis, et exsequere ea quæ statueris.

VIII. His ita percitus Licinius, jubet eum porrectum supinum virgis figura triangulis in ventre verberari. Et erat quidem hoc grave tormentum, et corporibus humanis minime tolerandum. Anguli enim virgarum, non secus ac quidam enses, carnes vehementer tangebant. Sed athletæ, etiam cum verberaretur tam immisericorditer, unum erat solatium, nempe Christum fixis oculis aspicere. Unum benignum medicamentum preces quas ad illum fundebat, quibus plagis jucunde aspergebat, dicens: *Domine ad adjuvandum me festina* [7]. Ille vero cito ei adfuit, et faciens ut ferret dolores facilius, et annuntians ejus consummationem. Imperator igitur, ut qui esset irritatus eo quod non pareret, et egregiam illam athletæ pro pietate constantiam existimaret esset suæ contemptum potentiæ, manebat adhuc puniens, et vi eum esse persuasurum arbitrans. Quocirca jussit ejus ventrem perfodi aquilarum unguibus, donec suis, inquit, oculis sua videat intestina. Propter quæ dixit martyr: *Cor meum et caro mea exsultaverunt in Deum vivum* [8]. *Sicut ex adipe et pinguedine repleta est anima mea, et labiis exsultationis laudabit os meum* [9]. Et hæc quidem sic. Quæ autem sunt deinceps consecuta, quomodo?

XI. In animo quidem habebat tyrannus eum rursus dare in custodiam, ut eum rursus puniret acerbius. Egregius autem Stratonicus (jam enim postulat oratio ut ad finem deducam promissum), cum vidisset Hermylum sic patientem, nec ei posset omnino opem ferre, faciebat id quod poterat: amici miserabatur, et acerbum dolorem capiebat vultusque ejus conciderat, et ex ejus oculis guttatim profluebant lacrymæ. Quo factum est, ut, cum sic se haberet, non potuerit latere: sed cum quidam ex commilitonibus eum tristem vidissent et mœrentem, et causam rei deprehendissent, ad imperatorem accedentes: Stratonicus, inquiunt, o imperator, Stratonicus, custos carceris, aperte ostendit se erroris et Christianimi societatem habere cum Hermylo. Videtur enim ejus misereri, et ejus causa in animo magnum dolorem concipere. Ille vero cum statim accersivisset Stratonicum, rogavit an esset amicus Hermyli. Discipulus autem veritatis minime est mentitus, nec sustinuit ignavam et pusilli abjectique animi pietatem apud se occultare. Sed tempus esse arbitratus, ut hæc Dei otiosa cognitio prodiret ad opus, et magnum sibi pararet fructum per confesionem, se esse amicum Hermyli, et Christianum protinus est confessus, et eos qui colunt simulacra, magnæ condemnat ignorationis. Timeo enim, inquit, ego solum Deum, qui fecit cœlum et terram.

7 Psal. LXIX, 2. 8 Psal. LXXXV, 2. 9 Psal. LXII, 6.

X. Ad hæc movetur imperator, et jubet eum gravissimum subire supplicium. Id autem erat, ut ex illis virgis plagas nudo toto corpore acciperet: atque eo usque, donec ipsa vox eum deficeret. Et sic quidem Licinius. Martyr autem, etsi esset tot malis implicatus, amicum fixis aspiciebat oculis, et eum vocabat, eoque utebatur ad Christum intercessore, dicens: Hermyle, ora pro me Christum, ut cum erga ipsum firmam ac stabilem servavero confessionem, possim facile superare tyranni insidias. Interim autem ipsum quoque ludificabatur Licinium, cæcis diis sacrificare prohibens, et veri Dei vindictæ ei terrorem incutiens, in cujus manus incidere, vere terribilem habet, et inevitabilem perfectumque interitum. Licinius autem cum vidisset sanctum Stratonicum satis saucium, parcit eum amplius punire: non quod humana mens et clemens animus cum moveret ad misericordiam sed ut ei locum daret pœnitentiæ, cum eum prius tormento terruisset. Et ideo eum in præsentia tradidit in custodiam. Ille vero etsi esset in custodia, Jesum ducebat suam esse consolationem, et cum eo per preces colloquebatur: *Domine*, dicens, *ne memineris iniquitatum nostrarum antiquarum* 10. Fer opem nobis, Deus Servator noster, propter gloriam nominis tui. Et simul vox divina est consecuta, dicens: Cursum consummavistis, fidem servastis. De cætero est vobis reposita corona justitiæ, quam cras accipietis.

XI. Cum autem jam esset dies, adductum Hermylum rursus interrogavit Licinius, an diis sacrificaret. Ille autem: Eadem quæ prius, inquit, o imperator, do tibi nunc responsa: quamobrem, ure, puni, scinde, fac quidquid tuo insederit animo. Didici enim non timere ab iis, qui corpus occidunt, animam autem non possunt occidere. Hæc cum audivisset imperator, et desperasset fore omnino, ut sanctum in aliam traduceret sententiam, eum suspendit in ligno, et jubet eum vehementer scindi. Sed etsi ejus carnes tam acerbe scinderentur, non ignorabat undenam esset salus justorum, nempe quod a Domino, et quod est eorum defensor in tempore afflictionis. Et ideo: Esto mihi adjutor, Domine, et redemptor, dicebat assidue, et perinde ac si videretur aliquem desuper audire dicentem: Noli timere; sum enim tecum, et Deus tuus ego sum. Veritus ergo Licinius, et ex auditione veluti conturbatus, ex ligno deducit martyrem, et eum condemnat, ut in Istro fluvio intereat, jubens ut in eum jaceretur; stultus fortasse arbitratus, quod sic passus Hermylus omnino interiret, et nec venerabilis quidem ejus corporis futura esset inventio. Ad ipsum autem adducto Stratonico, visus est suggerere et admonere ea, quæ essent utilia. Crede, inquit, mihi, o miser, crede, et diis velis sacrificare, ne tu eadem quoque patiaris, quæ amicus, et ambo subeatis eam-

10 Psal. LXXII, 8.

A Ι'. Κινεῖται πρὸς ταῦτα ὁ βασιλεὺς, καὶ τιμωρίαν ὑποσχεῖν αὐτὸν κελεύει τὴν βαρυτάτην· ἡ δὲ ἦν, τὸ τὰς ἐκ τῶν ῥάβδων ἐκείνων πληγὰς κατὰ γυμνοῦ παντὸς τοῦ σώματος δέχεσθαι, ἀλλὰ καὶ μέχρι τοσούτου ἕως καὶ αὐτὴ, φησὶν, ἐπιλίπῃ αὐτὸν, ἡ φωνή. Καὶ οὕτω μὲν ὁ Λικίνιος· ὁ δὲ μάρτυς καίτοι τοσούτοις ἀπειλημμένος κακοῖς, ἀτενὲς εἰς τὸν φίλον ἑώρα, καὶ αὐτὸν εἰς συμμαχίαν ἐκάλει, καὶ αὐτῷ μεσίτῃ πρὸς Χριστὸν ἐχρῆτο· Ἑρμύλε, λέγων, εὖξαι ὑπὲρ ἐμοῦ τῷ Χριστῷ, ἵνα ἀσφαλῆ τὴν πρὸς αὐτὸν φυλάξας ὁμολογίαν, δυνηθῶ περιγενέσθαι ῥᾳδίως τῶν ἐπιβουλῶν τοῦ τυράννου. Μεταξὺ δὲ καὶ πρὸς αὐτὸν ἀπέσκωπτε τὸν Λικίνιον, θεοῖς τε ἀπαγορεύων θύειν τυφλοῖς, καὶ Θεοῦ ἀληθινοῦ ἄμυναν αὐτῷ ἐπισείων οὗ τὸ ἐμπεσεῖν εἰς χεῖρας φοβερὸν B ἀληθῶς, καὶ ἄφυκτον ἔχων καὶ συντετελωμένην ἀπώλειαν. Λικινίου μέντοι τὸν ἱερὸν Στρατόνικον τραυματίαν γενόμενον ἱκανῶς ἰδὼν φείδεται κολάσαι πλέον· φείδεται οὐ φιλανθρώπῳ γνώμῃ καὶ ψυχῇ κλινούσῃ πρὸς ἔλεον ἀλλ' ἵνα δῷ καὶ χώραν μετανοίᾳ, τῇ βασάνῳ φοβήσας, πρότερον. Διὰ τοῦτο καὶ φυλακῇ τὸ παρὸν ἐδίδου. Ὁ δὲ καὶ φρουρούμενος, παράκλησιν ἐποιεῖτο τὸν Ἰησοῦν, καὶ αὐτῷ δι' εὐχῆς ὡμίλει, Κύριε, λέγων, μὴ μησθῆς ἡμῶν ἀνομιῶν ἀρχαίων. Βοήθησον ἡμῖν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. Καὶ ἅμα θεία ἐπηκολούθει φωνή· Τὸν δρόμον τετελέκατε, λέγουσα, τὴν πίστιν τετηρήκατε· λοιπὸν ἀπόκειται ὑμῖν ὁ τῆς δικαιοσύνης στέφανος, ὃν αὔριον ἀπολήψεσθε.

C ΙΑ'. Ἡμέρας δὲ ἤδη γενομένης, τὸν Ἑρμύλον ὁ Λικίνιος ἀγαγὼν ἐπηρώτα καὶ πάλιν εἰ θύει θεοῖς· ὁ δὲ, Τὰς προτέρας σοι, ἔφη, δίδωμι καὶ νῦν ἀποκρίσεις, ὦ βασιλεῦ, ὥστε, καῖε, τιμώρει, τέμνε, ποίει πᾶν ἐπ' ἐμοὶ τὸ τῷ θυμῷ παριστάμενον· ἔμαθον γὰρ μὴ φοβεῖσθαι ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν ἀποκτεῖναι μὴ δυναμένων. Τούτων ὁ βασιλεὺς ἀκούσας, καὶ τὸ μεταγνῶναι τῶν ἅγιον παντάπασιν ἀπογνοὺς, ἐπὶ ξύλου τε αὐτὸν ἀναρτᾷ, καὶ κελεύει σφοδρῶς κατατέμνεσθαι. Ἀλλὰ καὶ αὐτὸς οὕτω πικρῶς τὰς σάρκας τεμνόμενος, οὐκ ἠγνόει πόθεν ἄρα τῶν δικαίων ἡ σωτηρία, ὅτι παρὰ Κυρίου, καὶ ὅτι ὑπερασπιστὴς αὐτῶν ἐστιν ἐν καιρῷ θλίψεως. Καὶ διὰ τοῦτο, βοηθός μου γενοῦ, Κύριε, καὶ λυτρωτὴς, ἐπέμενε λέγων, καὶ οἷον εἰ φθεγγομένου τινὸς ἄνω- D θεν ἀκούειν ἐδόκει· Μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι, καὶ ὁ Θεός σου ἐγώ εἰμι. Δείσας τοιγαροῦν ὁ Λικίνιος, καὶ πρὸς τὴν ἀκοὴν οἷα συνταραχθεὶς, τὸν μάρτυρα τοῦ ξύλου κατάγει, καὶ τούτου μὲν ἀπώλειαν τὴν ἐν τῷ ποταμῷ τῷ Ἴστρῳ καταψηφίζεται, ἐν αὐτῷ ῥιφῆναι προστάξας, ἴσως οἰηθεὶς ὁ ἀνόητος, ὅτι παθὼν οὕτως Ἑρμύλος παντάπασιν ἀπόλοιτο ἂν, καὶ οὐδὲ τοῦ τιμίου αὐτοῦ σώματος εὕρεσις ἔσται. Παραστησάμενος γοῦν τὸν Στρατόνικον ὑποτιθέναι δῆθεν αὐτῷ τὰ λυσιτελῆ καὶ συμβουλεύειν ἐῴκει καὶ, Πείσθητί μοι, ἔλεγεν, ἄθλιε, πείσθητι σὺ, καὶ θῦσαι κἂν αὐτὸς ἑλοῦ τοῖς θεοῖς, ἵνα μὴ τὰ ὅμοια

τῷ φίλῳ πάθῃς καὶ σὺ, καὶ δίκην ἄμφω τῆς ἀπειθείας ὑποσχῆτε ταύτην. Ὑπολαβὼν δὲ ὁ Στρατόνικος, Ἄθλιος ἂν εἴην, ὡς ἀληθῶς, εἶπεν, εἰ σοὶ πειθόμενος, θανόντος ἐκείνου διὰ Χριστὸν, αὐτὸς ἕλωμαι ζῆν. Καὶ ὁ Λικίνιος· Τί δῆτα βούλει καὶ συναποθανεῖν Ἑρμύλῳ; Πάνυ μὲν οὖν ὁ θεῖος ἔφη Στρατόνικος· καὶ γὰρ, εἰ κοινὰς τοὺς φίλους ἔχειν δεῖ καὶ τὰς συμφορὰς, προσήκει πάντως κοινὴν ποιεῖσθαι καὶ τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν. Τί δὲ ἂν ἡμῖν τοῦ διὰ Χριστὸν παθεῖν ἥδυτερόν τε καὶ τιμιώτερον; ἐφ' οἷς καὶ Στρατόνικον μεταπεῖσαι πλέον ἀπαγορεύσας ὁ βασιλεὺς, τὴν ὁμοίαν καὶ κατ' αὐτοῦ δίδωσι ψῆφον, καὶ ἴσον ἀμφοτέρων κατεκρίνετο τέλος, οὓς καὶ ἴσόν ταῖς ἀληθείαις τέλος ἐδέχετο, καὶ κοινὴ μακαριότης καὶ ἀγαλλίασις.

ΙΒ'. Ἤγοντο οὖν οἱ μάρτυρες τὴν ἐπὶ θανάτῳ λέγοντες· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ τῆς γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· οἰκεῖος ὁ ὕμνος τῶν ἀγαθῶν τινος ἀπολαύειν μελλόντων, οὐ τῶν πρὸς θάνατον ἢ ἄλλο τι αἴτιον κατηφείας ἀπαγομένων. Ὡς δὲ ἤδη τὸν ποταμὸν κατέλαβον ἐν σαργάνῃ παρὰ τῶν εἰς τοῦτο τεταγμένων βληθέντες, τῷ βυθεῖ παραπέμπονται. Δεξάμενος μέντοι τὰ σώματα τῶν ἁγίων ὁ ποταμὸς, καὶ ὅσον ἔδει τὸ ῥεῖθρον ἁγιασθεὶς, χερσὶ πιστῶν ἐκδίδωσι πάλιν ταῦτα, καθάπερ, οἶμαι, θησαυρὸν τοιοῦτον παρ' ἑαυτῷ κρύπτειν οὐκ ἐνεγκὼν, καὶ τηλικοῦτον ζημιῶσαι Χριστιανοὺς ἀγαθὸν τῆς πρώτης ἀγαθότητος οὐκ ἀνασχομένης. Μετὰ γοῦν τρίτην ἐξ ἐκείνου ἡμέραν, τῇ χέρσῳ κείμενα τὰ μαρτυρικὰ σώματα καθωράθη, καί τινες ἄνδρες θεοφιλεῖς καὶ οἷς ἔργον ἁγίων θηρᾷν σώματα περιτυχόντες αὐτοὺς, χερσί τε ποθούσαις εὐλαβῶς ἀνελόμενοι, καὶ ὕμνους ἐπᾴσαντες ἱεροὺς, καὶ ὅσα νόμος Χριστιανοῖς τελέσαντες, ἔν τινι τόπῳ σταδίους ὀκτὼ καὶ δέκα τῆς πόλεως Σιγγήδονος ἀπέχοντι, ὁμοῦ κατατίθενται ταῦτα, ἵνα κοινὰ τούτοις πάντα καὶ φιλικὰ γίνηται, ἡ πρὸς Χριστὸν ὁμολογία, ἡ ἐν τῷ δεσμωτηρίῳ κατοίκησις, ἡ εἰς τὸν ποταμὸν κατάλυσις, ἡ ἄνω λῆξις, ἡ ἐφ' ἑνὶ τόπῳ τῶν σωμάτων κατάθεσις, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A dem pœnam inobedientiæ. Respondens autem Stratonicus : Revera, inquit, miser fuerim, si tibi parens, cum ille sit mortuus propter Christum, ipse velim vivere. Licinius autem : Quid ergo? vis mori cum Hermylo? Maxime quidem, inquit divinus Stratonicus. Etenim, inquit, si oportet amicos communes habere calamitates, oportet omnino eos quoque bonis frui communiter. Quid autem nobis fuerit jucundius aut pretiosius, quam pati propter Christum? Propter quæ cum desperasset imperator fieri posse, ut persuaderet Stratonico, similem quoque in eum fert sententiam, et eodem fine utrumque condemnat : quos etiam revera par finis excepit, communisque beatitudo et exsultatio.

XII Ad mortem itaque ducebantur martyres, dicentes : *Gloria in excelsis Deo, et in terra pax, in hominibus bona voluntas* [11] : qui quidem est hymnus conveniens iis, qui sunt bonum aliquod consecuturi : non eorum qui deducuntur ad mortem, aut ad aliquam aliam causam tristitiæ. Postquam autem jam pervenissent ad fluvium, in recte injecti ab iis, quibus hoc datum erat negotium, transmittuntur in profundum. Cum suscepisset autem fluvius corpora sanctorum, et quanto oportuit fluento esset sanctificatus, ea rursus tradit manibus fidelium : ut qui talem, ut arbitror, thesaurum apud se diutius abdere non sustinuisset, et tanti boni jactura afficere Christianos, cum prima eorum non apparuisset bonitas Tertio ergo die postea, visa sunt corpora mar- C tyrum : in quæ cum incidissent quidam viri pii, et quorum erat officium venerari corpora sanctorum, et ea optantibus manibus pie ac religiose suscepissent, et sacros hymnos cecinissent, et quæcunque mos est Christianis (1), peregissent, in quodam loco, qui octodecim stadiis abest a civitate Singedone, ea simul deponunt, ut eis essent omnia communia, et amica : in Christum confessio, in carcere habitatio, in flumine demersio, supernæ gloriæ consecutio, in uno loco corporum depositio : gratia et benignitate Domini nostri Jesu Christi, cum quo Patri simul et sancto Spiritu gloria, potentia, honor et adoratio, nunc et in sæcula sæculorum. Amen.

11 Luc. II, 14.

(1) Nota hic ecclesiasticos in fun.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΚΑΛΥΒΙΤΟΥ*.

VITA ET CONVERSATIO

S. P. N. JOANNIS CALYBITÆ*,

(Anno 460.)

[Latine apud Sur. ad d. 15 Jan; Græca nunc primum prodeunt ex mss. Reg. 1632, 1556; Coislin. 121. EDIT. PATR.]

I. Viri justi et perfecti vitam, honeste, pure, et cum virtute actam, vobis, qui concordes in hunc locum convenistis, narrare in animo habeo. Vixit enim ille temporibus nostris. Qui cum hujus vitæ negotia singulari sapientia, et in Christum fide ac pietate contempsisset, cœlestia bona consecutus est. Res ipsa, cujusmodi sit, narratione hac explicabitur.

II. Fuit in urbe Roma vir quidam valde dives, et dignitate illa præditus, qua ii sunt, qui exercitus ducunt. Nomen viro illi erat Eutropius: ejus autem conjux, Theodora vocabatur. Is habuit tres filios, e quibus duo civilibus magistratibus ab ipso occupati erant. Qui vero natu erat minor, Joannes appellabatur. Eum ad litteras discendas pater magistro tradidit. Itaque cum primas eruditionis litteras didicisset, ad rhetoricos et philosophicos libros cognoscendos se traduxit. Cum vero duodecimum annum ageret, et omnia fere perfecte didicisset, eo quod boni et elegantis ingenii esset puer, cumque Christi fidem servaret, præter cætera, sanctis ecclesiis vacabat, neque horam unam a libris discedebat, ita ut grammatici homines adolescentuli perseverantiam obstupescerent. Quodam autem die abbas quidam e superioribus partibus ex venerabili eorum monasterio, qui vocantur Acœmeti, eo quod nunquam cubare soliti sunt, cum votum fecisset, ut Hierosolymam proficisceretur, venit in eam domum, in qua Joannes docebatur, et eos qui illam habitabant, exoravit, ut apud ipsos diversari posset. Ejus viri habitum, et exercitationis institutionem, cum beatus Joannes vidisset, a sancto Spiritu inflammatus, cœpit ab eo quærere undenam esset, quo iret, et quænam foret exercitationis ratio, quam monasterium illud, e quo discesserat, teneret. Monachus igitur ille a puero interrogatus, omnem vitam et exercitationis regulam enarravit. Patefecit autem et res suas, quod scilicet devotionis causa Hierosolymam proficisceretur, ut illic Deum oraret, et sancta loca veneraretur, ac rursus in sanctum monasterium e quo discesserat, rediret.

Α. Βίον καλὸν, καὶ ἐνάρετον, καὶ ἀμόλυντον ἀνδρὸς δικαίου καὶ τελείου βούλομαι διηγήσασθαι τῇ ὑμῶν ὁμονοίᾳ, ὅστις γέγονεν ἐν τοῖς χρόνοις ἡμῶν. Καταφρονήσαντος ἀνδρὸς τῶν τοῦ βίου πραγμάτων, καταξιωθέντος τῶν ἐπουρανίων ἀγαθῶν, διὰ τὴν ἄμετρον αὐτοῦ ὑπομονὴν, καὶ τὴν εἰς Χριστὸν πίστιν, τόδε πρᾶγμα οἷόν τι ἔχει διήρημαι.

Β'. Ἦν τις ἀνὴρ ἐν τῇ Ῥωμαίων πόλει πλούσιος σφόδρα· τὸ τοῦ στρατηλάτου ἀξίωμα περιβεβλημένος· ὄνομα τῷ ἀνδρὶ Εὐτρόπιος, ἔχων καὶ σύμβιον Θεοδώραν προσαγορευομένην. Ἔτεκον δὲ υἱοὺς τρεῖς, καὶ τοὺς μὲν δύο περιέβαλον ἀξιώμασι μεγάλοις, κατέλιπον δὲ τὸν νεώτερον, τοῦ τε ἦν Ἰωάννης ὄνομα, καὶ παρέδωκαν αὐτὸν εἰς τὴν παιδείαν διδασκάλῳ. Καὶ μετὰ τὸ πληρῶσαι τὰ τῆς παιδείας πρότερα γράμματα, παρέδωκαν αὐτὸν εἰς τὸ περὶ τῆς ῥητορικῆς καὶ φιλοσοφικῆς ἀναγινώσκειν βίβλους. Γενομένου δὲ αὐτοῦ δωδεκαέτους χρόνου, καὶ σχεδὸν πάντα κατορθώσατο, διὰ τὸ εἶναι αὐτὸν ἄξιον καὶ εὐλογημένον, καὶ τοῦ Χριστοῦ πίστιν τηροῦντα, πρὸ πάντων δὲ ταῖς ἐκκλησίαις ἐχωρίαζεν, οὐδεμίαν τε ὥραν ἀφίστατο τῶν βιβλίων, ὥστε καὶ τοὺς γραμματικοὺς ἐκπλήττεσθαι ἐπὶ τῇ τοῦ νέου παραμονῇ. Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἀββᾶς τις τῶν ἄνω μερῶν τῆς ἁγίας μονῆς τῶν καλουμένων Ἀκοιμήτων, εὐχῆς ἕνεκα εἰς τὰ Ἱεροσόλυμα πορευόμενος, τῷ οἴκῳ ὅπου ἦν ὁ Ἰωάννης σπουδάζων, ἐλθὼν ἐδεῖτο ἵνα δεχθῶσιν αὐτὸν ἐκεῖ ξενώμενον. Ὁ οὖν Ἰωάννης θεωρήσας τὴν ἀναστροφὴν καὶ ἄσκησι τοῦ ἐπιξενωθέντος ἀνδρὸς, ἤρξατο θείῳ ζήλῳ πυρούμενος ἐρωτᾷν αὐτὸν, πόθεν ἦν καὶ ποῦ πορεύεται, καὶ ποία ἡ διαγωγὴ καὶ ὁ τρόπος τῆς ἀσκήσεως τῆς μονῆς αὐτοῦ. Καὶ ὁ μοναχὸς διήγγειλεν αὐτῷ πᾶσαν τὴν τάξιν τοῦ μοναστηρίου καὶ τὴν ἄσκησιν, προσθεὶς ὅτι κἀγὼ διὰ μικροψυχίαν τινὰ πορεύομαι εἰς Ἱεροσόλυμα τὸν Θεὸν ἐκεῖ εὔξασθαι, καὶ προσκυνῆσαι τοὺς ἁγίους τόπους, καὶ αὖθις ἐπαναλύω εἰς τὴν μονήν μου.

* Hoc est, *qui sub tugurio habitabat*.

Γ'. Ἀκούσας δὲ ὁ Ἰωάννης, λαβόμενος τῆς χειρὸς αὐτοῦ, ἀναχωρεῖ κατ' ἰδίαν, καὶ ἤρξατο ὅρκοις φρικωδεστάτοις ἀνακρίνειν αὐτὸν ἐπὶ τοῦ ἐκτελέσαντα τῆς εὐχῆς ὁδοιπορίαν ἀνακάμψαι αὐτὸν, καὶ συμπαραλαβεῖν αὐτὸν εἰς τὸ μοναστήριον, λέγων, Ἐλεεινὸς ἔστω, ὦ ἀββᾶ, ὅτι οἱ γονεῖς μού με παρὰ τοὺς ἄλλους ἀδελφοὺς φιλοῦντες, καὶ βουλόμενοι με μάθησιν καὶ γράμματα μαθεῖν, ἵνα με καταστῶσιν εἰς μεγάλην ἀξίαν καὶ παρὰ τοὺς ἐμοὺς ἀδελφοὺς ὑψηλοτέραν, εἶτα γάμῳ προσομιλῆσαι. Ἐγὼ δὲ ἐκεῖ εἰς τὴν ἱερὰν ἐκκλησίαν ἐλθὼν, ἀναγινώσκων μὲν, ἔγνων δὲ ὅτι πάντα τὰ τοῦ βίου τούτου μάταιά εἰσι καὶ ἐκεῖνος μόνον σώζεται ὁ καταφρονῶν τῶν τοῦ βίου πραγμάτων, καὶ δουλεύων τῷ Χριστῷ διηνεκῶς ἐν τῷδε ὑμῶν σχήματι, διὸ προσπίπτω σοι, κύριε, λαβεῖν με μετὰ σοῦ εἰς τὸ ἅγιον μοναστήριον καὶ συγκαταλέξαι τῇ ἁγίᾳ σου ποίμνῃ. Ταῦτα ἀκούσας ὁ ἀββᾶς μεθ' ὅρκου πληροφορήσας αὐτὸν τὴν ἐπάνοδον δι' αὐτοῦ ποιεῖσθαι, καὶ λαμβάνειν αὐτὸν μετ' αὐτοῦ εἰς τὸ μοναστήριον.

A III. Hæc cum Joannes audivisset, manu apprehendit monachum illum, et seorsum duxit, ac jurejurando valde horribili eum adstrinxit, ut postquam iter illud perfecisset, ad eum rediret, ut secum una ipsum ad sanctum illud monasterium duceret. Tunc dicebat illi beatus Joannes: Audi, quæso, mi abba, et mei commiseratio te tangat. Nam parentes mei, cum me præter cæteros fratres, et alios omnes domesticos diligant, et eruditionis ac doctrinæ litteris plurimis me instituendum curent, cogitant ad magnum aliquem dignitatis gradum me extollere. Ut enim dicit dominus et pater meus, vult me provehere ad dignitatem aliquam, quæ major sit, quam gradus ille est, quem tribuni militares obtinent(1). Post hæc omnino me nuptiis copulare in animo habent. Sed ego partim B in sanctam ecclesiam veniens, partim ex iis, quæ legi, et mecum ipse cogitavi, res omnes, quæ in hac vita sunt, vanas esse cognovi, et illum solum salvum esse, qui hujus vitæ rebus contemptis, constanter in isto vestro habitu Christo servit. Quamobrem a te supplex peto, domine, ut me ducas, et in illo sancto monasterio communeres. Hæc cum audivisset abbas ille, jurejurando se rediturum promisit, et cum secum una in monasterium ducturum.

Δ'. Συνθεμένων οὖν ἀλλήλων, ἀπῆλθεν ὁ ἀββᾶς. Ὁ δὲ Ἰωάννης εἶπεν ἐν ἑαυτῷ· Τοῦτο μεταξὺ πρότερον πράξω, ἱκετεύσω τοῖς μου γονεῦσιν, ἵνα ἀγοράσωσί μοι τοῦ εὐαγγελίου βιβλίον ἱερὸν, ἐν ᾧ μάθω τὰς Χριστοῦ ἐντολὰς, ὥστε ποιεῖν αὐτὰς ἐκείνῳ ἀρέσκων. Ἀπελθὼν οὖν πρὸς τοὺς γονεῖς αὐτοῦ ἔφη· Οὐ δύναμαι εἰς τὴν διατριβὴν ἀπελθεῖν· ἰδοὺ γὰρ πάντες οἱ παῖδες οἱ σὺν ἐμοὶ ἐν τῇ διατριβῇ μετὰ τὸ γυμναζόμενα πρᾶξαι ἔχουσιν εὐαγγέλια, καὶ καθεζόμενοι ἀναγινώσκουσιν αὐτά· ἐγὼ δὲ οὕτως εἰμὶ ὡς μὴ ἔχων γονεῖς, ἀπορῶν εὐαγγελίου. Ἀλλὰ δέομαι ὑμῶν, κύριοί μου, κἀμοὶ κελεύσατε γενέσθαι τὸ εὐαγγέλιον, ὅπως ἔχων μετὰ χεῖρας ἀναγινώσκω. Ἀκούσασα δὲ ἡ μήτηρ αὐτοῦ ἐχάρη ὅτι οὕτως περὶ τὴν μάθησιν σπουδαίως ἔχει, καὶ λέγει τῷ ἀνδρὶ αὐτῆς· Τοιοῦτον κατασκεύασον, κύριέ μου, γράψας τὸ εὐαγγέλιον καὶ δὸς τῷ τέκνῳ ἡμῶν, ὡς μὴ μόνον τὰ ἐντὸς γράμματά τε καὶ γεγραμμένα εἰς πόθον αὐτὸν ἐξεγείρει, ἀλλὰ καὶ ἡ καλλονὴ αὐτοῦ τῆς κατασκευῆς πλείονα τὴν τέρψιν καὶ τὸν κόσμον αὐτῷ ποιεῖ. Εὐθὺς δὲ ὁ πατὴρ αὐτοῦ ἐκέλευσεν ἀχθῆναι χρυσοχόον, καὶ λέγει αὐτῷ· Λάβε χρήματα ὅσα βούλει, καὶ κατασκεύασον εὐαγγέλιον τῷ υἱῷ μου. Λαβὼν δὲ ἐκεῖνος πεντακόσια νομίσματα καὶ λίθους πολυτελεῖς καὶ μαργαρίτας, κατεσκεύασε τὸ εὐαγγέλιον τῷ Ἰωάννῃ. Ὁ δὲ λαβὼν τὸ εὐαγγέλιον ἐβάσταζεν αὐτὸ καὶ ἐξεμάνθανε μετὰ πολλοῦ τοῦ πόθου, προσδοκῶν τὴν ἐπάνοδον τοῦ ἀββᾶ.

IV. Cum ita igitur inter se convenissent, uterque in suam viam abiit. Cum vero monachus ille discessisset, hæc secum B. Joannes dicebat: Interea hoc primum faciam: a meis parentibus sanctum Evangeliorum librum petam, ex quo Christi traditiones ediscam, et quomodo possim ea facere, quæ Christo grata C sunt. Itaque parentes adiens: Non possum, inquit, præ pudore in gymnasium ire, cùm omnes, qui mecum una litteras discunt, postquam res illas expedierint, quæ in gymnasio exercentur, secum habeant Evangelia, et sedentes ea legant; at ego talis sum, quasi unus ex iis, qui parentes non habent, cum Evangeliis caream. Itaque supplex a vobis peto, domini mei, ut mihi quoque jubeatis evangelium dari, quo et ipse illud in manibus meis habens ediscam. Hæc cum ejus mater audivisset, valde lætata est, quod ejus filius tanto dicendi studio teneretur: et cum viro collocuta: Age, inquit, domine mi: cura, ut talis Evangeliorum liber conscribatur, et filio nostro detur, qui non solum litterarum figuris, et his, quæ intus scripta habuerit, desiderium filio commoveat, D sed etiam ipsius conglutinations et exteriori specie ita pulcher sit, ut ejus desiderium magis excitet. Statim vero ejus pater jussit aurificem vocari, eique dixit, ut tantum pecuniæ sumeret, quantum satis esset ad Evangeliorum librum filio conglutinandum. Aurifex igitur cum quingenta numismata, et pretiosos lapillos ac margaritas sumpsisset, librum Joanni conglutinavit. Cum vero evangelium ipse Joannes accepisset, et in manibus teneret, studiose illud didicit, exspectans quoad abbas, de quo supra dictum, reverteretur.

Ε'. Καὶ ἡμερῶν τινων διελθουσῶν παραγίνεται ὁ ἀββᾶς κατὰ τὴν αὐτοῦ ἐπαγγελίαν. Καὶ ἰδὼν αὐτὸν ὁ Ἰωάννης ἐχάρη σφόδρα, καὶ προδραμὼν περια-

V. Intervallo temporis abbas ille reversus est, quemadmodum se facturum promiserat. Quem cum vidisset Joannes, valde gavisus est, et occurrens

(1) Verba *ut enim.... obtinent* codices Græci non agnoscunt.

animo admodum læto, eum amplexus, his verbis affatus est: Domine mi, parentum meorum affectum et nimium ipsorum in me benevolentiam memo scit, ut ego ipse. Novi enim matrem meam præcipue talem in me esse, ut si quid hujusmodi præsenserit, lacrymis suis propositi mei cursum impediat. Itaque te precor, ut tacite discedamus, ne quis id sciat, quod facimus. Tum monachus: Faciamus, inquit, fili, quod vis: votis enim tuis Deus satisfaciet. Itaque Joannes secum ducens monachum illum, ad fluminis ripam accessit, et nauclero quodam invento, ait: Rogamus te, frater, ut liceat nobis navigium tuum conducere, quo ad eorum monasterium, qui Acœmeti vocantur, nos vehas. Quibus ille: Ego, inquit, propterea hic sedeo, ut onus aliquod capiam, ut navigium meum impleam, centumque nummi sint ipsius merces. Tunc Joannes dixit: Exspecta, frater, usque ad tertium diem, et a me navigium conducetur. Cum ita inter se convenissent, discesserunt. Tuncque Joannes dixit monacho: Magnum quidem navigii pretium; at separari me a parentibus meis, nec ab iis impediri, multo plus certe valet. Ibo igitur, et aliqua ficta excusatione a parentibus meis petam, ut mihi pecuniam largiantur; ea vero navigium conducemus. Tum monachus: Vade, fili: Dominus dirigat te feliciter.

VI. Venit igitur Joannes, et Matri suæ dixit: Mater mea domina, quæ ab initio ita me educasti ut paucæ admodum matres filios suos educarunt, et propter summam tuam in me benevolentiam, quidquid ipse optavi, mihi præstitisti: unum est, quod præterea ego a te ac patre meo peto, idque vestræ gloriæ causa exopto. Ad hæc mater: Pete, inquit, fili, quidquid vis. Tum Joannes: Mater mea domina, omnes pueri, qui sunt in gymnasio, non semel tantum atque iterum, sed sæpius me in convivium vocarunt: ego cum illos similiter accipere non valeam, in gymnasium ire non possum: ita pudore multo perfundor. At illa: Exspecta, fili, hodiernum diem, et ego patri tuo persuadebo, ut tibi det pecuniam, quâ invitare possis, quoscunque velis. Hæc dixit mater, et absente filio, singula viro suo narravit, quæ a Joanne acceperat. Cui vir; Demus, inquit, illi centum aureos nummos, et puerum, qui eum custodiat et observet, ne quo modo adolescens proclivior evadat, et in sordidum ac turpem aliquem usum pecuniam conferat atque consumat. Placuit utrique consilium illud. Cum igitur Joannem accersivissent, dederunt illi pecuniam et puerum custodem. Joannes vero, acceptis centum illis aureis nummis, ea re valde gaudens, ad monachum venit una cum puero illo, et ait: Mi domine, hic homo meus est: ipse tecum hic manebit: ego vero ad socios meos adibo, ut ab ipsis audiam certum diem, quo illos in convivium accepturus sim. Abiit igitur, et secum habens pecuniam, navigii dominum adiit, ac dixit: Rogo te, frater, ut mihi et monacho tantum navigium loces. Cui navigii dominus: Dixi, inquit, tibi multa mercede navigium conduci: quod si expen-

A σπάζετο αὐτὸν μετὰ πολλῆς εὐφροσύνης, καὶ λέγει αὐτῷ· Κύριέ μου, τὰ σπλάγχνα τῶν γονέων μου καὶ τὸ φίλτρον τὸ εἰς ἐμὲ οὐδεὶς ἐπίσταται εἰ μὴ ἐγώ, μάλιστα τὸ τῆς μητρός μου· καὶ ἐὰν μάθη τὸν σκοπόν μου τοῖς δάκρυσιν αὐτὴ ἐγκόπτει μου τὴν πρόθεσιν. Ἀλλὰ μεθ' ἡσυχίας ἀπέλθωμεν, ὥστε μηδένα γνῶναι. Λέγει τότε αὐτῷ ὁ μοναχός· Ὡς βούλει, τέκνον, ποιήσωμεν· οἶδα γὰρ ὅτι τὴν ἐπιθυμίαν σου πληροῖ ὁ Κύριος. Καὶ παραλαβὼν αὐτὸν ὁ Ἰωάννης ἔρχεται ἐπὶ τὸν αἰγιαλὸν, καὶ εὑρίσκει πλοῖον, καὶ λέγει τῷ ναυκλήρῳ· Παρακαλοῦμέν σε, ἀδελφὲ, ὅπως καὶ μισθώσεις ἡμῖν τὸ πλοῖόν σου, καὶ διασώσεις ἡμᾶς ἕως τῶν ἄνω μερῶν τῆς μονῆς τῶν Ἀκοιμήτων. Ὁ δὲ ναύκληρος λέγει αὐτοῖς· Ἐγὼ εἰς τοῦτο κάθημαι ὧδε, τοῦ φορτῶσαι τὸ πλοῖόν μου, μισθὸς B δὲ ἔσται ἑκατὸν νομίσματα. Λέγει αὐτῷ ὁ Ἰωάννης· Ἀνάμεινον, ἀδελφὲ, τρεῖς ἡμέρας, καὶ ἐγὼ μισθοῦμαι αὐτό. Καὶ συνθέμενοι αὐτῷ ἀπῆλθον. Εἶπε δὲ ὁ Ἰωάννης τῷ μοναχῷ κατ' ἰδίαν· Ὁ μὲν μισθὸς τοῦ πλοίου πολὺς, τὸ δὲ ἀναχωρῆσαί με ὑπ' αὐτῶν πολὺ νέων μου, καὶ μὴ κατασχεθῆναί με ὑπ' αὐτῶν πολὺ κρεῖττόν ἐστιν. Ἀπελθὼν οὖν λαλήσω τοῖς γονεῦσί μου σχηματικῶς, ὅπως δώσουσί μοι χρήματα ἐπὶ τῷ ναυκλήρῳ. Ὁ δὲ, Πορεύου, τέκνον, ὁ Κύριος κατευοδώσει σε.

ϛʹ. Καὶ ἐλθὼν ὁ Ἰωάννης λέγει τῇ μητρὶ αὐτοῦ· Κυρία μῆτερ, ἡ καλῶς με ἀναθρεψαμένη ἐξαρχῆς, ὡς ὀλίγαι μητέρες ἀνέθρεψαν τὰ ἑαυτῶν τέκνα, διὰ τὸ εἰς ἐμὲ ἄμετρον φίλτρον, καὶ πᾶσάν μου ἐπιθυ- C μίαν πληρώσασα, ἔτι μίαν αἴτησιν αἰτοῦμαι παρὰ σοῦ καὶ παρὰ πατρὸς, εἰς ὑμέτερον καύχημα. Ἡ δὲ λέγει· Αἴτησαι, τέκνον, ὃ βούλει. Ὁ δὲ εἶπεν αὐτῇ· Κυρία μῆτερ, πάντες οἱ παῖδες οἱ ἐν τῇ διατριβῇ οὐ μόνον ἅπαξ ἢ δὶς ἐκάλεσάν με εἰς ἑστίασιν, ἀλλὰ καὶ πολλάκις, καὶ μὴ δυνάμενος ἀμείψασθαι αὐτοὺς, οὐδὲ εἰς τὴν διατριβὴν δύναμαι ἀπελθεῖν ὑπὲρ τῆς ἐντροπῆς ἁλισκόμενος. Ἡ δὲ λέγει αὐτῷ· Ἀνάμεινον, τέκνον, σήμερον, καὶ ἐγὼ πείθω τὸν πατέρα δοῦναί σοι χρήματα, καὶ προτρέπου οὓς βούλει. Ταῦτα εἰποῦσα ἡ μήτηρ, ἀπόντος τοῦ υἱοῦ, τῷ ἀνδρὶ ἀπήγγειλεν πάντα τὰ τοῦ τέκνου ῥήματα. Καὶ εὐθὺς ὁ ἀνὴρ πρὸς αὐτὴν, Δώσω αὐτῷ, ἔφη, νομίσματα ἑκατὸν, καὶ παῖδα παραφύλακα, ὅπως μὴ ἐκκλίνῃ ὡς παιδίον, καὶ εἰς αἰσχρὰς χρείας καὶ D ἀκαίρους ἀναλώσῃ αὐτά. Καὶ ἤρεσκεν ἡ βουλὴ αὕτη ἀμφοτέρῳ. Εἶτα ἐκάλεσαν τὸν Ἰωάννην, καὶ δεδώκασιν αὐτῷ τὰ χρήματα καὶ τὸν παῖδα εἰς φύλαξιν. Ὁ δὲ λαβὼν τὰ ἑκατὸν νομίσματα ἦλθε μετὰ χαρᾶς μεγάλης πρὸς τὸν ἀββᾶν σὺν τῷ παραφύλακι αὐτοῦ, καὶ λέγει· Κύριε, ὁ ἄνθρωπος οὗτος ἐμός ἐστι, καὶ μετὰ σοῦ ἀναμενεῖ, ἐγὼ δὲ παρευθεὶς πρὸς τοὺς ἑταίρους μου, συντάξω αὐτοῖς τὴν ἡμέραν τῆς ὑποδοχῆς. Καὶ ἔρχεται χρήματα βαστάζων πρὸς τὸν ναύκληρον, καὶ λέγει αὐτῷ· Ἀδελφὲ, ἐμοὶ καὶ τῷ μοναχῷ ἐκείνῳ μόνον ἐκμισθώσεις τὸ πλοῖόν σου. Λέγει αὐτῷ ὁ ἄνθρωπος· Εἶπόν σοι ὅτι πολύς ἐστι ὁ μισθὸς τοῦ πλοίου· ἐὰν δὲ ἐκδέχησθε, λαμβάνω ὑμᾶς μετὰ τοῦ φόρτου μου. Λέγει αὐτῷ ὁ Ἰωάννης.

Λάβε παρ' ἐμοῦ τὸν μισθόν σου, μόνον διάσωσον ἡμᾶς. Καὶ ἐκβάλλων τὰ ἑκατὸν νομίσματα δίδωσιν αὐτῷ λέγων· Δέομαί σου, σκόπησον τὸν ἀέρα, καὶ ὅταν ἴδῃς τὸν ἄνεμον ἐπιτήδειον εἶναι πρὸς τὴν ὁδοιπορίαν ἡμῶν, ἐκ τοῦ πλοίου νεύματι κάλεσον ἡμᾶς· ὑφορώμεθα γάρ τινας καὶ θέλωμεν φυγῇ χρήσασθαι. Λαβὼν οὖν ὁ ναύκληρος τὰ νομίσματα λέγει αὐτῷ· Ἄπελθε ἐν εἰρήνῃ, κύριέ μου· ἐγὼ γὰρ ὑμᾶς διασώζω. Ἐλθὼν οὖν ὁ Ἰωάννης διηγήσατο πάντα τῷ ἀββᾷ, κρύψας ἀπὸ τοῦ παιδὸς, τοῦ εἰς φύλαξιν.

A datis, vos una cum reliquis oneribus accipiam. Tunc illi Joannes: Accipe a me mercedem tuam, modo nos salvos pervehas. Hoc cum dixisset, centum nummos aureos ei numeravit: quos cum daret: Rogo, inquit, te, frater, ut cœlum ipsum bene inspicias, cumque is ventus flare incipiat, qui ad nos vehendos idoneus esse possit, tunc in navigio tuo stans, nos ipsos nutu voces: suspectos enim habemus quosdam homines, et fuga uti volumus. Tum ille, centum aureis nummis acceptis, valde lætatus dixit: Vade, domine mi, et securus esto, quod vos incolumes perveham. Abiit igitur Joannes, et monacho rem narravit clam puero illo, quem pater custodem apposuerat.

Ζ'. Ἡμερῶν δὲ διαγενομένων λεγει τῷ μοναχῷ καὶ τῷ παιδὶ ὁ Ἰωάννης· Ἀπέλθωμεν πρὸς τὸν αἰγιαλὸν, ὅτι ἕως δύο ἡμερῶν δεξίωσίς μοί ἐστι, καὶ χρείαν ἔχω καλοῦ τινος ἰχθύος. Καὶ ἀπελθόντων εἰς τὸν αἰγιαλὸν, κελεύει Θεοῦ γέγονεν ἄνεμος ἐπιτήδειος, καὶ ἤρξατο νεύμασι προσκαλεῖσθαι αὐτοὺς ὁ ναύκληρος. Μὴ δυνάμενοι δὲ λαθεῖν τὸν παῖδα, λέγουσιν αὐτῷ· Ἀπελθὼν ἴδε τί πράττουσιν οἱ παῖδες ἐν τῇ διατριβῇ, καὶ ἐλθὼν εὑρήσεις ἡμᾶς ὧδε. Ἀπελθόντος οὖν αὐτοῦ, ἐμβάντες εἰς τὸ πλοῖον ἔπλευσαν, καὶ διασωθέντες ἦλθον εἰς τὸ ἅγιον μοναστήριον ἐκεῖνο. Διηγήσατο δὲ ὁ ἀββᾶς τοῖς ἀδελφοῖς ἅπαντα τὰ ἀληθῆ, καὶ πᾶσαν τὴν πίστιν τοῦ παιδός. Ἰδὼν δὲ αὐτὸν ὁ ἀρχιμανδρίτης, Πολὺ νεώτερος εἶ, ἔφη· ἔθος δέ ἐστι παρ' ἡμῖν τὸν θέλοντα ἀποτάξασθαι ἀναμεῖναι τεσσαράκοντα ἡμέρας, καὶ θεωρῆσαι τὸν κανόνα τῆς ἀσκήσεως, καὶ οὕτως ἀποκουρεύεσθαι. Λέγει αὐτῷ ὁ Ἰωάννης· Διὰ τὴν ὑπεραγίαν Τριάδα, σήμερόν με ἀποκούρευσον, ὅτι πολύς μοι πόθος ἐστὶ καὶ σπουδὴ φορέσαι τὸ ἀγγελικὸν σχῆμα. Τότε εὐλογήσας αὐτὸν ὁ ἀρχιμανδρίτης ἀπέθριξε τὴν κεφαλὴν αὐτοῦ, δεδωκὼς αὐτῷ τὸν στολισμὸν τῆς ἀσκήσεως. Αὐτὸς δὲ μετὰ προθυμίας ἤσκει, δεόμενος τοῦ Θεοῦ νυκτὸς καὶ ἡμέρας ἀκαταπαύστως. Ἐνῴκησε δὲ ἐν τῇ μονῇ ἔτη ἕξ, καὶ πάντας ἐδίδασκε τοὺς ἐκεῖσε ὄντας, ὅπως ταπεινοφρονεῖν καὶ εὔχεσθαι τὸν Θεὸν μέλλουσι. Ἔταξεν δὲ ἑαυτῷ ἐγκράτειαν πᾶσαν, ὡς μηδενὸς ἄλλου γεύεσθαι, εἰ μὴ μόνον τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Χριστοῦ· ὥστε θαυμάζοντα τὸν ἀρχιμανδρίτην λέγειν, ὅτι παιδίον ὑπάρχων πολὺν κόπον ἑαυτῷ περιέθηκας, διόπερ καὶ τὸ σῶμά σου ἀσθενὲς γίγνεται ὥστε μὴ τελεῖν τὴν εἰς Θεὸν δοξολογίαν· πολλὴ γὰρ ἐγκράτεια, νηστεῖαι, ἀγρυπνίαι ἀτονεῖ τὸ σῶμα καὶ διαφθείρει.

VII Post aliquod temporis intervallum. Joannes monacho et puero dixit: Eamus ad fluminis ripam, B eo quod intra duos dies futurum est, ut ego sodales meos in convivium accipiam, unde boni uliujus piscis obsonio indigemus. Cum igitur eo venissent, Dei voluntate factum est, ut ventus navigationi accommodatus flare cœperit. Itaque nauclerus e navigio ipso crebris nutibus illos vocabat. Cum vero puerum secum capere non possent, ei dixerunt: Abi, puer, in gymnasium, et vide quid adolescentes illi faciant, et redi huc, ubi nos invenies Abiit puer. Joannes vero et monachus navigium conscenderunt, et illinc navigantes, ad sanctum illud monasterium incolumes vecti sunt. Narravit autem abbas ille fratribus totum id, quod verum erat, et quanta esset pueri fides. Quem cum archimandrita inspexisset: Nimium, inquit, adolescens es, o fili: C nobis autem mos est, ut qui monasticam vitam profiteri velit, quadraginta dies apud monasterium maneat, et cum exercitationis nostræ regulam consideraverit, ita tondeatur. Ad hæc Joannes: Obtestor te per purissimam Trinitatem, ut hodie me tondeas, quoniam isto angelico habitu indui vehementer cupio ac studeo Tunc archimandrita puero illi benedixit, cumque eum totondisset, habitu induit. Ipse vero multo studio et animi alacritate, exercitationi monasticæ vacabat, Deum ipsum nocte et die precans. Mansit autem annis sex in monasterio illo, et omnibus qui illic erant, exemplo fuit, quo pacto humilitatem exercere, ac Deum ipsum orare deberent. Talem autem abstinentiam sibi præscripsit, ut nihil aliud gustaret, nisi pretiosum Christi corpus et sanguinem, ita ut archimandrita D ille miraretur, ac diceret: Tu quidem adhuc puer multum laboris tibi ipse imposuisti: itaque corpus tuum imbecillius efficitur, quam ut divinæ gloriæ ministerio sufficere possit. Nimia enim abstinentia, jejunium et vigiliæ ipsum debilitant et corrumpunt.

Η'. Ἰδὼν δὲ ὁ μισόκαλος δαίμων τὴν πολλὴν τοῦ νεανίου σπουδὴν, καὶ τὸν δρόμον τῆς ἀσκήσεως καὶ προθέσεως, ἐμάνη σφόδρα κατ' αὐτοῦ. Καὶ ἀγριωθεὶς μεγάλως, καὶ μὴ δυνάμενος νικῆσαι τὸν γενναῖον αὐτοῦ λογισμὸν, καὶ ἀποστῆσαι τῆς ἐλπίδος τοῦ Χριστοῦ, ἀνάμνησιν ὑποβάλλει αὐτῷ, καὶ πόθον μέγαν τῶν γονέων, ὥστε νυκτὸς καὶ ἡμέρας ἐννοεῖν περὶ αὐτῶν, πῶς ἐξερχόμενοι ἐκ τοῦ παλατίου, καὶ τῶν δούλων ὑπηρεσίαν, τήν τε τοῦ βίου ἀπάτην, καὶ

VIII. Jam vero bonarum rerum hostis diabolus, cum adolescentis illius studium multum, et sancti propositi cursum intentum videret, vehementer contra illum furere cœpit. In quem cum acerbissime affectus esset, et generosam ejus mentem et cogitationes superare, et a Christi spe removere non posset, talem mœrorem, et tantum parentum desiderium in ejus adolescentis mentem injecit, ut nocte et die de illis cogitaret, et ante oculos haberet,

quanto comitatu ac servorum ministerio parentes uterentur : denique omnem vitæ hujus fallaciam ac vanitatem propositam habebat. Itaque multis jejuniis, vigiliis, et nimio parentum desiderio factum est, ut ejus corpus non caro, sed instar umbræ tenue videretur. Archimandrita vero cum adolescentem ita extenuatum atque afflictum vidisset, ut jam-jam e vivis excessurus putaretur : Annon tibi dixi, inquit, fili Joannes, Deum ipsum hoc tantum a servis suis postulare, ut eum pro viribus colant? Tu vero supra vires tuas ista exercitatione utens, teipsum nimis extenuatum et gracilem reddisti. Ad hæc Joannes : Scito, pater, non jejuniis me domari, sed peccata mea impedimentum mihi afferre. Multis enim abhinc diebus bonarum rerum inimicus diabolus cor meum conturbavit, et parentum ac videndæ familiæ meæ desiderium animo meo suggessit : neque perditus hic hostis illud videt, quod, Deo meo volente, et vestris precibus mihi opitulantibus, quamvis ad videndos parentes meos profectus fuero, ipsum tamen conculcabo, et ejus conatum imbecillum atque inanem esse ostendam. Tum illi archimandrita : Nonne, inquit, fili, tibi dixi, cum primum monastica professione initiari voluisti, nostræ hujus exercitationis certamen magnum, et laborem multum esse? Hæc cum dixisset, et adolescentis causa lacrymatus esset, ei benedixit.

A γλυκεῖαν ματαιότητα· ὡς ἐκ τῆς πολλῆς νηστείας καὶ ἀγρυπνίας, καὶ τοῦ πόθου τῶν γονέων ἐκτακῆναι αὐτοῦ τὸ σῶμα καὶ γίνεσθαι ὡς σκιάν. Ἰδὼν δὲ αὐτὸν ὁ ἀρχιμανδρίτης τοσοῦτον ταλαιπωρούμενον, ὥσπερ σκιὰν τῷ θανάτῳ ἐγγίζουσαν, εἶπεν· Οὐκ εἶπόν σοι, τέκνον, ὅτι ὁ Θεὸς τὰ κατὰ δύναμιν ἀπὸ τῶν δούλων αὐτοῦ ἀπαιτεῖ; σὺ δὲ ὑπέρμετρα σπουδάσας καὶ ἀσκήσας κατέστησας ἑαυτὸν ἄτονον καὶ σκιᾷ ὅμοιον. Λέγει αὐτῷ ὁ Ἰωάννης· Δέομαί σου, πάτερ, οὐχ ἡ νηστεία δομάζει, ἀλλὰ αἱ ἁμαρτίαι μου παρεμπόδιόν μοι γίνονται. Ἔχω γὰρ ἡμέρας πολλὰς ἀφ' οὗ ὁ ἐχθρὸς τῶν καλῶν, δαίμων, ἐνετάραξέ μου τὴν ψυχὴν πρὸς ἐπιθυμίαν κινήσας τοῦ ἰδεῖν τοὺς γονεῖς μου καὶ τὸν οἶκόν μου· καὶ οὐκ οἶδεν ὁ πονηρὸς οὗτος ὅτι καὶ ἐκεῖ ἀπελθὼν, Θεοῦ μου θέλοντος, καὶ τῶν ἁγίων εὐχῶν ὑμῶν βοηθουσῶν, ἵνα B τοὺς γονεῖς μου ἴδω; πατήσω αὐτὸν καὶ ἀνίσχυρον καὶ μάταιον ἀποδείξω. Λέγει αὐτῷ ὁ ἀρχιμανδρίτης· Οὐκ εἶπόν σοι παρὰ τὴν ἀρχὴν ὅτι μέγας ἐστὶν ὁ ἀγὼν τῆς ἀσκήσεως καὶ ὁ κόπος πολύς; ταῦτα εἰπὼν καὶ παιδὸς ἕνεκα δακρύσας, εὐλόγησεν αὐτῷ.

IX. Postero autem die Joannes archimandritam adiit, cumque ad ejus pedes se abjecisset ipsum rogavit, ne sibi succenseret, sed pro se Deum precaretur, et concederet abire, et parentes videre, eaque ratione diabolum, Domino adjuvante, conculcare. Archimandrita cum omnes fratres, qui erant in monasterio illo, congregasset, et attentis precibus pro adolescente illo Deum oravisset, cum gemitu et lacrymis : Vade, inquit, fili, in nomine Patris, et Filii, et Spiritus sancti, et tecum una venientem habeas Dominum Jesum Christum, qui te ducat in via ista, prout ipse vult. Joannes vero cum e terra surrexisset, fratres omnes obeundo, genibus flexis, petiit a singulis, ut extensis manibus illi benedicerent : et ita eos salutans : Salvi estote, inquit, omnes patres et fratres : salva esto, laudabilis et sancta societas, quæ me bene suscepisti : ego omnino vestro tecto indignus sum.

Θ'. Τῇ δὲ ἐπαύριον ἀναστὰς ὁ Ἰωάννης ἦλθε πρὸς τὸν ἀρχιμανδρίτην, καὶ ἔπεσε πρὸς τοὺς πόδας αὐτοῦ δεόμενος, μὴ ὀργισθῆναι αὐτῷ, ἀλλ' εὔχεσθαι αὐτοῦ καὶ ἐπιτρέψαι ἀπελθεῖν καὶ θεωρῆσαι τοὺς γονεῖς αὐτοῦ, καὶ οὕτως, Θεοῦ συνεργοῦντος, πατῆσαι τὸν ἀντικείμενον. Καὶ συναθροίσας ὁ ἀρχιμανδρίτης ἅπαντας τοὺς ἐν τῇ μονῇ ἀδελφοὺς, καὶ ποιήσας C δέησιν ἐκτενῆ πρὸς τὸν Θεὸν ὑπὲρ τοῦ παιδὸς μετὰ δακρύων καὶ στεναγμῶν, λέγει· Πορεύου, τέκνον μου, ἐν τῷ ὀνόματι τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Πνεύματος ἁγίου, καὶ ἔχε συμπορευόμενον τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁδηγοῦντά σε εἰς τὸ θέλημα αὐτοῦ. Ἰωάννης δὲ ἀναστὰς, καὶ περιπατήσας πάντας τοὺς ἀδελφοὺς, γόνατά τε κάμψας ᾔτησεν ἵνα εὐλογηθῇ παρ' αὐτῶν, καὶ εἶπε· Σώζεσθε, πατέρες καὶ ἀδελφοὶ, καὶ εὐλογημένη ἡ ἁγία συνοδία, ἡ με καλῶς ἀναθρεψαμένη· ἐγὼ δὲ ἀνάξιος ἦν τῆς ὑμῶν ὑποδοχῆς.

X. Cum igitur a sanctis illis Patribus Deo commendatus esset, exiit e monasterio illo, et ab ejus janua longius progressus, se convertens, et sanctum monasterium aspiciens, tristem atque acerbum gemitum emisit, et flexis genibus, Deum ipsum sic oravit, ut ejus lacrymæ in terram defluxerint, atque ita finitimam illam regionem salutavit, et lacrymas non intermittens, discessit, iterque suum fecit. Cum vero dimidium itineris confecisset, vidit inopem quemdam hominem lacera veste indutum, cui dixit : Salve, frater, et viæ comes. An placet, et una iter faciamus? Maxime, inquit ille, gratum mihi hoc est. Cum vero una iter facerent, Joannes ait : Video te, frater, vestem tum laceram habere, ut illam ferre non possis; te igitur rogo, ut veste ista te exuas, et meam capias : ego autem tua me induam. Cumque ad

Ι'. Καὶ οὕτως ὑπὸ τῶν ἁγίων ἐκείνων Πατέρων παραθέμενος τῷ Κυρίῳ ἐξῆλθε τοῦ μοναστηρίου, καὶ μακρὸν ἐκεῖθεν προβὰς, στραφεὶς καὶ ἰδὼν τὴν ἁγίαν μονὴν ἔκλαυσε πικρῶς, καὶ θεὶς τὰ γόνατα D ἐπὶ τὴν γῆν, καὶ προσευξάμενος ἔκλαυσεν ἐπιπολύ· καὶ οὕτως ἀναστὰς ἐπορεύετο κλαίων ἀκαταπαύστως, καὶ τὴν ὁδὸν αὐτοῦ ἐποίησε. Ὡς δὲ ἦλθεν ὁδοιπορῶν τὴν ἡμίσειαν ὁδὸν, εὗρέ τινα πτωχὸν φοροῦντα διεῤῥωγότα ἱμάτια, καὶ λέγει αὐτῷ· Χαίροις, ἀδελφὲ καὶ συνοδοιπόρε, καὶ, εἰ θέλῃς, πορευθῶμεν ὁμοῦ τὴν ὁδοιπορίαν. Καὶ ἀπεκρίθη ὁ πτωχός· Χάριν ἔχω ἐν τούτῳ πολλήν. Ὁδευόντων δὲ αὐτῶν, λέγει ὁ Ἰωάννης· Ὁρῶ σε, ἀδελφὲ, κατεστιγμένον ὄντα καὶ μὴ δυνάμενον βαστάζειν τὰ περικείμενά σοι ἱμάτια· ἀλλὰ ἀποδυσάμενος, λάβε τὴν ἐμὴν ἐσθῆτα, δέομαι, καὶ ἐγὼ ἐνδύσομαι τὰ σὰ ἱμάτια. Καὶ ὁδεύσαντες ἐπὶ ἱκανὸν τόπον, καὶ συνταξάμενοι ἀλλήλοις, συν-

εχώρησεν ἕκαστον τὴν ὁδὸν αὐτοῦ. Ὁ δὲ Ἰωάννης ἐλθὼν, καὶ τὴν οἰκίαν τῶν γονέων αὐτοῦ ἰδὼν, ἔῤῥιψεν ἑαυτὸν ἐπὶ τὴν γῆν, καὶ προσηύξατο λέγων πρὸς Κύριον· Κύριε Ἰησοῦ Χριστὲ, μὴ ἀπολίπῃς με. Καὶ ἐν ἑσπέρᾳ βαθείᾳ εἰσελθὼν ἐν τῷ οἴκῳ αὐτοῦ, πάλιν ἐπὶ τῆς γῆς κείμενος καὶ δακρύων πρὸς τὸν Θεὸν ἔλεγεν· Κύριε Ἰησοῦ Χριστὲ, ἰδοὺ καὶ τὸν οἶκον τῶν γονέων μου ἔδειξάς μοι, καὶ τοῦ χαρίσματός σου μὴ ἐκπέσω, ἀλλὰ δός μοι ἵνα τελείως νικήσω τὸν διάβολον, καὶ ἐν τῷ οἴκῳ τούτῳ ἀποθάνω καλῶς, μήτε ἐάσῃς με μᾶλλον πειρασθῆναι. Καὶ ἔμεινεν ἐκεῖ πάσης τῆσδε νυκτός.

Β'. Ἄρτι τοῦ δυσσεβοῦς Ἰουλιανοῦ μετὰ τῆς ἀρχῆς ἀθλίως καὶ τὴν ζωὴν καταστρέψαντος, εἶτα μετ' ὀλίγον καὶ εἰς Οὐάλεντα μετελθούσης τῆς βασιλείας, πόλεμοι πανταχόθεν τῆς Ἐκκλησίας ὑπὸ τῆς πικρᾶς Ἀρείου κοινωνίας χαλεποὶ περιέστησαν, καὶ τοῦ Ἑλληνισμοῦ λήξαντος, ὁ τοῦ Ἀρειανισμοῦ πόλεμος ἰσχυρῶς ἐκράτει, καὶ τὰ τῶν Ἐκκλησιῶν ἐνόσει περιφανῶς. Ἦν δέ τις ἐν τῇ πρὸς Εὐφράτην Μελιτηνῇ [c] τῆς Ἀρμενίας, ὄνομα Παῦλος, γυναικὶ Διονυσίᾳ καλουμένῃ συζῶν, ἐπιφανεῖς ἄμφω καὶ τὴν ἀρετὴν καὶ τὸ γένος. Στεῖρα δὲ ἡ γυνὴ καὶ παίδων ἔρημος οὖσα, οὐ μέτριον ἡγεῖτο τὸ πάθος, οὐδὲ οἷον ὀλίγης ἀξιοῦν φροντίδος, ἀλλὰ μερίμναις τὴν ψυχὴν ὀξείαις ἐβάλλετο, καὶ ὀδύναις ἐκόπτετο, καὶ τὰ σπλάγχνα καὶ τὴν καρδίαν τῷ τῆς ἀπαιδίας πυρὶ διεπίμπρατο, καρποῦ κοιλίας ἐφιεμένη· ὃ πρᾶγμα γυναιξὶ ταῖς πλείοσιν εὐκταιότατον, ὀφθαλμοῖς ἥδιστον ὄν, καὶ ἱκανὸν αὐταῖς περιθεῖναι δόξαν, καὶ μὴ ταπεινὸν ὁρᾷν μηδ' ἀπαῤῥησίαστον εἰς τὰς τῶν ἀνδρῶν ὄψεις παρασκευάσαι. Οὕτω τοιγαροῦν ἔχουσα, καὶ συμφορᾷ τοιαύτῃ πιεζομένη, πρὸς τὸν πλησίον Πολυεύκτου τοῦ θείου μάρτυρος ναὸν μετὰ τοῦ συζύγου ἀφικομένη (ἐλάμβανε γὰρ καὶ τῆς εὐχῆς κοινωνὸν, ὃν καὶ τῆς λύπης ἀναγκαίως εἶχεν), ἐπὶ πολλαῖς ἡμέραις ἐν τούτῳ τῇ προσευχῇ προσήδρευον. Λυθῆναί τε αὐτοῖς τὰ δεσμὰ τῆς στειρώσεως ᾔτουν, καὶ καρπὸν οἰκείων ὠδίνων ἰδεῖν ηὔχοντο. Νυκτὸς δέ ποτε κατὰ μόνας εὐχομένοις αὐτοῖς, θεία τις ἐπιφαίνεται ὄψις, Εὐθυμεῖτε, λέγουσα, εὐθυμεῖτε· ἰδοὺ γὰρ δίδωσι παῖδα ὑμῖν ὁ Θεὸς, εὐθυμίας τε τὴν κλῆσιν φερώνυμον, καὶ τοὺς τρόπους ἀξίους ἐκείνης ἔχοντα· ἐπὶ δὲ τῇ αὐτοῦ γεννήσει καὶ εὐθυμίαν ταῖς αὐτοῦ Ἐκκλησίαις δίδωσιν ὁ Θεός.

Γ'. Ἐκεῖνοι μὲν οὖν τηνικαῦτα τὸν καιρὸν τῆς ὀπτασίας διὰ τὸ παράδοξον τῆς θέας ἐπισημήναντες, ἀνέστρεφον οἴκαδε, καὶ Θεῷ πάλιν ἀναθεῖναι τὸ γεννηθὲν ἐπηγγέλλοντο. Μετὰ μικρὸν δὲ καὶ ὁ τῆς γαστρὸς ὄγκος τὴν κύησιν ἠγγυᾶτο, καὶ χαρᾶς ἡ Διονυσία τὴν ψυχὴν ἐπληροῦτο. Ἔπειτα γεννηθέντος αὐτοῖς τοῦ παιδὸς, ἐπὶ τῆς τετάρτης Γρατιανοῦ ὑπατείας, τοῦτον μὲν, συνᾴδοντα τῇ ὀπτασίᾳ ποιοῦντες, Εὐθύμιον ὀνομάζουσι. Τῇ ὀπτασίᾳ δὲ καὶ τὸ ἔργον ἐπηκολούθει· καὶ ὁ κατὰ τῶν ὀρθοδόξων πό-

nominis futurus sit. De ejus itaque rebus jam incipiendum est mihi ab alto dicere, et eæ auribus tradendæ pro vicibus.

II. Cum impius Julianus paulo ante una cum imperio vitam quoque misere amisisset (1), ac deinde paulo post imperium delatum fuisset ad Valentem (2), bella difficilia propter acerbam Arii communionem circumsistebant omni ex parte Ecclesias; et cum cessasset paganismus, arianismi bellum admodum invalescebat, resque Ecclesiæ insigniter laborabant. Erat autem Melitenæ, quæ est urbs Armeniæ ad Euphratem, quidam nomine Paulus, cui vitæ consors erat conjux, vocata Dionysia, ambo clari tam virtute quam genere. Hæc vero cum esset sterilis, et careret liberis, id ducebat non mediocre esse infortunium, neque parva dignum sollicitudine; sed gravibus curis animo agitabatur, et lacerabatur doloribus, ejusque cor et viscera quod liberos non procreasset velut igne accendebantur, ut quæ fructum ventris desideraret; quæ res plerisque mulieribus exoptatissima est, ut quæ sit oculis jucundissima, quæque possit eis afferre gloriam, atque efficere ut non demisse et absque fiducia ora maritorum intueantur. Cum sic ergo se haberet, et tali premeretur calamitate, ad propinquum Polyeucti (3) divini martyris templum profecta cum conjuge suo (eum enim accepit voti quoque socium, quem necessario habebat tristitiæ), in eo perseveraverunt multis diebus in oratione. Petebant autem, ut sibi solverentur vincula sterilitatis, et rogabant, ut fructum ex se prognatum viderent. Noctu autem eis aliquando seorsum orantibus, divina quædam apparet visio, dicens; Estote, estote bono animo; ecce enim Deus dat vobis filium, qui ab « euthymia, » hoc est bono et tranquillo animo, nomen merito accipiet, ac eo dignos mores est habiturus: in illius autem ortu etiam tranquillitatem et bonum animum dat Deus suis Ecclesiis.

III. Atque illi quidem tunc, tempore visionis ideo signato, quod spectaculum esset admirabile, domum redierunt, Deoque se adhuc dedicaturos quod natum fuerit professi sunt. Paulo post autem uteri quoque tumor conceptum confirmabat et partum promittebat, et Dionysiæ animus implebatur lætitia. Deinde cum eis natus esset puer (4), quarto Gratiani consulatu, cum quidem congruenter visioni nominant Euthymium. Visionem vero etiam res consecuta est: et componi cœpit bellum adversus ortho-

VARIÆ LECTIONES.

[a] al. ἀντιδόσεων. [b] al. παραδοτέον et φιλοθέοις ταῦτα διηγητέον. [c] al. Μελιτινῇ et infra.

JOAN. BOLLANDI NOTÆ.

(1) Junii 26, anno Christi 363.

(2) Cum octo fere mensibus Jovianus regnasset, ab hujus successore Valentiniano Valens frater ad imperium assumptus est 29 Martii an. 364.

(3) Ejus sub Decio peractum Militene martyrium dabimus 13 Februarii. De ipsa Melitene urbe plura reperies 10 Januar. ad S. Domitiani episcopi Vitam.

(4) Anno 377 coss. erant Gratianus Aug. IV et Fl. Merobaudes.

doxos, jamque a difficili tempestate respirabant Ecclesiæ; et ver illucescebat pietatis, atque ad tranquillitatem res tristes Ecclesiis convertebantur. Nam cum a temporibus Constantii persecutio vexasset Ecclesias, et sub Juliano tyranno, ut jam supra declaravimus, et imperante postea per Orientem Valente, nec minus quam per quadraginta (5) annos Ariani ingentes efflassent spiritus adversus pietatem, Euthymio jam nato, viro vere nominis sui, desierunt omnia Ecclesiarum tristia. Valens quippe, nondum quinto (6) mense post Euthymii nativitatem elapso, exercitum ducens adversus Barbaros, qui secure vexabant et populabantur Thraciam, cæsis ejus copiis, ipsa quoque postea pœnas luit debitas impietati qua adversus Deum pugnaverat. Nam cum fugisset ad quemdam vicum Andrianopoli adjacentem, Barbari, incursione facta, eum turpiter capiunt, et una cum vico incendunt; atque veluti procœmium futuri illic ignis accipit temporarium qui hic est.

IV. Tertio autem post anno, Paulus quidem Euthymii pater, e vita excedit; sola vero cum filio mater et vidua relicta, filium secum adducens, accedit ad fratrem Eudoxium, quem Otrejus (7), qui Melitenensi præerat Ecclesiæ, suum fecerat confessorem (8); positoque ante ejus genua puero, vehementer orabat, lacrymas emittens ex oculis, easque credens esse validum persuasionis medicamentum; rogabat autem, ut et infantis et sui misereretur, puerumque ad Otrejum adduceret, ac ei pro patre offerret. Atque mater quidem vidit petitionem sibi successisse ex sententia: puer fuit oblatus Otrejo, ac per eum Deo, sicut diu ante ab Anna Samuel.

V. Otrejus vero eum intuitus, non simpliciter tantum aspexit, sed etiam animi profundum simul subiit, ejusdem animi quosdam secretiores motus, quoad fieri potuit conjectans acutissime. Et vero cum de matris sterilitate audivisset, ac de diviniore illa apparitione, et quemadmodum opus precationis fuerat conceptio, quodque antequam nasceretur parentes eum Deo consecraverant; fuit verus futuri propheta. Et profecto, inquit, requiescet Spiritus Dei super hunc puerum. Deinde cum illum baptizasset, et capillorum quantum lex de pueris præscribit totondisset, in gradum lectorum cooptat. Porro matrem Dionysiam, ut quæ divinis rebus va-

A λεμος, ἀρχὴν ἐλάμβανε διαλύσεως, καὶ ἀνέπνεον ἤδη τοῦ χαλεποῦ χειμῶνος αἱ Ἐκκλησίαι, καὶ ἔαρ ὑπέλαμπεν εὐσεβείας, καὶ εἰς εὐθυμίαν αὐταῖς τὰ σκυθρωπὰ μετεβάλλετο. Ἀπὸ γὰρ τῶν Κωνσταντίου χρόνων διωγμοῦ ταῖς Ἐκκλησίαις ἐπικειμένου, ἔν τε τοῖς Ἰουλιανοῦ τοῦ τυράννου καιροῖς, ὥσπερ ἤδη φθάσαντες ἐδηλώσαμεν, καὶ τοῦ μετέπειτα τῆς Ἑῴας Οὐάλεντος βασιλεύσαντος, οὐκ ἔλαττον ἢ τεσσαράκοντα χρόνους τῶν Ἀρειανῶν μέγα κατὰ τῆς εὐσεβείας πνευσάντων, Εὐθυμίου τοῦ φερωνύμως κληθέντος, ἤδη γεννηθέντος, τὰ σκυθρωπὰ πάντα τῶν Ἐκκλησιῶν διελύετο. Οὐάλης μὲν γὰρ οὔπω τοῦ πέμπτου μηνὸς μετὰ τὴν Εὐθυμίου γέννησιν παρελθόντος, ἐπιστρατεύσας Βαρβάροις, ταράττουσι τὴν Θρᾳκῶν ἀδεῶς καὶ ληϊζομένοις, καὶ τὰς δυνά- B μεις περικοπεὶς, δίκην ὕστερον καὶ αὐτὸς τῆς θεομαχίας ἀξίαν ἔτισε. Πρός τινα γὰρ οἱ Βάρβαροι φεύγοντα κώμην περὶ Ἀδριανούπολιν οὖσαν καταδραμόντες, αἱροῦσί τε αὐτὸν αἰσχρῶς, καὶ τῇ κώμῃ συγκατακαίουσι, προοίμιον ὥσπερ τοῦ ἐκεῖθεν πυρὸς, τὸ ἐνταῦθα πρόσκαιρον τοῦτο δεχόμενον.

Δ'. Τρίτῳ δὲ μετὰ ταῦτα ἐνιαυτῷ, Παῦλος μὲν ὁ τοῦ Εὐθυμίου πατὴρ καταλύει τὸν βίον· ἔρημος δὲ μετὰ τοῦ παιδὸς ἡ μήτηρ καὶ χήρα καταλειφθεῖσα, τῷ ἀδελφῷ πρόσεισιν Εὐδοξίῳ, τὸ τέκνον ἐπαγομένη· ὄντινα δὴ σύνεδρον Ὀτρήϊος ὁ τῆς κατὰ Μελιτηνὴν προεστὼς Ἐκκλησίας πεποίητο· καὶ πρὸ τῶν γονάτων αὐτοῦ θεῖσα τὸν παῖδα, ἐδεῖτο θερμῶς, δάκρυα τῶν ὀφθαλμῶν ἀφιεῖσα, καὶ ταῦτα πειθοῦς εἶναι C φάρμακον ἰσχυρὸν πιστεύουσα· ἐδεῖτο δὲ, τό τε νήπιον καὶ αὐτὴν οἰκτεῖραι καὶ προσαγαγεῖν Ὀτρηΐῳ τὸν παῖδα, καὶ αὐτῷ ἀντὶ πατρὸς ἀναθεῖναι. Ἡ μὲν οὖν μήτηρ κατὰ γνώμην ἐκβᾶσαν αὐτῇ τὴν αἴτησιν εἶδεν, Ὀτρηΐῳ τε ὁ παῖς ἀνετίθετο, καὶ δι' αὐτοῦ τῷ Θεῷ, καθάπερ πολλῷ πρότερον ὑπὸ τῆς Ἄννης ὁ Σαμουήλ.

Ε'. Ὀτρήϊος δὲ τοῦτον ἰδὼν, οὐχ ἁπλῶς εἶδεν, ἀλλὰ καὶ εἰς τὸ βάθος ἅμα τῆς ψυχῆς εἰσεδύετο, καί τινων αὐτῆς ἀποῤῥητοτέρων ὡς ἐνῆν κινημάτων, ὀξύτατα στοχασάμενος. Μαθὼν δὲ καὶ τὰ τῆς στειρώσεως τῆς μητρὸς, καὶ τὰ τῆς θειοτέρας ἐπιφανείας, καὶ ὅπως εὐχῆς ἔργον ἡ σύλληψις ἦν, καὶ ὡς εἶεν αὐτὸν οἱ γονεῖς καὶ πρὸ τῆς γεννήσεως καθαγιασάμενοι τῷ Θεῷ, προφήτης τοῦ μέλλοντος D ἀψευδὴς ἦν. Καὶ ὄντως, ἐπαναπαύσεται τὸ Πνεῦμα τοῦ Θεοῦ, ἐπὶ τὸ παιδίον τοῦτο, φησίν. Εἶτα καὶ βαπτίσας αὐτὸν, καὶ τῶν τριχῶν ὅσα νόμος τοῖς παισὶν ἀποκείρας, τῷ τῶν ἀναγνωστῶν ἐγκρίνει βαθμῷ. Τὴν μὲν οὖν μητέρα Διονυσίαν, οἷα διηνεκῶς

JOAN. BOLLANDI NOTÆ.

(5) Obiit Constantinus Magnus an. 337, ipso die Pentecostes; cui Constantius in Oriente succedens, mox se hæresis Arianæ fautorem professus est.

(6) Forte decimus quintus legendum: sicque Junio mense natum dicemus. Interiit Valens V idus Augusti, an. 387, cum eo anno ipse sextum consul esset, Valentinianus secundum, ut scribunt Idatius in Fastis, Socrates lib. IV, cap. ult. Ammianus lib. XXXI, aliique, et quidem indictione 5 cujus residui erant menses aliquot, ad Septembrem usque, quo et 6 indictio et annus apud Orientales inchoabatur. Hinc quæ post Septembrem inchoatam facta, ad sequentem annum Euthymii referuntur.

(7) Interfuit Otrejus synodo Constantinopolitanæ œcumenicæ II et Macedonianam hæresim cum aliis episcopis condemnavit ann. Chr. 381.

(8) Perperam in Surio excusum confessorem. Concessorem vertit Hervetus; recte.

περὶ τὰ θεῖα σχολάζουσαν, διάκονον τῆς ὑπ' αὐτὸν Ἐκκλησίας χειροτονεῖ· τὸν δὲ παῖδα εἰσποιησάμενος, οὐ τροφεὺς μόνον αὐτῷ καὶ παιδαγωγὸς, ἀλλὰ καὶ πατὴρ καὶ μήτηρ διαθέσεως νόμοις ἐγίνετο· οὐ τῷ παιδὶ μᾶλλον ἐντεῦθεν, ἢ ἑαυτῷ χαριζόμενος, καὶ παιδὸς εἶναι τοιοῦδε κηδεμὼν ἐφιέμενος. Εὐθυμίου τοίνυν οὕτως ἐν πρώτης ἡλικίας ἀνατεθέντος Θεῷ, καὶ τοῖς ἐκκλησιαστικοῖς καταλόγοις ἱερῶς ἐνταγέντος, κατὰ πόδας εὐθὺς καὶ Θεοδόσιος ὁ Μέγας ἐγκρατὴς τῆς βασιλείας καθίσταται· καὶ οὕτως ἐν ταὐτῷ τοῖς τε πολιτικοῖς πράγμασιν ὁ Θεὸς καὶ ταῖς Ἐκκλησίαις εἰρήνην παραδόξως ἐπιβραβεύει· τοῖς μὲν τὸν Θεοδόσιον ἀπονείμας, ταῖς δὲ τὸν Εὐθύμιον χαρισάμενος· ὥστε συμβαίνειν ἐπ' αὐτοῖς ἀκολούθως τοῖς ὀνόμασι καὶ τὰ πράγματα.

Ϛ'. Προϊόντος δὲ τοῦ χρόνου, καὶ τοῦ παιδὸς ἤδη τῶν νηπίων ἀμείβοντος ἡλικίαν, γραμμάτων διδασκάλοις αὐτὸν ὁ ἐπίσκοπος ἐγχειρίζει. Οἱ δὲ ἦσαν Ἀκάκιος καὶ Συνόδιος, εὐγενείᾳ τε καὶ συνέσει καὶ σωφροσύνῃ τῷ τῶν ἀναγνωστῶν χορῷ διαλάμποντες, καὶ τάς τε θείας Γραφὰς εὖ ἠσκημένοι, καὶ παιδείας ἐρασταὶ τῆς θύραθεν οὐκ ἀμελεῖς ὄντες· οἳ μετὰ πολλοὺς διὰ Χριστὸν ἀγῶνας, καὶ τὴν ἀρχὴν τῆς κατὰ Μελιτηνὴν Ἐκκλησίας, ἰδίᾳ καὶ κατὰ καιρὸν ἑκάτερος αὐτῶν ἐγχειρίζονται· ὧν πολλοῖς ἡ Μελιτηνῶν πόλις, καὶ εἰσέτι καὶ νῦν ἐντρυφᾷ διηγήμασιν Ἐκκλησιῶν τε ὡς ἀληθῶς προστασίᾳ καὶ ψυχῶν κηδεμονίᾳ προσήκουσι. Παραδοθεὶς τοίνυν τούτοις ὁ παῖς, καὶ δαψιλῆ τὰ σπέρματα τῆς διδασκαλίας ἐν τοῖς τῆς διανοίας κόλποις παραλαβὼν, πολὺν τὸν καρπὸν ἐν βραχεῖ καὶ ὑπὲρ τὴν ἡλικίαν προήνεγκεν. Ὡμίλει μὲν γὰρ ταῖς θείαις Γραφαῖς, καὶ φιλοπόνως αὐταῖς προσέκειτο. Ἡνίκα δὲ τῶν παλαιῶν ἀνδρῶν καὶ θείων εὗρέ τινα μνήμην αὐτὰς εἰς ἀρετὴν ποιουμένας, θήραμα οὗτος Εὐθυμίῳ τὸ σπουδαιότατον ἦν, καὶ πόθον εὐθὺς ἐλάμβανε τοῦ ἀνδρὸς, καὶ πρὸς τὸν ὅμοιον ἐκείνου ζῆλον διεθερμαίνετο. Τοιοῦτον γὰρ ἀγαθὴ ψυχὴ καὶ φιλόκαλος, ἀρετῆς πρόφασιν λαμβάνουσα καὶ μετρίαν. Ξυρὸς εἰς ἀκόνην ἐστὶ, δαλὸς εἰς πῦρ, ἵππος κατὰ πεδίου· τοῦτα δὴ τὰ ᾀδόμενα. Ὥστε πάντα τὸν χρόνον, ἔργον Εὐθυμίῳ φιλοπονώτατον εἶναι [d], τῷ [e] τῶν θείων Γραφῶν ἐπιέναι τὰς βίβλους, καὶ τὴν τῶν ἐγκειμένων δύναμιν ἐγγράφειν τῇ διανοίᾳ.

Ζ'. Ζηλωτὴς δὲ καὶ τῶν Ἀκακίου τρόπων τοῦ διδασκάλου καθίστατο, καὶ αὐτοὺς ὡς δυνατὸν ἐμιμεῖτο· ὡς μὴ τῶν λόγων τῶν αὐτοῦ μόνον, ἀλλὰ δὴ καὶ τῶν ἔργων μαθητὴς δείκνυται, καὶ ὥσπερ ὁμιλοῦντι τὴν ἀκοὴν, οὕτω δὴ καὶ ποιοῦντι τὸν ὀφθαλμὸν ἐμμελῶς [f] διδόναι· τροφῇ μὲν, οὐ τῇ

A caret assidue, Diaconissam ordinat Ecclesiæ sibi subjectæ: puerum vero adoptavit, nec solum ei fuit nutritor et pedagogus, sed etiam pater materque ratione affectionis: non eo nomine magis puero, quam sibi gratificans, et talis pueri curam gerere cupiens. Cum itaque Euthymius (9) sic ab ineunte ætate Deo fuisset dedicatus, et in Ecclesiastico Catalogo pie sancteque collocatus, statim consequenter Theodosius Magnus potitur imperio: sicque eodem tempore Deus mirum ac inopinatum in modum tam civilibus rebus quam Ecclesiis pacem conciliat; illis quidem Theodosium tribuens, his vero largiens Euthymium: adeo ut in eis consequenter res quoque convenirent nominibus.

B VI. Procedente autem tempore, cum jam puer excessisset ex infantiæ ætate, litterarum magistris eum tradit episcopus. Erant porro illi Acacius (10) et Synodius (11), qui propter nobilitatem, prudentiam, moderationem, clarebant in choro lectorum, tum in sacris Scripturis recte exercitati, tum externæ eruditionis amatores non incuriosi: qui post multa propter Christum suscepta certamina, etiam Melitenensis Ecclesiæ principatu seorsum et suo ambo tempore donati sunt; quorum multis rerum gestarum narrationibus in hodiernum usque diem delectatur civitas Melitenensis, et Ecclesiæ præfecturæ, et curæ animarum vere convenientibus. Puer itaque his traditus, copiosis doctrinæ seminibus in mentis sinus acceptis, brevi fructum plurimum et supra ætatem protulit. C Etenim in divinis Scripturis versabatur, iisque studioso labore incumbebat. Quando autem inveniebat illas alicujus ex viris antiquis divinisque facere ad virtutem mentionem aliquam, erat is vir Euthymio venatio studiosissima, statimque illius desiderio corripiebatur, et ad consimilem accendebatur æmulationem. Talis quippe est bona anima, præclarique studiosa, quoties virtutis vel modicam accipit occasionem. Novacula ad cotem est, torris ad ignem, equus in campo, juxta decantata vulgo proverbia: adeo ut omni tempore opus esset Euthymio summum, percurrere divinarum Scripturarum libros, et vim eorum quæ in eis insunt menti inscribere.

VII. Porro autem fuit etiam æmulator morum D Acacii præceptoris, quos imitabatur pro viribus; ut non solum ejus sermonum, sed et operum appareret esse discipulus, ut sicut sermocinanti aures, ita etiam facienti oculos diligenter accommodaret: cibo quidem utens, non vario, et composito, superfluo-

JOAN. BOLLANDI NOTÆ.

(9) Infra n. 109, hæc sic efferuntur: «Tres autem annos natus, Deo fuit consecratus, in principio scilicet magni Theodosii.» Est hic assumptus a in communionem imperii 14 Febr. anno 379, indictione VII, ideoque is tertius annus Euthymii censebatur.

(10) Acacius episcopus Melitenæ, interfuit synodo Ephesinæ œcumenicæ III, contra Nestorium an. Chr. 431, de cujus zelo infra num. 34. Alius ejusdem Ecclesiæ episcopus Acacius, sed annis centum prior, colitur a Græcis 31 Martii.

(11) Synodius successit Acacio in episcopatu Melitenensi; illi Constantinus, qui subscripsit synodo Chalcedonensi œcumenicæ IV, an. Chr. 451. Synodii mentio fit infra num. 41 et 54.

que, sed inaffectato, necessario, ac simplici: at lautitiam epularum apponebat animæ in eloquiis Spiritus. Et divinum quidem ecclesiasticæ regulæ officium, cum attentione mentis cordisque contritione, præfinitis peragebat temporibus; non risui et susurris, sicut multi, animum adhibens, sed ut qui astaret ante oculos communis Domini regisque omnium, et coram ad os cum eo loqueretur.

ποικίλῃ καὶ συνθέτῃ καὶ περιττῇ, ἀλλὰ τῇ ἀπεριέργῳ καὶ ἀναγκαίᾳ καὶ ἁπλῇ χρώμενος· τὸ δὲ φιλότιμον τῆς τρυφῆς [g], ἐν τοῖς τοῦ Πνεύματος λογίοις τῇ ψυχῇ παρετίθει. Καὶ τὴν μὲν θείαν λειτουργίαν τοῦ ἐκκλησιαστικοῦ κανόνος, ἐν προσοχῇ διανοίας καὶ συντριβῇ καρδίας, κατὰ τοὺς ὡρισμένους καιροὺς ἐκτελῶν, οὐ γέλωτι καὶ ψιθυρισμῷ κατὰ τοὺς πολλοὺς προσέχων, ἀλλ' ὥσπερ ἐπ' ὄψεσι τοῦ [h] κοινοῦ Δεσπότου καὶ βασιλέως πάντων παρεστηκὼς, καὶ αὐτῷ κατὰ στόμα διαλεγόμενος.

VIII. Eo autem tempore quod intercedebat, domi vacans, non otioso cuipiam sermoni, aut inanium rerum meditationi erat intentus; verum Dei legem diu noctuque meditabatur, et fructum suum in tempore afferebat, juxta arbores plantatas ad illas Psalmi aquas. Erat itaque tempus excandescentiæ et iræ? Ille vero mansuetudinis fructum et charitatis producebat. Aderat rursum tempus gulæ et deliciarum? Illi autem fructus erat generosus, continentia. Et inanis quidem gloriæ cogitationes, animi moderatione; plurium vero rerum cupiditatem, voluntaria paupertate vincebat: atque ita singulis virtutibus contraria fundebat fugabatque vitia.

Η'. Τὸν δὲ μεταξὺ χρόνον οἴκοι σχολάζων· οὐκ ἀργολογίᾳ τινὶ καὶ ματαίων μελέτῃ προσκείμενος, ἀλλὰ τόν τοῦ Θεοῦ νόμον ἡμέρας τε καὶ νυκτὸς μελετῶν, καὶ τὸν οἰκεῖον κατὰ καιρὸν προφέρων [i] καρπὸν, κατὰ τὰ πεφυτευμένα δένδρα παρὰ τοῖς ψαλμικοῖς ὕδασι. Καιρὸς τοιγαροῦν θυμοῦ καὶ ὀργῆς ἦν· ὁ δὲ, τὸ πρᾶον καὶ τὴν ἀγάπην ἐκαρποφόρει. Γαστριμαργίας πάλιν καὶ τρυφῆς ἐπέστη καιρός; τῷ δὲ καρπὸς ἦν εὐγενὴς, ἡ ἐγκράτεια. Καὶ τοὺς μὲν τῆς κενῆς δόξης λογισμοὺς, μετριοφροσύνῃ, τὴν δὲ τῶν πλειόνων ἐπιθυμίαν, αὐθαιρέτῳ πενίᾳ κατηγωνίζετο· καὶ οὕτως ἑκάστῃ τῶν ἀρετῶν, τὰς ἀντιθέτους ἐτροποῦτο κακίας.

IX. Cæterum eo eruditus modo, et per omnem graduum ordinem progressus, ab eo qui tunc erat Melitenæ episcopus, invitus, tradente illum virtute, presbyter ordinatur, ejusque fidei committitur cura monasteriorum et asceteriorum quæ urbis illius erant. Sed quoniam magno jam inde a pueritia tenebatur sanctæ quietis desidero, veniebat assidue ad divini martyris Polyeucti monasterium (12), atque ad illud Triginta trium (13) sanctorum martyrum, et longissimo tempore in iis versabatur. Porro ab ipsa etiam civitate semel omnino secedebat, post magnam Luminum festivitatem (14), et præclaros decorosque Jejuniorum dies in monte propinquo transigebat; qui tunc quidem erat solitudo, et mons Assumptionis vocatus fuerat ab accolis; nunc autem monasterium est non indigne admiratione, ædificatum proxime civitatem.

Θ'. Τραφεὶς δὲ οὕτω καὶ παιδευθεὶς, καὶ διὰ πάσης τῆς τῶν βαθμῶν ἀκολουθίας ἐλθὼν, ὑπὸ τοῦ τηνικαῦτα τῆς Μελιτηνῆς ἐπισκόπου πρεσβύτερος ἀκουσίως, τῆς ἀρετῆς αὐτὸν ἐγχειριζούσης χειροτονεῖται, καὶ τὴν φροντίδα τῶν περὶ τὴν πόλιν μοναστηρίων τε καὶ ἀσκητηρίων πιστεύεται. Ἀλλ' ἐπεὶ πόθος αὐτὸν εἶχεν ἐκ παίδων πολὺς ἡσυχίας, πρὸς τὸ τοῦ θείου μάρτυρος Πολυεύκτου σεμνεῖον, καὶ δὴ καὶ τὸ τῶν ἁγίων Τριῶν καὶ τριάκοντα μαρτύρων, ἐφοίτα συνεχῶς, καὶ τὸν πλεῖστον ἐν αὐτοῖς διέτριβε χρόνον. Ἀνεχώρει δὲ καὶ αὐτῆς καθάπαξ τῆς πόλεως, μετὰ τὴν μεγάλην τῶν Φώτων ἑορτὴν, καὶ τὰς εὐκόσμους τῶν νηστειῶν ἡμέρας, ἐν τῷ πλησίον ὄρει διήνυεν· ὃ τότε μὲν ἔρημος [j] ἦν, καὶ τῆς Ἀναλήψεως παρὰ τοῖς προσοίκοις ὠνόμαστο, νῦν δὲ μοναστήριόν ἐστιν οὐκ ἀθαύμαστον, ἐγγυτάτω τῆς πόλεως ᾠκοδομημένον.

X. Cum hæc ita se haberent, et ita jam diu esset quietis amator Euthymius; quod et rectam animæ ejus constitutionem, internamque indicabat tranquillitatem, ratus monasteriorum præfecturam sibi ad virtutem afferre impedimentum, fugæ, ita ut

Ι'. Ἐπεὶ οὖν ταῦτα, καὶ οὕτως ὁ Εὐθύμιος ἐκ πολλοῦ τῆς ἡσυχίας ἦν ἐραστής· ὃ καὶ τὸ εὐσταθέστατον αὐτοῦ τῆς ψυχῆς, καὶ τὴν ἔνδον ὑπεδήλου γαλήνην· ἐμπόδιον αὐτῷ τῆς ἀρετῆς εἶναι νομίσας τὴν τῶν μοναστηρίων ἐπιστασίαν, φυγῇ ὡς εἶχεν

VARIÆ LECTIONES.

[d] al. ἦν. [e] al. τὸ [f] al. εὐμενῶς. [g] al. τροφῆς, [h] abest ab al. [i] al. προσφέρων. [j] al. ἔρημον.

JOAN. BOLLANDI NOTÆ.

(12) Græca vox σεμνεῖον, locum sacrum significat. Hervetus monasterium vertit.

(13) De his agemus 7 Novemb. Dux eorum S. Hieron fuit. Templum iis ibidem erexisse Chysaphius dicitur, in eorum Actis Diversum id a S. Polyeucti. Hervetus unum fecerat, ita hic scribens: et longissimo tempore in eo versabatur.

(14) Infra num. 11 et 105. Octavo die post festum Luminum abit in solitudinem, et num. 68 et 103, post diem octavam sanctorum Theophaniorum. Hanc Euthymii piam secedendi quotannis in loca deserta, consuetudinem sunt imitati SS, Sabas, Gerasimus, Quiriacus, Zosimas, de quo 4 Aprilis, aliique ejus collegæ.

ἑαυτὸν ἐπιτρέπει, καὶ λάθρα τῆς πόλεως ἐξελθὼν, A ἐνάτῳ καὶ εἰκοστῷ τῆς ἡλικίας ἐνιαυτῷ, κατὰ προσκύνησιν τῶν ἱερῶν τόπων καὶ σεβασμίων, εἰς Ἱεροσόλυμα προθύμως φοιτᾷ· παραβαλὼν δὲ καὶ τοῖς ἐπὶ τῆς ἐρήμου Πατράσι, καὶ τὴν ἑκάστου πολιτείαν καταμαθὼν, θερμότερος τὴν ὁρμὴν γίνεται, καὶ πτεροῖς οἱονεὶ κουφίζεται· καὶ ὀξυτέρῳ πρὸς τὸν τῆς ἴσης διαγωγῆς ζῆλον τῷ κέντρῳ πληγεὶς, Φαρὰν ἐκεῖθεν τὴν λαύραν καταλαμβάνει, μιλίοις ἓξ τῆς πόλεως Ἱεροσολύμων διέχουσαν· καί τι κελλίον ἔξω τῆς λαύρας πρὸς ἡσυχίαν πάντοθεν εὖ ἔχον εὑρὼν, ἐκεῖ τὰς διατριβὰς ἐξῆς ἐποιεῖτο, φοινίκων μὲν κλάδους ἐν αὐτῷ διαπλέκων, καὶ κοινοὺς ἑαυτῷ καὶ τοῖς δεομένοις τοὺς τῶν χειρῶν πόνους ποιούμενος· ἵνα μὴ μόνον ἀβαρὺς [k] ᾖ, μὴ πρὸς ἑτέρων χεῖρας ὁρῶν, B ἀλλὰ καὶ θεραπεύοι Θεὸν, χεὶρ αὐτὸς μᾶλλον ἑτέροις γινόμενος. Πάσης δὲ τῶν γηΐνων φροντίδος τὴν ψυχὴν ἀπολύσας, ὅλως τῆς τῶν μελλόντων ἀγαθῶν ἐλπίδος ἑαυτὸν ἐξαρτᾷ.

ΙΑ'. Ἦν δέ τις ἐν [l] γειτόνων αὐτῷ, Θεόκτιστος ὄνομα, τὸν αὐτὸν ἐκείνῳ βίον ἀσκῶν, καὶ τῆς ἴσης πολιτείας μεταποιούμενος. Ὁ γοῦν τῶν ὁμοίων ἔρως, καὶ ἡ τῶν πόνων κοινωνία, οὕτως αὐτοὺς τῷ συνδέσμῳ τῆς ἀγάπης συνέδησε, καὶ τοσοῦτον ἀλλήλοις τῇ τοῦ πνεύματος στοργῇ συνεκράθησαν, ὡς ἑκάτερον αὐτῶν ἐν τῇ τοῦ ἑτέρου κεῖσθαι ψυχῇ, καὶ ἅπερ ἂν ἅτερος αὐτῶν φρονοίη, ταῦτα καὶ θατέρῳ κατὰ γνώμην εἶναι. Οὕτως οὖν ἀλλήλοις ἀδελφὰ φρονοῦντες, ἐπὶ τὴν ἔρημον τοῦ Κουτιλᾶ κατ' ἐνιαυτὸν, C ὀγδόην μετὰ τὰ Φῶτα διεφοίτων ἡμέραν· πάσης μὲν ἀνθρωπίνης χωριζόμενοι συναυλίας, Θεῷ δὲ μόνῳ διὰ προσευχῆς συγγινόμενοι. Καὶ πάντα τὸν μεταξὺ χρόνον ἐπὶ τῆς ἐρημίας ἀναστρεφόμενοι, ἕως ἂν ἡ τῶν Βαΐων ἑορτὴ ἐπισταίη. Τηνικαῦτα γὰρ εἰς τὸ κελλίον ἑκάτερος ἐπανήεσαν, συχνὸν ἐπαγόμενοι τὸν πλοῦτον τῆς ἀρετῆς, ὃν ἀναστάντι Χριστῷ προσοίσειν ἔμελλον, πολλῷ τοῦ χρυσοῦ τιμιώτερον, ὅπερ αὐτῷ τεχθέντι μάγοι προσήνεγκαν. Ἐπλεονέκτει μέντοι τῇ τῶν ἠθῶν χρηστότητι, καὶ τῇ τῶν τρόπων ἁπλότητι, καὶ τῇ τῆς ταπεινοφροσύνης ὑπερβολῇ, Εὐθύμιος ὁ μέγας, καὶ διὰ τοῦτο ηὔξανέ τε καθ' ἑκάστην αὐτῷ ἡ πρὸς Θεὸν παῤῥησία, καὶ δαψιλεστέραν ἐξεκαλεῖτο τὴν χάριν τοῦ Πνεύματος.

ΙΒ'. Πέμπτον δὲ χρόνον εἰς Φαρὰν διατρίψας, ἀπ- D αίρει κἀκεῖθεν ἅμα Θεοκτίστῳ, κατ' αὐτὸν δήπου

erat, se mandat, et clam ex urbe egressus, anno ætatis suæ vicesimo nono, ad sacra venerandaque loca adoranda Hierosolymam alacri animo proficiscitur. Cumque Patres in solitudine degentes convenisset, atque didicisset uniuscujusque vivendi rationem, acrior impetu evadit, ac velut alis elevatur; atque acutiori ad paris instituti æmulationem stimulo punctus, illinc pervenit ad lauram Pharan (15), quæ sex milliaribus distat ab urbe Hierosolyma (16); ubi inventa quadam extra lauram cella, ad quietem undique accommodata, illic de cætero commorabatur; palmarum quidem ramos in ea texens, sibique ac egentibus labores manuum communes efficiens; ut non solum non gravis esset, ad aliorum manus non respiciens; sed etiam Deum coleret, ipse potius aliis manus factus. Ab omni autem cura rerum terrestrium cum animum liberasset, penitus se futurorum bonorum spei submittit.

XI. Erat autem quidam inter ejus vicinos, nomine Theoctistus (17), qui eamdem quam ille vitam exercebat, idemque capessebat institutum. Amor itaque rerum similium, et laborum societas, ita eos vinculo charitatis colligavit, adeoque sunt inter se contemperanti dilectione spiritus, ut uterque eorum in alterius anima consisteret, et quæ alter eorum sentiret, ea etiam alteri placerent. Cum ergo esset tam fraternus inter eos consensus, in Cutilæ (18) solitudinem quotannis proficiscebantur, octavo die post festum Luminum, separati quidem ab omni humano contubernio, cum Deo autem solo versantes per precationem; et totum tempus, quod intercedebat, transigentes in solitudine, donec advenisset dies festus Palmarum. Tunc enim uterque revertebatur in cellam, importantes censum virtutis copiosum, quem oblaturi erant Christo resurgenti, auro eo longe pretiosiorem, quod ei nato obtulerunt Magi. Porro morum et benignitate et simplicitate magnus excellebat Euthymius, necnon humilitatis fastigio, atque ideo in dies ei accrescebat fiducia erga Deum, et gratiam Spiritus abundantiorem evocabat.

XII. Post annos autem quinque in Pharan transactos, illinc recedit (19) cum Theoctisto, consueto

VARIÆ LECTIONES.

[k] al. ἀβαρής. [l] an ἐκ?

JOAN. BOLLANDI NOTÆ.

(15) Meminit hujus lauræ iterum Cyrillus n. 12, 41, 119 et 154. Joannes Moschus in *Prato spirituali* cap. 40, 41, 42 et 139, nonnullorum hujus lauræ monachorum virtutes describit. In ea ipse decem annis vixit.

(16) Versus orientem, via Hierichuntina.

(17) De S. Theoctisto agemus 3 Septembris Obitus ejus describitur infra cap. 17.

(18) Lipomanus et Surius Catilæ, infra tamen num. 94 etiam Cutilem vocant, Joannes Moschus in *Prato spirituali* cap. 53, Κοθυλὰν, ubi vertitur Tuthelam, quo circa mare Mortuum senex e monasterio S. Sabæ descendisse dicitur. In Vita S. Theodosii cœnobiarchæ 11 Januarii num. 26, Κουτιλᾶ Gutilla vertitur; unde ad ripas lacus Asphaltidis, seu maris Mortui, pervasit. Infra num. 94 solitudini Ruban conjungitur, de qua cap. 5.

(19) An. Ch. 411.

eis secessus tempore: et per solitudinem ad torrentem quemdam præcipitem ac profundum accedentes, magnam speluncam offendunt ad boreale torrentis præcipitium, velut tracti a quadam manu deducente. Qua de causa lætati animis, et rati non hoc eis ostensum absque Dei numine, illic suam faciunt habitationem. Qui quidem locus cum esset prius ferarum refugium, sacrum templum postea evasit et angelorum habitaculum. Igitur diu latuerunt in spelunca, nec ullus ad eos accedebat, vel aliquid e rebus necessariis impertiebatur, sed solis, quæ illic adnatæ fuerant, herbis, ut licebat, alebantur. Cæterum Deo, mea quidem sententia, non amplius sustinente celari eorum virtutem (quomodo enim? quandoquidem nec horti clausi, nec fontis signati, ad multos redit utilitas), sed volente potius eos aliis quoque esse causam salutis copiosumque et communis usus bonum, hujusmodi res circa eos ex Providentiæ dispensatione accidit.

XIII. Quidam ex Lazarii (20-21) pastoribus adducunt aliquando oves ad torrentem, et obtutu in speluncam immisso, vident eos imminentes capiti; repentino autem et insolito turbati spectaculo, ii quidem protinus in fugam quanta poterant pedum celeritate se dederunt: illi vero timorem eis appositissime dementes, voce quam potuerunt benignissima et lenissima: Ne timeatis, o fratres, dixerunt, ne timeatis. Nam ipsi quoque homines sumus, etiamsi propter peccata nostra præsentem locum habitare constituimus. Tunc ergo pastores ausi ad eos ascendere, et ingressi speluncam, quam ipsi incolebant, cum nihil omnino invenissent eorum quæ sunt utilia corpori, reversi sunt valde admirantes, suisque singula enarraverunt. Deinde non cessarunt de cætero incolæ Lazarii eis esse rerum necessarium ministri; sic Deo ista sapienter et clementer dispensante, ut et ipsi ea haberent quibus indigebant ad usum corporis, et iis qui ea largiebantur, rem longe præstantiorem præberent, salutem animæ.

XIV. Cum autem de iis quoque quæsiissent Pharanitæ, et didicissent ubi habitarent, assidue ad eos ventitabant. Ac primum quidem duo ex fratribus ad eos profecti, Marinus et Lucas, non amplius reverti voluerunt; sed a verbis eorum et virtute capti, tanquam a quibusdam non fallacibus Sirenibus, se ipsis tradunt velut patribus et animarum curatoribus. Quos supinis manibus magnus excipiens Euthymius, in omni erudit asceticæ vitæ disciplina; adeo præclare, ut iidem consecutis post

A τὸν εἰθισμένον τῆς ἀναχωρήσεως αὐτοῖς καιρόν· καί τινα διὰ τῆς ἐρήμου χείμαῤῥον κρημνώδη καὶ βαθὺν [m] παριόντες, καταλαμβάνουσί τι σπήλαιον μέγα πρὸς τῷ βορεινῷ τοῦ χειμάῤῥου κρημνῷ, καθάπερ ὑπό τινος ὁδηγούσης χειρὸς ἑλκόμενοι. Ἡσθέντες οὖν ἐπ' αὐτῷ τὰς ψυχὰς, καὶ οὐκ ἀθεεὶ τοῦτο ὑποδειχθῆναι αὐτοῖς νομίσαντες, ἐκεῖσαι ποιοῦνται τὴν κατοικίαν. Ὅπερ ἄρα θηρίων καταφυγὴ πρότερον ὄν, ναὸς ἱερὸς γέγονεν ὕστερον καὶ ἀγγέλων [n] κατοικητήριον. Ἐλάνθανον μὲν οὖν ἐν τῷ σπηλαίῳ μέχρι πολλοῦ, καὶ οὐδεὶς ὁ παραβάλλων αὐτοῖς ἦν, οὔτε τινὸς τῶν πρὸς χρείαν ὅλως κοινωνῶν, ἀλλὰ μόναις ταῖς παραπεφυκυίαις αὐτῷ βοτάναις, ὡς ἐγχωροῦν ἦν, ἐτρέφοντο. Κρύπτεσθαι δὲ τὴν ἐκείνων ἀρετὴν ἐπιπλέον, οἶμαι, τοῦ Θεοῦ μὴ ἀνασχομένου (πῶς γάρ; B ὅτι μηδὲ κεκλεισμένου κήπου, μηδὲ πηγῆς ἐσφραγισμένης, ἐπὶ πολλοὺς ἡ ὠφέλεια), ἀλλὰ βουλομένου μᾶλλον καὶ ἄλλοις σωτηρίας αὐτοὺς γενέσθαι πρόφασιν, καὶ ἄφθονόν τι καὶ κοινωφελὲς ἀγαθὸν, οἰκονομεῖται τι τοιοῦτον περὶ αὐτούς·

ΙΓ'. Προσάγουσί τινες τῶν τοῦ Λαζαρίου ποιμένων τὰ πρόβατά ποτε τῷ χειμάῤῥῳ, καὶ πρὸς τὸ σπήλαιον ἐπιβαλόντες τὸ βλέμμα, ὁρῶσιν αὐτοὺς ὑπὲρ κεφαλῆς, καὶ τῷ ἀθρόῳ καὶ ἀσυνήθει τῆς ὄψεως διαταραχθέντες, οἱ μὲν ᾗ ποδῶν εἶχον εὐθὺς ἔφευγον, ἐκεῖνοι δὲ τὴν δειλίαν αὐτῶν ἐμμελέστατα ἀφαιροῦντες, προσηνεῖ ὡς εἶχον τῇ φωνῇ καὶ ἡμέρῳ, Μὴ φοβεῖσθε, ἀδελφοὶ, ἔλεγον, μὴ φοβεῖσθε. Ἄνθρωποι γὰρ καὶ αὐτοὶ [o], εἰ καὶ διὰ τὰς ἁμαρτίας ἡμῶν, τὸν παρόντα τόπον οἰκεῖν προειλόμεθα. Τότε γοῦν οἱ ποιμένες τὴν ὡς αὐτοὺς θαῤῥήσαντες ἄνοδον, τὸ σπήλαιόν C τε εἰσελθόντες ὅπερ ᾤκουν αὐτοὶ, καὶ μηδὲν μηδόλως τῶν χρησίμων τῷ σώματι εὑρηκότες, ὑπέστρεφόν τε σφόδρα θαυμάζοντες, καὶ τοῖς ἰδίοις ἕκαστα διεσάφουν. Εἶτα τὸ ἑξῆς, οὐ διέλιπον οἱ τοῦ Λαζαρίου διάκονοι τῶν ἀναγκαίων αὐτοῖς γινόμενοι· οὕτω τοῦ Θεοῦ ταῦτα σοφῶς καὶ φιλανθρώπως οἰκονομοῦντος, ἵνα καὶ αὐτοὶ ὧν ἐδέοντο πρὸς χρείαν τοῦ σώματος, ἔχωσι, καὶ τοῖς τούτων μεταδιδοῦσι, τὸ πολλῷ κρεῖττον, σωτηρίαν ψυχῆς παρέχωσι.

ΙΔ'. Ζητήσαντες δὲ περὶ αὐτῶν καὶ οἱ τῆς Φαρὰν, καὶ μαθόντες ὅπου διάγοιεν, συνεχῶς παρ' αὐτοὺς ἐφοίτων. Καὶ πρῶτα μὲν δύο τῶν ἀδελφῶν αὐτοῖς, Μαρῖνός τε καὶ Λουκᾶς, προσελθόντες, ὑποστροφῆς πάλιν οὐδεμιᾶς ἐμνήσθησαν. Ἀλλ' ὑπὸ τῶν λόγων D αὐτῶν καὶ τῆς ἀρετῆς, ὥσπερ ὑπό τινων ἀψευδῶν σειρήνων ἁλόντες, ὡς πατράσιν αὐτοῖς καὶ ψυχῶν ἐπιμεληταῖς ἑαυτοὺς ἐγχειρίζουσιν· οὓς καὶ χερσὶν ὁ μέγας Εὐθύμιος ὑπτίαις ὑποδεξάμενος, πᾶσαν ἐκπαιδεύει πολιτείαν ἀσκητικήν· οὕτω καλῶς, ὥστε

VARIÆ LECTIONES

[m] al. κρημνὸν καὶ βαθύ. [n] intellige ἁγίων. [o] al. ἡμεῖς.

JOAN. BOLLANDI NOTÆ.

(20-21) Meminit hujus Lazarii Palladius in Historia Lausiaca cap. 103. Lazariotæ incolæ ejus dicuntur infra num. 132.

καὶ χρόνοις ὕστερον οἱ αὐτοὶ κἀν τοῖς περὶ τὴν κώμην Μετωπὰ διέλαμψαν τόποις, καὶ μοναστήρια συνεστήσαντο, καὶ Θεοδόσιον ἐκεῖνον τὸν μέγαν, ὃς τῶν κατὰ τὴν ἔρημον ἐξηγήσατο κοινοβίων, εἰς μοναχικὴν προήγαγον τελειότητα. Πανταχοῦ δὲ τῆς τοιαύτης Εὐθυμίου φήμης ἐν ὀλίγῳ διαβαινούσης, πολλοὶ πρὸς αὐτὸν ὥσπερ ὑπό τινος ὀσμῆς μύρου κεκινημένοι καθ' ἑκάστην συνέῤῥεον, καὶ τούτων ἕκαστος αὐτῷ συνοικεῖν ἐδεῖτο, καὶ ὑπ' αὐτῷ καθηγεμόνι ζῆν, καὶ ῥυθμίζεσθαι τὴν ψυχὴν, καὶ τὰ πνευματικὰ ἐκπαιδεύεσθαι. Ἀλλ' ἐκεῖνος ἀκέραιόν τε καὶ ἄκρατον τὸ τῆς ἡσυχίας ἔχειν καλὸν βουλόμενος, πᾶσαν τῷ μακαρίτῃ Θεοκτίστῳ τὴν τῶν προσιόντων ἐπιμέλειαν ἀνετίθει· καὶ ὃς, παρακούειν ἐκείνου μηδέποτε γνοὺς, ἀναιρεῖται μὲν αὐτίκα τὴν ἐντολὴν, πάντα δὲ κατὰ γνώμην Εὐθυμίου διατιθεὶς ἦν.

A temporibus, in locis quæ sunt circa vicum Metopa (22) claruerint, et monasteria construxerint, magnumque illum Theodosium (23), qui fuit princeps et auctor cœnobiorum eremi, ad monasticam perduxerint perfectionem. Cum autem hæc fama Euthymii brevi tempore ubique pervaderet, multi ad ipsum, tanquam ab aliquo commoti unguenti odore, quotidie confluebant; et rogabat unusquisque illorum, ut cum ipso habitare sibi liceret, sub eo duce vivere, anima effingi, spiritualia edoceri. Sed ille, obtinere cupiens integrum purumque quietis bonum, omnem advenientium curam beato commisit Theoctisto: hic vero, qui ei nunquam recusabat parere, protinus quidem mandatum suscipit; verum B cuncta administrabat ex sententia Euthymii.

ΙΕʹ. Ἔπειτα μέντοι καὶ περὶ τὸν τοῦ τόπου συνοικισμὸν ἠσχολοῦντο, καὶ συστήσασθαι παρὰ τῷ σπηλαίῳ λαύραν κατὰ τὸν τύπον [p] Φαρὰν ἐσκέπτοντο. Ἀλλ' ἡ ἐνοῦσα τῷ τόπῳ τραχύτης, καὶ τὸ μικροῦ καὶ ἄβατον αὐτὸν εἶναι, συστῆσαι μέν τινα περὶ αὐτὸ λαύραν οὐκ εἴα· πρὸς αὐτῇ δὲ τῇ τοῦ κρημνοῦ προσβάσει, κοινόβιον οἰκοδομοῦσι τοῖς ἀδελφοῖς, καὶ τὸ σπήλαιον ἑαυτοῖς εἰς Ἐκκλησίαν μετασκευάζουσιν [q]· ᾧ καὶ προσεδρεύων ἐφ' ἡσυχίας ὁ μέγας Εὐθύμιος, ψυχῶν ἦν ἐπιμελητὴς, καὶ ὧν ἐκεῖναι δέχονται πληγῶν ὑπὸ τῆς κακίας, καὶ ὑφ' ὧν πολλάκις τραυμάτων κακῶς πάσχουσιν, ἰατρὸς ἐμπειρότατος. Προσιόντων γὰρ αὐτῷ καθ' ἑκάστην τῶν ἀδελφῶν, καὶ τοὺς λογισμοὺς οὐμενοῦν ἀνακαλύπτειν αὐτῷ διευλαβουμένων, τὸ κατάλληλον ἑκάστῳ πρὸς τὴν τοῦ κακοῦ θεραπείαν ἐδίδου φάρμακον, ἃ πείρᾳ καὶ συνέσει καὶ πολλῇ διακρίσει, παρ' ἑαυτῷ συνελέξατο· ὡς μικροῦ καὶ ἐπ' αὐτῷ πληροῦσθαι τὸ τοῦ θείου Ἱερεμίου, ὅτι Δοκιμαστὴν δέδωκά σε τοῦ λαοῦ μου, καὶ γνώσῃ ἐν τῷ δοκιμάζειν σε τὴν ὁδὸν αὐτῶν.

XV. Deinde autem in loco quoque ad habitandum construendo occupabantur, habebantque in animo ad speluncam constituere lauram, secundum figuram Pharan: sed quæ loco inerat asperitas, quodque esset propemodum invius, non sinebat illic lauram condere: at in ipso præcipitii aditu cœnobium ædificant fratribus, et sibi speluncam in ecclesiam transmutant: ubi in quiete ac silentio magnus assidens Euthymius, erat curator animarum, necnon plagarum quas illæ a vitiis accipiunt, a quibus vulneribus sæpe male afficiuntur, medicus peritissimus. Quotidie enim ad eum accedentibus fratribus, nec veren- C tibus ei aperire cogitationes, unicuique dabat conveniens sanando malo medicamentum; quæ quidem experientia, prudentia multoque judicio apud se collegerat; adeo ut in ipso propemodum impleretur illud divini Jeremiæ: *Probatorem dedi te populi mei, et scies in probando te viam eorum* [1].

ΙϚʹ Ἀμέλει καὶ παρῄνει πατρικῶς πολλάκις, καὶ κοινῇ πρὸς αὐτοὺς διελέγετο, ὡς ἄρα δεῖ τοὺς ἀποταξαμένους βίῳ καὶ τοῖς περὶ τὸν βίον, ὑπακοῆς πανταχοῦ φροντίζειν καὶ ταπεινοφροσύνης, καὶ τοῦ μὴ τῷ ἰδίῳ στοιχεῖν θελήματι· καταθύμιόν τε ἀεὶ τὸν θάνατον ἔχειν· καὶ τὴν μὲν κόλασιν δεδοικέναι, τῆς βασιλείας δὲ τῶν οὐρανῶν ἐφίεσθαι· πάντα τε τὸν χρόνον πόνοις ἑαυτὸν ἐκδιδόναι, καὶ χειρῶν τέχνῃ καὶ ἐργασίᾳ· καὶ μάλιστά γε εἰ νέος ἐστὶν οὗτος, καὶ τὴν ὁρμὴν ὑπὸ τῆς ἡλικίας κεκινημένος. Τότε γὰρ χρὴ πρὸς τῇ ἄλλῃ περὶ αὐτὸν φυλακῇ, καὶ πολλῇ τὸ σῶμα ταλαιπωρίᾳ καταπονεῖν, ὡς ἂν εὐ-

XVI. Sæpe itaque etiam admonebat paterne, et communiter ad illos orationem habebat, dicens oportere eos qui huic vitæ rebusque sæculi renuntiant, ubique curam gerere obedientiæ, et humilitatis, ac ne propriam sequantur voluntatem; adhæc in votis semper habere mortem; et supplicium quidem perhorrescere, regnum autem cœlo- D rum desiderare; atque omni tempore se dedere laboribus, manuumque artificio et operationi; idque maxime si is est juvenis, ejusque appetitio seu impetus moveatur ab ætate. Tunc enim oportet, præter aliam ejus custodiam, corpus quoque

[1] Jerem. VI, 27.

VARIÆ LECTIONES.

[p] al. τόπον. [q] al. κατασκευάζουσιν.

JOAN. BOLLANDI NOTÆ.

(22) Ortelius conjicit circa Arabiam forte alicubi esse, quo frustra confugit cum in eremo civitatis sanctæ manserint, et Jordanem non transierint.

(23) Egimus de eo 11 Januar.

multis ærumnis affligere, ut pareat rationi, et fervor flaccescat juventutis; utque Pauli imitatores simus, simulque divinarum ejus legum adimpletores, non otii crimen solummodo vitantes (siquidem ne alimento quidem eum dignum judicat, qui est adeo hebes, segnis, et negligens; *Otiosus* enim, inquit, *nec manducet*), sed etiam habentes easdem cum illo manus. *Manus* enim, inquit, *istæ ministraverunt mihi, et his qui mecum sunt* [2]. Quoniam absurdum est, ut homines quidem sæculares, uxorem, liberos, totamque familiam labore manuum suarum alant, et annum ab eis solvatur tributum, quinetiam e laboribus Deo offerant primitias, atque pro viribus benefaciant; nos vero aliis fructum manuum nostrarum nequaquam communicemus.

XVII. Illa quoque ex ejus præceptis digna sunt quæ mandentur memoriæ. Suadebat enim honestum amplecti silentium in templo Domini, neve quis loqueretur in synaxi fratrum, dum sacra peraguntur mysteria; sed nec in refectorio, fratribus ad cœnam collectis linguam laxare; verum in utrisque manere in eodem silentio. Præterea displicebat ei, quod fratrum nonnulli, præsertim juvenes, majus jejunium quam a reliquis observaretur in cœnobio palam et publice ostenderent, communemque solverent fratrum regulam, suam sequendo voluntatem ac legem. Neque enim ille bonum tuba cani, neque apertum esse et divulgatum, sed quam maxime fieri potest latere volebat: atque ideo eam optimam esse dicebat abstinentiam, quæ præveniret satietatem, et indigentibus adhuc nobis reprimeret alimentum: quod quidem est infra necessitatem cibum sumere: clam vero resistere carnis affectionibus, ac secure omni ex parte communitum esse armis monachorum; quæ sunt, humilitas, moderatio, meditatio, discretio, secundum Deum obedientia, et revera Dei imitatrix virtus. Talibus igitur a suavissima illa lingua documentis fratres quotidie fruebantur.

XVIII. Nobis autem jam deinceps incipit oratio pergere ad res antiqui Terebonis; quas cuncti quidem seniores Patrum mihi concordi voce narrarunt; accuratius vero Terebon (24) ille, veteris istius Terebonis (25) nepos, qui tribui apud Saracenos præfuit, et in eis maximum nomen reliquit ad claritatem. Oportet autem ab alto ordiri principium narrationis, ut sic perspiciatur facilius sermo noster. Erat apud Persas quidam Græcus, nomine Aspebetus (26), qui

A πειθὲς τε εἴη τῷ λόγῳ, καὶ τὸ πυρῶδες ἀπομαραίνηται τῆς νεότητος· καὶ ἵνα μιμηταὶ Παύλου, καὶ ἅμα πληρωταὶ τῶν αὐτοῦ θείων νόμων γινώμεθα, μὴ τὸ [r] τῆς ἀργίας ἁπλῶς ἔγκλημα [s] διαφεύγοντες (ἧ γε οὐδὲ τροφῆς ἄξιον κρίνει τὸν οὕτω νωθῆ καὶ ἠμελημένον. Ὁ ἀργὸς γὰρ, φησὶ, μηδὲ ἐσθιέτω), ἀλλὰ καὶ τὰς αὐτὰς ἐκείνῳ κτώμενοι χεῖρας. Αἱ χεῖρες γὰρ, φησὶν, αὗται, ὑπηρέτησαν ἐμοί τε καὶ τοῖς μετ' ἐμοῦ. Ἐπεὶ καὶ τῶν ἀτόπων ἐστὶ, τοὺς μὲν βιωτικοὺς τῶν ἀνθρώπων, γυναῖκα καὶ παῖδας καὶ οἰκίαν ὅλην, ἐκ τοῦ τῶν χειρῶν ἔργου διατρέφειν, καὶ τὸν ἐπέτειον αὐτοῖς διαλύεσθαι φόρον, ἀλλὰ καὶ ἀπάρχεσθαι τῷ Θεῷ τῶν πόνων, καὶ εὖ ποιεῖν κατὰ δύναμιν· ἡμᾶς δὲ μὴ καὶ ἄλλοις τοῦ τῶν χειρῶν ἡμῶν καρποῦ κοινωνεῖν.

B ΙΖ'. Κἀκεῖνα δὲ ἄξια μνήμη δοῦναι τῶν ἐκείνου παραγγελμάτων. Παρῄνει γὰρ τὴν εὔκοσμον ἀσπάζεσθαι σιωπὴν ἐν ναῷ Κυρίου, καὶ μὴ [t] φθέγγεσθαι μηδένα παρὰ τῇ συνάξει των ἀδελφῶν, τῶν ἱερῶν μυστηρίων τελουμένων· μήτε μὴν ἐν ἀριστηρίῳ τῶν ἀδελφῶν εἰς δεῖπνον συνειλεγμένων, ἀφιέναι [u] τῇ γλώττῃ· ἀλλὰ μένειν ἐπὶ τῆς αὐτῆς ἡσυχίας ἐν ἀμφοτέροις. Ἀπήρεσκε δὲ αὐτῷ, καὶ τὸ τῶν ἀδελφῶν ἐνίους, καὶ μάλιστα νέους ὄντας, πλείονα τῆς λοιπῆς [v] ἐν τῷ κοινοβίῳ φανεράν καὶ δεδημοσιευμένην ἐπιδείκνυσθαι νηστείαν, καὶ τὸν κοινὸν λύειν κανόνα τῶν ἀδελφῶν, ἰδίῳ θελήματι καὶ νόμῳ στοιχοῦντας. Οὐδὲ γὰρ σαλπίζεσθαι τὸ ἀγαθὸν ἐκεῖνος, οὐδὲ μὴν ἔκδηλον εἶναι καὶ διακεκηρυγμένον, ἀλλ' ὡς οἷόν τε λανθάνειν ἠβούλετο· καὶ διὰ τοῦτο ἀρίστην ἔλεγεν ἐγκράC τειαν εἶναι, τὴν τὸν κόρον φθάνουσαν, καὶ δεομένοις ἡμῖν ἔτι, καὶ τὴν τροφὴν ἱστῶσαν· ὅπερ ἐστὶ τὸ παραμικρὸν τῆς χρείας, τροφῆς κοινωνεῖν, κρυφίως δὲ πρὸς τὰ τῆς σαρκὸς ἵστασθαι πάθη, καὶ ἀσφαλῶς πάντοθεν συμπεφράχθαι τοῖς ὅπλοις τῶν μοναχῶν· ἔστι δὲ ταῦτα, ταπείνωσις, σωφροσύνη, μελέτη, διάκρισις, καὶ ἡ κατὰ Θεὸν ὑπακοὴ, καὶ τῷ ὄντι θεομίμητος ἀρετή. Τοιαύτης μὲν οὖν παρὰ τῆς ἡδίστης γλώττης ἐκείνης οἱ ἀδελφοὶ καθ' ἑκάστην ἀπέλαυον τῆς διδασκαλίας.

ΙΗ'. Ἡμῖν δὲ χωρεῖν ἤδη λοιπὸν ὁ λόγος πρὸς τὰ τοῦ παλαιοῦ Τερέβωνος ἄρχεται· ἃ καὶ πάντες μὲν οἱ πρεσβύτεροι τῶν Πατέρων συμφώνως μοι διηγήσαντο, ἀκριβέστερον δὲ Τερέβων ἐκεῖνος, ὁ τοῦ παD λαιοῦ τούτου Τερέβωνος ἔκγονος, φυλῆς τε παρὰ τοῖς Σαρακηνοῖς ἄρξας, καὶ μέγιστον εἰς ἐπιφάνειαν ἐν αὐτοῖς ἀπολιπὼν ὄνομα· χρὴ δὲ τὴν ἀρχὴν ἄνωθεν ὑφᾶναι τοῦ διηγήματος, ἵν' οὕτω μᾶλλον εὐσύνοπτος ὁ λόγος ἡμῖν γένηται. Ἦν τις παρὰ Πέρσαις Ἕλλην

[2] II Thess. III, 10; Act. XX, 34.

VARIÆ LECTIONES.

[r] al. τῷ. [s] al. ἐγκλήματι. [t] al. μηδέ. [u] al. ἐφιέναι. [v] al. τοῖς λοιποῖς.

JOAN. BOLLANDI NOTÆ.

(24) Hujus nativitas indicatur infra num. 62. Fuit hegumenus inferioris monasterii S. Theoctisti.

(25) Præter ea quæ de eo hoc capite referuntur, iterum de eo agitur num. 62, 78 et 97.

(26) Hic mox in baptismate Petrus appellatus, et deinde plenissime Christianæ fidei dogmatibus eruditus episcopus Saracenorum factus est num. 39, et synodo Ephesinæ interfuit, n. 55.

Ἀσπέβετος ὄνομα, Σαρακηνῶν φυλῆς ἄρχων γεγενημένος. Διωγμοῦ δὲ παρὰ τῶν μάγων περὶ τὰ τέλη τῆς Ἰσδηγέρδου [x] βασιλείας κατὰ Χριστιανῶν κινηθέντος, ἔργον ἐκεῖνοι θέμενοι σπουδαιότατον, πάντας θηρᾶσαι Χριστιανοὺς, τοὺς ὑπ' αὐτοὺς ἅπαντας φυλάρχους, ἀλλὰ δὴ καὶ αὐτὸν Ἀσπέβετον, ἀκριβεῖς φύλακας πανταχοῦ ταῖς ὁδοῖς ἐφιστᾶσιν, ἐφ' ᾧ μηδένα Χριστιανῶν λαθεῖν δυνηθέντα, τῇ Ῥωμαίων ἀρχῇ προσφυγεῖν. Ὁ γοῦν Ἀσπέβετος οὗτος, ὁρῶν τὴν πολλὴν ταύτην κατὰ Χριστιανῶν φορὰν καὶ μανίαν, καὶ οἶκτον αὐτῶν λαμβάνων τῆς συμφορᾶς, οὐ μόνον οὐκ ἀπεῖργεν αὐτοῖς τὴν φυγὴν, ἀλλὰ καὶ χεῖρα μᾶλλον παρεῖχεν ἱκανῶς συλλαμβάνουσαν. Ἐφ' οἷς τῷ βασιλεῖ διαβληθεὶς Ἰσδηγέρδῃ, καὶ τὴν ἐκείνου δείσας ἀπήνειαν, τὴν οὐσίαν εὐθὺς καὶ συγγένειαν, καὶ Τερέβωνα τὸν παῖδα παραλαβὼν, αὐτόμολος ἥκει Ῥωμαίοις. Οὓς δεξάμενος Ἀνατόλιος (οὗτος γὰρ τότε τῆς Ἑῴας στρατηγὸς [y] ἦν), εἰς τὴν Ἀράβων τεκτονίζει, καὶ τὴν ἐκεῖσε Ῥωμαίοις ὑποτελῆ τῶν Σαρακηνῶν φυλαρχίαν ἐγχειρίζει τῷ Ἀσπεβέτῳ, ἐχέγγυον αὐτῷ ποιῶν οὕτω, καὶ δόλου καθαρεύουσαν τὴν ὑποδοχήν.

ΙΘ'. Οὕτως οὖν Ῥωμαίοις αὐτοῦ προσκεχωρηκότος, ἐτύγχανε μὲν Τερέβων ὁ παῖς, ἕως ἔτι ἄνηβος ἦν, καὶ τοῦτο αὐτὸ δηλαδὴ παῖς, δαιμονίᾳ πληγεὶς μάστιγι, μέρος τε τοῦ σώματος ἐξ ἡμισείας τὸ δεξιὸν ἔχων ξηρὸν, καὶ νεκροῖς ὅμοιον, καὶ ἥκιστα ἐνεργόν. Τοῦτο δὲ οὕτως εἶχεν αὐτῷ ἀπὸ κεφαλῆς ἄχρι ποδῶν, ὥστε καὶ τοῦ πατρὸς [z] τὸ πολὺ τῆς οὐσίας εἰς ἰατρῶν ἀναλώσαντος χεῖρας, οὐδὲν ὁ Τερέβων τῆς ἐκείνων ἀπώνατο τέχνης. Ἐπεὶ δὲ εἰς τὴν Ἀράβων μετῴκησαν, ὁρᾷ τι ὄναρ ὁ παῖς, καὶ πρὸς τὴν ὄψιν διυπνισθεὶς, τῷ πατρὶ ταύτην διηγεῖται. Καὶ ὃς αὐτίκα μάλα τὸν παῖδα, καὶ πολλοὺς τῶν ὑπ' αὐτῷ Βαρβάρων, παραλαβὼν, παρὰ τὸ Εὐθυμίου τούτου καὶ Θεοκτίστου σπήλαιον ἀφικνεῖται. Τῇδε γὰρ ἐλθεῖν ἡ φανεῖσα ὄψις ἐπέσκηπτε. Τοὺς μὲν οὖν ἀδελφοὺς τὸ πλῆθος ἰδόντας, ἀγωνία τε εἰλήφει καὶ δέος, καὶ οὐκ εἶχον ὅ τι καὶ γένωνται [a]. Ἀλλ' ὁ μακαρίτης Θεόκτιστος τὴν δειλίαν ἐκείνην ἐκβαλὼν αὐτῶν τῆς ψυχῆς, κάτεισι θαῤῥούντως πρὸς τοὺς Βαρβάρους, καὶ τὴν χρείαν ἥτις [b] αὐτοὺς ἀγάγοι διεπυνθάνετο. Οἱ δὲ, Κατὰ θέαν, εἶπον, ἥκομεν Εὐθυμίου. Καὶ ὁ μακαρίτης Θεόκτιστος, Ἀλλ' ἐκεῖνος, φησὶν, ἡσυχάζει νῦν, καὶ οὐκ ἂν οὔτε εἰς θέαν ἔλθοι μέχρι καὶ τοῦ Σαββάτου τινὶ, οὔτε μὲν ὅλως εἰς ὁμιλίαν. Τότε λαβόμενος

A factus fuerat princeps tribus Saracenorum. Porro mota (27) per Magos (28) circa finem regis Isdegerdis persecutione adversus Christianos, illi ducentes opus esse summo studio contendendum, ut cunctos venarentur Christianos, omnes tribuum præfectos ditionis suæ, ipsumque etiam Aspebetum, in diligentes viarum custodes ubique constituunt, quo nullus Christianus posset clanculum confugere ad imperium Romanorum. Is itaque Aspebetus, videns ingentem hanc in Christianos incursionem et insaniam, motus misericordia eorum calamitatis, non modo non prohibuit fugam, sed et manum potius præbuit non mediocriter adjutricem. Qua de causa accusatus apud regem Isdegerdem, et illius veritus B crudelitatem, assumptis protinus suis facultatibus, cum cognatis ac Terebone puero, ad Romanos transfuga venit. Quos excipiens Anatolius (29) (is enim tunc erat præfectus Orientis) collocat in Arabia; et Saracenorum præfecturam, quæ illic Romanis suberat, tradit Aspebeto; sic exhibens illi securam omnisque doli expertem susceptionem.

XIX. Cum is ergo sic ad Romanos accessisset, puer quidem Terebo, dum esset adhuc impubes, atque adeo vere puer, percussus erat flagello dæmonis, ut qui partem corporis ex dimidio dexteram haberet siccam, mortuisque similem, ac operi minime idoneam. Hoc autem ei ita se habebat a capite usque ad pedes; adeo ut licet pater multum facultatum consumpsisset in medicorum manus, C nullum Terebon ex arte illorum acceperit adjumentum. Postquam vero migrarunt in Arabiam, videt puer in somnis aliquid, et ad visionem expergefactus, eam patri narrat; qui citra ullam moram assumens puerum multosque ex ei subjectis Barbaris, pergit ad Euthymii hujus et Theoctisti speluncam. Eo enim ut veniret, præcipiebat quæ apparuerat visio. Atque fratres quidem, tantam multitudinem videntes, invasit anxietas et metus, nec compertum habebant, quidnam se fieret. At beatus Theoctistus, ejecto ex eorum animis timore illo, descendit fidenter ad Barbaros, et rogat quænam necessitas eos adduxisset. Responderunt illi: Venimus ad videndum Euthymium. Tum beatus Theo- D ctistus (30): At ille, inquit, nunc in secessus quiete degit, neque omnino usque ad Sabbatum in cujus-

VARIÆ LECTIONES.

[x] al. Ἰσδιγέρδου. [y] al. στρατηγῶν. [z] al. add. αὐτοῦ. [a] al. γένοιντο. [b] al. εἴτις.

JOAN. BOLLANDI NOTÆ.

(27) Marcellinus in Chronico, Theodosio 10 et Constantio III coss. «In Perside contra Christianos persecutio desævit.» Is erat an. Ch. 420. Theodoretus lib. III, cap. 38, ait: «Per idem tempus (quo Theodotus patriarcha Alexandro Antiochiæ successit, quod 8 Januarii in Vita S. Attici diximus factum an. Ch. 420, et hinc confirmatur) per idem ergo tempus Isdigerdes, rex Persarum, persecutionem contra Ecclesias concitavit;» aut potius eo senio morbisque languente magi illam concitarunt. Ea ab Isdigerdis filio Varadane atrociter propagata; quam ideo persecutionis auctorem scribunt Socrates lib. VII, cap. 18. et Nicephorus lib. XIV, cap. 19.

(28) Magi hi elementa et maxime ignem inter deos censebant. Hanc autem persecutionem excitarunt acti in furorem, propterea quod S. Audas πυρεῖον, sive templum Ignis, diruisset, ut 16 Maii dicemus et narrant Theodoretus et Nicephorus.

(29) Hic Anatolius dux Orientis Procopio lib. I Belli Persici, at prætor Orientis Theophani lib. XIV, cap. 8. Legatus Theodosio missus est ad Varadanem, regem Persarum, cum bellum Romano imperio intulisset.

(30) Hic S. Theoctisto defuncto hujus cœnobii hegumenus fuit, ut infra n. 102.

quam conspectum venturus est, et congressum. Tunc Aspebetus manum Theoctisti prehendens, ostendit ei filium semiaridum, et dextera parte veluti mortuum; deinde puero annuit superciliis; et ille incipiens, rem omnem narrat ordine.

XX. Ego, inquit, in Perside afflictus hac plaga, multisque medicis et magicis artibus contritus, nihil amplius inde fructus percepi, nisi solum ut damnarem, et non haberem valde illis confidere. Deinde ubi in hanc Arabum venimus regionem, hic quoque rursus cum priori luctabar calamitate, et malis vexabar similibus. Noctu autem aliquando attendens mihi ipsi, et considerans an usquam a morbo aliquam invenirem liberationem; quia nullam ex nostris cernebam mali curationem, ipse sic mecum colloquebar: O Terebon, ubi nunc sunt quæ apud Græcos et Persas feruntur medicinæ et magiæ artes, ac nugæ earum, vulgoque jactata inde utilitas? Ubi vero astrologorum præstigiæ, et sacrorum nostrorum confictæ fabulæ, inutilesque invocationes? Profecto cuncta fraudes sunt et risus manifestus; quæ nihil, inquam, possunt efficere absque universorum Opifice et Domino. His ergo apud me dictis ac dissertatis, Deum ardentissime precatus sum, et ab eo petii a morbo liberationem: atque vicissim ipse pollicitus sum repensurum me vitæ mutationem, et Christianum fore.

XXI. Dum vero hæc essent, talemque ad Deum deferrem supplicationem, paulatim in somnum deductus, mihi videbar quemdam cernere monachum promissa densaque barba, jam senescentem et canis conspersum, qui interrogabat me, quisnam esset morbus, quidnam mali nos invasisset. Cumque ego ei morbum ostendissem, ille: Implebisne, inquit, tu quæcunque Deo es pollicitus? Deinde cum ego iterum promisissem, me prompto et alacri animo omnia impleturum: Ego, inquit, sum Euthymius, qui ad orientalem solitudinem habito in torrente ad australem partem viæ quæ Hierichuntem ducit sito, decem millibus dissitus a Hierosolymis. Si vis ergo invenire mali solutionem, veni ad me, ait, et per nos sanabit te Deus. Hæc in somnis postquam vidissem, essemque excitatus, patri statim narravi. Et ecce omnibus postpositis, huc, ut jussit visio, venimus nunc, teque valde et enixe rogamus, ut nobis ostendas vere divinum et admirabilem illum medicum, qui per visionem nobis indicatus fuit.

XXII. Hæc audiens beatus Theoctistus, et quo modo visio apertum Dei gratiæ esset indicium admiratus, Euthymio interrumpit quietem, eique omnia ordine, pueri morbum, neminem qui curaret inventum, promissa communi Domino ab eo facta, somnum illum, visionem ostensam, uno verbo nihil non ac singulatim recenset. Qui ipse quoque persuasus rem illam divino geri consilio,

A τοῦ Θεοκτίστου τῆς χειρὸς ὁ Ἀσπέβετος, ὑποδείκνυσιν αὐτῷ τὸν υἱὸν, ἡμίξηρον ὄντα [c], καὶ τὸ μέρος οἷον ἀποτεθνηκότα τὸ δεξιόν· εἶτα καὶ ταῖς ὀφρύσι τῷ παιδὶ ἐπινεύει· κἀκεῖνος, ἀρξάμενος, ἀκολούθως ἅπαντα διεξῄει.

Κ'. Ἐγὼ, φησὶν, ἐν Περσίδι ταύτην δεξάμενος τὴν πληγὴν, καὶ πολλαῖς ἰατρικαῖς τε καὶ μαγικαῖς τέχναις κατατριβεὶς, οὐδὲν πλέον ἐκεῖθεν ἐκαρπωσάμην, ὅτι μὴ τὸ καταγνῶναι μόνον, καὶ μὴ σφόδρα ἔχειν ἐπ' ἐκείνοις θαῤῥεῖν. Ἔπειτα ὡς εἰς τὴν Ἀράβων ἤλθομεν ταύτην, τῇ προτέρᾳ κἀνταῦθα πάλιν ἐπάλαιον συμφορᾷ, καὶ τοῖς ὁμοίοις ἐβαλλόμην κακοῖς, νυκτὸς δέ ποτε προσχὼν ἐμαυτῷ καὶ σκοπῶν εἴ που τοῦ πάθους τινὰ λύσιν ἐφεύρω, ἐπεὶ μηδεμίαν ἐκ τῶν παρ' B ἡμῖν ἑώρων τοῦ κακοῦ θεραπείαν, Ὦ Τερέβων, αὐτὸς πρὸς ἐμαυτὸν διωμίλουν, ποῦ νῦν εἰσιν αἱ παρ' Ἕλλησιν καὶ Πέρσοις ἰατρικαί τε καὶ μαγικαὶ [c*], καὶ ὁ ἐντεῦθεν ὕθλος, καὶ ἡ θρυλλουμένη τούτων ὠφέλεια; ποῦ δὲ ἀστρολόγων αἱ γοητεῖαι, καὶ αἱ τῶν ἡμετέρων σεβασμάτων μυθοποιΐαι, καὶ ἀνόνητοι ἐπικλήσεις; Οὕτως ἀπάτη πάντα καὶ γέλως ἐπιφανής· οὐδὲν ἄνευ τοῦ τῶν ὅλων Δημιουργοῦ, φημὶ, καὶ Δεσπότου ἀνύειν δυνάμενα. Ταῦτα τοίνυν πρὸς ἐμαυτὸν εἰπὼν καὶ διαλεχθεὶς, ἐδεόμην θερμότατα τοῦ Θεοῦ καὶ παρ' αὐτοῦ τὴν τοῦ πάθους ἐζήτουν ἀπαλλαγήν· ἀντιδοῦναί τε πάλιν αὐτὸς τὴν τοῦ βίου μεταβολὴν, καὶ τὸ Χριστιανὸς γενέσθαι, ἐπηγγελλόμην [d].

ΚΑ'. Ἐν ὅσῳ δὲ ταῦτα ἦν, καὶ τοιαύτην πρὸς Θεὸν ἐποιούμην τὴν ἱκεσίαν [e], εἰς ὕπνον ἠρέμα κατενεC χθεὶς, ἐδόκουν τινὰ μοναχὸν, βαθὺν τὸν πώγωνα καθειμένον, γηρῶντα ἤδη, καὶ πολιαῖς κατηρτυμένον ὁρᾷν, ἥτις τε ἡ νόσος διερωτῶντά με, καὶ τί τὸ κατασκῆψαν εἰς ἡμᾶς [f] κακὸν, πυνθανόμενον. Ἐμοῦ δὲ τὸ πάθος αὐτῷ ὑποδείξαντος, ἐκεῖνος, Ἀλλὰ πληροῖς, εἶπεν, αὐτὸς ὅσα τῷ Θεῷ ἐπηγγείλω; εἶτα πάλιν ἐμοῦ καὶ μάλα προθύμως πάντα πληρώσειν ὑποσχομένου, Ἐγώ εἰμι Εὐθύμιος, ἔφη, ὁ πρὸς τῇ Ἀνατολικῇ ἐρήμῳ ἐν τῷ κατὰ νότον [g] τῆς πρὸς Ἱεριχοῦντα ὁδοῦ χειμάῤῥῳ οἰκῶν, δέκα μιλίοις Ἱεροσολύμων [h] διέχων. Εἴπερ οὖν βούλει τοῦ κακοῦ τὴν λύσιν εὑρεῖν, ἐλθὲ πρός με, φησὶ, καὶ ἰᾶταί σε δι' ἡμῶν [i] ὁ Θεός. Ταῦτα ὄναρ ἰδὼν, καὶ διυπνισθεὶς, τῷ πατρὶ αὐτίκα διηγησάμην. Καὶ ἰδοὺ δεύτερα θέμενοι πάντα, ὡς ἡ ὄψις ἐπέσκηψε, κατελάβομεν D νῦν, καὶ δεόμεθα δέησιν πάνυ σφόδρα [j] θερμὴν καὶ σπουδαίαν, ὑποδεῖξαι τὸν διὰ τῆς ὀπτασίας ἡμῖν μηνυθέντα θεῖον ὄντως καὶ παράδοξον ἰατρόν.

ΚΒ'. Τοῦτον [k] ὁ μακαρίτης ἀκούσας Θεόκτιστος, καὶ ὅπως ἡ ὄψις δεῖγμα σαφὲς ἦν τῆς τοῦ Θεοῦ χάριτος ἐκπλαγεὶς, διακόπτει τὴν ἡσυχίαν τῷ Εὐθυμίῳ, καὶ πάντα ἑξῆς αὐτῷ, τοῦ παιδὸς τὸ πάθος, τὴν τοῦ θεραπεύσοντος ἀπορίαν, τὰς αὐτοῦ πρὸς τὸν κοινὸν Δεσπότην ἐπαγγελίας, ὕπνον ἐκεῖνον, τὴν φανεῖσαν ὄψιν, καὶ ἁπλῶς κατὰ μέρος ἕκαστα καταλέγει. Ὁ δὲ θείαν τινὰ τὸ πρᾶγμα οἰκονομίαν καὶ αὐτὸς εἶναι

VARIÆ LECTIONES.

[c] al. ins. οὕτως, al. ὄντος. [c*] supple τέχναι. [d] al. ἐπηγγελόμην. [e] al. ἱκετείαν, [f] al. ὑμᾶς. [g] al. νῶτον. [h] al. ins. ἀπό. [i] al. ἐμοῦ. [j] abest ab al. [k] al. τούτων.

πιστεύσας, κάτεισιν εὐθέως πρὸς τοὺς Βαρβάρους, καὶ ὑπερευξάμενος θερμῶς τοῦ παιδὸς, καὶ αὐτῷ τὸν τοῦ σταυροῦ τύπον ἐπιβαλὼν, οὐ χρόνου ἐδεήθη τινὸς, οὐ πλείονος τῆς πρὸς τὴν εὐχὴν προσεδρείας, ἀλλ' ἐῤῥωμένον αὐτὸν καὶ ὑγιᾶ καθάπαξ [1] παραχρῆμα ἐργάζεται.

ΚΓ'. Καταπλήττει τοὺς Βαρβάρους τὸ γεγονὸς, καὶ θᾶττον ἢ ὁ πάσχων τὸ σῶμα, καὶ αὐτοὶ θεραπεύονται τὰς ψυχάς· μᾶλλον δὲ κοινῶς ἰῶνται τὴν τῆς ψυχῆς ἴασιν, καὶ πιστοὶ παραυτίκα γίνονται. Διὸ καὶ πρηνεῖς ἐπ' ἐδάφους ἑαυτοὺς ῥίψαντες, δέονται τῆς ἁγίας ἐκείνης ψυχῆς, ὥστε τῇ τοῦ Χριστοῦ σφραγῖδι σημειωθῆναι, καὶ τοῦ τῶν Χριστιανῶν μέρους ἀξιωθῆναι καὶ τοῦ ὀνόματος.

ΚΔ'. Πάντως δὲ οὐκ ἦν ἀνδρὸς φιλοθέου τὸ μέλλειν ἐν τοῖς τοιούτοις. Οὐκοῦν οὐδὲ Εὐθυμίῳ τὸ παράπαν μέλλησις ἦν. Ἀλλ' ἰδὼν αὐτοὺς καρδίᾳ μᾶλλον ἢ στόματι τὸ ἱερὸν βάπτισμα αἰτουμένους, κελεύει μακρὰν [m] ἔν τινι τοῦ σπηλαίου γωνίᾳ κολυμβήθραν σχεδιασθῆναι· ἥτις καὶ εἰς τόδε χρόνου μένει συνισταμένη· καὶ τὰς συνήθεις εὐχὰς ἐπειπὼν, καὶ ὅσα νόμος ἐπ' αὐτοῖς τελέσας, πρῶτα μὲν τὸν Ἀσπέβετον βαπτίζει, Πέτρον μετονομάσας, ἑξῆς δὲ Μάριν, ἀδελφὸν τῆς γυναικὸς Ἀσπεβέτου· ἐπιχανεῖς ἄμφω τὸ γένος, πλούτῳ τε βαθεῖ κομῶντας, καὶ συνέσει καὶ ἀρετῇ μᾶλλον τὸν πλοῦτον κοσμοῦντας, ἢ καὶ αὐτὸν τὸν πλοῦτον ὑπόθεσιν ἀρετῆς ποιουμένους· ἔπειτα δὲ Τερέβωνα καὶ μετ' αὐτὸν τοὺς λοιπούς· οὓς δήπου καὶ τεσσαράκοντα παρ' ἑαυτῷ κατασχὼν ἡμέρας, καὶ παραινέσας [n], καὶ τὴν εὐσέβειαν αὐτοῖς ἐξακριβωσάμενος, καὶ πάντα τρόπον τὰ πρὸς σωτηρίαν ἀσφαλῆ θέμενος, ἀφίησιν ἐν εἰρήνῃ· οὐμενοῦν Ἀγαρηνοὺς, ἔτι δὲ οὐδὲ Ἰσμαηλίτας [o], ἀλλὰ τῆς Σάῤῥας ἀπογόνους, καὶ κληρονόμους ἀψευδεῖς τῆς ἐπαγγελίας, διὰ τοῦ θείου βαπτίσματος.

ΚΕ'. Ὁ μέντοι Μάρις, ὁ καὶ θεῖος πρὸς μητρὸς τῷ Τερέβωνι, οὐκέτι οὐδὲ βλέψειν εἰς τὰ ὀπίσω εἵλετο, οὐδὲ ἀποστῆναι τῆς μονῆς ὅλως ἠνέσχετο· ἀλλὰ πᾶσαν καθιερώσας αὐτῇ τὴν οὐσίαν, καὶ μικρὰ τὰ ἐν τῷ κόσμῳ πάντα νομίσας, καὶ οὐδὲ ἄξιον τὸν πρὸς αὐτὰ πόθον ψυχῆς εὐγενοῦς τε καὶ μεγαλόφρονος, Θεῷ προσκολλᾶται μόνῳ, καὶ ὑπ' αὐτῷ ζῆν διὰ πάσης τῆς ζωῆς τίθεται, τῷ μεγάλῳ καθηγητῇ χρώμενος.

ΚϚ'. Τοῦ θαύματος δὲ πολλαχοῦ τῆς ἐρήμου διαδοθέντος, πολλοὶ πρὸς τὸν θεῖον Εὐθύμιον πάθεσι καὶ νόσοις κατειλημμένοι, πολλαχόθεν συνέῤῥεον· καὶ οὕτως ἄμισθόν τε καὶ εὐχερῆ θεραπείαν τρυγῶντες, χαίροντες ἐπανῄεσαν· ὥστε οὕτως ἐν βραχεῖ δι' ὅλης ἐξέλαμψε τῆς ἐρήμου, ὡς μηδὲ πάσῃ τούτου τὸ ὄνομα τῇ Παλαιστίνῃ χωρητὸν εἶναι, ἀλλὰ δὴ καὶ πρὸς τὰς κύκλῳ διαβαίνειν ἐπαρχίας, καὶ πολὺ τοῦτο καὶ ἐν αὐταῖς ᾄδεσθαι· ὅπερ ἄλλῳ μὲν, ἴσως καὶ πρὸς ἡδονῆς ἦν· Εὐθυμίῳ δὲ, ἀγανακτεῖν ἐποίει [p] σφόδρα καὶ δυσχεραίνειν· οὐ μόνον τῷ τὴν δόξαν ἀποστρέφεσθαι τὴν ἀνθρωπίνην, ἀλλὰ καὶ τῷ τῆς ἡσυχίας ἀναμιμνήσκεσθαι τῆς προτέρας, καὶ ὅπως ἀπε-

A statim descendit ad Barbaros, et ardentibus pro puero fusis precibus, factaque super illum crucis figura, non aliquo opus habuit tempore, non majore in orando perseverantia, sed cum valentem et omnino sanum statim efficit.

XXIII. Percellit Barbaros id quod factum fuerat, et citius quam ægroti corpus, eorum quoque curantur animæ, seu magis animæ sanitatem communiter accipiunt, fiuntque statim fideles. Quocirca proni in solum projicientes se, rogant sanctam illam animam, ut Christi obsignentur signaculo, partemque ac nomen Christianorum consequantur.

XIXV. Num erat autem omnino viri pii et Deum
B amantis, cunctari in rebus hujusmodi. Neque ergo fuit Euthymio ulla cunctatio: sed videns eos corde magis quam ore sacrum baptisma postulare, jubet parvam piscinam in quodam speluncæ angulo ex tempore fieri; quæ quidem usque in hunc diem consistit; et consuetas orationes pronuntians, cunctisque quæ lex præcipit super illos peractis, primo quidem Aspebetum baptizat, Petrum transnominans: deincaps autem Marim, fratrem uxoris Aspebeti: ambos claros genere, et amplissimis divitiis instructos, seu potius qui prudentia et virtute ornarent divitias, aut etiam qui ipsas opes facerent materiam virtutis; deinde vero Terebonem, ac post ipsum reliquos: quos utique et quadraginta dies apud se retinuit, et multa monuit, piumque religionis cultum accurate docuit, atque omni mo-
B do firmis tutisque redditis quæ ad salutem pertinent, dimisit in pace; non tamen amplius Agarenos, nec Ismaelitas, sed Saræ progeniem, certos promissionis hæredes, per divinum baptisma.

XXV. At Maris, Terebonis avunculus, non amplius voluit retro aspicere, neque omnino sustinuit discedere a monasterio; sed ei consecratis omnibus facultatibus, cunctaque hujus mundi ratus esse parva, quorumque desiderium dedeceret animum generosum et magnificum, soli Deo adhæret et per totam ætatem sub eo vivere statuit, magno utens ductore.

XXVI. Ubi autem miraculum dispersum est per multas partes solitudinis, multi morbis et ægritu-
D dinibus correpti ad divinum Euthyminm undequaque confluebant: sicque curationem sine mercede ac facilem colligentes, revertebantur læti; adeo ut brevi sic per totam clarus evaserit solitudinem, ut nec ejus nomen tota caperet Palæstina, sed ad provincias etiam transiret circumcirca positas, ibique valde celebraretur. Quod alii quidem fortasse fuisset voluptati; Euthymio autem magnam pariebat indignationem et molestiam; non solum quod humanam aversaretur gloriam, sed etiam quod prioris meminisset quietis, quemadmodum in ea

VARIÆ LECTIONES.

[1] abest ab al. [m] al. μικράν. [n] al. ins. πολλά. [o] abest ab al. [p] al. ἐπῄει.

nequaquam distractus degeret ab omni tumultu alienus. Propterea et clancularium ad Ruban secessum meditabatur.

XXVII. Verum divinus Theoctistus, cum rei meditatæ sensum nescio quo modo accepisset, et fratribus hoc manifestasset, tum omnes congregat, tum communes vehementesque preces adhibet, ut eorum orbitatis misereatur, neque sic despiciat gregem quem ipse constituit, qui post ejus recessum erat atrociter dilacerandus a communi omnium hoste. Hæc dixit, simulque persuasit, ne in præsentia discederet, nec eos relinqueret.

XXVIII. Quia vero postea amor quietis cum vehementius invasit, non habens quidnam ageret, quodam secum assumpto, qui Domitianus (31) vocabatur, erat autem Melitenus genere, atque virtutis amator sedulus, una cum eo egreditur, sentiente nemine, et in solitudinem Ruban (32), quæ vergit ad austrum, venit, juxta mare Mortuum. Deinde hinc ascendit in altum quemdam montem, ab aliis montibus remotum, qui appellatur Mardæ (33), transmigrans in montes, sicut passer, ut loquitur divinus David, et arcus telaque fugiens peccatorum : ubi cum invenisset puteum, humique jacta ædificia, et templum condidisset, atque altare struxisset, quæ quidem stant adhuc (34) ; inibi commoratur per aliquod tempus, alimoniam corpori necessariam ex herbis (35) illic positis subito sibi comparans, iisque tanquam mensa splendida utens.

XXIX. Deinde subiit eum cogitatio ingrediendi in solitudinem (36) Ziphorum, prope vicum Aristobuliadem; ad videndum, inquam, illas speluncas (37), quæ olim Davidem exceperunt a Saule insectatum; atque ei cogitationi paret; venit, et loco delectatus, illic construxit monasterium. Causam autem prætermittere, quam habuit hujus monasterii constructio, damnum fuerit piis.

XXX. Cujusdam e vici Aristobuliadis incolis graviter laborabat filius, a malo spiritu correptus.

A ρίσπαστος ἐν αὐτῇ καὶ θορύβου ξένος παντὸς καθίστατο. Διὰ ταῦτα καὶ λαθραίαν μὲν ἐμελέτα πρὸς τὸν Ῥουβᾶν ἀναχώρησιν.

ΚΖ'. Ἀλλ' ὁ θεῖος Θεόκτιστος, οὐκ οἶδ' ὅπως αἴσθησιν λαβὼν τοῦ μελετωμένου, καὶ δῆλον τοῦτο τοῖς ἀδελφοῖς θέμενος, ἀθροίζει τε πάντας, καὶ κοινὴν εἰσφέρει δέησιν καὶ θερμὴν, ἔλεον αὐτῶν τῆς ὀρφανίας λαβεῖν, καὶ μὴ περιιδεῖν [q] οὕτω ποίμνην ἥνπερ αὐτὸς συνεστήσατο, δεινῶς μετὰ τὴν αὐτοῦ ἀναχώρησιν σπαραχθῆναι μέλλουσαν ὑπὸ τοῦ κοινοῦ πάντων ἐχθροῦ. Ταῦτα εἴρηκέ τε καὶ ἔπεισε μὴ ἀποστῆναι τόγε νῦν ἔχον, μηδὲ τούτους ἀπολιπεῖν.

ΚΗ'. Ἐπεὶ δὲ τὸ μετὰ ταῦτα θερμότερον ὁ τῆς ἡσυχίας ἔρως αὐτοῦ καθίκετο, μὴ ἔχων ὅ τι καὶ δράσειε, συμπαραλαβών τινα μεθ' ἑαυτοῦ Δομετιανὸν

B ὄνομα, Μελιτηνὸν μὲν τὸ γένος, οὐκ ἀμελῆ δὲ τῆς ἀρετῆς ἐραστὴν, ἔξεισιν ἅμα τούτῳ, μηδεμίαν δοὺς αἴσθησιν, κἀν τῇ πρὸς νότον ἐρήμῳ τοῦ Ῥουβᾶ παρὰ τὴν Νεκρὰν θάλασσαν ἀφικνεῖται. Εἶθ' οὕτως εἴς τι ὄρος ὑψηλὸν καὶ τῶν ἄλλων ὀρέων διεστηκὸς, τοῦ Μαρδᾶ καλούμενον ἄνεισι, μεταναστεύων εἰς τὰ ὄρη ὡς στρουθίον, κατὰ τὸν θεῖον Δαβὶδ, καὶ τὰ τῶν ἁμαρτωλῶν τόξα περιιστάμενος [r]· ἐν ᾧ φρέαρ εὑρὼν, καὶ οἰκοδομὰς εἰς ἔδαφος καταβεβλημένας, ναόν τε ἀνεγείρας, καὶ θυσιαστήριον ἐκεῖσε πηξάμενος· ἃ δὴ καὶ εἰς δεῦρο ἑστήκασι· διατρίβει μέν τινα χρόνον ἐν αὐτῷ, τὴν ἀναγκαίαν τῷ σώματι λειτουργίαν ἀπὸ τῶν ἐκεῖσε βοτανῶν σχεδάζων, καὶ ὡς τραπέζῃ ταύταις λιπαρᾷ χρώμενος.

ΚΘ'. Εἶτα λογισμοῦ τινος αὐτὸν εἰσελθόντος, κα

C εἰς τὴν ἔρημον Ζηφῶν [s] ἐμβαλεῖν ἐχόμενα κώμης Ἀριστοβουλιάδος (κατὰ θέαν ἐκείνων, φημὶ, τῶν σπηλαίων, ἃ δὴ πάλαι τὸν Δαβὶδ ἐλαυνόμενον ὑπὸ τοῦ Σαοὺλ ὑπεδέξατο), πείθεται τούτῳ· καὶ ἀφικόμενος, καὶ τῷ τόπῳ ἡσθεὶς, μοναστήριον ἐκεῖ συνεστήσατο. Τὸ δὲ τὴν αἰτίαν παραλιπεῖν ἣν ἔσχεν ἡ τῆς μονῆς σύστασις, ζημία τοῖς φιλοθέοις,

Λ'. Ἔπασχε δεινῶς τινι τῶν κατὰ τὴν κώμην Ἀριστοβουλιάδα υἱὸς. καὶ πονηρῷ συνείχετο πνεύματι.

VARIÆ LECTIONES.

q al. παριδεῖν. r al. περιιπτάμενος. s al. Ζιφῶν.

JOAN. BOLLANDI NOTÆ.

(31) Hic deinceps individuus ejus socius fuit, plus quam quinquaginta per annos ; et septimo post ejus obitum die e vita et ipse excessit, ut ex sequentibus. et maxime cap. 18 et 19 constabit.

(32) In hanc solitudinem Ruban sæpius ivit S. Euthymius infra n. 7, 84, 95, ubi Cutilæ solitudini conjungitur. In hanc etiam solitudinem Ruban secesserunt SS. Joannes Silentiarius, Sabas, Gerasimus, et Quiriacus, ut Acta eorum indicant. Meminit hujus solitudinis Joannes Moschus in Prato spirituali cap. 167. Ex Ruban ad fluvium Jordanem proxime transiit S. Sabas. Quapropter prorsus solitudinem Ruban suspicamur desertum, in quo Christus jejunavit 40 diebus et noctibus, quod a recentioribus Desertum Quarantanæ dicitur. Consuli possunt Adrichomius in tribu Benjamin cap. 97, et Quaresmius lib. 6, peregrin. 6, cap. 12, qui tradit ex variis, monachos ad exemplum Christi olim solitos hic pœnitentiam agere.

(33) Mons est circa mare Mortuum, qui Mardes vocatur, excelsus valde, inquit Moschus cap. 158. Mons Quarantanæ videtur dici, in quem Christus a diabolo tentante delatus fuit. De eo Quaresmius supra.

D (34) Moschus Cyrillo coævus testatur suo tempore ab anachoretis fuisse inhabitatum. Et Bonifacius oculatus testis refert apud Quaresmium, innumera ibi sanctorum anachoretarum corpora reperiri, adeo integra, ut nec capillus in capite desit.

(35) Idem Moschus hortum anachoretarum fuisse scribit ad radicem montis circa maris labium.

(36) Ea solitudo Engaddi dicitur I Regum XXIV, in cujus spelunca distat a Bethlehem sex, a mari Mortuo septem circiter milliaria, ut observat Quaresmius lib. 6, peregrinat. 3, cap. 10. Et Adrichomius supra refert Quarantanæ desertum extendi usque ad desertum Thecunæ et Engaddi.

(37) Duas adhuc exstare testatur Quaresmius, latas palmos 24, longas circiter 50, in latere sese peculiare cavum ait observasse, in quo putat latuisse Davidem.

Πάσχων δὲ οὕτω, καὶ ὑπὸ χαλεποῦ δαίμονος συνεχόμενος, τὸ τοῦ Εὐθυμίου ὄνομα λαμπρᾷ τῇ φωνῇ ἐβόα· ἐβόα δὲ δι' αὐτοῦ μᾶλλον οὐχ ἑκὼν, ἀλλ' ὁ τυραννῶν ἄντικρυς τυραννούμενος. Ὁρῶντες οὖν αὐτὸν οἵ τε πατέρες καὶ οἱ προσήκοντες, οὕτως ἐπὶ γλώττης ἀεὶ τὸ τοῦ Εὐθυμίου στρέφοντα ὄνομα, καὶ μάλιστά γε ἡνίκα σφοδρότερον ὁ μιαρὸς αὐτῷ δαίμων ἐκεῖνος ἐπίθοιτο, τίς ἂν ὁ Εὐθύμιος οὗτος εἴη περιιόντες ἐνεπυνθάνοντο, καὶ ὅπως ἄν τι περὶ αὐτοῦ μάθοιεν, φροντὶς ἦν αὐτοῖς ἡ μεγίστη. Μικρὰ δὲ περὶ τὴν ἐκείνου ζήτησιν καμόντες· μεστὴ γὰρ ἡ οἰκουμένη πᾶσα τῆς ἐκείνου φήμης καὶ τοῦ ὀνόματος· ἀκούουσιν, ὡς εἴη μεταξὺ παρ' Ἀβαριχῶν [1] τε καὶ Ἀριστοβουλιάδος. Καὶ παραλαβόντες εὐθέως τὸν παῖδα, πρὸς αὐτὸν ᾔεσαν. Ἐπεὶ δὲ πόῤῥωθεν ἔτι προϊοῦσιν, εὔδηλος ἐκεῖνος τῷ νεανίσκῳ γίνεται, προαισθόμενον ὥσπερ τὸ ἐνοικοῦν αὐτῷ πνεῦμα, τῆς τοῦ ἐνοικοῦντος τῷ Εὐθυμίῳ ἀγαθοῦ Πνεύματος ἐνεργείας, εἰς φυγὴν ἔβλεψε, κατὰ τοὺς δειλοὺς τῶν ἀντιπάλων καὶ ἀγεννεῖς, οἳ μηδὲ προσιόντας ἔτι μένουσι τοὺς ὁπλίτας, ἀλλὰ καὶ πρὸ τῆς συμπλοκῆς ἐξίστανται. Σπαράξαν οὖν ἀθρόως τὸν νεανίσκον, ἀφανὲς ᾤχετο. Ἔδει γὰρ τὸ πονηρὸν, πονηρὰ δρᾶσαι, καὶ μανικὴν αὐτοῦ καὶ τεταραγμένην δεῖξαι τὴν ἀναχώρησιν. Ὡς δὲ ἐκεῖνο ἐκποδὼν ἦν, νήφων ὁ ἄνθρωπος καὶ σωφρονῶν ἐθεᾶτο· ἑτέρου μᾶλλον, οὐκ ἐκείνου δηλῶν εἶναι τὴν προλαβοῦσαν ζάλην καὶ τὰ δεινὰ κύματα.

ΛΑ'. Ἐν βραχεῖ δὲ τοῦ θαύματος τὴν ἔρημον πᾶσαν περιλαβόντος, συχνοὶ πρὸς αὐτὸν ἐξ αὐτῆς Ἀριστοβουλιάδος καὶ τῶν πέριξ κωμῶν συνθέουσι, καὶ μοναστήριον οἰκοδομοῦσιν αὐτῷ· ἐν ᾧ καὶ πολλοὶ τῶν εὐλαβῶν εἵλοντο παραμένειν, τοῦ Θεοῦ ἄνωθεν ἐπιχορηγοῦντος τὰ πρὸς τὴν χρείαν τοῦ σώματος.

ΛΒ'. Οὐ μόνα δὲ τὰ νοητὰ θηρία, τὰ πνεύματα τῆς πονηρίας, φημὶ, οὕτως αὐτῷ ὑποτέτακτο· ἀλλὰ καὶ τοῖς αἰσθητοῖς τούτοις, ὅσα τε σαρκοβόρα, καὶ ὅσα τῶν ἰοβόλων εἰσὶ, συναναστρεφόμενος αὐτοῖς κατὰ τὰς ἐρήμους καὶ διηνεκῶς ὁμιλῶν, οὐδεμίαν παρ' οὐδενὸς ἐπιβουλὴν ἢ βλάβην ὑπέστη. Καὶ τούτοις ἀπιστείτω μηδείς· εἰδὼς ὅπως ἄμαχόν τι χρῆμα, Πνεύματος τοῦ ἀγαθοῦ δύναμις, καὶ πάντα ῥᾳδίως θαυματουργεῖν δυναμένη. Μαρτυρεῖ τῷ λόγῳ ῥάβδῳ θάλασσα τεμνομένη, καὶ κελεύσματι μόνῳ ἱστάμενος ἥλιος καὶ τῆς πρόσω φορᾶς εἰργόμενος, πῦρ εἰς δρόσον μεταβαλλόμενον, καὶ ἄλλα ὅσα τοιαῦτα παραδόξως τεθαυματούργηται.

ΛΓ'. Γίνεται δὲ καὶ ἄλλο κατ' αὐτὴν δήπου τὴν τῶν Ζηφῶν ἔρημον, ἄξιον τῆς τοῦ δράσαντος Εὐθυμίου καὶ γνώμης, καὶ τῆς περὶ τὴν εὐσέβειαν ἀκριβείας. Εὑρὼν γάρ τινας ἐν αὐτῇ τὴν τοῦ Μάνεντος νοσοῦντας μανίαν, καὶ πολλὴν ἀεὶ τῷ νοσήματι τὴν ἐπίδοσιν ποιουμένους, τῷ μηδένα προσίεσθαι τὸν

A Cum autem sic pateretur, et ab immani vexaretur dæmone, Euthymii nomen clamabat clara voce; seu potius per eum clamabat non volens quidem, sed tyrannidem ex adverso passus qui tyrannidem exercebat. Videntes ergo illum parentes et propinqui sic nomen Euthymii semper lingua volvere, præsertimque quando exsecrandus ille dæmon eum invaderet vehementius, quisnam esset hic Euthymius, oberrantes sciscitabantur, et quemadmodum de eo aliquid discerent, maxime erant solliciti. Cumque circa illius inquisitionem parumper laborassent (totus enim orbis terrarum plenus erat fama illius ac nomine), audiunt esse inter Parabarichos et Aristobuliadem. Atque accipientes statim puerum, ad eum iverunt. Ubi autem procul adhuc B procedentibus, ille adolescenti evadit manifestus, veluti præsentiens qui inhabitabat spiritus vim et operationem boni Spiritus in Euthymio inhabitantis, ad fugam respexit; non secus ac timidi et ignavi hostes, qui neque accedentes adhuc exspectant armatos milites, sed ante commissam pugnam recepitui canunt. Ubi ergo adolescentem repente contorsisset, evanuit. Oportebat enim malum mala facere, discessumque suum furiosum et conturbatum ostendere. Postquam autem ille recessisset, cernebatur homo compositus et sana mente; alterius nempe, non ipsius significans esse eam quæ præcesserat tempestatem gravemque fluctuationem.

XXXI. Cæterum brevi miraculum totam pervasit solitudinem; atque ad eum frequentes ex ipsa Aristobuliade, vicisque circumstantibus concurrunt, ac ei C monasterium (38-39) ædificant; in quo etiam pii multi statuerunt permanere, Deo desuper ea suppeditante quæ erant ad corporis usum necessaria.

XXXII. Neque solum sub intelligentiam cadentes feræ, spiritus, inquam, maligni, ita ei subjiciebantur; sed etiam in solitudinibus conversans assiduoque congrediens cum sensibilibus feris, tam quæ sunt carnivoræ quam quæ venenatæ, nullas ab earum ulla passus est insidias, nullum damnum. Neque his quisquam fidem deneget, sciens quam sit res inexpugnabilis, boni Spiritus virtus, quæ potest omnia facile edere miracula. Cui sermoni fert testimonium mare virga scissum, et sol jussu solo sistens, prohibitusque ulterius progredi, ignis in D rorem conversus, et consimilia alia miracula quæ præter opinionem facta sunt.

XXXIII. Fit autem aliud quoque in ea Ziphorum solitudine, dignum Euthymii auctoris et mente, et exacta pietate. Nam cum invenisset in ea quosdam, qui Manetis laborabant insania, morbique multam semper faciebant accessionem, eo quod nullus ad morbum curandum idoneus accederet, ille se dedens

VARIÆ LECTIONES.

[1] al. Βαριχῶν. Int. Παραβαριχῶν.

JOAN. BOLLANDI NOTÆ.

(38-39) Quaresmius testatur, prope speluncas ædificii fundamenta adhuc exstare et cisternam.

visitationi hominum adeo ægrotantium, et constituens in peritissimum medicum, tanta eos agressus est arte, sicque ut a morbo discederent (idem autem omnino est dicere, Hæresi) verissime effecit, ut ipsum quoque illius patrem Manetem aperte abdicarent, et claro subjicerent anathemati fierentque ipsi pars apostolicæ et orthodoxæ fidei.

XXXIV. Sed postquam hic quoque multos rursus vidit confluentes (ipsa enim solitudo erat circumsepta vicis, et qui erat apud ipsum thesaurus vocabat amatores harum spiritalium cœlestiumque divitiarum), assumpto rursus discipulo suo Domitiano, revertitur ad fratres et beatum Theoctistum : quæ res eorum oculis gratissima fuit, sicut æstate aqua iis qui siti premuntur. Cum autem ad quemdam locum pervenisset tribus lapidibus dissitum a cœnobio, eumque invenisset tum recte se habere natura, positu, ac temperiei felicitate, tum jucundissimo purissimoque aere perspirari, tum multa quiete omni ex parte serenari, illic cum discipulo parvam ingressus speluncam, in ea versatus est.

XXXV. Divinus porro Theoctistus, comperto illius adventu, non se amplius continere potuit, sed ad eum ascendit, vehementissime ab affectu commotus. Cum vero libenter et vidisset et visus esset, ac spiritaliter salutasset, nolebat ab eo disjungi, amoris inevitabilibus alligatus vinculis, et non fallacibus Euthymii sirenibus astrictus. Rogabat ergo ut ad cœnobium et fratres descenderet, communemque cum eis ageret vitam asceticam. Ille autem, summo quietis amore correptus, id quidem non annuit Theoctisto, sed pollicitus est se singulis Dominicis ad eos accessurum, adfuturumque eorum synaxi.

XXXVI. Cum autem ejus adventus nescio quo modo fuisset significatus Aspebeto, qui fuit postea cognominatus Petrus, licebat statim videre examen Agarenorum congregatum. Ille enim multis eorum, omni ex genere et ætate, collectis, ut qui ipse primus bonum gustasset, et studeret ut illi quoque essent participes dulcedinis, adducit eos ad Euthymium. Qui adductione valde delectatus, virosque hilaribus oculis intuitus, pronuntiatis super eos solitis precibus, deduxit ad fratres et monasterium. Deinde cum eos illic baptizasset ac instituisset, atque ex illo tempore septem dies cum eis esset versatus, manere cum multis non sibi amplius duxit tolerabile : verum quietis, ut diximus, inexplebili captus desiderio, ad consuetam iterum redit solitudinem.

XXXVII. Petrus igitur videns eum ita sine tecto et inopem sedere in loco deserto, pro maximis beneficiis, baptismo, inquam, et salute, mediocrem

A θεραπεῦσαι τὸ πάθος ἱκανῶς ἔχοντα, δοὺς ἑαυτὸν ἐκεῖνος εἰς ἐπίσκεψιν τῶν οὕτω πονήρως ἐχόντων, καὶ ἰατρὸς ἐμμελέστατος αὐτοῖς καταστὰς, οὕτω μετῆλθεν ἀτεχνῶς [w], καὶ οὕτως ἀποστῆναι τὴν νόσον (ταυτὸν δὲ πάντως εἰπεῖν τὴν αἵρεσιν) ἀληθέστατα παρεσκεύασεν, ὡς καὶ αὐτὸν τὸν ἐκείνης πατέρα Μάνεντα, φανερῶς ἀποκηρύξαι καὶ ἀναθέματι λαμπρῷ καθυποβαλεῖν, καὶ μέρος αὐτοὺς τῆς ἀποστολικῆς καὶ ὀρθοδόξου γενέσθαι πίστεως.

ΛΔ'. Ἐπεὶ δὲ πολλοὺς κἀνταῦθα πάλιν ἑώρα συῤῥέοντας (κύκλω γὰρ αὕτη ταῖς κώμαις ἡ ἔρημος ἐστεφάνωτο, καὶ ὁ παρ' αὐτῷ θησαυρὸς ἐκάλει τοὺς ἐραστὰς τοῦ πνευματικοῦ τούτου πλούτου καὶ οὐρανίου), τὸν οἰκεῖον μαθητὴν αὖθις παραλαβὼν Δομετιανὸν, πρὸς τοὺς ἀδελφοὺς ἐπανήκει, καὶ τὸν
B μακαρίτην Θεόκτιστον· πρᾶγμα τοῖς αὐτῶν ποθούμενον ὀφθαλμοῖς, ὡς ἐν θέρει ὕδωρ τοῖς δίψει πιεζομένοις. Ἔν τινι δὲ τόπῳ τρισὶ σημείοις διεστηκότι τοῦ κοινοβίου γενόμενος, καὶ τοῦτον εὑρὼν φύσεώς τε καὶ θέσεως καὶ ὡρῶν εὐμοιρίας καλῶς [v] ἔχοντα, ἡδίστῳ τε ἀέρι καὶ καθαρωτάτῳ διαπνεόμενον, καὶ πολλῇ πάντοθεν γαληνιῶντα τῇ ἡσυχίᾳ, μικρὸν ὑπεισῆλθεν ἐκεῖ σὺν τῷ μαθητῇ σπήλαιον, καὶ τὰς διατριβὰς ἐν αὐτῷ ἐποιεῖτο.

ΛΕ'. Μαθὼν δὲ ὁ θεῖος Θεόκτιστος τὴν ἐκείνου ἐπιδημίαν, οὐκ ἔτι καθεκτὸς ἦν, ἀλλ' ἄνεισι πρὸς αὐτὸν, θερμῶς ὑπὸ τοῦ πάθους [x] κεκινημένος. Ἰδών τε καὶ ὀφθεὶς καὶ ἡδέως, καὶ πνευματικῶς ἀσπασάμενος, οὐκ ἤθελε τούτου διαζυγῆναι, δεσμοῖς ἀφύκτοις τοῦ φίλτρου πεπεδημένος, καὶ ὑπὸ τῶν ἀψευδῶν
C Εὐθυμίου σειρήνων στεῤῥῶς ἐχόμενος. Ἐδεῖτο οὖν καὶ πρὸς τὸ κοινόβιον καὶ τοὺς ἀδελφοὺς κατελθεῖν, καὶ κοινὴν αὐτοῖς ποιεῖσθαι τὴν ἄσκησιν [y]. Ὁ δὲ τῷ σφοδρῷ τῆς ἡσυχίας βαλλόμενος ἔρωτι, τοῦτο μὲν οὐκ ἐπένευσε Θεοκτίστῳ, ὑπέσχετο δὲ καθεκάστην Κυριακὴν παρ' αὐτοὺς ἰέναι, καὶ παρεῖναι καὶ αὐτῶν [z] τῇ συνάξει.

ΛϚ'. Μηνυθείσης δὲ οὐκ οἶδα ὅπως τῆς αὐτοῦ παρουσίας καὶ Ἀσπεβέτῳ τῷ καὶ Πέτρῳ ὕστερον μετονομασθέντι, σμῆνος ἦν εὐθέως ὁρᾷν τῶν Ἀγαρηνῶν ἀθροιζόμενον. Πολλοὺς γὰρ αὐτῶν ἐκεῖνος ἐκ παντὸς γένους καὶ πάσης ἡλικίας συναγαγὼν, οἷα καὶ πρῶτος αὐτὸς τοῦ καλοῦ γευσάμενος, σπεύδων τε κἀκείνους μεταλαβεῖν τῆς γλυκύτητος, προσάγει τῷ Εὐθυμίῳ. Ὁ δὲ καὶ λίαν ἡσθεὶς τῇ προσαγωγῇ, καὶ τοὺς ἄνδρας ἱλαροῖς ἰδὼν ὀφθαλμοῖς, εὐχάς τε
D τὰς ἐξ ἔθους αὐτοῖς ἐπειπὼν, κατάγει πρὸς τοὺς ἀδελφοὺς καὶ τὸ μοναστήριον. Εἶτα βαπτίσας αὐτοὺς ἐκεῖσε καὶ τελειώσας, καὶ ἡμέραν ἑβδόμην αὐτοῖς ἐξ ἐκείνου συνδιατρίψας, τὸ μετὰ πολλῶν, οὐκ ἔτι φορητὸν αὐτῷ ἔκρινεν [a]· ἀλλὰ τῆς ἡσυχίας, ὥσπερ ἔφημεν, ἀπλήστως ἐρῶν, πρὸς τὴν συνήθη καὶ πάλιν ἐπάνεισιν ἐρημίαν.

ΛΖ'. Ὁ Πέτρος οὖν οὕτως αὐτὸν ἄστεγόν τε καὶ ἄπορον ἐπὶ τῆς ἐρημίας ἰδὼν καθήμενον, καὶ χάριτας ὥσπερ αὐτῷ μεγάλων μετρίας ἀντιδιδοὺς, τοῦ

VARIÆ LECTIONES.

[w] al. εὐτέχνως et ἐννέχνως. [v] al. καλῆς. [x] al. πόθου. [y] al. ins. ἀγωγὴν, κοινὴν καὶ ζωὴν. [z] al. αὐτόν. [a] al. κρίνειν ἔδοξεν.

βαπτίσματος, φημὶ, καὶ τῆς σωτηρίας, οἰκοδόμους ἐπὶ μισθῷ συχνὸς [b] μετακαλεσάμενος, λάκκον ἐν τῷ κήπῳ, μέγαν τε καὶ δίστομον ἀνορύσσει· ὅστις καὶ εἰς δεῦρο ἔτι ὁρώμενός [c] ἐστιν· ἀρτοποιεῖόν τε παρὰ τῷ λάκκῳ οἰκοδομεῖ, καὶ τρία τῷ Εὐθυμίῳ κελλία κατασκευάζει· μεταξὺ δὲ αὐτῶν καὶ οἶκον εὐκτήριον ἀνεγείρει· ὥστε μηδενὸς τῶν εἰς χρείαν ἐπιδεᾶ καθίστασθαι τὸν Εὐθύμιον.

ΛΗ'. Τὸ μέντοι τῶν Ἀγαρηνῶν πλῆθος, ὅπερ ὑπ' αὐτοῦ, καθάπερ ἔφθην εἰπὼν, ἐβαπτίσατο, πίνειν ἀεὶ νάματος ἡδυτάτου ποθοῦντες, ὅπερ ἡ Εὐθυμίου γλῶττα φανερῶς ἦν, οὐκ ἔτι οὐδὲ μικρὸν ἀποστῆναι ἠνείχετο [d], ἀλλὰ θερμῶς παρ' αὐτῷ μένειν ἐδεῖτο, καὶ τρυφὴν αὐτοῦ καὶ ζωῆς ὕδωρ ποιεῖσθαι τοὺς λόγους. Ὁ δὲ, ἀπερίσπαστον ἑαυτῷ τὸ τῆς ἡσυχίας καλὸν συντηρῶν, τῇδε μὲν αὐτοὺς οὐκ ἐᾷ διατρίβειν· ἑτέρωσε δὲ ἀγαγὼν, καὶ ναὸν αὐτοῖς καὶ σκηνὰς κύκλῳ διαχαράξας (ἔστι δὲ ὁ τόπος μεταξὺ τῶν δύο φροντιστηρίων), δείμασθαι αὐτοὺς [e] κατὰ τὸ σχῆμα τῆς γραμμῆς καὶ τὸ μέγεθος, καὶ μένειν ἐν αὐτοῖς [f] ἐπισκήπτει. Οὗ δὴ καὶ οἰκοδομήσασιν ἑαυτοῖς οἰκίας, καὶ εἰς τὸ ἑξῆς εὐπαρέδρως διαμεμενηκόσιν, ἐπεφοίτα συνεχῶς ὁ μέγας Εὐθύμιος, καὶ ὅπως εἶχον, ἀεὶ ἐπεσκέπτετο. Ὁδει γὰρ οἷον κἀντεῦθεν ἑαυτῷ πορίζει τὸ κέρδος. Καὶ οὐ πρότερον ἀπέστη τοῦτο ποιῶν, ἕως ἐκάθηρέ τε καὶ ἤσκησε τὰς ἐκείνων ψυχὰς, καὶ ὑπὸ πρεσβυτέρῳ καὶ διακόνοις τάττεσθαι παρεσκεύασεν. Ὥστε διαμένειν ἐκεῖ ἔστερξαν, οὐχ οἱ πρότεροι [g] βαπτισθέντες, ἀλλὰ καὶ πολλοὶ ἕτεροι τῶν καθεκάστην προσιόντων αὐτῷ καὶ βαπτιζομένων.

ΛΘ'. Οὕτως οὖν σφόδρα πληθυνομένων τῶν τῆς Ἄγαρ υἱῶν, καὶ εἰς τὴν ἀληθῆ εὐγένειαν μεταποιουμένων, εἰς διαφόρους τε πλατυνομένων παρεμβολὰς, πέμπει πρὸς Ἰουβενάλιον τὸν πατριάρχην Ἱεροσολύμων ὁ θεῖος Εὐθύμιος ἐπίσκοπον αὐτοῖς τινα χειροτονηθῆναι ζητῶν. Καὶ ὃς, Πέτρον αὐτῶν τὸν πατέρα Τερέβωνος, ἀποστέλλει, οἷα προστῆναί τε ψυχῶν, καὶ ὁδηγῆσαι πρὸς σωτηρίαν, ἱκανῶς ἔχοντα. Πέτρος μὲν οὖν οὕτως [h] ἐπίσκοπος τῶν παρεμβολῶν ἐν Παλαιστίνῃ πρῶτος χειροτονεῖται. Ἡ δὲ τῶν Σαρακηνῶν πληθὺς, ἴσα καὶ ποταμῶν ῥεύμασιν ἀεννάων [i] ἐπέῤῥει· καὶ οἱ νῦν προσιόντες, τοῖς φθάσασι προσετίθεντο· καὶ οὗτοι πάντες τῇ σφραγῖδι τοῦ βαπτίσματος σημειούμενοι, τῇ τῶν Χριστιανῶν ποίμνῃ συνηριθμοῦντο. Ἀλλὰ περὶ μὲν τούτων, ἀπόχρη τὰ εἰρημένα. Ἡμῖν δὲ λοιπὸν ἐπ' ἐκεῖνα τῷ λόγῳ βαδιστέον, ὅθεν ταῦτα εἰπεῖν ἐξέβημεν.

Μ'. Οὐκ εἶχε γνώμης ὁ μέγας Εὐθύμιος, οὔτε κοινόβιον περὶ τὸν τόπον ἐκεῖνον, οὔτε λαύραν ὅλως συστήσασθαι. Διὰ ταῦτα καὶ ἡνίκα τινὲς πρὸς αὐτὸν

A veluti referens gratiam, ædificatoribus multis mercede arcessitis, magnam cisternam duo habentem ostia fodit in horto, quæ in hodiernum usque diem cernitur fossaque remanet; ad quam cisternam ædificat panificii officinam, et cellas tres construit Euthymio; inter eas autem excitat etiam oratorium: adeo ut nullius eorum, quæ ad usum necessarium pertinebant, egeret Euthymius.

XXXVIII. Agarenorum vero multitudo, quæ, ut prius dixi, fuit ab eo baptizata, e suavissimo fluento semper bibere desiderans, quod quidem aperte erat lingua Euthymii, non amplius ne minimum quidem ad eo discedere sustinebat; sed ac iter precabatur ut apud ipsum maneret, ejusque sermones haberet pro deliciis et aqua vitæ. Ille autem, B qui sibi conservabat indivulsum quietis bonum, eos quidem non sinit hic versari; sed alio eos ducens, cum templum et tabernacula eis circumscripsisset (est autem locus inter duo monasteria), jussit ut exstruant juxta descriptionis figuram et magnitudinem, atque inibi habitent. Quo quidem in loco postquam sibi ædificarent domos, et in eis deinceps assidue perseverarunt, frequenter magnus ventitabat Euthymius; et quemadmodum se haberent, semper visebat. Sciebat enim quantum ex eo lucri sibi compararet. Nec prius destitit hoc facere, donec illorum animas purgavit et exercuit, effecitque ut presbytero ac diaconis subessent. Quamobrem illic lubenter manserunt, non ii soli qui fuerant priores baptizati, sed etiam multi alii ex iis qui quotidie C ad eum veniebant et baptizabantur.

XXXIX. Cum ergo usque adeo multiplicarentur filii Agaræ, et ad veram traducerentur nobilitatem, inque diversa excrescerent castra, mittit divinus Euthymius ad Juvenalem Hierosolymorum patriarcham (40) postulans ut eis ordinaretur episcopus. Ille vero ad eum mittit Petrum patrem Terebonis, utpote idoneum qui præesset animabus, eosque deduceret ad salutem. Sic itaque Petrus episcopus Castrorum (41) in Palæstina primus ordinatur. Saracenorum autem multitudo, non secus ac fluviorum perennium fluenta, affluebat; et qui nunc accedebant, adjiciebantur prioribus; iique omnes signati signaculo baptismi, connumerabantur cum grege Christianorum. Sed de D his quidem ea quæ dicta sunt sufficiunt. Nobis vero deinceps eo conferenda est oratio, unde ad hæc dicenda digressi sumus.

XL. Non habebat magnus Euthymius in animo, nec cœnobium, nec lauram omnino eo loci construere. Atque propterea quoties aliqui ad eum ve-

VARIÆ LECTIONES.

[b] al. συχνῷ οἶμαι τόπῳ. [c] al. ὀρωρυγμένος. [d] al. inser. αὐτοῦ. [e] al. αὐτὸς. [f] al. αὐταῖς. [g] al. πρότερον. [h] al. οὗτος. [i] al. ἀεινάως.

JOAN. BOLLANDI NOTÆ.

(40) De obitu ejus et tempore patriarchatus, infra n. 96.

(41) Græce ἐπίσκοπος τῶν παρεμβολῶν. Quo modo subscripsit synodo Ephesinæ an. Ch. 431, Πέτρος Παρεμβολῆς, episcopus copiarum, castrametationum, aut tentoriorum. Vide quæ de Saracenorum moribus 14 Januar. a S. Nilo dicuntur in historia cœdis Patrum Sinaitarum.—Alius Petrus episcopus τῶν Παρεμβολῶν subscripsit concilio Hierosolymitano anni 536. COTELERIUS.

nissent, sive mundo renuntiantes, sive afferentes quædam ad usum corporis necessaria, ab eo rursus ad beatum Theoctistum transmittebantur. Quia vero jam superne Providentia sapienter disposuerat, ut hæc habitaretur solitudo; utpote quæ certo sciret id quod erat futurum, rem scilicet fore multis salutis causam: accedunt ad eum quidam numero tres (42), fratres secundum carnem; qui germina quidem erant Cappadocum regionis, in Syriæ autem tractu educati, illic in virtute et doctrina se exercuerant; Cosmas (43), Chrysippus (44), Gabrielius (45). Is autem faciens ut consueverat, nec eos admisit, et ætatem certe causans juvenilem, mutuumque naturæ amorem, qui etiam solet ut plurimum avocare a contentione exercitationis; et maxime quod esset Gabrielius adhuc adolescens ac imberbis. Illi ergo his de causis eos admittere nullatenus placebat. Ea vero nocte venit ad ipsum in somnis aliquis, mandans tum ut fratres exciperet: Sunt enim inquit, ab ipso Deo ad te missi; tum ut deinceps paratus esset ad susceptionem cujuslibet accedentis et volentis. Mane igitur præclaram illam fraternitatem et cogitationem suscipiens, ut ei jusserat visio, ait Cosmæ (is quippe primus erat ætate inter fratres): Sic ego quidem jam feci, nimirum juxta ea quæ mihi a Deo mandata fuerunt, atque vos in hanc domum admisi; de cætero tibi tempus est, ut juniorem ex fratribus Gabrielium intra cellam contineas, et nequaquam ei licentiam exeundi tribuas. Est enim res valde periculosa et insidiosa aliorum oculis muliebris facies, adeoque lævis et glabra. Deinde nonnulla quoque aperuit ex iis quæ erant ei eventura, dicens: Verum non puto te longo tempore hic vitam acturum; sed Ecclesiæ Scythopolitanæ præfecturam propediem accipies. Atque hæc quidem in susceptione virorum.

παραδάλοιεν, εἴτε κόσμῳ ἀποτασσόμενοι, εἴτε τινὰ τῶν πρὸς τὴν χρείαν τοῦ σώματος ἐπικομιζόμενοι, τῷ μακαρίτῃ πάλιν ὑπ' αὐτοῦ παρεπέμποντο Θεοκτίστῳ. Ὅθη δὲ τὴν ἔρημον οἰκισθῆναι ταύτην σοφῶς ἤνωθεν τῆς προνοίας οἰκονομούσης, οἷα δὴ καὶ τὸ μέλλον ἀσφαλῶς ἐγνωκυίας, ὅτι πολλοῖς ἔσται τὸ πρᾶγμα σωτηρίας ὑπόθεσις· προσίασιν αὐτῷ τινες, τὸν ἀριθμὸν τρεῖς, ἀδελφοὶ κατὰ σάρκα· φυτὰ μὲν τῆς Καππαδοκῶν ὄντες, ἐν γῇ δὲ τῆς Συρίας τραφέντες, καὶ ἀρετὴν ἐκεῖ καὶ παιδείαν ἀσκήσαντες· Σοσμᾶς, Χρύσιππος, καὶ Γαβριήλιος. Ὁ δὲ τὰ συνήθη ποιῶν, οὐδὲ τούτους προσίετο, τό τε νέον τῆς ἡλικίας ἀτεχνῶς αἰτιώμενος, καὶ τὸν πρὸς ἀλλήλους τῆς φύσεως πόθον, ὃς καὶ περισπᾷν οἶδεν ὡς τὰ πολλὰ τὸ σύντονον τῆς ἀσκήσεως· καὶ μάλιστα, τὸ μειράκιον ἔτι τὸν Γαβριήλιον εἶναι, καὶ τριχῶν ἔχειν ψιλὸν τὸν πώγωνα. Ἐκείνῳ μὲν οὖν προσδέξασθαι τούτους διὰ ταῦτα, τὸ παράπαν ἀβούλητον. Φοιτᾷ δὲ τις ὄναρ αὐτῷ τῆς νυκτὸς ἐκείνης, δέξασθαί τε τοὺς ἀδελφοὺς ἐπισκήπτων (Πρὸς αὐτοῦ γὰρ εἰσιν ἀπεσταλμένοι σοι, φησί, τοῦ Θεοῦ), καὶ τὸ λοιπόν, ἕτοιμον εἰς ὑποδοχὴν εἶναι τοῦ προσιόντος καὶ βουλομένου παντός. Ἕωθεν τοίνυν τὴν καλὴν ἐκείνην ἀδελφότητα καὶ συμφυΐαν ὑποδεξάμενος, ὡς ἡ ὄψις αὐτῷ παρηγγύα, φησὶ τῷ Κοσμᾷ (οὗτος γὰρ ὁ πρωτεύων καθ' ἡλικίαν τῶν ἀδελφῶν), ὡς Ἐγὼ μὲν πεποίηκα ἤδη, κατὰ ταῦτα γοῦν μοι τὰ ἐντεταλμένα παρὰ Θεοῦ, καὶ ὑμᾶς ἐνταῦθα εἰσῳκισάμην. Σοὶ δὲ ὥρα [1] λοιπὸν τὸν νεώτερον τῶν ἀδελφῶν Γαβριήλιον, εἴσω τοῦ κελλίου καθεῖρξαι, καὶ μηδαμῶς αὐτῷ ἐφειμένην θεῖναι τὴν ἔξοδον. Σφόδρα γὰρ ἐπισφαλὲς καὶ λίαν ἐπίβουλον τοῖς τῶν ἄλλων ὀφθαλμοῖς γυναικεία ὄψις, καὶ οὕτω λείως καὶ ψιλῶς ἔχουσα. Εἶτα, καὶ τῶν μελλόντων αὐτῷ συμβῆναί τινα παρεγύμνου· Ἀλλ' οὐκ οἶμαί σε, λέγων, πολὺν ἐνταῦθα χρόνον διαγαγεῖν· ἀλλὰ τὴν προστασίαν μετ' οὐ πολὺ τῆς ἐν Σκυθοπόλει Ἐκκλησίας ἐγχειρισθήσῃ. Πλὴν ἀλλὰ ταῦτα μὲν ἐπὶ τῇ παραδοχῇ τῶν ἀνδρῶν.

XLI. Post eos autem seipsum permisit omnibus ingredi cupientibus, eratque deinceps ad excipiendum paratissimus. Etenim excipit quemdam Domnum (46), ex Anthiochena quidem civitate oriundum, Joannis vero, qui illi præerat Ecclesiæ, ex sorore nepotem. Suscipit etiam alios tres, fratres genere, patria Melitenos, consobrinos Synodii illius qui cum Acacio educaverat Euthymium; quorum nomina, Stephanus (47), Andreas (48), Gaianus (49). Post eos vero (50), Joannem quoque Rhaithensem presbyte-

ΜΑ'. Μετὰ δὲ τούτους, ἀνῆκεν ἑαυτὸν πᾶσι τοῖς εἰσέρχεσθαι βουλομένοις. Καὶ ἦν τοῦ λοιποῦ πρὸς ὑποδοχὴν ἑτοιμότατος. Ὑποδέχεται μὲν γὰρ Δόμνον τινά, τῆς Ἀντιοχέων μὲν ὡρμημένον, ἀδελφιδοῦν δὲ Ἰωάννου, τοῦ τῆς κατ' αὐτὴν Ἐκκλησίας προεστηκότος. Ὑποδέχεται δὲ καὶ τρεῖς ἑτέρους, ἀδελφοὺς τὸ γένος, τὴν πατρίδα Μελιτηνούς, Συνοδίου ἀνεψιοὺς ἐκείνου, τοῦ σὺν Ἀκακίῳ τὸν Εὐθύμιον ἀναθρεψαμένου· Στέφανος αὐτοῖς, Ἀνδρέας, καὶ Γαϊανὸς τὰ ὀνόματα. Μετὰ δὲ τούτους καὶ Ἰωάννην ἀπὸ τῆς

VARIÆ LECTIONES.

[1] al. σὺ δὲ ὁρᾷ.

JOAN. BOLLANDI NOTÆ.

(42) Horum acta, virtutes et obitum huic historiæ inseruit Cyrillus, potissimum n. 103.

(43) Infra n. 57 presbyter et custos sanctæ Crucis Hierosolymis factus traditur; et n. 103 episcopus Scythopolis.

(44) Infra n. 60 lauræ œconomus, custos sanctæ Crucis, primo in lauræ n. 87, tum Hierosolymis n. 103. scriptis libris clarus.

(45) Presbyter, fundator novi monasterii, miraculis insignis n 103 et alibi.

(46) Hic avunculo suo Joanni successit in patriarchatu Antiocheno. De utroque infra cap. 9.

(47) Infra n. 57, factus episcopus Jamniæ, interfuit synodo Chalcedonensi an. Ch 457.

(48) Fuit hegumenus monasterii S. Mennæ, ut dicitur n. 87.

(49) Infra num. 97 constituitur episcopus Medaborum.

(50) Episcopus Saracenorum dicitur infra n. 72; interfuit synodo Chalcedonensi. De Raitho dictum 14 Januarii.

'Ραιθοῦ πρεσβύτερον, καὶ Ἀνατόλιον, καὶ Θαλάσσιον· ἑξῆς δὲ καὶ Κυρίωνα ἐκ Τιβεριάδος τινά, πρεσβύτερον καὶ αὐτὸν τοῦ ἐν Σκυθοπόλει ναοῦ, ὃς τῷ μάρτυρι καθίδρυται Βασιλείῳ· τούτους οὖν προσδεξάμενος, τὸν ἐπίσκοπον προτρέπεται Πέτρον, δείμασθαί τε αὐτοῖς κελλία μικρά, καὶ τὸν ναὸν ἐπιτερπῶς ἄγαν διακοσμῆσαι. Καὶ οὕτως ἐν βραχεῖ λαύραν ἐκεῖσε συνίστησι, τῆς ἐν Φαρὰν οὐδὲν ἀπολειπομένην.

ΜΒ'. Ἔπειτα μέντοι καὶ αὐτὸς Ἰουβενάλιος ὁ πατριάρχης, Πασσαρίωνα τὸν ἐν ἁγίοις, χωρεπίσκοπον τότε ὄντα, καὶ Ἡσύχιον τὸν πρεσβύτερον παραλαβών, κάτεισι πρὸς τὴν λαύραν, καὶ τὸν ἐν αὐτῇ ναὸν ἐγκαινίζει, δύο καὶ πεντήκοντα τοῦ Εὐθυμίου γεγονότος χρόνους [k]· χειροτονεῖ δὲ καὶ διακόνους, Δομετιανόν τε καὶ Δόμνον, ἤδη πρεσβυτέρων αὐτῷ ἀποκεκληρωμένων, Ἰωάννου τε καὶ Κυρίωνος. Πρὸς ταῦτα ἔχαιρεν ὁ μέγας Εὐθύμιος, καὶ μεστὴν εἶχε τὴν ψυχὴν εὐθυμίας, καὶ μάλιστα ὅτι καὶ Πασσαρίωνα σὺν τῷ πατριάρχῃ, καὶ Ἡσύχιον τὸν θεῖον, τοὺς τοῦ λοιποῦ τῶν ἀσκητῶν χοροῦ τηνικαῦτα προλάμποντας, ἐν τῇ λαύρᾳ διάγοντας ἐθεᾶτο. Ἀλλ' ὁ μὲν ἐν ἁγίοις Πασσαρίων, οὔπω ἕβδομον ἐξ ἐκείνου μῆνα διατελέσας, ἐν γήρᾳ βαθεῖ καταλύει τὸν βίον.

ΜΓ'. Τοῦ δὲ μεγάλου τούτου καὶ θαυμαστοῦ Εὐθυμίου, καὶ τῶν σὺν αὐτῷ ἀδελφῶν, πολλῇ κατὰ τὴν νέαν ἐκείνην λαύραν τῇ τῶν ἀναγκαίων ἐνδείᾳ πιεζομένων, ἡ τοῦ Θεοῦ πρόνοια τῶν ἑαυτῆς οὐκ ἠμέλει, καὶ ἡ ἀνοιγομένη χείρ, καὶ πᾶν ζῶον εὐδοκίας πληροῦσα, οἰκονομίᾳ δὴ θαυμαστῇ καὶ τὰ νῦν διηνοίγετο. Συμβαίνει γὰρ πλῆθος Ἀρμενίων, οὐκ ἔλαττον ἢ τετρακοσίους [l] τὸν ἀριθμόν, ἐπὶ τὸν Ἰορ-

A rum, et Anatolium (51), et Thalassium (52): deinceps autem Cyrionem quemdam ex Tiberiade, ipsum quoque presbyterum templi, quod Scythopoli (53) dedicatum est martyri Basilio. Cum ergo eos admisisset, Petrum adhortatur episcopum, ut eis parvas cellas construat, et templum scite admodum adornet. Atque ita brevi illic lauram constituit, illa quæ est in Pharan nihilo inferiorem.

XLII. Postea vero et ipse Juvenalis patriarcha, assumens secum sanctum Passarionem (54), qui tunc erat chorepiscopus, et Hesychium (55) presbyterum, ad lauram proficiscitur, templumque illius dedicat (56); Euthymio agente annum ætatis quinquagesimum secundum; diaconos quoque ordinat Domitia- B num et Domnum, cum in presbyterorum gradum jam ab eo relati fuissent Joannes et Cyrion. Propter hæc magnus gaudebat Euthymius, et tranquilla hilaritate plenam habebat animam; maxime quod Passarionem cum patriarcha, et divinum Heschium, qui tunc temporis in reliquo ascetarum choro prælucebant, in laura degentes cerneret. Sed sanctus quidem Passario, nondum septimo post illud tempus mense transacto, e vivis excedit in profunda senectute.

XLIII Cum hic autem magnus et admirabilis Euthymius, et qui cum eo erant fratres, in nova illa laura, premerentur magna rerum necessariarum egestate, Dei providentia non abjecit curam suorum, et manus quæ aperitur, ac implet omne animal benedictione [2], admirabili sane dispensatione tunc C quoque aperta est. Accidit enim, ut multitudo Armeniorum, non minus quam quadringentorum nu-

[2] Psal. CLIV, 16.

VARIÆ LECTIONES.

[k] χρόνων. [l] al. τετρακοσίων:

JOAN. BOLLANDI NOTÆ

(51) Anatolius presbyter hospitio excepit S. Quiriacum an. Ch. 475.

(52) Alius ab hoc Thalassius colitur 22 Februarii, Pater spiritualis S. Limnæi. Lege c. 22 Theodoreti in Philo heo.

(53) Scythopolis, olim Betzan, in Judææ et Galilææ confinibus, apud Jordanis fluvii ex lacu Genesareth exitum, a Tiberiade parum in Austrum recedens. Ejus infra sæpe fit mentio. Cui Basilio Martyri hic templum fuerit consecratum, necdum legimus, plures alioquin Basilios hoc opere daturi. De templo S. Procopii Martyris, et basilica S. Thomæ Apostoli in eadem urbe Scythopolitana agit in Vita S. Sabæ Cyrillus, ex ea oriundus.

(54) S. Passarionis hospitio Hierosolymis exceptus dicitur, quo tamen die colatur, necdum nos legere meminimus.

(55) Hesychii presbyteri Hierosolymitani encomion in B. Thomam citat Photius in Bibliotheca tmemate 269. Eumdem tmem. 275 scribit se legisse in Jacobum fratrem Domini et Davidem τὸν θεοπάτορα. Hesychii quoque presbyteri Hierosolymitani oratio demonstrativa in S. Andream Apostolum, Carolo Fabiano interprete, edita est Lugduni apud Thomam Galletum, atque inde in Bibliotheca Patrum Coloniæ tom. 15, sive in Auctario, et Hesychii presbyteri Hierosolymitani sermones duo de C. Virgine, exstant in Bibliotheca Patrum editionum Parisiensis triplicis, et Coloniensis. Demum Rabanus Maurus in prologo in Leviticum ad Freculphum, episcopum Lexoviensem, ita scribit: «Reperi hunc librum a venerabili Presbytero Hierosolymorum Esychio satis plene expositum:» ex quo ipse Rabanus multa colligit, ut Glossa ordinaria in Leviticum præfatur. Exstat Parisiis excusus, et tomo seu sæculo 7 Bibliothecæ Patrum ex edit. Colon. Scripsit etiam in Ezechielem commentarios, quorum in præfatione in Leviticum mentionem facit; item in epistolam ad Hebræos, ut monet Sixtus Senensis Bibliothecæ sanctæ lib. 4, a quo dicitur B. Gregorii Nazianzeni Episcopi auditor et discipulus, claruisse sub Honorio Augusto an. Dom. 400. Quæ prorsus huic Hesichio judicemus convenire: quem proinde Euthymius in Passarionis aliorumque præclarorum virorum comitatu in Laura cernens, merito gavisus D est. Alius est Moscho cap 46. B. Ischius Presbyter Hierosolymitanæ Ecclesiæ, qui deinde patriarcha Hierosolymitanus successit Amos an. Chr. 601 secundum calculum Baronii n. 14 obiit an. Ch. 609 cui. successit S. Zacharias, ut ibidem Baronius n. 5 Exstat S. Gregorii Papæ ad eum epistola 40. libri 9, ex Registro, ubi in editionibus omnibus, Gallotii, Pamelii. et Sixti V. Isychius appellatur; Nicephoro in Chronico Isaacius. Huic Glossa ordinaria, quod alius Hesychius ignoraretur, attribuit commentarios in Leviticum; secuti deinde Possevinus. Bellarminus, Miræus aliique, licet nusquam episcopum, aut patriarcham, sed presbyterum sæpius semet appellet, cui Photius et Rabanus et operum tituli, sive inscriptiones, consentiunt.

(56) An. Ch. 429.

mero, ad Jordanem a sancta civitate descendens, dextera de itinere declinaret, perinde ac aliquo eis viam præeunte, et ad lauram illam accederet; hoc etiam, ut arbitror, sapienter disponente Providentia, quo magna patris virtus adhuc clarior evaderet. Quos videns magnus ille eo luci divertisse, ut se a labore itineris aliquantisper recrearent, vocat Domitianum, cui commiserat lauræ rerum dispensationem, atque jubet ut eis mensam apponat. Cum is autem objiceret egestatem, et respondisset se ne unius quidem diei fratrum habere alimentum, ille eo fretus qui viduæ copiosum effudit nutrimentum propter abundantiam bonæ ejus voluntatis [3] præcipit Domitiano ire ad panarium. Intelliges enim, inquit, quid sibi quidem velint humanæ cogitationes, quid vero divina possit gratia opinionem dispensare ac providere.

XLIV. Et ille cedens statim, et accedens, (o inenarrabilia tua, Christe, miracula!) invenit divina quadam et sapiente providentia, ædem panibus adeo plenam, ut ne facile quidem esset parum aperire ostium, prohibitum nempe multitudine intus positorum. Vocatis ergo aliis fratribus, et eorum opera everso ostio, videt ea quæ erant intus, innumerabilem panum multitudinem; ad hæc vini, inquam, et olei ingentem copiam, atque omnino convenientem Euthymii in dando magnificentiæ.

XLV. Hæc ut vidit Domitianus, divinæ gratiæ operationem intelligens, procedit ad pedes magni, veniam petiit, et parcitatis sordes vehementi rependit pœnitentia. Ille vero cum Domitiano benignam et mentem et manum porrexisset, ipsumque elevasset, o fili, inquit, *qui seminat in benedictionibus, in benedictionibus et metet* [4]. Qui ergo accedentibus commune tectum præbent et sal, nescientes sibi potius comparant copiosam suppeditationem, nec tantum dant quantum accipiunt. Quod quidem a vobis quoque servandum est, fratres, si Deo estis gratificaturi, et plurima rerum necessariarum suppeditatione semper abundaturi. Hinc bonorum acervus, ut aiunt, constitit, resque lauræ cœperunt vigere ac exuberare: quando quidem fratrum numerus ad quinquaginta pervenit, et unicuique eorum cella fuit ædificata; atque sacra mysteria quotidie peragebantur.

XLVI. Porro is cui credita fuerat dispensatio, dum cogitat, ad tantum fratrum multitudinem multo etiam sibi opus fore ministerio, mulos quoque paravit lauræ. Erat autem quidam in ea Asianus genere, nomine Auxentius, qui erat aptus ad mulorum ministerium. Is ergo ab hoc œconomo rogatus, ut illam subire administrationem differebat, et non obediebat. Sed cum res esset ad usum necessaria. Joannem et Cyrionem presbyteros secum accipiens œconomus, iterum cum iis rogabat Auxentium.

A δάνην ἀπὸ τῆς ἁγίας πόλεως κατιοῦσαν, ἐκκλῖναί τε τῆς ὁδοῦ δεξιᾷ, καθάπερ τινὸς αὐτοῖς τῆς πορείας προηγουμένου, καὶ εἰς τὴν λαύραν ἐκείνην παραγενέσθαι· τῆς Προνοίας οἶμαι καὶ τοῦτο σοφῶς οἰκονομούσης, ὥστε τὴν μεγάλην τοῦ Πατρὸς ἀρετὴν, λαμπροτέραν ἔτι καταστῆναι. Οὓς ἰδὼν ὁ μέγας ἐκεῖ καταλύσαντας, ὥστε τὸν ἐκ τῆς ὁδοῦ κόπον βραχύ τι διαναπαῦσαι, καλεῖ Δομετιανὸν, οἰκονομεῖν τὰ τῆς λαύρας ὑπ' αὐτοῦ προκεχειρισμένον, καὶ παραθεῖναι τούτοις τράπεζαν ἐπαγγέλλει. Τοῦ δὲ προβαλλομένου τὴν ἔνδειαν, καὶ ὡς οὐδὲ τὴν ἐφήμερον ἔχοι τῶν ἀδελφῶν τροφὴν ἀποκριναμένου, θαῤῥῶν ἐκεῖνος τῷ καὶ χήρᾳ τροφὴν πλουσίαν δι' ἀφθονίαν πηγάσαντι προαιρέσεως, πορευθῆναι παρὰ τὸ ἀρτοφυλακεῖον [m] B ἐντέλλεται Δομετιανῷ. Εἴσῃ γὰρ ἔφη, τί μὲν ἀνθρώπινοι βούλονται λογισμοὶ, τί δὲ θεία δύναται χάρις παραδόξως οἰκονομεῖν.

ΜΔ'. Καὶ ὃς εἴξας εὐθὺς καὶ παραγενόμενος· τῶν ἀνεκδιηγήτων σου, Χριστὲ, θαυμασίων, εὑρίσκει θείᾳ τινὶ καὶ σοφῇ προνοίᾳ τὴν οἰκίαν οὕτως ἄρτων μεστὴν, ὡς μηδὲ τὴν θύραν μικρόν τι παρανοῖξαι ῥᾴδιον ὂν, τῷ πλήθει τῶν ἔνδον ἀνειργομένην. Καλέσας τοίνυν καὶ ἄλλους τῶν ἀδελφῶν, καὶ τὴν θύραν σὺν αὐτοῖς ἀνατρέψας, ὁρᾷ τὰ ἔνδον, ἀμύθητόν τι πλῆθος ἄρτων· οἴνου τε, φημὶ, καὶ ἐλαίου πολλὴν ἀφθονίαν, καὶ ἀνάλογον τῇ περὶ τὸ διδόναι πάντως Εὐθυμίου φιλοτιμίᾳ.

ΜΕ'. Ταῦτα Δομετιανὸς ἰδὼν, καὶ τῆς θείας χάριτος συμβαλὼν τὴν ἐνέργειαν, πίπτει πρὸς τοῖς ποσὶ C τοῦ μεγάλου, συγγνώμην αἰτῶν, καὶ μικρολογίας ἀντιδιδοὺς μετανοίας θερμότητα. Κἀκεῖνος εὐμενῆ τε Δομετιανῷ καὶ γνώμην καὶ χεῖρα ὀρέξας, κατ' αὐτὸν ἀναστήσας, Ὦ τέκνον, ἔφη, ὁ σπείρων ἐπὶ εὐλογίαις, ἐπ' εὐλογίαις καὶ θερίσει. Οἱ γοῦν κοινὴν τοῖς παριοῦσι τὴν στέγην καὶ τοὺς ἅλας ποιούμενοι, λανθάνουσι δαψιλῆ μᾶλλον ἑαυτοῖς περιποιοῦντες τὴν χορηγίαν, καὶ μὴ τοσοῦτον διδόντες ὅσον λαμβάνουσιν. Ὅπερ ἀδελφοὶ καὶ ὑμῖν φυλακτέον, εἰ μέλλοιτε καὶ Θεῷ χαρίζεσθαι, καὶ πολλῇ πάντοτε [n] κομᾷν τῶν ἀναγκαίων τῇ χορηγίᾳ. Ἐντεῦθεν ἀγαθῶν σωρὸς, τὸ τοῦ λόγου, συνέστη, καὶ τὰ τῆς λαύρας εὐθηνεῖν ἤρχετο καὶ εἰς πλῆθος ἐπιδιδόναι· ὅτε τῶν ἀδελφῶν ἀριθμὸς, εἰς πεντήκοντα περιέστη, ἑκάστῳ τε αὐD τῶν κελλίον ᾠκοδομήθη· καὶ τὰ τῆς ἱερᾶς καθεκάστην ἐτελεῖτο μυσταγωγίας.

ΜϚ'. Ἐννοῶν δὲ ὁ τὴν οἰκονομίαν ἐγχειρισθεὶς, ὅτι πρὸς οὕτω πολὺ τῶν ἀδελφῶν πλῆθος, πολλῆς αὐτῷ καὶ ὑπηρεσίας δεήσει, προσεκτήσατο τῇ λαύρᾳ, καὶ ἡμιόνους. Ἦν δέ τις ἐν αὐτῇ τὸ γένος Ἀσιανὸς, τὴν κλῆσιν Αὐξέντιος, ἐπιτηδείως ἔχων πρὸς τὴν τῶν ἡμιόνων διακονίαν. Οὗτος οὗτος ὑπὸ τοῦδε τοῦ οἰκονόμου παρακαλούμενος, ὥστε τὴν λειτουργίαν ὑπελθεῖν ταύτην, ἀνεβάλλετο καὶ οὐχ ὑπήκουεν. Ἀναγκαίου δὲ καὶ χρησίμου τοῦ πράγματος ὄντος, παραλαβὼν καὶ Ἰωάννην μεθ' ἑαυτοῦ καὶ Κυρίωνα

[3] III Reg. XVII, 3. [4] II Cor. IX, 6.

VARIÆ LECTIONES.

[m] al. ἀρτοφυλάκιον. [n] al. πάντοθεν.

τοὺς πρεσβυτέρους ὁ οἰκονόμος, ἠξίου καὶ αὖθις σὺν καὶ αὐτοῖς τὸν Αὐξέντιον. Ἐπεὶ δὲ καὶ οὕτως ἀνήκοος ἦν, τοῦ Σαββάτου ἤδη διαγεγονότος, ἡνίκα τῷ μεγάλῳ ἐξῆν ἐντυχεῖν, ἀναφέρει τὰ κατὰ τὸν Αὐξέντιον αὐτῷ πάντα ὁ οἰκονόμος. Κἀκεῖνος μεταστέλλεται μὲν εὐθέως τὸν ἀδελφὸν [a], ὑπακούειν δὲ παραινεῖ, καὶ μὴ οὕτως ἀνένδοτον εἶναι καὶ ἀπειθῆ, τῷ ἰδίῳ μόνῳ στοιχοῦντα θελήματι, καὶ τὴν κοινὴν τοῖς ἀδελφοῖς χρησιμεύουσαν διακονίαν ἀποποιούμενον. Τοῦ δὲ μηδὲ παράκλησιν, μηδὲ μόνην ὄψιν αἰδεσθέντος τοιαύτην, ἀλλὰ καὶ οὕτως ἀναδυομένου σαφῶς, καὶ ποίαν οὐχὶ κινοῦντος πρόφασιν, ἵνα μόνον θέλημα τὸ ἑαυτοῦ κύριον δείξῃ· καὶ νῦν μὲν τὸ ἀλλοδαπὸν εἶναι καὶ τῆς ἐπιχωρίου φωνῆς ἀνομίλητον αἰτιωμένου, νῦν δὲ τὰς τῆς σαρκὸς ἐπιβουλὰς καὶ τὰς ποικίλας τοῦ πονηροῦ [p] τέχνας· Μήποτέ με, φησὶν, ἔξω τῶν ὑμετέρων ὀφθαλμῶν ἐφευρὼν ὑποσκελίσῃ, καὶ κακίας τῆς ἑαυτοῦ ἔργον δείξῃ· πρὸς δὲ, καὶ ὅπως μὴ φροντίσι καὶ θορύβοις συνεθισθεὶς, ἀπᾴδων τοῦ λοιποῦ καὶ ἀσύμφωνος πρὸς ἡσυχίαν καὶ γαλήνην ψυχῆς διαμείνω.

ΜΖʹ. Τοιαῦτα λέγοντος, καὶ τὴν τῆς ψυχῆς βλάβην ὡς δυσωπῆσαι ἱκανὴν οὖσαν προβαλλομένου, ὁ μέγας πάλιν Εὐθύμιος, Ἀλλὰ δεησόμεθα, ὦ τέκνον, φησὶ, τοῦ Θεοῦ ὥστε μηδενὶ τῶν βλαπτόντων, διὰ τὴν ὑπακοὴν ἁλώσιμον ὀφθῆναί σε. Αὐτοῦ γάρ ἐστιν ἡ φωνή· Οὐκ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι. Καί· Οὐ ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός. Πρὸς ταῦτα ἔτι μᾶλλον τραχυνομένου τοῦ Αὐξεντίου καὶ μηδαμῶς εἴκοντος, βαρύτερον αὐτῷ προσενεχθεὶς ὁ θεῖος Εὐθύμιος, Ἡμεῖς μὲν, ὦ τέκνον, εἶπεν, ὅπερ δὲ καὶ αὐτῷ σοι λυσιτελεῖν ἐδόκει, συνεβουλεύσαμεν· σὺ δὲ μένων ἐπὶ τῆς αὐτῆς ἀπειθείας, ὅσον οὔπω τίς ὁ τῆς ἀπειθείας καρπὸς εἴσῃ. Οὔπω τέλος εἶχε τῷ μεγάλῳ τὰ εἰρημένα, καὶ κλόνον οὐκ οἶδ' ὅθεν ὁ Αὐξέντιος τοῦ σώματος ὑποστὰς, ἄθλιος ἐπὶ τὴν γῆν καταπίπτει, δακρύων διὰ τὴν συμφορὰν μόνον [q] ἄξιος. Οἱ γοῦν παρόντες τῶν ἀδελφῶν, ἐπικλασθέντες αὐτῷ τὰς ψυχὰς οὕτως ἐλεεινῶς ἔχοντι, ἐδέοντο Εὐθυμίου, ἱκέτευον, ἠντιβόλουν, βοηθῆσαι κειμένῳ, καὶ παρακοῆς ὑποστάντι πονηρὰν ἔκτισιν. Ὁ δὲ, πρὸς οὕτως ἀπειθῆ καὶ ἀνήκοον, ἕτοιμος ἦν ὑπακούειν. Καὶ λαβόμενος αὐτοῦ τῶν χειρῶν, ἀνίστησι τὸν Αὐξέντιον, ὑπότρομον ἔτι, καὶ διὰ πάντων μικροῦ τῶν μελῶν τὴν τιμωρίαν ὑπέχοντα. Εἶτα καὶ καθάπερ τι φάρμακον αὐτῷ τὸ τοῦ σταυροῦ σημεῖον ἐπιβαλὼν, λύει τῷ ἀνθρώπῳ τὸ πάθος, καὶ ὑγιᾶ παραχρῆμα δείκνυσιν.

ΜΗʹ. Ἀνενεγκὼν οὖν ὁ Αὐξέντιος, καὶ τῆς μὲν παρακοῆς εἰς μνήμην ἐλθὼν, συνεὶς δὲ καὶ τὸ κατασκῆψαν εἰς αὐτὸν πάθος, καὶ ὅτι μόνης ἦν ἀπειθείας ἔργον μὴ ἀγνοήσας, ἔτι μείζονα δίκην ὑπὸ τοῦ συνειδότος ἐπράττετο, καὶ μεταμέλειά τις αὐτὸν εἰσῄει δεινή. Ἀμέλει καὶ προσπίπτει τῷ Εὐθυμίῳ· τοῦτο μὲν συγγνώμην τῶν ἤδη γεγενημένων αἰτῶν,

quia vero sic quoque inobsequens erat, et jam advenerat Sabbatum, quo tempore licebat magnum convenire, omnia de Auxentio ei refert œconomus. Et ille quidem fratrem statim arcessit; suadet autem ut obediat, neve sit adeo contumax et inobediens, propriam duntaxat sequendo voluntatem, et ministerium fratribus communiter utile recusando. Is vero nec adhortationem, nec vel talem solum adspectum reveritus, sed etiam sic aperte detrectabat, et quem non prætextum afferebat, ut solam voluntatem suam dominam ostenderet; et nunc quidem causabatur se esse alienigenam, nec peritum sermonis regionis illius; nunc vero carnis insidias variasque maligni artes: Ne forte, inquit, me extra oculos vestros inventum supplantet, ac suæ malitiæ opus exhibeat; ad hæc ne assuefactus curis et tumultibus, de cætero permaneam discrepans et dissonus ad animi quietem et tranquillitatem.

XLVII. Cum hæc diceret, et animæ noxam ut ad movendum idoneam, proferret, magnus iterum Euthymius: Sed Deum, inquit, orabimus, o fili, ut propter obedientiam, a nullo ex iis quæ lædunt, captus videaris. Ejus enim vox est: *Non veni ministrari, sed ministrare* [5]. Et: *Non facio voluntatem meam, sed voluntatem ejus qui misit me Patris* [6]. Ad ista adhuc magis exasperato Auxentio, et nequaquam cedente, gravius in eum invehens divinus Euthymius: Nos quidem, o fili, inquit, quod tibi ipsi quoque esse conducibile videbatur, consuluimus: tu autem in eadem manens inobedientia, mox scies, quisnam sit inobedientiæ fructus. Nondum horum dictorum magnus finem fecerat, et concussum corporis nescio unde passus Auxentius, miser in terram decidit, solum dignus lacrymis propter calamitatem. Qui ergo aderant ex fratribus, fracti animis super eo tam misere affecto, rogabant Euthymium, supplicabant, obsecrabant, ut opem ferret jacenti, gravemque perpesso inobedientiæ pœnam. Is vero erga adeo contumacem et inobedientem, paratus erat obedire; ac ejus manibus prehensis, erigit Auxentium, tremebundum adhuc, et per omnia fere membra pœnas pendentem. Deinde cum signum crucis, instar cujusdam medicamenti, ei immisisset, solvit hominem ab ea affectione, statimque sanum reddit.

XLVIII. Recreatus itaque Auxentius, et inobedientiæ quidem recordatus, intelligens vero calamitatem quæ ei incubuerat, nec inscius opus fuisse solius contumaciæ, majores adhuc luebat pœnas a conscientia, gravisque eum subiit pœnitentia. Quare ad pedes procidit Euthymii; partim petens veniam jam actorum, partim in futurum securitatem. Cum

[5] Matth. xx, 28. [6] Joan. v, 30.

VARIÆ LECTIONES.

[a] al. add. [p] al. ἐχθροῦ. [q] al. μόνων.

is vero ei statim ignovisset (anima enim quæ vix tandem ad iram conversa fuerat, quomodo non fuisset prompte cursura ad commiserationem ?), et futurum tempus per orationem communiisset, ille cum voluptate et animi alacritate suscipit mulorum ministerium. Sic *disciplina Domini*[7], ut cum divina Scriptura loquar, et *aures aperit;* et plane adjicit intelligentiam. Et qui antequam deprimeretur humilisque redderetur, contumaciæ peccatum admiserat, post depressionem humilitatemque ex disciplina ortam, cognitus fuit ad obedientiam promptus. Hæc mihi anachoreta Cyriacus (57) ille qui ab ineunte quidem ætate tonsus fuerat in cœnobio Euthymii (58), postquam autem cum ejus (59) successoribus satis longo tempore esset versatus, omnemque ab eis viri et exercitationem, et vitæ rationem accurate didicisset, postea in laura veteris Sucæ (60) septuaginta (61) fere totis annis se exercuit, omni virtute ac honestæ vitæ præclaris factis admodum illustris.

XLIX. Et aliud autem ipse mihi retulit, quod duo ex fratribus, Maro et Clematius, ad austeritatem vitæ ac disciplinæ in laura observatæ fatiscentes, inter se convenerunt, ut illinc clanculum effugerent, et se noctu furtim subriperent. Hæc illi quidem communi consensu loquebantur et apud se cogitabant : sed qui secreta aperit, et iis qui sunt dedicati, dicit per Isaiam : *Non erit tibi amplius sol in lucem diei, neque ortus lunæ illuminabit tibi noctem ; sed erit tibi Dominus lux sempiterna* [8] : ipse hoc quoque manifestum facit famulo suo. Facit autem hoc pacto. In quiete enim degenti aliquando huic magno et admirabili Euthymio visus est malignus. Maroni et Clematio, tanquam ob oculos sancto assistentibus, frenum injicere, eosque in laqueum trahere gravissimum.

L. Is vero statim intellectis insidiis, arcessit fratres Maronem et Clematium, eosque hortatur, admonet, rogat, docet, alloquitur, et prolixam orationem habet de tolerantia, quodque opus sit ubique plurima custodia et cautione. Deinde in exemplum eis adducit Adamum et Jobum ; illum quidem in paradiso mandati violatorem, hunc vero omnigenæ virtutis, in sterquilinio demonstratorem. Neque hæc prætermittens, quod oportet monachum nequa-

A τοῦτο δὲ καὶ πρὸς τὸ μέλλον ἀσφάλειαν. Τοῦ δὲ καὶ συγγνόντος εὐθέως αὐτῷ (ἡ γὰρ πρὸς ὀργὴν τραπεῖσα μόλις ψυχὴ, πῶς οὐκ ἔμελλεν ἑτοίμως δραμεῖν εἰς συμπάθειαν ;), καὶ τὸ μέλλον δι' εὐχῆς ἀσφαλισαμένου, μεθ' ἡδονῆς ἐκεῖνος καὶ προθυμίας τὴν τῶν ἡμιόνων ἀναιρεῖται διακονίαν. Οὕτως ἡ παιδεία Κυρίου, κατὰ τὴν θείαν φάναι Γραφὴν, ἀνάγει τε τὰ ὦτα, καὶ νοῦν ἀκριβῶς προστίθησι. Καὶ ὁ πρὸ τοῦ ταπεινωθῆναι τὴν ἀπείθειαν πλημμελήσας, μετὰ τὴν ἐκ παιδείας ταπείνωσιν, ἕτοιμος πρὸς ὑπακοὴν ἐγνωρίζετο. Ταῦτά μοι ὁ ἀναχωρητὴς Κυριακὸς διηγήσατο, Κυριακὸς ἐκεῖνος, ὃς ἐκ νέου μὲν τῷ τοῦ μεγάλου Εὐθυμίου ἐναπεκείρατο κοινωβίῳ, τοῖς ἐκείνου δὲ διαδόχοις χρόνον ἱκανὸν συγγενόμενος, καὶ πᾶσαν παρ' αὐτῶν τοῦ ἀνδρὸς ἄσκησίν τε καὶ πολιτείαν πρὸς ἀκρίβειαν ἐκμαθὼν, B ὕστερον πρὸς τῇ λαύρᾳ τοῦ παλαιοῦ Σουκᾶ παρ' ὅλους ἑβδομήκοντα σχεδὸν ἐνιαυτοὺς ἤσκησεν, ἀρετῇ πάσῃ καὶ βίου σεμνοῦ κατορθώμασιν ἐπιφανῶς διαλάμψας.

ΜΘ'. Κἀκεῖνο δέ μοι ὁ αὐτὸς διηγήσατο, ὅτι δύο τινὲς τῶν ἀδελφῶν, Μάρων τε καὶ Κλημάτιος, πρὸς τὸ τραχὺ τῆς κατὰ τὴν λαύραν ἀγωγῆς καὶ διαίτης ἀπαγορεύσαντες, συνθήκας ἔθεντο πρὸς ἀλλήλους, λαθραίως ἐκεῖθεν ἐκφυγεῖν, καὶ ὑπὸ νύκτα κλέψαι τὴν ἀναχώρησιν. Ταῦτα οἱ μὲν ἐκοινολογοῦντο καὶ καθ' ἑαυτοὺς διεσκέπτοντο· ἀλλ' ὁ ἀνακαλύπτων βαθέα, καὶ τοῖς ἀνακειμένοις αὐτῷ διὰ Ἡσαΐου φάσκων, ὅτι Οὐκ ἔσται σοι ἔτι ὁ ἥλιος εἰς φῶς ἡμέρας, οὐδὲ ἀνατολὴ σελήνης φωτιεῖ σοι τὴν νύ- C κτα, ἀλλ' ἔσται σοι Κύριος φῶς αἰώνιον, αὐτὸς ἔκδηλον καὶ τοῦτο ποιεῖ τῷ οἰκείῳ θεράποντι. Ποιεῖ δὲ ὧδε. Ἡσυχάζοντι γάρ ποτε τῷ μεγάλῳ τούτῳ καὶ θαυμαστῷ Εὐθυμίῳ, ἐῴκει Μάρωνί τε καὶ Κληματίῳ χαλινὸν ἐμβαλεῖν ὁ πονηρὸς, καθάπερ ὑφ' ὀφθαλμοὺς τῷ ἁγίῳ παρισταμένοις [r], καὶ εἰς παγίδα τούτους ἕλκειν χαλεπωτάτην.

Ν'. Ὁ δὲ, συμβαλὼν εὐθὺς τὴν ἐπιβουλὴν, μετακαλεῖται τοὺς ἀδελφοὺς, Μάρωνα καὶ Κλημάτιον, παραινῶν αὐτοῖς, νουθετῶν, παρακαλῶν, διδάσκων, διαλεγόμενος, μακροὺς περὶ ὑπομονῆς ἀποτείνων λόγους, καὶ ὅτι πολλῆς πανταχοῦ φυλακῆς χρεία καὶ ἀσφαλείας· εἶτα καὶ τὸν Ἀδὰμ αὐτοῖς ὑπόδειγμα παράγων, καὶ τὸν Ἰὼβ, τὸν μὲν ἐν παραδείσῳ τὴν ἐντολὴν ἀθε- D τήσαντα, τὸν δὲ καὶ πᾶν ἀρετῆς εἶδος ἐπὶ κοπρίας ἀποδειξάμενον [s]· οὐδὲ αὐτὰ παραλείπων, ὅτι δεῖ

[7] Isa. L, 5. [8] Isa LX, 19.

VARIÆ LECTIONES.

[r] al. παρισταμένους. [s] al. ἐπιδειξάμενον.

JOAN. BOLLANDI NOTÆ.

(57) De S. Cyriaco, sive Quiriaco, actum est in prolegom. n. 9. De ejus ætate num. 12 et seqq. Vitam dabimus 29 Septemb.

(58) Ab ipso S. Euthymio; « cujus beatæ manus sacrum ejus caput tetigerunt, simul quidem eum monastico induentes habitu, et in eum vocantes uberiorem Spiritus operationem. » Acta ejus. Id factum anno Ch. 465

(59) A S. Euthymio, quod imberbis esset, missus fuit ad S. Gerasimum : a cujus obitu rediit ad lauram S. Euthymii anno 475, mansitque istic annis 10 ut in ejus Actis legitur.

(60) De ea actum num. 2 in proleg. additur veteris ob *Lauram novam*, non procul inde exstructam.

(61) Hi septuaginta anni censentur a discessu e monasterio S. Euthymii : e quibus ministravit 39 annos in laura Sucæ; 10 transegit in solitudinibus partim Natupha, partim Ruba; 7 mansit in Susacim; 5 in spelunca S. Charitonis; et rursus 8 in Susacim; ac tandem 2 annis transactis in antro S. Charitonis, obiit. Ita ejus Acta.

τὸν μοναχὸν ἀπαράδεκτον εἶναι τῶν ἐκ τοῦ πονηροῦ λογισμῶν, κἂν λύπην ἐκεῖνος, κἂν μῖσος, κἂν ἀκηδίαν [t], κἂν ἑτέρωθι μετάβασιν ὑποβάλοι, μηδὲ τὴν ἀρχὴν αὐτῷ μηδόλως τὴν διάνοιαν ἀνιέναι· ἀλλὰ διακρούεσθαι ταῦτα καὶ ἀπωθεῖσθαι πάσῃ χειρί· μήποτε λάθῃ διὰ μεθοδείας ὑποσκελίσας ἡμᾶς, καὶ πτῶμα ῥίψας δακρύων ἄξιον. Εἰ δέ τις ἐνταῦθα τυχὸν ἀρετὴν ἀσκῆσαι μὴ δύναιτο, μὴ νομιζέτω ἀλλαχοῦ μεταβὰς, ῥᾷον κατορθῶσαι τὸ σπουδαζόμενον. Οὐ γὰρ παρὰ τὴν τοῦ τόπου φύσιν, ἀλλὰ παρὰ τὴν οἰκείαν ἡμῶν προαίρεσιν ἡ τοῦ ἀγαθοῦ ἐργασία. Τοὐναντίον μὲν οὖν καὶ σφαλερὸν τοῦτο τοῖς μοναχοῖς, καὶ ἀτόνους αὐτοὺς καὶ ἀρετῶν ἀκάρπους ποιεῖν δυνάμενον. Ἐπεὶ μηδὲ φυτὸν οἷόν τε καρποφορεῖν, συνεχῶς μεταφυτευόμενον.

B ΝΑ'. Πρὸς πλείονα δὲ τῶν εἰρημένων πίστιν, καί τινων γερόντων αὐτοῖς Αἰγυπτίων ἐπεξῄει [u] διήγημα. Ἔλεγεν οὖν, ὡς ἦν τις ἀδελφὸς ἐν Αἰγύπτῳ, ἐν κοινοβίῳ τινὶ καθήμενος, ὃς συνεχῶς εἰς θυμὸν ἐκφερόμενος, ἠγριοῦτο καὶ ἐταράττετο, καὶ πικρίας τὸ στόμα καὶ ὀργῆς ἐπίμπλατο. Λαβοῦσα δέ τις αὐτὸν μεταμέλεια, ὡς εἴη διὰ τοῦ θυμοῦ τοῦδε καὶ τῆς πρὸς τὴν ταραχὴν εὐκολίας ἑαυτῷ πολεμῶν, καὶ εἴ πού τι καὶ καλὸν ἤδη φθάσας ἐκτήσατο, καὶ τοῦτο προσαπολλὺς, πείθει τοῦ κοινοβίου ἀναχωρῆσαι καὶ μόνον δὴ καὶ καθ' ἑαυτὸν ἡσύχως διαβιῶναι· ἅτε πολλὰ τῆς ἐρημίας πρὸς γαλήνην αὐτῷ καὶ ἀταραξίαν συνάρασθαι δυναμένης. Ὤετο γὰρ, ὡς ἄρα μηδενὸς ὑπόντος πρὸς ὃν ἂν καὶ θυμωθείη, καὶ καθ' οὗ ἂν τῇ ὀργῇ χρήσαιτο, σβεσθήσεται πάντως C ἠρέμα τὸ δεινὸν ἐκεῖνο καὶ ὀξύτατα ἀναπτόμενον τοῦ θυμοῦ πῦρ, καὶ τὸ λοιπὸν ἥμερος αὐτὸς ἔσται καὶ γαλήνης πάσης καὶ ἡσυχίας [v] μεστός. Ταῦτα λογισάμενον ἐκεῖνον, τὸ ἑξῆς ἀποστάντα τοῦ κοινοβίου, μόνον ἐφ' ἡσυχίας διάγειν· καί ποτε κατὰ χρείαν τινὰ, τὸ ποτήριον ὑποπλήσαντα ὕδατος, καί τι μικρὸν αὐτὸ πρὸς τῷ ἐδάφει θελήσαντα καταθεῖναι, τέχνῃ τινὶ τοῦ πονηροῦ τοῦτο περιστραφῆναι· ὅπερ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς ἐφεξῆς καὶ τρὶς γεγονὸς, θυμωθῆναί τε τὸν ἀδελφὸν, καὶ ἥττω τῆς τοῦ θυμοῦ ῥύμης γενόμενον, ὡς εἶχεν εὐθὺς εἰς γῆν κατενεγκεῖν τὸ ποτήριον, καὶ τοῦτο συντρίψαι· καὶ οὕτω πολλῷ μείζονα τῷ ἐχθρῷ πάντως καὶ θερμότερον ὀφλῆσαι τὸν γέλωτα.

D ΝΒ'. Πρὸς ταῦτα γελᾷ μὲν ὁ Κλημάτιος, διαθερμανθεὶς τὴν ψυχὴν τῷ ἀστείῳ τοῦ διηγήματος· προσχὼν δὲ ὁ θεῖος Εὐθύμιος, Ἦπου, φησὶν, ὑπό τινος, ἀδελφὲ, πονηροῦ καὶ σὺ κεκίνησαι, δαίμονος, ὅτι καὶ γελᾷς οὕτως ἀναισχύντως καὶ ἰταμῶς; δέον ὀδύρεσθαι καὶ θρηνεῖν, τὴν ἐκεῖθεν παράκλησιν, ἐκδεχόμενον, εἴπερ ἀληθής ἐστιν ὁ τότε δικάσων ἡμῖν, μακαρίους μὲν τοὺς νῦν πενθοῦντας ἀποκαλῶν (Ὅτι [x], φησὶ, παρακληθήσονται), ἀθλίους δὲ

A quam admittere cogitationes a maligno suggestas, sive ille tristitiam, sive odium, sive tædium, sive in alium locum migrationem subjiciat, et nec ab initio ei omnino mentem permittere, sed ista rejicere, atque tota manu repellere, ne forte nos latenter per fraudem supplantet, et in casum præcipitet lacrymabilem. Si quis autem hic forsan non possit virtutem exercere, ne existimet, quod alio transiens, facilius poterit optata bono exsequi Non enim ex loci natura, sed ex libero nostri animi instituto boni procedit operatio. Contra vero hoc monachis periculosum, quodque potest eos reddere imbecillos virtutumque infructuosos. Quandoquidem nec planta potest ferre fructus, quæ assidue transplantatur.

LI. Ad majorem vero dictorum fidem, etiam eis proferebat quorumdam senum Ægyptiorum historiam [9]. Aiebat ergo: Fuit nonnullus frater in Ægypto (62), in quodam cœnobio residens; qui ad iram continue raptus, exasperabatur et turbabatur, et acerbitate ac indignatione os ejus implebatur. Cum eum autem quædam subiisset pœnitentia, quod propter hanc iram et perturbationis facilitatem secum bellum gereret, et si quid boni jam ante acquisiisset, id quoque perderet; persuadet ei, ut recederet a cœnobio, solusque per se viveret quietus; utpote quod solitudo multum posset ei conducere ad tranquillitatem et perturbationis vacuitatem. Existimabat enim quod, si nullus subesset cui irasceretur, et in quem uteretur indignatione, omnino sensim exstingueretur vehemens ille et citissime flagrans ignis iracundiæ; futurusque esset deinceps ipse mitis, omnique tranquillitate et quiete plenus. Hæc ille reputans, discessit deinceps a cœnobio, et solitariam vitam est amplexus: et cum aliquando, propter usum quemdam aqua implesset poculum (63), idque voluisset humi aliquantisper deponere, nonnulla maligni arte id eversum est. Quod quidem ubi non semel tantum, sed etiam bis et ter deinceps accidisset, tum iratus est frater, tum ab iræ impetu devictus, statim ita ut habebat, humi projecit poculum, illudque confregit: atque sic omnino ludibrium multo majus acriusque debuit inimico.

LII. Ad hæc ridet quidem Clematius, per urbanitatem narrationis incalefactus animo. Divinus vero Euthymius re animadversa: Nunquid, ait, tu quoque, frater, motus es a malo aliquo dæmone, quod adeo inverecunde et impudenter rides? cum oportere flere et lamentari, suasionem inde sumptam admittendo, si verax est, qui tunc noster erit judex, dum beatos quidem appellat eos qui nunc lugent; quia, inquit, consolationem accipient [10];

[9] Vitæ Patr. III, 98; V, VII, 33. [10] Matth. V, 5; Luc. VI, 25.

VARIÆ LECTIONES.

[t] al. ἀλικίαν. [u] al. βίους. [v] al. ἠρεμίας. [x] al. inser. αὐτοί,

JOAN. BOLLANDI NOTÆ.

(62) Narrant id in Vitis Patrum Ruffinus aut quisquis ejus libri auctor est, lib. 3, n. 98 et Pelagius lib. 5, libel. 15, n. 225.

(63) Pelagius *surisculam*, Ruffinus *vas*.

miseros autem eos qui rident, sibique non attendunt. Cæteroquin aperta inscitia est et disciplinæ violatio, monachum ultra mediocritatem loqui, aut ad quodlibet moveri, vel etiam fiduciam sumere, Patres enim fiduciam appellant [11], omnium plane vitiorum matrem.

LIII. His quidem verbis ille cum increpasset Clematium, ingressus est in cellam interiorem. Eum vero e vestigio persecuta est ultio; pronusque in terram cadens, agitabatur tremore et horrore tenebatur. Itaque Domitianus sic jacentem videns Clematium, et simul quidem Euthymii mansuetudinem et austeritatem admiratus, quo modo optime in eo essent contemperat, et simul etiam fratrem ob calamitatem miseratus, congregat aliquos ex Patribus, pro illo intercessuros, eosque una cum Marone introducit ad Euthymium. Ille autem, cum suopte ingenio placabilis, tum illorum intercessionem minime despiciens, cum eis accedit ad jacentem Clematium, eique horrorem exstinguit signo crucis, et statim sistit tremorem, atque perfectam præbet a morbo liberationem: dicens: Attende tibi ipsi de cætero, et noli contemnere Patrum doctrinas et admonitiones. Sed efficere totus oculus, sicut de Cherubinis accepimus [12], teipsum omni ex parte circumspiciens, ut qui semper transeas in medio laqueorum. Hæc ubi suasisset atque suggessisset Clematio, ejusque exemplo alios fecisset cautiores, virum dimittit in pace. Sed hoc quidem est ejusmodi. Non minus vero est, id quod sequitur, si non sit multo majus et præclarius.

LIV. Cum magna et œcumenica synodus Ephesi tunc primum congregaretur, Synodius (64), qui cum Acacio fuerat magister hujus magni Euthymii adhuc pueri, in Palæstinam ad adoranda loca venerabilia profectus, accedit etiam ad lauram, quinquagesimo et quarto anno ætatis magni Euthymii; partim ut illum ipsum Euthymium viseret, partim ut salutaret consobrinos suos, Stephanum, Andream, et Gaianum. Videns igitur Euthymium, ei narravit de impiissima hæresi Nestorii, qui nefarie (o justitia, et sacerdotum pudor!) brevi tempore præsedit (65) Constantinopoli, profanisque suis et corruptis dogmatibus totum fere orbem terræ conturbavit. Exposuit etiam ei de Cyrillo (66) Alexandrino et Acacio (67) Melitenensi, quemadmodum ardentem zelum exhiberent pro fide orthodoxa, et quod œcume-

A τοὺς γελῶντας καὶ ἑαυτοῖς μὴ προσέχοντας· ἄλλως τε δὲ καὶ ἀπαιδευσία σαφής, τὸ τὸν μοναχὸν πέρα τοῦ μετρίου λαλεῖν, ἢ πρὸς ὁτιοῦν κινεῖσθαι, ἢ τε μὴν καὶ παῤῥησιάζεσθαι. Μητέρα γὰρ οἱ Πατέρες τὴν παῤῥησίαν πάντων ἀτεχνῶς τῶν παθῶν ὀνομάζουσι.

ΝΓ'. Ταῦτα ὁ μὲν ἐπιτιμήσας τῷ Κληματίῳ, εἰς τὸ ἐνδότερον εἰσῆλθε κελλίον. Τὸν δὲ ἡ δίκη παραπόδας μετῄει, καὶ πρηνὴς ἐπὶ γῆς πεσὼν, κλόνῳ τε ἐδονεῖτο, καὶ φρίκῃ συνείχετο. Δομετιανὸς οὖν κείμενον οὕτως ἰδὼν τὸν Κληματίον, καὶ ἅμα μὲν τὸ πρᾶον, ἅμα δὲ καὶ τὸ αὐστηρὸν Εὐθυμίου θαυμάσας, ὅπως ἄριστα κεκραμένα παρ' αὐτῷ ἦν, ἅμα δὲ καὶ τὸν ἀδελφὸν τοῦ πάθους
B οἰκτείρας, συνάγει τινὰς τῶν Πατέρων ὑπὲρ αὐτοῦ πρεσβείαν ποιησομένους, καὶ τούτους εἰσάγει σὺν τῷ Μάρωνι πρὸς Εὐθύμιον. Ὁ δὲ καὶ οἴκοθεν εὐάλλακτος ὢν, καὶ τὴν ἐκείνων πρεσβείαν οὐκ ἀτιμάζων, ἐφίσταται σὺν αὐτοῖς κειμένῳ τῷ Κληματίῳ, καὶ τήν τε φρίκην σβέννυσιν αὐτῷ, τοῦ σταυροῦ τῷ σημείῳ, καὶ τὸν κλόνον εὐθὺς ἵστησι, καὶ τὴν ἀπαλλαγὴν τοῦ πάθους ἐντελῆ παρέχει· Πρόσεχε σεαυτῷ λοιπὸν, ἐπειπὼν, καὶ μὴ περιφρόνει Πατέρων διδασκαλίας μηδὲ ὑποθήκας· ἀλλὰ γενοῦ ὀφθαλμὸς ὅλος, οἷα περὶ τῶν Χερουβὶμ ἠκούσαμεν· πάντοθεν περισκοπῶν ἑαυτὸν, ὡς ἐν μέσῳ παγίδων ἀεὶ διαβαίνοντα, τοιαῦτα τῷ Κληματίῳ παραινέσας καὶ ὑποθεὶς, καὶ τῷ κατ' αὐτὸν ὑποδείγματι τοὺς ἄλλους ἀσφαλισάμενος, ἐν εἰρήνῃ ἀπολύει τὸν ἄνδρα. Πλὴν ἀλλὰ τοῦτο μὲν τοιοῦτον. Οὐχ ἧττον δὲ καὶ
C τὸ ἐφεξῆς, εἰ μὴ καὶ πολὺ μεῖζον καὶ χαριέστερον.

ΝΔ'. Ἄρτι τῆς μεγάλης ἐν Ἐφέσῳ καὶ οἰκουμενικῆς συνόδου πρῶτον συγκροτουμένης, Συνόδιος ὁ σὺν Ἀκακίῳ διδάσκαλος τοῦ μεγάλου τούτου Εὐθυμίου ἔτι παιδὸς ὄντος γεγενημένος, κατὰ προσκύνησιν τῶν σεβασμίων δὴ τόπων εἰς Παλαιστίνην ἐλθὼν, καὶ εἰς τὴν λαύραν τετάρτῳ τῆς Εὐθυμίου τοῦ μεγάλου ἡλικίας ἔτει καὶ πεντηκοστῷ παραγίνεται· τοῦτο μὲν αὐτὸν ἐκεῖνον ἱστορήσων Εὐθύμιον, τοῦτο δὲ καὶ τοὺς οἰκείους ἀνεψιοὺς, Στέφανον, Ἀνδρέαν, καὶ Γαϊανὸν ἀσπασόμενος. Ἰδὼν οὖν τὸν Εὐθύμιον, διηγεῖτο μὲν αὐτῷ τὰ κατὰ τὴν ἀσεβεστάτην αἵρεσιν Νεστορίου, τοῦ ἀνοσίως (ὢ
B δίκη καὶ ἱερέων αἰδώς!) ὀλίγον δήτινα χρόνον τῆς Κωνσταντινουπόλεως προκαθίσαντος, καὶ τοῖς βεβήλοις αὐτοῦ δόγμασι καὶ διεφθαρμένοις τὴν οἰκουμένην πᾶσαν σχεδὸν συνταράξαντος. Ἐξηγεῖτο δὲ

[11] T. I, p. 373, A. B. [12] Ezech. x, 12.

JOAN. BOLLANDI NOTÆ.

(64) Habita synodus Ephesina a 22 Junii an. 431.

(65) Consecratus est, testibus Marcellino in Chronico, Socrate lib. 7, c. 29 aliisque, Felice et Tauro coss., an. Ch. 428, IV Id. April.

(66) De S. Cyrillo agemus 28 Januar. ubi plura de Nestoriana hæresi.

(67) Sanctus hic appellatur a Baronio in Annalib. In nullis tamen Martyrologiis ejus nomen huc usque reperimus. Ejus zelus in synodo egregie eluxit, maxime concione spiritu plena coram Patribus habita, in qua brevi affore pacem vaticinatus, omnes reviviscere, sumere animos, erigereque languentes vires, est hortatus. Consule Acta Ephesina a Peliano nostro edita tom. VI, cap. 11.

αὐτῷ καὶ περὶ Κυρίλλου τοῦ Ἀλεξανδρείας, καὶ τοῦ Μελιτηνῆς Ἀκακίου, ὅπως τε θερμὸν ὑπὲρ τῆς ὀρθοδοξίας [y] εἰσφέροιεν ζῆλον· καὶ ὅτι μέλλοι ὅσον οὐδέπω καὶ οἰκουμενικὴ σύνοδος ἐν Ἐφέσῳ κατὰ τοῦ δυσσεβοῦς ἐκείνου συγκροτηθῆναι. Τούτων οὖν οὕτω παρὰ τοῦ Συνοδίου λεχθέντων, ἥσθη τὴν ψυχὴν ὁ Εὐθύμιος, τοιαῦτα περὶ Ἀκακίου μαθὼν, ᾧτινι παῖς ὢν ἐφοίτα, καὶ ὑφ' ᾧ τὴν τῶν γραμμάτων ἄσκησιν ἐπαιδεύετο. Ἔπειτα μέντοι συνταξάμενος αὐτῷ καὶ Συνόδιος, ἀπαίρει τῆς λαύρας Στέφανον παραλαβὼν τὸν ἀνεψιὸν, εἰς τὴν ἁγίαν τε ἄνεισι πόλιν, καὶ πείθει τὸν τὴν ἀρχὴν τῆς κατ' αὐτὴν ἐκκλησίας πεπιστευμένον, συναριθμῆσαι καὶ Στέφανον τοῖς ὑπ' αὐτῷ διακόνοις. Ὁ δὲ σὺν αὐτῷ καὶ Κοσμᾶν τὸν Καππαδόκην χειροτονεῖ, καὶ τῷ χορῷ ἀμφοτέρους τῶν διακόνων ἐγκαταλέγει.

ΝΕ'. Ἀθροιζομένων δὲ πρὸς τὴν σύνοδον ἤδη τῶν πανταχοῦ ἐπισκόπων, καὶ μελλόντων ὅσον οὔπω καὶ τῶν τῆς Παλαιστίνης ἐκεῖ συνελθεῖν, ἐντέλλεται ὁ μέγας Εὐθύμιος Πέτρῳ τῷ τῶν Σαρακηνῶν ἐπισκόπῳ, Κυρίλλῳ τῷ Ἀλεξανδρείας καὶ Ἀκακίῳ τῷ Μελιτηνῆς προστίθεσθαι, καὶ ἅπερ ἂν ἐκείνοις δοκεῖ, ταῦτα καὶ αὐτῷ συνδοκεῖν. Κἀκεῖνος τῆς συνόδου τελεσθείσης, αὖθις πρὸς τὸν Εὐθύμιον ἀναστρέψας, πάντα καταμέρος αὐτῷ διηγεῖται ὅσα τε συμβέβηκεν ἐπ' αὐτῆς, καὶ ὅποι [z] κεχώρηκεν. Ὁ δὲ τά τε ἄλλα τῶν γεγονότων ὑπὸ τῶν τῆς Ἀνατολῆς ἐπισκόπων μαθὼν, καὶ ὅτι ὁ τῆς Ἀντιόχου [a] προεστὼς Ἰωάννης ὀρθόδοξος ὢν, τοῖς τὰ Νεστορίου φρονοῦ, τὰ ὅμοια φρονεῖν συναπήχθη, λύπῃ τὴν καρδίαν ἐπλήγη δεινῇ.

ΝϚ'. Τῷ ἴσῳ δὲ πάθει καὶ Δόμνος ὁ ἐκείνου κατεσχέθη ἀνεψιός. Τοιγάρτοι καὶ δοθῆναι αὐτῷ τὴν ἐν Ἀντιοχείᾳ κάθοδον ἐδεῖτο Εὐθυμίου, ὥστε ὑποσκελισθέντα τὸν θεῖον ἀναλαβεῖν, καὶ οἷον ἤδη κείμενον ἀνορθῶσαι. Καὶ ὃς οὐκ ἀσφαλῆ τὴν ἐκεῖσε ἄφιξιν προειδὼς, ἀλλὰ καὶ ἀλυσιτελῆ μᾶλλον αὐτῷ καὶ ἀσύμφορον, Οὔκουν, ὦ τέκνον, φησὶν, οὐ χρή σε τῆς λαύρας ὑποχωρῆσαι. Οὔτε γὰρ ἐκεῖνος δεῖται τῆς σῆς παρουσίας· ἀλλ' εἰ καὶ βραχὺ τῆς ὑγιοῦς ἐξέκλινε πίστεως, ἀλλ' ὅ γε Θεὸς τὴν ἐκείνου καρδίαν εἰδὼς ὀρθῶς ἔχουσαν, αὐτὸς ἐπιστρέψει αὐτὸν, καὶ πρὸς τὸ εὖ ἔχον ἀνάξει. Καὶ σὺ δὲ, ὦ τέκνον, εἰ μὲν ᾧ ἐκλήθης τόπῳ ἐν τούτῳ καὶ εἰς τέλος ὑπομενεῖς, προκόπτων ἔσῃ, καὶ δοξασθήσῃ, δόξαν δὴ τὴν ἀληθῆ καὶ κατὰ Θεὸν καὶ μηδέποτε διαπίπτουσαν. Εἰ δὲ τούτων ἀμελήσας, καὶ τοὺς τῆς ὑπομονῆς λογισμοὺς ἀτιμάσας, τῆς λαύρας

nica synodus esset mox Ephesi congreganda adversus illum impium. His ergo sic dictis a Synodio, animo lætatus est Euthymius, talia dicens de Acacio, ad quem puer ventitabat, et a quo fuerat institutus in exercitio litterarum. Deinde vero cum ei valedixisset Synodius, discedit e laura, assumens Stephanum consobrinum, et abit in sanctam civitatem, atque persuadet ei (68) cui commissa erat Ecclesiæ illius gubernatio, ut Stephanum cooptaret in numerum suorum diaconorum. Ille autem una cum eo ordinat quoque Cosmam Cappadocem, et utrumque refert in niaconorum chorum.

XL. Porro eum jam congregarentur undique episcopi ad synodum, moxque illuc conventuri etiam essent episcopi Palestinæ (69), mandat magnus Euthymius Petro episcopo (70) Saracenorum, ut adjungeret se ad Cyrillum (71) Alexandriæ et Acacium Melitenes, et quæ ei videretur, ea quoque comprobaret. Atque ille peracta synodo reversus ad Euthymium, ei omnia singulatim edisserit quæ in ea evenerant, et quonam processerint. Is autem postquam alia quoque didicit, quæ nimirum ab episcopis Orientis facta fuerant, quodque Joannes, (72) qui præerat Antiochiæ, etsi orthodoxus, inductus tamen fuisset, ut eadem sentiret cum Nestorii (73) sectatoribus, gravi fuit tristitia cor ejus sauciatum.

LVI. Eodem modo affectus fuit etiam Domnus Joannis sororis filius. Quocirca rogavit Euthymium, ut ei permitteretur ire Antiochiam, quo supplantatum avunculum restitueret, jamque velut jacentem erigeret. Ille autem, prævidens non futurum illuc tutum adventum, sed ei potius inutilem et incommodum: Nequaquam, inquit, o fili, non oportet te a laura recedere. Neque enim ille tua opus habet præsentia; sed et si paululum a sana fide declinavit, Deus tamen, qui novit cor illius recte se habere, ipse convertet ipsum, reducetque ad bonum. Et tu quoque, o fili, si quidem in quo vocatus es loco, in eo usque ad finem permanseris, proficies, et gloriam nempe veram et secundum Deum, quæque nunquam excidit. Quod si hæc neglexeris, et contemptis perseverantiæ cogitationibus e laura discedere tentaveris, obtinebis quidem dignitatem et

VARIÆ LECTIONES.

[y] εὐσεβείας. [z] al. ὅπου. [a] al. Ἀντιοχέων.

JOAN. BOLLANDI NOTÆ.

(68) Juvenali.

(69) Nicephorus lib. 14, cap. 34. Quinta post Pentecosten die Juvenalis cum Palæstinis episcopis venit. Quibus ita convenientibus, celebris et magnus ille Euthymius Petro Saracenorum episcopo abeunti præcepit, ut Cyrilli Alexandrini et Acacii Melitenensi, omnino sententiam sequeretur, columnas et fastigia rectæ fidei eos esse testatus.

(70) Hic cum tribus aliis episcopis a Synodo missus fuerat ad Nestorium, ut eum ne a Synodi consensu abesse vellet, moneret, ut legitur par. 1, act. 1.

(71) Quam tenax ejus moniti fuerit, hæc verba ejus in synodo prolata indicant: « Ego, inquit, huic sententiæ (qua synodus Nicæna probabatur) me socium ascribo, epistolamque Cyrilli sanctissimi sacratissimique, ut quæ rectam pianique doctrinam contineat, laudo et probo, » par. 2, ac. 1.

(72) Schisma conflavit, conciliabulo 43 episcoporum contra synodum congregato. Acta hujus simul cum synodo Ephesina exstant.

(73) Eodem anno congregata iterum synodo damnavit hæresim Nestorianam, missis litteris synodicis ad Rom. pontificem Sixtum III et Cyrillum Alexandrinum.

...ncipatum avunculi tui (74); verum rursus auferetur a malis (75) et præstigiatoribus ...minibus, cum per illos prius seductus fueris ...oratione. Atque hæc quidem sanctus Euthy...us.

LVII. At Domnus de hisce mandatis non multum ...licitus, proficiscitur Antiochiam, neque vale di...ens sancto, neque ullo modo ei suum significans ...essum. Cum illic vero fuisset, omnia quæ ab ...ymio prædicta fuerant, effectum sunt sortita. ...ille magna ductus postmodum pœnitentia, quod ...obediisset, ad ipsum revertitur, gravi dolore ...eribus cruciatus, et amare plorans. Porro ...enalis Stephanum Melitenensem ordinat Jam...(76) episcopum; Cosmam vero Cappadocem ...fert in ordinem presbyterorum, eique cruces ...dit custodiendas.

LVIII. Hæc quoque de illo relata sunt monacho ...riaco ab hominis familiaribus et successoribus; ...bis autem Cyriacus singula patefecit; quod nemo ...m unquam viderit comedentem, nisi Sabbato aut ...Dominica, non cum aliquibus colloquentem, ...llatenus cum quoquam congredientem, nisi forte aliquis necessario congressum postularet; ...us nunquam super latus dormientem, sed nunc qui...n sedentem parumque oculis conniventem, ...nc vero funem, qui in quodam cellæ angulo a te...dependebat, ambabus tenentem manibus, sic...e nonnihil somni moderate degustantem, illud ...te magni Arsenii, (77) dicentem ipsi: Adesdum, ...rve nequam [13] Affirmabant enim eum quoque ...isse æmulatorem Arsenii; Arsenii, inquam, qui ...terno quodam modo educavit et instituit Arca...um et Honorium imperatores, ideoque Patris ...pellatione a sancti nempe Patribus est cogno...inatus; postea autem etiam in solitudine Ægy...i claruit virtutibus.

LIX. Hunc ergo diligentissime æmulabatur Eu...ymius, et monachis ex Ægypto venientibus, de...se ejus vivendi ratione aliquid referentibus, ani...um valde lubenter adhibebat; et animæ suæ ve...ti tabulis bona illius curabat inscribere; atque ...jus quietem, humilitatem, silentium imitabatur: ...ræterea que vestitus vilitatem, ventris abstinen...am, et vigilantiam sobrietatemque in omnibus; ...rseni, propter quid egressus es? juxta dictum il-

[13] Vitæ Patrum, V, IV, 2: t. I, p. 356 A.

ἀποστῆναι πειράσῃ, τῆς μὲν τοῦ θείου τοῦ σοῦ ἀρχῆς ἐγκρατὴς ἔσῃ· πλὴν ἀφαιρήσονταί σε πάλιν αὐτὴν πονηροὶ καὶ γόητες ἄνθρωποι, ἀγνοίᾳ πρότερον ἐκείνοις συναπαχθέντα, καὶ ταῦτα μὲν ὁ ἐν ἁγίοις Εὐθύμιος.

NZ'. Ὁ Δόμνος δὲ μικρὰ τῶν τοιούτων ἐντολῶν φροντίσας, ἀπαίρει πρὸς Ἀντιόχειαν, μηδὲ συνταξάμενος τῷ ἁγίῳ, μηδ' ὁπωσοῦν αὐτῷ σημάνας τὴν ἀναχώρησιν. Ἐκεῖσε μέντοι γενομένῳ, πάντα ὅσα παρ' αὐτῷ [b] προεῤῥήθη, ταῦτα δὴ καὶ εἰς ἔργον ἐξέβη. Κἀκεῖνος πολλὴν ὑπέχων ὕστερον ἐπὶ τῇ παρακοῇ μεταμέλειαν, ἐπάνει πρὸς αὐτὸν, τὰ σπλάγχνα σπαραττόμενος μάλα δεινῶς, καὶ πικρὸν ὀδυρόμενος. Ἰουβενάλιος δὲ τὸν ἐκ Μελιτηνῆς Στέφανον ἐπίσκοπον Ἰαμνείας [c] χειροτονεῖ, Κοσμᾶν δὲ τὸν Καππαδόκην τῷ κλήρῳ τῶν πρεσβυτέρων ἐγκρίνει, καὶ τὴν φυλακὴν αὐτῷ τῶν σταυρῶν ἀνατίθησι.

NH'. Καὶ ταῦτα δὲ τῷ μοναχῷ Κυριακῷ παρὰ τῶν τοῦ ἀνδρὸς ὁμιλητῶν τε καὶ διαδόχων περὶ αὐτοῦ ἀπηγγέλη· ἡμῖν δὲ Κυριακὸς ἕκαστα διεσάφησεν· ὡς οὐδέποτε, Σαββάτου χωρὶς ἢ Κυριακῆς, ἐσθίοντα τοῦτον ἴδοι τις, οὐ συλλαλοῦντά τισιν, οὐδαμῶς ἐντυγχάνοντα, πλὴν εἰ μήπου χρεία τις ἀναγκαίως τὴν συντυχίαν ἀπῄτει· οὐκ ἐπὶ πλευρᾶς οὐδέποτε καθευδήσαντα, ἀλλὰ νῦν μὲν καθήμενον καὶ μικρὰ τοὺς ὀφθαλμοὺς ἐπιμύοντα, νῦν δὲ σχοινίου πρός τινι τοῦ κελλίου γωνίᾳ τῆς στέγης ἐκκρεμαμένου, ἀμφοτέραις χερσὶν ἐξεχόμενον [d], καὶ οὕτω τινὸς ὕπνου μετρίως παραγευόμενον, τὸ τοῦ μεγάλου τυχὸν Ἀρσενίου, Δεῦρο, κακὲ δοῦλε, πρὸς ἐκεῖνον ἐπιφθεγγόμενον. Διεβεβαιοῦντο γὰρ καὶ ζηλωτὴν αὐτὸν Ἀρσενίου γεγενῆσθαι· Ἀρσενίου, φημὶ, τοῦ τρόπον τινὰ πατρικὸν, Ἀρκάδιον καὶ Ὀνώριον τοὺς βασιλεῖς θρεψαμένου τε καὶ παιδευσαμένου, καὶ διὰ τοῦτο τῇ τοῦ Πατρὸς ὑπὸ τῶν ἁγίων δηλαδὴ Πατέρων ἐπικληθέντος προσηγορίᾳ· ὕστερον δὲ κἀν τῇ πρὸς Αἴγυπτον ἐρήμῳ ταῖς ἀρεταῖς διαλάμψαντος.

NΘ'. Τοῦτον οὖν ἐζήλου λίαν ἐμμελῶς ὁ Εὐθύμιος· καὶ τοῖς ἀπὸ τῆς Αἰγύπτου φοιτῶσι μοναχοῖς, καί τι περὶ τῆς πολιτείας τῆς ἐκείνου διηγουμένοις, ἡδέως ἄγαν προσεῖχε τὸν νοῦν· καὶ τοῖς πίναξιν ὥσπερ τῆς ἑαυτοῦ ψυχῆς μεταγράφειν ἔσπευδε τὰ ἐκείνου καλά· τὴν ἡσυχίαν τε καὶ τὴν ταπείνωσιν [e], καὶ τὴν αὐτοῦ σιωπὴν ἐμιμεῖτο· πρὸς δὲ καὶ τὸ τοῦ ἐνδύματος εὐτελὲς, καὶ τὸ περὶ τὴν γαστέρα ἐγκρατὲς, καὶ τὸ προσεκτικὸν αὐτοῦ, πανταχοῦ [f] καὶ

VARIÆ LECTIONES.

[b] al. ὥσπερ. [c] al. Ἰαμνίας. [d] al. ἀνεχόμενον. [e] al. ταπεινοφροσύνην. [f] abest ab al. t. I, p. 370 ... Vitæ Patrum V, XV, 9.

JOAN. BOLLANDI NOTÆ.

(74) Successit Joanni avunculo defuncto Dom...nus. Interfuit synodo Ephesinæ reprobatæ, an. Ch. 449, mense Augusto. Annos illi 8 assignat Nicephorus in Chronico.

(75) Damnatus fuit in dicta synodo et patriarchatum cessit Maximo, quod facti pœnitens suum repetiisset deleri chirographum, quo Flaviani et Eusebii damnationem ante probarat.

(76) Lipomanus et Surius Ismeniæ, perperam; melius postea sæpius Jamnia, ab eis expressa. Ita hic ms. Græcum atque sic Stephanus episcopus Jamniæ sæpius legitur in Actis synodi Chalcedonensis, cui interfuit. Est Jamnia civitas episcopalis sub metropoli Cæsarea Palæstinæ, ad mare Mediterraneum, prope Joppen, in tribu Dan. Consule ibidem Adrichomium n 33. Hinc liquet non posterioribus tantum temporibus, quod ille existimavit, fuisse in ea urbe episcopum.

(77) De S. Arsenio pluribus agemus 19 Julii.

νηφάλιον· Ἀρσένιε, δι' ὃ ἐξῆλθες; κατὰ τὸ ὑπ' ἐκείνου λεγόμενον. Τὴν δὲ κατάνυξιν, πῶς; Τὰ δὲ δάκρυα, τὰς παννύχους τε ἀγρυπνίας, καὶ τὸ φιλέρημον ἐκεῖνο, καὶ ἀκριβῶς ἄμικτον· τὸ συμπαθὲς πρὸς τούτοις, τὸ εὐδιάκριτον [g], τὸ εἰς προσευχὴν πρόθυμόν τε καὶ εὔτονον, καὶ τὴν ὑπερβάλλουσαν ἐν πᾶσι τοῦ ἀνδρὸς καρτερίαν; Ἆρ' οὖν τὴν ἐκείνου πολιτείαν οὕτω μιμούμενος, οὐχὶ καὶ τῶν ἐκείνου χαρισμάτων γέγονεν ἄξιος; ἢ γέγονε μὲν, οὐ τῶν ἴσων δέ; Οὐμενοῦν, ἀλλ' ἔστιν οἷς αὐτὸν καὶ ἀτεχνῶς ὑπερέβαλε. Πλὴν ἀλλὰ τῶν ἄλλων τέως ἀφέμενοι, ὅπως περὶ τῶν μελλόντων ἐγίνωσκέ τε καὶ προηγόρευε, δείξομεν φιλαλήθως.

Ξ'. Ἐγλίχετο σφοδρῶς τῆς αὐτοῦ θέας Ἀναστάσιος, ὁ τῶν ἱερῶν σκευῶν τῆς ἁγίας Ἀναστάσεως πεπιστευμένος τὴν φυλακήν, χωρεπίσκοπός τε ὤν, καὶ φοιτητὴς ἅμα καὶ ζηλωτὴς Πασσαρίωνος τοῦ ἐν ἁγίοις γεγενημένος. Πόθον οὖν τοιοῦτον τῆς τοῦ ἀνδρὸς τρέφων ὄψεως, Φείδῳ τε τῷ ἐπισκόπῳ Ἰόππης [h] καὶ Κοσμᾷ τῷ σταυροφύλακι, τὴν καλὴν ἐκείνην ἐπιθυμίαν κοινοῦται· καὶ τούτους παραλαβών, ἀλλὰ καὶ Φεῖδον ἕτερον τὸν τοῦ ἐπισκόπου ἔκγονον Φείδου (νέος δὲ ἦν οὗτος ἔτι [i] τὴν ἡλικίαν, καὶ τῷ τῶν ἀναγνωστῶν χορῷ συγκατειλεγμένος· ὅς γε δήπου καὶ ταῦτα τῷ μοναχῷ Κυριακῷ παραδέδωκε καὶ διηγήσατο), ἀπαίρει σὺν αὐτοῖς πρὸς τὸν μέγαν Εὐθύμιον. Ὡς δὲ πλησίον ἤδη τῆς λαύρας ἐγένοντο, τοῖς μὲν ἄλλοις, οὔπω καταλαβόντες, ἄδηλοι, Εὐθυμίῳ δὲ φανεροὶ ἦσαν ἀπορρήτως ὑπὸ τοῦ Πνεύματος. Καλέσας οὖν εὐθὺς τὸν τῆς λαύρας οἰκονόμον Χρύσιππον, Εὐτρεπῆ σοι τὰ πρὸς ὑποδοχὴν ἔστω, φησίν· ἰδοὺ γὰρ ἅμα τῷ ἀδελφῷ τῷ σῷ καὶ ὁ πατριάρχης παρ' ἡμᾶς ἔρχεται.

ΞΑ'. Ἤδη δὲ καὶ αὐτῶν παραγεγονότων, θεωρίᾳ τινὶ θειοτέρᾳ κάτοχος γεγονὼς ὁ μέγας, οἷα καὶ Ἱεροσολύμων πατριάρχῃ ὡμίλει τῷ Ἀναστασίῳ καὶ διελέγετο. Οἱ μὲν οὖν παρόντες, ἐν θαύματι [j] πάντες ἦσαν· Χρύσιππος δὲ καὶ αὐτὸς ἐκπλαγείς, καὶ πρὸς οὖς ἐπικύψας τῷ Εὐθυμίῳ, Ἀλλ' οὐχ ὁ πατριάρχης, σεβάσμιε Πάτερ, φησί, παρ' ἡμῖν· ὁ δὲ φύλαξ τῶν ἱερῶν σκευῶν Ἀναστάσιος. Ὁρᾷς ὅπως ἄρα καὶ περιβολῆς ἔχει; δείξας αὐτοῦ τὰ ἱμάτια· λαμπρὰ δὲ ταῦτα καὶ σηρικὰ ἦσαν· ἅπερ, φησί, πατριάρχην Ἱεροσολύμων ἐνδεδύσθαι, ἥκιστα θεμιτόν. Ἐπισχὼν δέ τινα χρόνον ὁ γέρων, καὶ ὥσπερ ἐν ἑαυτοῦ [k] γενόμενος, Ἀλλὰ πίστευσόν μοι, τέκνον, φησί, λευκὴν αὐτὸν εἰς τόδε καὶ οἵαν εἰκὸς πατριάρχην στολὴν ἐπενδεδύσθαι [l], φοροῦντα ἑώρων· καὶ οἶμαι ὡς οὐκ ἠπάτημαι· ἀλλ' ὃ προέγνω Θεὸς, καὶ εἰς πέρας ἄξει· ἀμεταμέλητα γὰρ αὐτοῦ τὰ χαρίσματα. Ὁ μὲν οὖν ταῦτα ἐπὶ πολλῶν

A lius. Compunctionem autem quo modo? item lacrymas, nocturnas pervigilationes, illum amorem solitudinis exactumque a cunctis recessum; ad hæc commiserationem, discernendi vim, in precatione alacritatem et constantiam, præcellentemque viri circa omnia fortitudinem? Num autem, cum sic illius imitaretur vitæ institutum, non etiam dignus fuit illius charismatibus? aut fuit quidem, at non paribus? Nequaquam: sed sunt in quibus eum omnino superavit. Veruntamen aliis interim omissis, quemadmodum futura cognoverit et prædixerit, veridice ostendemus.

LX. Eum videre valde desiderabat Anastasius, cujus fidei credita erat custodia sacrorum vasorum sanctæ Resurrectionis, chorepiscopus etiam, B sanctique Passarionis simul discipulus et imitator. Cum ergo hoc desiderium vivendi hominis in se aleret, Fido (78) Joppes (79) episcopo, et Cosmæ crucem custodi pulchram illam communicat cupiditatem: atque eos assumens quinetiam Fidum (80) alterum episcopi Fidi nepotem (erat autem is adhuc ætate juvenis, et in chorum lectorum cooptatus; qui etiam Cyriaco monacho hæc tradidit et narravit) cum eis proficiscitur ad magnum Euthymium. Ut autem fuerunt jam prope lauram, aliis quidem quod nondum pervenissent, occulti erant, at Euthymio manifesti, arcano quodam modo, per Spiritum. Itaque vocato statim lauræ œconomo Chrysippo: Sint, inquit, C tibi parata quæ ad susceptionem requiruntur: ecce enim simul cum fratre tuo ad nos venit patriarcha.

LXI. Cum jam autem ipsi advenissent diviniore quadam contemplatione vir magnus correptus, cum Anastasio agebat et colloquebatur tanquam cum patriarcha Hierosolymorum. Qui ergo aderant mirabantur cuncti; Chrysippus vero ipse quoque obstupefactus, et ad aurem se inclinans Euthymii, Sed non est, inquit, apud nos Patriarcha, venerande Pater; at sacrorum vasorum custos Anastasius. Vides quo modo vestitus sit? ostendens ejus vestes; quæ erant splendidæ et sericeæ; qualibus, inquit, minime fas est Hierosolymitanum patriarcham indui. Tunc per aliquod tempus se repressit D senex, et velut ad se reversus, ait: Verum mihi crede, fili, hunc vidi hucusque candida veste amictum, et quali superindui decet patriarcham; et existimo me non esse deceptum; sed quod Deus præscivit, id ad finem deducet. Sunt enim ejus dona sine pœnitentia [14]. Ille igitur hæc dixit multis

[14] Rom. XI, 29.

VARIÆ LECTIONES.

[g] al. διακριτικόν. [h] al. Ἰόπης. [i] abest ab al. [j] al. θαύμασι. [k] al. ἑαυτῷ. [l] al. ἐπενδύσασθαι.

JOAN. BOLLANDI NOTÆ.

(78) Hic Phidus subscripsit concilio Ephesino an. Ch. 431.

(79) De portu hoc Palæstinæ etiamnum celebri, agit pluribus Quaresmius lib. 4, peregrinat. 1, cap. 1.

(80) De hoc infra sæpius, potissimum cap. 20. Factus est tandem urbis Doron episcopus, n. 122.

audientibus; atque consecutus fuit rerum eventus.

LXII. Terebon ille, qui erat genere Saracenus, cum uxore habitans sterili, non gignebat liberos; quod ei vitam efficiebat minime vitalem, eratque causa doloris nullatenus tolerabilis. Ac cedit itaque aliquando cum uxore ad admirabilem Euthymium, rogans, supplicans, quid non faciens ex iis quæ possunt trahere ad misericordiam, ut is naturæ defectus solveretur, et aperiretur uterus ad pariendum. Ille autem cum ter eis injecisset signum crucis, deindeque lapideum illum ventrem tetigisset: Abite, inquit, læti in Domino. Is quippe vobis concedit ut cernamini trium liberorum parentes. Itaque illi in sermone tanquam in re ipsa collocantes fiduciam domum redierunt, animo lætitia pleno. Jam autem et partus tempus advenerat. Et primo quidem parit Petrum quemdam, patrem Terebonis, qui Euthymii discipulis hæc vere et aperte narravit. Postea autem multo tempore interjecto, verax Euthymii promissum, alios quoquo duos fratres præbuit Tereboni.

LIII. Frater erat in laura, Romanus genere, nomine Æmilianus, qui bonam vitam sectabatur, et præclaram temperantiam vel maxime ex ipsa amplexus fuerat adolescentia. Huic noctu aliquando, cum esset Dominicus dies, Inimicus ex carne bellum grave commovit. Cui se perpetuo restiturum desperans, cessit jam et cogitationibus succubuit. Cum ita se haberet, atque ab ea perturbatione obsideretur, mane fit obvius sancto, venienti ad synaxim: atque ex eo teter quidam odor exibat qui gravem illam animi perturbationem magno declarabat. Itaque odoratus divinus Euthymius, insidiisque cognitis, increpat malum dæmonem vexatorem. Et statim frater quidem humi jacebat supinus, seipsum convellens et agitans, spumamque ore exspuens.

LXIV. Ad eum autem multi quoque convenerunt monachi. Jussit itaque magnus Euthymius afferri lumen, eo quod locus esset obscurus atque tenebrosus et ait illis: Videte fratrem (81), o Patres, quomodo qui a puero in virtute vixit, et temperantiæ curam habuit, nunc quod paucum cesserit carnalibus cogitationibus jacet omnibus nobis lacrymis dignum spectaculum. Quare omni custodia unicuique servanda, est mens sua, ne nos vel per phantasiam aliquam latenter fallat inimicus, et in perditionis barathrum præcipitet. Nam si absurda quæpiam cogitatio invaserit nos, ad turpem cupiditatem instigans, nos vero statim ab initio eam debellare non contendamus, sed velut placide in animum admittamus,

A δήπου τῶν ἀκουόντων ἔφησε· καὶ ἡ ἐπὶ τῶν πραγματων ἔκβασις ἠκολούθησε.

ΞΒ'. Τερέβων ἐκεῖνος, ὃς ἦν τὸ γένος Σαρακηνὸς, στείρᾳ γυναικὶ συνοικῶν, παίδων ἄγονος ἦν· ὅπερ ἀβίωτον αὐτῷ τὸν βίον ἐποίει, καὶ λύπης αἴτιον ἦν ἥκιστα φορητῆς. Πρόσεισι τοίνυν μετὰ τῆς γυναικός ποτε τῷ θαυμαστῷ Εὐθυμίῳ, ἀντιβολῶν, ἱκετεύων, τί μὴ ποιῶν τῶν δυναμένων ἕλκειν εἰς ἔλεον, ὥστε λυθῆναι τὴν ἐν τῆς φύσεως πήρωσιν [n], καὶ πρὸς ὠδῖνας αὐτῇ [m] καὶ τόκους τὴν μήτραν διανοιγῆναι. Ὁ δὲ τρίτον αὐτοῖς τὸ τοῦ σταυροῦ σημεῖον ἐπιβαλὼν, εἶτα καὶ τῆς λιθώδους ἐκείνης γαστρὸς ἁψάμενος, Ἄπιτε, φησι, χαίροντες ἐν Κυρίῳ. Δίδωσι γὰρ οὗτος ὑμῖν τριῶν παίδων ὀφθῆναι πατέρας. Ἐκεῖνοι μὲν οὖν ὥσπερ ἔργῳ, τῷ λόγῳ θαρ-
B ῥήσαντες, οἴκαδε ἀνεχώρουν, ἔμπλεῳ τὴν ψυχὴν ἡδονῆς. Ἤδη δὲ καὶ ὁ τῶν ὠδίνων καιρὸς ἐφειστήκει. Καὶ πρῶτα μὲν τίκτει Πέτρον τινὰ, τὸν πατέρα Τερέβωνος, ὃς ἄρα τοῖς ὁμιληταῖς Εὐθυμίου, φιλαλήθως ταῦτα καὶ σαφῶς διηγήσατο. Χρόνου δὲ μετὰ ταῦτα συχνοῦ διαγενομένου, ἡ ἀψευδὴς Εὐθυμίου ὑπόσχεσις, καὶ τοὺς ἄλλους δύο τῷ Τερέβωνι ἀδελφοὺς παρεῖχεν.

ΞΓ'. Ἀδελφὸς ἦν ἐν τῇ λαύρᾳ, Ῥωμαῖος τὸ γένος, Αἰμιλιανὸς τὴν κλῆσιν, βίον τε χρηστὸν μετιὼν, καὶ σωφροσύνην ὡς μάλιστα τὴν καλὴν ἐξ αὐτῆς νεότητος ἀσπασάμενος. Τούτῳ νυκτός ποτε διαγενομένης Κυριακῆς, χαλεπὸν ἐκ τῆς σαρκὸς ὁ ἐχθρὸς κεκίνηκε πόλεμον. Πρὸς ὃν ἀντέχειν εἰς τέλος ἀπαγορεύσας, ἐνεδίδου ἤδη καὶ τοῖς λογισμοῖς ὑποκατ-
C εκλίνετο. Οὕτως ἔχων, καὶ ὑπὸ τοῦ πάθους πολιορκούμενος, ἐντυγχάνει περὶ τὸν ὄρθρον ἐρχομένῳ πρὸς τὴν σύναξιν τῷ ἁγίῳ· καί τις ἐξ αὐτοῦ προσέβαλλε δυσωδία, τὸ χαλεπὸν ἐκεῖνο πάθος τῷ μεγάλῳ δηλοῦσα. Ὀσφρανθεὶς οὖν αὐτῆς ὁ θεῖος Εὐθύμιος, καὶ γνοὺς τὴν ἐπιβουλὴν, ἐπιτιμᾷ τῷ διενοχλοῦντι πονηρῷ δαίμονι. Καὶ παραχρῆμα ὕπτιός μὲν ἐπὶ τοῦ ἐδάφους ὁ ἀδελφὸς ἔκειτο, σπαράττων ἑαυτὸν καὶ κλονῶν, καὶ ἀφρὸν ἐκπτύων τοῦ στόματος.

ΞΔ'. Συνῆεσαν δὲ καὶ πολλοὶ τῶν μοναχῶν ἐπ' αὐτῷ. Φῶς τοίνυν ὁ μέγας Εὐθύμιος ἐνεχθῆναι κελεύσας, διὰ τὸ καὶ τὸν τόπον εἶναι ζοφώδη καὶ ἀφεγγῆ· Ὁρατε τὸν ἀδελφὸν, ὦ Πατέρες, φησὶ πρὸς αὐτούς, ὅπως ἐν ἀρετῇ ζῶν ἐκ παιδὸς, καὶ σωφροσύνης ἐπιμελούμενος, νὺν διὰ τὸ μικρὸν ἐνδοῦναι τοῖς
D τῆς σαρκὸς λογισμοῖς [o], κεῖται πᾶσιν ἡμῖν θέαμα θρήνων ἄξιον· διὸ πάσῃ φυλακῇ τὴν διάνοιαν ἑκάστῳ τὴν ἑαυτοῦ τηρητέον, μὴ λάθῃ καὶ διὰ φαντασίας δή τινος κλέψας ἡμᾶς ὁ ἐχθρὸς, καὶ εἰς τὸ τῆς ἀπωλείας καταγαγὼν βάραθρον. Κἂν γὰρ ἄτοπός τις ἡμῖν ἐγγένηται λογισμὸς εἰς ἐπιθυμίαν ἀκόλαστον ἐρεθίζων, ἡμεῖς δὲ μὴ τὴν πρώτην εὐθὺς ἐκπολεμωθῆναι τούτῳ σπουδάσωμεν, ἀλλ' οἷον εὐμενῶς [p] αὐτὸν

VARIÆ LECTIONES.

[m] al. στείρωσιν. [n] al. αὐτὴν. [o] al. πάθεσιν. [p] al. εὐμενὲς et εὐμαρῶς.

JOAN. BOLLANDI NOTÆ.

(81) Sequentia desunt in Lipomano et Surio. Ex Græco ms. a nobis inserta.

τῇ διανοίᾳ παραδεξώμεθα, οὐμενοῦν ἐλεύθεροι κακίας ἐσόμεθα, ἀλλὰ καὶ σώματι μὴ πλησιάζοντες, ὡς πεπορνευκότες κατὰ διάνοιαν κριθησόμεθα.

ΞΕ'. Ἐπεξῄει δέ τι καὶ τοιοῦτον αὐτοῖς· Ὅπερ ἐμοὶ, φησὶ, τῶν Αἰγυπτίων τινὲς γερόντων ποτὲ διηγήσαντο. Ἦν τις ἐν πόλει, βίου μὲν παρὰ πᾶσι θαυμαστοῦ νομιζόμενος, καὶ πολλὴν δῆθεν πρὸς Θεὸν πλουτίσας τὴν οἰκειότητα· πυκνὰ δὲ ταῖς ἀληθείαις παροργίζων αὐτὸν ἐν τῷ κρυπτῷ κινήματι τῆς καρδίας, διὰ τῆς πρὸς τοὺς φαύλους λογισμοὺς τάχα συγκαταθέσεως· ὥστε κἂν μὴ τῷ ἔργῳ, ἀλλ' οὖν τῇ διανοίᾳ ῥᾳδίως πλημμελεῖν. Βαρείᾳ γοῦν ὁ τοιοῦτός ποτε νόσῳ περιπεσὼν, περὶ τὰς ἐσχάτας ἀναπνοὰς ἦν, καὶ ἤδη πρὸς θάνατον ἔβλεπεν. Ὀδυρμὸς δὲ κατεῖχε τὴν πόλιν, καὶ ἡλικία πᾶσα ἐκόπτετο· καὶ τοῦ ἀνδρὸς, εἴπερ οἷόν τε, προαναρπασθῆναι πάντες ἐπηύχοντο, βέλτιον ἡγούμενοι τουτο παθεῖν, ἢ ἀνδρὸς οὕτω διὰ πάσης ᾀδομένου γλώττης τὴν ἐκδημίαν ἰδεῖν. Τῶν διορατικῶν δέ τις ἐν τοσούτῳ τῇ πόλει παραβαλὼν, καὶ τὸ βαρὺ τοῦτο καὶ πάνδημον πένθος ὁρῶν· ἔπειτα καὶ τὸ πλῆθος ἀκούων μετ' οἰμωγῆς ἐκεῖνον οὕτως ἀνακλαιόμενον· Ὢ ἅγιος! ὁ Πατήρ! ὁ σωτὴρ ὁ ἡμέτερος! οὗ τῇ πρεσβείᾳ [q] πάντες ἐσμὲν σωζόμενοι· ποία λοιπὸν ἡμῖν ἔσται σωτηρίας ἐλπίς; ποία μετὰ τοῦτον ἀσφάλεια; Ταῦτα ὁ διορατικὸς ἐκεῖνος ἀνὴρ ἰδών τε καὶ ἀκούσας, ἄπεισι μετὰ σπουδῆς παρ' αὐτὸν, εὐχῆς ἀξιωθῆναι τινος καὶ εὐλογίας κατεπειγόμενος. Ἐπεὶ δὲ ἤδη καὶ πλησίον ἦν, ὁρᾷ μὲν τοὺς λαμπροτάτους τῶν πολιτῶν, ὁρᾷ δὲ τὸν τῶν ἱερέων κλῆρον, πρὸς δὲ καὶ αὐτὸν τὸν ἐπίσκοπον, λαμπάδας διὰ χειρὸς ἔχοντας, καὶ τὴν τοῦ σώματος προπομπὴν ἀναμένοντας. Εἶτα παρωσάμενος τὸ πλῆθος, καὶ πρὸς τὸν κείμενον εἰσελθὼν, εὑρίσκει μὲν αὐτὸν ὀλίγον ἔτι ἐμπνέοντα· βλέπει δέ τι θέαμα κρυπτοῖς ὀφθαλμοῖς, καὶ ἰδεῖν φοβερὸν, καὶ ἀκοῦσαι δακρύων ἄξιον. Ἐδόκει γάρ τις αὐτῷ πύρινον οἷον [r] τριόδοντα, εἰς τὴν ἐκείνου καθιέναι καρδίαν, καὶ τὴν ψυχὴν, φεῦ! βιαίως ἐκεῖθεν καὶ πικρῶς ἀνασπᾷν· ἔπειτα καὶ φωνῆς ἄνωθεν ἀκούειν. Ὃν τρόπον οὐκ ἀνέπαυσέ με, λεγούσης, ἡ ψυχὴ αὕτη μόνην οὐδεμίαν ἡμέραν, τὸν αὐτὸν δήπου τρόπον μηδὲ σὺ παύσῃ σπαράττων αὐτὴν καὶ σφοδρῶς ἕλκων καὶ τιμωρούμενος.

ΞϚ'. Ταῦτα πρὸς τοὺς παρόντας τῶν ἀδελφῶν Εὐθύμιος διεξῆλθεν· εἶτα καὶ παραινέσεως ἑξῆς ἥπτετο, προσεκτικοὺς αὐτοὺς εἶναι καὶ εἰς ἀεὶ εὐτρεπεῖς περὶ τὴν τῆς ψυχῆς ἔξοδον προμηθούμενος· Αἰμιλιανὸς, λέγων, οὗτος ὑμῖν ὑπόδειγμα ἔστω· ὃν καὶ διὰ τοῦτο πάντως ὁ Θεὸς περιεῖδεν αἰσχρῶς οὑτωσὶ καὶ ἀθλίως ἐν τοῖς ἁπάντων ὑμῶν ὀφθαλμοῖς ὑπὸ τοῦ τῆς φιληδονίας κατεργασθῆναι πικροῦ δαίμονος, ἵν' αὐτοὶ γένησθε βελτίους, καὶ ἀπὸ τῆς εἰς αὐτὸν τιμωρίας ὑμεῖς κερδάνητε. Ἀλλὰ γὰρ δεηθῶμεν, φησὶ, τοῦ Θεοῦ, τῆς τοιαύτης ἐπιβουλῆς ἀνεθῆναι τὸν ἄνδρα.

nequaquam erimus a peccato immunes; verum licet corpore non conjungamur, tamen ut animo fornicati judicabimur.

LXV. Narrat deinde iis tale quid, quod mihi, inquit, retulerunt aliquando quidam Ægyptii senes (82). Erat aliquis in civitate, vitæ quidem apud omnes admirandæ habitus, quasi plurima cum Deo familiaritate ditatus; revera autem frequenter eum ad iram provocans in occulto cordis motu, propter citum pravis cogitationibus assensum; adeo ut quanquam non opere, at cogitatione facile peccaret. Is itaque gravi tandem morbo correptus, in ultimis vitæ halitibus versabatur, jamque ad mortem spectabat. Urbem vero tenebat comploratio, omnisque ætas plangebat; cuncti ante virum, si fieri posset, morte abripi exoptabant, satius rati hoc subire, quam hominis sic per omnem linguam celebrati cernere excessum. Interea quidam egregius contemplator urbem ingressus, et videns gravem illum publicumque luctum; audiens deinde et populum cum ejulatu ita de eo lamentantem: O Sanctus! o Pater! o servator noster! cujus ad Deum deprecatione salvandi sumus cuncti: quæ nobis posthac erit salutis spes? quænam post hunc securitas? Hæc vir ille contemplativus videns et audiens, ad eum sedulo pergit, precationis aut benedictionis alicujus consequendæ causa properans. Ut vero jam prope fuit, cernit quidem civium clarissimos, cernit etiam sacerdotum clerum, prætereaque ipsum episcopum, qui faces manibus gestabant, et corporis deductionem exsequiasque præstolabantur. Deinde submota turba, et ad jacentem ingressus, invenit eum paulum adhuc spirantem; videt autem internis occultisque oculis spectaculum quoddam, et visu horridum, et auditu lacrymabile. Videbatur enim ei, quod quidam igneum velut tridentem in hominis illius cor demitteret, atque inde animam (heu!) violenter crudeliterque evelleret; quodque postea audiret cœlitus vocem, dicentem: Quemadmodum anima hæc ne diem quidem unum me sivit quiescere, ita nec tu cesses illam dilaniare, crudeliter discerpere, tormentis afficere.

LXVI. Hæc præsentibus fratribus Euthymius enarravit: deinde vero monere eos cœpit, suadens ut attenti essent semperque ad animæ excessum parati, dicens: Æmilianus iste vobis exemplo sit; quem ideo plane permisit Deus ita fœde et miserabiliter in omnium vestrum oculis a sævo impudicitiæ dæmone opprimi, ut vos efficiamini meliores atque ex ejus supplicio lucrum reportetis. At enim, inquit, Deum oremus, ut is vir a talibus liberetur insidiis. Et ille quidem statim pro fratre est precatus. Totus vero confestim locus tetro odore plenus

VARIÆ LECTIONES.

[q] al. ins. πρὸς Θεόν. [r] al. ὡς οἷόν τε.

JOAN. BOLLANDI NOTÆ.

(82) Hæc non in Ægypto, sed apud S. Euthymium peracta asserunt Menæa et Nicephorus supra proleg. n. 6 et 11.

fuit, velut ardentis sulfuris, voxque fetorem est consecuta, dicens : Ego sum fornicationis spiritus. Deinde surrexit frater temperans et sanæ mentis, ipse quoque ex illo tempore factus, juxta divinum Apostolum, vas electionis [15].

A Καὶ ὁ μὲν αὐτίκα τοῦ ἀδελφοῦ ὑπερηύχετο. Ὁ δὲ τόπος εὐθὺς ἅπας, δυσωδίας πολλῆς ἀνεπέπληστο, θείου καθάπερ τινὸς ὑποκαιομένου · καὶ φωνὴ τῇ δυσωδίᾳ ἐπηκολούθει, Ἐγώ εἰμι τὸ τῆς πορνείας, λέγουσα, πνεῦμα. Καὶ τὸ ἐξῆς σωφρονῶν ὁ ἀδελφὸς καὶ νήφων ἀνίστατο, σκεῦος ἐκλογῆς καὶ αὐτὸς, κατὰ τὸν θεῖον Ἀπόστολον, τὸ ἀπ' ἐκείνου γενόμενος.

LXVII. Sub idem vero tempus, cum terra pluviæ penuria premeretur, adeo ut cœlum quidem super caput, juxta Scripturæ sententiam [16], esset æneum, terra autem subtus ferrea, et quæ erant circa lauram cisternæ essent intus siccitate ac pulvere repletæ, gravis afflictio tenebat fratres: et cum beato accedentes Theoctisto, magnum rogabant Euthymium (sciebant enim quanta ejus esset apud Deum fiducia), ut cœlum per preces aperiret, illincque aquam eis deduceret, siccitate valde laborantibus. Ille vero non acquiescebat; eam rem vocans Dei disciplinam et probationem velut per ignem, propter peccata invectam. *Viæ* enim *tuæ*, inquit divinus Jeremias, *et studia tua fecerunt tibi hæc* [17]. Et propterea forte neque exaudiet me, ejus benignitati preces fundentem. *Ne ores* enim, inquit rursus idem propheta, *pro populo hoc, et ne postules pro eis ; quia non exaudiam te* [18]. Atque hæc quidem divinus Euthymius, differens de hoc Deum rogare, ob modestiæ exsuperantiam.

ΞΖ'. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καί τῆς γῆς ἀνομβρίᾳ πιεζομένης, ὥστε εἶναι τὸν μὲν οὐρανὸν ὑπὲρ κεφαλῆς, κατὰ τὸ εἰρημένον, χάλκοῦν, τὴν δὲ γῆν ὑποκάτω σιδηρᾶν, καὶ τῶν περὶ τὴν λαύραν λάκκων αὐχμοῦ τὰ ἔνδον καὶ κόνεως ἀνεπεπλησμένων, δεινὴ θλίψις συνεῖχε τοὺς ἀδελφούς · καὶ σὺν τῷ μακαρίτῃ προσελθόντες Θεοκτίστῳ, τοῦ μεγάλου ἐδέοντο Εὐθυμίου (ᾔδεισαν γὰρ οἷα πρὸς Θεὸν αὐτῷ παῤῥησία), δι' εὐχῆς ἀνοῖξαι τὸν οὐρανὸν, καὶ ὕδωρ αὐτοῖς B ἐκεῖθεν κατενεγκεῖν, σφόδρα τῷ αὐχμῷ κάμνουσιν. Ὁ δὲ οὐκ ἠνείχετο · παιδείαν Θεοῦ καὶ πύρωσιν τὸ πρᾶγμα καλῶν, δι' ἁμαρτίας ἐπαγομένην. Αἱ ὁδοί σου γὰρ, φησὶν Ἱερεμίας ὁ θεῖος, καὶ τὰ ἐπιτηδεύματά σου, ἐποίησάν σοι ταῦτα. Καὶ διὰ τοῦτο τάχα οὐδὲ εἰσακούσεταί μου, τῆς αὐτοῦ χρηστότητος δεομένου. Μὴ εὔχου γὰρ, φησὶν ὁ αὐτὸς πάλιν προφήτης, περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἀξίου περὶ αὐτῶν, ὅτι οὐκ εἰσακούσομαί σου. Καὶ ταῦτα μὲν ὁ θεῖος Εὐθύμιος, ἀναβαλλόμενος τὴν ὑπὲρ τούτου πρὸς Θεὸν δέησιν, διὰ μετριοφροσύνης ὑπερβολήν.

LXVIII. Cum autem intenderetur flagellum, invalesceretque pluviæ defectus ; deinde vero etiam vici qui erant circumcirca graviori necessitate premerentur; quoniam dies erat octavus sanctorum Theophaniorum, et jam advenerat præfinitum tempus, quo exibat vir in vastam solitudinem, confluit quidem ad eum multitudo numerum excedens, cruces habentes in manibus, et *Kyrie eleison* (83), de more, non ore tantum, sed etiam labiis cordis clamantes. Ille vero flexus illorum supplicationibus, ad eos egreditur, aitque: Mihi quidem, o filii, nulla est ad Deum fiducia, loquendique audacia, ut qui sim peccator, et plus quam alius ullus opus habeam ejus clementia ; præsertimque nunc in tali adversus nos iræ tempore, res mihi erit audaciæ plena, Deo preces offerre, qui, ut ait divinus Isaias, *Dat panem afflictionis, et aquam angustam* [19], *Qui aperiet, et non erit qui occludat* [20] *; et claudet, et non est qui aperiat* [21]. Nam peccata nostra separant inter ipsum et nos. Inquinavimus ejus imaginem, templum polluimus; desideriis et voluptatibus variis servimus [22], invidiæ et avaritiæ hæremus ; evasimus ei odiosi, odientes invicem. Verumtamen quia benignus est nobis Dominus, sola indigens

ΞΗ'. Ἐπιτεινομένης δὲ τῆς μάστιγος, καὶ τῆς ἀνομβρίας ἐπικρατούσης · εἶτα καὶ τῶν πέριξ κωC μῶν ἀνάγκαις σφοδροτέραις συνεχομένων · ἐπείπερ ἡ ὀγδόη τῶν ἁγίων Θεοφανίων ἡμέρα ἦν, καὶ ἡ προθεσμία ἤδη τῆς ἐπὶ τὴν πανέρημον ἐξόδου τοῦ ἀνδρὸς ἐνειστήκει, συῤῥεῖ μὲν πλῆθός τι πρὸς αὐτὸν ἀριθμοῦ κρεῖττον, σταυροὺς ἐν ταῖς χερσὶν ἔχοντες, καὶ τὸ, Κύριε, ἐλέησον, ὥσπερ σύνηθες, οὐ στόματι μόνον, ἀλλὰ καὶ χείλεσι καρδίας ἐπιβοώμενοι. Ὁ δὲ ταῖς λιταῖς ἐκείνων ἐπικαμφθεὶς, ἔξεισι πρὸς αὐτούς · Ἐμοὶ μὲν οὐδεμία, λέγων, ὦ τέκνα, πρὸς Θεὸν ἡ παῤῥησία ἐστὶν, ἁμαρτωλῷ τε ὄντι καὶ παντὸς μᾶλλον δεομένῳ φιλανθρωπίας · καὶ μάλιστα νῦν ἐν καιρῷ τοιῷδε τῆς καθ' ἡμων ὀργῆς, τολμηρόν μοι Θεῷ προσενεγκεῖν δέησιν, ὃς δίδωσι, κατὰ τὸν θεσπέσιον Ἡσαΐαν, ἄρτον θλίψεως, καὶ ὕδωρ στενόν · ὃς ἀνοίξει, καὶ οὐκ ἔσται ὁ ἀποκλείων D καὶ κλείσει, καὶ οὐκ ἔστιν ὁ ἀνοίγων. Αἱ γὰρ ἁμαρτίαι ἡμῶν διιστῶσιν ἀνὰ μέσον αὐτοῦ καὶ ἡμῶν. Ἐῤῥυπώσαμεν τὴν αὐτοῦ εἰκόνα, τὸν ναὸν ἐμιάναμεν, δουλεύομεν ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, φθόνῳ καὶ πλεονεξίᾳ προσκείμεθα · γεγόναμεν αὐτῷ στυγητοί, μισοῦντες ἀλλήλους. Πλὴν ἀλλ' ἐπεὶ φιλάνθρωπος ἡμῖν ᵃ ὁ Δεσπότης, προφάσεως

[15] Act. IX, 15. [16] Deut. XXVIII, 23. [17] I Petr. IV, 12 ; Jerem. IV, 18. [18] Jerem. VII, 16. [19] Isa. XXX, 20. [20] Isa. XXII, 22. [21] Isa. LIX, 2. [22] Tit. III. 3.

VARIÆ LECTIONES.

ᵃ al. ἡμῶν.

JOAN. BOLLANDI NOTÆ.

(83) Usum antiquum Litaniarum defendit Nicolaus Serarius noster duobus libellis Litaneuticis. *Kyrie eleison* eadem ratione in Actis S. Simeonis Stylitæ supra 5 Januarii usurpatur.

δεόμενος μόνης, καὶ πάντα τὸν ἔλεον εὐθὺς δαψιλῶς A προϊέμενος, προσπέσωμεν αὐτῷ, καὶ θερμῶς δεηθῶμεν· καὶ οἶδ' ὅτι συγγνώσεται, καὶ τὰ ἑαυτοῦ ποιήσει, καὶ βροχὴν ἀφοριεῖ, καὶ πατρικῶς ἡμῶν προνοήσεται. Ἐγγὺς γὰρ Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, ὁ θεῖος ἔφη Δαβὶδ, ἐν ἀληθείᾳ. Ἔτι δὲ αὐτοῦ λέγοντος, ὑπολαβόντες ἐκεῖνοι, καθάπερ ὑπὸ μιᾷ τῇ γλώττῃ καὶ τῇ φωνῇ, Αὐτὸς ὑπὲρ ἡμῶν, τίμιε Πάτερ, εἶπον, δεήθητι. Τὸ γὰρ θέλημα τῶν φοβουμένων αὐτὸν ποιεῖν οἶδε πάντως ὁ Κύριος.

ΞΘ'. Ταῦτα καὶ τὰ τοιαῦτα παριδεῖν οὐκ ἔχων [t] ὁ θεῖος Εὐθύμιος, καὶ τῷ πλήθει μὲν ἱκετηρίαν ἐκτενῆ παραγγείλας, αὐτὸς δὲ τῶν μοναχῶν τοὺς παρόντας παραλαβὼν, εἴσεισι τὸ εὐκτήριον σὺν αὐτοῖς· καὶ ῥίψας ἑαυτὸν ἐπὶ γῆς, ἐδεῖτο σὺν δάκρυσι του B Θεοῦ. Καὶ τῇ δεήσει Θεὸς ἐπείθετο· καὶ αὐτίκα ἦχός τις βιαίου πνεύματος ἐξηκούετο, καὶ νεφῶν ὁ ἀὴρ ἐπληροῦτο, καὶ [u] λάβρος [v] ὑετὸς κατεφέρετο, καὶ ὕδασιν ἀφθόνοις ἡ γῆ ἐμεθύσκετο.

Ο'. Ἀναστὰς τοίνυν τοῦ ἐδάφους ἐκεῖνος, καὶ τοῖς ὄχλοις ἐπιφανεὶς· Ἰδοὺ, φησὶ, Κύριος τῶν εὐχῶν ὑμῶν ἐπακούσας [x], ἐπισκοπῇ αὐτου τὴν γῆν ἐπεσκέψατο, καὶ ἐμέθυσε τοὺς αὔλακας αὐτῆς, καὶ τοῦ πλουτίσαι αὐτὴν ἐπλήθυνεν· εὐλογήσει δὲ καὶ τὸν στέφανον τοῦ ἐνιαυτοῦ τούτου, ὑπὲρ τοὺς ἄλλους· καὶ πλησθήσονται μὲν τὰ πεδία πιότητος, πιανθήσονται τὰ ὡραῖα [y] τῆς ἐρήμου, καὶ πληθυνοῦσιν αἱ κοιλάδες σῖτον, καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώ- C σονται. Ὁ μὲν οὖν τοιαῦτα εἰπὼν, διαλύει τὸ πλῆθος· παραπόδας δὲ καὶ ἡ τῆς προῤῥήσεως ἔκβασις εἵπετο· καὶ ἡ γῆ ἐν ταῖς σταγόσιν αὐτῆς ηὐφραίνετο ἀνατέλλουσα. Ὁ μέντοι ῥαγδαῖος ὑετὸς ἐκεῖνος ἐφ' ἱκανὸν οὕτω κατηνέχθη, ὡς ἐπισχεῖν ἄχρι πολλοῦ καὶ τὴν ἐπὶ τῆς ἐρήμου τοῦ ἀνδρὸς ἀναχώρησιν. Τί οὖν; ἀπόχρη καὶ ταῦτα τῶν Εὐθυμίου καλῶν; ἢ ζημίαν ταῖς φιλοθέοις ψυχαῖς οἴσομεν [z], εἰ τὰ λοιπὰ τῶν ἐκείνου κατορθωμάτων παρήσομεν; Τοιγαροῦν κἀκεῖνα διηγητέον, ἅ μοι Ἰωάννης, ὁ ἡσυχαστὴς, φημὶ, καὶ ἐπίσκοπος, καὶ Θαλέλαιος ὁ πρεσβύτερος (τῇ λαύρᾳ δὲ οὗτοι τοῦ μακαρίτου Σάβα [a] ἔτι πάρεισιν ἐνασκούμενοι) παρέδοσαν.

ΟΑ'. Ἔλεγον γὰρ, ὡς πολλοῖς τε ἄλλοις, καὶ αὐτῷ δήπου τῷ θείῳ Πατρὶ Σάβᾳ, διὰ θαύματος ἦν ἀεὶ ὁ D

occasione, statimque omnem abunde effundens misericordiam, supplices ei procidamus, eumque fervide oremus; et scio fore ut ignoscat, tum quæ sua sunt faciat, imbremque decernat, atque nostri paternam gerat curam. Est enim *Prope Dominus omnibus invocantibus eum*, divinus inquit David, *in veritate* [23]. Eo autem adhuc loquente, illi excipientes, veluti una lingua et voce: Ipse, dixerunt, pro nobis ora, venerande Pater. Voluntatem quippe eorum qui timent ipsum facere omnino novit Dominus.

LXIX. Hæc et similia non valens divinus despicere Euthymius, multitudini quidem intensam supplicationem præcepit, ipse vero assumptis monachis qui aderant, ingreditur cum ipsis oratorium; seque humi projiciens, Deum orabat cum lacrymis. Deus vero oratione flexus est, statimque audiebatur quidam sonus vehementis spiritus, aer implebatur nubibus, erumpebant tonitrua, plurimus magno impetu cadebat imber, et affluentibus aquis terra inebriabatur.

LXX. Itaque ille humo surgens se turbis ostendit; aitque: Ecce Dominus exauditis vestris precibus, visitavit terram visitatione sua, et rivos ejus inebriavit, atque multiplicavit locupletare eam; benedicet autem coronam anni hujus supra alios; et replebuntur quidem campi ubertate, pinguescent vero speciosa deserti, et valles abundabunt frumento, et colles exsultatione accingentur [24]. Atque his dictis, dimittit multitudinem: mox vero secutus quoque est eventus prædictionis; et lætata est terra, in suis stillis germinans. Porro vehemens illa pluvia, usque adeo delapsa est, ut diu detinuerit viri secessum in solitudinem. Quid ergo? Hæcne sufficiunt ex bonis Euthymii? an piis damnum animis afferemus, si præclarorum illius factorum reliqua omiserimus? Illa ergo etiam narrare oportet, quæ mihi Joannes, solitarius (84), inquam, et episcopus, et Thalelæus (85) presbyter (ii autem adhuc in laura sancti Sabæ vitam ducunt asceticam) tradiderunt (86).

LXXI. Dicebant enim, quod cum aliis multis, tum ipsi divino Patri Sabæ admirationi semper fuit

[23] Psal. CXLIV, 18, 19. [24] Psal. LXIV, 10, 11, 12, 13, 14.

VARIÆ LECTIONES.

[t] al. inser. εἶξεν. [u] al. add. καὶ βρονταὶ κατεῤῥήγνυντο. [v] al. λαῦρος. [x] al. εἰσακουσας. [y] al. ὀρέα. [z] al. εἰσοίσομεν. [a] al, Σάββα et semper.

JOAN. BOLLANDI NOTÆ.

(84) Vitam S. Joannis Silentiarii dabimus 13 Maii; de Cyrilli cum eo familiaritate actum in proleg. num, 9, de ætate n. 12 et seqq.

(85) Est hic Thalelæus Cilix, qui sexaginta annos transegit in vita monastica, nunquam flere desistens, dicensque jugiter: «Tempus hoc nobis ad pœnitentiam indultum est, et valde requiretur a nobis, si illud neglexerimus.» Ita Moschus cap. 59. Alius ab hoc est Thalelæus Cilix, qui integro sæculo antiquior prope Gabalam in Syria vitam monasticam decennio exegit, quem celebrant Menæa 27 Februar, et Theodoretus, qui eum invisit, in Philotheo cap. 28, ad quem locum Rosweydus num. 81 utrumque confudit. Alius denique Thalelæus Martyr est in Menæis 20 Maii, cujus martyrio relato lib. I. Viridarii sacri ex tribus hisce Thalelæis unum facit Raderus. Verum hic martyr vixit sub Numeriano, ab aliis omnino distinctus

(86) Circa an. Ch. 554, imo S. Joannis Vitam adhuc viventis scripsit an. Ch. 557. Vide proleg. num. 15.

hic vir admirabilis, quo pacto in summa animi moderatione et mansuetudine, tantum pro rectis Ecclesiæ dogmatibus zelum intulerit; ut idem revera esset mitis et pugnator; et absolute quidem adversus omnes recta non sentientes, magno præditus erat atque ardenti zelo; maxime autem contra manichæos, eosque qui nugas tuentur Origenis: qui multi cum essent tunc in locis Cæsaream ambientibus, tum ad eum venirent prætextu pietatis, erat leo adversus vulpes, sermone inexpugnabilis nec sustineri valens, demonstrationibus e sacra Scriptura petitis valide illos comprimens et suffocans; et secundum Jeremiæ verba [25], efficiens ut ipsi confunderentur a gloriatione sua; necnon fabulose apud eos traditam præexsistentiam et restitutionem evertens omnibus viribus atque dejiciens. Quinetiam in eos qui Arii et Sabellii laborant insania, acriter spirabat, eosque, juxta Prophetam, perfecto odio oderat [26].

LXXII. Cæterum septuagesimo et quinto anno ætatis(87) magni Euthymii, congregata fuit synodus Chalcedonensis; in quam omnes fere totius orbis undique convenerunt pontifices (88): eos enim ad conventum vocabant, quæ Ephesi scilicet innovata fuerant, a Dioscoro, inquam, Alexandrino; quem cum eadem ac ille asserentibus, e sacris ejecerunt Catalogis; accuratumque fidei decretum exposuerunt. Huic synodo etiam intererant discipuli præcellentis Euthymii, Stephanus Jamniæ (89), et Saracenorum episcopus Joannes; cum Petrus quidem jam e vita excessisset, qui vero ei successit Auxolaus (90), adhæsisset Dioscoro, et ideo magno (proh dolor!) sane Euthymio invisus vitam finiisset. Ii ergo, Stephanus videlicet et Joannes, synodo præsentes, postquam fidei decretum jam erat mandatum litteris, eo statim arrepto, quam potuerunt celerrime ad Euthymium accedunt. Quonammodo affecti? Volentes scire, an ipse quoque assentiretur iis quæ scripta fuerant. Non mediocriter enim terrebat eos quod Auxolao contigerat; neque habebant quo modo aut consentirent, aut differrent, antequam cognoscerent quo vergeret illius sententia. Postquam vero ille legisset, et quæ scripta erant invenisset recte se habere et rectæ regulæ veritatis concinere, pervasit repente fama totam solitudinem, quod et magnus Euthymius sequeretur synodum Chalcedonensem.

A θαυμαστὸς οὗτος [b] ἀνήρ· ὅπως ἐν μετρίῳ πάνυ καὶ ἐπιεικεῖ τῷ φρονήματι, τοσοῦτον ὑπὲρ τῶν ὀρθῶν τῆς Ἐκκλησίας δογμάτων εἰσήνεγκε ζῆλον, ὡς τὸν αὐτὸν ἐν ἀληθείᾳ πρᾶον εἶναι καὶ μαχητήν. Καὶ ἁπλῶς μὲν κατὰ πάντα ὀρθὰ μὴ φρονούντων, πολὺς ἦν τὸν ζῆλον καὶ διαπύρσιος [c] κατὰ Μανιχαίων δὲ μάλιστα, καὶ αὐτῶν τῶν τὰ Ὠριγένους ληρήματα πρεσβευόντων· οὓς πολλοὺς τότε ὄντας ἐν τοῖς περὶ Καισάρειαν τόποις, εἶτα καὶ εὐλαβείας προσχήματι πρὸς αὐτὸν φοιτῶντας, λέων πρὸς ἀλώπεκας ἦν, ἄμαχός τε τὸν λόγον καὶ ἀνυπόστατος, ταῖς ἐκ τῶν θείων Γραφῶν ἀποδείξεσιν ἰσχυρῶς αὐτοὺς συνέχων καὶ ἀποπνίγων· καὶ τὸ τοῦ Ἱερεμίου, αἰσχυνθῆναι τούτους ἀπὸ καυχήσεως αὐτῶν παρασκευάζων· τὴν παρ' αὐτοῖς τε μυθολογουμένην προύπαρξιν καὶ B ἀποκατάστασιν ἀνατρέπων παντὶ σθένει καὶ καταβάλλων. Οὐ μὴν, ἀλλὰ καὶ κατ' αὐτῶν ὅσοι τὴν Ἀρείου τε καὶ Σαβελλίου μανίαν ἐνόσουν, θερμὸν ἔπνει, καὶ τέλειον αὐτοὺς, κατὰ τὸν προφήτην, μῖσος ἐμίσει.

ΟΒ'. Ἑβδομηκοστῷ δὲ τῆς Εὐθυμίου τοῦ μεγάλου ἡλικίας καὶ πεμπτῳ ἐνιαυτῷ, καὶ ἡ ἐν Χαλκηδόνι [d] συνεκροτήθη σύνοδος· καθ' ἣν ἁπάντων σχεδὸν τῶν πανταχοῦ τῆς οἰκουμένης συνελθόντων ἀρχιερέων· ἐκάλει γὰρ αὐτοὺς εἰς συνέλευσιν τὰ ἐν Ἐφέσῳ δηλαδὴ νεωτερισθέντα ὑπὸ Διοσκόρου, φημὶ, τοῦ Ἀλεξανδρέως· ὃν ἅμα τοῖς τὰ ἐκείνου πρεσβεύουσι τῶν ἱερῶν ἐκβαλόντων καταλόγων, ὅρον τε ἀκριβῆ τῆς πίστεως ἐκθεμένων· καὶ οἱ Εὐθυμίου μαθηταὶ τοῦ πάνυ τῇ συνόδῳ παρόντες ἐτύγχανον, Στέφανός τε ὁ Ἰαμνείας [e], καὶ ὁ τῶν Σαρακηνῶν ἐπίσκοπος C Ἰωάννης· Πέτρου μὲν ἤδη τὸν βίον ἀπολιπόντος, τοῦ δὲ μετ' αὐτὸν Αὐξολάου τῷ Διοσκόρῳ προστεθέντος, καὶ διὰ τοῦτο ἐν ἀπεχθείᾳ τὸν βίον, οἴμοι! τάγε πρὸς τὸν μέγαν Εὐθύμιον καταστρέψαντος. Οὗτοι γοῦν, Στέφανος δηλονότι καὶ Ἰωάννης, τῇ συνόδῳ παρόντες, ἐπείπερ ἤδη ὁ τῆς πίστεως ὅρος ἐν γράμμασιν ἦν, ἁρπάσαντες εὐθέως αὐτὸν, ᾗ τάχους εἶχον πρὸς Εὐθύμιον παραγίνονται. Τί παθόντες; Εἰ καὶ αὐτὸς στοιχοίη τοῖς γεγραμμένοις μαθεῖν ἐθέλοντες. Ἐφόβει γὰρ αὐτοὺς οὐ μετρίως τὸ κατὰ τὸν Αὐξόλαον· καὶ οὐκ εἶχον ὅπως ἢ συνθῶνται, ἢ ἀναβάλωνται, πρὶν ἂν καὶ τὴν ἐκείνου γνοῖεν τῆς γνώμης ῥοπήν. Ἐπεὶ δὲ ἐντυχὼν ἐκεῖνος, καλῶς ἔχοντα εὗρε τὰ γεγραμμένα, καὶ τῷ ὀρθῷ κανόνι τῆς ἀληθείας συνᾴδοντα, ἀθρόον ἡ φήμη πανταχοῦ τῆς ἐρήμου διέβαινεν, ὅτι D καὶ ὁ μέγας Εὐθύμιος τῇ ἐν Χαλκηδόνι στοιχοίη συνόδῳ.

25 Jerem. XII, 13. 26 Psal. CXXXVIII, 22.

VARIÆ LECTIONES.

[b] al. ins. ὄντως. [c] al. διαπρύσιος. [d] al. Καλχηδόνι et infra. [e] al. Ἰαμνίας, et infra.

JOAN. BOLLANDI NOTÆ.

(87) An. Ch. 451, cœpta est 8 octobr. et post 13 sessiones absoluta 1 Novemb. Dicitur annus Euthymii 75, cum revera tantum esset 74, quod a Septembri annum inchoarent Orientales, isque principium contineret anni illius 75.

(88) Sexcenti et triginta.

(89) Uterque subscripsisse legitur Actioni 1, 2 et 6 ubi Joannes dicitur episcopus ἔθνους Σαῤῥακηνῶν.

(90) Auxolaus hic interfuit synodo Ephesinæ II reprobatæ et adversus S. Flavianum, una cum Dioscoro, subscripsit. Hæc produnt acta Ephesina, quæ intexta sunt synodo Chalcedonensi sub finem Actionis primæ.

ΟΓ'. Τοῦτο δὲ κἂν πάντας ὀλίγου πρὸς αὐτῇ [f] A τοὺς μοναχοὺς ἐπεσπάσατο, εἰ μή τις Θεοδόσιος, τὸ σχῆμα μὲν μοναχὸς, τὸν δὲ τρόπον γόης ἐπικαιρότατος καὶ διεφθαρμένος τὴν γνώμην, ἐπιεικῶς εἰς τὴν Παλαιστίνην ἐλθὼν, καὶ τοιαῦτά τινα κακούργως περὶ τῆς ῥηθείσης συνόδου πλασάμενος, ὡς ἀναιροίη μὲν τὸ τῆς ὀρθῆς πίστεως δόγμα καὶ ἀνατρέποι, εἰσάγοι δὲ μᾶλλον καὶ ἀνακαλοῖτο τα Νεστορίου, εἷλέ τε τὴν Αὐγοῦσταν Εὐδοκίαν, τῇ Παλαιστίνῃ τηνικαῦτα ἐπιδημοῦσαν, καὶ ἅπαν δι' αὐτῆς ὑπηγάγετο τὸ μοναχικόν. Ἔπειτα καὶ τῷ τῶν Ἱεροσολύμων θρόνῳ ἰταμῶς, ὦ δίκη, καὶ ἀναισχύντως ἐπιπηδᾷ· καὶ τὴν ἀπὸ τῆς ἐξουσίας εὐκολίαν παραλαβὼν, ἐπιστρατεύει τοῖς θείοις κανόσι καὶ νόμοις. Καὶ τὸ ἐντεῦθεν ἄνθρωποι μὲν ἐπιεικεῖς καὶ σώφρονες, τῶν B θρόνων καὶ ἱερῶν ἀπελήλαντο· εἰσὶ δὲ οἳ καὶ ἀνῃροῦντο παρ' αὐτοῦ, καὶ τὰς χεῖρας ὁ μιαρὸς ἀρχιερέων, φεῦ! ἐμίαινεν αἵμασι [g]· κακοῦργοι δὲ καὶ γόητες καὶ λοιμοὶ, καὶ δεσμωτηρίων μᾶλλον ἢ θρόνων ἄξιοι, ἱεροφάνται καὶ ἱερεῖς ἀνεδείκνυντο, καὶ πολλῆς παρὰ τῷ λυμεῶνι τούτῳ καὶ μιαρῷ τῆς παῤῥησίας ἀπέλαυον.

ΟΔ'. Οὕτω δὲ [h] αὐτοῦ πάντας ἀνηρτημένου τοὺς μοναχοὺς, καὶ ὅτῃ βούλοιτο ἄγοντος, μόνοι τὴν αὐτοῦ κοινωνίαν, καθάπερ ἄγος τι κίασμα, οἱ περὶ τὸν μέγαν Εὐθύμιον ἀπεστρέφοντο. Ἐπεὶ δὲ καὶ τούτῳ πεῖραν προσῆγεν ὁ δυσσεβὴς Θεοδόσιος, καὶ μετεκαλεῖτο πρὸς ἑαυτὸν, ἐκείνου μηδὲ ἀκοῦσαι τὸν λόγον ἀνεχομένου, πέμπει πρὸς αὐτὸν πάλιν πρεσβείαν, Ἐλπίδιον καὶ Γερόντιον· ὧν ὁ μὲν τοῦ μεγάλου Πασ- C σαρίωνος, ὁ δὲ τῆς μακαρίας Μελάνης διάδοχος ἦν· ἀξιοῦντας, καὶ εἰ μὴ παρ' αὐτὸν ἀφικέσθαι βούλοιτο, ἀλλ' οὖν ἔν τινι τόπῳ συνελθεῖν ἀμφοτέρους, καὶ περὶ ὧν ἑκάτερος ἔχοι, πρὸς ἀλλήλους διαλεχθῆναι. Καὶ ὃς δεινῶς καὶ πρὸς ταῦτα σχετλιάσας· Μή μοι γένοιτο, εἶπε, μήτε τοῦ ἀδίκου τῶν ἱερέων αἵματος, μήτε τῆς αἱρέσεως κοινωνῆσαι Θεοδοσίῳ. Οἱ δὲ, Ἀλλὰ τοῖς τοῦ Νεστορίου, φασὶ, κοινωνεῖν ἀναγκαῖον, ὅτι τε δύο φύσεις πρεσβεύει, ὅπερ οὐδέπω μέχρι καὶ νῦν ἔκ τινος παρειλήφαμεν, καὶ ὅτιπερ αὐτοῖς καὶ ἡ ἐν Χαλκηδόνι σύνοδος ἠκολούθησεν.

ΟΕ'. Ὑπολαβὼν δὲ ὁ μέγας Εὐθύμιος, Τὰ μὲν ὑπὸ

LXXIII. Hoc autem omnes propemodum monachos ad eam attraxisset, nisi Theodosius (91) quidam, habitu quidem monachus, moribus (92) vero prætigiator exitiosissimus, et mente corruptus, veniens in Palæstinam præter expectationem, et hæc similiaque improbe de dicta synodo commentus, quod everteret quidem rectæ fidei dogma, introduceret autem potius atque revocaret Nestorii sententiam, cepisset Eudociam (93) Augustam, quæ tunc in Palæstina (94) versabatur et per eam omnem induxisset monasticum ordinem. Is postea etiam sedem Hierosolymitanam temerarie (o justitia!) et impudenter invadit (95); atque cum ex potestate accepisset facultatem, bellum gerit adversus divinos canones et leges. Inde homines quidem probi atque moderati a sedibus et sacris expellebantur; fuerunt et qui ab eo occisi (96) sunt; necnon manus sceleratus pontificum (97) (heu!) sanguine polluit; malefici autem et præstigiatores, et pestes potiusque digni carceribus quam sedibus, sacrorum interpretes et sacerdotes creabantur, atque apud hunc scelestum impurumque magnam assequebantur fiduciam.

LXXIV. Cum vero sic omnes monachi ab eo penderent, duceretque eos quo vellet, solus communionem ejus, tanquam scelus aliquod et piaculum aversabatur magnus Euthymius cum suis. Quoniam autem ei quoque tentationem inferebat impius Theodosius, et ad se arcessebat, illo ne sermonem quidem audire sustinente, rursus mittit ad eum legationem, Elpidium (98) et Gerontium (99); quorum ille quidem magni Passarionis, hic vero beatæ Melaniæ (1) erat successor, rogantes, ut si ad ipsum nollet venire, convenirent tamen ambo in locum aliquem, et de iis quæ uterque lamentatus: Absit, inquit, ut aut *in* injuste fuso sanguine sacerdotum, aut in hæresi communicem cum Theodosio. Ii autem: Sed necesse est, inquiunt, ut communices Nestorii sectatoribus, quoniam et is duas tuetur naturas: quod ne in hodiernum quidem diem ob aliquo accepimus, atque iis adhæsit Chalcedonensis synodus.

LXXV. Tunc magnus excipiens Euthymius ait:

VARIÆ LECTIONES.

[f] al. αὐτήν. [g] al. αἵματι. [h] al. δέ.

JOAN. BOLLANDI NOTÆ.

(91) De Theodosio hoc agit Evagrius lib. 2, cap. 5. Nicephorus lib. 15, cap. 9.

(92) Hic a suo proprio episcopo in maleficiis deprehensus; expulsus fuit monasterio; et quod, dum forte Alexandriæ versabatur, adæserat Dioscoro, et multis utpote seditiosus, verberibus dilaceratus, cameloque maleficorum mere impositus, circum urbem ductus fuerat, Ita Evagrius eumque secutus Nicephorus.

(93) Viduam Theodosii Junioris imperatoris, de cujus conversione, doctrina, conjugio actum est 8 Januarii in Vita S. Attici n. 40.

(94) Ut vitam a strepitu quietam tranquillamque duceret, cujus contrarium experta est, in Euthychianam hæresim seducta.

(95) Intrusus in cathedram ipso festo Resurre- D ctionis an. Ch. 452, cum Juvenalis Constantinopolim pellisset.

(96) Inter hos fuit S. Athanasius diaconus, de quo agit Martyrol. Romam. 5 Julii.

(97) Ex his S. Severianus episcopus Scythopolis, qui colitur 21 Februar.

(98) Elpidius præerat monasterio S. Passarionis, cum S. Sabas Hierosolymam veniret, ab eoque est missus ad S. Euthymium. Ita Cyrillus in Vita S. Sabæ.

(99) Hic Gerontius admodum pertinax permansit in hæresi, duxque cæterorum fuit.

(1) Est hæc Melane, aliis Melana et Melania junior, cujus vitam dabimus 31 Decemb. ubi plura de monasteriis, etiam virorum, ab ea Hierosolymis exstructis.

Quæ ab ea quidem synodo sunt statuta, nondum singulatim consideravi omnia sed quod attinet ad decretum ab eis expositum, non possum quæ definita sunt reprehendere. Statuit enim ipsa quoque, sequi sententiam trecentorum decem et octo sanctorum Patrum qui Nicææ convenerunt; et suadet amplecti synodum centum et quinquaginta Patrum Constantinopoli congregatorum; et jubet eos sequi qui Ephesi convenerunt adversus impium Nestorium; Cyrillum autem Alexandrinum, ut ejusdem sententiæ, associat, et rectæ fidei magistrum profitetur; Deiparam, sanctam Virginem libera lingua nominat, et unigenitum Dei Filium ex ea natum esse asserit; sine tempore quidem et sine corpore ex Patre, in tempore autem et secundum carnem ex matre; unum Christum, a nobis inconfuse, immutabiliter, citra divisionem, in duabus naturis cognitum; et propter eos qui audent quamdam admittere divisionem in inexplicabili arcanaque unione, quæ secundum hypostasim seu personam facta est in utero, et eos qui per conversionem dicunt carnem factum esse Deum Verbum, carnemque Unigeniti asserunt esse consubstantialem divinitati; et alioqui propter eos etiam qui non confitentur unionem hypostaticam Verbi cum carne, at commistionem et confusionem; deinde et consubstantiationem impie ac prodigiose affirmant, qui quidem divinitatis et carnis aiunt unam fuisse naturam; adeo ut si spectentur quæ ab illis præter rationem dicta sunt, non possit amplius servari, nec id quod est Christi patibile, propter impatibilitatem divinitatis, neque id quod est impatibile, propter patibilitatem ipsius rursum humanitatis. Juxta hunc itaque rectæ sententiæ scopum, illud, *In duabus naturis*, decreto additum est a synodo; non tanquam seorsum atque per partes Christum exhibente, sed confitente eumdem in utroque, et utrumque in eodem.

LXXVI. Hæc persequente Euthymio, laudabat quidem Elpidius, et fatebatur recte habere quæ dicta fuerant, etiamsi non recesserit a communione Theodosii, statimque ostendit mutationem. Gerontius autem manebat in eadem sententia. Et sic reversi inter se dissentientes, Theodosio responsa annuntiant. Quibus ille auditis, quoniam in Palæstina jam omnia obtinebat, majus adhibebat studium, ut eum quoque in suam nassam traheret; magnoque assidue tendebat laqueos, ubique illecebras occultabat. Et quotidie aliquos ad eam submittebat, qui bona scilicet suaderent et utilia: ut discederet quidem ab iis quæ recte, et, ut Deo placet, sibi visa fuerant; Theodosio autem assentiretur, illiusque amplecteretur communionem. Ille vero quotidianos eorum adventus ægre et gravi animo ferens, quid agit? Cum omnes quibus præerat fratres convocasset, cautionemque multam eis præcepisset, ut nullo modo cederent, nec assentirentur pravæ Theodosii sententiæ; sed potius ita sentientium ora obstruerent,

A τῆς τοιαύτης συνόδου δογματισθέντα, οὔπω, φησὶ, καταμέρος ἐπέσκεμμαι πάντα· πλὴν ὅσον ἐπὶ τῷ παρ' αὐτῶν ἐκτεθέντι ὅρῳ, οὐκ ἔχω τῶν δεδογμένων ἐπιλαβέσθαι. Τά τε γὰρ τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων τῶν κατὰ Νίκαιαν συνελθόντων, καὶ αὐτὴ δοξάζειν νομοθετεῖ· τήν τε τῶν ἐν Κωνσταντινουπόλει πεντήκοντα πρὸς τοῖς ἑκατὸν σύνοδον ἀσπάζεσθαι παραινεῖ, καὶ τοῖς ἐν Ἐφέσῳ κατὰ Νεστορίου συνελθοῦσι τοῦ δυσσεβοῦς ἀκολουθεῖν ἐπιτρέπει· Κύριλλον δὲ τὸν Ἀλεξανδρείας, ὡς ὁμόδοξον ἑταιρίζεται, καὶ τῆς ὀρθῆς πίστεως διδάσκαλον ἀνομολογεῖ· Θεοτόκον τὴν ἁγίαν Παρθένον, ἐλευθέρᾳ γλώττῃ κατονομάζει, καὶ τὸν μονογενῆ τοῦ Θεοῦ Υἱὸν, ἐξ αὐτῆς γεννηθέντα [1] πρεσβεύει· ἀχρόνως μὲν καὶ ἀσωμάνως ἐκ τοῦ Πατρὸς, ὑπὸ
B χρόνον δὲ καὶ κατὰ σάρκα ἐκ τῆς Μητρός· ἕνα Χριστὸν ἡμῖν, ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἐν δυσὶ ταῖς φύσεσι γνωριζόμενον· διά τε τοὺς διαίρεσίν τινα τολμῶντας ἐπὶ τῆς καθ' ὑπόστασιν ἐν τῇ μήτρᾳ γεγενημένης ἀφράστου καὶ ἀποῤῥήτου ἑνώσεως, καὶ τοὺς κατὰ τροπὴν λέγοντας σάρκα γεγενῆσθαι τὸν τοῦ Θεοῦ Λόγον, καὶ τὴν τοῦ Μονογενοῦς σάρκα ὁμοούσιον τῆς θεότητος ἀποφαινομένους· ἄλλως τε δὲ, καὶ διὰ τοὺς μὴ ἕνωσιν τοῦ Λόγου καθ' ὑπόστασιν πρὸς τὴν σάρκα ὁμολογοῦντας, ἀλλὰ σύμφυρσίν γε καὶ σύγχυσιν· εἶτα καὶ συνουσίωσιν ἀσεβῶς τερατευομένους· οἵτινες τήν τε τῆς θεότητος καὶ τὴν τῆς σαρκὸς φύσιν, μίαν γεγενῆσθαί φασιν· ὡς μηκέτι δύνασθαι κατὰ τὰ ὑπ' ἐκείνων ἀλόγως εἰρημένα, μήτε τὸ παθητὸν τοῦ Χριστοῦ διὰ τὸ ἀπαθὲς τῆς θεότητος, μήτε τὸ ἀπαθὲς σώζεσθαι διὰ
C τὸ παθητὸν αὐτοῦ πάλιν τῆς ἀνθρωπότητος. Κατὰ τοῦτον τοίνυν τὸν τῆς ὀρθῆς διανοίας σκοπὸν, τὸ, Ἐν δυσὶ φύσεσιν, ὑπὸ τῆς συνόδου τῷ ὅρῳ προστέθειται· οὐχ ὡς ἰδίᾳ καὶ ἀναμέρος τὸν Χριστὸν γνωριζούσης, ἀλλὰ τὸν αὐτὸν ἐν ἑκατέρῳ διομολογούσης καὶ ἐν ταὐτῷ τὸ ἑκάτερον.

Οϛ'. Ταῦτα τοῦ Εὐθυμίου διεξιόντος, ὁ μὲν Ἐλπίδιος ἐπῄνει, καὶ ὀρθῶς ἔχειν ὡμολόγει τὰ εἰρημένα, εἰ καὶ μὴ τῆς Θεοδοσίου κοινωνίας ἀπέστη, καὶ τὴν μεταβολὴν εὐθὺς ἐπεδείξατο. Ὁ δὲ Γερόντιος ἐπὶ τῆς αὐτῆς ἔμενε γνώμης. Καὶ οὕτως ἀσύμφωνοι ἀλλήλοις ἐπανελθόντες, ἀπαγγέλλουσι Θεοδοσίῳ τὰς ἀποκρίσεις. Ἀκούσας δὲ τούτων ἐκεῖνος, ἐπεὶ πάντων ἐγκρατὴς ἤδη τῶν κατὰ Παλαιστίνην ἐγένετο, πλείονι τῇ σπουδῇ ἐχρῆτο, καὶ αὐτὸν εἴσω
D τῆς οἰκείας σαγήνης λαβεῖν· καὶ παγίδας ἔκρυπτε τῷ μεγάλῳ πανταχοῦ καὶ δελέατα. Καὶ τινας αὐτῷ καθίει καθ' ἑκάστην ἡμέραν, οἳ τὰ χρηστὰ δῆθεν αὐτῷ καὶ λυσιτελῆ συνεβούλευον, ἀποστῆναι μὲν τῶν καλῶς καὶ ὡς Θεῷ φίλον αὐτῷ δεδογμένων, Θεοδοσίῳ δὲ συνθέσθαι, καὶ τὴν ἐκείνου κοινωνίαν ἀσπάσασθαι. Ὁ δὲ τὰς καθημερινὰς ἐκείνων προσελεύσεις δυσχεραίνων καὶ βαρυνόμενος, τί ποιεῖ; τοὺς ὑπ' αὐτὸν ἀδελφοὺς ἅπαντας συγκαλέσας, καὶ πολλὴν αὐτοῖς ἀσφάλειαν παραγγείλας, τοῦ μηδαμῶς ἐνδοῦναι, μηδὲ συνθέσθαι τῇ τοῦ Θεοδοσίου κακοδοξίᾳ· ἀλλ'

VARIÆ LECTIONES

[1] al. γεννηθῆναι.

ἐπιστομίζειν μᾶλλον τοὺς οὕτω φρονοῦντας, καὶ ὅση A δύναμις χειραγωγεῖν εἰς ἀλήθειαν· ἀπαίρει καὶ νῦν ἐπὶ τὴν πανέρημον, πολλοὺς καὶ ἄλλους γενέσθαι παρασκευάσας ζηλωτὰς αὐτοῦ τῆς ἀναχωρήσεως.

ΟΖ'. Ἦν δέ τις ἀναχωρητὴς ἐκεῖ μέγας πρὸ μικροῦ, ἔναγχος μὲν παραβαλὼν ἀπὸ τῆς Λυκίας, Γεράσιμος δὲ καλούμενος, ὃς πᾶσαν ἐν τῇ πατρίδι τὴν μοναχοῖς πρέπουσαν ἐπιδειξάμενος πολιτείαν, πολλοὺς καὶ κατὰ τῶν τῆς πονηρίας πνευμάτων εἰσήνεγκε τοὺς ἱδρῶτας. Οὗτος οὖν ἐν τῇ παρὰ τὸν Ἰορδάνην ἐρήμῳ καλῶς ἀσκούμενος, καὶ πολλὰ τοὺς δαίμονας πλήττων, βάλλεται καὶ αὐτός, ἢ σκελίζεται μᾶλλον, ὑπὸ τῆς αὐτῶν κακουργίας, καὶ τοῖς αἱρετικοῖς συναπάγεται. Ἀκούων δὲ παρὰ πάντων μικροῦ τῶν ἀναχωρητῶν τά γε τοῦ Εὐθυμίου, καὶ τοῖς περὶ αὐτοῦ ᾀδομένοις τὰ ὦτα πληρούμενος, ἥκει B ποτὲ πρὸς αὐτὸν ἐπὶ τὸν Ῥουβᾶν· καὶ χρόνον συνδιατρίψας συχνόν, νάματός τε τῆς ἐκείνου γλώττης τοῦ καθαρωτάτου πιών, οἷά τινα νόσον τὴν αἵρεσιν ἐξεμεῖ, καὶ πρὸς τὴν ὑγιᾶ πίστιν ἐπάνεισι· πολλὴν τῆς ἀπάτης μετάνοιαν ἔχων, καὶ τὴν διαφθαρεῖσαν ὑπὸ κενῶν λόγων καρδίαν, κέντρῳ λύπης κολάζων καὶ τιμωρούμενος. Τούτῳ δὲ αὐτῷ καὶ ἀναχωρηταὶ ἕτεροι, Πέτρος ὁ Γυρνίτης [j] ἐπίκλην, καὶ Μάρκος καὶ Ἰούλων καὶ Σιλουανὸς ἠκολούθησαν, καὶ τῆς Θεοδοσίου καὶ αὐτοὶ βλαβερᾶς ἀπέστησαν κοινωνίας.

ΟΗ'. Δευτέρου δὲ μετὰ ταῦτα διαγεγονότος ἐνιαυτοῦ, οἴχεται μὲν ἐξ ἀνθρώπων ὁ Θεοδόσιος, κάτεισι δὲ ἀπὸ τοῦ Ῥουβᾶ πρὸς τὴν λαύραν ὁ μέγας. Καὶ δή ποτε μιᾷ τῶν Σαββάτων, ὁ μὲν ἐλειτούργει Θεῷ, καὶ τὴν ἀναίμακτον αὐτῷ προσῆγε θυσίαν, Δομετιανὸς C δὲ πρὸς τὰ δεξιὰ μέρη [k] μετὰ τῆς μυστικῆς ἐκείνης ῥιπίδος παρίστατο. Τελεῖσθαι δὲ ἤδη μελλούσης τῆς τοῦ τρισαγίου δοξολογίας, Τερέβων τε ὁ Σαρακηνὸς καὶ ὁ Χρυσίππου ἀδελφὸς Γαβριήλιος, ὁ μὲν πλησίον, ὁ δὲ τοῦ θυσιαστηρίου ἔνδον ἑστὼς (τῆς πολλῆς σου περὶ τὸν Εὐθύμιον, Χριστέ, χάριτος!) ὁρῶσι πῦρ ἐκ τοῦ αἰφνιδίου, καθάπερ ἐπί τινος διακεχυμένον ὀθόνης, ἄνωθεν κατιόν, καὶ αὐτόν τε τὸν μέγαν Εὐθύμιον, σὺν αὐτῷ δὲ καὶ Δομετιανὸν ἔνδον περιλαβόν, καὶ οὕτω περὶ αὐτοὺς διαμεῖναν ἀπαρχῆς τοῦ Τρισαγίου ἄχρι καὶ συμπληρώσεως τῆς ἱερᾶς λειτουργίας. Δέει δὲ ληφθέντα φησὶ τὸν Τερέβωνα, περιδεῆ καὶ κατάφοβον ὑποχωρῆσαι τοῦ θυσιαστηρίου, καὶ τοῦ λοιποῦ μηκέτι ἀναίδην ὡς εἶχε καὶ θρασέως τῆς τῶν ἀδύτων εἰσόδου κατατολμῆσαι, D ἀλλ' ἐν τοῖς τοῦ ναοῦ προπυλαίοις μετὰ πολλῆς κατὰ τὴν σύναξιν ἑστάναι τῆς εὐλαβείας· ὡς ὁ ἀναχωρητὴς ἐμοὶ Κυριακὸς ὕστερον διηγήσατο, παρὰ Τερέβωνος αὐτὰ καὶ Γαβριηλίου τῶν ἑωρακότων ἀκηκοώς.

et pro viribus eos deducerent ad veritatem; nunc quoque recedit in omnimodam solitudinem; atque multos alios reddidit secessus sui imitatores.

LXXVII. Cæterum illic magnus quidam anachoreta a pauco tempore degebat, qui quidem nuper venerat ex Lycia, vocabatur autem Gerasimus (2); omnemque in patria monachos decentem ostenderat virtutem, necnon multos intulerat sudores contra spiritus nequitiæ. Is ergo, in eremo Jordani adjunctæ se præclare exercens, et sæpe multumque dæmones percutiens, pulsatur ipse quoque, seu potius supplantatur, ab eorum improbitate, et abducitur ab hæreticis. Cum autem audiret ab omnibus fere anachoretis de Euthymio, auresque haberet oppletas iis quæ de eo celebrabantur, venit aliquando ad eum in Ruban; diuque cum ipso versatus, postquam purissimum illius linguæ bibisset fluentum, veluti quemdam morbum evomit hæresim, et ad sanam fidem revertitur; multa ob seductionem ductus pœnitentia, et cor vanis corruptum sermonibus, doloris stimulo castigans et puniens. Hunc vero ipsum etiam alii secuti sunt anachoretæ, Petrus (3) Gyrnites cognomine, Marcus, Julon et Silvanus; ipsique pariter a Theodosii noxia communione recesserunt.

LXXVIII. Cum autem secundus (4) post hæc annus intercessisset, abit quidem clam hominibus Theodosius, e Ruban vero in lauram revertitur magnus Euthymius. Et aliquando una Sabbatorum, ille quidem Deo ministrabat, eique incruentum offerebat sacrificium; Domitianus autem astabat ad dexteram partem cum mystico illo ventilabro. Cumque jam peragenda esset Trisagii doxologia, Terebon Saracenus et Chrysippi frater Gabrielius, hic quidem prope, ille vero stans intra altare (o magnam, Christe, tuam erga Euthymium gratiam!) vident ignem derepente, veluti in quodam diffusum linteo, desuper descendentem, quique intus complecteretur ipsum magnum Euthymium unaque cum eo Domitianum, sicque circa ipsos permansisse ab initio Trisagii usque ad complementum sacræ liturgiæ. Terebonem autem ait metu terroreque correptum, ab altari recessisse, nec amplius postea libere (5) uti erat et fidenter ausum esse ingredi in adyta, sed in templi constitisse vestibulis cum magna per synaxim reverentia. Ut mihi postmodum narravit Cyriacus anachoreta, qui hæc audierat a Terebone et Gabrielio, miraculi spectatoribus.

VARIÆ LECTIONES.

[j] al. Γουρνίτης. [k] abest ab al.

JOAN. BOLLANDI NOTÆ.

(2) De S. Gerasimo agemus 5 Martii. Ejus virtutes describuntur infra cap. 15, apud Moschum in *Prato spirituali* cap. 107 et 14', et in Vita S. Sabæ et S. Quiriaci.

(3) Monasterii Abbatis Petri juxta Jordanem meminit Moschus cap. 16, 17 et 18, sed an hujus, non definimus.

(4) Menses 20 seditiosus Theodosius tyrannidem in sede Hierosolymitana exercuit, et ad montem Synæum profugit Nicephorus.

(5) Quia vir ipse conjugatus erat.

LXXIX. Neque hoc solum, sed ista quoque mihi retulit de Gabrielio, quod esset quidem natura eunuchus, post viginti vero et quinque annos accedebat tunc primum ad synaxim fratrum. Præterea hoc etiam mihi a Patribus renuntiatum est, a Deo datum fuisse Euthymio, ut internos animi motus ex aspectu externo, veluti per quoddam speculum, intelligeret, et accurate posset cognoscere, cum quibusnam nimirum quisque decertaret cogitationibus, et quasnam quidem superaret, a quibusnam vero per malignum vinceretur.

LXXX. Aiunt quoque illum aliquando dixisse quibusdam fratribus, qui cum eo seorsum versabantur, quod sæpe videret terribilem angelorum visionem, una secum ministrantium, et sacra peragentium; quodque in Dominici corporis sumptione, aliquos quidem ex accedentibus cerneret ab ipsa illuminari, aliquos autem velut obscurari, morteque affici, quicunque scilicet indigni erant eo lumine et splendore. Quamobrem non cessabat testificari fratribus, illudque Apostoli optime admonere, ut unusquisque attendat et seipsum probet, sicque cum tremore sumat panem et calicem[27]; cum bene sciat is qui accedit, quod judicium sibi comedit et bibit, qui communionem indigne facit. Propterea quippe statim ac primum hoc sacrificium offert sacerdos, multitudinem veluti præmunit, cautioremque reddit, *Sursum habeamus corda*, eis acclamans; acceptaque ab illis promissione, ita audet offerre oblationem.

LXXXI. Qua etiam peracta, ille iterum manibus in cœlum sublatis, et quasi ostendens dispensatum pro nostra salute mysterium, clara voce sic pronuntiat: *Sancta sanctis*: perinde ac si dixerit quispiam: Quandoquidem ego homo sum, similia ac vos patiens, ignorans uniuscujusque in vita opera, ideo ante contestor aperte, et hanc probationem communem suggessi vestræ conscientiæ: Si quis ab injuriæ recordatione vel odio, si quis ab invidia vel ira vel superbia captus fuerit; si quis a maledicto aut turpi loquela aut prava cupiditate aut alio quodam vitio fuerit correptus, *attractus per malitiæ inventorem*, ne prius accedat, quam per pœnitentiam expurgatus fuerit a scelere. Nam sancta hæc, inquit, non profanis, sed sanctis exhibentur. Quicunque ergo vestræ confiditis conscientiæ, ad eum accedite, et illuminemini, nec vestri vultus pudore afficiantur. Sed nescio quo modo dulcedo doctrinæ Euthymii, me vel nolentem assumens, præcedentiam abrupit consequentiam, et tantum non confusionem peperit. Itaque necesse est ut vos narrationem rursus revocetis in memoriam.

LXXXII. Capta ergo fuit, ut jam ante declaravimus, improbi Theodosii laqueis beata Eudocia, et a catholica communione discessit, atque de cætero

A ΟΘ'. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ταῦτα περὶ Γαβριηλίου μοι διεξῄει, ὡς εἴη μὲν εὐνοῦχος ἐκ φύσεως, παραβάλλοι δὲ τότε πρῶτον διὰ πέντε καὶ εἴκοσι χρόνων τῇ τῶν ἀδελφῶν συνάξει. Ἔτι καὶ τοῦτό μοι παρὰ τῶν Πατέρων ἀπηγγέλη, πρὸς Θεοῦ δοθῆναι τῷ Εὐθυμίῳ, ὥστε τὰς ἔνδον τῆς ψυχῆς κινήσεις, ἀπὸ τῆς ἐκτὸς ὄψεως, οἱονεὶ διά τινος ἐσόπτρου, κατανοεῖν, καὶ ἀκριβῶς ἔχειν εἰδέναι, τίσιν ἄρα παλαίει λογισμοῖς ἕκαστος, καὶ οἵων μὲν περιγίνεται, οἵων δὲ ἥττων ὑπὸ τοῦ πονηροῦ γίνεται.

Π'. Φασὶ δὲ αὐτόν καί ποτε πρός τινας τῶν ἀδελφῶν καταμόνας αὐτῷ συνόντας εἰπεῖν, ὡς ἄρα φοβερὰν ἴδοι πολλάκις ὄψιν ἀγγέλων, συλλειτουργοῦσαν [l] αὐτῷ καὶ τῶν ἱερῶν ἐφαπτομένην [m]· καὶ ὡς
B ἐν τῇ τοῦ Δεσποτικοῦ σώματος μεταλήψει, τινὰς μὲν τῶν προσιόντων φωτιζομένους ὑφ' αὐτῆς ὁρῴη, τινὰς δὲ οἷον ἀμαυρουμένους καὶ νεκρουμένους· ὅσοι δηλονότι ἀναξίως εἶχον τοῦ φωτὸς ἐκείνου καὶ τῆς λαμπρότητος. Διὸ καὶ τοῖς ἀδελφοῖς οὐκ ἔληγε διαμαρτυρόμενος, καὶ τὸ τοῦ Ἀποστόλου ἄριστα παραινῶν, προσέχειν ἕκαστον, καὶ ἑαυτὸν δοκιμάζειν, καὶ οὕτω φρικτῶς τοῦ ἄρτου τε καὶ τοῦ ποτηρίου μεταλαμβάνειν· εὖ εἰδότα τὸν προσερχόμενον, ὅτι κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, ἀναξίως ποιούμενος τὴν μετάληψιν. Διὰ τοῦτο γὰρ καὶ τὴν πρώτην εὐθὺς προσάγων τήνδε τὴν θυσίαν ὁ ἱερεὺς, οἱονεὶ τὸ πλῆθος προασφαλίζεται, Ἄνω σχῶμεν τὰς καρδίας, αὐτοῖς ἐπιφωνῶν· καὶ τὴν παρ' ἐκείνων λαβὼν ὑπόσχεσιν, οὕτω τὴν προσαγωγὴν θαῤῥεῖ τῆς ἀναφορᾶς.

C ΠΑ'. Ἧς καὶ συντελεσθείσης, τὰς χεῖρας ἐκεῖνος πάλιν εἰς οὐρανὸν ἀνατείνων, καὶ ὥσπερ αὐτοῖς ὑποδεικνὺς τὸ οἰκονομηθὲν τῆς σωτηρίας χάριν τῆς ἡμετέρας μυστήριον, μετὰ λαμπρᾶς οὕτω φησὶ τῆς φωνῆς· Τὰ ἅγια τοῖς ἁγίοις· ὡς ἂν εἴποι τις· Ἐπειδήπερ ἐγὼ ἄνθρωπος ὁμοιοπαθὴς ὑμῖν, ἀγνοῶν τὰ ἑκάστῳ βεβιωμένα, διὰ τοῦτο δὴ φανερῶς προδιαμαρτύρομαι, καὶ κοινὸν τὸ δοκίμιον τοῦτο τῷ ὑμετέρῳ συνειδότι καθῆκα· Εἴ τις ὑπὸ μνησικακίας ἢ μίσους, εἴ τις ὑπὸ φθόνου ἢ ὀργῆς ἢ ὑπερηφανίας ἑάλω, εἴ τις ὑπὸ λοιδορίας ἢ αἰσχρολογίας ἢ ἀτόπου ἐπιθυμίας, εἴτε τινὸς ἑτέρου πάθους κατείληπται [n], μὴ πρότερον προσίτω, πρὶν ἂν διὰ μετανοίας ἐκκαθαρθῇ τοῦ μιάσματος. Τὰ γὰρ ἅγια ταῦτα, φησὶν, οὐχὶ τοῖς βεβήλοις, ἀλλὰ τοῖς ἁγίοις ἀνεῖται. Ὅσοι τοιγαροῦν θαῤῥεῖτε τῷ
D συνειδότι, προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. Ἀλλ' οὐκ οἶδ' ὅπως ἡ γλυκύτης με τῆς Εὐθυμίου διδασκαλίας παραλαβοῦσα καὶ μὴ βουλόμενον, διέκοψε τὴν ἀκολουθίαν τῶν προλαβόντων, καὶ σύγχυσιν ὀλίγου δεῖν ἐνειργάσατο. Οὐκοῦν ἀνάγκη καὶ πάλιν ὑμᾶς ἀναμνῆσαι τοῦ διηγήματος.

ΠΒ'. Ἥλω μὲν οὖν, ὡς ἤδη φθάσαντες ἐδηλώσαμεν, ταῖς Θεοδοσίου τοῦ μοχθηροῦ πάγαις ἡ μακαρῖτις Εὐδοκία, καὶ τῆς καθολικῆς κοινωνίας διέστη,

[27] I Cor. XI, 28, 29.

VARIÆ LECTIONES.

[l] al. συλλειτουργούντων. [m] al. συνεφαπτομένων. [n] al. add. ὑπὸ τοῦ τῆς κακίας ἐφευρετοῦ παρασυρείς.

καὶ τὸ λοιπὸν σπουδῇ πάσῃ κατὰ τῶν ὀρθοδόξων διηγωνίζετο· ἐπηγάγετο δὲ καὶ πάντας τοὺς μοναχοὺς, ὅσοι τε τὴν ἔρημον, καὶ ὅσοι τὴν ἁγίαν πόλιν κατῴκουν, καὶ τὰ αὐτὰ ἐκείνῃ πρεσβεύειν ἔπεισεν. Ἐπεὶ δὲ ἡ δίκη μετῆλθε τὸν Θεοδόσιον, καὶ ὁ μὲν ἐκποδὼν ἤδη γίνεται. Ἰουβενάλιος δὲ τὸν ἑαυτοῦ θρόνον ἀπολαμβάνει, καὶ ταῖς Ἐκκλησίαις τὰ λυπηρὰ διαλύονται, γράμματα πολλάκις τῇ βασιλίδι Οὐαλερίου τοῦ ἀδελφοῦ, καὶ Ὀλυβρίου τοῦ γαμβροῦ πέμπονται παρ' αἰτίαν, ὥστε τῆς τῶν Εὐτυχιανιστῶν ἀφεμένην κοινωνίας, τοῖς τῇ καθολικῇ Ἐκκλησίᾳ δεδογμένοις ἀκολουθῆσαι. Ἡ δὲ πρῶτα μὲν τὴν μεταβολὴν ὤκνει καὶ ἀνεβάλλετο, καὶ οὐκ εἶχεν ὅπως ἂν τὰ ἤδη δόξαντα καταπρόηται.

ΠΓ'. Ἐπειδὴ δὲ μάθοι τόν τε γαμβρὸν αὐτῆς ἐν Θρᾴκῃ ἀναιρεθῆναι, τὴν θυγατέρα τε καὶ τοὺς παῖδας ὑπὸ τοῖς πολεμίοις ἤδη γενέσθαι, καὶ αἰχμαλώτους εἰς Καρχηδόνα ἀπάγεσθαι, σφόδρα πληγεῖσα τὴν καρδίαν, καὶ ἀνταπόδοσιν εἶναι τούτων τὴν τῶν φιλτάτων ἀποβολὴν κρίνασα, διδάσκαλον εὑρίσκει τὴν συμφορὰν τοῦ καλῶς ἔχοντος· Καὶ ἡ παιδεία γάρ σου, φησὶν, αὐτή με διδάξει· καὶ πρὸς τὴν ὀρθότομον [o] καὶ ἀληθῆ πίστιν δι' ἐκείνης ὁδηγηθεῖσα, σχολάσαι τὸ λοιπὸν ἔγνω θείοις ἀνδράσι τυπουμένη, καὶ χειραγωγοῖς χρωμένη πρὸς σωτηρίαν. Ταύτῃ τοι καὶ τὸν χωρεπίσκοπον Ἀναστάσιον, μετά τινων ὑπηρετουμένων αὐτῇ καὶ ἄλλων, εἰς Ἀντιόχειαν παρὰ τὸν κιονίτην Συμεὼν, τὸν ὑψωθέντα τῇ ἀρετῇ πολλῷ μᾶλλον ἢ τῷ κίονι, τὸ θαῦμα τῆς οἰκουμένης, ἐκπέμπει, σημάνασα διὰ γραμμάτων αὐτῷ τὸν τῆς καρδίας σκοπὸν, ἀξιοῦσά τε παρ' ἐκείνου πάλιν γνώμην λαβεῖν. Ἡ ποία οὖν ἡ παρ' ἐκείνου γνώμη, καὶ τίς ἡ ἀπόκρισις; Γίνωσκε, φησὶν, ὡς ὁ πονηρὸς, τὸν πλοῦτον τῶν σῶν ὁρῶν ἀρετῶν, ἐξῃτήσατο σινιάσαι σε ὡς τὸν σῖτον· καὶ πολλά γε διὰ τοῦ λυμεῶνος ἐκείνου Θεοδοσίου τὴν θεοφιλῆ σου ψυχὴν ἐλυμήνατο. Ἀλλὰ θάρσει. Οὐ γὰρ ἐξέλιπέ σου ἡ πίστις. Ἐμοὶ δὲ καὶ τοῦτο λίαν ἔπεισι θαυμάζειν, ὅτιπερ ἐν [p] γειτόνων σοι τῆς πηγῆς οὔσης, αὐτὴν μὲν παρορᾷς, πόῤῥωθεν δὲ ζητεῖς τοῦ αὐτοῦ ἀρύεσθαι ὕδατος. Ἔχεις τοίνυν τὸν θεοφόρον Εὐθύμιον· οὗ ταῖς διδασκαλίαις ἑπομένη, οὐχ ἁμαρτήσεις τοῦ σώζεσθαι.

adversus orthodoxos toto studio decertabat: sed et induxit omnes monachos, quotquot vel in solitudine vel in sancta habitabant civitate, persuasitque ut eadem cum illa assererent. Postquam autem justitia sumpsit vindictam de Theodosio, isque jam amotus fuit, Juvenalis vero sedem suam recepit, dissoluta sunt quæ Ecclesiis afferebant molestiam, litteræ Valerii (6) fratris et Olybrii (7) generi sæpe mittuntur ad imperatricem hac de causa, ut Eutychianistarum relicta communione, sequatur ea quæ ab Ecclesia catholica decreta fuerunt. Illa vero primum quidem mutationem detrectabat et differebat, neque noverat quo modo prius placita abjiceret.

LXXXIII. Verum postquam didicisset generum suum in Thracia (8) fuisse interemptum [28] (9), filiamque (10) et ejus filias esse in potestate hostiam, atque captivas abduci Carthaginem: corde valde sauciata, et arbitrata charissimorum amissionem retribui gestis suis, invenit calamitatem magistram ejus quod recte habet: nam *Et disciplina tua*, inquit, *ipsa me docebit* [29]; et ad rectam veramque fidem per illam deducta, statuit deinceps vacare, a viris divinis instituta, iisque utens ductoribus ad salutem. Atque ideo Anastasium chorepiscopum (11) cum quibusdam aliis ministris suis mittit Antiochiam ad Symeonem (12) columnarem illum, qui multo altius erat sublatus virtute quam columna, totius orbis miraculum; eique per litteras significat cordis propositum, rursusque postulat ab eo consilium accipere. Quale igitur ipsius consilium, quodque responsum? Scias, inquit, quod malignus, videns opes tuarum virtutum, expetivit ut cribraret te sicut triticum [30]; valdeque per pestiferum illum Theodosium, religiosam tuam corrupit animam. Sed confide. Non enim defecit fides tua. Mihi autem succurrit hoc vehementer admirari, quod cum tibi sit fons propinquus, ipsum quidem despicis, procul vero quæris eamdem aquam haurire. Habes igitur Deo plenum Euthymium, cujus sequens doctrinam, non aberrabis a salute.

[28] V. in Boll. [29] Psal. XVII, 36. [30] Luc XXII, 31, 32.

VARIÆ LECTIONES.

[o] al. ὀρθόδοξον. [p] al. ἐκ.

JOAN. BOLLANDI NOTÆ.

(6) Ejus meminit Nicephorus lib. 15, cap. 12 per quem et Olybrium, ambos Patricios, Eudocia reconciliata est S. Pulcheriæ Imperatrici, de qua agemus 10 Sept.

(7) Olybrius populi Romani princeps, ex urbe Roma a Genserico rege Wandalorum capta Constantinopolim profugus, erat apud Marcianum imperatorem. Huic desponsata tum erat Placidia, neptis Eudociæ, filio Valentiniani imperatoris ex Eudoxia Eudociæ filia. Evagrius lib. 2, cap. 7. Nicephorus lib. 15, cap. 11. Olybrius dein Marciano et Festo coss. Indictione X, an. 472. Anthemio in Imperio Occidentali substitutus, septimo mense imperii sui vita defunctus est. Marcellinus in Chron.

(8) Græce ἐν Θράκῃ, mendum; reponimus ἐκ Θράκης, ex Thracia, scilicet intellexisset.

(9) Valentinianus Imperator, dolo Maximi in Campo Martio confossus est XVI Kalend. Aprilis an. Ch. 455.

(10) Eudoxia in necem Maximi Gensericum in Italiam evocarat, a quo Urbe capta ipsa etiam captiva in Africam abducta est cum duabus filiabus, quarum altera desponsata Olybrio, cum matre Constantinopolim remissa est an. Ch. 462. Altera Eudocia nupta Hunerico Genserici filio, ei Hildericum peperit. Tandem clam dilapsa, in loco sancta profugit an. 472 et sepulcrum aviæ Eudociæ longe post exosculata est.

(11) Absolute episcopus dicitur a Nicephoro lib. XV, cap. 13, ubi eadem hinc narrat.

(12) De S. Symeone Stylita actum 5 Januarii.

LXXXIV. Ad ista negligens non fuit Eudocia, A neque supina circa boni inquisitionem; sed statim multum de viro perscrutata, cum didicisset eum sibi interdixisse accessum ad ullam civitatem, turrem ædificat in solitudine quæ vergit ad exorientem solem, super altissimum promontorium, intervallo a laura non plus quam triginta stadiorum. Et illa quidem in eam ascendit, ut nullo prohibente, frueretur (13) ad satietatem doctrina Euthymii Statim vero mittit ad inquisitionem illius, Cosmam crucis custodem et superius a me memoratum Anastasium chorepiscopum. Illi autem adeo ardenti mandato æquale obsequium afferentes, in lauram quidem protinus perveniunt: comperto autem quod abesset, sed jam diu ante transiisset ad Ruban, neque B sic a cœpto destiterunt; at secum sumentes beatum Theoctistum, ad illum abeunt, communiterque orant precibus intensis et vehementibus, suppliciter obtestantur, et tandem persuadent, ut ad turrim veniat; ubi nunc conditum est Scholarii (14) monasterium.

LXXXV. Porro videns eum imperatrix Eudocia, non leviter aspexit, sed ut æstate qui sitit aquam: et ad pedes illius cum summo gaudio procidens, Nunc cognovi, inquit, quod Dominus me visitatione donaverit. Ille vero, solita benedictione ei impertita: Sed oportet, inquit, te, o filia, tibi deinceps attendere, et in futurum diligenter cavere. Quia enim vel parum abducta fuisti cum Theodosio, molesta ideo tibi evenerunt in charissimis C rebus. Sed ut per totam vitam abstineas ab hac præter rationem contentione. Nam oportet te, præter tres alias sanctas et œcumenicas synodos: nempe Nicænam, quæ convenit adversus Arium; Constantinopolitanam, ea vero congregata fuit in Macedonium; et Ephesinam primam contra Nestorium; admittere etiam decretum quod edidit Chalcedonensis nuperrime habita; atque a Dioscori communione sejungentem te, Juvenali archiepiscopo Hierosolymitano penitus communicare et in omnibus consentire.

LXXXVI. His dictis, et precatus pro imperatrice, cum deinde ei valedixisset, recedit. Illa vero statim operi præcepta mandavit; sanctamque ingressa civitatem, Juvenali et catholicæ communicat Eccle- D siæ; simulque ingentem monachorum laicorumque multitudinem confestim inducit; iis quemadmodum dissensionis, ita et communionis exemplum optime facta. Quorum unus fuit archimandrita Elpidius. Quandoquidem Gerontius, ut qui maluerit in malo consenescere, non sibi solum, sed multis quoque

ΠΔ'. Πρὸς ταῦτα οὐκ ἀμελὴς ἦν ἡ Εὐδοκία, οὐδ' ὑπτία περὶ τὴν τοῦ καλοῦ ζήτησιν· ἀλλ' αὐτίκα μάλα διερευνησαμένη περὶ τοῦ ἀνδρὸς, καὶ μαθοῦσα ὡς ἀπηγόρευται δὴ αὐτῷ, πόλει τινὶ παραβάλλειν, πύργον ἐν τῇ πρὸς ἀνίσχοντα ἥλιον ἐρήμῳ ἐφ' ὑψηλοτάτης ἀκρωρείας οἰκοδομεῖ, οὐ πλέον ἢ τριάκοντα σταδίους τῆς λαύρας ἀπέχοντα. Καὶ ἡ μὲν ἄνεισιν ἐπ' αὐτὸν, ὥστε μηδενὸς εἴργοντος ἀπολαύειν εἰς κόρον τῆς Εὐθυμίου διδασκαλίας. Πέμπει δὲ κατὰ ζήτησιν εὐθέως αὐτοῦ, Κοσμᾶν τε τὸν σταυροφύλακα, καὶ τὸν ἀνωτέρῳ μοι εἰρημένον χωρεπίσκοπον Ἀναστάσιον. Οἱ δὲ τῇ πολλῇ θερμότητι τῆς ἐπιταγῆς, ἴσην ἄρα καὶ τὴν ὑπουργίαν εἰσενεγκόντες, καταλαμβάνουσι μὲν εὐθέως τὴν λαύραν· μαθόντες δὲ ὡς οὐ παρὼν εἴη, ἀλλ' ἐκ πολλοῦ ἤδη μεταβαίη πρὸς τὸν Ῥουβᾶν, οὐδὲ οὕτω τῆς ὁρμῆς ἔστησαν· ἀλλὰ τὸν μακαρίτην συμπαραλαβόντες Θεόκτιστον, ἀπίασι πρὸς αὐτὸν, καὶ δέονται κοινῇ δέησιν ἐκτενῆ καὶ σπουδαίαν, καὶ λιπαροῦσι, καὶ τέλος, πείθουσι παρὰ τὸν πύργον ἐλθεῖν, ἔνθα νῦν ἡ Σχολαρίου μονὴ ᾠκοδόμηται.

ΠΕ'. Ἰδοῦσα δὲ αὐτὸν ἡ βασιλὶς Εὐδοκία, οὐχ ἁπλῶς εἶδεν, ἀλλ' ὡς ἐν θέρει ὁ διψῶν ὕδωρ· καὶ τοῖς ἐκείνου ποσὶν ἡδονῆς ὅλη πεσοῦσα, Νῦν ἔγνων ὅτι ἐπισκοπήν μου ª, φησίν, ἔθετο Κύριος. Κἀκεῖνος τῆς συνήθους αὐτῇ μεταδοὺς εὐλογίας, Ἀλλὰ προσέχειν σε δεῖ τοῦ λοιποῦ σεαυτῇ, τέκνον, ἔφη, καὶ τὸ μέλλον ἀκριβῶς ἀσφαλίσασθαι. Ὅτι γὰρ καὶ μικρὸν συναπήχθης Θεοδοσίῳ, διὰ τοῦτό σοι καὶ τὰ λυπηρὰ συνέβη περὶ τὰ φίλτατα· ἀλλ' ὅπως ἀπόσχῃ διὰ βίου τῆς ἀλόγου ταύτης φιλονεικίας. Δεῖ γάρ σε, πρὸς ταῖς ἄλλαις τρισὶν ἁγίαις καὶ οἰκουμενικαῖς συνόδοις (τῇ τε ἐν Νικαίᾳ δηλονότι, ἣ καὶ συνῆλθε κατὰ Ἀρείου, καὶ τῇ ἐν Κωνσταντινουπόλει, ἠθροίσθη δὲ αὕτη κατὰ Μακεδονίου· καὶ τῇ ἐν Ἐφέσῳ, κατὰ Νεστορίου, τὸ πρότερον), δέχεσθαι καὶ τὸν ἐκφωνηθέντα ὅρον ὑπὸ τῆς νῦν ἐν Χαλκηδόνι συγκροτηθείσης· καὶ τῆς Διοσκόρου κοινωνίας ἀπορραγεῖσαν, Ἰουβεναλίῳ τῷ ἀρχιεπισκόπῳ Ἱεροσολύμων κοινωνεῖν ὅλως, καὶ πρὸς ἅπαντα συμφρονεῖν.

ΠϚ'. Ταῦτα ὁ μὲν εἰπὼν, καὶ τῆς βασιλίδος ὑπερευξάμενος, εἶτα καὶ συνταξάμενος αὐτῇ, ἐκχωρεῖ. Ἡ δὲ εὐθὺς, ἔργῳ τὰ ἐντεταλμένα ἐδίδου· καὶ τὴν ἁγίαν εἰσελθοῦσα πόλιν, Ἰουβεναλίῳ τε καὶ τῇ καθολικῇ Ἐκκλησίᾳ κοινωνεῖ· πολὺ δὲ καὶ πλῆθος μοναχῶν τε καὶ λαϊκῶν ἀθρόον ἐπάγεται· καθάπερ αὐτοῖς ὑπόδειγμα τῆς διαστάσεως, οὕτω καὶ τῆς κοινωνίας ἄριστα γενομένη. Ὧν εἷς καὶ ὁ ἀρχιμανδρίτης Ἐλπίδιος ἦν. Ἐπεί τοι Γερόντιος τῷ κακῷ μᾶλλον ἐπιγηράσαι θελήσας, οὐχ ἑαυτῷ μόνον, ἀλλὰ καὶ πολλοῖς

VARIÆ LECTIONES.

ª al. μοι.

JOAN. BOLLANDI NOTÆ.

(13) « S. Sabas venit ad quemdam montem, ubi quondam B. Eudocia commanens virtutem magni Euthymii imitabatur. » Ita Cyrillus in Vita S. Sabæ ex interpretatione antiqua ms. cui consentit ms. Græcum, licet perperam apud Lipomanum et Surium in ribus editionibus legatur « celeberrimi Theodosii doctrinæ fructum percepisse: » quorum mala lectione seducti, id supra 11 Januar. ad vitam S. Theodosii num. 20 in prolegomen. annotaveramus.

(14) Exstructum id a S. Saba. Ejus meminit Moschus cap. 178.

ἑτέροις ἀπωλείας κατέστη αἴτιος· ᾧ γε καὶ δύο τινὲς τῆς Ἐλπιδίου συνοδίας, Μαρκιανός τε καὶ Ῥωμανὸς, τὴν πρὸς ἀπώλειαν φέρουσαν ὁμοίως ἐβάδισαν· κοινόβια τε ἑκάτερος, ὁ μὲν περὶ τὴν ἁγίαν Βηθλεὲμ, ὁ δὲ ἐν τῇ Θεκώων κώμῃ συνεστήσαντο.

ΠΖ'. Ἡ μέντοι μακαρῖτις Εὐδοκία, τοὺς τοῦ σταυροφύλακος ἀδελφοὺς, Χρύσιππόν τε καὶ Γαβριήλιον, ἀπὸ τῆς λαύρας μετακαλεῖται, καὶ πρεσβυτέρους χειροτονηθῆναι παρασκευάζει. Καὶ Χρύσιππος μὲν τῷ πρεσβυτερίῳ διαπρέψας, συγγράμματα μνήμης ἄξια καταλέλοιπε. Γαβριηλίῳ δὲ, τὴν τοῦ φροντιστηρίου πιστεύει ἐπιστασίαν Στεφάνου τοῦ πρωτομάρτυρος. Βασσα γε μὴν ἡ θεοφιλὴς, Ἀνδρέαν τὸν ἀδελφὸν Στεφάνου τοῦ Ἰαμνείας ἐκ τῆς λαύρας καὶ αὐτὴ μεταστειλαμένη, ποιμένα τοῦ ὑπ' αὐτῆς ᾠκοδομημένου φροντιστηρίου (εἰς ὄνομα δὲ τοῦτο Μηνᾶ τοῦ μάρτυρος οἰκοδομηθὲν ἦν) καὶ ἡγούμενον ἀποδείκνυσιν.

ΠΗ'. Δευτέρῳ δὲ τῆς Εὐθυμίου ἡλικίας ἐπὶ τοῖς ὀγδοήκοντα ἔτει, πρόσεισιν ὁ μακαρίτης Σάβας, νέος ὢν ἔτι, καὶ μήπω γενείου μηδὲ πρώτῳ ἄνθει παρειῶν ὥραν ἐφικαλύπτων, καὶ ὑπ' αὐτῷ μένειν καὶ ὑπ' αὐτῷ ἀσκεῖσθαι τὴν ἀρετὴν ἀξιοῖ. Ὁ δὲ, ὑποδέχεται μὲν τὰ πρῶτα Δομετιανῷ δὲ τῷ μαθητῇ παραδίδωσιν. Ἔπειτά καλέσας αὐτὸν, Οὐ χρὴ, τέκνον, ἔφη, νέον ὄντως [r] σε καὶ ἀγένειον ὄντα, διατρίβειν κατὰ τὴν λαύραν. Λυσιτελὴς γὰρ μᾶλλον τοῖς οὕτως ἔχουσιν, ἡ ἐν κοινοβίῳ διαγωγή. Ταῦτα εἰπὼν, πρὸς τὸν μακαρίτην Θεόκτιστον, διά τινος αὐτὸν τῶν ἀδελφῶν παραπέμπει. Δέξαι τὸν νεανίαν, εἰπὼν, καὶ φιλοπόνως ὑπὸ σοὶ [s] ἀσκείσθω τε ἅμα καὶ ἀναγέσθω. Ὡς γὰρ ἐμοὶ δοκοῦσ, τὰ μεγάλα ἔν τε ἀσκητικῇ πολιτείᾳ καὶ κατορθώματι διαπρέψει [t]. Ὁ μὲν οὖν τοιαῦτα περὶ τοῦ Σάβα προέφη· τῇ προῤῥήσει δὲ ἄρα σύμφωνος καὶ ἔκβασις ἠκολούθει. Οὐ γάρ ἐστι νῦν, οὐκ ἔστιν, οὐ πόλις, οὐ χώρα, οὐκ ἔρημος, ἔνθα τὰ κατὰ τὸν θεῖον ἐκεῖνον ἄνδρα οὐκ ᾄδεται, καὶ ἡδονὴν ἅμα τῷ σε λέγοντι φέρει καὶ τοῖς ἀκούουσιν. Ὧν οὐχ οἷον πάρεργον τῶν Εὐθυμίου διηγημάτων ἐπιμνησθῆναι· ἀλλ' εἴπερ Θεῷ φίλον ἐντελῆ πραγματείαν αὐτὰ ποιησόμεθα· ἐπεὶ μηδὲ εὐπρεπὲς μηδὲ ὅσιον, Ἑλλήνων μὲν βίους στήλαις τιμᾶσθαι παρὰ τοῖς ἔξωθεν καὶ συγγράμμασιν· ἡμῖν δὲ, μεγάλα οὕτως ἀρετῆς ἔργα, σιωπῆς ἄξια κρίνειν, καὶ λήθην αὐτῶν αἰωνίαν καταψηφίζεσθαι.

A aliis causa exstitit interitus: cum eo etiam duo quidam e conventu Elpidii, Marcianus (15) et Romanus (16), viam ad exitium ducentem simili modo ingressi sunt; et construxit uterque cœnobia; ille quidem circa sanctam Bethleem, hic vero in Thecoorum (17) vico.

LXXXVII. Et beata quidem Eudocia arcessit e laura fratres custodes crucum, Chrysippum et Gabrielium, efficitque ut presbyteri ordinarentur. Et Chrysippus quidem, in presbyteratu insignis, scripta reliquit memorabilia. Gabrielio autem præfecturam committit monasterii Stephani (18) protomartyris. At Bassa (19) pia mulier Andream fratrem Stephani Jamniensis episcopi e laura B etiam arcessitum, pastorem præfectumque efficit monasterii quod ædificaverat: ædificatum porro fuerat in nomine Menæ martyris (20).

LXXXVIII. Cæterum octogesimo (21) et secundo anno ætatis Euthymii, accedit beatus Sabas (22), juvenis adhuc, et nec barbæ quidem prima lanugine genarum venustatem tectam habens, rogatque ut sub eo maneret, sub eo se exerceret in virtute. Ille autem primo quidem suscipit, Domitiano vero tradi discipulo. Deinde vocato eo: Non oportet, inquit, fili, te cum sis juvenis adeo et imberbis, in laura versari. Magis enim expedit talibus vita in cœnobio. His dictis, per quemdam ex fratribus eum transmit- C tit ad beatum Theoctistum: Accipe, dicens, adolescentem, et sub te diligenter exerceatur simul et educetur. Mea enim sententia magnopere in ascetica conversatione et in recte factis excellet. Hæc ille quidem de Saba prædixit; prædictionem autem consonans quoque secutus est exitus. Non est enim nunc, non est, non urbs, non regio, non solitudo, ubi quæ ad divinum illum virum spectant non celebrentur, simulque tum dicenti, tum audientibus afferant voluptatem. Quorum non licet obiter inter gestorum Euthymii narrationem meminisse: sed si Deo placuerit, de iis opus integrum conscribemus: quandoquidem neque decorum neque sanctum est, gentilium quidem vitas apud externos columnis honorari et scriptis, nos autem adeo magna D virtutis opera, judicare digna silentio, æternaque damnare oblivione.

VARIÆ LECTIONES.

[r] al. οὕτω. [s] al. σοῦ. [t] al. διαλάμψει.

JOAN. BOLLANDI NOTÆ.

(15) Marcianus hic infra num. 123 sustulit schisma.

(16) Romani et Gerontii in pertinacia exitus infra narratur num. 123 et 124.

(17) Infra num. 124, Thecorum. In Vita S. Sabæ Thecoum, ex cujus ruinis laura nova deinde fuit exstructa. De his infra num. 103.

(18) Infra n. 99, templum S. Stephani curat dedicari. Distabat ab urbe Hierosolymo non stadio integro teste Evagrio. lib. 1, cap. 22, quo in loco « saxis obrutus putatur, » Nicephorus lib. XIV, cap. 50.

(19) « B. Bassa semper Eudociæ, ut eadem secum in religione sentiret, molesta erat » Ita Nicephorus lib XV, cap. 13. Erat Bassa abbatissa monasterii Hierosolymis, ad quam Pulcheria scripsit, monuitque fallacias Theodosii pseudoepiscopi evitandas. Exstat ea epistola e Græcis Latine reddita a Baronio tomo 6. an. Ch. 453, num. 17 et seqq.

(20) De S. Menna martyre agemus 11 Novemb.

(21) An. Ch. 458.

(22) Hæc plenius ab eodem Cyrillo in Vita S. Sabæ describuntur.

LXXXIX. Sed et oportet de magno disserere Gerasimo; quales, inquam, is ediderit regulas formasque iis qui sub ipso exercebantur, et veluti condimentum attexere sermoni narrationem, quæ nimirum multam habet utilitatem. Hic ergo magnus Gerasimus, solitudinis ad Jordanem (23) sitæ civis simul et patronus factus, cum lauram illic maximam, non pauciores quam septuaginta anachoretas habentem, construxisset, prætereaque cœnobium in medio ejus quam optime collocasset; curabat ut qui introducebantur quidem monachi, in cœnobio manerent, in quo vitam monachalem exercerent; qui autem crebris longisque laboribus exercitati erant, jamque ad perfectionis mensuras pervenerant, eos in iis quæ vocantur cellis collocans, sub hac jubebat vivere regula; ut quidem dies quinque hebdomadæ in sua cella unusquisque quietus maneret, nihil aliud gustans ex esculentis, nisi tantum panem, aquam, et dactylos; Sabbato autem et Dominica ad ecclesiam accedentes, post sanctorum participationem, in cœnobio utentur cocto, sumerentque parum vini. At in cella nulli permittebatur aut ignem accendere, aut coctum gustare. Voluntaria autem paupertas tantæ erat eis curæ, quantæ nihil aliud; et humilitate maxime ornabantur.

XC. Porro unusquisque laborem manuum suarum, qui per hebdomadam ab eis factus fuerat, Sabbato ferens in cœnobium, circa vesperam Dominicæ, hebdomadæ sumptus iterum accipiens, panes, inquam, et palmulas, et aquam in vase quodam, et palmarum ramos: rursus in cellam redibat. Adeo autem erant curis vacui, et a negotiis humanis omnino liberi, ut nihil haberent præter indumenta, nec secundus iis esset amictus. Stratum vero quid aliud, quam storea, quæque solent appellare centonium (24) et imbrymium (25)? Item vas fictile ad aquam, quod simul sufficiebat ad potum et ad palmas irrigandas.

XCI. Hæc lex autem eis est optime tradita a Gerasimo, ut egressi dimitterent cellas apertas, quo liceret ei qui vellet ingrediendo quod placeret acci-

ΠΘ'. Δεῖ δὲ καὶ τὰ κατὰ τὸν μέγαν Γεράσιμον, καὶ οἵους αὐτὸς ἐξετίθει κανόνας φημὶ καὶ τύπους τοῖς ὑπ' αὐτὸν ἀσκουμένοις, διαλαβεῖν, καὶ ὡς ἥδυσμα τὸ διήγημα πολὺ δήπου καὶ τὸ ἐπωφελὲς ἔχον, παραπλέξαι τῷ λόγῳ. Οὗτος οὖν ὁ μέγας Γεράσιμος τῆς κατὰ τὸν Ἰορδάνην ἐρήμου πολίτης ἅμα καὶ πολιοῦχος γενόμενος, λαύραν ἐκεῖσε μεγίστην, οὐκ ἐλάττους ἢ ἑβδομήκοντα τοὺς ἀναχωρητὰς ἔχουσαν, συστησάμενος, πρὸς δὲ, καὶ κοινόβιον μέσον αὐτῆς ὡς ἄριστα καθιδρύσας· τοὺς μὲν εἰσαγομένους τῶν μοναχῶν, ἐν τῷ κοινοβίῳ μένειν, ἐν αὐτῷ τε τὴν μοναχικὴν ἐξασκεῖσθαι διαγωγὴν παρεσκεύαζεν· ὅσοι δὲ συχνοῖς ἔτι καὶ μακροῖς πόνοις ἐνεγυμνάσαντο, καὶ τῶν τῆς τελειότηνος ἤδη μέτρων ἐπέβησαν, τούτους δὲ [a] ταῖς καλουμέναις κέλλαις ἐγκατοικίζων, ὑπὸ τοιούτῳ ζῆν ἐκέλευε τῷ κανόνι· ὥστε τὰς μὲν πέντε τῆς ἑβδομάδος ἡμέρας, ἕκαστον τῇ ἰδίᾳ κέλλῃ ἐφησυχάζειν, οὐδενὸς ἄλλου τῶν εἰς βρῶσιν, ὅτι μὴ μόνων ἄρτου τε καὶ ὕδατος καὶ φοινίκων ἀπογευόμενον· Σαββάτου δὲ καὶ Κυριακῆς εἰς τὴν ἐκκλησίαν παραβαλόντας, μετασχόντας τε τῶν ἁγιασμάτων, εἰς τὸ κοινόβιον ἑψητῷ χρῆσθαι, καὶ οἴνου μεταλαμβάνειν ὀλίγου. Ἐν κελλίῳ δὲ, οὐδενὶ ἐφεῖτο ἢ πῦρ καῦσαι, ἢ ἑψητοῦ γεύσασθαι. Ἡ δὲ ἀκτημοσύνη, ὡς οὐδὲν αὐτοῖς ἕτερον ἀξιοσπούδαστον ἦν· καὶ ταπεινοφροσύνῃ μάλιστα ἐκοσμοῦντο.

ϟ'. Ἕκαστος μέντοι τὸν πόνον τῶν οἰκείων χειρῶν, ὅς διὰ τῆς ἑβδομάδος αὐτοῖς εἴργαστο, Σαββάτου ἀποφέρων εἰς τὸ κοινόβιον, περὶ δείλην Κυριακῆς τὸ ἀνάλωμα πάλιν τῆς ἑβδομάδος ἀναλαμβάνων (ἄρτους φημὶ καὶ φοίνικας, καὶ ὕδωρ ἐν ἀγγείῳ τινὶ. καὶ βαΐα) εἰς τὸ κελλίον αὖθις ἐπανῄει. Οὕτω δὲ ἦσαν ἀφρόντιδες καὶ πράγμασιν ἀνθρωπίνοις οὐδαμῶς κάτοχοι, ὥστε μηδὲν αὐτοῖς εἶναι πλέον ὧν ἠμφιέννυντο, δευτέρας μὴ οὔσης περιβολῆς. Ἡ στρωμνὴ δὲ τί ἕτερον, ἢ ψίαθος, καί ἃ κεντώνιόν τε καὶ ἐμβρύμιον συνήθως καλοῦσι; σκεῦός τε κεραμεοῦν εἰς ὕδωρ, ὅπερ ὁμοῦ πρὸς πόσιν, καὶ τὴν τῶν βαΐων δεῦσιν ἐξήρκει.

ϟΑ'. Νόμος δὲ οὗτος αὐτοῖς ὑπὸ Γερασίμου ἄριστα παραδεδομένος, ἐξιόντας ἀνεῳγμένας ἀφιέναι τὰς κέλλας, ὥστε ἐξὸν εἶναι τῷ βουλομένῳ εἰσιόντα λαμ-

VARIÆ LECTIONES.

[a] abest ab al.

JOAN. BOLLANDI NOTÆ.

(23) Uno fere milliari distare monasterium Gerasimi a Jordane docet Moschus cap. 107.

(24) Cento vestis est e variis panniculis consarcinata. Idemque ut videtur hic centonium significat.

(25) Quid imbrymium sit, exponit Cassianus collat. 1, cap. 23. « His itaque B. Moyses collationi nostræ dans finem, adhuc nos avidos ac de suo ore pendentes, degustare somnum paulisper hortatus est, iisdem ipsis, quibus insidebamus, psiathiis admonens incubare; embrimiis pariter capiti nostro cervicalium vice suppositis, grossioribus papyris in longos gracilesque fasciculos coaptatis. Quæ pedali intervallo pariter colligata, nunc quidem humillimum sedile ad scabelli vicem fratribus in synaxi considentibus præstant, nunc vero subjecta cervicibus dormientium præbent, capiti non nimie durum, sed tractabile aptumque fulcimentum. Ad quos monachorum usus hæc idcirco vel maxime opportuna habentur et congrua, quod non solum sint aliquatenus mollia parvoque et opere præparantur et pretio, utpote passim papyro emergente per Nili fluminis ripas, quam cuique volenti in usum assumere nemo prohibeat desecare; sed etiam quod ad removendum seu cum necesse fuerit ad movendum habilis materiæ levisque naturæ sint. » De voce disputant recentiores quidam grammatici Scaliger, Casaubonus, Martinius: et hic quidem dubitat num forte Celtica sit aut Germanica, a *brem*, id est, genista, sparto, quo facta erant imbrymia, loco plumarum et tomenti. Sed usum imbrymiorum præcipue a Geltis cœpisse oporteret aut Germanis, ut cum re nomen etiam ad Syros Ægyptios que perlatum esset.

δάνειν ὃ βούλοιτο τῶν εἰς χρείαν φαύλων ἐκείνων A καὶ ἀναγκαίων, οὐδενὸς εἴργοντος· ἀλλὴ καὶ αὐτοὺς ἀποστολικῶς βιοῦντας ὁρᾶσθαι, καὶ εἶναι [y] τῶν ἐν ἐρήμῳ οἰκούντων παραπλησίως αὐτοῖς τὴν καρδίαν τε καὶ τὴν ψυχὴν, μίαν. Ἐπεὶ μηδεὶς τῶν ὑπαρχόντων αὐτῷ μηδὲν ἔκρινεν ἴδιον εἶναι, ἀλλὰ πάντα ἐπίσης αὐτοῖς κεῖσθαι κοινά. Καὶ τοῦτο δὲ περὶ τῶν ἀναχωρητῶν λέγεται, ὅτι Προσελθόντων αὐτῷ τινων, καὶ ἐφεῖσθαι αὐτοῖς αἰτουμένων ὕδωρ τε θερμαίνειν, καὶ ἑψητοῦ μετέχειν, καὶ ὑπὸ λύχνον ἀναγινώσκειν, τὸν μέγαν Γεράσιμον ὑπολαβόντα, Εἰ οὕτω ζῆν βούλεσθε, φάναι, πολὺ τὸ συμφέρον ἐν κοινοβίῳ διάγειν ὑμᾶς. Ἐγὼ γὰρ οὐμενοῦν οὐδαμῶς ἐφήσω παρ' ὅλον δή μου τὸν τῆς ζωῆς χρόνον, τοῦτο παρ' ἀναχωρηταῖς γίνεσθαι.

ϞΒ'. Ὥστε τοὺς Ἱεριχοντείους [z] ἀκούοντας τῶν B παρὰ τῷ ἀββᾷ Γερασίμῳ τὴν πολιτείαν οὕτω κατηναγκασμένην εἶναι καὶ ἀπαράκλητον, καὶ πολὺ τὸ ἄχαρι καὶ βίαιον ἔχειν, νόμον ἑαυτοῖς ἐκθεῖναι τοιοῦτον, Σαββάτου τε καὶ Κυριακῆς, ὡς αὐτοὺς ἀπιέναι, καὶ παράκλησιν αὐτοῖς μετακομίζειν οὔτι μετρίαν. Ἀλλὰ τοῦτο μὲν Ἱεριχουντείων ἔπαινος, καὶ ἀπόδειξις φιλαρέτων ψυχῶν. Πολλοὺς μέντοι τῶν ὑπὸ τῷ μεγάλῳ τούτῳ Γερασίμῳ ἀγωνιστῶν, ὁρῶντας ἐπὶ σκοπῷ τοιούτῳ τοὺς κοσμικοὺς ἐρχομένους, τοσοῦτον ἀπέχειν εὔθυμον αὐτῶν καὶ ἡδεῖαν ἡγεῖσθαι τὴν ἄφιξιν, ὥστε μηδὲ κατὰ χώραν στέργειν αὐτοὺς ὅλως μηδ' ὑπομένειν· ἀλλ' ὡς τὰ μεγάλα βλάψοντας μᾶλλον, φεύγειν αὐτοὺς καὶ ἐξίστασθαι. Ἤδεσαν γὰρ ἐκεῖνοι καλῶς, μητέρα σωφροσύνης ἀκριβοῦς εἶναι, τὴν ἐγκράτειαν· λογισμούς τε ῥυπαροὺς ἀπωθεῖσθαι, C καὶ ὕπνου κουφίζειν βαρύτητα δυναμένην· ἅτε μηδὲ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις ὑπὸ τοῦ πατρὸς ἄριστα τοῦτο μεμαθηκότες.

ϞΓ'. Ἐκεῖνον γὰρ ἔλεγον οὗτοι, τοσοῦτον ἐγκράτειαν περὶ πλείστου ποιῆσαι, ὡς τὰς τεσσαράκοντά φημι τῆς νηστείας ἡμέρας, ἄσιτον διιέναι, τῇ μεταλήψει μόνῃ τῶν μυστηρίων ἀρκούμενον. Οὕτω βιώσαντι Γερασίμῳ, καὶ τοῖς ὑπ' αὐτὸν ἀρχέτυπον ἀρετῆς καὶ σωτηρίας ὑπόθεσιν γενομένῳ, τὸ κοινὸν ἔπει τέλος, πέμπτην τοῦ Μαρτίου μηνὸς ἄγοντος, τρισκαιδεκάτης οὔσης Ἰνδικτιῶνος, ἐν ὑπατείᾳ Ζήνωνος Αὐγούστου τὸ δεύτερον. Ἡμῖν δὲ πάλιν ἐπανιτέον, ὅθεν ἐξέβημεν.

ϞΔ'. Λέοντος ἤδη τὸ τηνικαῦτα τοῦ εὐσεβοῦς τε D καὶ φιλοχρίστου τὴν Μαρκιανοῦ βασιλείαν ἐκδεξαμένου, Τιμόθεός τις ἐπίκλην Αἴλουρος, τὴν Ἀλεξανδρέων διέσειε καὶ συνετάρασσε πᾶσαν· ἔπειτα δὲ καὶ αὐτὸν τὸν τῆς πόλεως πατριάρχην ἐν αὐτῇ

A pere ex illis vilibus usuique necessariis, nemine prohibente; quin etiam ipsi cernerentur vivere apostolice, essetque eorum qui habitabant in solitudine, consimiliter eis cor unum et anima una; quandoquidem nemo quidquam ex iis quæ habebat judicabat esse proprium, sed cuncta eis ex æquo prostarent communia [31]. Illud quoque de anachoretis refertur, cum quidam ad eum accessissent, et peterent ut sibi liceret tum aquam calefacere, tum coctum sumere, tum ad lucernam legere, magnum Gerasimum respondentem dixisse. Si vultis ita vivere multo magis expedit ut vos degatis in cœnobio. Ego enim nequaquam sane permittam toto meæ vitæ tempore, hoc fieri apud anachoretas.

B XCII. Itaque Jerichontini audientes vitam eorum qui erant apud abbatem Gerasimum esse adeo arctam et solatii expertem, multumque habere molestiæ ac violentiæ, hanc sibi legem tulerunt, ut Sabbato et Dominica ad eos abirent, eisque non modicam afferrent consolationem. Sed hoc quidem laus est Jerichuntinorum, atque argumentum animarum virtutis amantium. Cum autem multi ex iis qui sub magno hoc Gerasimo decertabant, viderent sæculares cum hoc proposito ad se venire, tantum abest ut illorum adventum gratum jucundumque dicerent, ut nec eos quidem in regione omnino tolerare vellent; sed potius ut valde læsuros fugerent ipsos et declinarent. Probe enim illi noverant accuratæ temperantiæ matrem esse abstinentiam, C quæ posset et turpes expellere cogitationes, et somni levare gravitatem: utpote qui non solis verbis, sed etiam factis hoc a Patre optime didicissent.

XCIII. Hi enim ipsum dicebant tanti fecisse abstinentiam, ut quadraginta illos jejunii dies, sine cibo transigeret, contentus sola sacramentorum participatione. Gerasimo, cum sic vixisset, atque iis qui sub eo erant fuisset exemplar virtutis salutisque causa, communis advenit finis, quinto (26) mensis Martii, indictione decima tertia (27), in consulatu Zenonis Augusti secundo. Nobis autem rursus redeundum est, unde digressi sumus.

D XCIV. Cum jam tunc Leo pius et Christi amans successisset Marciani (28) imperio, Timotheus (29) quidam cognomine Ælurus, totam concutiebat et conturbabat Alexandriam; deinde autem ubi ipsum quoque civitatis patriarcham (30) (o iniquas et impias illas

[31] Act. IV. 32.

VARIÆ LECTIONES.

[y] al. inser. καὶ. [z] al. Ἱεριχοντίους et infra.

JOAN. BOLLANDI NOTÆ.

(26) Consentit Vita S. Quiriaci 30 Septemb. et Martyrol. Rom, licet Græci eum 4 Martii colant.

(27) An. Ch. 475. Aberrant Menæa Græcorum, qui eum statuunt vixisse in interiore Thebaidos solitudine, imperante Constantino Pogonato, Heraclii nepote, duobus post hæc tempora sæculis.

(28) An. Ch. 457.

(29) Agunt de Æluro Evagrius lib. II, cap. 8; Theodorus Lector lib. I, collect., Liberatus in Breviario cap. 15 et potissimum Clerus Alexandrinus et Ægypti episcopi orthodoxi in epistola ad Leonem imperatorem, quæ exstat inter epistolas datas a diversis pro Conc. Chalcedonensi par. 3, epist. 22.

(30) S. Proterium, qui colitur 28 Februarii.

manus !) in ipsa divini baptismatis piscina interfecisset, sedem sic proterve ac impudenter invadit. Itaque cum in Ægypto omnia plena essent turba et tumultu, duo quidam anachoretæ, quorum nomen Martyrius et Elias (31), ille quidem Cappadox, hic vero Arabs, profecti ex monte Nitriæ, ad magnum veniunt Euthymium ; et unusquisque eorum in cella separata apud ipsum longo tempore sunt versati : quos et vir hic divinus amplectebatur lege amicitiæ, et assidue ad colloquium invitabat, similiterque ad Cutilam et Ruban successus indeque regressus socios faciebat ; cum quibus, unaque Gerasimo et aliis deinceps anachoretis, sanctæ illæ manus unaquaque Domina sumebant intemerata et immortalia Christi sacramenta (32).

XCV. Prævidebat autem magna, perspicaci puroque animæ oculo, quæ eventura erant Martyrio et Eliæ, quodque sedem Jacobi (33), qui in choro dicipulorum claruit, unusquisque eorum suo tempore esset excepturus. Post hæc vero Elias (34) quidem, in Jericho descendens, sibi ante civitatem ædificat cellam, quæ accessionibus ab eo factis paulatim dilatata, transmutata est in ea quæ nunc cernuntur monasteria. Martyrius autem speluncam quamdam ad Occidentem, quæ quindecim stadiis distat a laura, ingreditur, cumque satis temporis in ea permansisset, magnum et insigne is illic quoque construit monasterium (35).

XCVI. Sequenti autem anno (36) Juvenalis quidem patriarcha quarto et quadragesimo (37), sacri principatus anno ex hac vita excedit. Anastasius vero communi omnium suffragio ad sedem illius promovetur ; Anastasius ille, de quo Euthymii præ-

A (φεῦ ἀνόμων χειρῶν ἐκείνων καὶ ἀνοσίων !) τῇ κολυμβήθρᾳ τοῦ θείου βαπτίσματος ἀνελὼν, ἰταμῶς οὕτω καὶ ἀναισχύντως ἐπιβαίνει τοῦ θρόνου. Θορύβου τοίνυν τῶν κατ' Αἴγυπτον ἁπάντων καὶ ταραχῆς ἐμπλησθέντων, δύο τινὲς ἀναχωρηταὶ (Μαρτύριος αὐτοῖς ὄνομα καὶ Ἠλίας, ὁ μὲν Καππαδόκης, ὁ δὲ Ἄραψ, τοῦ τῆς Νιτρίας ἀπάραντες ὄρους, παρὰ τὸν μέγαν ἦλθον· καὶ τούτων ἕκαστος ἐν ἰδιάζοντι κελλίῳ, συχνὸν παρ' αὐτῷ διέτρυψαν χρόνον· οὓς καὶ ἠσπάζετο νόμῳ φιλίας· ὁ θεῖος οὗτος ἀνὴρ καὶ συνεχῶς εἰς ὁμιλίαν προεκαλεῖτο [y], καὶ τῆς πρὸς τὸν Κουτιλᾶν καὶ τὸν Ῥουβᾶν ἀναχωρήσεως κοινωνοὺς ὁμοίως ἐποιεῖτο καὶ τῆς καθόδου· οἷς καὶ μετὰ Γερασίμου καὶ τῶν ἄλλων ἑξῆς ἀναχωρητῶν αἱ ἅγιαι χεῖρες ἐκεῖναι, τῶν ἀχράντων καὶ ἀθανάτων [z]
B τοῦ Χριστοῦ μυστηρίων ἑκάστης Κυριακῆς ἐνεκοινώνουν.

ϞΕ'. Προεώρα δὲ ὁ μέγας τῷ διορατικῷ καὶ [a] καθαρῷ τῆς ψυχῆς ὀφθαλμῷ, καὶ ἃ Μαρτυρίῳ καὶ Ἠλίᾳ συμβαίνειν ἔμελλε, καὶ ὅτι τὸν Ἰακώβου θρόνον, τοῦ τῷ χορῷ τῶν μαθητῶν διαλάμποντος, καιροῖς ἰδίοις αὐτῶν ἕκαστος διαδέξεται. Μετὰ δὲ ταῦτα ὁ μὲν Ἠλίας ἐπὶ τὴν Ἱεριχὼ κατελθὼν, κελλίον ἑαυτῷ πρὸ τῆς πόλεως οἰκοδομεῖ· ὃ ταῖς κατὰ μικρὸν προσθήκαις ὑπ' αὐτοῦ πλατυνθὲν, εἰς τὰ νῦν ὁρώμενα μετεσκεύασται μοναστήρια. Μαρτύριος δὲ σπήλαιόν τι πρὸς τὰς ἡλίου δύσεις, πέντε πρὸς τοῖς δέκα σταδίοις ἀπέχον τῆς λαύρας εἰσέρχεται, καὶ χρόνον ἱκανὸν ἐν αὐτῷ περιμείνας, μέγα τι καὶ περιφανὲς ἐκεῖ καὶ οὗτος συνίστησι μοναστήριον.

C ϞϚ'. Τοῦ δὲ ἐπιφενομένου ἔτους. Ἰουβενάλιος μὲν ὁ πατριάρχης τετάρτῳ καὶ τεσσαρακοστῷ τῆς ἀρχῆς ἐνιαυτῷ καταλύει τὸν βίον. Ἀναστάσιος δὲ ψήφῳ τοῦ κοινοῦ παντὸς, εἰς τὸν ἐκείνου θρόνον ἀνάγεται· Ἀναστάσιος ἐκεῖνος, ἐφ' ὃν αἱ τοῦ Εὐθυμίου προφ-

VARIÆ LECTIONES.

[y] al. προσεκαλεῖτο et παρεκαλεῖτο. [z] absunt ab al. [a] absunt ab al.

JOAN. BOLLANDI NOTÆ.

(31) A S. Cyrillo edocti fuerunt, et de S. Elia dixit Anastasio imperatori S. Sabas. Colitur Elias 4 Julii ; Martyrii nomen necdum in Fastis sacris legimus, licet *Sanctus* et *Beatus* passim appellatur, nisi si forte is est, qui cum Rubentio memoratur 17 Jan. in Oriente.

(32) «S. Euthymius eos divinis impertiebatur sacramentis in solitudine Ruba singulis Dominicis, donec venisset dies Palmarum. » Vita S. Quiriaci.

(33) S. Jacobum apostolum intelligit, fratrem Domini, primum Hierosolymorum episcopum, de quo 1 Maii.

(34) Sicut S. Elias hic monachus vinum non bibit, ita nec patriarcha factus bibebat, sed eamdem servavit regulam. Moschus, cap. 35.

(35) De hoc monasterio agetur infra n. 119, 125 131 et 138. Ejus mentio fit in concilio Constantinopolitano sub Menna an. Ch. 536.

(36) Anno Leonis Imp. 2, Christi 458. Baronius obitum refert in annum præcedentem 457, propter hæc verba Vitæ Sabæ excusæ : « Cum Saba annum ætatis ageret decimum octavum, quo Marcianus et Juvenalis ambo pii et religiosi, ille ab imperio, hic a pontificatu morte desistunt,» etc. Verum locus ille sic legitur in antiqua Vita per Cyrillum: «Eo in tempore regni a picem Marcianus obtinebat, Hierosolymis autem Juvenalis præsidebat.» Confirmatur obitus S. Juvenalis ratio ex successione Anastasii. cujus annus octavus cum Leonis imp. nono concurrit ; et anno ejus 15 obit S. Euthymius. Vide Prolegomena n. 12 et 13.

D (37) Locus hic mendis scatet : ex Herveti versione, 14 anno Patriarchatus moritur. Verum anno Ch. 431 interfuit synodo Ephesinæ. MS. Græcum nostrum : Ἰουβενάλιος μὲν ὁ πατριάρχης τῷ τετάρτῳ καὶ τεσσαρακοστῷ τῆς ἀρχῆς ἐνιαυτῷ καταλύει τὸν βίον. *Juvenalis quidem patriarcha quarto et quadragesimo patriarchatus anno ex hac vita discedit.* Sed sic oporteret consecratum asserere an. Ch 415. Verum eo anno Joannes episcopus mense Decembri reliquias S. Stephani transtulit, cui successit Praylius decessor S. Juvenalis. in Chronico Nicephori assignantur Prayio, quem Paulinum vocat, anni 20, Juvenali 38, sed in utroque mendum est. Quare opinamur legendum τῷ τετάρτῳ καὶ τριακοστῷ, quarto et tricesimo, ex quo factius Hervetus legit τετάρτῳ καὶ δεκάτῳ, alius τετάρτῳ καὶ τεσσαρακοστῷ, adeoque episcopus fuisset ordinatus an. Ch. 424; aut sequenti. Favet huic conjecturæ Nicephorus Callistus lib. XIV, cap. 30.

ῥήσεις, ἐφ' ὃν αἱ φιλαλήθεις ἐπαγγελίαι. Ὧν οὗτος A εὐθέως ἀναμνησθεὶς, Φεῖδον τὸν εἰς τὴν λαύραν σὺν αὐτῷ παραγεγονότα, καὶ τῶν προῤῥήσεων ἐκείνων ἀκούσαντα, διάκονον χειροτονεῖ, καὶ πρὸς τὸν μέγαν αὖθις μετὰ τοῦ σταυροφύλακος ἀποστέλλει· τήν τε τῆς προφητείας μηνύων ἔκβασιν, καὶ ἀξιῶν ἐπιτραπῆναί οἱ τὴν πρὸς αὐτὸν κάθοδον. Ὁ δὲ ταύτας δίδωσι τὰς ἀποκρίσεις· Ἐμοὶ δι' ἐπιθυμίας ἐστὶν ἀεὶ τὴν ὑμετέραν ὁρᾷν τελειότητα, καὶ κέρδους οὕτως ἀπολαύειν πνευματικοῦ. Ἀλλὰ τὸ μὲν τῆς προτέρας ὑμῶν ἐπιδημίας, ἄλλως ἦν, ἔξω παντὸς ὄχλου καὶ πάσης ἀπραγμοσύνης. Νῦν δὲ τὸ τῆς ἀρχῆς μέγεθος, ἑτέραν ὑμῖν σὺν Θεῷ δίδωσι τάξιν· ὥστε ὑπερβαίνει παρὰ πολὺ τὴν ἐμὴν ἀσθένειαν ἡ ὑμετέρα δηλαδὴ παρουσία. Δυσωπῶ γοῦν μηκέτι σε σκυλῆναι πρὸς τὰ ἐνταῦθα. Εἰ δ' οὖν, ἀλλ' ἐγὼ μὲν δέχομαι προθύμως ἐρχόμενον· εἶτα B καὶ τοὺς ἄλλους πάντας ἀναγκαῖον πάντως οὐκ ἀπωθεῖσθαι· καὶ τὸ λοιπὸν, οὐκέτι διατρίβειν ἐνταῦθα δυνατὸς ἔσομαι, τῷ τῶν παραβαλλόντων πλήθει στενοχωρούμενος. Ἀλλὰ τὰ μὲν τοῦ μεγάλου πρὸς τὸν πατριάρχην, τοιαῦτα καὶ οὕτως ἔχοντα. Βούλεται δὲ νῦν ὁ λόγος, ἐπὶ τὸν Τερέβωνα καὶ αὖθις ἐπανελθεῖν.

ϞΖ'. Τερέβων τοίνυν οὗτος ὁ τῶν Σαρακηνῶν φύλαρχος, εἰς Βόστρας κατά τινα χρείαν ἐλθὼν, καὶ παρά τινος συμφυλάρχου τοῦ [b] τὴν ἀρχὴν τῆς χώρας ἐπιτετραμμένου [c] διαβληθεὶς, κατεσχέθη τε καὶ τὸ δεσμωτήριον οἰκεῖν κατεκρίθη πολὺν ἐν τῷ μεταξὺ χρόνον. Γνοὺς οὖν τὸ δρᾶμα τῆς συκοφαντίας ὁ μέγας Εὐθύμιος, γράφει Ἀντιπάτρῳ τῷ τηνικαῦτα τὴν Ἐκκλησίαν Βόστρων ἰθύνοντι, συναποστείλας τοῖς C γράμμασι καὶ Γαϊανὸν τὸν ἀδελφὸν Στεφάνου τοῦ Ἰαμνείας, ὥστε σπουδὴν εἰσενέγκασθαι πᾶσαν, ἀνεθῆναι τῶν δεσμῶν τὸν Τερέβωνα. Ὁ δὲ τὰ γράμματα εἰληφὼς, δεξάμενός τε καὶ Γαϊανὸν, τὸν μὲν Τερέβωνα πάσης κατηγορίας ἐλευθερώσας, καὶ ὅσης αὐτῷ ἔδει δαπάνης πρὸς τὴν ὁδὸν κοινωνήσας, ἐπὶ τὸν μέγαν ἐξαποστέλλει. Γαϊανὸν δὲ ὥσπερ τι ζώπυρον τῆς Εὐθυμίου διδασκαλίας ἔγνω παρακατέχειν, καὶ τῆς Μηδάβων πόλεως ἐπίσκοπον χειροτονεῖ.

ϞΗ'. Ἥ γε μὴν μακαρῖτις Εὐδοκία, ναοὺς ὅτι πλείστους τῷ Θεῷ δειμαμένη, γηροκομεῖά τε καὶ πτωχεῖα [d] καὶ μοναστήρια μηδ' ἀριθμῷ ὑποβληθῆναι ῥᾴδια φιλοθέως συστησαμένη, προσέταξεν ἔν τινι τῶν ὑπ' αὐτῆς ᾠκοδομημένων [e], ὃς Πέτρῳ μὲν D τῷ κορυφαίῳ τῶν ἀποστόλων ἀνεῖται, ἀντικρὺ δὲ τῆς Εὐθυμίου λαύρας διάκειται, οὐκ ἔλαττον ἢ εἴκοσι σταδίοις διεστηκὼς, λάκκον [f] μέγα βάθος ὁμοῦ καὶ μῆκος, χρείας τινὸς ἀναγκαίας χάριν ἀνορύξαι. Ποτὲ

dictiones, de quo veræ promissiones. Quarum is statim recordatus, Fidum, qui ad lauram cum ipso accesserat, audieratque prædictiones illas, ordinat diaconum, et rursus ad magnum mittit una cum custode crucis; tum prophetiæ significans eventum, tum rogans sibi permitti ad eum pergere. Is autem dat hæc responsa: Mihi sane exoptatum semper est vestram videre perfectionem, sicque lucrum spiritale consequi. Verum prior quidem vester adventus, aliter erat, citra omnem turbam, cum omni tranquillitate. Nunc vero dignitatis magnitudo dat vobis alium agendi ordinem, Deo ita volente: quocirca longe meam superat imbecillitatem, vestra scilicet præsentia. Rogo igitur, ne amplius laborem huc veniendi suscipias. Sin minus, attamen ego venientem accipiam alacri animo; deinde necesse erit omnino ut alii cuncti non repellantur; tandemque non potero amplius hic versari, a multitudine accedentium coarctatus. Sed quæ magnus ad patriarcham, tali quodam modo habent. Jam exigit oratio, uti revertamur adhuc ad Terebonem.

XCVII. Hic ergo Terebon Saracenorum tribus præfectus, cum aliqua de causa venisset Bostras (38), et a quodam compræfecto delatus esset ad eum cui commissa fuerat regionis administratio, comprehensus fuit et carcerem habitare condemnatus, per longum quod intercessit tempus. Cognito igitur calumniæ actu magnus Euthymius, scribit ad Antipatrum (39), qui tunc Bostrensem regebat Ecclesiam; una cum litteris mittens Gaianum fratrem Stephani Jamniæ episcopi; ut omnem adhiberet diligentiam quo a vinculis Terebon eriperetur. Ille vero, acceptis litteris, susceptoque Gaiano, cum Terebonem ab omni liberasset accusatione, eique sumptum ad profectionem necessarium suppeditasset, eum mittit ad magnum. At Gaianum veluti scintillas quasdam doctrinæ Euthymii statuit retinere, et episcopum Medaborum (40) civitatis ordinat.

XCVIII. Beata porro Eudocia, postquam templa quamplurima Deo ædificavit, pieque construxit gerocomia, ptochia, monasteria, quæ ne facile quidem sub numerum venire possunt; jussit in quodam ex ædificatis ab ea templis, quod est sacrum Petro principi apostolorum, situm autem est e regione lauræ Euthymii, non distans minus quam viginti stadia, fodere cisternam valde profundam simul et latam, alicujus gratia usus necessarii.

VARIÆ LECTIONES.

[b] al. τῷ. [c] al. ἐπιτετραμμένῳ. [d] al. πτωχοτροφεῖα. [e] al. addd. ναῶν. [f] al. λάκκου.

JOAN. BOLLANDI NOTÆ.

(38) Urbs erat munitissima et antiquissima in Arabia deserta, tribui Manasse trans Jordanem assignata. Vide Adrichomium c. 27.

(39) Hujus decessor subscripsit concilio Chalcedonensi Constantinus Bostrenæ civitatis metropolis Arabiæ.

(40) «Medaba civitas trans Jordanem, Arabiæ subjacens.» Vita S. Sabæ; quondam primaria Ammonitarum, postea Amorrhæorum ad torrentem Arnon; patria Gerontii, qui Hegumenus erat monasterii S. Euthymii, cum vita hæc a Cyrillo scriberetur. Vide Adrichomium in tribu Ruben cap. 47.

Cumque aliquando venisset ad eam spectandam, videt lauram Euthymii positam in media solitudine, et quemadmodum cellæ fratrum erant a se invicem sejunctæ; atque illud Scripturæ meditata : *Quam pulchræ domus tuæ, Jacob, tabernacula tua, Israel*[33]! indeque vehementer animo compuncta, illico ad eum mittit Gabrielium, rogans ut sibi permitteretur accedere, illiusque frui sermone et doctrina : simul vero habebat in animo lauræ illique assignare reditus, eam ob causam, ut fratribus de cætero sufficiens exstaret rerum necessariarum suppeditatio.

XCIX. Ille vero eam prius his verbis compellat : Morte ad fores stante, cur, o filia, sollicita es et distraheris circa plurima? Illa solum tibi sint parata, quæ ad excessum ex hac vita pertinent. Nostri autem ne memineris, quantum ad reditus ullos aut pecunias, sed recordare coram communi Domino, ubi sane te potius nostri meminisse postulamus. His illa auditis, animum divisum habebat in hasce duas affectiones, admirationem et tristitiam : illud quidem, magni tribuens præscientiæ, et quemadmodum ea quæ de illo ipsa animo agitabat, is longe ante intelligeret; hoc vero, quod a sua spe ea in re excidisset. Volebat enim ei pecunias redituumque subsidium relinquere, sicut diximus. Hinc venit ad sanctam civitatem : cumque Anastasium patriarcham arcessivisset, ac ei exposuisset quæ a divino Euthymio audierat, gemina priori sententiæ fecit. Ac primo quidem Stephani protomartyris Christi templum, nondum omni ex parte constructum (41), dedicat quintodecimo mensis Januarii : deinde ei tributo multo reditu, ejusque cura commissa Gabrielio, neque alias neglexit ecclesias, quotquot ab ipsa ædificatæ fuerant; sed illas quoque diligenter magno cum labore obibat, dedicans, et sufficientem reditum unicuique attribuens. Jam vero quatuor mensibus post dedicationem transactis, et ipsa humanam vitam relinquens, excedit ad Dominum (42).

C. Longo autem post tempore, cum esset Euthymius jam nonaginta annos natus, in gravem incidit ægrotationem sanctus Theoctistus, adeoque morti vicinam, ut significaret se mox esse decessurum; qui jam ad profundissimam senectutem pervenisset, plenusque evasisset ipse etiam humanorum dierum. Veniens ergo ad eum visendum magnus Euthymius, adeoque periculose habere intuitus, statuit paucos dies cum illo manere, ut sancta ejus anima jam ad Deum profecta, ipse justa corpori faceret, cunctaque quæ mos est,

A δὲ κατὰ θέαν αὐτοῦ ἀφιγμένη, ὁρᾷ τὴν Εὐθυμίου λαύραν ἐν ἐρήμῳ μέσῃ διακειμένην, ὅπως τε τὰ τῶν ἀδελφῶν κελλία ἀπ' ἀλλήλων ἦσαν ἀπῳκισμένα· καὶ τὸ Γραφικὸν ἐκεῖνο λογισαμένη· Ὡς καλοὶ οἱ οἶκοι Ἰακὼβ, αἱ σκηναί σου, Ἰσραήλ! σφοδρῶς τε τὴν ψυχὴν ἐντεῦθεν κατανυγεῖσα, πέμπει Γαβριήλιον εὐθὺς πρὸς αὐτὸν, δεομένη ἐπιτραπῆναι καὶ αὐτῇ προσελθεῖν αὐτῷ [g], καὶ λόγων ἀπολαῦσαι τῶν ἐκείνου καὶ τῆς διδασκαλίας· ὁμοῦ δὲ καὶ προσαπονεῖμαι τῇ τε λαύρᾳ καὶ αὐτῷ προσόδους, ἐπὶ νοῦν εἶχε· καὶ ἡ αἰτία, ὥστε διαρκῆ τοῖς ἀδελφοῖς εἶναι τοῦ λοιποῦ τῶν ἀναγκαίων τὴν χορηγίαν.

Ϙθ'. Ὁ δὲ, προαναφωνεῖ αὐτῇ· Ἐπὶ θύραις οὔσης τῆς τελευτῆς, τί φροντίζεις, λέγων, ὦ τέκνον, καὶ περισπᾶσαι περὶ πολλά; Ἐκεῖνά σοι μόνον εὐτρεB πῆ γενέσθω, τὰ πρὸς τὴν τῆς ζωῆς ἐκδημίαν. Ἡμῶν δὲ μὴ ἐπὶ προσόδοις τισὶ μνησθῇς, μηδὲ χρήμασιν, ἀλλ' ἐπὶ τοῦ κοινοῦ μνήσθητι Δεσπότου, ὅπου δὴ καὶ μνησθῆναί σε μᾶλλον ἡμῶν ἀξιοῦμεν. Τούτων ἀκούσασα, δυσὶ πάθεσι τούτοις, ἐκπλήξει καὶ λύπῃ τὴν ψυχὴν ἐμερίζετο· τὸ μὲν, τῇ προγνώσει τοῦ μεγάλου διδοῦσα, καὶ ὅπως ἅπερ αὕτη κατὰ νοῦν ἐσκόπει περὶ αὐτοῦ, πόῤῥωθεν ἐκεῖνος συνίει· τὸ δὲ, διὰ τὴν τῶν ἐπ' αὐτῷ ἐλπίδων ἀποτυχίαν. Ἠβούλετο γὰρ καὶ χρήματα καὶ ἀφορμὰς αὐτῷ προσόδων καταλιπεῖν, ὥσπερ ἔφημεν. Ἐντεῦθεν πρὸς τὴν ἁγίαν ἀφικνεῖται πόλιν· Ἀναστάσιόν τε μεταστειλαμένη τὸν πατριάρχην, καὶ ἃ παρὰ τοῦ θείου Εὐθυμίου μάθοι πρὸς τοῦτον διασαφήσασα, ἀδελφὰ τῇ προτέρᾳ γνώμῃ ἐποίει. Καὶ πρῶτα μὲν τὸν ἐπὶ Στεφάνῳ τῷ C πρωτομάρτυρι τοῦ Χριστοῦ ναὸν ἐλλειπῶς [h] ἔτι τῆς κατασκευῆς ἔχοντα, πέμπτῃ ἐγκαινίζει καὶ δεκάτῃ μηνὸς Ἰανουαρίου. Εἶτα καὶ πολλὴν αὐτῷ πρόσοδον ἀπονείμασα, καὶ τὴν περὶ αὐτὸν πρόνοιαν ἀναθεῖσα Γαβριηλίῳ, οὐδὲ τῶν ἄλλων ἠμέλει ἐκκλησιῶν, ὅσαι παρ' αὐτῆς ᾠκοδόμηντο· ἀλλὰ καὶ αὐτὰς περιήρχετο κομιδῇ φιλοπόνως, ἐγκαινίζουσά τε καὶ τὴν ἀρκοῦσαν ἑκάστῃ πρόσοδον ἀφορίζουσα. Τεσσάρων δὲ ἤδη μηνῶν μετὰ τὸν ἐγκαινισμὸν παρελθόντων, καὶ αὐτὴ τὸν ἀνθρώπινον ἐκλιποῦσα βίον, πρὸς Κύριον ἐκδημεῖ.

Ρ'. Μετὰ μέντοι συχνὸν ἐξ ἐκείνου χρόνον ἐνενήκοντα τοῦ Εὐθυμίου ἤδη γεγονότος ἐνιαυτῶν, βαρείᾳ περιπίπτει νόσῳ καὶ ὁ ἐν ἁγίοις Θεόκτιστος, καὶ τοσοῦτο γειτονούσῃ θανάτῳ, ὥστε καὶ αὐτὸν ὅσον D οὔπω προσάγειν ἐδήλου· βαθύτατα ἤδη γηράσας, καὶ πλήρης ἡμερῶν καὶ αὐτὸς τῶν ἀνθρωπίνων γενόμενος. Κατελθὼν τοίνυν ἐπισκεψόμενος αὐτὸν ὁ μέγας Εὐθύμιος, καὶ οὕτως ἐπικινδύνως ἔχοντα θεασάμενος, ἔγνω καὶ βραχείας αὐτῷ τινας ἡμέρας συμπαραμεῖναι· ὡς ἂν ἤδη πρὸς Κύριον τῆς ἁγίας ἐκδημούσης ψυχῆς, αὐτὸς τῷ σώματι τὰ νομιζόμενα

33 Num. XXIV, 5.

VARIÆ LECTIONES.

g abest ab al. h al. ἐλλιπῶς.

JOAN. BOLLANDI NOTÆ.

(41) «Amplum adeo, ut decem millia monachorum ex omni eremo in eo convenerint.» Vita S. Sabæ.

(42) Anno 4 imperii Leonis, Christi 460, mense Maio. Sepelitur in templo S. Stephani. Nicephorus et Evagrius.

λειτουργήσῃ, καὶ ἅπερ ἔθος ἐπ' αὐτῷ πάντα πληρώσῃ. Γνοὺς δὲ τὴν Εὐθυμίου παρὰ Θεοκτίστῳ προσεδρείαν ὁ πατριάρχης, καὶ πρόφασιν τοῦτο τῆς πρὸς αὐτὸν ἀφίξεως οὐκ ἄκαιρον εἶναι νομίσας, ἤδη τοῦ μακαρίτου Θεοκτίστου πρὸς Θεὸν ἐκδημήσαντος, τρίτην ἔχοντος τότε τοῦ Σεπτεμβρίου μηνὸς, κάτεισι παρ' αὐτὸν, καὶ κοινῇ τῆς τοῦ λειψάνου ταφῆς ὑπ' αὐτῶν γεγονυίας.

ΡΑ'. Ἔπειτα καὶ ἃ πρὸς Εὐθύμιον ὁ θερμὸς ἐκέλευε πόθος, ὁ πατριάρχης ἐποίει· καὶ ἡδέως τῶν ἱερῶν ἐκείνου χειρῶν λαβόμενος, καὶ αὐταῖς ὡς εἶχε περιχυθεὶς, ἠσπάζετό τε θερμῶς, καὶ πόθου τοῖς ἀσπασμοῖς ἐπέλεγε ῥήματα· Ἐκ πολλοῦ τῶν ἁγίων ἐγὼ τούτων ἐπεθύμουν χειρῶν· καὶ ἰδοὺ πεπλήρωκέ μοι τὴν ἔφεσιν ὁ Θεός. Ἀλλὰ δέομαί σου, τίμιε Πάτερ, καὶ σφόδρα δέομαι· πρῶτα μὲν εὔχεσθαι τῷ Θεῷ, τὰς σὰς ἐπ' ἐμοὶ προῤῥήσεις, διὰ τέλους συντηρηθῆναι· ἔπειτα δὲ καὶ γράφειν μοι συνεχῶς περὶ τῶν δοκούντων, ὅσα καὶ τέκνων [1] νόμος διακελεύεται. Ταῦτα τῷ Εὐθυμίῳ λίαν εὐμενῶς ὡμίλει καὶ διελέγετο, καὶ ὅσα ἕτερα ὁ καιρός τε ἀπῄτει καὶ διὰ μικροῦ συντυχία τοῦ ἀνδρὸς ὑπεμίμνησκεν. Ὁ δὲ, μετὰ τῆς συνήθους ἐκείνης ἐπιεικείας, Τοῦτο μᾶλλον ἐγὼ παρὰ τῆς σῆς αἰτοῦμαι μακαριότητος ἀπεκρίνατο· τὸ ἐν ταῖς πρὸς τὸν Θεὸν πρεσβείαις σου καὶ λιταῖς καὶ ἡμᾶς κεῖσθαί σοι διὰ μνήμης. Κἀκεῖνος ὑπολαβὼν, Οὔ τοι, ὦ Πάτερ, φησὶν, οὐδαμῶς παραχωρήσω σοι τοῦ αἰτήματος. Τοῦτο γὰρ ἐγὼ παρὰ σου πρῶτος λαβεῖν ἀξιῶ· ἐπεὶ καὶ πεπείραμαι καλῶς ἤδη τῆς ἐν σοὶ τῶν θείων χαρισμάτων ἐνεργείας κομιδῇ καὶ δυνάμεως. Καὶ ὃς ὁμαλῶς ἄγαν καὶ πράως, Συγχώρησον, τίμιε Πάτερ, ἔφη· παρακλήθητι δὲ πρόνοιαν μᾶλλον τοῦ παρόντος μοναστηρίου χάριν ἐμήν τε καὶ σὴν, καὶ αὐτῶν δὲ τῶν ἀδελφῶν ἕνεκα ποιεῖσθαι, καὶ κήδεσθαι καὶ αὐτοῦ, ὥσπερ εἰκός. Πρὸς ταῦτα ὁ πατριάρχης, Καὶ Θεοκτίστου, φησὶν, ἔτι περιόντος τοῦ ἐν ἁγίοις, σὺ ἧς ὁ τῆς ἐρήμου ταύτης προεστὼς, καὶ πόλιν αὐτὴν τῷ τῶν ἐνοικούντων πλήθει καὶ τῇ ἀρετῇ κομῶσαν ἀποδείξας, καὶ ἄλλην τινὰ καθάπερ Ἱερουσαλὴμ τῷ Χριστῷ παραστήσας· καὶ νῦν πάλιν ἐκείνου τὸν βίον ἀμείψαντος, σοὶ τὰ σαυτοῦ καταλείπεται. Ὁ μὲν οὖν ταῦτα εἰπὼν, καὶ συνταξάμενος τῷ ἁγίῳ, πρὸς τὰς οἰκείας αὖθις ἐπανῆλθε διατριβάς.

ΡΒ'. Εὐθύμιος δὲ ὁ μέγας, Μάριν τὸν τοῦ Τερέβωνος θεῖον, φιλαρέτως ζῶντα, καὶ τὴν ἡλικίαν ἤδη προήκοντα, ἡγούμενον τῆς μονῆς καταστήσας, εἰς τὴν οἰκείαν καὶ αὐτὸς λαύραν ἐπάνεισι. Τοῦ δὲ, δύο τῇ τῆς μονῆς προστασίᾳ χρόνους ἐπιβιοῦντος, εἶτα καὶ αὐτοῦ τὸν βίον μεταλλάξαντος, κατελθὼν αὖθις ὁ μέγας, τὸ μὲν ἱερὸν τούτου σῶμα, ἐν τῇ τοῦ μεγάλου Θεοκτίστου θήκῃ θεοφιλῶς κατατίθεται· Λογγί-

A in eo impleret. Cum vero patriarcha cognovisset apud Theoctistum assidere Euthymium, idque existimasset occasionem esse non inopportunam ad eum veniendi, jam beato Theoctisto ad Deum profecto, tertia die mensis Septembris (43), accedit ad eum, et communiter (44) ab iis facta est corporis sepultura.

CI. Deinde quæ erga Euthymium vehemens jubebat desiderium, fecit patriarcha; et suaviter sacris illius manibus prehensis, eisque, uti erat, circumfusus, tum deosculabatur ardenter, tum inter oscula et amplexus verba amoris proferebat: Jamdiu ab hinc ego sanctas has manus cupiebam: et ecce meum Deus implevit desiderium. Sed rogo B te, venerande Pater, et valde rogo; primum quidem, ut Deum preceris, conservari in perpetuum tuas de me prædictiones; deinde ut etiam ad me assidue scribas de iis quæ videbuntur, quæcunque filiorum lex præcipit. Hæc cum Euthymio benigne admodum colloquebatur et disserebat, et quæcunque alia aut occasio postulabat, aut post longum tempus cum viro congressio revocabat in memoriam. Is vero cum solita illa modestia: Hoc ego potius, respondit, peto a tua beatitudine, ut in tuis ad Deum intercessionibus et supplicationibus nos quoque in memoria habeas. Et ille excipiens: Nequaquam, inquit, o Pater, nullatenus tibi concedam petitionem. Hoc enim ego ut a te primus accipiam rogo: quippe qui jam præclare sim expertus C divinorum charismatum, quæ in te omnino est, operationem et virtutem. Tum ille placide admodum et leniter ait: Concede, venerande Pater; exorare vero ut potius præsentis monasterii, mea et tua causa et propter ipsos fratres, providentiam habeas, ejusque curam geras, ut par est. Ad hæc patriarcha: Etiam, inquit, sancto Theoctisto adhuc superstite, tu huic præfuisti solitudini, eamque effecisti civitatem insignem multitudine ac virtute incolarum, et velut aliam quamdam Jerusalem Christo exhibuisti; et nunc rursus cum ille e vita migravit, tibi tua relinquuntur. His itaque dictis, cum sancto valefecisset, reversus est ad suam habitationem.

CII. At magnus Euthymius postquam Marim Terebonis avunculum, ex virtutis regula viventem (45), D jamque ætate provectum, monasterii præfectum constituisset, revertitur ipse quoque in suam lauram. Cum is vero in monasterii præfectura duos annos vixisset, ac deinde e vita migrasset (46), descendens rursus magnus, sacrum quidem ejus corpus in magni Theoctisti theca pie deponit; cuidam autem

VARIÆ LECTIONES.

[1] al. τέκνῳ.

JOAN. BOLLANDI NOTÆ.

(43) An. Ch. 467, ad illum diem de eo agemus.

(44) « Euthymius cum magna honorificentia sepelivit corpus ejus. » Cyrillus in Vita S. Sabæ. «

(45) « Marim dignum et mirabilem, » in Vita eadem.

(46) An. Ch. 469.

Longino (47), viro propter vitam laude digno, committit curam monasterii.

CIII. Statim autem post magni Theoctisti obitum, eum Olympius Scythopolis episcopus vitam reliquisset, Cosmas quidem custos crucis pro illo ordinatur episcopus; Chrysippo autem custodis crucis committitur ministerium; neque hic excidente Euthymii prædictione. Verum beatus Cosmas, cum totos triginta annos in eo principali munere permansisset, magnis in secunda Palæstinorum (48) provincia claruit meritis. At Chrysippus, qui erat illius quoque frater, ubi duodecim annos obiiset ministerium custodiendæ crucis, scriptis relictis (49) et numero multis, et ob tractationem laudabilibus, vita excedit. Horum vere frater Gabrielius, presbyter, ut paulo ante dictum est, et monasterii per viginti quatuor annos præfectus, postea breve sibi ædificavit monasterium in valle venerabilis templi ad orientem, quod nomine Sanctæ Ascensionis (50) donatum fuerat, ubi ad imitationem Euthymii, post divinorum Theophaniorum octavum diem secedens, usque ad festum Palmarum morabatur. Cum autem esset discendi cupidus, habuit quoque ingenium ei opem ferens. Unde et linguam ad Græcorum sermonem, Romanorumque et Syrorum exercebat. Moritur autem octogesimo ætatis anno in monasterio: et illic fit viro sepulcrum (51), in signis maximis illustri. Atque ea quæ quidem ad Euthymii pertinent discipulos, hujusmodi sunt, ac talis unicuique obtigit mors.

CIV. Ego vero ad ea quæ consequuntur ex viri recte factis revertor. Nam hæc quoque mihi cum aliis Joannes solitarius et episcopus, et Thalelæus presbyter narraverunt. Aiebant enim, quod versantibus aliquando ipsis in solitudine, occurrens beatus Sabas colloquebatur, dicens, quod cum adhuc esset in cœnobio, ascendisset post mortem Theoctisti, simul cum Longino monasterii præposito ad magnum Euthymium. Aliquot autem dies morati circa Ruban una cum Martyrio et Elia, sancto etiam Gerasimo nobiscum versante, quoniam, inquit, alacres magnus me et Domitianum videbat, utroque assumpto, transibat per interiorem solitudinem (52). Cibus autem nobis erant radices meleagrorum. Deinde pervenimus ad quamdam terram admodum horren-

νῳ δέ τινι ἀξιεπαίνῳ τὸν βίον ἀνδρὶ, τὴν τῆς μονῆς πρόνοιαν ἐγχειρίζει.

ΡΓ'. Καταπόδας δὲ τῆς Θεοκτίστου τελευτῆς τοῦ μεγάλου, καὶ Ὀλυμπίου τοῦ Σκυθοπόλεως ἐπισκόπου τὸν βίον ἀπολιπόντος, Κοσμᾶς μὲν ὁ σταυροφύλαξ ἐπίσκοπος ἀντ' ἐκείνου χειροτονεῖται· Χρύσιππος δὲ, τὴν τοῦ σταυροφύλακος ἐγχειρίζεται λειτουργίαν· μηδ' ἐνταῦθα διαπεσούσης τῆς Εὐθυμίου προῤῥήσεως. Ἀλλ' ὁ μὲν μακαρίτης Κοσμᾶς, τριάκοντα ὅλους ἐνιαυτοὺς ἐπὶ τῆς ἀρχῆς διαμείνας, μεγάλοις ἐν τῇ δευτέρᾳ τῶν Παλαιστινῶν ἐπαρχίᾳ διέλαμψε κατορθώμασι. Χρύσιππος δὲ, ὃς καὶ ἀδελφὸς ἦν ἐκείνου, δωδέκατον τῇ τοῦ σταυροῦ φυλακῇ χρόνον διακονήσας, ἐπὶ συγγράμμασι τό τε πλῆθος πολλοῖς καὶ τὴν πραγματείαν ὑπαινετοῖς, καταλύει τὸν βίον· Ὁ μέν τοι τούτων ἀδελφὸς Γαβριήλιος, πρεσβύτερος, καθάπερ μικρῷ πρόσθεν εἴρηται, καὶ ἡγούμενος τετάρτῳ ἐπὶ τοῖς εἴκοσιν ἔτει γεγενημένος, βραχύ τι φροντιστήριον ἐν τῇ πρὸς ἕω κοιλάδι τοῦ σεβασμίου ναοῦ, ὃς ἀπὸ τῆς Ἁγίας ὠνόμαστο Ἀναλήψεως, ἐδείματο ἑαυτῷ· οὗ δὴ μετὰ ὀγδόην, κατὰ μίμησιν Εὐθυμίου, τῶν θείων Θεοφανίων ἡμέραν ἀναχωρῶν, ἕως τῆς τῶν Βαΐων διέτριβεν ἑορτῆς. Φιλομαθὴς δὲ ὢν, εἶχε καὶ τὴν φύσιν αὐτῷ συναιρομένην. Ἔνθεν τοι καὶ τὴν γλῶτταν πρός τε τὴν Ἑλλήνων φωνὴν καὶ τὴν τῶν Ῥωμαίων καὶ Σύρων ἤσκετο. Τελευτᾷ δὲ ὀγδοηκοστῷ τῆς ἡλικίας ἔτει ἐν τῷ μοναστηρίῳ· καὶ τάφος ἐκεῖ τῷ ἀνδρὶ γίνεται, ἐπὶ σημείοις λάμψαντι μεγίστοις. Τὰ μὲν δὴ τῶν μαθητῶν Εὐθυμίου τοιαῦτα, καὶ τοιαύτης ἕκαστος ἔτυχε καὶ τῆς τελευτῆς.

ΡΔ'. Ἐγὼ δὲ πρὸς τὰ ἑξῆς τῶν τοῦ ἀνδρὸς κατορθωμάτων ἐπάνειμι. Καὶ ταῦτα γάρ μοι μετὰ τῶν ἄλλων, Ἰωάννης τε ὁ ἡσυχαστὴς καὶ ἐπίσκοπος, καὶ Θαλέλαιος ὁ πρεσβύτερος διηγήσαντο. Ἔφασκον γὰρ, ὡς ἄρα διατρίβουσι ποτε αὐτοῖς ἐπὶ τῆς ἐρήμου, ὁ μακαρίτης Σάβας ἐντυχὼν διωμίλει· Ἔτι, λέγων, ἐν τῷ κοινοβίῳ ὢν, ἀνέλθοι μετὰ τὴν Θεοκτίστου τελευτὴν, ἅμα Λογγίνῳ τῷ ἡγουμένῳ πρὸς τὸν μέγαν Εὐθύμιον. Ἡμέρας δέ τινας περὶ τὸν Ῥουβᾶν διατρίψαντες, ἅμα τοῖς περὶ Μαρτύριον καὶ Ἠλίαν, καὶ Γερασίμου τοῦ ἐν ἁγίοις συμπαρόντος ἡμῖν, ἐπεὶ, φησὶ, προθύμους ὁ μέγας, ἐμέ τε καὶ Δομετιανὸν ἑώρα, παραλαβὼν ἀμφοτέρους, διὰ τῆς ἐνδοτέρας ἐρήμου διήρχετο. Τροφὴ δὲ ἦσαν ἡμῖν, αἱ τῶν μελεάγρων 1 ῥίζαι. Εἶτα καταλαμβάνομέν τινα γῆν ἀν-

VARIÆ LECTIONES.

1 al. μελεαγρίων. Int. melagriorum.

JOAN. BOLLANDI NOTÆ.

(47) Ejus mentio fit etiam in Vita SS. Sabæ et Quiriaci. Huic Paulus, illi suffectus junior Terebon.

(48) Scythopolis secundæ Palæstinæ Metropolitana sedes, primæ Cæsarea: utraque sub patriarchatu Hierosolymitano.

(49) Pauca ex his supersunt, ac primo hujus est sermo de sanctissima Maria Deipara, a Joanne Pico Parisiensi, una cum aliis editus, et insertus Bibliothecæ SS. PP. tribus editionibus Parisiensibus, et Coloniensi; sed sæculi 6, par. 2, quod ætas nesciretur. Secundo hujus est Encomion conscriptum de S. Theodoro martyre, in quo mentio est Luciani presbyteri, cui Gamaliel, quo in loco laterent corpora SS. Stephani, Nicodemi, ipsius Gamalielis et Abibi filii, revelavit an. 415. Imo horum martyrium ab eo conscriptum. Consule in Photii bibliotheca tmema 171.

(50) Palladius in histor. Lausiaca cap. 104, meminit « oratoriorum in Oliveto in colle Assumptionis, unde ascendit Jesus. » Est autem ad orientem sanctæ civitatis.

(51) De eo agemus 26 Januarii.

(52) Sequentia narrantur etiam in Vita S. Sabæ.

ἥμερον ἐπὶ πολὺ καὶ ξηρὰν καὶ ἀτεχνῶς ἄνυδρον. Ἐγώ- A γε οὖν ἀσυνήθης ὢν παντάπασι τῶν ἐν ἐρήμῳ διατριβῶν, δίψει τε συσχεθεὶς σφοδροτάτῳ, λειποψυχίᾳ τε συνειχόμην, καὶ οὐδὲ τοὺς πόδας εἶχον ἔτι πρὸς τὴν πορείαν δυναμένους ὑπηρετεῖν. Ἐπιστρέψας δέ φησιν ὁ μέγας Εὐθύμιος, καὶ οὕτως ἐκλείποντα ἤδη καὶ ἀπειρηκότα με θεασάμενος, ἔπαθε τὴν ψυχὴν ἐπ' ἐμοί, καὶ μικρὸν ἀφ' ἡμῶν διαστὰς, καὶ τῇ γῇ προσκαταβαλὼν ἑαυτὸν, ηὔχετο, Κύριε, λέγων, δὸς ὕδωρ ἐν γῇ διψώσῃ, τὴν τοῦ ἀδελφοῦ δίψαν παραμυθούμενον [k]. Καὶ μετὰ τὴν εὐχὴν ἀναστὰς, ἐπιλαμβάνεται τοῦ σκαφείου, ᾧ τὰς τῶν βοτανῶν ἐκτέμνοντες ῥίζας τροφὴν ἐποιούμεθα, καὶ κόπτει βραχὺ τὸ ἔδαφος, καὶ εὐθὺς ὕδωρ ἀπὸ τῆς γῆς ἀναδίδοται. Εἶτα καλεῖ με πρὸς ἑαυτὸν, καὶ ὑποδείκνυσι τὸ ὕδωρ, καὶ πιεῖν ἐπιτρέπει. Πιὼν τοίνυν, καὶ τὸ συνέχον τοῦ δίψους ἀπο- B βαλὼν [l], ηὐχαρίστησα τῷ παραδόξως διὰ τῶν αὐτοῦ θεραπόντων τὰ τοιαῦτα θαυματουργοῦντι Θεῷ.

ΡΕ'. Οὕτως ἔχοντι πρὸς τὸν Θεὸν παῤῥησίας τῷ Εὐθυμίῳ, καὶ τοσαύτην ἄνωθεν ἐπισπασαμένῳ τὴν χάριν τοῦ Πνεύματος, οὐδὲ τῆς κοινῆς αὐτῷ τελευτῆς ὁ καιρὸς ἀπεκρύβη, οὐδὲ ὅσα κατὰ τὴν αὐτοῦ λαύραν συμβαίνειν ἔμελλεν· ὡς οἱ θεῖοι Πατέρες οὗτοι καί περὶ αὐτῶν ἐμοὶ διηγήσαντο. Φασὶ γὰρ ὀγδόην τότε μετὰ τὰ φῶτα ἡμέραν, καθ' ἣν αὐτῷ σύνηθες ἦν ἐπὶ τὴν ἐνδοτέραν ἀπαίρειν ἔρημον, συνήλθομεν, οἵτε προπέμψαι μέλλοντες, καὶ ὅσοι κοινωνῆσαι τὸ παράπαν αὐτῷ τῆς ἀποδημίας ἠβούλοντο. Ἐν οἷς [m] ἂν ἦσαν οἱ περὶ Μαρτύριον καὶ Ἠλίαν. Ἐπειδὴ δὲ οὐδὲν εὐπρεπὲς [n] εὗρον, οὐδὲν ἕτοιμον, οὐδὲ προσῆκον ἀναχωρήσει, ἀλλ' ἀπαράσκευον ὅλως τὸν ἄνδρα κατέλα- C βον, ἐπυνθάνοντο εἰ μὴ αὔριον [o] ἀπιέναι. Ὁ δὲ Πᾶσαν, ἔφη, τὴν ἑβδομάδα συνέσομαι ὑμῖν ἐν τῇ λαύρᾳ, καὶ τοῦ Σαββάτου μέσων νυκτῶν, ἀφ' ὑμῶν χωρισθήσομαι, Τοῦτο δὲ εἶπε, τηνικαῦτα τελευτᾷν [p] προσημαίνων.

ΡϚ'. Τρίτῃ γοῦν τὸ μετὰ ταῦτα ἡμέρᾳ, καὶ τῆς Ἀντωνίου ἤδη τοῦ θείου ἑορτῆς ἐπιστάσης, ἀγρυπνίαν διὰ πάσης τῆς νυκτὸς ἐν τῷ ναῷ παραγγέλλει [q]. Καὶ τῶν νυκτερινῶν ὕμνων αὐτοῖς ἐκείνων συντελεσθέντων, τοὺς πρεσβυτέρους ἐν τῷ διακονικῷ καλουμένῳ παραλαβὼν, Οὐκέτι, φησίν, ἀδελφοί, μεθ' ὑμῶν ἀγρυπνίαν διατελέσω. Καλεῖ γάρ με ἤδη ἀπὸ τῆς παρούσης ζωῆς ὁ Θεός. Ἀλλὰ νῦν μὲν ἐξελθόντες, καλέσατέ μοι Δομετιανόν· ἕωθεν δὲ τῶν Πατέρων ἅπαν τὸ σύστημα συνελθέτω. Ἅμα γοῦν πρωῒ συνέῤῥεον μετὰ σπουδῆς ἅπαντες πρὸς αὐτόν. Καὶ μικρὸν ἐπισχὼν, ἤρξατο πρὸς αὐτοὺς λόγου τοιοῦδε· D

ΡΖ'. Πατέρες ἐμοὶ, καὶ ἀδελφοὶ ἀγαπητοὶ ἐν Κυρίῳ, καὶ τέκνα· ἐγὼ μὲν πορεύομαι ἤδη τὴν τελευταίαν ὁδὸν τῶν πατέρων μου. Ὑμᾶς δὲ χρὴ τὸ πρὸς ἐμὲ φίλτρον, διὰ τῆς τῶν ἐντολῶν τῶνδε φυλακῆς ἐπιδείξασθαι. Ὧν προηγουμένως ἐστὶν ἡ ἀγάπη, σύνδεσμος οὖσα τῆς τῶν ἀρετῶν τελειότητος. Ὅπερ γὰρ

tem, siccamque et omnino aquæ expertem. Ego itaque qui plane eram inassuetus commorationibus in deserto, vehementissima siti correptus, deliquium animi patiebar, et nec pedes habebam amplius ad itineris administrationem validos. Conversus vero, inquit, magnus Euthymius, neque sic jam deficientem et fractum intuitus, mea causa animo commotus est; cumque se paululum a nobis sejunxisset, et ad terram prostravisset, orabat, dicens: Domine, da aquam in terra sitienti, ad solatium afferendum fratris siti. Et post preces surgens, apprehendit ligonem, quo radices herbarum exscindebamus ad parandum nobis cibum, et solum parum scindit, statimque aqua e terra scaturit. Postea vocat me ad se, ostendit aquam, et bibere permittit. Bibens igitur, et siti quæ premebat depulsa, gratias egi Deo qui præter opinionem per servos suas talia edit miracula.

CV. Cum hanc haberet apud Deum fiduciam Euthymius tantamque Spiritus gratiam superne attraxisset, ne communis quidem mortis ei tempus est absconditum, nec quæcunque eventura erant in ejus laura sicut divini hi Patres de iis mihi narraverunt. Aiunt quippe quod octavo (53) tunc die post festum luminum, quando solebat ad interiorem proficisci solitudinem, convenimus, tum qui erant deducturi, tum quicunque ejus peregrinationis omnino volebant esse socii; quos inter erant Martyrius et Elias. Quoniam vero nihil paratum invenerunt, nihil promptum, nec secessui conveniens, sed virum offenderunt plane imparatum, sciscitati sunt an non esset cras abiturns. Ille vero: Tota, inquit, hebdomada ero vobiscum in laura, et Sabbati media nocte, a vobis separabor. Hoc autem dixit, præsignificans se tunc moriturum.

CVI. Itaque tertio post hæc die, jam adventante divini Antonii festo, præcepit ut per totam noctem vigilarent in templo. Et nocturnis illis hymnis per eos peractis, cum assumpsisset presbyteros in eo quod diaconicum appellatur: Non amplius, inquit, fratres, vobiscum vigilias peragam. Me enim jam vocat Deus a vita præsenti. Sed nunc quidem egressi, arcessite mihi Domitianum: mane autem totus Patrum cœtus conveniat. Simul ergo cuncti mane ad eum studiose confluxerunt. Atque ubi se param continuit, cœpit hunc ad eos habere sermonem:

CVII. Patres mei et fratres dilecti in Domino, et filii; ego quidem jam postremam viam meorum Patrum ingredior. Vos autem oportet vestrum in me amorem per horum præceptorum observationem ostendere. Inter quæ præcipue est charitas, quæ vinculum est virtutum perfectionis [34]. Nam quod

34 Coloss. III, 14.

VARIÆ LECTIONES.

[k] **al.** παραμυθούμενος. [l] **al.** τοῦ συνέχοντος δίψους ἀνενεγκών. [m] **abest. ab al.** [n] **al.** εὐπρεπές. [o] **an inser.** μέλλῃ. [p] **al.** τὴν τελευτήν [q] **al.** παραγγείλας.

JOAN. BOLLANDI NOTÆ.

(53) Octavam Theophaniorum a Græcis celebrari 14, Januarii, diximus supra; quam consuetudinem a Syris etiam fuisse observatam hinc colligimus, quod tertio ab hoc die fuerit festivitas S. Antonii,

sal pani, hoc virtutibus charitas: nec sine ea fieri potest, ut virtus prout oportet recte exerceatur: quandoquidem universa virtus per charitatem et humilitatem firma et stabilis cognoscitur. Etenim humilitas quidem novit eum qui illa utitur, ad culmen recte factorum extollere: charitas vero tuto continet, neque sinit ea ex altitudine cadere. At major est charitas humilitate: quod et patet ex ipso Domini Creatorisque exemplo. Nam propter suam in nos charitatem seipsum sponte humiliavit, et factus est juxta nos. Oportet ergo ei perpetuo confiteri, et hymnos offerre. Hæc siquidem præclarum est a cunctis hominibus omnino exerceri; a nobis autem ante cæteros, tum propter pacta cum eo, tum quia ab omni conturbatione negotiisque sæcularibus liberi, vitam nostram minime distractam agimus, solique solitarie attendimus nobis ipsis. Semper debemus, fratres, corporibus et animabus casti esse; necnon consuetam in synaxibus glorificationem, nobisque a principio desuper traditam regulam, omni custodia conservare. Eorum qui affliguntur, cura est gerenda pro viribus. Qui ex fratribus colluctatur cum improbis cogitationibus, a vobis semper confirmetur, et perpetua fruatur admonitione, doctrina, præceptione; ne imprudens paulatim supplantetur, gravis ruina diabolo factus. Hoc quoque ultimum vobis impono mandatum; Nunquam janua occludatur advenientibus, sed sit semper aperta cuivis viatori, et velut ad susceptionem paratissima: quinetiam ipsum tectum vobis sit commune hospitibus atque transeuntibus: necnon ea quæ habetis, egentibus proponantur communia. Sic enim copiosam suppeditationem cœlitus consequemini.

CVIII. Hæc ubi eis injunxit; postea interrogavit, quemnam vellent ipsis præesse et imperare. Illi autem velut ex compacto omnes responderunt: Domitianum. Is vero: At hoc, inquit, fieri non potest. Domitianus enim non hic longo tempore post me manebit; sed septimo solum die transacto, postridie me sequetur. Hoc omnes qui aderant obstupefecit, adeo aperte et fidenter dictum. Simul itaque spe de Domitiano amissa; Eliam quemdam petunt, inferioris monasterii œconomum, Jerichuntinum genere. Ad eum ergo statim conversus magnus, Ecce, inquit, omnes Patres te sibi pastorem et præfectum eligunt. Tu vero vide, ut tibi ipsi attendas, et toti gregi. Oportet autem te hoc etiam scire ante alia, quod Deo visum sit, haud ita diu abhinc lauram hanc vertere in cœnobium. Deinceps vero, et ubinam ædificari cœnobium, et quomodo constitui oporteret, item de hospitium exceptione, psalmodia, studio in regula adhibendo, præcepit Eliæ, et de non negligendis fratribus, maxime iis qui gravantur pravis cogitationibus. Deinde hoc postremo ait omnibus: Si aliquam invenerim ad Deum fiduciam,

A οἱ ἅλες τῷ ἄρτῳ, τοῦτο ταῖς ἀρεταῖς ἡ ἀγάπη· καὶ χωρὶς αὐτῆς ἀρετὴν ὡς χρὴ κατορθῶσαι ἀμήχανον. ἐπεὶ καὶ ἀρετὴ πᾶσα, δι' ἀγάπης καὶ ταπεινοφροσύνης βεβαία γνωρίζεται. Ἡ μὲν γὰρ ταπεινοφροσύνη, πρὸς ὕψος οἶδε κατορθωμάτων ἀνάγειν τὸν μετιόντα· ἡ δὲ ἀγάπη, συνέχει τε ἀσφαλῶς, καὶ τοῦ ὕψους ἐκείνου διαπεσεῖν οὐκ ἐᾷ. Μείζων [r] δὲ ἡ ἀγάπη τῆς ταπεινοφροσύνης· ὅπερ καὶ ἀπ' αὐτοῦ δῆλον τοῦ κατὰ τὸν Δεσπότην καὶ Δημιουργὸν ὑποδείγματος. Διὰ γὰρ τὴν πρὸς ἡμᾶς ἀγάπην ἐταπείνωσεν ἑκὼν ἑαυτὸν, καὶ καθ' ἡμᾶς γέγονε. Χρὴ οὖν ἐξομολογεῖσθαι τούτῳ διαπαντὸς, καὶ ὕμνους προσφέρειν. Ταῦτα μὲν γὰρ καὶ πάντας ἀνθρώπους ἁπλῶς μετιέναι καλόν· πρὸ δὲ πάντων ἡμᾶς, διά τε τὰς πρὸς αὐτὸν συνθήκας, καὶ ὅτι συγχύσεως ἁπάσης καὶ πρα- B γμάτων ἀπηλλαγμένοι βιωτικῶν, ἀπερίσπαστον ἄγομεν ἡμῶν τὴν ζωὴν, καὶ μόνοι καταμόνας προσέχομεν ἑαυτοῖς. Ἁγνιστέον ἡμῖν [s] ἀεὶ καὶ σώματα καὶ ψυχὰς, ἀδελφοί· καὶ τὴν συνήθη περὶ τὰς συνάξεις δοξολογίαν, καὶ τὸν ἄνωθεν ἡμῖν παραδεδομένον κανόνα, πάσῃ φυλακῇ τηρητέον. Τῶν ἐν ἐν θλίψεσιν, ὅση δύναμις ἐπιμελητέον. Ὁ λογισμοῖς ἀτόποις προσπαλαίων τῶν ἀδελφῶν, ἀσφαλιζέσθω ὑμῶν [t] ἀεὶ [u], καὶ παραινέσεως ἀπολαυέτω διηνεκοῦς καὶ διδασκαλίας καὶ ὑποθήκης· μὴ λάθῃ κατὰ μικρὸν ὑποσκελισθεὶς, καὶ πτῶμα χαλεπὸν τῷ διαβόλῳ γενόμενος. Καὶ ταύτην δὲ τελευταίαν ὑμῖν ἐντολὴν ἐπιτίθημι· Ὁ πυλὼν μηδέποτε τοῖς παριοῦσιν [v] ἀποκεκλείσθω, ἀλλ' ἀναπεπτάμενος ἀεὶ παντὶ ὁδίτῃ παρέστω, καὶ οἷον εἰς ὑποδοχὴν ἑτοιμότατος· καὶ αὐτὴ δὲ ὑμῖν ἡ στέγη, κοινὴ τοῖς ξένοις καὶ παροδεύουσιν ἤτω· κοινὰ δὲ καὶ τὰ C ὄντα τοῖς δεομένοις προκείσθω. Οὕτω γὰρ ἂν ἀφθόνου τῆς χορηγίας ἄνωθεν ἀπολαύοιτε.

ΡΗ'. Ταῦτα πρὸς αὐτοὺς ἐπισκήψας· εἶτα, καὶ ὃν βούλοιντο ἀφηγεῖσθαί τε αὐτῶν καὶ ἄρχειν ἀνεπυνθάνετο. Οἱ δὲ καθάπερ ὑπὸ συνθήματι [x] πάντες, Δομετιανὸν ἀπεκρίναντο. Καὶ ὅς, Ἀλλὰ τοῦτο μὲν ἀδύνατον, ἔφη. Δομετιανὸς γὰρ οὐκέτι μετ' ἐμὲ πολὺν ἐνταῦθα ὑπομενεῖ χρόνον· ἀλλ' ἑβδόμην μόνην ἡμέραν διαγαγὼν, τῆς ὑστεραίας [y] ἀκολουθήσει μοι. Τοῦτο πάντας ἐξέπληξε τοὺς παρόντας, φανερῶς οὕτω καὶ πεπαῤῥησιασμένως λεχθέν. Ἀπογνόντες δ' οὖν ὅμως Δομετιανοῦ, Ἠλίαν αἰτοῦσί τινα τῆς κάτω μονῆς οἰκονόμον, τὸ γένος Ἱεριχούντειον. Ἐπιστραφεὶς οὖν εὐθὺς πρὸς αὐτὸν ὁ μέγας, Ἰδοὺ, φησὶ, πάν- D τες οἱ Πατέρας ποιμένα σε αὐτοὶ ἑαυτοῖς καὶ προστάτην ψηφίζονται. Σὺ [z] δὲ ὅπως ἑαυτῷ τε προσέχῃς καὶ παντὶ τῷ ποιμνίῳ [a]. Δεῖ δέ σε καὶ τοῦτο πρὸ τῶν ἄλλων εἰδέναι, ὅτι κοινόβιον γενέσθαι ταύτην οὐ διὰ μακροῦ τὴν λαύραν εὐδόκησεν ὁ Θεός. Ἑξῆς δὲ καὶ ὅπου τὸ κοινόβιον οἰκοδομηθῆναι, καὶ ὅπως συστῆναι δέοι, περὶ τῆς ξενοδοχίας τε καὶ ψαλμῳδίας καὶ τῆς εἰς τὸν κανόνα σπουδῆς, ἐπέσκηπτε τῷ Ἠλίᾳ, καὶ τοῦ μὴ τῶν ἀδελφῶν ἀδελφεῖν, καὶ τούτων πλέον τῶν λογισμοῖς ἀτόποις βορυνομένων. Ἔπειτα καὶ πρὸς

VARIÆ LECTIONES.

[r] al. μεῖζον. [s] al. ὑμῖν. [t] al. ins. ὑφ', al. ὑμῖν. [u] al. αὐτῶν, [v] al. παροῦσιν. [x] al. συνθήματος. [y] al. τῇ ὑστεραίᾳ. [z] al. σοί. [a] al. add. μελήσει.

ἅπαντας, τελευταῖον τόδε φησίν, ὡς Εἴπερ εὕροιμί A τινα πρὸς Θεὸν παῤῥησίαν, ταύτην αἰτήσω πρώτην [b] παρ' αὐτοῦ τὴν χάριν, ὥστε συνεῖναι ὑμῖν ἀεὶ, καὶ τοῖς μεθ' ὑμᾶς, τῷ πνεύματι ἄχρι καὶ τοῦ αἰῶνος.

ΡΘ'. Ταῦτα εἰπὼν ἀπέλυσε πάντας, πλὴν Δομετιανόν [c]. Καὶ τρίτην ἐν τῷ διακονικῷ μείνας τὸ μετὰ ταῦτα ἡμέραν, τῷ Σαββάτῳ νυκτὸς, ἐν εἰρήνῃ κοιμᾶται, καὶ πρὸς τὴν ἐκεῖθεν διαβαίνει μακαριότητα· πρεσβύτης ὄντως καὶ πλήρης ἡμερῶν· εἰκάδα τότε τοῦ Ἰαννουαρίου μηνὸς ἄγοντος, ἐν ἔτει τῆς μὲν κόσμου κτίσεως κατὰ τοὺς συγγραφέντας χρόνους Ἱππολύτῳ τε τῷ παλαιῷ καὶ ἀποστόλοις γνωρίμῳ, Ἐπιφανίῳ τε τῷ ἐκ Κύπρου, καὶ Ἥρωνι φιλοσόφῳ καὶ ὁμολογητῇ, πέμπτῳ τε καὶ ἑξηκοστῷ ἐπὶ ἐνακοσίοις καὶ πεντακισχιλίοις. τῆς δέ γε τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνσάρκου ἐπιδημίας [d], πέμπτῳ ἐπὶ B ἑξήκοντα καὶ τετρακοσίοις. Ἔστω καὶ ταῦτα περὶ Εὐθυμίου εἰδέναι, ὡς εἴη τὴν μὲν ἕξιν ἄπλαστος καὶ πραότατος, τὴν δὲ ὄψιν στρογγύλος τε καὶ λευκὸς, φαιδρός τε κομιδῇ καὶ εὔοπτος, πολιὸς καθάπαξ, τὴν ἡλικίαν μικρῷ βραχύτερος, πολὺς τὸν πώγωνα καὶ μέχρι ζώνης αὐτὸν καὶ γαστρὸς καθειμένος, ἀκέραιος τὰ μέλη καὶ ὑγιής· οὐ δάκτυλον, οὐκ ὄνυχα, οὐκ ὀδόντα, οὐ μικρὸν οὐ μεῖζον [e] τοῦ σώματος μέρος ἐπιλειπής. Γεννᾶται μὲν οὖν ἐξ ἀποκαλύψεως, ὥσπερ καὶ ἤδη μοι εἴρηται. Τρία δὲ γεγονὼς ἔτη, καθιεροῦται Θεῷ, κατ' ἀρχὰς τῆς βασιλείας Θεοδοσίου δηλαδὴ τοῦ Μεγάλου. Διελθὼν δὲ διὰ πάντων ἐκκλησιαστικῶν βαθμῶν, εἰς Ἱερουσαλὴν ἔρχεται περὶ τὰ ἐννέα που καὶ εἴκοσιν ἔτη τῆς ἰδίας ζωῆς. Ὀκτὼ δὲ πρὸς τοῖς [f] C ἑξήκοντα χρόνους ἐν ἐρήμῳ διενεγκὼν, ἐνάτῳ μὲν καὶ ἐνενηκοστῷ τῆς αὐτοῦ ἡλικίας, ἕκτῳ δὲ καὶ δεκάτῳ τῆς τοῦ Λέοντος βασιλείας ἔτει, καταλύει τὸν βίον.

hanc primum petam ab eo gratiam, ut vobiscum sim semper, et cum posteris vestris, spiritu usque in sæculum.

CIX. His dictis, dimisit omnes, præter Domitianum. Et cum tres postea dies mansisset in diaconico, Sabbato noctu dormit in pace (54), et ad eam quæ illic est transit beatitudinem; revera senex et plenus dierum, vicesima die mensis Januarii, in anno quidem a mundi creatione, secundum tempora scripta ab Hippolyto (55) illo antiquo ipsisque apostolis familiari, et ab Epiphanio Cyprio (56), et ab Herone (57) philosopho et confessore, quinquies millesimo nongentesimo sexagesimo quinto (58), a Domini autem nostri Jesu Christi in carne adventu, quadringentesimo et sexagesimo quinto. Sciantur autem hæc quoque de Euthymio, quod habitu quidem erat minime fictus et mitissimus, aspectu autem teres et albus, valde lætus, et ad videndum jucundus, canus omnino. statura paulo brevior, densa barba et usque ad zonam ventremque promissa, membris integer et sanus, ut cui non digitus, non unguis, non dens, non parva nec magna pars abesset corporis. Atque natus est quidem ex revelatione, ut jam a me dictum fuit. Tertium autem agens annum, Deo consecratur, scilicet sub initium imperii Theodosii Magni. Cumque transisset per omnes ecclesiasticos gradus, venit Hierosolymam circa annum vitæ suæ vicesimum nonum. At sexaginta annis in solitudine perlatis, nonagesimo quidem et nono (59) anno suæ ætatis, decimo autem secto imperii Leonis, excedit e vita.

ΡΙ'. Τῆς δὲ φήμης ὀξέως κατὰ πάσης τῆς περιχώρου διαδοθείσης, πλῆθος μοναχῶν τε καὶ λαϊκῶν οὐδ' ἀριθμεῖσθαι ῥᾴδιον συνηθροίσθη. Οὐ μὴν, ἀλλὰ καὶ Ἀναστάσιος ὁ τῶν Ἱεροσολύμων πατριάρχης, ἑσμὸν ἅμα κληρικῶν τε καὶ στρατιωτῶν [g] συμπαραλαβὼν, ἐφοίτα. Παρῆν δὲ καὶ Χρύσιππος, σὺν αὐτῷ καὶ Γαβριήλιος· ἀλλὰ καὶ ὁ διάκονος Φεῖδος· οἵ τε κατὰ τὰς ἐρήμους ἀναχωρηταί, καὶ αὐτοὶ πανταχόθεν συνῄεσαν· ὧν εἷς ἦν καὶ ὁ θεῖος Γεράσιμος. Ἐξ-

ΡΛΓ'. Ἐκεῖσε τοίνυν ἐπὶ πολὺ κείμενος, ὄναρ ὁρᾷ τινα πρεσβύτην αὐτῷ χαλεπαίνοντα, καὶ, Ἀναστῆναί τε ἄλλως οὐκ ἔνι, λέγοντα, εἰ μὴ τὸ ὑφαιρεθὲν χρῆμα πρότερον τῇ τοῦ Εὐθυμίου μονῇ ἀποδῷης. Μεταστειλάμενος οὖν ἐκεῖθεν τὸν πανδοχέα, τήν τε κλοπὴν ὁμολογεῖ, καὶ τὸν δόλον ἀνακαλύπτει, καὶ τὴν κρυπτομένην τέως αἰτίαν τῆς ἐκ τοῦ μοναστηρίου ἀναχωρήσεως δημοσιεύει καὶ φωτὶ δίδωσιν ἀληθείας· ὅπως τε ὑπὸ λίθῳ τινὶ κατάθοιτο τὸν χρυσὸν, καὶ ὅπως αὐτὸν προσβάλλοντα πολλάκις καὶ ἀνελέσθαι πειρώμενον, πρῶτα μὲν ὄφις, φοβερὸς τὸ μέγεθος αὐτὸ καὶ τὸ εἶδος, ἐξερπύσας τοῦ λίθου παραδόξως ἀπήλασεν, ἔπειτα δέ τίς ποθεν καὶ δύναμις ἐπικαταπτᾶσα, οὕτω διέθηκεν.

ΡΛΔ'. Ταῦτα μαθόντες οἱ περὶ τὸν ἡγούμενον Θωμᾶν καὶ Λεόντιον, ἀνέρχονται πρὸς τὴν ἁγίαν πόλιν εὐθὺς, καί τινι φορείῳ τὸν Θεόδοτον ἐπιθέντες, ὥστε ὑποδεῖξαι τὸν τόπον αὐτοῖς, ὑφ' ὃν ὁ χρυσὸς κρύπτοιτο, εὑρίσκουσι μὲν αὐτὸν ὑπὸ τῷ λίθῳ κείμενον· ὁ δὲ φρικτὸς ἐκεῖνος φύλαξ (ὢ τοῦ θαύματος!), οὐδαμοῦ· καθάπερ τοῖς ἀληθινοῖς δεσπόταις εἴξας τοῦ θησαυροῦ. Αὐτίκα γοῦν, οἱ μὲν τοὺς χρυσοῦς ἀναιροῦνται, μικρὰ τῶν ὑπὸ Θεοδότου ἤδη δαπανηθέντων φροτίσαντες· αὐτὸς δὲ, κακῶν ἦν ἀπαθὴς καὶ ὑγιῶς ἔχων τοῦ σώματος.

ΡΛΕ'. Τὸν μὲν οὖν Θωμᾶν ὄγδοον ἔτος τῆς Εὐθυμίου μονῆς ἡγησάμενον, πέμπτῃ ἐπὶ τοῖς εἴκοσι τοῦ Μαρτίου μηνὸς, ἑβδομηκοστῷ μετὰ τὴν Εὐθυμίου ἐκδημίαν ἐνιαυτῷ, φιλανθρώπως [k] ὁ Δεσπότης τῶν τῇδε μετακαλεῖται. Λεόντιος δὲ μετ' αὐτὸν τὴν τῆς μονῆς προστασίαν παραλαμβάνει· ὑφ' οὗ καὶ ὁ γραφῇ ταῦτα παραδοὺς ἐγὼ, τῷ τῶν ἀδελφῶν χορῷ τῆς τοιαύτης ποίμνης ἐγκαταλέγομαι. Ἃ μὲν οὖν περὶ τοῦ θεοφόρου τούτου καὶ θαυμαστοῦ Εὐθυμίου οἱ Πατέρες διηγήσαντό μοι, κατὰ τὸν θεῖον φάναι Δαβὶδ, Οὐκ ἀπέκρυψα ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν. Δεῖ δὲ πάντως καὶ τὰ ἐπ' ἐμοῦ γεγονότα μὴ παριδεῖν· τῶν εὐεργετηθέντων ἔτι περιόντων, καὶ τοῖς πραττομένοις αὐτοῖς παρόντων, καὶ τὴν οἰκείαν ὄψιν μάρτυρα κεκτημένων· ἀλλὰ καὶ εἰς ἔτι τῶν παραδόξων τούτων θαυμασίως [l] ἐνεργουμένων· ἃ καὶ πίστις ἐστὶ τῶν φθασάντων, καὶ σφραγὶς ἀκριβὴς, τοῦ μηδὲν ὅλως περὶ ἐκείνων διαμφιβάλλειν.

ΡΛϚ'. Ἔτει τοιγαροῦν ἑξκαιδεκάτῳ τῆς βασιλείας

A zariotæ cùm transeundo advenissent, sicque misere prostratum reperissent, et humi jacentem, accipiunt, atque deferunt in nosocomium sanctæ civitatis.

CXXXIII. Dum illic itaque diu jacet, videt in somnis quemdam senem ei succensentem, et dicentem : Non aliter tibi licet surgere, nisi surreptam pecuniam reddas prius Euthymii monasterio. Quare arcessito exinde Pandochii præfecto, tum confitetur furtum, tum dolum aperit, tum causam recessus e monasterio tunc occultam profertque in lucem veritatis, et quemadmodum sub quodam lapide aurum deposuerit, utque eum, sæpe accedentem tentantemque auferre, primo

B quidem serpens, tam magnitudine quam aspectu formidabilis, e lapide prorepens, admirabiliter inopinantem expulerit; deinde vero quædam virtus alicunde advolans, sic affecerit.

CXXXIV. His compertis præpositus Thomas et Leontius, ascendunt statim ad sanctam civitatem, et in quodam vehiculo Theodotum imponentes, ut eis ostenderet locum sub quo aurum abditum erat, illud quidem inveniunt sub lapide positum; horrendus autem ille custos (o miraculum!) nusquam aderat; ut qui veluti veris dominis thesauro cessisset. Statim ergo illi quidem tollunt aureos, non multum solliciti de iis qui a Theodoto consumpti fuerant; ipse vero, nihil amplius mali sentiebat, sanoque erat corpore.

C CXXXV. Porro Thomam, qui octo annos Euthymii præfuerat monasterio, vicesimo quinto mensis Martii, anno post Euthymii ex hac vita discessum septuagesimo (85), clementer Dominus hinc evocat. Leontius autem post eum suscipit præfecturam monasterii; à quo ego, qui hæc scriptis mandavi, referor in catalogum (86) cœtumque fratrum illius gregis. Quæ igitur de hoc divinitus afflato et admirabili Euthymio Patres mihi narraverunt, ut cum divino Davide loquar: *Non occultavi a filiis eorum in generatione altera*[39]. Oportet autem omnino ea etiam quæ meo tempore evenerunt, non despicere; beneficio affectis adhuc superstitibus, et ad ipsa quæ fiunt præsentibus, propriumque intuitum pro teste habentibus; sed et cum in hodiernum usque diem ejusmodi prodigia mirabiliter edantur; quæ

D et sunt præcedentium probatio, et perfectum signaculum, quod de illis nihil sit omnino dubitandum.

CXXXVI. Anno itaque decimo sexto (87) imperii

39 Psal. LXXVIII, 4.

VARIÆ LECTIONES.

k int. Φιλάνθρωπος. l al. θαυμασίων.

(85) An. Ch. 543.

(86) Hæc eadem refert, citato hoc loco, in Vita S. Joannis Silentiarii, ubi indictionem VI, addit et annum ætatis S. Joannis 90, mensem Julium, quo ad S. Euthymii monasterium venit; quod necessario an. Ch. 548 contigit, qui secundus est præfecturæ Leontii. Vide Prolegomena num. 9.

(87) Imo decimo tertio. Rediit S. Sabas Constantinopoli in Palæstinam in Septembri, indictione nona an. Ch. 530. Hierosolymis Cæsaream profici-

Zenonis, monachorum cum suscepissem habitum, vehementique pungerer aculeo amoris quietæ vitæ, ac gestirem ipse etiam habitare in solitudine, quærebam honestam alioquin occasionem, ut id consequerer. Nulla vero alia inventa, præ me tuli magno teneri me desiderio erga dedicationem Ecclesiæ Hierosolymitanæ, et petii licentiam illuc eundi. Dimissus igitur a præposito, ubi jam a metropoli Scythopolitanorum eram discessurus, mandatum hoc mihi dat mater, ut nihil ex rebus ad animam pertinentibus, absque admonitione et consilio Joannis solitarii, ex me facerem : Ne forte, inquit, statim ab initio imprudens abducaris in errorem Origenistarum. Itaque postquam venissem in sanctam civitatem, et sacra loca adorassem, in quibus salutares illas Dominus propter nos moras traxit ; atque adorassem pariter divinæ crucis lignum ; deinde ad virum transeo (88). Is autem, tum alia dat consilia et monita, tum demum hoc mihi præcipit : Si vis, inquit, salvus esse, vade ad magni Euthymii monasterium, et in eo habita. His ego auditis, venio per solitudinem quam citissime ad Jordanem, et satis longum tempus Patribus qui illic erant versatus (89), circa mensem Julium in magni illius delatus monasterium, susceptus fui. Porro Leontius erat, cui tunc et suscipiendi cura et monasterii præfectura fuerat commissa.

CXXXVII. Illic ergo commorans, video ea æstate quemdam genere Cilicem, habitu monachum, Paulum nomine, ex Martyrii monasterio profectum, a malo quidem spiritu correptum, a familiaribus autem adductum ad monumentum Euthymii. Posito igitur monacho ad thecam reliquiarum, apparens paulo post magnus media nocte fugat dæmonem. Et hoc testimonium curationis certum. Nam cum ipsa nocte venisset Paulus ad horam nocturnæ psalmodiæ, fit unus ex iis qui canebant, et coram omnibus nobis se a Deo curatum fuisse profitetur. Quam rem ubi compererunt qui in Martyrii monasterio erant, veniunt, ut eum in suum monasterium reducant. At ille volens se gratum ostendere, et apud se conscriptam gratiam conservans, mansit deinceps in cœnobio, omnisque laboris et ministerii alacri plane animo cum fratribus se participem fecit.

CXXXVIII. Aliquando igitur colligentes alimentum in solitudine ; id vero erat, quæ solent appel-

A Ζήνωνος (a), τὸ τῶν μοναχῶν ὑπελθὼν σχῆμα, δεινόν τε ἡσυχίας ὠδίνων ἔρωτα, καὶ τὴν ἔρημον οἰκῆσαι καὶ αὐτὸς ἐρῶν, εὐπρόσωπον ἄλλως ἀφορμὴν ἐζήτουν, ὥστε τούτου τυχεῖν. Ἀπορῶν δὲ ἑτέρας, ἐσκηπτόμην [m] ἐπιθυμίαν τινὰ τοῦ τῆς Ἱεροσολύμων Ἐκκλησίας ἐγκαινισμοῦ, καὶ τὴν ἐκεῖσε κάθοδον ᾔτουν. Ἀπολυθεὶς οὖν παρὰ τοῦ καθηγουμένου, ἐπεὶ τῆς Σκυθοπολιτῶν ἤδη μετροπόλεως ἀπαίρειν ἔμελλον, ἐντολήν μοι ταύτην ἡ μήτηρ δίδωσι, μηδὲ τῶν εἰς ψυχὴν ἡκόντων, ἄνευ τῆς Ἰωάννου τοῦ ἡσυχαστοῦ ὑποθήκης καὶ συμβουλῆς οἴκοθεν διαπράξασθαι· Μήποτε, φησί, καὶ ἐκ προοιμίων εὐθὺς λάθῃς ἑαυτὸν τῇ τῶν Ὠριγενιαστῶν [n] ἀπάτῃ συναπαχθείς. Γενόμενος τοίνυν κατὰ τὴν ἁγίαν πόλιν, καὶ προσκυνήσας μὲν τοὺς ἱεροὺς τόπους, ἐν οἷς τὰς σωτηρίους δι' ἡμᾶς B ἐκείνας ὁ Δεσπότης ἐποιεῖτο διατριβάς· προσκυνήσας δὲ καὶ τὸ τοῦ θείου σταυροῦ ξύλον· εἶτα διαβαίνω καὶ πρὸς τὸν ἄνδρα. Ὁ δὲ, καὶ ἄλλα μὲν συμβουλεύει καὶ ὑποτίθεται, τελευταῖον δέ μοι καὶ τοῦτο ἐπισκήπτει· ὡς, Εἴπερ βούλει σωθῆναι, φησίν, ἐλθὲ παρὰ τὴν Εὐθυμίου τοῦ μεγάλου μονὴν, καὶ ταύτην οἴκησον. Τούτων ἀκούσας ἐγὼ, ἔρχομαι διὰ τῆς ἐρήμου τὴν ταχίστην παρὰ τὸν Ἰορδάνην, καὶ χρόνον ἱκανὸν τοῖς ἐκεῖσε προσδιατρίψας Πατράσι, περί που τὸν Ἰούλιον μῆνα τῇ τοῦ μεγάλου μονῇ προσενεχθεὶς, εἰσεδέχθην. Λεόντιος δὲ ἦν ὁ καὶ τὴν ὑποδοχὴν καὶ τὴν τῆς μονῆς προστασίαν τηνικαῦτα πεποιημένος.

ΡΛΖ'. Ἐκεῖ τοιγαροῦν διατρίβων, ὁρῶ τινα τοῦ αὐτοῦ θέρους, Κίλικα τὸ γένος, τὸ σχῆμα μοναχὸν, Παῦλον ὄνομα, τῆς τοῦ Μαρτυρίου μονῆς ἐξορμηθέντα, πνεύματι μὲν πονηρῷ συνεχόμενον, ὑπὸ δὲ C τῶν ἐπιτηδείων τῷ τοῦ Εὐθυμίου μνήματι προσαγόμενον. Τεθέντος τοίνυν τοῦ μοναχοῦ παρὰ τῇ τοῦ λειψάνου θήκῃ, ἐποφθεὶς μετ' ὀλίγον ὁ μέγας μέσων νυκτῶν τὸν δαίμονα ἀπελαύνει. Καὶ τοῦτο μαρτύριον τῆς ἰάσεως ἀψευδές. Αὐτῆς γὰρ νυκτὸς ἀνελθὼν ὁ Παῦλος παρὰ τὴν τῆς νυκτερινῆς ψαλμῳδίας ὥραν, εἷς τε τῶν ᾀδόντων γίνεται, καὶ ἐφ' ἡμῶν πάντων Θεῷ τὴν ἴασιν ἐξομολογεῖται. Μαθόντες οὖν οἱ τῆς τοῦ Μαρτυρίου μονῆς τὸ γεγενημένον, ἥκουσιν ὥστε τὸν Παῦλον εἰς τὴν οἰκείαν αὖθις μονὴν ἐπαναγαγεῖν. Ἀλλ' ἐκεῖνος, εὐγνώμων δείκνυσθαι βουλόμενος, ἀνάγραπτόν τε τὴν χάριν παρ' ἑαυτῷ συντηρῶν, ἔμενε τὸ λοιπὸν ἐν τῷ κοινοβίῳ, καὶ παντὸς πόνου καὶ λειτουργήματος σὺν προθυμίᾳ πάσῃ τοῖς D ἀδελφοῖς ἐκοινώνει.

ΡΛΗ'. Ποτὲ γοῦν συλλέγοντες ἡμεῖς τροφὴν ἐπὶ τῆς ἐρήμου· ἡ δὲ ἦν, ἃ μανούθια σύνηθες ὀνομάζειν·

VARIÆ LECTIONES.

[m] al. ἐσκεπτόμην. [n] al. Ὠριγενειαστῶν.

JOAN. BOLLANDI NOTÆ.

scitur, hinc Scythopolim. Cyrillum puerum discipulum sibi acquirit, cujus caput metropolita Theodosius tondens in primo ecclesiastico gradu constituit. Redit Sabas ad lauram, et modico tempore ibi transacto infirmitate detentus est, ex qua obiit indictione decima, 5 Decembris an. Ch. 531. Ab indictione ergo nona, ad sequentem sextam nonnisi decimus tertius labebatur annus; nisi ante dicatur habitum monasticum accepisse; quod ille locus in vita S. Sabæ ægre ut suspicemur permittit.

(88) In lauram S. Sabæ.

(89) Potissimum cum «Seniculo monacho in xenodochio abbatis Euthymii,» Scythopoli ex monitione S. Joannis in somno ei facta. In hujus Vita.

(a) Ἰουστινιανοῦ emendandum affirmo, nec probatione est opus ; prorsus tamen videndæ aliæ editiones quæ hic variant. COTELERIUS.

A 'Ηρόμεθα τὸν Παῦλον ἐπὶ τῇ συλλογῇ καὶ αὐτὸν παρόντα, ὅτι τε πάθος, καὶ ὅθεν εἰς τὸ κοινόβιον ἔλθοι, καὶ οἵας παρὰ τῇ τοῦ λειψάνου θήκῃ ἀπολαύσοι τῆς θεραπείας. Καὶ αὐτὸς συνήθως ἡμῖν ἔχων ἤδη, καὶ μηδὲν εἰδὼς τά γε πρὸς ἡμᾶς ὑποκρίνεσθαι, φανερῶς ἅπαντα διεξῄει. 'Εγὼ διακονίαν, λέγων, ἐν τῇ τοῦ Μαρτυρίου μονῇ πιστευθεὶς, φιλοχρηματίας οὐκ οἶδ' ὅπως ἑάλων ἔρωτι. 'Επειδὴ δὲ ἠπόρουν καὶ οὐκ εἶχον ὅθεν ἂν οὐδὲ δραχμὴν κτήσαιμι, ἔννοιά μοι γίνεται, τῶν ἱερῶν σκευῶν ὑφελέσθαι τινὰ, τούτων τε ἕκαστον τιμῆς ἀποδόσθαι, καὶ κτῆσιν ἐμαυτῷ τινα τόνδε τὸν τρόπον περιποιήσασθαι. 'Επεὶ οὖν ἡττήθην τῶνδε τῶν πονηρῶν λογισμῶν, καὶ τὸν τοῦ Θεοῦ φόβον ἀπεσεισάμην, φαιροῦμαι τὰς κλεῖς ἐκ τοῦ θυσιαστηρίου· καὶ διανοίξας ἔνθα τῶν ἱερῶν σκευῶν ἡ ἀπόθεσις, τούτων τὰ μὲν κακούργως ἐνοσφισάμην, τα δὲ καὶ ἄλλοις ὀλιγώρως διένειμα. B Εἶτα τὴν διακονίαν [o] ἐκτελέσας ἐκείνην, τὰς μὲν κλεῖς ἀποδίδωμι, φέρων αὖθις τῷ θυσιαστηρίῳ. Τραπεὶς δὲ μετά τινων ἀδελφῶν ἐπὶ δεῖπνον, καὶ εἰς κόρον οἴνου πιὼν, ἐπὶ τῆς στρωμνῆς ἄθλιος κατακλίνομαι. Καὶ αὐτίκα δὴ πᾶς ἀκολασίας λογισμὸς καταχεῖταί μου τῆς ψυχῆς, ὥσπερ ἐπ' αὐτὸ τοῦ πάντων μοι συνδραμόντων. 'Εγὼ δὲ τὴν διάνοιαν ὑπὸ τῆς μέθης ἔτι διεφθαρμένος, ἡδέως ἐμαυτὸν τοῖς λογισμοῖς τούτοις ἀνῆκα· καὶ με παραλαβόντες, οὕτω διέθηκαν, ὡς καὶ γυναικὸς αἰσθάνεσθαι συμπαρούσης, καὶ αὐτῇ συνανακεῖσθαι δοκεῖν.

ΡΛΘ'. Ἄφνω οὖν προσβάλλει μοι νέφος σκοτεινόν τι καὶ ἀλαμπές· τὸ δὲ ἦν ἄρα ὁ ἐπιπηδήσας μοι C μιαρὸς δαίμων· ὑφ' οὗ χειρωθεὶς, ὥσπερ ὑπὸ [p] τῶν πολεμίων ληφθεὶς αἰχμάλωτος, ἔμεινα χρόνον· ὑπ' αὐτοῦ συχνὸν τιμωρούμενος, καὶ τί μὴ πάσχων τῶν χαλεπῶν· Ποῦ γὰρ ἂν καὶ κόρον λάβοι τοιοῦτος ἐχθρὸς τοῦ κακῶς δρᾷν, ἐπειδὰν ἅπαξ κύριος γένηται τοῦτο [q] δρᾷν; ἕως οἰκτόν μου λαβόντες οἱ ἀδελφοὶ, ἀναιροῦνταί με, καὶ παρὰ τὴν τοῦ ἁγίου κομίζουσι θήκην. Παρ' αὐτῇ τοίνυν τεθεὶς, καὶ παραχρῆμα οἷον ἀνενεγκὼν, καὶ ἐν ἐμαυτῷ γενόμενος, ἐδεόμην μετὰ θερμῶν τῶν δακρύων, ἔλεόν μου τινὰ τὸν μέγαν λαβεῖν, καὶ τῆς ἐπηρείας με ταύτης τοῦ μιαροῦ δαίμονος ἀπαλλάξαι· καὶ προσεκείμην ἀφ' ἑσπέρας αὐτῆς λιπαρῶν, καὶ οὐκ ἀνίειν δεόμενος. Ἤδη δὲ περὶ τὸ μεσαίτατον τῆς νυκτὸς, ἐδόκει μοι παρὰ D τινι διατρίβειν τόπῳ θείῳ καὶ θαυμαστῷ· οὗ τὴν θέσιν, τὸ κάλλος, τὴν χάριν, εὔξαιτο μὲν ἄν τις

lare manuthia (90); in colligendo rogavimus Paulum, qui ipse etiam aderat, quidnam ei accidisset, et quare venisset in cœnobium, qualemque esset consecutus curationem ad thecam reliquiarum. Et ipse, jam nobiscum familiariter agens, nec valens apud nos quidquam dissimulare, omnia aperte recensuit dicens: Ego, cum diaconiæ seu dispensationis munus in Martyrii monasterio accepissem, avaritiæ nescio quomodo captus fui cupiditate. Quia vero inops eram, nec habebam unde vel drachmam acquirerem, venit mihi in mentem, ex sacris vasis aliquod surripere et unum quodque eorum pretio vendere, atque ad eum modum aliquam mihi parare possessionem. Postquam ergo victus fui ab his improbis cogitationibus, timoremque Dei excussi, subtraho claves ex altari; et aperto loco in quo reposita erant vasa sacra, ea partim mihi scelerate usurpavi, partim aliis contemptim distribui. Deinde peracto illo ministerii officio, claves quidem reddo, rursus ad arom ferens. Conversus autem cum quibusdam fratribus ad cœnam, cum vinum ad satietatem bibissem, in strato recumbo miser. Protinus vero cuncta libidinis cogitatio in meam diffunditur animam, perinde ac si ad id ipsum omnia mihi concurrissent. Ego autem, cujus animus erat adhuc corruptus a temulentia, me libenter tradidi his cogitationibus; quæ me assumptum sic affecerunt, ut et viderer sentire feminam quæ una mecum esset, et cum ea una jacere.

CXXXIX. Subito igitur me invadit quædam nubes tenebrosa et obscura: ea porro erat qui in me irruerat impurus dæmon; a quo devictus, tanquam ab hostibus captivus factus, mansi per longum tempus ab eo cruciatus, et quid non grave passus. Ubinam enim satietam male faciendi ceperit hujusmodi inimicus, quando semel habuerit potestatem faciendi hoc? Donec fratres ducti mei misericordia, tollunt me, et ad sancti capsam adducant. Itaque ad illam positus, statim velut recreatus et in me reversus, orabam cum calidis lacrymis, ut magnus mei aliquatenus misereretur, meque ab hac impuri dæmonis liberaret vexatione: et a vespera illa adjacebam supplicans, nec intermittebam orare. Jam vero circa mediam mortem videbar mihi versari in quodam loco divino et admirabili; cujus posituram, pulchritudinem, gratiam, optaverit quidem videre quispiam, sed verbis nequaquam poterit exprimere.

VARIÆ LECTIONES.

[o] al. διανομήν. [p] al. ὑπό του. [q] al. τοῦ.

JOAN. BOLLANDI NOTÆ.

(90) Lubet de voce hac, nusquam alibi nobis quidem notata, eruditum Adriani Crommii (utrique nostrum semper cum honore nominandi, a quo sacris Litteris theologicisque disciplinis sumus instituti) conjecturam apponere: « Existimo, inquit, Hebræam esse vocem; et sic scribendam סנותיד *manotja* id est, partes, sive portiones, Dei, sive ineptas dapes, quas ex Dei beneficio in deserto ex arboribus vel herbis legebant. Similis vox est Estheris II, v. 9 in Hebræo; ubi Estheri dicuntur datæ *partes ejus*. Heb. מנותיה portiones ejus, sive res ei ad victum et cultum necessariæ. Sed ibi דמ litteræ finales pluralem numerum et affixum femininum significant. Posset etiam ex Hebraica et Græca esse composita dictio, ut μανουθία sit quasi μάννα ἑωθινόν, ut sit allusio ad Man sive manna Hebræorum, quod Exodi XVI. v. 21, et Sapient. XVI. v. 28, ante ortum solis colligendum erat. Vocaturque ipsum *man*. quasi pars vel portio, quæ ipsis a Deo dabatur, et sine labore comparabatur, quamquam et aliam etymologiam dat noster interpres ex LXX. Exod. XVI, v. 15, ut מא מה *Manthou* sit quasi הזאמן *Quid hoc*? »

Mihi quoque videbatur nigra quædam cucula et plena vellere capiti meo esse imposita: illud autem vellus (o malorum depulsor serve Dei Euthymi!) absit ut ullis aliis imponatur. Nam intrinsecus quidem loco mollis lanæ, ornata erat spinis, iisque non tolerabilibus utique et mediocribus, sed quæ scriptoriorum instrumentorum stimulis magnitudine ac longitudine erant similes: caput autem meum valde pungebat, neque omnino hiare sinebat aut respirare.

CXL. Tanto igitur malo pressus, linguæ mihi videbar versare nomen Euthymii, eumque orare. Et ille statim mihi apparet, multa luce circumcirca refulgens, pilis canus, teres aspectu, lætis oculis, statura brevis, promissa barba, nigro pallio amictus, et baculum manu tenens atque ad me ait: Quanam re tibi opus est? Quid autem vis tibi faciam? Cum autem ego subtremebunde ac timide respondissem: Miserere meæ calamitatis, et a molesto hoc me libera dæmone, ille austerius excipiens: Sed estne tibi, inquit, persuasum ex iis quæ fiunt nihil posse Deum latere? Didicisti per ea quæ passus es, quantum malum sit, res Ecclesiæ, aut potius Dei despicere, et prout casus tulerit temere profundere? Sicut enim rerum Ecclesiis consecratarum gratia aperte transit ad Deum; ipse autem rursus novit ex alto præbere remunerationes: ita et qui eis male utuntur, non in alium, sed in illum ipsum sunt contumeliosi, eique pœnas luunt meritas. Nam si olim Ananias cum uxore, quod ex iis quæ ipsi obtulerant surripuissent, tantas dederunt pœnas, ut ipso una in furto statim morerentur, quamnam utique veniam consequetur, qui ne alienæ quidem sic parcit oblationi [40]? Verum, inquit, si pactum conventum feceris, te non amplius rebus sacris injustas manus immissurum, nec in malarum cogitationum admissione luxuriaturum, te inquit, consolabitur Deus, et sanabit. Est enim benignus et clemens, et non vult mortem peccatoris, ut divina docent eloquia [41], sicut ubi convertatur ipse et vivat. Quandoquidem tibi ideo evenerunt præsentia, quod rerum sacrarum ministerio accepto, non tamen teipsum Deo conservasti fidelem, sed statim ad dolum furtumque respexisti; metens, ut vere dicam, ubi non seminasti, et congregans ubi non sparsisti [42]. Hinc ortum habuit derelictio ab eo; hinc insultus carnis et intemperantia; necnon gravis hic a dæmonibus fluctus, hinc, inquit, in te inundavit.

CXLI. His ego auditis, ei polliceor cautionem in posterum. Et tunc, inquit, cum in sceleratum dæmonem infremuisset, manuque meam apprehendisset cucullam, vix et cum vi eam aufert e capite:

A ἰδεῖν, λόγῳ δὲ δυνατὸς εἰπεῖν οὐδαμῶς ἔσται. Ἐῴκει δέ μοι καὶ κουκούλιόν τι μέλαν καὶ μαλλοῦ πλῆρες ἐπικεῖσθαί μου τῇ κεφαλῇ· ὁ δὲ μαλλὸς αὐτῷ (ἀλεξίκακε θεράπον Θεοῦ Εὐθύμιε) μηδὲ ἑτέροις ἐπιτεθῆναι μηδαμῶς γένοιτο. Ἐκόμα μὲν γὰρ τὰ ἔνδον [r]. ἀκάνθαις ἀντὶ μαλῶν [s], καὶ ταύταις οὐ φορηταῖς δή τισι καὶ μετρίαις, ἀλλὰ τοῖς τῶν γραφικῶν [t] ἐργαλείων κέντροις τό τε μέγεθος καὶ τὸ μῆκος παραπλησίαις· ἐκέντει δέ μου σφοδρῶς τὴν κεφαλὴν, καὶ οὐδὲ χαίνειν ὅλως οὐδὲ ἀναπνεῖν συνεχώρει.

ΡΜ'. Τοιούτῳ τοιγαροῦν κακῷ πιεζόμενος, διὰ γλώττης στρέφειν τὸ τοῦ Εὐθυμίου ὄνομα, καὶ δεῖσθαι αὐτοῦ ἐδόκουν. Καὶ ὃς, εὐθὺς ἐπιφαίνεταί μοι, πολλῷ τῷ φωτὶ κύκλῳ περιλαμπόμενος, πολιὸς τὴν τρίχα, στρογγύλος τὴν ὄψιν, φαιδρὸς τοὺς ὀφθαλ- B μοὺς, τὴν ἡλικίαν βραχὺς, βαθὺς τὸν πώγωνα, μανδύαν μέλανα περικείμενος, ῥάβδον τε τῇ χειρὶ κατέχων· καὶ Ὅτου δέῃ, πρός με φησι; Τί δὲ βούλει ποιήσω σοι; Ἐμοῦ δὲ ὑπότρομόν τι καὶ περιδεὲς ἀποκριναμένου, οἴκτειραι τοῦ πάθους, καὶ τοῦ χαλεποῦ τούτου δαίμονος ἀπαλλάξαι με· αὐστηρότερον ἐκεῖνος ὑπολαβών. Σὺ δὲ ἀλλ' ἐπείσθης, φησὶν, ὅτι τῶν γινομένων οὐδὲν τὸν Θεὸν λαθεῖν δυνατόν; Ἔμαθες ἐξ ὧν ἔπαθες ἡλίκον τὰ τῆς Ἐκκλησίας, μᾶλλον δὲ τὰ τοῦ Θεοῦ περιφρονεῖν κακὸν, καὶ ὡς ἂν καὶ τύχοι προΐεσθαι; Ὥσπερ γὰρ ἡ τῶν ἀφοσιουμένων ταῖς Ἐκκλησίαις χάρις, πρὸς Θεὸν ἀντικρὺς διαβαίνει· καὶ αὐτὸς δὲ πάλιν ἄνωθεν οἶδε παρασχεῖν τὰς ἀντιδόσεις· οὕτω δὴ καὶ οἱ κακῶς αὐτοῖς κεχρημένοι, οὐκ εἰς ἄλλον, ἀλλ' εἰς αὐτὸν ἐκεῖνον C ἐμπαροινοῦσι, καὶ τὴν ἀξίαν αὐτῷ δίκην ὑπέχουσιν. Εἰ γὰρ ὁ Ἀνανίας πάλαι μετὰ τῆς γυναικὸς, ἐκ ὧν αὐτοὶ προσήνεγκαν ὑφελόμενοι, τηλικαύτην ἔδοσαν τιμωρίαν, ὡς αὐτῇ σὺν ἅμα τῇ κλοπῇ ἐπαποθανεῖν, ποίας ἄρα τεύξεται συγγνώμης, ὁ μηδὲ ἀλλοτρίας οὕτω προσφορᾶς φειδόμενος; Ἀλλ' [u] εἰ δίδως, ἔφη, συνθήκας, μηκέτι χεῖρας ἀδίκους [v] ἱεροῖς ἐπιβαλεῖν πράγμασι, μήτε μὴν λογισμῶν φαύλων παραδοχῇ καθηδυπαθῆσαι, παρακαλεῖται, φησὶν, ὁ Θεὸς, καὶ ἰᾶταί σε. Φιλάνθρωπος γάρ· καὶ οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ᾗ καὶ τὰ θεῖα διδάσκει Λόγια, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν, αὐτόν. Ἐπεὶ καὶ διὰ τοῦτό σοι τὰ παρόντα συνέβη, ὅτι πραγμάτων ἱερῶν διακονίαν ἐγχειρισθεὶς, οὐμενοῦν τῷ Θεῷ πιστὸν σεαυτὸν ἐφύλαξας, ἀλλὰ πρὸς δόλον εὐθὺς καὶ κλο- D πὴν ἔβλεψας· θερίζων, ἀληθῶς εἰπεῖν, ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας. Ἐντεῦθεν ἡ παρ' αὐτοῦ ἐγκατάλειψις· ἐντεῦθεν ἡ ἐκ τῆς σαρκὸς ἐπήρεια, καὶ ἀκολασία· καὶ τὸ δεινὸν δὲ τοῦτο παρὰ τῶν δαιμόνων κλυδώνιον, ἐντεῦθέν σοι φησὶν, ἐπεκύμηνε.

Τούτων ἀκούσας ἐγὼ, συνθήκας πρὸς αὐτὸν ποιοῦμαι τῆς εἰς τὸ λοιπὸν φυλακῆς. Καὶ τότε, φησὶ, τῷ μιαρῷ δαίμονι ἐμβριμησάμενος, καὶ λαβόμενός μου τῇ χειρὶ τοῦ κουκουλίου, μόλις μὲν αὐτὸ καὶ σὺν βίᾳ

[40] Act. v, 1 seqq. [41] Ezech. xviii, 23. [42] Matth. xxv, 24.

VARIÆ LECTIONES.

[r] abest ab al. [s] al. μαλλῶν. [t] al. γναφικῶν [u] al. præpon. πλήν. [v] al. ἀδίκως.

τῆς κεφαλῆς ἀφαιρεῖται· τὸ δὲ ἄρα μετέβαλεν εὐθὺς τὴν μορφὴν, καί μοί τις ἐν τῇ τοῦ ἁγίου χειρὶ βραχὺς Αἰθίοψ ὡρᾶτο πυρὶ τοὺς ὀφθαλμοὺς ὅμοιος· ἐῴκει δέ τις πρὸ τῶν ποδῶν αὐτῷ καὶ βόθρος κομιδῇ βαθύτατος διωρύχθαι. Καὶ τὸν μὲν ἀφῆκε κατὰ τοῦ βόθρου· ἐπιστρέψας δὲ πρός με πάλιν, ἐκεῖνό φησιν ὃ πρὸς τὸν παράλυτον ὁ Χριστός· "Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἀλλὰ πρόσεχε σεαυτῷ, ἵνα μὴ χεῖρόν τι σοι γένηται. Ἀνεθεὶς δὲ τοῦ πάθους ἐγὼ, καὶ θερμοτέραν ἀποδοὺς τῷ Θεῷ τὴν εὐχαριστίαν, ἀπαθὴς ἐξ ἐκείνου καὶ εἰς δεῦρο κακοῦ παντὸς συντετήρημαι. Ταῦτα ἐμοὶ τοῦ Παύλου διασαφήσαντος, κοινὴν ἐγὼ πᾶσι παρέθηκα τὴν διήγησιν.

ΡΜΒ'. Πλὴν, ἀλλ' ὁ λόγος ὁρμᾷ μοι πάλιν καὶ ἑτέροις ἑστιάσαι τὰς ὑμῶν ἀκοάς. Παύσασθαι γὰρ ἡ τῶν θαυμάτων συνέχεια οὐκ ἐᾷ, προκαλουμένη μᾶλλον ἀεὶ τὸν λόγον, καὶ εἰς τὸ [x] πρόσω βαίνειν προθυμουμένη, κρείττονα ὄντα καὶ χαριέστερα, καθάπερ αὐτὴ πρὸς ἑαυτὴν ἁμιλλωμένη, καὶ τὰ προλαβόντα νικᾷν τοῖς ἐφεξῆς βουλομένη. Τοὺς γὰρ δύο λάκκους οὓς τὴν ἀρχὴν λόγος ὑπὸ τῶν Ἀμορῥαίων διορυγῆναι, δυσὶ τοῦ κοινοβίου σταδίοις διεστηκότας, ἀνανεοῖ μὲν ἔτι ὢν ὑπὲρ γῆς ὁ μέγας Εὐθύμιος, ὡς ἤδη φθάσαντες ἐδηλώσαμεν, καὶ τῷ τοῦ ἑτέρου στόματι θύραν αὐτὸς ἐπιθεὶς, ἀπονέμει πρὸς ὑδρείαν τῇ λαύρᾳ· θατέρῳ δὲ τοῖς ὑπ' αὐτοῦ βαπτισθεῖσιν Ἀγαρηνοῖς [y] ῥητόν τινα παραχωρεῖ χρόνον. Οὕτως οὖν αὐτῷ τῶν λάκκων ἐχόντων, καὶ τοῦ μὲν τῇ λαύρᾳ, τοῦ δὲ τοῖς Ἀγαρηνοῖς ἀπονενεμημένου, ξηρὰν καὶ ἄλλως τὴν ἔρημον ἐκείνην οὖσαν, καὶ μικροῦ γε δεῖν ἄνυδρον, ἀνομβρία κατέσχεν. Οἱ γοῦν τῆς λαύρας δεδοικότες τὴν τοῦ ὕδατος ἔνδειαν, τὴν μὲν τοῦ λάκκου θύραν ὑπὸ κλεισὶ καὶ μοχλοῖς ἀσφαλίζονται.

ΡΜΓ'. Τῶν δὲ φυλάρχων τῶν ὑπὸ τῇ τῶν Ῥωμαίων ἀρχῇ κειμένων Ἀρέθα καὶ Ἀσουάδου, ὅπλα κατ' ἀλλήλων καὶ πόλεμον ἀραμένων, πολλαχοῦ τῆς ἐρήμου διασπαρέντες οἱ Βάρβαροι, χρημάτων τε ἁρπαγὰς, καὶ οἴκων ἀνατροπὰς, καὶ ἄλλα ὅσαπερ ἐν τοῖς τοιούτοις βίαια καὶ τυραννικὰ φιλεῖ συμβαίνειν, ἐποίουν. Ποτὲ γοῦν καθημένων ἡμῶν πρὸ τῆς εἰσόδου τοῦ κοινοβίου, προσέρχονταί τινες Βάρβαροι δύο· προσῆν δὲ αὐτοῖς καὶ Χριστιανὸς, Θαλάβας ὄνομα, τῶν ὑπὸ Εὐθυμίου πάλαι βαπτισθέντων Ἀγαρηνῶν συγγενὴς ὤν. Ἕνα τοῦ οἰκείου πλήθους ἐπαγόμενοι Βάρβαρον, καὶ αὐτὸν δαίμονί τινι χαλεπῷ κάτοχον. Ἐπεὶ δὲ προσῆλθον, ἐξηγεῖτο τὴν αἰτίαν ὁ Θαλάβας· ὡς ἐλθόντων ποτὲ τῶν Βαρβάρων παρὰ τὴν λαύραν, ὥστε ποτίσαι τὰς ἑαυτῶν καμήλους, καὶ τῷ λάκκῳ τὴν θύραν ἐπικεκλιμένην εὑρόντων, ὁ δαιμονῶν οὗτος βαρβαρικώτερον κινηθεὶς, τὴν μὲν λίθῳ βαρεῖ κατακλᾷ· τοῦτον δὲ δαίμων εὐθὺς ἀντιπαίει πολλῷ δεινότερον· καὶ τὸ λοιπὸν ἔκειτο σπαραττόμενος, καὶ ἀφροῦ τὸ στόμα ὑποπιπλάμενος.

illa vero statim mutavit formam, et mihi in Sancti manu brevis quidam videbatur Æthiops, oculis igni similis : visa quoque est ante ejus pedes defossa esse profundissima fovea. Et illum quidem in foveam dejecit; ad me vero iterum conversus, illud dicit, quod Christus paralytico : *Ecce sanus factus es, jam noli peccare*, sed attende tibi ipsi, *ne deterius tibi aliquid contingat* [43.44]. Ego vero ab ea calamitate liberatus, et ardentioribus Deo actis gratiis, ab illo tempore usque in hodiernum conservatus sum omnis mali expers. Hæc cum mihi Paulus declaraverit, communem ego cunctis proposui narrationem.

CXLII. Verum enim vero mihi rursus erumpit oratio ad pascendas rebus aliis aures vestras. Non sinit enim cessare miraculorum continuatio, semper magis provocans orationem, et gestiens progredi ad ulteriora, quæ præstantiora sunt et jucundiora; veluti ipsa secum certans, volensque præcedentia vincere consequentibus. Duas enim cisternas, quas fama est ab initio fodisse Amorrhæos, dissitas duobus stadiis a cœnobio, renovat quidem adhuc in terra vivens magnus Euthymius, ut jam antea declaravimus, et cum alterius ori imposuisset ostium, tribuit lauræ ad aquationem; alteram autem Agarenis quos baptizaverat, certo concedit tempore. Ita ergo se habentibus cisternis, et una Lauræ, altera Agarenis attributa, solitudinem illam, alioquin aridam et propemodum aquæ expertem, pluviæ invaserat penuria. Qui lauram itaque incolebant, aquæ veriti inopiam, cisternæ quidem ostium clavibus et vectibus communiunt.

CXLIII. Cum vero tribuum præfecti (91) Romano imperio subjecti Arethas et Asuades, contra se invicem arma et bellum suscepissent, per solitudinem sæpe dispersi barbari, et pecunias diripiebant, et domos evertebant, aliaque faciebant quæ in hujusmodi solent contingere violenta atque tyrannica. Aliquando ergo sedentibus nobis ante aditum cœnobii, accedunt quidam duo barbari; cum eis vero aderat quoque Christianus, Thalabas nomine, cognatus Agarenorum qui fuerant olim baptisati ab Euthymio; adducentes unum e sua multitudine barbarum, qui ipse etiam a quodam sævo dæmone possidebatur. Postquam autem accesserunt, exposuit causam Thalabas : Cum aliquando venissent barbari ad lauram, ut adaquarent suos camelos, et cisternæ incumbens invenissent ostium, hic dæmoniacus, barbariori modo commotus, gravi lapide illud confringit; eum autem illico vicissim longe gravius ferit dæmon; ac deinde jacebat tortus et dilaceratus, osque habens spuma oppletum.

[43.44] Joan. v, 14.

VARIÆ LECTIONES.

[x] al. τά. [y] al. Σαρακηνοῖς.

JOAN. BOLLANDI NOTÆ.

(91) Anno Justiniani 19, Chr. 545, obsessa fuit a Chosroe seniore Edessa, quo tempore, aut proxime sequenti, hoc ducum intestinum bellum contigerit.

CXLIV. Ego vero adveniens, et animo fractus A quod ita se haberet Barbarus, una cum viris eum tollo, et ad Sancti capsam adduco; ut unde afflictus est calamitate, illinc inveniat mali quoque medicamentum. Ejusdem enim est, et castigare propter temeritatem, et curare rursus per clementiam. Positus ergo ad loculum is qui laborabat, cum non multum deinceps tempus illic mansisset, curationem invenit majorem quam petierat; non liberatus solummodo a mala affectione, sed etiam diviniore lumine in anima collustratus, et non multis postea diebus baptizatus.

CXLV. Ejusdem etiam Thalabæ ex fratre aut sorore neptis, immundi dæmonis dominatu tenebatur. Igitur ipsa quoque ad reliquiarum thecam portata ex Lazario (illic quippe habitabat Thalabas), nullum quidem aliud medicamentum exstitit, nisi ex hujus loculi sanctificatione seu aqua benedicta illitus; dies autem non plures quam tres, ad perfectam ab opprimente liberationem sufficiunt.

CXLVI. Quid vero dixeris de Agareni Argob filio? hoc enim nomine pater vocabatur: qui per solitudinem greges pascens, cum exsecrandus quidam dæmon in eum insiliisset, non solum mente, sed etiam aspectu et oculis distortus evaserat. Delatus autem ipse quoque ad capsam reliquiarum, brevi omnino erigitur, et omnia suo loco restituta habens, patri redditur.

CXLVII. Multa quis posset hujusmodi et numero majora recensere. Quamdam enim mulierem, quæ in vico Betabudison cum marito habitabat, meridie C domi aliquando sedentem, gravis invadit dæmon; et totos quidem sex menses cum ea colluctabatur, marito autem morte omni acerbiorem efficiebat vitam. Cum itaque is eum casum intolerabilem haberet, nec ullam posset molestiæ invenire consolationem, constituit ad magnum confugere. Et conjugem assumens ita furore percitam, venit cum ea ad monasterium (92). Quoniam vero non licet introire mulieribus, assidebat illa in vestibulo, faciens quæ poterat, jejuni utens et oratione, singulisque vesperis bibens ex thecæ aqua sanctificata, cum oleo lucernæ. Porro tertia consequenti nocte, ei magnus apparens Euthymius: Ecce, inquit, sana facta es, vade in domum tuam: statimque et morbus est dissolutus, et cessavit insania, D demumque mulier mentis compos revertitur. Ab illo autem tempore, utpote memor beneficii a Sancto accepti, quotannis veniebat ad monasterium, ipsumque limen et solum, quod est ante ingressum, et pulverem complexa, ardentius osculabatur, atque fratres invitabat ad convivium, et quam humanissime poterat accipiebat. Et hoc quidem est ejusmodi, sicque nec prioribus credit magnitudine.

ΡΜΔ'. Ἔγωγε οὖν παριὼν, καὶ τὴν ψυχὴν οὕτως ἔχοντι τῷ Βαρβάρῳ ἐπικλασθεὶς, ἀναιροῦμαι σὺν τοῖς ἀνδράσιν αὐτὸν, καὶ τῇ τοῦ ἁγίου θήκῃ προσάγω· ἵν' ὅθεν ἐπλήγη τῇ συμφορᾷ, ἐκεῖθεν εὕροι καὶ τὸ κακοῦ φάρμακον. Τοῦ γὰρ αὐτοῦ, καὶ παιδεύειν διὰ θρασύτητα, καὶ θεραπεύειν πάλιν διὰ φιλανθρωπίαν. Τεθεὶς οὖν ὁ πάσχων παρὰ τῇ θήκῃ, καὶ χρόνον ἑξῆς οὐ πολὺν παραμείνας, εὑρίσκει τὴν θεραπείαν μείζονα τῆς αἰτήσεως· οὐ τοῦ πάθους μόνον ἀπαλλαγεὶς, ἀλλὰ καὶ θειοτέρῳ φέγγει τὴν ψυχὴν περιαυγασθεὶς, καὶ ἡμέραις οὐ πολλαῖς ὕστερον βαπτισάμενος.

ΡΜΕ'. Τοῦ δὲ αὐτοῦ Θαλάβα καὶ ἀδελφιδῆ τις ἀκαθάρτῳ πνεύματι κεκυρίευται. Μετακομισθεῖσα τοίνυν ἀπὸ τοῦ Λαζαρίου καὶ αὐτὴ πρὸς τὴν τοῦ λειψά- B νου θήκην· τῇδε γὰρ ὁ Θαλάβας ᾤκει· φάρμακον μὲν οὐδὲν ἕτερον, ἀλλ' ἢ τὸ ἐκ τῆς σοροῦ ταύτης ἁγίασμα προσχριόμενον· ἡμέραι δὲ τῶν τριῶν οὐ πλείους, πρὸς τελείαν ἀρκοῦσιν ἀπαλλαγὴν τοῦ πιέζοντος.

ΡΜϚ'. Τί δ' ἂν τὰ κατὰ τὸν Ἀγαρηνοῦ παῖδα εἴποις Ἀργώβ; τοῦτο γὰρ ὁ πατὴρ ἐκαλεῖτο· ὅστις ἀνὰ τὴν ἔρημον θρέμματα νέμων, μιαροῦ τινος ἐπιπηδήσαντος αὐτῷ δαίμονος, οὐ φρένας μόνον, ἀλλὰ καὶ ὄψιν αὐτὴν καὶ ὀφθαλμοὺς διάστροφος ἦν. Προσενεχθεὶς δὲ καὶ οὗτος τῇ τοῦ λειψάνου θήκῃ, πάντα ἐν βραχεῖ ἀνορθοῦται, καὶ κατὰ χώραν ἕκαστα ἔχων τῷ πατρὶ ἀποδίδοται.

ΡΜΖ'. Πολλά τις ἂν ἔχοι τοιαῦτα καὶ ἀριθμοῦ κρείττονα καταλέγειν. Γυναικὶ γάρ τινι κατὰ τὴν Βηταβουδισῶν κώμην ἀνδρὶ συνοικούσῃ, μεσημβρίας ἐν C τῷ οἴκῳ ποτὲ καθημένῃ, χαλεπὸς ἐπιπίπτει δαίμων· καὶ τῇ μὲν παρ' ὅλους ἑπτὰ προσεπάλαιε μῆνας· τῷ δὲ ἀνδρὶ πικροτέραν θανάτου παντὸς εἰργάζετο τὴν ζωήν. Ἀφορήτως οὖν ἐκεῖνος ἔχων ἐπὶ τῷ πάθει, καὶ οὐδεμίαν δυνάμενος εὑρεῖν τοῦ λυποῦντος παραψυχὴν, ἐπὶ τὸν μέγαν ἔγνω καταφυγεῖν. Καὶ τὴν σύζυγον οὕτω μεμηνυῖαν παραλαβὼν, ἀφικνεῖται σὺν αὐτῇ πρὸς τὸ μοναστήριον. Ἐπεὶ δὲ οὐ βάσιμα γυναιξὶ τὰ ἔνδον, προσήδρευε τῷ πυλῶνι, τὰ δυνατὰ ποιοῦσα, νηστείᾳ τε χρωμένη καὶ προσευχῇ, καὶ τοῦ τῆς θήκης ἁγιάσματος ἑκάστης ἑσπέρας, σὺν ἐλαίῳ τῆς φωταγωγοῦ πίνουσα. Τρίτῃ δὲ τῇ ἑξῆς νυκτὶ, ἐπιφανεὶς αὐτῇ ὁ μέγας Εὐθύμιος, Ἴδε ὑγιὴς γέγονας, ἐπιλέγει, πορεύου εἰς τὸν οἶκόν σου. Καὶ ἥ τε νόσος εὐθὺς ἐλύετο, καὶ τὰ τῆς μανίας ἐπαύετο· καὶ ἡ D γυνὴ σωφρόνως ἔχουσα, οἴκαδε ἐπανῄει. Ἐξ ἐκείνου δὲ καθάπερ ἀπομνημονεύουσα τῆς χάριτος τῷ ἁγίῳ, ἀφικνεῖτό τε πρὸς τὸ μοναστήριον ἐτησίως, καὶ τὴν φλιὰν αὐτὴν καὶ τὸ ἔδαφος πρὸ τῆς εἰσόδου, καὶ τὴν κόνιν φιλήματι θερμοτέρῳ περιεπτύσσετο, καὶ τοὺς ἀδελφοὺς εἱστία, καὶ ὡς ἡ δύναμις, εἶχεν ἐδεξιοῦτο. Καὶ τοῦτο μὲν δὴ τοιοῦτον. Καὶ οὕτω μεγέθους χάριν οὐδὲ [a] τῶν κατόπιν ἀπολειπόμενον.

VARIÆ LECTIONES.

[a] al. οὐδέν.

JOAN. BOLLANDI NOTÆ.

(92) Non licere mulieri in lauram accedere tradit idem in Vita S. Joannis Silentiarii. Simile de mandra S. Symeonis Stylitæ 5 Jan. memoratum.

ΡΜΗ'. Ἐκεῖνο δὲ καὶ αὐτὸς ὁ τὴν ἐπήρειαν ὑπο- A στὰς, καὶ παρὰ τῷ τοῦ ἁγίου τάφῳ τρυγήσας τὴν θεραπείαν, τῇ μονῇ ἔτι περιὼν, καὶ εἷς τῶν παρ' αὐτῇ μοναχῶν ὢν, οἰκείᾳ γλώττῃ, καὶ φωνῇ μαρτυρεῖ. Ἔστι γάρ τις ἀδελφὸς ἐν τῷ μοναστηρίῳ, τὸ γένος Γαλάτης, τὴν κλῆσιν Προκόπιος. Οὗτος οὖν ὁ Προκόπιος, ἐν πολιτικοῖς ἔτι θορύβοις καὶ πράγμασιν ὢν, πονηρῷ κατεσχέθη πνεύματι, καὶ τοῦτο συνοικον εἶχε μέχρι πολλοῦ, κρυφίως αὐτὸν ἐκδειματοῦν, καὶ ταράχου τὰ ἔνδον πληροῦν· ὥσπερ αὐτὸς ἐμοὶ διηγήσατο. Ἐπεὶ δὲ τὸν κόσμον λιπὼν τῷ μοναστηρίῳ προσέδραμεν, εἰσεδέχθη τε παρὰ τῆς συνοδίας τῶν ἀδελφῶν, καὶ τῇ τοῦ λειψάνου προσεκύνησε θήκῃ, τὸ πονηρὸν εὐθὺς ἀπηλέγχθη πνεῦμα, ὡς σκότος ὑπὸ φωτὸς, καὶ εἰς ἐμφανὲς ἤγετο, καὶ Προκόπιος δαιμονῶν ἐγνωρίζετο, πάντα ἐκεῖνα πάσχων, B ὅσα τοῖς οὕτως ἔχουσιν ἴδια, ῥησσόμενός τε δεινῶς, καὶ εἰς γῆν προσριπτούμενος, ἔτι δεσμούμενος τὴν γλῶτταν, καὶ μηδὲ συνήθως φθέγγεσθαι συγχωρούμενος. Ὅνπερ δὴ καὶ αὐτὸν ὁ μέγας ἰᾶται, καὶ τοῦ πάθους ἅμα καὶ τῆς μανίας καὶ τῶν τῆς γλώττης δεσμῶν ἀπολύει· καθὰ καὶ εἰς δεῦρο παρὼν ἐν τῇ μονῇ δείκνυται· οὐκ ἀπαθῶς μόνον ἔχων καὶ ὑγιῶς, ἀλλὰ καὶ σωφροσύνῃ πάσῃ καὶ ὑπομονῇ διαπρέπων, καὶ τὸν χρηστὸν ἕλκων ἐν ταύτῃ τοῦ Χριστοῦ ζυγὸν κατὰ δύναμιν.

ΡΜΘ'. Τούτοις ἀκόλουθον τὰ κατὰ τὸν ξενικὸν ἐκεῖνον διεξελθεῖν. Καθημένοις γάρ ποτε πρὸς τῇ τοῦ μοναστηρίου εἰσόδῳ, καὶ τινα μακέλαν ἔχουσι διὰ χειρὸς καὶ καθαίρουσιν, ἔπεισιν ἡμῖν οὗτος ῥοίζῳ μεγάλῳ, καὶ καταιγίδι παραπλησίως, ὑπὸ τοῦ πονηροῦ πνεύματος ἐλαυνόμενος, κράζων τε λαμπρᾷ τῇ C φωνῇ· Τί ἐμοὶ καὶ σοὶ, τοῦ Θεοῦ θεράπον Εὐθύμιε; ποῦ με σὺν βίᾳ ἕλκεις; οὐκ ἔξειμι. Ἔπειτα ῥίπτει πρὸ τῶν πυλῶν αὐτὸν τὸ πονηρὸν πνεῦμα, πτῶμα τοῖς ὁρῶσιν ἐλεεινότατον. Ἀναστάντες οὖν σὺν τῷ θυρωρῷ Βαβύλᾳ, καὶ μόλις αὐτὸν ἀνελόμενοι, παρὰ τὴν τοῦ λειψάνου θήκην κατάγομεν. Ὁ δὲ τῶν ὁμοίων καὶ ἔτι φωνῶν εἴχετο· Τί βιαίως οὕτω, βοῶν, διασπᾶτέ με καὶ κατασύρετε; τί με πρὸς τὸν ἐμὸν πολέμιον ἄγετε; τί πρὸς τὸν ἐχθρόν; τί πρὸς τὸν ἀεὶ κατακιμπρῶντά με σφοδρῶς ἕλκετε; Ὢ βίας! οὐ πορεύσομαι μεθ' ὑμῶν, ἀλλ' ἐξέρχομαι, καὶ πλέον οὐκ ἔτι μενῶ. Ἐπεὶ δὲ πρὸς αὐτῷ τῷ τοῦ ἁγίου τάφῳ σὺν τῷ ξενικῷ πολλὰ καμόντες γεγόναμεν, καταβάλλει καὶ πάλιν αὐτὸν ὁ δαίμων, καὶ πᾶσαν ἄφωνος τὸ παράπαν ἐκείνην τὴν νύκτα διαγαγὼν, σωφρονῶν D ἕωθεν καὶ νήφων ἀνίσταται, οὐδὲ βραχὺ λείψανον τῶν προτέρων ἔχων. Συνεστιαθέντες τοίνυν αὐτῷ, ἠρόμεθα μεταξὺ τῆς τραπέζης, τί ὅπερ χθὲς πάθοι, καὶ ὅπως ἐνταῦθα ἔλθοι, καὶ τί ἄρα κράζων ἦν. Ὁ δὲ πάντα ἔλεγεν ἀγνοεῖν, καὶ οὔτε πῶς ἔλθοι, οὔτε ὃ ἔκραζε τὸ παράπαν εἰδέναι.

ΡΝ'. Ταῦτα τοίνυν τοιαῦτα ὄντα καὶ οὕτως, οὐδεμίαν εἰς θαύματος λόγον ὑπερβολὴν ἀπολείποντα, μόνοις ὑποχωρεῖ τοῖς κατὰ τὴν Βηταγαβαίων κώμην γεγενημένοις, ἐφ' ἃ δήπου καὶ ὁ λόγος τὴν ὁρμὴν ἔχει. Ἦν γάρ τις ἐν τῷ μοναστηρίῳ πρεσβύτερος, τῆς τοιαύτης ὡρμημένος κώμης, Ἀχθάβιος ὄνομα,

CXLVIII. Illud autem is quoque qui subiit calamitatem et ad Sancti sepulcrum curationem percepit, adhuc superstes in monasterio, unus ex iis qui in eo sunt monachis, sua lingua et voce testificatur. Est enim quidam frater in monasterio, genere Galata, nomine Procopius. Hic ergo Procopius, cum adhuc in civilibus versaretur tumultibus et negotiis, occupatus fuit a spiritu nequam, eumque diu habuit simul habitantem, occulte terrentem, et intrinsecus opplentem strepitu, sicut ipse mihi narravit. Postquam autem relicto sæculo occurrit ad monasterium, et a conventu fratrum susceptus est, atque reliquiarum capsam adoravit, statim spiritus nequam est convictus, tanquam tenebræ a luce, et in apertum productus, et Procopius cognitus est esse dæmoniacus, omnia illa patiens, quæ sunt hominibus ita affectis propria, ut qui sæve disrumperetur et humi projiceretur, adhæc lingua vinciretur, nec sineretur pro more loqui. Quem ipsum quoque magnus sanat, et ab affectione simul et insania, et linguæ vinculis exsolvit; sicut in hodiernum usque diem ostenditur præsens in monasterio; non solum sanus et a malo liber, sed etiam omni temperantia et tolerantia insignis, atque in eo trahens pro viribus suave Christi jugum.

CXLIX. His consequens fuerit ea persequi quæ ad illum peregrinum spectant. Sedentibus enim aliquando in monasterii ingressu, et ligonem in manu habentibus, atque purgantibus nobis, advenit hic cum magno impetu et stridore, ac instar procellæ, a malo spiritu actus, atque clara voce exclamans: Quid mihi et tibi, Dei serve Euthymi? Quo me cum violentia trahis? Non exeo. Deinde eum ante fores projicit spiritus nequam, casu videntibus maxime miserabili. Surgentes igitur cum janitore Babyla, cum vix eum sustulissemus, ad reliquiarum capsam deducimus. Ille autem adhuc similes voces usurpabat, clamans: Cur me sic violenter divellitis et distrahitis? Cur me ducitis ad hostem meum? Cur ad inimicum? Cur me ad eum vehementer trahitis, qui me semper incendit? o vim! non ibo vobiscum, sed egrodior, neque amplius manebo. Postquam vero ad ipsum sancti sepulcrum cum peregrino multum defessi pervenimus, eum rursus dejicit dæmon, et cum totam illam noctem mutus omnino transegisset, mane surgit moderatus et sanæ mentis, ne minimas quidem habens priorum reliquias. Itaque una cum eo epulati, inter cœnandum interrogavimus, quidnam esset quod heri patiebatur, et quemadmodum huc venisset, et quidnam clamaret. Ille vero cuncta dicebat se ignorare, et neque quo modo venisset, neque quid clamaret, se omnino scire.

CL. Porro hæc talia cum sint, atque ad eum modum, nullamque relinquant exsuperantiam ratione miraculi, iis solis cedunt quæ contigerunt in vico Botagabæorum, ad quæ nimirum properat oratio. Scilicet erat quidam in monasterio presbyter ex eo vico ortus, nomine Achthabius, qui quadra-

ginta quinque annos in eo peregerat, Christique mandatorum probum operarium ostenderat se. Erat autem ei quoque frater genere in ea villa Betagabæorum (93), quæ ad duodecimum lapidem distat a Gaza, nulla ex parte faciens similia et cognata cum fratre, Romanus (ita enim vocabatur); sed vivens molliter et dissolute. Igitur quidam, invidia in eum ductus ob opes, maligne insidiabatur, easque conabatur auferre. Cum autem a scopo aberrasset, deinde et vehementiori invidiæ stimulo sauciatus esset, venit Eleutheropolim, et contra eum assumit quemdam præstigiatorum, proximi noxam miser magno comparans. Atque ille quidem prout sciebat et poterat usus est artibus suis. Romanus vero, ut qui nihil prævidisset eorum quæ gerebantur, degebat in agro, nullatenus cavens ipsius maleficia. Atque correptus a quodam veterno corporis (quod Deus magnam socordiam interrumperet, ejusque animam ad sedulitatem reduceret, ac ideo permisisset, ut aliquantum vinceretur a maligni insidiis; quemadmodum non multo post declarabunt quæ subjungentur), domum refertur. Dein ubi malum vehementius incubuit; ille quidem jacebat hydropicus, extremamque acceperat ex arte medicorum deplorationem; affines autem et amici circumsidebant, ultimasque separationis lacrymas propter eum emittebant.

CLI. Sic igitur gravissime affectus ille, jamque ipsam mortem exspectans, vix diductis oculis, et quo solum modo quid obscure videri queat, orat eos qui aderant, ut paululum secederent: ipseque solus relictus, et ad parietem conversus, sicut ille magnus Ezechias aliquando 45, talia in contritione cordis est precatus, Deus virtutum, qui dixisti: *Cum reversus ingemueris, tunc salvus eris* 46; ipse respice super me, et ab hac, quæ me comprimit, necessitate et calamitate eripe. Interea autem, cum in mentem ei venisset, magnum etiam vocabat Euthymium adversus morbum, virumque Deo offerebat intercessorem, atque per ipsum rogabat ut liberaretur.

CLII. Postea vel in ecstasi constitutus, videt quemdam vestitu monachum, pilis canum, adstantem et dicentem: Quid vis tibi faciam? Et ille quidem, metu, inquit, et gaudio divisus, interrogavit: Quis tu es, domine? Respondit is: Euthymius, quem ipse modo vocabas. Neque ad meum aspectum quidquam extimescas; sed videam, infit, quid patiaris, et quænam corporis tui pars occupetur calamitate. Cumque ille ventrem ostendisset, ipse conjunctis digitis suis recta, iisque usus tanquam gladio, scindit tumidum illud ventris, mor-

πέμπτον ἐν αὐτῷ πρὸς τοῖς τεσσαράκοντα ἔτος διατελέσας, καὶ τῶν τοῦ Χριστοῦ ἐντολῶν ἐργάτης ἀναδειχθεὶς δόκιμος. Προσῆν δέ τις αὐτῷ καὶ ἀδελφὸς κατὰ γένος ἐν τῇ Βηταγαβαίων, ἥτις δώδεκα σημείοις Γάζης ἀπέχει, οὐδὲν ὅμοια οὐδὲ συγγενῆ τῷ ἀδελφῷ πράττων, ὁ Ῥωμανὸς (οὕτω γὰρ ἐκαλεῖτο) ἀλλὰ ζῶν ὑγρῶς τε καὶ ἀνειμένως. Βασκήνας οὖν τις αὐτῷ τῆς οὐσίας, ἐφήδρευε κακούργως, καὶ ὑφελέσθαι αὐτὴν ἐπειρᾶτο. Τοῦ σκοποῦ δὲ διαμαρτὼν, εἶτα καὶ σφοδροτέρῳ τῷ τῆς βασκανίας κέντρῳ πληγεὶς, ἐν Ἐλευθεροπόλει γίνεται, καὶ τινα παραλαμβάνει γόητα κατ' αὐτου, πολλοῦ τὴν τοῦ πλησίον βλάβην ὁ δείλαιος ὠνησάμενος. Ὁ μὲν οὖν ὡς εἶχε ταῖς τέχναις ἐχρῆτο. Ὁ Ῥωμανὸς δὲ, οἷα τῶν γινομένων οὐδὲν προειδὼς, ἐν ἀγρῷ διῆγεν, οὐδεμίαν ὅλως τῶν κακουργουμένων αὐτῷ φυλακὴν ἔχων. Καὶ τινι τὸ σῶμα νάρκῃ ληφθεὶς (τοῦ Θεοῦ τὸ πολὺ τῆς ῥαθυμίας ἐγκόπτοντος, καὶ τὴν αὐτοῦ ψυχὴν πρὸς σπουδὴν ἐπανάγοντος, καὶ διὰ τοῦτο περιγενέσθαι αὐτοῦ [a] ταῖς ἐκ τοῦ πονηροῦ μεθοδείαις βραχύ τι παραχωρήσαντος· ὡς οὐ πολλῷ ὕστερον δηλώσει τὰ ἑπαγόμενα), τῷ οἴκῳ ἀνακομίζεται. Εἶτα σφοδρότερον τοῦ κακοῦ κατασκήψαντος· ὁ μὲν, ἔκειτο ὑδεριῶν, καὶ τὴν ἐσχάτην ἐκ τῆς τῶν ἰατρῶν τέχνης λαβὼν ἀπαγόρευσιν· οἱ προσήκοντες δὲ αὐτὸν καὶ οἱ φίλοι περιεκάθηντο, τὸ τελευταῖον ἀφιέντες ἐπ' αὐτῷ τοῦ χωρισμοῦ δάκρυον.

ΡΝΑ'. Οὕτως οὖν βαρύτατα ἔχων ἐκεῖνος, καὶ αὐτὴν ἤδη τὴν τελευτὴν ἐκδεχόμενος, μόλις καὶ ὅσον ἀμυδρόν τι μόνον ἰδεῖν τὸ βλέμμα διάρας, δεῖται τῶν παρόντων ἐκχωρῆσαι μικρόν· καὶ μόνος αὐτὸς ἐπ' ἐρημίαις καταλειφθεὶς, καὶ πρὸς τὸν τοῖχον ἐπιστραφεὶς, καθάπερ Ἐζεκίας ἐκεῖνος ὁ μέγας ποτὲ, τοιαῦτα ἐν συντριβῇ καρδίας προσηύχετο· Ὁ Θεὸς τῶν δυνάμεων, ὁ εἰπὼν, Ὅταν ἀποστραφεὶς στενάξῃς, τότε σωθήσῃ, αὐτὸς ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ τῆς συνεχούσης με ταύτης ἀνάγκης καὶ τῆς συμφορᾶς ἐξελοῦ. Ἐν τοσούτῳ δὲ, εἰς νοῦν αὐτῷ ἐπελθὼν [b], καὶ τὸν μέγαν Εὐθύμιον ἐκάλει κατὰ τοῦ πάθους, καὶ μεσίτην προσῆγε τὸν ἄνδρα Θεῷ, καὶ δι' αὐτοῦ τὴν ἀπαλλαγὴν ηὔχετο.

ΡΝΒ'. Εἶτα ὥσπερ ἐν ἐκστάσει γενόμενος, ὁρᾷ τινα τὴν στολὴν μοναχὸν, τὴν τρίχα λευκὸν, ἐπιστάντα, καὶ, Τί βούλει ποιήσω σοι; λέγοντα. Καὶ ὁ μὲν, δέει, φησὶ, καὶ ἡδονῇ μερισθεὶς, Τίς ἄρα σὺ εἶ, δέσποτα; ἤρετο. Καὶ ὃς, Εὐθύμιος, ἔφη, ὃν ἔναγχος ἐκάλεις αὐτός. Καὶ μου πρὸς τὴν ὄψιν μηδὲν ἀποδειλιάσῃς· ἀλλ' ἴδω, φησὶν, ὅ τι πάσχεις, καὶ τί σοι τοῦ σώματος κέχρηται συμφορᾷ. Τοῦ δὲ, τὴν κοιλίαν ὑποδείξαντος, συζεύξας τοὺς δακτύλους αὐτὸς εἰς ὀρθὸν, καὶ τούτοις οἷα δὴ καὶ ξίφει χρησάμενος, τέμνει τὸ διῳδηκὸς τῆς γαστρὸς ἐκεῖνο, καὶ τὸ πάθος ἐκκρίνει

45 IV Reg. xx, 2. 46 Isa xxx, 15.

VARIÆ LECTIONES.

[a] al. αὐτόν. [b] al. ἐπελθόν.

JOAN. BOLLANDI NOTÆ.

(93) An Thabatha, seu Thabacha, aut Tabasa, patria S. Hilarionis, vicus circiter quinque millia a Gaza distans? de quo S. Hieronymus in ejus vita 21 Octob.

καὶ διαχέει· ἐξάγει τε τῆς γαστρὸς οἱονεὶ πέταλόν τι κατιττέρου [c] πεποιημένον, χαρακτῆρας ἔχον τινάς, καὶ τοῦτο ἐπὶ τραπέζης τινὸς ὑπ' ὄψιν αὐτῷ τίθησιν. Ἔπειτα καὶ τὴν τομὴν τῇ χειρὶ συνάψας καὶ ἀπαλείψας, ἀκέραιόν τε τὸ μέρος καὶ ὑγιὲς θέμενος, ἅπαν ἑξῆς αὐτῷ καταλέγει τὸ δρᾶμα· τὴν τῆς οὐσίας βασκανίαν, τὴν τοῦ γόητος μίσθωσιν, τὴν τῶν δαιμόνων ἐπίκλησιν. Οὐκ ἂν δέ σοι [d], φησίν, οὐδὲ οὕτως αἱ τοῦ ἐχθροῦ περιεγίνοντο [e] μηχαναί, εἰ μὴ αὐτὸς αὐτῷ τὰς λαβὰς παρέσχες. Ἰδοὺ γὰρ ὅσος ὁ μεταξὺ χρόνος, καὶ οὔτε εἰς Ἐκκλησίαν ἔγνως παραβαλεῖν, οὔτε τὰς ἀχράντοις προσελθεῖν μυστηρίοις· ἀλλ' ἀμελῶς ἔζης καὶ ἀμερίμνως, τόγε εἰς τὴν ψυχὴν ἧκον τὴν σήν. Ἐπεὶ τοίνυν ἔλεόν σου πεποίηκεν ὁ Θεός, τοῦ λοιποῦ πρόσεχε σεαυτῷ, καὶ μηκέτι μηδαμῶς ἀμέλει τῆς ἑαυτοῦ σωτηρίας.

ΡΝΓ'. Ταῦτα ἐπεὶ τὸν Ῥωμανὸν ἀκοῦσαι [f], διαναστῆναί τε ὡς εἶχεν εὐθὺς ὑγιᾶ, τοῦ ὄγκου αὐτῷ ἤδη τοῦ περὶ τὴν γαστέρα διαπνευσθέντος· καὶ συγκαλέσαντα τοὺς ἐπιτηδείους, τὴν ἐπιστασίαν αὐτοῖς τοῦ ἁγίου, καὶ τὴν ξένην ἐκείνην διὰ τῶν δακτύλων τομήν, καὶ πᾶσαν ἁπλῶς ἀπαγγεῖλαι [g] τὴν ὄψιν· ἔπειτα δὲ καὶ εἰς ἡμᾶς διαβῆναι, καὶ τῷ τε προεστῶτι τῆς μονῆς ταῦτα καὶ Ἀχθαβίῳ τῷ ἀδελφῷ καὶ πᾶσιν ἡμῖν διηγήσασθαι. Τὴν μέντοι τῆς θαυματουργίας ἡμέραν, ἑορτὴν καὶ εἰς τόδε χρόνου τὴν μεγίστην ποιεῖται, καὶ δι' ἔτους ἀποδίδωσιν ἔτι τῷ ἁγίῳ τὰς χάριτας. Ἀλλὰ τοῦτο μὲν δὴ τοιοῦτον.

ΡΝΔ'. Ὃ δέ μοι λέγειν ἑξῆς ὁ λόγος ὥρμηται, δέδοικα μὴ καὶ ἄπιστον δόξειε τοῖς πολλοῖς, καὶ ἥκιστα τῷ τοῦ ἀνδρὸς ἤθει καὶ τῇ χρηστότητι ἐοικός· τοσαύτην θερμότητα κατὰ τῶν ψευδορκούντων καὶ ζῆλον ἀκριβῆ παρίστησιν. Ἔστι γάρ τις πρὸς ἀνίσχοντα ἥλιον κώμη τῆς λαύρας Φαρῶν [h], δέκα σταδίοις ἀπέχουσα, Φαρὰν ὁμοίως καὶ αὐτὴ καλουμένη· οὐ μεταλαβοῦσα, οἶμαι, τῆς ἐπωνυμίας, ἀλλ' αὐτὴ τῇ λαύρᾳ μεταδοῦσα μᾶλλον. Ἀνὴρ δέ τις ὄνομα Κυριακὸς ἐκ ταύτης ὁρμώμενος, θρεμμάτων ποιμὴν ἦν· καὶ τὸ ποίμνιον ἀνὰ τὰς ἐρήμους νέμων ἐκείνας, πιστεύεται παρά τινος τῆς αὐτῆς ὡρμημένου κώμης, πένητος καὶ αὐτοῦ, δέκα τὸν ἀριθμὸν καὶ ἕτερα θρέμματα, ὥστε καὶ αὐτὰ τοῖς ἑαυτοῦ συμποιμαίνειν. Χρόνου δὲ μεταξὺ διαγενομένου, κατειλήφει μέν τις ἀπαραίτητος τὸν πένητα χρεία. Καὶ ὁ μὲν οὐδενὸς εὐπορῶν ἑτέρου, πρὸς τὸ βραχὺ ποίμνιον εὐθὺς ἀπεῖδε, καὶ πωλῆσαι καὶ αὐτὸ διὰ τὸ τῆς χρείας ἀναγκαῖον ἠπείγετο. Γνώμης δέ, ὡς ἔοικεν, ὁ Κυριακὸς μοχθηρᾶς ὤν, καὶ οὐδὲ μικροῦ κέρδους προτιθεὶς τὴν ἀλήθειαν, ὀκτὼ ἀπεδίδου μόνα· καὶ τοσαῦτα λαβεῖν παρ' αὐτοῦ καὶ τὴν ἀρχὴν ἰσχυρίζετο. Τοῦ δέ, καὶ τὰ ἕτερα δύο προσαπαιτοῦντος, ὁ Κυριακὸς ἔξαρνος ἦν· καὶ εἰς φιλονεικίαν αὐτοῖς ἐχώρει τὸ πρᾶγμα, καὶ ἄμφω σφοδρῶς ἐστασίαζον.

ΡΝΕ'. Διαιτηταὶ δέ τινες αὐτοῖς μέσοι παραληφθέντες, ὅρκον τῷ βουλομένῳ ἐπέθεσαν· ὥστε ταύτῃ διαλύσασθαι τὴν ἔριν. Τοῦ Κυριακοῦ τοίνυν ὀμόσαι

A bidumque humorem excernit et diffundit; necnon ex ventre educit veluti laminam quamdam e stanno factam, characteres quosdam habentem, eamque in mensa subjicit ejus oculis. Deinde cum scissuram manu conjunxisset atque inunxisset, partemque effecisset incolumem et sanam, deinceps ei totum actum refert; opum invidiam, malefici conductionem, dæmonum invocationem. Te autem ne sic quidem, inquit, vicissent hostis machinationes, nisi ei ipse ansam præbuisses. Ecce enim, quantum interlapsum est tempus, et neque ad ecclesiam venire curasti, nec ad intemerata accedere sacramenta: sed vixisti sine cura et sollicitudine, quantum ad tuam pertinet animam. Quoniam ergo Deus te miseratus est, de reliquo attende tibi ipsi, et ne amplius ullatenus tuam salutem negligas. B

CLIII. Hæc ubi audiisset Romanus, et statim prout erat, surrexit sanus, tumore uteri jam perspirato; et convocatis suis necessariis, eis sancti adventum, miramque illam per digitos sectionem, et totam absolute renuntiavit visionem. Deinde vero ad nos quoque transiit, hæcque narravit tum præfecto monasterii, tum Achthabio fratri, tum nobis omnibus. Itaque diem editi miraculi, maximum hucusque festum facit, et quotannis adhuc sancto agit gratias. Sed hoc quidem est hujusmodi.

CLIV. Quod autem jam dicere aggreditur mea oratio, vereor ne videatur multis incredibile, virique moribus et benignitati minime congruum; C tantum ostendit ardorem perfectumque zelum contra perjuros. Est enim quidam vicus ad solem orientem, a laura Phararum distans decem stadia, ipse pariter Pharan vocatus; non quod (arbitror) cognomen acceperit, sed potius quod ipse suum nomen dederit lauræ. Porro vir quidam, nomine Cyriacus, ex eo vico ortus, erat gregis pastor: cumque per illas solitudines gregem pasceret, a quodam ejusdem vici homine, ipso etiam paupere, in finem accipit oves alias numero decem, quo et illas cum suis pasceret. Interlapso autem aliquanto tempore, pauperem invadit inexorabilis aliqua necessitas. Qui quidem quoniam nihil aliud possidebat, statim ad parvum gregem respexit, illumque vendere propter extremam ne- D cessitatem festinabat. At vero Cyriacus, qui, uti apparuit, mali animi erat, et nec parvo quidem lucro præferebat veritatem, octo solas reddidit, totque se ab eo principio accepisse affirmabat. Cum is vero duas alias adhuc peteret, Cyriacus inficiabatur; atque res eis tendebat ad contentionem, et ambo vehementer altercabantur.

CLV. Quidam vero arbitri inter eos medii cacepti, jusjurandum detulere ei qui vellet, ut ea ratione controversiam dirimerent. Itaque quod Cy-

VARIÆ LECTIONES

[c] al. κασσιτέρου. [d] al. σου. [e] al. περιεγένοντο. [f] al. inser. συνέβης. [g] al. αὐτοῖς ἀπαγγέλλει. [h] al. Φαρὰν et Φαρών.

riacus jurare statuisset, pauper ab eo exigebat juramentum per capsam reliquiarum, magni nempe Euthymii. Jamque eis fuerat certa dies præstituta; et per illam ipsam juraturus Cyriacus, imo pejeraturus, descendebat cum paupere ad monasterium. Cum autem pedibus incederent per eam viam quæ ab Hierusalem fert in Jericho, et jam ab ipsis videretur monasterium, cernens pauper Cyriacum totum perjurio deditum, et velut in summa lingua habentem jusjurandum, timore affectus, perinde ac si ipse juraturus fuisset, aut pejeraturus : Age, inquit, frater, revertamur. Sufficit enim ad fidem vel sola ad juramentum propensio, nec quidquam amplius oportet adjicere. His ille dictis, rogabat eum ne juraret. Contra is non sustinebat; sed nisi etiam perjurium re ipsa perficeret, se magis quasi rem absurdam facere putabat. Postquam ergo ingressus est monasterium, graveque illud adversus reliquiarum thecam perpetravit, et perjurium perduxit ad finem : *Insipiens* ille, ut vere erat, *dixit in corde : Non est Deus*[47]; seu potius ipse Dei oblitus, existimabat fore ut eum quoque lateret.

A προῃρημένου, ὁ πένης κατὰ τῆς τοῦ λειψάνου θήκης· τοῦ μεγάλου δηλαδὴ Εὐθυμίου, τὸν ὅρκον ἀπῄτει. Καί τις αὐτοῖς ἡμέρα ἤδη ἀφώριστο, καὶ ὀμούμενος κατ' αὐτὴν ἐκείνην ὁ Κυριακὸς, ἢ μᾶλλον ἐπιορκήσων, κατῄει μετὰ τοῦ πένητος πρὸς τὸ μοναστήριον. Ἐπεὶ δὲ τὴν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ φέρουσαν ἐν ποσὶν εἶχον, ἤδη δὲ αὐτοῖς καὶ τὸ μοναστήριον ἑωρᾶτο, ἰδὼν τὸν Κυριακὸν ὁ πένης ἔκδοτον ὅλον τῇ ἐπιορκίᾳ γεγενημένον [i], καὶ ὥσπερ ἐπ' ἄκρας γλώττης τὸν ὅρκον ἔχοντα, καὶ δείσας καθάπερ ὀμεῖσθαι μέλλων ἢ ἐπιορκήσειν αὐτὸς, Ἄγε δῆτα, φησὶν, ἀναστρέψωμεν, ἀδελφέ. Ἱκανὴ γὰρ εἰς [j] πίστιν καὶ αὐτὴ μόνον ἡ πρὸς τὸν ὅρκον ὁρμὴ, καὶ πλεῖον οὐδὲν δεῖ προστιθέναι. Ταῦτα ὁ μὲν εἰπὼν, ἐδεῖτο αὐτοῦ μὴ ὀμνύναι. Ὁ δὲ οὐκ ἠνείχετο· ἀλλ' εἰ μὴ καὶ τὴν B ἐπιορκίαν ἔργῳ τελέσειεν, ὡς ἄτοπα μᾶλλον ἐνόμιζε δρᾷν. Ὡς οὖν εἰσῆλθε τὸ μοναστήριον, καὶ τὸ δεινὸν ἐκεῖνο κατὰ τῆς τοῦ λειψάνου θήκης ἐτόλμησε, καὶ τὴν ἐπιορκίαν εἰς πέρας ἤγαγεν· ὁ μὲν ἄφρων ὡς ἀληθῶς ὢν, εἶπεν ἐν καρδίᾳ, Οὐκ ἔστι Θεός· μᾶλλον δὲ λήθην αὐτὸς λαβὼν τοῦ Θεοῦ, λήσειν ἐνόμιζε καὶ αὐτόν.

CLVI. Et domum quidem tunc est reversus, tanquam commoda fortuna, lucro per perjurium facto, stulte lætus. Postridie autem ipse quidem in lecto jacebat jam vigilans circa mediam noctem: ei vero videbatur, ostio domus sponte aperto, accedere senex quidam monachus cum quinque junioribus, manu dextera virgam tenens, et multa luce domum collustrans, eumque terribili aspectu intuens, austera voce dicere : Quidnam ergo, o stolide, ausus es in capsam Euthymii? Eum autem, ore obstrictum, nihilque invenire valentem pro excusatione, sed instar muti lingua præpeditum, statim tradidisse iis qui circa se erant et jussisse puniri: deinde cum quatuor eum distendissent, quinto virgam in manum tradidisse, et mandasse ut valide verberaret; ne esset Dei contemptor, nec perjurus, nec fraudator alienorum. Ubi vero visus est accepisse satis plagarum, repressa manu adolescentis, eum apprehendit capillis, et ait: Num nosti, impie, esse Deum, qui talia in terra judicet? Ecce utique hac nocte animam tuam repetunt a te; quæ vero improbe abstulisti, cujus erunt[48]? Ideo autem tibi et hoc intulit supplicium, ut ex eo alii evadant meliores, et perjurii periculum fugiant, seu potius ipsum omnino juramentum, etsi vera sint dicturi.

ΡΝϚʹ. Καὶ οἴκαδε μὲν τηνικαῦτα ἐπανῆκε, καθάπερ ἑρμαίῳ τινὶ τὸ ἐκ τῆς ἐπιορκίας κέρδει ἀνοήτως ἡδόμενος. Τῆς δὲ ὑστεραίας, ὁ μὲν ἐπὶ τῆς κλίνης περὶ μέσας νύκτας ἤδη γρηγορῶν ἔκειτο. Ἐδόκει δὲ αὐτῷ τῆς κατὰ τὸν οἶκον πύλης αὐτομάτως διανοιγείσης, γέροντά τινα μοναχὸν ὑπὸ νεωτέροις πέντε παραβάλλειν· τῇ μὲν δεξιᾷ ῥάβδον ἔχοντα· C φωτὶ δὲ τὴν οἰκίαν πολλῷ καταλάμποντα. Καὶ βλοσυρῷ πρὸς αὐτὸν βλέμματι, καὶ αὐστηρᾷ τῇ φωνῇ, Τί ποτε ἄρα, φάναι, μάταιε, κατὰ τῆς Εὐθυμίου θήκης τετόλμηκας; τὸν δὲ φιμωθέντα ὅλως καὶ μηδὲν εὑρεῖν εἰς ἀπολογίαν δυνάμενον, ἀλλὰ κωφῷ παραπλησίως τὴν γλῶτταν πεπεδημένον, ἐκδοῦναι τοῖς περὶ αὐτὸν εὐθέως ἐγκελευσάμενον τιμωρεῖσθαι· εἶτα τῶν τεσσάρων διατεινάντων αὐτὸν, τῷ πέμπτῳ ἐγχειρίσαι τὴν ῥάβδον, καὶ τύπτειν ἐπισκῆψαι σφοδρῶς· ὡς ἂν μὴ καταφρονητὴς Θεοῦ, μηδὲ ἐπίορκος, μηδὲ ἀποστερητὴς εἴη τῶν ἀλλοτρίων. Ἐπεὶ δὲ ἱκανῶς τῶν πληγῶν ἔχειν ἐδόκει, στήσας τὴν χεῖρα τῷ νεανίσκῳ, ἅπτεται αὐτοῦ τῶν τριχῶν, καί φησιν· Ἤπου ἔγνως, ἀνόσιε, ὡς ἄρα ἔστι Θεὸς, τὰ τοιαῦτα κρίνων ἐν γῇ; ἰδοὺ δὲ ταύτῃ τῇ νυκτὶ τὴν D ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ κακῶς ἀπεστέρησας, τίνι ἔσται; διὰ τοῦτο δέ σοι καὶ τὴν τιμωρίαν ἐπήγαγε ταύτην, ὡς ἂν ἕτεροι βελτίους ἀπ' αὐτῆς γένοιντο· καὶ τὸν [k] τῆς ἐπιορκίας κίνδυνον, μᾶλλον δὲ καὶ αὐτὸ τὸ ὀμνύειν ὅλως, κἂν ἀληθεύειν μέλλωσι, διαφεύγωσι.

CLVII. Hæc ille cum Cyriaco minatus esset ac dixisset, statim cum comitibus suis recessit. Ipse vero, visione conturbatus, et alioqui ferre non valens dolores plagarum, voce usus est acutiore, vocavitque eos qui prope erant; tum plagas ostendit, et perjurium fervide confessus est, suamque apud eos

ΡΝΖʹ. Ταῦτα ὁ μὲν ἀπειλήσας τῷ Κυριακῷ καὶ εἰπὼν, μετὰ τῶν περὶ αὐτὸν εὐθὺς ᾤχετο. Αὐτὸς δὲ πρός τε τὴν ὄψιν διαταραχθεὶς, ἄλλως τε δὲ καὶ τὰς ἐκ τῶν πληγῶν ὀδύνας φέρειν οὐκ ἔχων, ὀξυτέρᾳ ἐκέχρητο τῇ φωνῇ, καὶ τοὺς πλησίον ἐπεκαλεῖτο· τὰς πληγάς τε ὑποδείκνυ, καὶ τὴν ἐπιορκίαν θερμῶς

47 Psal. LII, 2. 48 Luc. XII, 20.

VARIÆ LECTIONES.

[i] al. γενόμενον [j] al. inser. ἡμῖν. [k] al. inser. ἐκ.

ἐξηγόρευε, καὶ τά τῆς συμφορᾶς αὐτοῖς ἀνεκλαίετο· A εἶτα καὶ κομισθῆναι ὑπ' αὐτῶν πρὸς τὴν τοῦ ἁγίου θήκην ἐδεῖτο· Τάχα, λέγων, ὁ τὰς ἀφορήτους ταύτας πληγὰς ἐπιθεὶς, ῥᾷον ἂν καὶ ἰάσαιτο, μαθητὴς ὢν ἐκείνου, τοῦ ἀγαθύνειν μᾶλλον ἢ κολάζειν φυσικῶς ἔχοντος· ἐπεὶ σχολῇ γ' ἂν πρὸς τηλικαύτας ὀδύνας ἰατρικαὶ τέχναι καὶ χεῖρες ἀρκέσειαν. Ἐκεῖνοι μέν τούτων ἀκηκοότες, ἔπειτα δὲ καὶ ὅπως ἦν βαρύτατα πεπληγὼς θεασάμενοι, καὶ δείσαντες οὐ μικρῶς καὶ αὐτοὶ, ὅμως πρὸς τὴν ἐπιθυμίαν τοῦ ἀνδρὸς εἴκοντες, σοφίζονται τὴν ἐκκομιδὴν οὕτως· Δύο σάκκους ἀχύρου πληροῦσαι, καὶ τούτους ὄνῳ τινὶ ἐκ τῶν πλαγίων εὖ ἀναθέμενοι, εἶτα μέσον αὐτὸν ἐπιτιθοῦσι. καὶ οὕτως εἰς τὸ μοναστήριον καὶ τὴν θήκην διακομίζουσιν. Οἳ καὶ τὰ κατ' αὐτὸν ἡμῖν πάντα διηγησάμενοι, καὶ τὰς κατὰ τῶν νώτων πληγὰς ὑποδείξαντες, B τοσοῦτον τοῖς ἀδελφοῖς ἐμβάλλουσι δέος, ὡς μηδένα ἐξ ἐκείνου, μήτε αὐτόν τινα κατὰ τῆς τοῦ ἁγίου θήκης ὀμνύειν ἐᾷν, μήτε ὅρκον, τό γε εἰς αὐτοὺς ἧκον, ἑτέρῳ ἐπάγειν.

ΡΝΗ'. Ἐκεῖνοι μέντοι παρ' ὧμεν τηνικαῦτα διημερεύσαντες, ὡς ἑώρων τὸν Κυριακὸν καὶ αὐτὰς τὰς ἀσθενεῖς καὶ λεπτὰς ἐλπίδας τῆς ζωῆς ἀφαιρούμενον, καὶ πρὸς θάνατον ἀφορῶντα· τῆς γαστρὸς αὐτῷ διαῤῥυείσης, καὶ τοῦ στόματος μηδὲ μικρὸν ἐπισχεῖν δυναμένου τὸν ἔμετον· ἀναιροῦνται αὐτὸν, καὶ οἴκαδε πάλιν ἀνακομίζουσιν. Ὁ δὲ τὴν νύκτα μόλις διαζήσας ἐκείνην, εἰς τὴν ἑξῆς ἐτελεύτησεν.

ΡΝΘ'. Κατ' ἐκεῖνο δὲ καιροῦ καὶ ξενικός τις ἕτερος ἀποδημητὴς, ἐπιξενωθεὶς τῷ μοναστηρίῳ, καὶ παραβαλὼν χάριν προσευχῆς τῷ ναῷ, τά τε ἐν C αὐτῷ πάντα τεθεαμένος, μέσων νυκτῶν ἐπὶ τὸν τοῦ ἁγίου τάφον παραδὺς, τὴν ἐφεστηκυῖαν αὐτῷ χώνην ἀργυρᾶν οὖσαν, χερσὶν οὐκ ἀνίπτοις, τὸ τοῦ λόγου, μόνον, ἀλλὰ καὶ βεβήλοις ἀτεχνῶς ὑφαιρεῖται, καὶ νυκτερινῇ ἐξόδῳ καὶ ἀθεάτῳ κλέπτει τὴν ἀνταχώρησιν. Τῶν μὲν οὖν ἐν τῷ μοναστηρίῳ πάντων, ἐφώρασε τὸν δόλον οὐδείς· ἀλλ' ἦν ἄδηλον αὐτοῖς τὸ γεγενημένον. Ἕωθεν δὲ ὁ τῷ πυλῶνι ἐφεστὼς Προκόπιος, ὃς καὶ μεγάλης ἔτυχε παρὰ τῷ ἁγίῳ πρότερον ἀπολαύσας τῆς θεραπείας, μικρὰ τῆς εἰσόδου προελθὼν, εὑρίσκει τὸν ξενικὸν (ὢ τοῦ θαύματος!) τρόπον τινὰ πρὸ τοῦ μοναστηρίου ἐστηλωμένον. Ἀμηχανῶν τοίνυν ἐκεῖνος, καὶ οὐκ ἔχων ὅ τι καὶ δράσειεν, ἐκκαλύπτει τῷ θυρωρῷ τὸ ἀπόῤῥητον[1]. Καὶ ὃς εἰσάγει μὲν αὐτὸν εἰς τὸ μοναστήριον· παρασκευάζει δὲ τὰ τοῦ θαύματος ὑπὸ πᾶσι μάρτυσι B τοῖς ἀδελφοῖς ἐξομολογεῖσθαι. Καί τι καινὸν καὶ ἄπιστον μικροῦ διηγεῖτο· Ἔλεγε γὰρ, ὡς ἀποσυλήσειε μὲν ἤδη περὶ μέσας νύκτας τὴν ἀργυρᾶν ἐκείνην τοῦ λειψάνου χώνην· εὐθὺς δὲ τοῖς τοῦ μοναστηρίου συνεξέλθοι ἀλόγοις· καὶ ὁδεύσειε μὲν τὸ ἑξῆς τῆς νυκτὸς, ἄγαν εὐψύχῳ καὶ ὀξεῖ τῷ ποδὶ, σταδίοις οὐκ ἔλαττον ἢ τριάκοντα· τὰ ὅρια δὲ τῆς μονῆς οὐδαμῶς

deflevit calamitatem. Deinde rogavit ut eum ferrent ad sancti capsam, dicens : Forte is qui inflixit has intolerabiles plagas, facilius et curaverit, cum sit illius discipulus, cui est innatum benefacere potius quam punire : quandoquidem vix ad tales dolores suffecerint medicæ artes atque manus. Quibus illi auditis, postea vero et intuiti quam gravissime vapulasset ipsique etiam non mediocriter territi, cæterum cedentes viri desiderio, ejusmodi excogitant exportationem ; implent duos saccos palea, cumque eos asino ex transverso recte imposuissent, eum deinde ponunt medium, sicque ad monasterium et ad capsam deferunt. Qui cum omnia quæ ei evenerant, nobis narrassent, et quas in tergo acceperat plagas ostendissent, tantum fratribus metum immittunt, ut nullum exhinc, neque per sancti thecam jurare sinerent, neque quantum in eis esset, alii jusjurandum deferre.

CLVIII. Porro illi ubi tunc apud nos diem transegissent, ut viderunt Cyriacum vel tenui et imbecilla spe vitæ esse privatum, et ad mortem spectare ; quod venter ei defluxisset, et os ne tantillum quidem posset vomitum reprimere ; cum tollunt, domumque rursus referunt. Is vero cum illa vix nocte vixisset, mortuus est postridie.

CLIX. Illo autem tempore externus quoque quidam alius peregrinus, in monasterio hospitio acceptus, et precandi gratia in templum profectus, cum quæ in eo erant omnia contemplatus esset, media nocte sepulcrum sancti subiit, urnamque argenteam (94) illi impositam, manibus non illotis solum, ut dicitur, sed etiam profanis plane, aufert, et nocturno nec spectato exitu secessum occultat. Igitur ex omnibus qui erant in monasterio, nullus dolum deprehendit ; sed iis facinus erat ignotum. Mane vero januæ præpositus Procopius, qui etiam prius magnam a sancto consecutus fuerat curationem, ab aditu parum progressus, invenit externum illum, (o miraculum !) modo quodam columnæ instar affixum e regione monasterii. Ille ergo perplexus hærens, nec habens quid ageret, arcanum aperit janitori. Qui quidem eum introducit in monasterium ; efficit vero ut miraculum sub testimonio omnium fratrum fateretur. Remque novam et prope incredibilem narrabat. Aiebat enim, quod jam circa mediam noctem, argenteam illam capsæ urnam surripuisset; statimque cum bestiis monasterii egressus esset; tum noctis reliquum viam esset ingressus prompto admodum et celeri pede, non minus quam triginta stadia ; nec tamen fines monasterii ulla-

VARIÆ LECTIONES.

[1] al. ἀπόκρυφον.

JOAN. BOLLANDI NOTÆ.

(94) Χώνη infundibulum, ampulla videtur intelligi, aut simile vasculum sacrificio destinatum.

tenus transiisset; sed diluculo ante ipsum inventus A fuisset tamquam vinctus, quique ne minimum quidem posset moveri. Furem enim veluti ligabat res furto ablata, faciebatque ut maneret eos qui furtum passi fuerant. Propter hæc nos omnes stupor invasit, et sanctum ob magnam hanc virtutem mirati sumus. Quare sacra urna accepta, et viro (pauper enim erat) largitri quod satis esset viatici adsumptus, dimisimus eum domum discedere.

CLX Hæc sunt magni Patris Euthymii pauca de multis, quæ ipsi vidimus, et quæ auditione accepimus; ut nec viri vita quam egit in carne, nec quæ post mortem edita sunt ah eo miracula, ignota sint posteris. Quandoquidem et utraque inter se conveniunt, et bene admodum simul cohærent. Neque enim alterius sint talia post mor- B tem acta, nisi ejus solius qui ejusmodi vitam ostenderit super terram; neque alius talem vitam egisset, nisi is qui post mortem istiusmodi claruit miraculis. Ego quippe, qui ipse etiam sum ab eo multas consecutus gratias, sæpeque tum corpore tum anima adjutus, cum viderem ejus thecam assidue multis scatere miraculis, mirabar semper apud me, et cogitabam quo modo ad Deum tantam assecutus sit fiduciam. Atque animum meum incitabat quoddam desiderium, ut accurate scirem, quænam exstitisset hominis vita, et qualis ad virtutem exercitatio, et undenam tanta ei cum Deo familiaritas et conjunctio.

CLXI. Itaque cum incidissem in multos ex hu- C jus eremi Patribus, qui partim recte audierant res Euthymii, partim et cum ipso beato Saba conversati fuerant; quæcumque eorum unusquisque mihi de utrovis illorum narravit, omnia quidem accurate conscripsi, attamen confuse et inordinate. Tempore vero consequente (95), œcumenica sancta quinta synodo Constantinopoli congregata, et per eam Origenis (96) Nestoriique dogmatibus anathemate percussis, cumque qui novam lauram (97) tenuerant Origenistæ (98), illinc essent expulsi, rursusque in eam migrassent fideles et orthodoxi Patres, ego permissu admirabilis solitarii Joannis, episcopi (99), inquam, discedo a cœnobio, et ipse etiam versor in hac laura. Porro postquam ad eam transissem, D paternas litteras secutus, quæ hortabantur me, ut componerem historiam beatorum Euthymii et Sabæ, duos quidem annos deinceps continuos quievi in laura, et operi conscribendo incubui.

CLXII. Cum autem orationis principium facere

παρελθεῖν· ἀλλ' ἅμα φωτὶ πρὸ αὐτῆς εὑρεθῆναι οἷα πεπεδημένον, καὶ μηδὲ κινεῖσθαι μηδὲ βραχὺ δυνάμενον. Ἐδέσμει γὰρ ὥσπερ τὸν κλέψαντα τὸ κλαπὲν, καὶ περιμένειν ἐποιεῖ τοὺς τὴν κλοπὴν ὑπομείναντας. Ἔκπληξις κατέσχεν ἐπὶ τούτοις πάντας ἡμᾶς, καὶ τὸν ὅσιον τῆς πολλῆς ταύτης δυνάμεως ἐθαυμάσαμεν. Τὴν οὖν ἱερὰν χώνην λαβόντες, καὶ τὸν ἄνδρα (πένης γὰρ ἦν) δαπάναις ἱκανώσαντες ἐνοδίοις, οἴκαδε μεθήκαμεν ἀπελθεῖν.

ΡΞ'. Ταῦτα τοῦ Εὐθυμίου τοῦ μεγάλου Πατρὸς ἐκ πολλῶν ὀλίγα, ὧν τε αὐτοὶ εἴδομεν, καὶ ὧν ἀκοῇ παρειλήφαμεν· ὡς μήτε τὴν ἐν σαρκὶ τοῦ ἀνδρὸς πολιτείαν, μήτε τὰ μετὰ τελευτὴν ὑπ' αὐτοῦ θαυματουργηθέντα, τοῖς μεθ' ἡμᾶς ἄγνωστα εἶναι. Ἐπεὶ καὶ συμβαίνει ἀλλήλοις ἑκάτερα, καὶ ἀλλήλων B ἔχεται λίαν ἡδέως. Οὔτε γὰρ ἑτέρου τοιαῦτα τὰ μετὰ τελευτὴν, ὅτι μὴ μόνου τοῦ καὶ πολιτείαν τοιαύτην ἐπὶ γῆς ἐπιδειξαμένου· οὔτε βίον μετελθεῖν τοιοῦτον ἕτερος, ὅτι [m] μόνος ὁ τοιοῖσδε καὶ μετὰ τελευτὴν κομῶν θαύμασιν. Ἐγὼ γὰρ πολλῶν μὲν ἐκείνου καὶ αὐτὸς ἀπολαύσας χαρίτων, καὶ σῶμα πολλάκις ὑπ' αὐτοῦ καὶ ψυχὴν εὖ πεπονθὼς, πολλαῖς δὲ καὶ τὴν αὐτοῦ θήκην βρύουσαν ἑκάστοτε θαυματουργίαις ὁρῶν, ἐθαύμαζόν τε ἀεὶ κατ' ἐμαυτὸν, καὶ ὅπως ἄρα τηλικαύτης ἔτυχε παρὰ Θεῷ τῆς παρρησίας, διενοούμην. Καὶ μού τις ἐπιθυμία τὴν ψυχὴν ὑπηρέθιζεν, ὥστε μαθεῖν ἀκριβῶς, τις ὁ τοῦ ἀνδρὸς βίος, καὶ ποία πρὸς ἀρετὴν ἡ ἄσκησις, καὶ ὅθεν ἡ τοσαύτη νεῦσις αὐτῷ πρὸς τὸν Θεὸν καὶ οἰκείωσις.

ΡΞΑ'. Πολλοῖς μὲν οὖν τῶν κατὰ τὴν ἔρημον C ταύτην Πατέρων ἐπιτυχὼν, τοῖς μὲν ἀσφαλῶς τὰ Εὐθυμίου ἀκηκοόσι, τοῖς δὲ καὶ αὐτῷ τῷ μακαρίτῃ Σάβᾳ συγγεγονόσιν· ὅσα μοι τούτων ἕκαστος περὶ ὁποτέρου ἂν ἀμφοῖν διηγήσατο, πάντα μὲν ἀνεγραψάμην σὺν ἀκριβείᾳ, συγκεχυμένως δ' οὖν ὅμως καὶ ἀσυντάκτως. Χρόνῳ δὲ ὕστερον, τῆς οἰκουμενικῆς ἁγίας πέμπτης συνόδου ἐν Κωνσταντινουπόλει συγκροτηθείσης, καὶ τῶν Ὠριγένους καὶ Νεστορίου δογμάτων ὑπ' αὐτῆς ἀναθεματισθέντων, τῶν τε κατασχόντων τὴν νέαν λαύραν Ὠριγενειαστῶν [n] ἐκεῖθεν ἀπελαθέντων, καὶ πιστῶν εἰς αὐτὴν Πατέρων καὶ ὀρθοδόξων αὖθις μετοικισάντων [o] · ἐπιτραπέν μοι παρὰ τοῦ θαυμαστοῦ ἡσυχαστοῦ Ἰωάννου, τοῦ ἐπισκόπου, φημὶ, ἀπαίρω τοῦ κοινοβίου, καὶ τῇδε D τῇ λαύρᾳ καὶ αὐτὸς γίνομαι. Διαβάντι δέ μοι πρὸς αὐτὴν, γράμμασι Πατρικοῖς ἀνατάξασθαι τὴν περὶ Εὐθυμίου τε καὶ Σάβα τῶν μακαρίων ἱστορίαν προτρεπομένοις με κατακολουθήσας, δύο μὲν τὸ ἑξῆς διετέλεσα χρόνους ἡσυχάζων ἐν τῇ λαύρᾳ καὶ προσκείμενος τῷ συντάγματι.

ΡΞΒ'. Ἀρχὴν δὲ τοῦ λόγου μὴ ἔχων ποιήσασθαι

VARIÆ LECTIONES.

[m] al. inser. μή. [n] al. Ὠριγενιαστῶν. [o] al. μετοικησάντων.

JOAN. BOLLANDI NOTÆ.

(95) An. Ch. 553. Vide Prolegomena.

(96) De ea damnatione plura idem in Vita S. Sabæ

(97) De laura nova exstructa, ejusque primis hegumenis agit pluribus Cyrillus in Vita S. Sabæ.

(98) De his idem Cyrillus in Vita S. Sabæ.

(99) Episcopatum Coloniensem in Armenia reliquerat.

οἷον μηδὲ παιδείᾳ τῇ θύραθεν ἐντριβὴς ὤν), οὐκ ἀνίην δακρύων, καὶ δεήσει θερμοτάτῃ καὶ προσευχῇ χρώμενος. Ἤδη δέ τις καὶ ἔννοιά με εἰσῄει, ἀποσχέσθαι τοῦ ἐγχειρήματος, ἐργώδους οὕτω καὶ μείζονος ὄνος ἢ καθ' ἡμᾶς. Ποτὲ γοῦν οὕτως ἀμηχανοῦντα, καὶ τῇ συνήθει προσκαθεζόμενον καθέδρᾳ, τοὺς χάρτας τε διὰ χειρὸς ἔχοντα, καὶ ἀλύοντα, περίπου δευτέραν τῆς ἡμέρας ὥραν, ὕπνος αἱρεῖ. Καὶ παραχρῆμα ὅ τε μέγας Εὐθύμιος καὶ Σάβας ὁ θεῖος ἐπιφαίνονταί μοι, τὰ συνήθη ἐνδεδυμένοι. Ἀκούειν τε διαλεγομένων αὐτῶν ἐδόκουν· Σάβα τοῦ σεβασμίου, πρῶτον ἄρξαντος ὁμιλίας· καὶ ἰδοὺ πρὸς τὸν μέγαν Εὐθύμιον, ὁ Κύριλλός σου, εἰρηκότος, τοὺς χάρτας μὲν διὰ χειρὸς ἔχει τοὺς τῶν ὑπομνημάτων, σπουδῇ δὲ καὶ πόνον ὅσον εἰσενεγκὼν, οὔπω οὐδὲ τὴν ἀρχὴν ἐπιθεῖναι τῷ λόγῳ ἴσχυσεν. Τοῦ δὲ, καὶ πῶς ἂν ἀδυνατὸς εἴη ταῦτα ποιεῖν, πάλιν [p] εἰπόντος, μὴ τῆς ἄνωθεν αὐτῇ χάριτος συνεφαψαμένης, ὁ θεῖος Σάβας, Ἀλλὰ σὺ δὸς αὐτῷ τὴν χάριν, ἄγε Πάτερ, ὑπολαβὼν ἔφη. Καὶ ἅμα ὁ θεῖος Εὐθύμιος ἐπινεύσαντι ἐοικὼς, καὶ τὴν χεῖρα εἰς τὸν κόλπον καθεὶς, ἀλάβαστρόν τι μέλιτος ἀργυροῦν ἐκεῖθεν ἀναλαμβάνει· ᾧπερ μήλην ἐμβάψας, ἐνῆκέ μου τοὶς εἰς τὸ στόμα. Τοῦ δὲ ἄρα τὸ μὲν εἶδος, ἐλαίῳ ἐῴκει· ἡ γεῦσις δὲ (ὢ τῶν ἐκεῖθεν χαρίτων!) ἄῤῥητός τις ἀληθῶς καὶ ἀπόῤῥητος· καὶ τῷ μέλιτι ὅλως παραβληθῆναι ταύτην, ὕβρις ἀτεχνῶς τοῦ πράγματος. Ἐπεὶ καὶ διυπνισθέντι μοι, τῷ ἀφάτῳ τῆς ἡδονῆς, ἔτι λείψανα τῆσδε τῷ στόματι περιμεῖναι· καὶ οὕτω περίπλεω τῆς θεσπεσίας ταύτης ἡδύτητος ὄντα, τοῦ παρόντος ἄρξασθαί με συντάγματος· ἐπειγόμενον ὡς οἷόν τε καὶ τὰ κατὰ τὸν ἄριστον Σάβαν, ἐν ἄλλῳ συντάγματι διελθεῖν. Εἴη δὲ ταῖς αὐτῶν πρεσβείαις, ἐπὶ πολλῷ χρησίμῳ τῶν ἀκουόντων, καὶ ὠφελείᾳ· εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, τῆς μιᾶς καὶ ἀχωρίστου Τριάδος· ᾗ πρέπει δόξα, τιμὴ καὶ προσκύνησις, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A non possem, ut qui non sim in externa versatus eruditione, non cessabam lacrymari, utique precibus et orationibus ardentissimis. Jam vero et me ejusmodi subierat cogitatio, desistere a cœpto adeo difficili, et vires nostras excedente. Aliquando igitur me ita perplexum, et in solita cathedra sedentem, habentemque chartas in manu, et cum mœrore cogitabundum, somnus opprimit, circa secundam horam diei. Et statim magnus Euthymius divinusque Sabas mihi apparent (99*), vestiti ita ut consueverant. Atque mihi videbar audire eos disserentes, venerando Saba primo incipiente sermonem, ac dicente ad magnum Euthymium : Ecce Cyrillus tuus, manu quidem tenet chartam commentariorum ; sed magno adhibito studio et B labore, nundum potuit orationi ne principium quidem imponere. Cumque ille respondisset : Et quo modo hæc potuerit facere, si non eum superna adjuverit gratia ? Divinus Sabas : Sed tu ei da gratiam, sancte Pater, excipiens inquit. Atque simul divinus Euthymius annuenti similis, manuque in sinum immissa, argentum quemdam mellis alabastrum illinc sumit ; in quo cum specillum intinxisset, ter meum in os immisit. Illius autem species quidem erat similis oleo ; gustus vero (o quæ illinc sunt gratiæ !) revera explicari et verbis exprimi non potest ; eumque omnino cum melle conferre, ingens esset rei contumelia. Unde mihi expergefacto, propter ineffabilem voluptatem, ejus adhuc in ore remanserunt reliquiæ : sicque expletus divina hac suavitate, præsens opus inchoavi; C etiam impulsus properansque ad scribenda pro viribus in alio opere gesta præstantissimi Sabæ. Sit porro ea res illorum intercessionibus ad magnam audientium utilitatem ; in gloriam Patris, et Filii, et Spiritus sancti, unius et inseparabilis Trinitatis ; quam decet gloria, honor et adoratio, nunc et semper et in sæcula sæculorum. Amen.

VARIÆ LECTIONES.

p al. μᾶλλον.

JOAN. BOLLANDI NOTÆ.

(99*) Circa an. Cur. 555.

ΑΘΛΗΣΙΣ

ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ ΤΟΥ ΧΡΙΣΤΟΥ

ΒΙΚΕΝΤΙΟΥ

CERTAMEN

SANCTI ET INCLYTI MARTYRIS CHRISTI

VINCENTII

(Anno 300, 22 Januarii.)

[Græce nunc primum prodit ex codice ms. Regio bibl. maximæ Paris., n. 1519, sæculi XI ; Latine apud Surium. EDIT. PATR.]

I. Victoriam quam sanctissimus martyr Vincentius de hoste reportavit, maxime probatam fuisse ex hoc ipso intelligi potest, quod bonorum rerum inimicus diabolus eorum certaminum quæ martyr ille sustinuit ac perpessus est, venerandam memoriam silentio interim obruendam curavit. Sed nos ordine singulas res, ut gestæ sunt, in apertum proferemus, certissimamque earum rerum fidem sequentes, inviolatam martyris confessionem, et tolerantem constantiam, usque ad extremum spiritum servatam simulque incredibilem judicis immanitatem narrabimus.

II. Is cum Christianorum vastationem, ut quivis alius, sitiret, in Hispaniam profectus est, ut illius provinciæ administrationem gereret, quæ a Romanis imperatoribus commissa ei fuerat Erat judex ille Græcus, scelere, furore et diaboli perversitate arteque compositus et malitiæ illius minister valde idoneus : vocabatur autem Datianus. Cum igitur ad ejus regionis urbem omnium primam venisset, cui nomen erat Augusta, tanquam lupus quidam vorandi sanguinis multum appetens, simplicissimas Christi oves adortus est. Nam etsi earum sinceritas, constantia et firmitas Christianæ fidei testimonium præberet, ab illis tamen furorem suum non temperabat : sed cum esset sacrilegus, et Græcæ superstitionis amantissimus, summam in Christianos acerbitatem exercebat. Itaque, cum magistratum iniisset, se omnia ex animi sententia consecuturum arbitrabatur, si furoris et insaniæ, quæ illum exagitabat, manifesta indicia ostenderet : nefariæ enim crudelitatis et novi furoris rabie accendebatur. Quamobrem sui spiritus fœditamen ac vehementiam, quam primum potuit, effundere cœpit, episcopos ac omnes clericos, ac viros sanctos iniqua diaboli tentatione invadens : quanquam potius factum id fuit, ut qui probati essent, manifesti fierent.

A Α'. Ἱκανὸν καὶ τοῦτο δοκιμῆς τῷ ἁγιωτάτῳ μάρτυρι Βικεντίῳ εἰς τὴν κατὰ τοῦ ἐχθροῦ μεγίστην νίκην, τὸ τὴν μνήμην τῶν ἀγώνων αὐτοῦ καὶ τοῦ πάθους τὸ ἀοίδιμον ἐθελῆσαι τὸν μισόκαλον τῇ σιωπῇ ταμιεύσασθαι. Ἀλλ' ἡμεῖς γοῦν εἰς τὸ ἐμφανὲς ἕκαστα κατὰ τάξιν ἐκδώσομεν συμπληρεστάτῃ πίστει τὰ δίκαια τῶν πραχθέντων τὴν ἀκήρατον ὁμολογίαν φημὶ δὴ, καὶ τὴν ἀκλινῆ καρτερίαν τοῦ μάρτυρος μέχρι τῆς τελευταίας ἀναπνοῆς, καὶ τὴν ἄφανον ὠμότητα τοῦ δικαστοῦ.

Β'. Διψῶν γὰρ οὗτος, εἴ καί τις ἄλλος, τὴν τῶν Χριστιανῶν λύμην, ἐπέβη τῆς Ἱσπανίας τὴν ἡγεμονίαν δεξάμενος παρὰ τῶν τηνικαῦτα Ῥωμαίων B διεπόντων βασιλείαν· Ἕλλην τις ὢν μιαρὸς, καὶ μανίας ἀνάπλεως, καὶ πάσης τῆς τοῦ διαβόλου δυσπραγίας κεκροτημένον ὄργανον ὑπάρχων· Δατιανὸς οὗτος ἐπικέκλητο τοὔνομα. Ἡνίκα δὲ τῇ τῶν ἐκεῖσε πρώτῃ πόλεων ἐπέβη, Ἀγουστίᾳ φημὶ καλουμένῃ, ὡς τῶν πάντων ἡ ἀκεραιότης, καὶ τὸ τῆς ἀληθείας βέβαιον μαρτυρεῖ, τῆς μανίας οὐκ ἠρέμει, Ἀλλ' Ἱερόσυλός τις, ὡς ἔγην, καὶ λίον ἑλληνικώτατος ὑπάρχων ἐχαλέπαινε ὑπερβαλλόντως κατὰ τῶν Χριστιανῶν καὶ τῶν εὐκταίων ᾤετο κατὰ τάξιν ἀπολαύειν τῆς ἀρχῆς ἐπειλημμένος, εἰ τῆς ἐκβακχευούσης αὐτὸ μανίας ἐπιδείξεται τὸ πρόχειρον. Ἀθεμίτου γὰρ ὠμότητος καὶ ξένης λύμης ἐνυλακτοῦσα τις αὐτῷ λύσσα προσέπνευσε, καὶ θᾶττον τοῦ δέοντος ἠπείγετο τῇ μικρότητι τοῦ οἰκείου πνεύματος, ἐπισκόπους τε C καὶ τοὺς ὑπὸ κλῆρον, καὶ πάντα ἁπλῶς ἅγιον συναρπάζει, πειρασμῷ τινι διαβολικῷ, μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς λέγειν, ἵνα τῷ Θεῷ δόκιμοι ἀναδειχθῶσι.

Γ'. Παραχρῆμα δὲ τούτων οὕτως ἐχόντων, ὁ τῶν A ἐκεῖσε ἁγιώτατος ἐπίσκοπος, Οὐαλέριος τοὔνομα, ἀνὴρ ἐπίδοξος, καὶ ἅμα τούτῳ ὁ τρὶς μακάριος Βικέντιος ὁ καὶ μάρτυς ἔτι τῇ τῶν Λευϊτῶν διαπρέπων εὐταξίᾳ, σὺν πολλῇ τῇ ῥύμῃ κατέδραμον ἐπὶ τοὺς ἀθανάτους καὶ ἀοιδίμους ἀγῶνας. Ὀλέθριος γὰρ ἦν, ὡς πολλοῖς ἐδόκει, ὁ πειρασμὸς, ἀλλὰ μὴ τοῖς θεοφιλέσι· διεπίστευον γὰρ ἑαυτοὺς καὶ μάλα μακαρίους ἔσεσθαι ἐν αὐτῷ, φημὶ τῷ προκειμένῳ ἀγῶνι, εἴπερ ἀξίαις ἀνδραγαθίαις τὸ ὑπὲρ τῆς οἰκείας καθιερώσεως ἀναδήσονται στέφανον. Ἀλλὰ γὰρ ὁ τεχνοποιὸς καὶ πολύμορφος τὴν γνώμην, οἰόμενος τῇ ἐξοδοιπορίας ὕβρει τε καὶ συντριβῇ μᾶλλον τούτους ἑαυτῷ ῥᾷστω πειθήσεσθαι, εἰς τὴν πόλιν Βαλεντινίαν, ὥς φασιν, ἥτις ὑπάρχει μία τῆς ἐπαρχίας, σὺν πολλῇ τῇ ὕβρει ἐκέλευσε τοὺς ἁγίους παραστῆναι καὶ πρόσ- B τάττει παραχρῆμα ἐν ὀχυρώματι τινι ζοφώδει τε καὶ δυσώδει τῆς φυλακῆς καθειρχθῆναι αὐτοὺς μετὰ μεγίστης τιμωρίας, φημὶ δὲ τῆς λιμοῦ ἐνδείας, καὶ πιεσμῷ τῷ ἐξαλύσεων καὶ στρέβλῃ, καὶ ὅπως κατὰ τοῦ αὐχένος καὶ τῶν χειρῶν βάρη τὰ ἐκ σιδήρου πεποιημένα φέροιεν, καὶ ἁπλῶς κατὰ παντὸς τοῦ σώματος ἤδη τὰς διὰ θανάτου αἰτίας ὑπομένοιεν. Ἀλλὰ γὰρ καὶ οὕτω σωρηδὸν ἐπιχεομένων αὐτοῖς τῶν κακῶν, κουφότατα πάντα οἱ ἅγιοι τῇ τῶν μελλόντων ἀμοιβῇ ὑπερέφερον.

III. Hæc cum ita se haberent, Vincentius in Levitarum ordine constitutus, sub Valerio episcopo, magnæ existimationis et modestiæ viro, animi alacritate multa erectus, ad celeberrima illa et salutaria certamina properabat. Ejusmodi autem tentatio multis quidem videbatur perniciosa, sed non viris Deum vere amantibus: quippe qui futurum sperabant, ut tali certamine proposito beati efficerentur, si quidem recte factis consecrati, fidei coronam assequerentur. Itaque artificiosus ille, et animo ac sententia multiplex Datianus, existimans fieri posse, ut Christiani homines, quos non poterat cruciatibus ad sententiam suam perducere, itineris longitudine et corporis ærumnis defatigati afflictique, ejus voluntati se subjicerent, mandavit sanctos viros Valerium episcopum, et Vincentium diaconum multis cum injuriis duci in unam quamdam illius provinciæ urbem, Valentiam nomine, quos statim jussit in carcere quodam obscuro et male olenti concludi, maximisque cruciatibus affligi, fame, inedia, et catenarum angustiis, et ferreis quibusdam ponderibus a collo ad manus usque protensis, toto (ut summatim dicam) eorum corpore mortiferis calamitatibus afflicto. Sed quamvis tot tantæque calamitates illorum corporibus adhiberentur, omnia tamen viri sanctissimi tormenta, ut res levissimas, perferebant, ad futura illa bona, quibus compensandi essent, animos erectos intentosque habentes.

Δ'. Ἡνίκα δὲ ὁ κακόφρων διέγνω τούτους ἀποκε- C καμηκέναι, καὶ σφόδρα τῷ ζυγῷ τῆς ὕβρεως βεβαρημένους, καὶ δεδιὼς μὴ τῇ προλήψει τοῦ αὐτῶν θανάτου ζημίαν ὑπενέγκῃ τῆς οἰκείας χαλεπότητος, ἀναιμωτὶ καὶ δίχα κατατομῆς μελῶν τῶν ἁγίων τοῦ ζῆν ἀπαγγελλόντων, ἐκέλευσεν αὐτοὺς τῆς φυλακῆς προάγεσθαι· ᾤετο γὰρ τῷ χρονίῳ ἀποκλεισμῷ τοῦ φωτὸς, καὶ τῆς κοινῆς τῶν ἀνθρώπων συναναστροφῆς, μήτε ἐν σώμασι, μήτε ἐν ψυχαῖς δύναμίν τινα λοιπὸν αὐτοῖς ὑπολειφθῆναι· τεθνήξεσθαι γὰρ αὐτοὺς πρὸ τῶν τιμωριῶν οὐκ ἠβούλετο. Ἐπειδὴ δὲ ἐγνώκει μήτε μετὰ θάνατον αὐτοὺς σπείσεσθαι, ὡς δὲ ἔστησαν πρὸ τοῦ βήματος οἱ ἅγιοι, τῆς εἱρκτῆς μετακληθέντες, εὐσταθέστερον τὸ σῶμα καὶ τὰς δυνάμεις, τήν τε εἰδέαν φαιδροτέραν ἢ πάλαι ὑπῆρχον κεκτημένοι, ἀπηνεώθη καταπλήξας ὁ τύραννος, καὶ τῇ C μανίᾳ τυφλώττων ἐξίστατο, τοὺς ὑπὸ Θεοῦ φρουρουμένους τῆς ῥώσεως ἐκπληττόμενος.

IV. Cum vero perversus ille et depravatæ mentis homo Datianus existimaret, eos viros defatigatione atque ærumnarum jugo nimium gravatos esse, ac vereretur, ne forte, si eorum res oblivisceretur, antea mortem illi obirent, quam ipse propriam in illorum sanguine fundendo, et membris lacerandis sævitiam exerceret, jussit illos educi e carcere. Opinabatur enim, eo quod diuturno carcere vexati, et a lumine communique hominum consuetudine remoti fuissent, nihil virium amplius reliquum habere. Nolebat autem illos mori, priusquam cruciatibus afflicti essent: quandoquidem futurum sperabat, ut multiplici ac diuturno cruciatu eos flecteret. Cum igitur viri illi sancti educti e carcere, ante tribunal judicis stetissent corporibus et viribus integriores, aspectuque ipso multo hilariores quam antea fuerant, Datianus præses amens factus, et stupore perculsus, atque insania excæcatus fuit, eorum videlicet, qui a Deo servati fuerant, robur et vires obstupescens.

Ε'. Καὶ πριόμενος ταῖς κακοποιίαις ὑπὸ τοῦ ἀκαθάρτου αὐτοῦ πνεύματος, οὐκ ἔφερε γὰρ τὴν ἧτταν κατὰ κράτος νικώμενος· Τί δή ποτε τούτου δαψιλεστέρᾳ τρυφῇ τῇ διὰ βρώσεως καὶ πόσεως χρησάμενος λιπάνας ἀνεκτήσω; φησὶ πρὸς τὸν φύλακα· εὐθέως δὲ καὶ δρακοντιαίᾳ τῇ φωνῇ ἐπισυρίζων, μετέφερε τὸν λόγον ἐπὶ τὸν ἁγιώτατον ἐπίσκοπον, καί φησιν· Τί λέγεις, ὦ Οὐαλέριε, ὁ ὀνόματι θρησκείας ἀνταίρων τοῖς κρατοῦσι καὶ βασιλεύουσιν; ᾤετο γὰρ ὁ ἀνόσιος ὅτιπερ εἰ τὴν κεφαλὴν, τὸν ἐπίσκοπον φημὶ, ὑποτέμνεσθαι δυνηθῇ, τῶν λοιπῶν μελῶν, οἱονεὶ τοῦ κλήρου καὶ τοῦ

V. Cum vero ab illis se vinci non pateretur, et ab impuri spiritus perversitate agitaretur, ad carceris custodem conversus: Curnam, inquit, cibo et potu homines istos recreasti? Cur ita pingues fieri curasti? Mox feroci quadam voce fremens, et orationem suam ad sanctissimum episcopum convertens, ait: Quidnam tu de teipso dicis, Valeri, qui per religionis speciem ac simulationem imperatoribus adversaris? Opinabatur enim impius ille, facile fieri posse ut, si caput ipsum, hoc est, episcopum, abscinderet, reliqua etiam membra, clerum vide-

licet et populum, facillime demoliretur. Sed benignissimus Deus, qui superbos homines ex alto et sublimi gradu in himum præcipites detrudit, et humiles infimo in loco jacentes in altum extollit, voluit superbum et nefarium illum hominem non ab episcopo, sed ab inferioris gradus illius cleri viro superari, ut se imbecillum esse cognosceret, neque quidquam se contra episcopum facere posse, quippe qui a levita longe inferiore tum ordine, tum dignitate, victus prostratrusque fuisset.

A λαοῦ εὐχερεστάτην καταστροφὴν ποιήσεται. Ἀλλὰ γὰρ ὁ ἐν ἅπασι Θεὸς φιλανθρωπότατος, ὁ τοὺς ὑπερηφάνους ἐξ ὕψους μετεώρου πρὸς κρημνοὺς καταῤῥήσσων, καὶ τοὺς ταπεινοὺς χαμᾶζε κειμένους εἰς ὕψος ἀνεγείρων, ἠβουλήθη τὸν ἀλάστορα τὴν ἧτταν ἀπενέγκασθαι ὑπὸ μικροτέρου τῷ κλήρῳ παρὰ τὸν ἐπίσκοπον, ὅπως αἴσθηται καὶ γνῷ τὴν οἰκείαν ἀσθένειαν, καὶ λογίσηται, τί ἂν πράττειν οἷός τε ἦν κατὰ τοῦ ἀρχιερέως, ὅτ' ἂν ὑπὸ λευΐτου νικηθεὶς ἀνατραφῇ, πολὺ τοῦ ἐπισκόπου ἀποδέοντος καὶ τάξει καὶ ἀξίᾳ.

VI. Etenim beatus martyr Vincentius sancto Spiritu plenus, excitatusque et victoriæ coronam jamjam comprehensam habens, dum episcopus Valerius quieto et sedato animo responderet, Vincentius sic eum allocutus est: Curnam, o Pater, ita susurras, ut qui metu detenti sunt, et contra canem istum sic mussitas? Clama voce magna, et Christi potentiam adjutricem implora, ut hujus tyranni rabies voce libera et cum auctoritate prolata refrenetur, et ejus contra sancta Christi mysteria ferocitas comprimatur. Hic enim ille est, o Pater, pestifer serpens, qui adversus hominis primo formati gloriam, quæ in omnes homines transitura erat, invidia excitatus se armavit. Nam cum ea gloria ipse frui non posset, statim insatiabili quadam perdendorum hominum cupiditate accensus est, et contra illos maxime invidiam exercuit, quos benignus Deus mori sempiterna morte prohibuit. Hic ille est, quem divini nominis invocatione sæpe ab humanis corporibus nos expulimus. Itaque si viribus suis confidit, omnes pugnæ machinas in me commoveat: videbit enim me tormentis cruciatum, plusquam se cruciantem, valere: et quo magis putabit me afflictum iri, eo gravius ipse affligetur. Quamobrem omnino gaudeo exsultoque, quod diabolus maximis de rebus convincendus sit.

ς'. Καὶ γὰρ ἐμφορούμενος ὑπὸ τοῦ ἁγίου Πνεύματος, καὶ τοῦ Στεφάνου τῆς νίκης ἤδη περιδραξάμενος ὁ ἁγιώτατος μάρτυς Βικέντιος, ἡσύχως ποιουμένου κατὰ τὸ νοούμενον τοῦ ἐπισκόπου τὴν ἀπό- B κρισιν, φησὶ πρὸς αὐτόν· Τί δήποτε οὕτως ὑποτρύζεις ὦ πάτερ; καὶ ὡς δεδιότες ἠρέμα ψιθυρίζεις κατὰ τοῦ κυνός; βόησον ἐν μεγίστῃ καὶ χριστοφόρῳ δυνάμει, ὅπως τῇ ἐξ αὐθεντείας φωνῇ τυφθεῖσα, συντριβῇ εὐθέως ἡ κατὰ τῶν ἁγίων τοῦ Θεοῦ μυστηρίων ὑλακτοῦσα λύσσα. Οὗτος ἐκεῖνός ἐστιν, ὦ πάτερ, ὁ ὀλοθρευτὴς ὄφις, ὁ κατὰ τῆς δόξης τοῦ πρωτοπλάστου, τῆς καὶ εἰς πάντας τοὺς ἀνθρώπους διαδραμούσης τῷ φθόνῳ καταταχείς. Ἐπειδὴ γὰρ μὴ ταύτης οὗτος ἀξιωθεὶς ἀπήλαυσεν εὐθέως ἀνθρωποκτονεῖν ἀκορέστως ἐμαίνετο, καὶ κατὰ τούτων μάλιστα τὸν φθόνον κατασκευάζεν, καθ' ὧν ὁ φιλάνθρωπος Θεὸς τὸ θανεῖν ἐκώλυσεν. Ὅμως καὶ αὐτὸς ἑτοίμως ὑποπίπτειν ἐπεθύμει τῷ θανάτῳ. Εἴγε οὓς ἐβούλετο πρότερον τῆς ζωῆς ἀφέλοιτο, τὴν δὲ γεῦσιν ἣν ἑτέροις C ὁ κακὸς ἐπεμηχανήσατο μιανθεὶς ταύτῃ, πρῶτος τῶν δεινῶν ἀπήλαυσεν. Οὗτός ἐστιν ὃν πολλάκις τῶν ἀνθρωπίνων ἐξεώσαμεν δωμάτων διὰ τῆς θείας ἐπικλήσεως, φημὶ δή, τῷ τοῦ Χριστοῦ ἀηττήτῳ ὀνόματι. Τοιγαροῦν εἰ πέποιθεν ἰσχύϊ, πρὸς μὲ τὰ τῆς μάχης αὐτοῦ κινείτω μηχανήματα· θεάσεται γάρ με, πλέον δύνασθαι στρεβλούμενον ἢ ἑαυτὸν στρεβλοῦντα, καὶ ἐν ὅσῳ τιμωρεῖν οἰήσεται, βαρύτατα τιμωρηθήσεται. Διὸ καὶ καθ' ἕκαστα τῇ χαρᾷ περιθάλπομαι· πάσχων γὰρ ἐγὼ τὰ μέγιστα ἐκδικηθήσομαι. Πρὸς τούτοις, ἀπήχθετο τὸ τοῦ διαβόλου ὄργανον, δηλαδὴ ὁ Δατιανὸς, κατὰ τῆς τοῦ Χριστοῦ πίστεως.

VII. Ad hæc ille diaboli minister Datianus, adversus Christi fidem magis magisque inflammatus est, quippe quod seipsum valde contemni animadverteret. Itaque diaboli ministros sic affatus est: Abducite hinc episcopum: at istum qui ad judicii et imperatorum contumeliam huc venit, ante nos sistite, et ad ipsius durum ac perticanem animum reprimendum tormenta et cruciatus adhibete. Hæc cum diceret, maxima quæque supplicia contra martyrem excogitabat quidem, sed illud tamen secum animo revolvebat, quod quidquid, quamvis asperum et acerbum inferret, fortis ille martyr pro nihilo facere videretur: Fortasse, inquiens, futuræ gloriæ causa omnia sibi perferenda proposuit. Excogitavit igitur tormentorum machinas diabolus: sed quas in viros illos justos pœnas se illaturum cogitabat, eas ipse, ut nolebat, passurus erat. Sed quidnam ait iniquus ille? Agite, inquit, suspendite hominem

Ζ'. Ἑώρα γὰρ αὐτὸν λίαν καταφρονούμενον, καὶ πρὸς ὑπηρέτας τοῦ διαβόλου ταῖς μανίαις ἀνοιδαί- D νων. Ἀπαγάγετε ἐντεῦθεν τὸν ἐπίσκοπον· ἐκεῖνον δέ μοι τὸν γενναῖον μαχητὴν τὸν ἐφ' ὕβρει τοῦ δικαστηρίου καὶ τῶν αὐτοκρατόρων ἐληλυθότα, προσαγάγετε ὧδε, καὶ τῇ αὐτοῦ προσκαρτερίᾳ τὰ στρεβλωτήρια προσενέγκατε. Καὶ ταῦτα λέγων, ἐπενόει μείζους καὶ πικροτέρας κολάσεις τῷ γενναίῳ μάρτυρι, καὶ πάνυ δὲ ἐπιλογιζόμενος ἔλεγεν, ὅτι Ἔτι καὶ ἐφευρὼν τιμωρητικὸν καὶ πικρὸν προσενέγκω αὐτῷ, πάντα καταπατήσει· ἤδη γὰρ προμεμελέτηται αὐτῷ, ἕνεκεν τῆς μελλούσης δόξης, παντοῖον κολαστικὸν ὄργανον ὑπομεῖναι. Ἑαυτῷ τοιγαροῦν ἐπενόει τὰ τῶν στρεβλῶν ὁ διάβολος μηχανήματα, καὶ ἅπερ ἤπειλει τῷ δικαίῳ ἐπιφέρειν τιμωρίας πάσχειν ἤμελλεν αὐτὸς ὡς οὐκ ἐβούλετο. Ἀλλὰ γάρ, φησίν, ἀναρτήσαντες αὐτὸν ἐπὶ τὸ ξύλον μεληδὸν κατασπάσατε, καὶ πᾶν τὸ σῶμα αὐτοῦ διαῤῥήξατε καθέλκοντες, ὅπως

πρὸ τῶν κολάσεων τοῖς οἰκείοις σπασμοῖς ἀναιρεθήσεται.

A istum in ligno, ejusque membra discernite, ac totum corpus contundite, ut priusquam aliis cruciatibus affligatur, se laceratum et consumptum videat.

Η'. Καὶ πολλαῖς ὥραις ξεομένου τοῦ μάρτυρος, φησὶ πρὸς αὐτὸν ὁ Δατιανός· Τί λέγεις, ὦ Βικέντιε; ἐν ποίοις καθορᾷς τὸ ἑαυτοῦ τρισάλθλιον σῶμα; Καὶ ὁ ἅγιος ὑπομειδιῶν εἶπεν· Τοῦτό ἐστιν ὃ εὐξάμην, ὦ ἀληθῶς πανάθλιε· οὐδείς μοί σου ποθεινότερος εὑρέθη, οὔτε εἰς ἐμὴν καταψυχὴν ἐγένετο πώποτε εὐεργετικώτερος· εἰ γὰρ καὶ ἀπεχθῶς ταῦτα πράσσεις, σὺ μόνος λίαν εὐκταῖός μοι καθέστηκας. Ἰδοὺ γὰρ λοιπὸν τῶν ὑψηλοτέρων ἐπιβαίνω καὶ τῶν ἐπιγείων ἀφίσταμαι. Ἰδοὺ τῶν οὐρανίων ἐφάπτομαι, καὶ τοὺς βασιλεῖς σου μείζονας καταπτύω· Τοιγαροῦν τῆς ὠμότητος σὺ μὴ παύσῃ, ὦ παγκάκιστε· ἐπαυξήσεις γάρ B μοι τὰ τῆς νίκης, εἴπερ διὰ μειζόνων νικήσω σε κολάσεων. Ἐπεγείρου οὖν μᾶλλον καὶ ταῖς κακονοίαις τοῦ μιαροῦ σου πατρὸς ἀναβακχεύου, μήπως σμικρύνῃς μου τὰ τῆς δόξης, μὴ ζημίαν προστρίψῃς τοῖς ἐμοῖς ἐπαίνοις. Ἕτοιμος ὁ τοῦ Θεοῦ δοῦλος πάντα ὑπομένειν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· δι' ὧν δὲ ἐπαπειλῶν οἴει με τιμωρήσασθαι, τούτοις πικροτέρως σὺ καὶ πολυμερῶς τιμωρηθήσῃ.

VII. Cum igitur martyr ipse multis horis dilaniaretur, sic eum Datianus alloquebatur: Quid ais, Vincenti? An non vides, quam miseris modis corpus tuum miserabile dilaniatum sit? Tum illi subridens Vincentius: Hoc, inquit, est, quod ipse toto animo expetebam: itaque nemo mihi unquam, credas velim, optabilior teipso fuit, neque animæ meæ beneficium majus contulit: nam licet hostili animo id facias, tamen summum beneficium in me confers. En ut ad sublimiora ascendo; en ut cœlestes res attingo; en ut imperatores tuos magis contemno. Tu igitur ab ista tua crudelitate ne desistas: mihi enim eo cumulatiorem victoriam afferes, quo majora tormenta perferendo, teipsum superabo. Esto, quæso, in me magis magisque concitatus, et nefarii tui spiritus perversitate, quantum vis, debacchare, ne quo modo gloriam meam imminuas, et nostris laudibus damnum afferas. En ego Christi servus, paratus sum omnia sustinere pro nomine ejusdem Domini mei Jesu Christi. Quibus autem minis et cruciatibus me vexandum esse opinaris, illis tu ipse acerbius vexaberis.

Θ'. Πρὸς ταῦτα οὖν κράζειν ἤρξατο κατὰ τῶν ἑαυτοῦ μεμηνὼς ὁ Δατιανός, καὶ τῷ θυμῷ ὑπερζέσας καὶ βακχευθεὶς τῷ λυσσῶντι πνεύματι, ξύλοις καὶ ῥάβδοις τοὺς δημίους ἐμάστιξεν, ὡς ἅτε δὴ ῥᾳθυμήσαντας καὶ φειδομένους τοῦ μάρτυρος· πλέον δὲ κατ' C αὐτῶν, ἢ κατὰ τοῦ δικαίου ἐχαλέπαινεν, πρὸ τοῦ δικαίου τοὺς οἰκείους αἰκιζόμενος. Τῇ ἐκ Θεοῦ δὲ αἰδιότητι ὁ ἀγωνιστὴς ἐν τῷ ἀσφαλεῖ ἀμέριμνος καὶ ἄπονος τῶν αἰκισμῶν ἐτύγχανε· κατ' ἐκείνων γὰρ μᾶλλον, καθ' ὧν τὴν αὐθεντίαν εἶχεν, ἐμαίνετο, τότε δὴ ὁ ἀληθὴς Βικέντιος (μεταπίπτον γὰρ εἰς τὴν Ἑλληνίδα γλῶσσαν νικητὴς τὸ ὄνομα σαφηνίζεται), φησὶ πρὸς τὸν ἀλάστορα κρεμάμενος ἐπὶ τοῦ ξύλου· Τί λέγεις, ὦ Δατιανέ; ἰδοὺ παρὰ τῶν τιμωρῶν ἀπέχω τὴν ἐκδίκησιν, ἐπειδὴ αὐτὸς κατὰ τῶν σαυτοῦ ἔκδικός μου πέφηνας. Τούτοις δὲ τοῖς ῥήμασι, πλέον αὐτὸν ἐκόλαζεν.

IX. His verbis auditis, Datianus, furore quodam et rabie inflammatus, et clamores præ insania tollens, lignis ac virgis carnifices verberabat, quod segnes essent in martyre cruciando, magisque contra carnifices, quam contra virum illum sanctum excandescebat, domesticos et familiares suos prius quam martyrem verberans. Cum autem judex ipse in suos magis fureret, tunc athleta Vincentius (ejus autem nomen, si quis Græce interpretetur, inveniet idem valere, ac si Niceten, hoc est Victorem, dicat), in ligno pendens, sceleratum judicem sic affatus est: Quid ais, Datiane? En pœnas recipio ab his, qui me cruciant, et tu contra tuos homines ultorem te mihi præbes.

Ι'. Ἀκούσας δὲ ταῦτα, μείζονι καὶ λυσσωδεστέρᾳ φωνῇ πλέον ἐκβοᾷν ἄρχεται, καὶ τοῖς ὀδοῦσιν ἐπιβρύχειν ἐκτόπως ἑαυτὸν ὁ ταλαίπωρος προσπαράττων τοῦ μάρτυρος. Καὶ γὰρ τοῦ ξέειν ἀποκαμόντες, οἱ D δήμιοι ἐπεπήγεσαν ὥσπερ ἄψυχοι, αἵτε χεῖρες αὐτῶν περὶ τὰ πλευρὰ τοῦ δικαίου νεκραὶ ἀπεκρέμαντο, καὶ τὰ πρόσωπα ὠχριῶντες κρουνηδὸν τοὺς ἱδρῶτας κατὰ παντὸς τοῦ σώματος αὐτῶν ἔσταζον, καὶ τὰ μέλη λυόμενοι κατεστήκοντο. Τότε στῆθος αὐτῶν ἐπιπολὺ κεχμηκότων ὥσπερ ἄπνουν λελίθωτο· ὑπελαμβάνες δὲ ἐκείνους μᾶλλον τετιμωρῆσθαι ταῖς βασάνοις καὶ νεκροὺς ὑπάρχειν, νεκρὸν δὲ καὶ αὐτὸν τὸν Δατιανὸν τὸ πρόσωπον ὠχριῶντα, ἄψυχον, τρέποντα, τοὺς ὀφθαλμοὺς ἀμβλυώττοντα, ἀχλυώδει τινὶ τῷ βλέμματι, καὶ ὥσπερ ἐν θανάτῳ συγκεχυμένους κατέχοντα. Καὶ γὰρ πάλιν ἄτακτον καὶ μανιῶδες ἐβόα κατὰ τῶν δημίων· Τί πράσσετε; λέγων· οὐ γὰρ ἐπιγινώσκω τὰς χεῖρας ὑμῶν· ἀνδροφόνων οἶδα

X. Hæc cum martyr dixisset, judicem ipsum magis magisque cruciabat. Quamobrem cœpit plus furere et clamare, et dentibus fremere, ultra modum se magis quam martyrem crucians. Ad hæc carnifices ipsi, cum in eo lacerando essent defatigati, tanquam exanimati jam torpuerant, eorumque manus, tanquam mortuæ, circa martyris latera obriguerant: cumque expalluissent, sudore multo totum eorum corpus irrigabatur: omnibus denique membris dissoluti erant. Itaque eos videre licebat cruciatibus magis affectos, quam martyrem, ac propemodum mortuos: quin etiam Datianum ipsum ore pallido, exanimem, trementem, oculis caligantem, et tanquam morte correptum, atque immobilem factum, rursus incompositum, insanientem, et contra carnifices vociferantem: Quidnam vos agitis? Annon mihi notæ sunt manus vestræ? Sæpe homicidarum sævitiam a vobis prostratam cognovi.

Frequenter latronum et parricidarum ferocitatem manibus vestris expugnastis, et veneficorum arcana, in intimo eorum corde latentia sæpenumero extraxistis : quique nefarie intemperantiam suam effuderunt, eorum intestina dilaniastis : atque (ut summatim dicam) quisnam ita inexpugnabilis fuit, qui cum in manus vestras inciderit, non facile interfectus fuerit ? Quid igitur est, milites mei, quod hominem istum scelestum, magna cum temeritate imperatores nostros contemnentem, reprimere non possumus? Saltem nos moveat dedecus et turpitudo, ne quid gravius dicam. Alios negantes crimina, et mortem ipsam irridentes, nondum morte illata perterrefecimus, et istius debacchantis, atque imperatores ipsos leges et deorum jura reprobantis linguam procacem continere non possumus?

πολλάκις ὑμᾶς νικήσαντας ἀπόνοιαν, καὶ πατροκτόνων ὁμοίως τῇ καρτερᾷ τῶν χειρῶν ἐπιμονῇ, καὶ γοήτων ἀπόῤῥητα τῷ βάθει καμπτόμενα πολλάκις ἀνεῤῥήξατε, καὶ τῶν ἀθέσμως ἀκολασταινόντων τὰ ἐνδόσθια διεστείλατε. Καὶ ἁπλῶς τις οὕτω δυσάλωτος καὶ ἰταμὸς, ὃς ᾤετο ὑμῖν ἐμπελάσας τῇ τοῦ θανάτου καθυμολογίᾳ, καὶ ῥᾷστα οὐχ ὑπέπεσεν ; ὦ ἐμοὶ στρατιῶται, ἀτάκτως τοῦτον οὕτως ἐνυβρίζοντα κατὰ τῶν αὐτοκρατόρων κωλῦσαι οὐκ ἰσχύομεν ; κἂν γοῦν διὰ τὸν γέλωτα καὶ τὴν αἰσχύνην, ἵνα τὸ φορτικὸν σιωπήσω πείσωμεν ἄλλους ἀρνουμένους, ὡς ἔφην, καὶ παίζοντας τὸν θάνατον, καὶ μόλα τὸ θανεῖν κατηπείξαμεν· τούτου δὲ ἐμπαροινοῦντος, καὶ λίαν ἐκφαυλίζοντος καὶ βασιλεῖς καὶ νόμους, καὶ τῶν θεῶν τὰ δίκαια, τὴν τῆς γλώττης ἐπέχειν προπέτειαν οὐ δυνάμεθα ;

XI. Ad hæc hilari vultu beatus Vincentius subridens, respondit : Ac in re divinum illud oraculum impletur : *Videntes non vident, et audientes non audiunt*[1]. Tunc omnium hominum crudelissime tyranne, cogis me illum Deum negare, quem universarum rerum Opificem ac Salvatorem esse testor? Hunc ego verum Deum esse confiteor. Atqui merito cruciatibus afficiendus essem, si vanum aliquid, aut falsum dixissent, si imperatores deos esse affirmassem. Tu vero diutius me crucies in hujusmodi confessione permanentem, neque crudelitatem istam exercere contra me desinas : ita enim probatissimam Christianorum veritatem magis cognoscere poteris, si tamen parumper impurus spiritus a te discesserit. Hæc cum sanctus martyr Vincentius diceret, et judex se irrideri putaret, magis magisque insaniebat, toto pectore anhelans, et collo intumescens, totoque vultu immutatus, et ab oculis radios instar scintillarum emittens : qui turbato aspectu sanguinis colorem præ se ferente tunc æstuabat, cum carnifices ipsos non solum martyris latera, sed totum corpus et intestina, compages quoque corporis et juncturas ita dilacerare videret, ut non amplius posset carnifices accusare, quod negligentes forent. Itaque stupore afficiebatur, quod illius athletæ animum ita magnum et excelsum videret.

ΙΑʹ. Καὶ πάνυ φαιδρῶς ὑπομειδιῶν ὁ τρισμακάριος Βικέντιος πρὸς τούτοις εἶπεν· Ἐπὶ τούτοις πληροῦται τὸ τῆς θείας Γραφῆς λόγιον, τὸ, Βλέποντες οὐ μὴ ἴδωσι, καὶ ἀκούοντες, οὐ μὴ ἀκούσωσι, ὦ παννάθλιε καὶ πάντων ἀνθρώπον ὠμότατε τύραννε. Θεὸν τὸν πάντων Ποιητὴν, καὶ Σωτῆρα καὶ Υἱὸν μονογενῆ τοῦ ἑνὸς ὑψίστου Θεοῦ καὶ Πατρὸς, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ μετὰ Πατρὸς καὶ Υἱοῦ σεϐόμενόν τε καὶ προσκυνούμενον μαρτύρομαι, καὶ ἀναγκάζεις με ἀρνήσασθαι τοῦτον ὅνπερ ἀληθῆ τυγχάνοντα ὁμολογῶ ; τηνικαῦτα γὰρ ἐχρῆν σε τιμωρήσασθαί με εἴπερ ἐψευδόμην, εἰ θεοὺς εἶναι ἔλεγον τοὺς βασιλεῖς σου καὶ αὐτοκράτορας. Ἀλλὰ γὰρ ἐπίπολὺ στρέϐλω με τῇ ὁμολογίᾳ ταύτῃ ἐμμένοντα, καὶ μὴ παύσῃ τῆς κατ' ἐμοῦ ὠμότητος, εἰ ἄρα καὶ οὕτω τὴν τῶν Χριστιανῶν δοκιμωτάτην ἀλήθειαν δυνήσῃ ἐπιγνῶναι, ὑπολογήσαντος μικρὸν τοῦ ἐν σοὶ ἐνεργοῦντος ἀκαθάρτου πνεύματος. Ταῦτα τοῦ ἁγίου λέγοντος, μανιωδέστερος ἐπιγελώμενος ὁ διάϐολος κατέστη, τῷ τε στήθει ἐπασθμαίνων καὶ τὸν αὐχένα ἀνοιδαίνων, καὶ πᾶσαν ἁπλῶς τὴν ὄψιν τοῦ ἀνθρωπείου μεταλλαγεὶς χαρακτῆρος, μόνην τὴν τῶν ὀφθαλμῶν καιομένην βολὴν πεφαρμαγένῳ καὶ φθοροποιῷ τῷ βλέμματι ἐπεπήγει, καταῤῥέον ὁρῶν τὸ αἷμα, μὴ μόνον τῶν πλευρῶν, ἀλλὰ γὰρ ἤδη καὶ παντὸς τοῦ σώματος τοῦ λοιποῦ, καὶ τῶν ἐγκάνων δὲ τὰ ἐνδομύχια ζώρα διηνοιγμένα τῇ τῶν στρεϐλωτηρίων ἀνάγκῃ, τάς τι ξεύξεις παὶ ἁρμονίας τοῦ παντὸς σώματος βλέπων διηνοιγμένας ; ἐν οὐδενὶ λοιπὸν εἶχεν ῥᾳθυμίας καταγινώσκειν τῶν δημίων· ὑπερεξεπλήττετο γὰρ τὸ μεγαλόψυχον ὁρῶν τοῦ ἀγωνιστοῦ.

XII. Cum vero acerbus atque immitis ille tyrannus a martyre se victum cognosceret, pestifer homo alia quadam via Vincentium agressus est, credens fieri posse, ut misericordia et lenitate, viri justi mentem ac voluntatem alliceret. Aiebat igitnr : Miserere, Vincenti, juventutis tuæ, neque ætatis florem in primis annis decerpi patiaris, atque longioris vitæ spatium ne tibi præcidas. Parce tibi ipsi. Ne committas, ut cruciatu majore lacereris. Saltem sero sapias, et resipiscas tandem, ne reli-

ΙΒʹ. Ὅτε δὲ οὕτω πικρῶς καὶ ἀνίλεως ὑπάρχων ἀπηλέγχετο, ἑτέρως ὁ δόλος προσῄει τῷ μάρτυρι, οἰόμενος οἴκτῳ ὑποσύραι τοῦ δικαίου τὸ φρόνημα· Ἐλέησον γὰρ, ἔφασκεν, ἑαυτὸν, ὦ Βικέντιε· μὴ τὸ ἄνθος τῆς ἐαρινῆς σου καὶ δροσώδους ἡλικίας ἀπολέσῃς, ἔτι τὰ πρῶτο τοῖς ἔτεσι τῆς νεότητος δρεπομένης, μὴ τὸ μακρόϐιόν σου τῆς ζωῆς ἐκκόψῃς. Φεῖσαι σαυτοῦ ταῖς αἰκίαις οὕτω καταοπαραττώμενος, καὶ κἂν γοῦν ὀψέ ποτε τὰ λοιπὰ τῶν βασάνων κέρδησον. Καὶ ὁ ἅγιος τῷ ἁγίῳ Πνεύματι τὸν δόλον

[1] Matth. XIII, 13.

προχισθόμενος, καὶ τῆς ἀπάτης θεωρῶν τὸ δέλεαρ, A τούτοις τοῖς λόγοις ἐχρήσατο πρὸς τὸν ἐχθρόν· Ὦ ἀληθῶς γλῶσσα τοῦ διαβόλου ἀκάθαρτε, τί οὐκ ἂν κατ' ἐμοῦ κινήσῃς μηχανώμενος; ὁπότε τὸν Κύριον ἡμῶν καὶ Θεὸν πειρᾶσαι ἠβουλήθης· οὐδὲ διὰ τὰς τιμωρίας ἃς ἐπιφέρειν μοί χαλεπαίνεις, τοῦτο δὲ μᾶλλον πτοεῖται καὶ φοβεῖται δεδιττόμενον, ἡνίκα πλάττῃ κατ' ἐμοῦ προτεινόμενος ἔλαιον. Καὶ εἰς ἐμὲ κραταιούσθω παντοία σου κόλασις, καὶ εἴ τι δέ σου ταῖς στρατείαις καὶ κακοτέχνοις δυνάμεσιν ἐφευρίσκειν πέποιθας, προσκόμισον ἀνερευνῶν διὰ τῆς πεφαρμαγμένης σου πικρίας, δοκίμαζε τὴν ἰσχύν τε καὶ πίστιν τῶν Χριστιανῶν καθόλου, μή σύ γε φείσῃ αἰκισμῶν καὶ κολάσεων, σιδήρου, λέγω, καὶ πυρὸς, κατατέμνων καὶ κατεμπιπρῶν· οὕτω γὰρ διὰ πάντων τὴν ἧτταν ὁμολογήσεις καταισχυνόμενος. B

ΙΓ'. Πριόμενος δὲ ταῖς ὀργαῖς πρὸς τούτοις ὁ Δατιανὸς, καὶ τὸ ὄνειδος μὴ φέρων ἐπεμβαίνοντος κατ' αὐτοῦ τοῦ ἀγωνιστοῦ, λέγει πρὸς τὴν τάξιν· Διαγέσθω ἐντεῦθεν ἐπὶ τὴν κατὰ νόμον ἐξέτασίν τε καὶ ἀνάγκην· δοκιμαζέσθω κατ' αὐτοῦ, καὶ ἀνιχνευέσθωσαν πᾶσαι αἱ τῶν ἀπηγορευμένων πράξεων τιμωρίαι, πατροφονέων τε καὶ ἀνδροκτόνων, φημὶ, καὶ λοιπῶν καταδίκων κολαστικὸν μηχάνημα. Εἰ γὰρ καὶ ὁ λογισμὸς ἐγκαρτερεῖν τοῖς δεινοῖς ἐπιπολὺ δυνήσηται, ἀλλὰ κἂν γοῦν τὰ μέλη ταῖς βασάνοις ἐναπολέσθω· καὶ γὰρ ἐν ὅσῳ οὗτος τοῖς ζῶσι περίεστιν, ἐμὲ τῆς νίκης ἀδύνατον ἐπιτεύξασθαι. Ὁ δὲ ἀθλητὴς ἀπονητὶ καταστρεφόμενος τὸν ἀντίπαλον, τοιούτοις ἀγαλλόμενος ἐβόα τοῖς ῥήμασιν· Ὦ τῆς ἐμῆς μακαριότητος ἀληθῶς καὶ ἀφροσύνης! αἱ γὰρ παρὰ C σοῦ μοι, διάβολε, ἀπειλαὶ, πληρέστατοι τυγχάνουσιν ἔπαινοι, καὶ ἡ τραχυτέρα, ὡς οἴει, κατάπληξις σεσωρευμένη δόξα ὑπάρχει· ἐν ᾧ δὲ νομίζεις βαρύτατον ὀργίζεσθαι, τοῦτο μᾶλλον ἀρχεῖ με τὰ βέλτιστα ὠφελεῖν. Καὶ ὁ Δατιανὸς ὑπερζέσας ταῖς μανίαις, εὐθέως προστάττει σταυρὸν καταπαγῆναι, καὶ ἐκεῖ προσηλωθέντα ἀκινητὶ καταμέλος αἰκίζεσθαι. Καὶ δὴ τὰ προσταττόμενα ἐξετέλουν οἱ τοῦ διαβόλου ὑπηρέται· καὶ παγέντος τοῦ σταυροῦ ἀνήρπασαν αὐτὸν ἐν αὐτῷ, πάλιν· δὲ σὺν πολλῷ τῷ τάχει κατήνεγκαν αὐτὸν ἀπὸ τοῦ ξύλου. Ὡς δὲ τῶν δεσμῶν ἀπελύθη, καὶ ἔστη ἐπὶ τοῦ ἐδάφους ὁ ἅγιος, ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος ἐκτινάξας ἑαυτὸν ἐκ τῶν δημίων, καὶ προσπηδήσας ἐπὶ τὸν σταυρὸν δρόμῳ, βουλόμενος τιμωρήσασθαι τὸν ἐχθρὸν, οὕτω κατὰ τῶν τιμωρῶν ἐπιμέμφεται D ἐπεγειρομένων καὶ ἐπιτεινόντων αὐτῷ τὰ δεινὰ, καὶ φησι· Τί, βραδεῖς καὶ ἀνίσχυροι διακόνοι τοῦ πονηροῦ, ἕλκειν με καὶ ἀπάγειν ἐπὶ τὰ κολαστήρια; ἐκτελεῖτε συντόμως τὴν ὠμότητα τοῦ κακόφρονος, ὅπως γέλως ἐφ' ἅπασιν ἢ τάχος ἀναδειχθήσεται· καὶ τούτοις λίαν ἀνῄρει χαλεπαίνοντα τὸν ἀλάστορα, τοῖς παρ' αὐτοῦ βέλεσιν ἱκανῶς αὐτὸν κατασφάττων. Διὸ καὶ μειζόνως κατ' αὐτοῦ ταῖς αἰκίαις ἐκκαίεται ἐπανεγείρων καὶ ἐπανακυκλῶν τὰ τιμωρητήρια· καὶ γὰρ εὐθὺς ἐστρεβλοῦτο, καὶ διαφόρως ταῖς μάστιξι ἐπιμόνως κατεσχίζετο, καὶ πρὸς τούτοις ἅπασιν ἔτι ταῖς πλευραῖς κατεκαίετο, ἀλλεπαλλήλως τῶν φλογῶν

qua tormenta patiaris. Cum hæc judex dixisset, beatissimus martyr Vincentius, a Spiritu sancto edoctus, dolos præsensit: itaque his verbis usus est: Non displicent mihi cruciatus, quos afferre studes: sed illud me perterrefacit, quod misericordiæ verba te simulantem audio. Exerceantur ergo contra me tormenta omnia, et multiplices cruciatus, quantumvis graves, afferantur, ac si quid prodigiosis et maleficis viribus tuis confisus, invenire contra me poteris, ne desistas pestiferam istam immanitatem tuam in me inferre. Experire Christianorum vires: neque abstineas a verberibus et tormentis, non a ferro, igne atque incendio: sic enim in omnibus his te victum fatebere, magisque erubesces.

XIII. Cum hæc audiens Datianus valde cruciaretur, et athletæ illius constantiam sibi dedecori esse non pateretur, cohorti hæc jussit: Ducatur iste ad judicium et legum examen, et his pœnis, ac suppliciis subjiciatur, quibus parricidæ, scelerati et nefarii homines sunt obnoxii, ut cum ejus animus cruciatus graves diutius ferre paratus sit, membra ipsa omnium generum tormentis consumantur. Quandiu enim iste supererit, fieri non potest, ut ego victoriæ compos fiam. Hæc ait Datianus. Athleta vero ille fortissimus adversarium his verbis alta voce insequebatur: O me beatum, et vere felicem atque hilarem factum, quandoquidem istæ tuæ calumniæ et minæ, meæ sunt perfectissimæ laudes. His verbis Datianus ad insaniam concitatus, statim jussit crucem componi, et in illa Vincentium suffigi ac membratim cædi. Cum igitur crux ipsa in terra defixa esset, martyrem in ligno suspenderunt nefarii homines, et satellites diaboli, Datiani jussa exsequentes. Postea vero eumdem multa cum celeritate e ligno detraxerunt. Qui cum a vinculis solutus esset, et in terra vir sanctissimus constitisset, Spiritus sancti ope adjutus, seipsum a carnificibus abstraxit, et ad crucem illam cucurrit: in quam cum insiliret, hostem ipsum perterrefecit. Itaque eos, quibus cruciabatur, et tormenta cumulabantur, increpans: Curnam, inquit, tardiores, et in me ipso ad tormenta ducendo facti estis imbecilliores? Agite, quam celerrime vestri principis crudelitatem exsequamini, ut in omni re quam primum se ridiculum faciat. His verbis nefarium judicem ferociorem factum, tanquam jaculis quibusdam confodiebat. Quamobrem magis magisque in martyrem exardescens, graviora in eum tormenta excogitabat. Statim igitur beatus Vincentius torquebatur, diversisque flagellis, et ferreis unguibus assidue lacerabatur, atque ejus latera continuis flammis comburebantur. Denique membra ipsa ita distenta distractaque sunt, ut totus enervatus esset. Deinde cum ferreas virgas carnifices in igne diu tenentes ignitas effecissent, mox in ejusdem martyris pectus eas conjecerunt, quoad candentibus illis virgis combu-

reretur. Corporis enim superficies ac pellis flamma illa comburebatur, vulneraque vulneribus addita renovabantur, et lacerationes lacerationibus novis augebantur. Alii carbones accensos in ejus corpus injicientes, diuturnis flammis ipsius membra comburebant : in quo cum nullæ amplius superessent carnes, flammæ ipsæ deinceps ad intestinas usque partes penetrabant, et cum superioribus vulneribus additæ essent, novo cruciatu martyris corpus affligebant : cujus etsi nulla pars sana relicta esset, nihilominus tamen mens ipsa cruciatus illos fortiter perferens, robustior efficiebatur, idque non immerito : divino enim præsidio, quod humana cogitatione comprehendi non potest, undique communiebatur. Datianus vero insania multa et furore agitatus, pergebat illam tormentorum copiam inferre, nimirum exspectans contrariam martyris confessionem audire.

XIV. Interea cohors militaris, constantia martyris perculsa, retulit Datiano carnifices ipsos defatigatos esse, et in tormentis infligendis ad extremum spiritum redactos : athletam vero illum multiplicem tormentorum copiam, ac certamen egregie superasse. Tunc Datianus spe deceptus, et tenebris mentis oppressus : Heu, inquit, victi sumus : sed quamvis tam multis cruciatibus ejus mens victa non sit : cum fortiter corpus ipsius flammas pertulerit, nihilominus tamen demus operam, ut ejus animus talibus crucietur pœnis, quibus nullum remedium adhiberi possit. Exquirite igitur locum omni ex parte obscurum ac tenebricosum, ut sempiterna quadam nocte puniatur. Locum vero illum, in quo ejus corpus constituendem est, testis fractis sternite, ex utraque parte acutissimis, et aculeatos angulos habentibus, ut compungatur, et in quamcunque partem latere sua converterit, dilaceretur. Post hæc, ut membrum nullum remissionem habeat, aut recreationem, sed totum ejus corpus assidua tormentorum renovatione affligatur, super hujusmodi testas hominem istum proternentes pertrahite, ut membratim varie laceretur, et animam ac spiritum emittat is, qui contra nostros imperatores certamen suscepit. Denique concludite ipsum in loco illo tenebricoso et illic derelinquite, ut ne minimam quidem lucis partem oculis suis aspiciat, neque quisquam illuc accedat, omnisque consolationis ratio ac spes ab eo removeatur. Januas ipsas undique claudite, et vectibus eas communite; hocque diligenter curate, ut, quamprimum animam efflaverit, mihi referatis.

A προσαρασσομένων, καὶ τῶν μελῶν κατατεινομένων, ἔξαρθρος ἐγίνετο ὁ ἅγιος. Ἐντεῦθεν δὲ σιδηρᾶς ῥάβδους ἐπιπολὺ πυρώσαντες ἐπέβαλον ἐπὶ τὸ στῆθος καιομένας τοῦ μάρτυρος, ἕως οὗ διετάκη σχεδὸν μεταξὺ σιδήρου τε καὶ πυρὸς ἐκφλογούμενος ὁ ἀγωνιστής · ἡ γὰρ τοῦ σώματος ἐπιφάνεια καὶ τὸ δέρμα τρίζον τῇ φλογὶ διεπείρετο · τραύματά τε κατὰ τραυμάτων ἀνανεούμενα ἐφαίνετο, καὶ ἐπὶ τοὺς αἰκισμοὺς αἰκισμοὶ ἐχαλέπαινον, ἄλλοι τε κατὰ τοῦ καίοντος πυρὸς ἐνέβαλλον · καὶ τὴν ἀνάγκην τῆς φλογώσεως εἰς μακρὰν διασπειρομένων τῶν μελῶν, σαρκῶν τε λοιπῶν μὴ ὑφισταμένων κατ' αὐτῶν τῶν ἐνδοσθίων, τὰ μέλη τῶν αἰκισμῶν ἐφέροντο, καὶ αὐτὰ κατὰ τῶν αὐτῶν ἑλκῶν πάλιν ἐτιμωρεῖτο τὰ μέλη, ἐπειδὴ σώματος μέρος οὐδὲ τὸ τυχὸν ὑγιὲς περιελέλειπτο · καὶ
B ὅμως ὁ λογισμὸς ἐγκαρτερῶν τοῖς δεινοῖς καρτερικώτερος ἀπεδείκνυτο, εἰκότως ὠχυρώμενος τῇ ἀκαταλήπτῳ καὶ φιλανθρώπῳ ῥοπῇ τοῦ Θεοῦ.

ΙΔʹ. Ἐμβροντηθεὶς δὲ πολλῇ ἐκπλήξει ὁ Δατιανὸς διετέλει, τῇ ἐπιῤῥοίᾳ τῶν κολάσεων τὴν ἐναντίαν ὁμολογίαν περιμένων τοῦ μάρτυρος, καὶ τἀληθὲς δὲ λοιπὸν περὶ τοῦ θανάτου αὐτοῦ ταῖς φροντίσιν ἐταλαντεύετο ὅ τι δέοι πρᾶξαι καὶ ὅπως ἀναζητῶν. Ἐν τοσούτῳ δὲ τῆς τάξεως ὑπερεκπληττομένης, ἀπήγγειλαν αὐτῷ οἱ ἐπὶ τῶν τιμωριῶν τεταγμένοι τοὺς μὲν δημίους ἀποκεκμηκέναι ἕως ἐσχάτης ἀναπνοῆς τε καὶ κινήσεως, τὸν δὲ ἀθλητὴν ὑπερνενικηκέναι τὸν πολυσχεδῆ τῆς κολάσεως ἀγῶνα φαιδρῷ χαρακτῆρι, ἐγκρατεστέρᾳ τε μᾶλλον ὁμολογίᾳ, ᾗ ὥσπερ κατήρξατο, τὸν Κύριον Ἰησοῦν Χριστὸν ὁμολογεῖ.
C Καὶ τότε διαμαρτὼν τῆς ἐλπίδος, καὶ σκότος ἐπαμφιασάμενος, Φεῦ! ἔφη ὁ ἱερόσυλος, νενικήμεθα, ἀλλ' εἰ καὶ ταῖς ὑπολοίποις βασάνοις ὁμοίως μὴ κάμνοι τὸν λογισμὸν, ἀεὶ δὲ καρτερῶς διατελοίη τοῦ σώματος ἐκτακέντος, ἡ ψυχὴ τοῖς ἀδιορθώτοις ἐπιμένουσα τιμωρείσθω. Τοιγαροῦν ἀναζητήσατε τόπον ζοφώδη πανταχόθεν τῆς στέγης πεπιεσμένον, καὶ ἀπεξενωμένον τοῦ κοινοῦ φωτὸς πρὸς ἀπόλαυσιν, ὅπως τῇ διαιωνίῳ νυκτὶ κολάζοιτο · κατὰ γὰρ τὸ ἀνεύθυνον αὐτοῦ τῆς παρὰ τῶν νόμων εἱρκτῆς τοῖς κακοποιοῖς ἐπευρηθείσης πρὸς βάσανόν τε καὶ ἀσφάλειαν χῶρος οὗτος ἀξιώτατος · ὑποστρώσατε δὲ καὶ τὸν τόπον, ἔνθα ἐῤῥίφθαι μέλλει, ὀστράκῳ κατεαγότι ἐκ τῶν ἑκατέρων μερῶν ὀξεῖς ἔχοντα καὶ ἀκιδωτὰς τὰς γωνίας, ὅπως ἂν καταικίζηται καὶ κατανύττηται τῇ με-
D ταστροφῇ τῶν πλευρῶν, εἴ τί που μέλος ἐξαναλήψεως δοκοίη ἄνεσιν προσλαμβάνει · καὶ ἁπλῶς ἵνα καὶ τετρυχωμένῳ τῷ σώματι ἀπαύστως τὰ τῆς τιμωρίας ἀνανεούμενα μὴ ἐλλείπῃ · πρὸς τούτοις ἐκτείνοντες αὐτὸν διασπᾶτε κατὰ παντὸς μέρους τοῦ σώματος αὐτοῦ, ὅπως καθ' ἕκαστον μέλος ποικίλως στρεβλούμενος ἐκπνεύσῃ, ὁ κατὰ τῶν ἡμετέρων βασιλέων μαχητὴς κρατερός. Ἐντεῦθεν κατακλείσαντες αὐτὸν ἐν τῷ σκότῳ καταλίπετε ἐκεῖ, ὡς μηδὲ πρόσπνοιαν μηδὲ ἔλλαμψίν τινα φωτὸς τοῖς ὄμμασιν ἐπιδέχεσθαι, μηδέ τις ἀνθρώπων ἐκεῖσε πλησιάζοι τῷ πᾶσαν ἀποκεκλεῖσθαι αὐτῷ παραμυθίαν, θύραις τε καὶ μοχλοῖς πανταχόθεν ἤτω κατησφαλισμένος· διὰ φροντίδος δὲ μόνον ἦτε, ἵνα ἐὰν ἀποπνεύσῃ, τὸ τάχος ἡμῖν ἀπαγγέλλητε.

XV. His ita factis, ut nefario impii Datiani edicto præscriptum fuerat, et eo in loco martyre incluso, adventante nocte, statim custodes ipsi alto sopore oppressi sunt. Itaque quod Datianus contra sanctum

ΙΕʹ. Γενομένων οὖν τούτων πάντων κατὰ τὸ ἀθέμιτον τοῦ πολυμανοῦς προστάγματος, καὶ μετὰ πάσης ἀνάγκης οὕτω καθειρχθέντος τοῦ μάρτυρος, εὐθέως νυκτὸς ἐπιλαβούσης, ἡνίκα βαθεῖ κατεσχέθησαν

ὕπνῳ οἱ φύλακες, ὅπερ Δατιανὸς εἰς τιμωρίαν χα- A λεπωτέραν θανάτου κατὰ τοῦ ἁγίου προσέταξεν, μετατρέπεται τοῦτο εἰς πᾶσαν ἑορτήν τε καὶ δόξαν καὶ ἀνάκτησιν. Φοβερὰ γὰρ καὶ ὑπέρλαμπρος ἀγγελική τις παρεγένετο κατάστασις, θεραπεύουσα καὶ ἀνακτωμένη ἐκ τῶν πόνων τὸν ἀθλητήν· καὶ ἡ ἀγγενὴς καὶ διαιωνίζουσα τοῦ ἐπικατεράτου νὺξ φωτὶ ξένῳ καὶ παραδόξῳ κατελάμπετο. Τριστοιχηδὸν γὰρ κηροὶ ἀνακαιόμενοι, παρὰ τὸ εἰωθὸς φῶς κατεφώτιζε τὸ ὀχύρωμα. Καὶ αὐτὸς δὲ στρωμναῖς ἁπαλωτάταις ἤδη τὸ σῶμα ἀνακτηθεὶς, καὶ τῷ ἁγίῳ ἀναθαλφθεὶς Πνεύματι, τὴν διὰ ψαλμῶν ὑμνῳδίαν, καὶ Κυρίῳ ἀνεκρούετο, καὶ τῷ ἡδίστῳ ὀργάνῳ τῆς φωνῆς ἐν ῥυθμῷ ἀπηχῶν, πᾶσαν τὴν γειτνίαν στυγνῶς ἠρμένην εἰς τυ τὰς αὐτοῦ τιμωρίας, τὴν ἠχὼ τῆς εὐρυθμίας ἀκροωμένην κατέθελγεν. Ἐξαίφνης τε καὶ οἱ φύλακες ἐξέστησαν, τοῦ ὕπνου αὐτῶν ἀποπεσόντος, οἰόμενοι τῆς φυλακῆς πεφευγέναι τὸν μάρτυρα. Ἐπιπολὺ δὲ ταρασσομένοις ὑπὸ τοῦ δέους τούτοις ἐπιφωνεῖν ἤρξατο ὁ ἅγιος· Μὴ ταράσσεσθε, μηδὲ βοᾶτε, ὦ στρατιῶται τῆς ἀσεβείας, δεδοικότες· ἐγὼ γὰρ τὴν ἐμὴν δόξαν οὐκ ἀποφεύγω, οὐδὲ τοὺς ἐμοὶ ἀποκειμένους στεφάνους. εἰ δὲ οἷοί τέ ἐστε, μετὰ τάχους εἰσέλθετε, καὶ τῇ ἀγγελικῇ θεραπείᾳ τε καὶ ἀνακλήσει τὴν ἔνδοξον παραμυθίαν τοῦ δούλου τοῦ Θεοῦ θεάσασθε· ἔνθα γὰρ κατελείψατε σκότος ζοφωδέστατον, χάρητε φῶς ὁρῶντες ὑπερκόσμιον· ὃν ἐπιστένειν χαλεπῶς ἐπηλπίσατε τῷ μὴ ἔχειν ἀναπνοῆς καὶ μικρὰν ὑπόστασιν, εἰς ὕμνους ἀνακρουόμενον τοῦ ἀληθοῦς Θεοῦ καθορῶντες θαυμάσατε.

martyrem excogitaverat, id ipsum in sanctissimi viri jucunditatem ac gloriam conversum fuit. Terribilis enim et illustris angelorum cohors illuc accessit, athletam curans, et a languoribus eripiens ac recreans, ita ut locus ille obscurus, et nocturnæ tenebræ novo quodam et admirando lumine illustratæ sint. Repente igitur custodes experrecti, existimabant martyrem ipsum e carcere aufugisse. Itaque illis valde perturbatis ac metuentibus, dixit vir sanctissimus: Nolite, quæso, milites, turbari, neque clamare, aut metu aliquo affici: nunquam enim ego aufugerem, neque repositas mihi coronas amitterem. Sed quam celerrime potestis, huc introite, et videte servum Dei per angelicum ministerium admirabili quadam consolatione recreatum, ut quo loco vos obscurissimas tenebras reliquistis, illic cœleste lumen aspicientes, gaudeatis.

ΙϚʹ. Ἀνέθησαν γὰρ οἱ περὶ ἐμὲ κεχυμένοι δεσμοὶ, καὶ αἱ δυνάμεις μου πλέον τοῦ ἀρχαίου πεπύκνωνται· τό τε σῶμά μου ἁπαλαῖς καὶ ἀφθόνοις στρωμναῖς ἀνανενέωται· διὸ μᾶλλον ὑπερεκπλάγητε τὴν ἄφατον τοῦ Θεοῦ μου δύναμίν τε καὶ ἀγαθότητα, καὶ πληρεστάτῳ στόματι φωναῖς εὐσεβέσιν ἀνακηρύξατε, τούτοις κεχρημένοι τοῖς ῥήμασι καὶ τὸν ὁμολογητὴν C τοῦ ἀληθοῦς καὶ μόνου Θεοῦ ἀεὶ νικητὴν ὑπάρχειν ἀπαγγείλατε τῷ Δατιανῷ, ὁπόσου τε καὶ οἵου φωτὸς ἀπολαύω, προσεφευρισκέτω, εἴ τι οἰέσθω δεινὸν ὁ διάβολος, καὶ ἔτι προσφερέτω τοῖς ἐμοῖς ἐπαίνοις· τῶν δὲ τῆς μακαριότητος μου ἀνδραγαθιῶν μηδὲν ὑφαρπασάτω, ἐγγυμναζέσθω τὰ παρ' ἑαυτῆς σημεῖα βακχεύουσα· εἰ ἄρα τί ἀνιχνεύσοιτο, μόνην αὐτοῦ δέδια τὴν συμπάθειαν, μὴ ὀφθείη μοι συγχωρῶν τὸν θάνατον. Ὡς δὲ οἱ φύλακες ἀπελθόντες ἅπαντα τὰ ἐπὶ τῆς φυλακῆς γενόμενα τῷ Δατιανῷ διεσάφησαν, ἄψυχός τε καὶ ὠχριῶν ἀπεπάγη, καὶ ἤδη ὑπησθάνετο κάκιστως ἔχειν ἐν ἑαυτῷ (οἱ γὰρ σπαραγμοὶ καὶ οἱ αἰκισμοὶ τῶν τιμωριῶν τοῦ μάρτυρος κατ' αὐτοῦ μετετρέποντο), καὶ χαλεπῶς ἐπανέκειτο ἡττώμενος κατὰ τοῦ ἀγωνιστοῦ, ὅμως ἁπλουστέρως, καὶ εἰ μὴ D κατὰ γνώμην, φωνὴν ἀκριβῆ προσφέρεται καί φησιν· Τί περαιτέρω λοιπὸν προσπαλαίομεν νικώμενοι τὰ μέγιστα; ἀναφερέσθω τοίνυν ἐπὶ κλίνης καὶ στρωμνῶν ἁπαλωτάτων· οὐ γὰρ βούλομαι αὐτὸν τοῖς δεινοῖς ἐναποθανεῖν, μήπως μεγαλοδοξε λίαν αναδειχθήσεται. Κομιζέτωσαν τοιγαροῦν ἐπὶ κλίνης αὐτὸν ἄνδρες χαίροντες καὶ ἀγαλλόμενοι, οἵ τε τὰ ἴχνη αὐτοῦ καὶ τὸ πᾶν σῶμα ἐσπαραγμένον λάβοιεν, καταφιλοῦντες· καὶ τὸ παχυνθὲν ἢ καὶ τὸ περίῤῥέον αὐτῷ αἷμα εἰς ἀνάληψιν τῆς οἰκείας ἀπομάζοιντο ῥώσεως. Τοιούτων χράσθω ἀνδρῶν δορυφορίαις ὁ τοῦ Θεοῦ δοκιμώτατος θεράπων Βικέντιος· ἄξιος δὲ καὶ παρὰ τῶν ἐχθρῶν θεραπεύεσθαι, μήτι γε καὶ παρὰ τῶν ὁμοφύλων καὶ Χριστιανῶν.

XVI. His verbis athleta ille usus est. Postea vero quam Datiani satellites ingressi sunt eos ad hortatus: Abite, inquit et domino vestro renuntiate, quali et quanta luce ego hic perfruar. Itaque si quid potest, acerbius excogitet et ad meas laudes illud accumulet. Cum igitur custodes omnia quæ in carcere viderant, Datiano retulissent, repente ille exanimatus expalluit, et secum pessime agi animadvertit: quandoquidem martyris lacerationes et vulnera in ejus ipsius ignominiam ac dedecus convertebantur. Quamobrem acerbitate quidem magna contra Christi athletam Vincentium commovebatur, sed mitius tamen se gerere simulabat. Itaque dicebat: Quid est, quod amplius pugnemus, cum maxime ab hoc homine victi simus? Gestetur igitur in lecto aliquo, et stragulis delicatissimis: non enim patiar, ut in cruciatibus moriatur. Tollant ipsum in lecto positum homines aliquot hilares et exsultantes. Sint et alii, qui ejus vestigia et dilaniatum corpus totum exosculentur: quinetiam sanguinem ex vulneribus defluentem colligentes, ad suæ valetudinis recuperationem illum adhibeant. Talium virorum satellitio utatur probatissimus Christi minister Vincentius: dignus certe, qui ab amicis etiam colatur, non solum ab animicis et Christianis observetur.

ΙΖʹ. Ὁ δὲ ἀλάστωρ καὶ κακόφρων Δατιανὸς ταῦτα ἐποίει ἐν πολλῇ ἀμηχανίᾳ συσχεθεὶς, πῇ μὲν ὁμολογῶν τὴν ἧτταν καὶ τὸ ἀδρανές τε καὶ ἀνίσχυρον, πῇ δὲ καὶ ἄκων ἐμεγάλυνε, τὴν ὑπέρογκον καρτερίαν

XVII. Hæc versutæ mentis homo Datianus faciebat, multum animo perplexus: quippe qui modo infirmitatem suam confitebatur, modo gloriosi martyris Vincentii tolerantiam ac fortitudinem

laudibus extollebat. Quandiu vero doloso animo talia machinabatur, providit Deus, cujus bonitas omni ex parte perfecta est, ut tyrannus ille omni spe deceptus superaretur. Ipsius enim martyris animam victricem, ex caduco et fragili corporis tabernaculo ad cœlestem regionem traduxit. Qua re diabolus valde confusus fuit.

XVII. Equidem non temere factum arbitror, ut sanctissimus vir eo tempore mortem obiret, quo Datianus ipse curatione illa, vel insidiis potius martyrem aggredi volebat. Dicturus enim fuisset, ejus cura et studio athletam Vincentium servatum esse. Cum igitur victorem martyrem obiisse Datianus accepisset, cœpit ultra modum insanire, et ait : Si vivum hominem istum superare non potui, saltem mortuum superabo. Non amplius superest in eo spiritus qui mihi adversetur, neque hominis mortui membra mecum amplius pugnare poterunt. Projiciatur igitur in campum ejus cadaver, neque arborum foliis, aut alia re contegatur : sed feris et volucribus in escam propositum sit. Quidquid enim contra mortuum istum efficere potero, non omittam, ut careat funere ac sepultura.

A τοῦ πανενδόξου μάρτυρος Βικεντίου. Ἐν ὅσῳ δὲ τὰ τοιαῦτα δολίως ἐφθέγγετο, ὁ πανάγαθος Θεὸς βουλόμενος τὴν ἧτταν ἀπενέγκασθαι τὸν τύραννον, τὴν ἁγίαν καὶ νικηφόρον ψυχὴν τοῦ μάρτυρος μετὰ δόξης πολλῆς ἐκ τοῦ προσκαίρου σκηνώματος μετέστησεν εἰς τὴν ἐπουράνιον χώραν, καταισχύνας τὸν διάβολον.

IZ'. Νομίζω δὲ μὴ ἁπλῶς προτετελειῶσθαι τὸν ἅγιον, τῆς δῆθεν εὐτρεπιζομένης αὐτῷ θεραπείας, μᾶλλον δὲ ἐπιβουλῆς τοῦ κακόφρονος. Ἔμελλε γὰρ λέγειν ὅτι τῇ αὐτοῦ σπουδῇ τε καὶ ἐπιμελείᾳ περισεσῶσθαι τὸν ἀγωνιστήν. Ἀπαγγέλλεται τοίνυν τῷ παρανόμῳ Δατιανῷ ἡ τοῦ στεφανίτου τελείωσις, καὶ λοιπὸν καταισχυνθεὶς ἐπὶ πᾶσιν ὁ τύραννος, γέλως ἐτύγχανε, καὶ ξένην ἄρχεται μανίαν μαίνεσθαι. Εἰ B μὴ γὰρ ἐδυνήθην αὐτοῦ, φησὶν, ζῶντος περιγινέσθαι, ἀλλὰ καὶ γοῦν θανέντα τιμωρήσομαι. Οὐκ ἔστι πνεῦμα, φησὶ, τὸ ἀντιμαχόμενον, οὔτε μὴν ψυχὴ νικήσασά με, ἀνθρώπου νεκροῦ οὐδεμία μάχη κατὰ μελῶν ἀψύχων. Εἰ γὰρ τὸ σῶμα διαλέλυται, ξέναις τιμωρίαις ἐνδακχευθήσομαι, καὶ ὅρον τανυν λήψομαι τῶν αἰκιστῶν, εἰ καὶ μὴ τὰ τῆς νίκης μοι προσεγένετο. Ῥιπτέσθω τοιγαροῦν κατὰ τοῦ πεδίου τὸ ἄψυχον σῶμα, μηδεμιᾷ δὲ σκέπῃ τῇ ἀπὸ τῶν δένδρων, ἢ ἄλλου τινὸς κρυπτομενον, ὅπως εὔληπτον εἴη πρὸς βορὰν, θηρσί τε καὶ ὀρνέοις καὶ κυσὶν, ἢ τοῦτο, κἂν ὅπερ κατὰ τεθνεῶτος δύναμαι, ἄταφος καὶ ἀκήδευτος ἀπολέσθω.

XVIII. Itaque pretiosissimæ martyris reliquiæ nefario tyranni edicto projectæ sunt, illis assidente, easque custodiente carnifice, pessimique illius Datiani amicis quibusdam. Nemo autem Christianorum religiosi martyris corpus a tyranno petere audebat, ut scilicet optabilem illum martyrem secum habere posset. Corvus autem quidam, ales, inquam, ille ignavissimus, et maxime segnis, e propinquo loco advolavit, et sanctum illud corpus custodire cœpit : qui nigris pennis et colore atro, tanquam pulla quadam veste indutus, quodammodo luctum præ se ferebat, aliasque volucres grandiores, volatu magno illuc irruentes, impigre persequens, e loco illo facile abigebat. Quinimo lupum quemdam repentino cursu eo venientem ita repulit, ut ille terga vertens, non corvi quidem impetum, sed jacentis illius sancti corporis aspectum extimescere præ se tulit, ac stupore perculsus, repente subterfugerit. Equidem feram illam angelica præsentia perterrefactam illinc aufugisse arbitror. Vetere historia nobis traditum est, beatum Eliam Israelitarum impietatem fugientem [2], cum desertis locis et speluncis pravam eorum hominum, qui tunc erant, consuetudinem permutasse, eoque tempore quotidie mane ac vesperi prophetam illum a corvo sibi oblatum cibum accepisse. Et nunc igitur divino jussu, quemadmodum et olim, corvus excitatus, Vincentio martyri congruentem operam curamque adhibebat.

IH'. Καὶ δὴ ἐξέκειτο προς τιμωρίαν τὸ πολυτίμητον λείψανον τοῦ ἀγωνιστοῦ, κατὰ τὸ ἀθέμιτον τοῦ ἱεροσύλου πρόσταγμα, οὐδὲ ἐφεδρεύοντός τινος καὶ παραφυλάττοντος, ἢ τυχὸν χρήμασι διαφθαρέντος, ἢ C καὶ φίλων τινῶν τοῦ κακόφρονος· οὔτε μὴν τις Χριστιανῶν ἢ οἴκτῳ ἢ τοῦ εὐσεβοῦς χάριν ἐξαιτήσεσθαι ἠδυνήθη, καὶ συγκομίσαι τὸ θεοφιλὲς λείψανον, καὶ ἔχειν μάρτυρα εἰς εὐκταῖον τοῖς πᾶσιν ὁμόφυλον ἀγαθόν. Διὰ τί δὲ τυχὸν ἐκωλύθη τινῶν ἐπ' αὐτῷ παρεῖναι παραφυλακὴν καὶ θεραπείαν θνητῶν, μήπως δὴ ἀγγελικαὶ καὶ θεῖαι δορυφορίαι κεχρῆσθαι νομισθεῖεν, τὸ ἐπαγρυπνεῖν καὶ φυλάττειν τὸ ἅγιον σῶμα τοῦ μάρτυρος, εἰ ἀνθρωπεία τις παρῆν ἐμμέλεια ; κόραξ δὲ, φημὶ, τὸ ὄρνεον ἀργότατον τε πάντων καὶ ὀκνηρότατον πετεινῶν ἐκ τοῦ σύνεγγυς καθεζόμενον τῇ ζοφώδει εἰδέᾳ τε καὶ τῷ χρώματι τὴν κηδείαν τοῦ σώματος καὶ φυλακὴν ἐποιεῖτο, ὡς ἔστιν ὑπολαβεῖν, καὶ ὥσπερ μέλαιναν ἐσθῆτα τὴν οἰκείαν ἐπαμφιασάμενος χροιὰν, τὸ πένθος ἐπεδείκνυτο· τὰ δὲ ἐπιφοιτῶντα ὄρνεα λοιπὰ, μέγιστα D ὄντα καὶ ὀλέθρια τοῖς πτεροῖς ὑπάρχοντα, ῥᾷστα ἀπεδίωκεν, ἐπελθόντα δὲ καὶ λύκον τῇ αἰφνιδίῳ πτοήσας συνδρομῇ ἐξεδίωκε τοῦ σώματος· ὁ δὲ λύκος ἐπικάμψας τὸν αὐχένα, καὶ οὐ τὴν ὁρμὴν τοῦ κόρακος, ἀλλὰ τὴν ὄψιν τοῦ κειμένου λειψάνου καταπλαγεὶς συνεστάλη· πιστεύω δὲ ὅτι ἀγγελικῆς ἐφεδρείας θαυμάζων τινὰ πρόσπνοιαν ἀπεπάγη τῷ δέει. Ἀρχαία τις ἡμῖν ἱστορία παραδέδοται φεύγοντα τὸν μακάριον Ἠλίαν τὴν τῶν Ἰσραηλιτῶν δυσσέβειαν, καὶ τὴν ἔκτοπον τῆς Ἰεζάβελ μιαροτητα ἐρήμοις καὶ σπηλαίοις ἀντικαταλλάσσεσθαι τὴν τῶν τοτε ἀνθρώπων συναναστροφὴν, ἑκάστης ἡμέρας τὸ δεύτερον τὴν διακονίαν εἶχεν, καὶ τῷ προφήτῃ εἰς τὴν τῶν

[2] I Reg. XVII, 1 et seqq.

τροφῶν παρακομισθὴν διακονεῖσθαι παρὰ τοῦ ὁμοίου ὀρνέου, φημὶ δὴ, τοῦ κόρακος· ἀλλὰ γὰρ καὶ ἐπὶ τοῦ παρόντος τῷ πάλαι θείῳ προστάγματι τὰς προσηκούσας θεραπείας ἐκτελεῖ τῷ μάρτυρι.

ΙΘ'. Πρὸς δ καὶ παραδόξως ἐκπλαγεὶς ὁ Δατιανὸς A ἤρξατο βοᾷν καὶ λέγειν· Φεῦ! οὔτε νεκροῦ αὐτοῦ περιγενέσθαι δύναμαι· ἐκ δὲ τοῦ ἐναντίου τῇ ἐμῇ χαλεπότητι ἐνδοξότερος ἀναδείκνυται. Ἐπειδὴ οὖν ἀδυνάτως ἐπὶ γῆς ἔχει τὸ τοῦτον καταναλωθῆναι, τῷ πελάγει ὑποβρύχιος παραπεμπέσθω, τὸ τῆς νίκης αὐτοῦ μεγαλοφυὲς δὲ ἡ θάλασσα κατακρυψάτω, ἵνα ἑκάστης ἡμέρας μὴ γέλως ὑπ' ὄψιν τῶν πάντων γίνωμαι. Ἐλβληθήτω τοιγαροῦν ἐν τῷ ἐρούγκλῳ, καθ' ὃν τρόπον οἱ πατροκτόνοι ἐν βοείῳ ἀσκῷ καταδεσμούμενοι ῥίπτονται κατὰ τοῦ πελάγους· λίθοι δὲ συστιβαζέσθωσαν τῷ ἐσπαργανωμένῳ σώματι αὐτοῦ, καὶ ὅτε πλεῖστον ἐπὶ τὰ βάθη διάστημα ἔλθωσιν οἱ ναῦται, ἐκριψάτωσαν αὐτὸν τοῖς κύμασιν, ὅπως οἱ τῶν ἰχθύων ἄσιτοι εἴ πού τι ἀσπάρακτον ἢ τραύματος ἐλεύθερον τὸ τυχὸν αὐτῷ μέλος ὑπολέλειπται, B λάπτοντες ἐπιμόνως καὶ τοῦτο καταναλώσωσι.

XIX. Quo miraculo perculsus Datianus, clamare cœpit: Heu! quidnam hoc est? Ne mortuum quinem hominem istum superare possumus. Quinimo quo majore acerbitate in eum utimur, eo efficitur gloriosior. Quoniam igitur fieri non potuit ut in terris consumeretur, in altum mare demergatur, ut hujus victoriæ magnificentiam mare ipsum obruat, ne quotidie omnibus ridiculus fiam. Dejiciatur autem, quemadmodum parricidæ solent, in utre ex bonis pelle confecto inclusum, saxisque magnis illigatum, ejus cadaver in altum mare demergatur, cumque nautæ ipsi multum maris spatium tranarint, in undas profundissimas istius hominis cadaver dejiciant, ut si quod Vincentii membrum reliquum est, illud pisces consumant et devorent. Itaque pretiosæ martyris reliquiæ, sicut Datianus jusserat, conclusæ sunt.

(1) Καὶ ἐπειδὴ τὰ χερσαῖα θηρία μᾶλλον ἀδρανῆ τὴν τοῦ σώματος φειδὼ πεποίηται, ἀλλὰ γοῦν κητῶν ἀκορέστῳ στόματι κατατεμνόμενον ἅπαν ἀναλωθήσεται· εἰ δὲ καὶ ξένοις αἰγιαλοῖς προσπελάσας ἐκριφήσεται, τῇ ἐπαναλήψει καὶ τοῖς διαύλοις τῶν κυμάτων φορούμενος, σκοπέλοις προσραγεὶς, μήτε θανὼν ἡσυχίας τεύξεται. Ἰδοὺ πάλιν τί δρᾷς, ὦ ἀληθῶς ἐν σαρκὶ διάβολε; ποιεῖς γὰρ τὸν ἀθλητὴν καὶ ἐν τῷ τῆς ὑγρᾶς στοιχείῳ μᾶλλον ἐπιδοξότερον. Καὶ δὴ ἐμβάλλεται τὸ ἅγιον καὶ πολύτιμον λείψανον τοῦ μάρτυρος, καθὼς προσέταξεν ὁ ἱερόσυλος Δατιανὸς ἐν τῷ ἐρούγκλῳ. Ἔστι δὲ ὁ ἔρουγκλος πλέγμα τι σπυριδῶδες εἰς σάκκου σχῆμα ἀναπεποιημένον, ἐπίμηκές τε καὶ στενὸν, ὅπερ τῇ Ἑλληνίδι διαλέκτῳ οἱ ναυτικοὶ εἰώθασι προσαγορεύειν κοῖκα, ἐπιτήδειον τῷ βουλομένῳ τὸ τοιοῦτον σκεῦος, καὶ εἰς ἄλλα μετακομισθὴν καὶ σίτου καὶ λοιπῶν ἀγωγίμων τῶν πρὸς πλοῦν εἰς ζωῆς σύστασιν ἐπιφέρεσθαι. Ὡς δὲ συνθλιβὲν τὸ σῶμα τοῦ ἀγωνιστοῦ κατηγγίσθη εἰς τὸν λεγόμενον κοῖκα, ταῖς καταρράφαις οὕτως αὐτὸ κατησφαλίσαντο, ὡς νομίζειν πεφοβεῖσθαι τὸν Δανιανὸν, μὴ τὸ λείψανον δραπετεύσῃ καὶ καταλείψῃ τὸν κοῖκα.

Κ'. Ἐπὶ τούτοις δὲ παρελθὼν ἀνήρ τις Εὐμόρφιος C τοὔνομα, λοιμὸς τὴν γνώμην, καὶ τὴν ψυχὴν ἱερόσυλος, καθυπέσχετο τῷ τυράννῳ πρὸς τὸ οἰκεῖον μέρος τῆς πόλεως ναύτας ἔχειν πιστικοὺς ἐπὶ τῷ παρασχεῖν αὐτοὺς αὐτῷ, καὶ λίαν ἁρμοδίους ὑπάρχοντας πρὸς τὸ ἐπιζητούμενον πρᾶγμα, οἳ καὶ ἐνέβαλόν εἰς τὸ σκάφος τὸ μεγαλότιμον λείψανον τοῦ ἁγιωτάτου μάρτυρος Βικεντίου, καὶ ἐπὶ τοσοῦτον τοῖς διαστήμασιν ἤλασαν ἐπὶ τὸ πέλαγος, ὥστε τοὺς αἰγιαλοὺς καὶ τὰ ὄρη τῶν ὀφθαλμῶν βολῇ οἴεσθαι αὐτοὺς ἀποκρύπτειν· καὶ λοιπὸν ἀποκεκμηκότες, ὅτε ἔδοξεν ἱκανῶς ἔχειν αὐτοὺς ἐν τῇ θαλάσσῃ καὶ ἐδεδίεσαν μὴ εἰς ἑτέραν αὐτὸν ἀποβαστάσωσι πατρίδα ὡς οὐκ ἠβούλοντο, τὸ προσταχθὲν αὐτοῖς ἐπιτελοῦσι, καὶ ἐβύθισαν αὐτὸν παραπέμψαντες ὑποβρύχιον τοῖς κύμασι. Καὶ λοιπὸν ἐπανῄεσαν πρὸς Δατιανὸν ἱλαροὶ D τοῖς προσώποις, ὡς ἐπικομιζόμενοι χαρᾶς εὐαγγέλια μέγιστα, καταστρηνῶντες, ὡς εἰωθὸς ναύταις εἰκότως δυσσεβεῖν, φωναῖς ἀτάκτοις καὶ κρότοις συναπηχοῦντες· πλέον δὲ τοῦ δέοντος κατήπειγον ἑαυτοὺς τῷ τάχει ἐπὶ τὸν ἄρχοντα, μήπως ἕτεροι ὑποφθάσαντες τὸ αὐτῷ ἀπαγγείλωσι καταθύμιον, τὸ ἀνάρπαστον ἐκ τῶν ὀφθαλμῶν πάντων γεγονέναι τὸν Βικέντιον. Ἀλλὰ γὰρ καθ' ὃ δίκαιον ὑπῆρχέ τε καὶ ὅσιον, πρὶν ἐπ-

XX. Cum vero athletæ et martyris corpus ita conclusum fuisset, mox venit cum nautis homo quidam Eumorphius nomine, pessimis moribus, et animo sacrilego, qui promiserat tyranno illi nautas se adhibiturum, qui ad exsecrabile scelus committendum idonei, ejus voluntati facile obtemperaturi essent. Itaque nautæ illi pretiosissimas Vincentii martyris reliquias in scapham conjecerunt, et eousque in altum mare navigarunt, ut littora et montes oculorum aciem fugerent; cumque id facere vellent, quod jussi fuerant, sanctas reliquias in mare projecerunt, et hilari vultu ad Datianum revertebantur, quasi læti illius nuntii præmium relaturi essent, impiis et incompositis vocibus atque irrisionibus utentes, exsultantesque, eo quod Vincentii corpus perditum fuisset. Sed priusquam in aridam terram reversi essent, qui martyris corpus in mare projecerant, illud ipsum, quod projectum fuerat, Christi manu ad terram appulsum fuit, quodque arbitrabantur in altum et immensum pelagus demersum fuisse, illud cum ante oculos suos expositum vidissent, quasi debitum sepulcri honorem postularet, stupore et metu correpti, illis ipsis reliquiis derelictis, abierunt.

(1) Hic multum variat codex noster ab edito Latino, et passim auctior est usque ad finem Vitæ. EDIT. PATR.

ανελθεῖν τοὺς ῥίψαντας τὸ σῶμα τοῦ μάρτυρος ναύτας, ἐπὶ τὴν ξηρὰν ἐπανῆλθε τὸ ῥιφὲν σῶμα, τῇ τοῦ Θεοῦ χάριτι κυβερνώμενον, καὶ ὅπερ ἐδόκουν τοῖς ἀπείροις τῆς θαλάσσης βάθεσιν ἐγκαθελκόμενον βυθίζεσθαι, τοῦτο πρὸ τῶν ὀφθαλμῶν αὐτῶν ὁρῶντες κείμενον πρὸς τῷ λιμένι, καὶ τὴν ὀφειλομένην τιμὴν τῆς ταφῆς ἐξαιτούμενον, καὶ ἡσυχίας δεόμενον ἐξέστησαν· ὅθεν φόβῳ πολλῷ συσχεθέντες, καταλιπόντες αὐτὸ ἀπῆλθον· πρὶν ἢ γάρ τινα φθάσαι ἀπαγγεῖλαι τῷ ἀλάστορι ἐπὶ τὴν ξηρὰν ἐπανῆλθε τὸ ῥιφὲν σῶμα τοῦ μάρτυρος τῇ τοῦ Χριστοῦ κυβερνώμενον [χειρὶ], ὅπερ ἐκριφὲν ὑπὸ τῶν κυμάτων ἀνεπαύετο ἐν τῷ αἰγιαλῷ.

XXI. Jam vero sanctus martyr Vincentius viro cuidam in somnis reliquias suas ex alto mari in terram expositas esse significavit: quin etiam locum, in quo reliquiæ ipsæ positæ erant, eidem patefecit. Quoniam vero præsidem timens vir ille, ad martyris reliquias inquirendas segnem et parum alacrem se præbuit, ille ipse martyr in somnis apparuit feminæ cuidam viduæ, quæ ut ætate provecta, ita morum sanctitate prædita erat. Illam cum similiter admonuisset, eidem signa quædam ejus loci patefecit, in quo sanctum illud corpus jaceret, quod videlicet læteret sub arena quam lenis et tranquilla unda in reliquias illas sanctas sic infuderat quasi arena ipsa martyris sepulturæ deserviret. A

ΚΑ'. Καὶ γάρ τινα ἄνδρα καθ' ὕπνους ὑπέμνησεν ὁ ἅγιος, δεικνὺς αὐτῷ ἀνακεκομίσθαι τὸ λείψανον αὐτοῦ ἐπὶ τοὺς αἰγιολοὺς, καὶ αὐτὸν τὸν τόπον σαφηνίσας αὐτῷ κατὰ ἀκρίβειαν, ἐν ᾧ ἐξέκειτο. Ἐπειδὴ δὲ οὗτος φόβῳ τοῦ ἄρχοντος ἀργότερός τε καὶ ἄχρηστος περὶ τὴν ζήτησιν τοῦ πολυτιμήτου θησαυροῦ ἐγένετο, φημὶ δὴ, τοῦ ἁγίου λειψάνου, ἐφ' ἑτέραν πάλιν χήραν ἔρχεται προβεβηκυῖαν τοῖς ἔτεσιν, καὶ ἡλικίᾳ διαπρέπουσαν, καὶ ἁγιότητι πεπληρωμένην, καὶ ταύτην ὁμοίως ὑπομνήσας καθ' ὕπνους, δίδωσι αὐτῇ σημεῖα ἀληθέστατα τοῦ τόπου, ἔνθα ἤδη ὑπὸ τῇ ἁπαλῇ ψάμμῳ ἡσύχαζεν τὸ σῶμα, τῇ ἐπανέσει καὶ ἐπαναχύσει τῷ πράῳ καὶ γαληνῷ κύματι τετυμβευμένον. Τοῦ γὰρ στοιχείου ἐπιλάμποντός τε καὶ ἐπικλύζοντος, ἤγουν τῆς θαλάσσης, δουλεύουσα ἡ ψάμμος διὰ τῆς κατὰ μικρὸν ἐπαθροίσεως, τὴν τῆς ταφῆς τιμὴν ἀπεπλήρωσεν. Ὅθεν οὐδὲν θαυμαστὸν εἰ μετὰ ταῦτα ἀνθρώπων σπουδαί τε καὶ θεραπεῖαι συνεπλήρωσαν, ὅπερ ἤδη τὰ στοιχεῖα σὺν παραδόξῳ δουλείας τρόπῳ τὴν ὑπὲρ τῆς ταφῆς τετελέκεισαν κηδεμονίαν.

XXII. Sepultus igitur fuit generosus Christi athleta primum in littore sub arena. Mox anus, illa, femina valde religiosa et vidua, quam supra diximus, perlustrabat littora, inquirens signa illa, quæ in somnis ei patefacta fuerant: cumque invenisset quod quærebat, et martyris reliquias in ædem illis dignam tulisset, eas sancte ac religiose condidit. Itaque sumptuosis exsequiis adhibitis, sacræ illæ reliquiæ Deo ipsi dicatæ sunt in illius templi ara, quod sancti martyris Vincentii appellatum fuit. Hæc est sanctissima martyris confessio, hæc illius certamina qui martyrium suum complevit in gloriam Christi Dei nostri, nunc et in sæcula. Amen. B

ΚΒ'. Ἐτάφη γοῦν πρῶτον ὁ γενναῖος ἀθλητὴς τοῦ Χριστοῦ ἐν τῷ αἰγιαλῷ εἰς αὐτὰς τὰς συναλλαγὰς τοῦ ἐδάφους καὶ τῶν ὑδάτων· διδάγματα οὐ μικρὰ καταλείψας ἡμῖν διὰ τοῦ τῆς ταφῆς αὐτοῦ θαύματος τῆς εἰς Θεὸν αὐτοῦ ἀκλινοῦς καὶ στερεμνίας πίστεως, καὶ ὅπως δόκιμος κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀναδειχθῇ. Ἀλλὰ γὰρ καὶ ἡ προλεχθεῖσα πρεσβῦτις καὶ Χριστιανικωτάτη χήρα περιήρχετο περὶ τοὺς αἰγιαλοὺς, τὰ ἀποκαλυφθέντα αὐτῇ ζητοῦσα σημεῖα, εἶτα εὑροῦσα τὸ ζητούμενον, καὶ εἰς οἶκον ἐπάξιον ἀποτεθεῖσα τὸ σεβάσμιον τοῦ μάρτυρος λείψανον, κατέθετο ὁσίως. Ἐντεῦθεν γὰρ εἰς οἶκον ἐπάξιον ἀνεκομίσθη τὸ πολυμακάρεστον καὶ πανσεβάσμιον λείψανον τοῦ πανενδόξου μάρτυρος τοῦ Χριστοῦ Βικεντίου, καὶ δὴ λοιπὸν σὺν πολυτελεστέρᾳ ταφῇ ἀνετέθη καὶ καθιερώθη τῷ Θεῷ τὸ λείψανον ἐν τῷ θυσιαστηρίῳ τοῦ ναοῦ, τὴν ἐπωνυμίαν λαχόντος ἐπὶ τῷ ὀνόματι τοῦ ἁγίου μάρτυρος Βικεντίου, τοῦ οἴκου δηλαδὴ σὺν τῷ προσιόντι αὐτῷ τόπῳ εἰς ἐκκλησίαν καθιερωθέντος, τῶν θείων καὶ ἀχράντων μυστηρίων τοῦ Δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν αὐτῷ ἐπιτελεσθέντων, καὶ τὴν ἐπωνυμίαν λαχόντος ἐπὶ τὸν ἅγιον Βικέντιον· καθ' ὃν γὰρ τρόπον ἐτίμησε καὶ ἐτιμήθη ὁ ἅγιος, τὸν οἶκον καὶ τὸν τόπον προσκυνητὸν ἀπειργάσατο, καὶ ὅσῳ ἐν πλείστοις τόποις ἀνεδείχθη τὸ τίμιον καὶ ἱερώτατον αὐτοῦ σῶμα, τοσούτῳ καὶ πλείονες εὐκτήριοι οἶκοι κατεστάθησαν, τῷ ἐκ πλειόνων αὐτῷ τόπων τὰς τιμὰς ἀναφέρεσθαι, καὶ πλεῖστα καθιερώσας, σεσωρευμένως καὶ μεγαλοφυῶς καθιερώθη αὐτὴ ἡ ὁμολογία τοῦ μάρτυρος, καὶ οὗτοι οἱ ἀγῶνες αὐτοῦ, τῷ μέχρις ἐσχάτης ἀναπνοῆς ἀμετάθετον διατηρῆσαι τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πίστιν. Καὶ οὕτως ἐτελειώθη ὁ πανένδοξος μάρτυς τοῦ Χριστοῦ Βικέντιος, μηνὶ Νοεμβρίῳ ἐνδεκάτῃ, βασιλεύοντος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.

DE S. TIMOTHEO APOSTOLO

EPISCOPO EPHESINO, MARTYRE.

(Anno Christi 97, die 22 Januarii apud Græcos, apud Latinos die 24 ; Bolland. ad hanc diem.)

---

§ I. *S. Timothei natalis.*

1 Latini plerique (non tamen, quod existimavit Baronius, omnes, ut mox dicemus) S. Timothei natalem XXIV Januarii celebrant. Operæ pretium est ex aliquot Martyrologiis, quæ de eo prædicantur, depromere, quibus reliqua de eo dicenda illustrentur. Vetus ergo Romanum Martyrologium ita habet : « Ephesi Timothei apostoli. » Eadem in variis mss. leguntur, quorum quædam Bedæ præferunt nomen, et in nonnullis sub nomine Usuardi editis; in Bellino quoque, Rabano, Adone: ast hic in libello de festivitatibus Apostolorum : « Natalis S. Timothei discipuli B. Pauli apostoli, qui apud Ephesum a beato Apostolo episcopus ordinatus, post multos pro Christo agones dormivit. Cujus corpus cum reliquiis B. Andreæ et Lucæ, vicesimo Constantii anno Constantinopolim translatum est. » Eadem habet Beda vulgatus, Notkerus, et mss. plurima. Martyrologium Romanum : « Natalis S. Timothei discipuli B. Pauli apostoli, qui ab eodem Ephesi ordinatus episcopus, post multos pro Christo agones, cum Dianæ immolantes argueret, lapidibus obrutus, paulo post obdormivit in Domino. »

2. Græci vero XXII Januarii, quo interemptus est, de eo agunt. Quo die Menæa : « Sancti apostolli Timothei, discipuli S. Pauli apostoli. »

Amore divinarum Timotheus coronarum,
Fustibus cæsus tinxit terram sanguine.

Ortus hic fuit ex Lystra urbe, patre gentili, matre Judæa, cui Eunice nomen. Discipulus B. apostolo Paulo factus, conscriptor divini Evangelii et præco exstitit : Joanni quoque præ cæteris a Christo dilecto convixit : atque ab ipso apostolo Paulo Ephesi episcopus ordinatus est. Postquam enim (ut Irenæus Lugdunensis episcopus tradidit, et passim sermone celebratur) Joannes e mari ejectus, Ephesoque redditus est; ac deinde sub Domitiano principe in Patmum insulam exsul deportatus ; Beatus hic Timotheus Ephesinæ Ecclesiæ præfuit. Cum vero idololatriæ diem quemdam festum, quod Καταγώγιον, id est, deductionem, appellabant, Ehesi patrio ritu agitarent ; idola quidem manu gestantes, et larvis quibusdam aut personis induti, et in his decantantes, atque in viros ac feminas latronum more irruentes, omniaque cædibus miscentes ; B. Timotheus tam dirum et atrox facinus intueri non sustinens, stultum eorum errorem arguebat, et ut a tam fœdis factis desisterent hortabatur. Quem impii fustibus contusum e medio sustulerunt. Postmodum autem sacræ ejus reliquiæ Constantinopolim translatæ sunt, et in templo Sanctorum Apostolorum collocatæ, ubi solemnis ejus agitur memoria.

3. Eadem habet Anthologium Græcorum a Clemente VIII approbatum, et Maximus Cytheræus. At quod conscripsisse Evangelium dicitur, id quidem alibi haud legimus. Citatur apocryphum Nicodemi Evangelium : aliis quoque ascripta olim, quæ ab otiosis composita hominibus erant, de quibus fuse Baronius tom. I ad an. 44; at nihil isthic de Timotheo. Fortassis Evangelii conscriptor, sive συγγραφεύς, dicitur, quod cum Joanne familiariter versatus Ephesi, trium evangelistarum aliorumque sanctorum virorum de Christi rebus gestis commentarios, collegerit, quos dein recognovisse ac digessisse Joannes dicitur.

4. Eodem XXII die Januarii eum Usuardus, Maurolycus, Galesinius, Canisius, aliique Latinorum referunt; quidam utroque die. Usuardus ista habet: « Natalis S. Timothei discipuli B. Pauli. Hic ab eodem Apostolo episcopus Epheso ordinatus, est. » Galesinius breviter omnem ejus vitam complexus est : «Ephesi S. Timothei, B. Pauli apostoli discipuli. Is Lystris in Lycaonia natus, a pueritia in sacris litteris et pietate eruditus ; quo tempore apostolus Paulus eo venit, religionem Christianam coluit ; utpote cum matrem Eunicem haberet, mulierem Jesu Christi fidei studio flagrantem. Pervulgata ejus adolescentis virtutum fama, illum sibi comitem peregrinationis et socium laborum Apostolus adjunxit : sicque adjutorem operis in Evangelio Christi eumdem ubique adhibuit. Siquidem hic una cum illo, propagandæ fidei causa, modo Ephesum, modo Corinthum profectus, Macedoniam etiam, Italiam atque universam terram, prædicando peragravit. Fuit autem admirabili indoli adolescens : pudice et caste perpetuo vixit : prudentia sapientiaque ita præstitit, ut omne ministerium ei Apostolus concrederet; in Macedoniaque curam illorum traderet, qui Evangelium susceperant. Demum Ephesiorum factus episcopus, dum ab Dianæ cultu populum avocare conatur, Domitiano imperatore, lapidibus a multitudine pœne obrutus, Christianorum ope eo periculo liberatus, ad finitimum montem, qui Pion dicitur, venit, ubi animam Deo

reddidit. Ejus corpus Constantinopolim post Constantino Augasto procurante, translatum est. »

5. Alii aliis diebus ejus memoriam consecrant. Wandelbertus XVI Maii :

Septima Timothei cum dena nomine lucet,
Veridica Paulus docuit quem voce beatus.

XXII Augusti ista habet pervetustum Rhinawien. ms. « Romæ Timothei discipuli S. Pauli. » Sed postremæ tres voces videntur a librario adjectæ: colitur alioquin eo die S. Timotheus Romanus Martyr. Denique XXVII Septembris ms. Martyrologium S. Hieronymi : « In Epheso Timothei. » Hujusne ? Ita sensit veteris scriptor Martyrologii, quod in monasteriis Lætiensi et S. Martini Tornaci asservatur, in quo ista leguntur eo die : « Et S. Timothei discipuli Pauli apostoli, quem idem vas electionis assumens, omnem ecclesiasticam disciplinam docuit, et per manus impositionem, accommodabilem Ecclesiis fecit. Hic pudicus et virgo permanens, apud Ephesum in monte qui vocatur Pion, cum magno honore sepultus quiescit. » Cur vero « accommodabilis Ecclesiis factus » dicitur? an quia episcopus consecratus principio est, nulli certæ sedi astrictus, sed ut munus apostolicum perfectius ubivis exsequi posset ?

§ II. *Acta S. Timothei, tempus mortis.*

6 « Polycrates Ephesiorum episcopus... floruit temporibus Severi principis, » ut testatur S. Hieronymus lib. *De scriptoribus ecclesiasticis* cap. 45, ubi nonnulla recitat ex Synodica ejus epistola pro ritu in ista Ecclesia a S. Joannis Evangelistæ temporibus observato, celebrandi una XIV Paschatis. De eo Sigebertus cap. 3. « Polycrates passionem S. Timothei apostoli scripsit, et alia multa ; » at Baronius in Notis ad Martyrologium, de ea ita pronuntiat : « Passionem Timothei a Polycrate scriptam fuisse auctor est Sigebertus *De viris illust.* c. 3, sed ignotum id prorsus Eusebio atque Hieronymo, qui agunt de Polycrate. » Verum et alia ab iis prætermissa aliorum auctorum scripta. Photius tamen, cum legisse se passionem hanc scribit, auctorem nullum nominat. Autbertus Miræus in *Bibliotheca Ecclesiastica*, « Fit in ea Passione, inquit, mentio Irenæi Lugdunensis episcopi : ex quo colligi datur, non posse eam attribui Polycrati, qui Timotheo post Onesimum successit. » At nusquam dicitur immediate successisse Onesimo, qui sub Trajano passus traditur, ut 16 Febr. dicemus. Ipse Miræus Irenæum anno 10 Severi (qui erat Christi 202, aut. 203, viginti jam diebus inchoatus) coronatum asserit : S. Hieronymus Polycratem « floruisse temperibus Severi principis: » ut facile potuerit Irenæi, æqualis sui, commentarium aliquem, imo omnes, legisse.

Ipse se Polycratem auctor vocat (*a*) ; qui sane impostor habendus esset, si alieni nominis honorem sibi falso arrogaret, at scriptum grave est quod ad rem attinet, licet stylo humile asserat Photius), estque consentaneum iis quæ cæteri quoque de Timotheo tradiderunt. Vincentius Bellovacensis lib. x, cap. 38, ex Polycrate Acta quædam Timothei recitat ; « quæ stylo suo » inquit, Petrus Hallois noster in Notat. ad cap. 7 Vitæ S. Polycarpi, « satis clamant se e Græcis esse translata ; » atque omnino Polycrati ipse illa tribuit. Ea ex vetustis codicibus monasteriorum S. Maximi, et S. Mariæ de Ripatorio descripsimus, contulimusque cum excusis agonibus martyrum, ms. Nicolai Belfortii, et Græca ms. historia martyrum, ms. Nicolai Belfortii, et Græca ms. historia martyrii S. Timothei, quæ ipsa fortassis est Polycratis, sed a quopiam post translatas Constantinopolim reliquias recognita, omisso exordio, quo nomen suum Polycrates profitetur; et merito, cum recentior ille scriptor periodum interjecerit de translatis reliquiis, cui proinde præfigere Polycratis nomen non poterat; at suum ipso reticuit, vel ætas librariorumve negligentia oblitteravit : vixisse ante Justiniani tempora inde conjectamus, qui templi ab eo conditi non meminit. Metaphrastes martyrium, translationem, templi vel ædificationem vel restaurationem, complexus est.

(*a*) S. Timothei Vitam auctore Polycrate dedimus in *Patrologiæ* nostræ tomo V, col. 1302. Nunc ejusdem acta a Symeone Metaphraste scripta exhibemus. EDIT. PATR.

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΤΙΜΟΘΕΟΝ.

—

COMMEMORATIO

S. THIMOTHEI APOSTOLI

(Latine apud Bolland. ad 24 Jan.; Græca descripsimus ex cod. Reg. Paris. n. 1457, sæculi XI. EDIT. PATR.)

—

CAPUT I.

Timotheus S. Pauli discipulus et comes.

Α'. Τιμόθεον τὸν μέγαν ἤνεγκε μὲν ἡ Λυκαόνων, A ἐθρέψατο δὲ καὶ ἤσκησεν ἡ πάλαι περιφανὴς ἐν πόλεσι Λύστρα, οὐχ οὕτω καρπῶν εὐφορίᾳ καὶ ἀφθονίᾳ τῶν ἀναγκαίων, ὅσῳ ἐπὶ τῷ ἡδίστῳ φυτῷ τῷδε σεμνυνομένη, καὶ τοῖς ἐπανθοῦσιν αὐτῷ τῆς ἀρετῆς κάλλεσι καὶ κοσμήμασι, καίτοιγε μηδὲ ταῖς τοῦ γένους ῥίζαις κεχρημένῳ καθαραῖς τε καὶ ἀκιβδήλοις, ἀλλὰ καὶ πολὺ τὸ ἐκ τῶν ἀκανθῶν τῆς ἀπιστίας ἐχούσαις ἐπίμικτον. Προμήτωρ μὲν γὰρ αὐτῷ Λοΐς, γυνὴ θεοφιλὴς καὶ ἀρετῆς ἀτεχνῶς ἐπιμ[ελουμ]ένης μήτηρ Εὐνίκη ἐξ Ἰουδαίων ἐκκεντρισθεῖσα πάλαι εἰς τὴν εὐσέβειαν, καὶ ὄντως ἐν ἀκηράτοις ἀρετῶν ἀνθήσασα κήποις· πατὴρ δὲ Ἕλλην, καὶ τὰ Ἑλλήνων ἐπισημότατος, οἱονεί τι ζιζάνιον ἐν σίτῳ, τῷ καλῷ Τιμοθέου γένει, καὶ ῥόδοις ἄκανθα παραφὺς, καὶ τοσούτῳ διαφανὴς τὴν κακίαν γενόμενος, ὅσον ὁ παῖς B περιφανὴς τὴν εὐσέβειαν, καὶ τὴν ἀρετὴν ἀπαράμιλλος.

Β'. Ὃς ἔτι νήπιος ὢν, καὶ ὑπὸ τῇ μητρὶ Εὐνίκῃ παιδαγωγούμενος τὴν Ἑλλήνων ἅμα καὶ Ἰουδαίων ἐπίσης ἀπάτην ἐξέκλινε, καὶ Παύλῳ τηνικαῦτα τῇ τῆς Ἐκκλησίας λαμπρᾷ σάλπιγγι πρόσεισι, σὺν ἅμα Βαρνάβᾳ τῷ τοῦ Χριστοῦ μαθητῇ καὶ ἀποστόλῳ, καθ' ὅ φησιν ὁ θεῖος Λουκᾶς ἐν ταῖς Πράξεσιν, ἐπιδεδημηκότι τῇ Λυκαόνων, ἥτις ὅμορος μέν ἐστιν Ἰκονίῳ καὶ Δέρβῃ, μεγίστου δὲ θαύματος τότε τῆς τοῦ Παύλου ἐπιδημίας ἀπολελαύκε, καὶ χωλὴν ἐξ αὐτῆς εἶδε τῆς εἰς φῶς προόδου (ὢ θείας ἐπισκοπῆς! ὢ παραδόξου θαύματος!) ὑγιᾶ τῇ ἐκείνου παρουσίᾳ γεγενημένον, καὶ ποσὶν οἰκείοις ἀλύπως ἅμα καὶ ἀσφαλῶς χρώμενον. Ὃς τοσοῦτον ἐξέπληξε τοὺς C κατὰ πόλιν, ὡς εἶναι καὶ πέρα πίστεως αὐτοῖς τὸ γεγενημένον, καὶ θεοὺς οἴεσθαι τοὺς σφετέρους ἀνθρώπῳ τὴν θέαν ὁμοιωθέντας τὴν πόλιν περιπολεῖν, ὧν ἔργον καὶ τὴν τοῦ χωλοῦ θεραπείαν λογίζε-

I. Magnum Timotheum tulit quidem Lycaonia, aluit autem et instituit, quæ olim inter civitates fuit inclyta, Lystra: non tantum sibi placens de ubertate et abundantia rerum necessariarum, quantum de hac planta longe suavissima, et de iis quæ in eo efflorent, virtutis ornamentis. etsi ne puras quidem et sinceras generis habuerit radices; sed ex spinis quoque infidelitatis plurimum habuerit admistum. Nam erat quidem ei avia Lois, mulier pia, et quæ revera curam gerebat virtutis; mater Eunica, quæ et Judæis quidem olim fuerat insita in pietatem, et in integris virtutum hortis revera floruerat. Pater autem gentilis, et in gentilium rebus maxime insignis, veluti quoddam in frumento lolium, nempe honesto et præclaro Timothei genere, et rosis spina adnatus, et vitio tantum insignis, quantum fuit illius filius pietate clarus et virtute incomparabilis.

Cum esset autem adhuc infans Timotheus, et a matre Eunica(1) institueretur, gentilium et Judæorum errorem simul ex æquo declinavit: et tunc accedit ad Paulum, præclaram Ecclesiæ tubam, simul cum Barnaba Christi discipulo et apostolo, sicut divinus Lucas dicit in Actis [1]; cum is venisset in Lycaoniam, quæ est finitima quidem Iconio et Derbæ, ex Pauli vero adventu magnum erat consecuta miraculum, et claudum ab ipso ortu (O divinam visitationem! o admirabile spectaculum!) sanum effectum illius præsentia, et pedibus suis absque molestia, et secure utentem. Qui quidem eos, qui erant in civitate, in tantam adduxit admirationem, ut esset eis id quod factum fuerat, supra fidem, et suos deos existimarent forma hominibus assimilatos obire civitatem, et eorum esse opus claudi curationem. Postquam autem, quisnam esset,

[1] Act. XIV.

(1) Miramur duas has sanctas feminas Loidem et Eunicen, nec in Græcorum, nec in Latinorum Fastis reperiri.

cognoverunt, et quod Dei vivi esset potius apostolus, et horum, qui falso dicuntur, deorum adversarius, ad hoc ipsum missus, ub ab eorum errore liberarentur homines, et quod prædicat Deum, qui non solum potest corrigere tales corporum mutilationes, sed etiam suscitare mortuos; multi ab errore deficientes accesseruut ad pietatem. Opus illius miraculi, fuerunt etiam hujus admirabilis discipuli et apostoli parentes, qui ma. no studio et liberalitate Paulum domi suæ acceperunt: et pietatis quidem lucem ab eo habuerunt, pium autem et Dei amantem Timotheum, veluti vicissim reddiderunt, qui erat adhuc juvenis et tener, et aptus ad suscipienda semina pietatis, quod quidem licet apertius discere ex libro Actuum apostolorum [2]. Nam cum Paulus, inquit, obiret Lystram et Derben, erat illic discipulus quidam, nomine Timotheus, filius mulieris Judææ fidelis, patris autem gentilis. testimonium bonum reddebant, qui in Lytris erant et Iconio fratres.

III. Cum sic ergo Paulo traditus fuisset [3] Timotheus, Patri spiritali filius magis proprius, quam ejus qui erat pater secundum carnem, et ex civitate una esset excessurus, ab eo circumciditur propter quosdam Judæos, quibus plena erat civitas, et omnia circumcirca: quoniam omnes sciebant illum esse natum patre gentili. Atque civitates quidem obibat Paulus seminans prædicationem, veritatemque annuntians, et omnes spiritu regenerans. Eum autem consequebatur sicut stella solem Timotheus: deductus quidem a parentibus, eorum autem cor non obscure sauciaus propter separationem. Quidni enim, cum essent parentes talis filii, et qui scatebat tam suavi flore virtutis? Ipse vero ex eorum sejunctione nihil visus est affici, sed quodammodo Pauli desiderio contegere suam in parentes affectionem, et ostendere id naturali necessitate longe esse valentius. Hinc in litterarum disciplina ab illo instituitur, fitque ei contubernalis, et omnino simul cum eo vivebat. Deinde ejus quoque diaconus constituitur, et ad apostolatum confirmatur. periculorum atque laborum effectus socius et nihil omnino impeditus ab ætatis teneritudine, qui minus resisteret laboribus: sed generosam inducens voluntatem, quæ ætate plus poterat; adeo ut boni ejus animi et piorum operum testem ipsum habuerit magistrum, sic dicentem: Videte, ne quis ipsum contemnat [4]. Opus enim Domini operatur, sicut ego.

IV. Cum autem ad tantam pervenisset virtutem et tantum eis testem adhibuisset, non hic solum sed etiam in multis aliis locis. Nam «Modo quidem, inquit scribens ad Corinthios Paulus [5], misi ad vos Timotheum fratrem meum, qui est filius meus dilectus et fidelis in Domino, qui vobis in memo-

A σθαι. Ἐπεὶ δὲ ἔγνωσαν ὅστις ἦν, καὶ ὅτι Θεοῦ μᾶλλον ἀληθῶς ἀπόστολος, καὶ τῶν ψευδωνύμων τούτων θεῶν ἀντίθετος, πρὸς αὐτὸ δὴ τοῦτο ἀπεσταλμένος, ὥστε τῆς αὐτῶν πλάνης ῥύεσθαι τοὺς ἀνθρώπους, καὶ ὡς κηρύττει Θεὸν, οὐ τοιαύτας μόνον πηρώσεις ἀνορθοῦν σωμάτων, ἀλλὰ καὶ νεκροὺς ἀνιστᾷν δυνάμενον, πολλοὶ τῆς ἀπάτης ἀποστάντες τῇ εὐσεβείᾳ προσέθεντο. Ἐκείνου τοῦ θαύματος ἔργον καὶ αἱ τοῦ θαυμασίου τοῦδε μαθητοῦ καὶ ἀποστόλου πρόγονοι, τῇ οἰκίᾳ θερμῶς τε καὶ φιλοτίμως τὸν Παῦλον ὑποδεξάμεναι, καὶ φέγγος μὲν εὐσεβείας παρ' αὐτοῦ λαβοῦσαι, οἱονεὶ δὲ τὸν θεοφιλῆ Τιμόθεον ἀντιδοῦσαι, νεαρὸν ἔτι ὄντα καὶ ἁπαλὸν, καὶ σπέρματα θεοσεβείας ἐπιτήδειον παραδέξασθαι, ὅπερ οὖν καὶ ἀπ' αὐτῆς ποῦ εὐσαφέστερόν B ἐστι μαθεῖν τῆς τῶν Πράξεων βίβλου. Τοῦ Παύλου γὰρ, φησὶ, τὴν Λύστραν καὶ Δέρβην περιιόντος, ἦν ἐκεῖ μαθητής ὀνόματι Τιμόθεος, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος. Ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστρᾳ καὶ Ἰκονίῳ ἀδελφῶν.

Γ'. Οὕτω τοιγαροῦν ἐγχειρισθεὶς τῷ Παύλῳ Τιμόθεος, πατρὶ πνευματικῷ παῖς πολὺ τοῦ κατὰ σάρκα πατρὸς οἰκειότερος, καὶ συναπᾶραι μάλλων αὐτῷ τῆς πόλεως, περιτέμνεται ὑπ' αὐτοῦ διὰ τοὺς Ἰουδαίους, ὧν ἡ πόλις τότε καὶ τὰ περὶ αὐτὴν πάντα πεπλήρωτο, ἐπεὶ καὶ πάντες ἐκεῖνοι ᾔδεσαν ὡς ἄρα Ἕλληνος εἴη πατρός. Περιῄει μὲν οὖν τὰς πόλεις ὁ Παῦλος τὸ κήρυγμα κατασπείρων, καὶ τὴν ἀλήθειαν καταγγέλλων, καὶ ἀναγεννῶν πάντας τῷ Πνεύματι. Συνείπετο δὲ αὐτῷ καθάπερ ἀστὴρ ἡλίῳ Τιμόθεος, C προπεμπόμενος μὲν ὑπὸ των τεκόντων πλήττων δὲ αὐτῶν οὐκ ἀδήλως τὴν καρδίαν ἐπὶ τῷ χωρισμῷ. Καὶ πῶς γὰρ οὐκ ἔμελλον πατέρες ὄντες παιδὸς τοιαύτου, καὶ οὕτως ἡδίστῳ τῆς ἀρετῆς ἄνθει βρύοντος; Αὐτὸς δὲ πρὸς τὴν ἐκείνων διάστασιν οὐδὲν ἐοικὼς πάσχειν, ἀλλ' ὥσπερ τοῖς τοῦ Παύλου ἱμέροις τὴν πρὸς τοὺς τέκοντας ἀποκρύπτων στοργὴν, καὶ δεικνύων αὐτοὺς πολλῷ φυσικῆς ἀνάγκης ἰσχυροτέρους. Ἐντεῦθεν πρὸς μάθησιν γραμμάτων ὑπ' ἐκείνῳ παιδαγωγεῖται, καὶ γίνεται σύσκηνος αὐτῷ καὶ τὸ πᾶν ὁμοδίαιτος. Εἶτα καὶ διάκονος τούτου καθίσταται, καὶ πρὸς τὴν ἀποστολὴν ἐπιῤῥώννυται, κοινωνῶν αὐτῷ καὶ κινδύνων καὶ καμάτων, καὶ πόνων· καὶ μηδὲν ὅλως ἐμποδιζόμενος ὑπὸ τοῦ ἁπαλοῦ τῆς νεότητος πρὸς τὴν τῶν πόνων ἀντιτυπίαν, ἀλλ' εὐγένειαν προαιρέσεως ἀντεισάγων ἡλικίας D πλείονα δυναμένην, ὥστε καὶ μάρτυρα τῆς ἀγαθῆς ταύτης γνώμης· καὶ τῶν ἔργων τῶν εὐσεβῶν αὐτὸν κτήσασθαι τὸν διδάσκαλον οὕτω λέγοντα· Βλέπετέ μή τις αὐτὸν ἐξουδενώσῃ· τὸ γὰρ ἔργον τοῦ Κυρίου ἐργάζεται ὡς κἀγώ.

Δ'. Εἰς τοῦτο δὲ ἀρετῆς ἐλάσας, καὶ τηλικοῦτον μάρτυρα ταύτης πεποιημένος, οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἀλλαχοῦ πολλαχοῦ· «Νῦν μὲν γὰρ, φησὶ Κορινθίοις γράφων ὁ Παῦλος, ἔπεμψα ὑμῖν Τιμόθεον τὸν ἀδελφόν μου, ὅς ἐστι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς

[2] Act. XVI, 1. [3] Ibid., II, 3. [4] I Cor. XVI. [5] I Cor. IV, 17.

ὁδούς μου τὰς ἐν Χριστῷ.» Καὶ πάλιν· «Ἐὰν ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς.» Νῦν δὲ καὶ Φιλιππησίοις ἐπιστέλλων, κοινωνὸν αὐτὸν ποιεῖται ἐπιγραφῆς· «Παῦλος καὶ Τιμόθεος δοῦλοι Ἰησοῦ Χριστοῦ.» Καὶ ἑξῆς τῆς ἐπιστολῆς· «Ἐλπίζω δὲ ἐν Κυρίῳ Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν. Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει.» Συνῳδὰ δὲ τούτοις καὶ Θεσσαλονικεῦσι· «Παῦλος καὶ Τιμόθεος δοῦλοι Ἰησοῦ Χριστοῦ,» τῇ τῆς ἐπιγραφῆς καὶ ἐνταῦθα κοινωνίᾳ τιμήσας· «Ἔπεμψα ὑμῖν Τιμόθεον τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον Θεοῦ, καὶ συνεργὸν ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ εἰς τὸ στηρίξαι καὶ παρακαλέσαι περὶ τῆς πίστεως ἡμῶν, τοῦ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις.» B Καὶ ἀλλαχοῦ· «Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ Εὐαγγέλιον·» μάρτυρας κἀκείνους οἱονεὶ τῆς ἀρετῆς τοῦ Τιμοθέου παραλαμβάνων. Ἔπειτα δὲ καὶ πρὸς Κολασσαεῖς· «Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός.»

A riam rediget vias meas in Christo.» Et rursus[6]: «Si venerit Timotheus, videte ut sine metu sit apud vos.» Modo autem ad Philippenses[7] quoque scribens, asciscit socium inscriptionis: «Paulus et Timotheus servi Jesu Christi.» Et deinceps consequenter in Epistola: «Spero autem in Domino me Timotheum cito ad vos missurum, ut et ego bono animo sim, cognitis quæ circa vos sunt. Neminem enim habeo tam unanimem, qui sincere pro vobis sit sollicitus.» His vero congruentia scribit etiam ad Thessalonicenses[8]: «Paulus et Timotheus servi Jesu Christi,» eum hic quoque honorans societate inscriptionis: «Misi ad vos Timotheum fratrem nostrum et ministrum Dei, et cooperatorem in Evangelio Jesu Christi, ad confirmandos vos et exhortandos pro fide nostra, et nemo moveatur in istis afflictionibus[8*].» Et alibi[9]: «Probationem autem ejus cognoscitis, quod sicut filius patri mecum serviit in Evangelio:» illos quoque assumens veluti testes virtutis Timothei. Deinde vero etiam ad Colossenses[10]: «Paulus apostolus Jesu Christi per voluntatem Dei, et Timotheus frater.»

CAPUT II.

S. Timothei zelus, martyrium. S. Joannis exsilium.

Ε′. Οὕτω τοιγαροῦν ὑπὸ τοῦ διδασκάλου μαρτυρούμενος, καὶ τοῦτο μὲν τέκνον ἐν Κυρίῳ πιστὸν καὶ ἀγαπητὸν, τοῦτο δὲ καὶ ἀδελφὸς αὐτοῦ καὶ συνεργὸς τοῦ Εὐαγγελίου καλεῖσθαι ἠξιωμένος, καὶ τοσούτων C ἄνω καὶ κάτω παρ' αὐτῷ καὶ οὕτω μεγάλων ἀπολαύων τῶν ἐγκωμίων, ὅμως οὐδὲ οὕτως εἶχε θαῤῥεῖν ὑπὲρ ἑαυτοῦ καὶ μὴ δεδιέναι· ἀλλὰ μετὰ τοσαύτης ἔζη τῆς ἀκριβείας, καὶ οὕτως ἐναγώνιος καὶ φιλοπόνως καὶ τηλικαύτην εἰσφέρων τὴν κακοπάθειαν, ὡς καὶ παρακλήσεις αὐτῷ τὸν διδάσκαλον προσάγειν, μηκέτι ὑδροποτεῖν τῷ μαθητῇ παραινοῦντα, ἀλλ' οἴνῳ ὀλίγῳ χρῆσθαι «Διὰ τὸν στόμαχόν σου, φησὶ, καὶ τὰς πυκνάς σου ἀσθενείας.»

V. Porro autem cum a præceptore tantum ferret testimonium, et modo quidem filius in Domino fidelis et dilectus: modo autem ejus frater et Evangelii cooperator vocari dignus haberetur; et susque deque tot et tam magna consequeretur encomia; tamen ne sic quidem sibi ipsi confidere et non timere poterat: sed tam accurate vivebat, et tam diligenter se exercebat, et tam acriter se affligebat, ut cum etiam exhortaretur præceptor, suadens discipulo[11], ne aquam amplius biberet, sed vino modico uteretur: «Propter stomachum tuum, inquit, et frequentes tuas infirmitates.»

Ϛ′. Ἀλλὰ καὶ οὕτως αὐτοῦ κάμνοντος ὑπὸ τῆς συνεχοῦς ἀῤῥωστίας τὸ σῶμα, καὶ τὴν τοῦ στομάχου δύναμιν περιβεβλημένου, τὸ γενναῖον ἀπέλαμπε τῆς ψυχῆς. Οὐ γὰρ ἀσθένεια σώματος τηλικαύτην ψυχῆς εὐγένειαν ἱκανὴ γέγονεν ἐλέγξαι, ἀλλ' ἦν πανταχοῦ κούφῳ τῷ τοῦ ζήλου πτερῷ διιπτάμενος, καὶ νῦν μὲν Ἔφεσον, νῦν δὲ Κορινθίους αἱ τῆς ἐκείνου D γλώττης σειρῆνες ἔθελγον· καὶ Μακεδονίαν δὲ πολλάκις, καὶ Ἰταλίαν, καὶ γῆν πᾶσαν καὶ θάλασσαν μετὰ τοῦ διδασκάλου τῷ κηρύγματι περιέλαβον. Τί δ' ἂν εἴποις ὁπόσους ἐπιθυμίαις ἀλογωτάταις καὶ ἀτόποις δουλεύοντας τῆς χαλεπῆς ταύτης ἀπήλλαξε λειτουργίας; Οἶδεν ἀκριβῶς ὃ λέγω, ὃς ἄρα μηδὲ τοῦ ἐν Κορίνθῳ πεπορνευκότος ἠγνόησε τὸ ἀνόμημα. Καὶ γὰρ ἦν ὁ θεῖος Τιμόθεος οὐχὶ νοῆσαι μόνον ὀξύτατος, ἀλλὰ καὶ εἰπεῖν προχειρότατος, καὶ περιττῶς τῇ εὐρημοσύνῃ χρήσασθαι δεξιώτατος, τά τε θεῖα εἰσηγήσασθαι χαριέστατος, καὶ εἰς εὐκοσμίαν Ἐκ-

VI. Sed quamvis sic laboraret ejus corpus continua infirmitate, et haberet dejectam stomachi facultatem[12], generosus resplendebat animus. Non poterat enim corporis infirmitas deprimere tam generosum animum: sed celeris zeli penna omnem in partem pervolabat, et modo quidem Ephesum, modo vero Corinthum illius linguæ Sirenes demulcebat. Macedoniam quoque sæpe et Italiam et universam terram cum præceptore complectebatur prædicatione. Quid autem dixeris, quam multos cupiditatibus a ratione maxime alienis et absurdis servientes, ab hoc gravi liberavit ministerio? Recte novit, quod dico, is qui ejus qui Corinthi est fornicatus non ignoravit delictum. Erat enim divinus Timotheus non ad intelligendum solum acutissimus, sed ad dicendum etiam promptissimus, et ad facundia egregie utendum dexterrimus, et in divinis exponendis jucundissimus, et ad Ecclesiam compo-

[6] I Cor. XVI, 10. [7] Phil. I, 1; et II, 19. [8] I et II Thess. I. [8*] I Thess, III, 2. [9] Philip. II, 22. [10] Coloss. I, 1. [11] I Tim. V, 23. [12] I Tim. V, 23.

nendam et custodiendam vel maxime idoneus. Nam et copiosiorem consecutus est gratiam, et doctrinæ fontibus usus est duplicibus; non Pauli solummodo admirabili lyra Spiritus se oblectans, sed etiam versans cum Joanne eximie dilecto discipulo, et ab eo præfectus administrationi sedis Ephesiorum, cum ab eo audisset et didicisset, quæ ille rursus a bono Spiritu.

VII. Nam cum Nero, qui male ad imperium, male (o justitia et Dei tolerantia!) accesserat, fini martyrii principes apostolorum, Petrum, inquam, et Paulum, subjecisset, et alii qui cum ipsis erant discipuli se alio convertissent; accidit ut hic magnus evangelista et Theologus Ephesi constiteret, a tempestate et naufragio ejectus, ut et referunt quæ ab Irenæo Lugdunensi scripta sunt (2), et fama tradit. Ex discipulis autem ii, qui secuti sunt alios evangelistas et apostolos, ea quæ ab illis diversa lingua composita fuerant, (nondum enim unius vocis sermone usi fuerant) cum ad Ephesiorum civitatem detulissent, ei tradunt. Illum vero, ut etiam videtur Eusebio Pamphili hæc tractant, aiunt ea quidem, quæ scripta fuerant, admisisse, de eorum veritate ferendo testimonium: animadvertisse autem in eis solam restare narrationem de iis quæ in primis et in principio prædicationis a Christo facta fuerant. Et vera quidem est oratio. Invenies enim, si diligenter consideraveris, tres evangelistas ea solum conscripsisse, quæ uno anno a Servatore gesta sunt. postquam Joannes Baptista fuit conjectus in carcerem, idque eos recte significare in principio suæ historiæ. Nam post jejunium Christi quadraginta dierum, et eam quæ in ipso fuit tentationem, Matthæus quidem significavit tempus suæ scriptionis, dicens [13]: «Cum autem audivisset, quod Joannes erat traditus, a Judæa recessit in Galilæam» · Lucas quoque priusquam inciperet narrare facta Jesu, similiter ostendit, dicens [14], quod adjiciens Herodes iis quæ fecerat, inclusit Joannem in custodia. Propterea ergo dicunt, Joannem apostolum rogatum, tempus quod fuit silentio præteritum a prioribus evangelistis, et quæ in eo facta fuerant a Servatore, ea autem sunt quæ facta sunt antequam Baptista in carcerem conjiceretur, in suo tradidisse Evangelio, etsi prius non scripta usus esset prædicatione, et hoc ipsum significasse, partim quidem dicendo [15]: «Hoc principium fecit signorum Jesus,» partim autem faciendo mentionem Baptistæ inter actiones Jesu, ut qui tunc adhuc baptizaret in Ænon prope Salim. Præterea vero hoc ostendit apertius, dicens: Nondum enim erat Joannes conjectus in carcerem.» Ex his ergo aperte ostendit, Theologum ea in suo Evangelio tradere, quæ a Christo facta sunt, Joanne nondum conjecto in carcerem: reliquos autem tres evangelistas

A κλησίας καὶ κατάστασιν ἀγαγεῖν ἱκανώτατος. Ἐπεὶ καὶ δαψιλεστέρας ἀπέλαυσε χάριτος, καὶ διπλαῖς ἐχρήσατο ταῖς τῆς διδασκαλίας πηγαῖς· οὐ Παύλου κατατρυφήσας μόνον, οὐ τῆς θαυμαστῆς λύρας τοῦ Πνεύματος· ἀλλὰ καὶ Ἰωάννῃ τῷ διαφερόντως ἠγαπημένῳ συγγενόμενος μαθητῇ, καὶ ὑπ' αὐτοῦ τὸν τῆς Ἐφεσίων θρόνον ἐγχειρισθεὶς, καὶ ἀκούσας παρ' αὐτοῦ καὶ μαθὼν ἃ πάλιν ἐκεῖνος ὑπὸ τοῦ ἀγαθοῦ Πνεύματος;

Ζ'. Νέρωνος γὰρ τοῦ κακῶς εἰς τὴν βασιλείαν, κάκῶς (ὢ δίκη καὶ ἀνοχὴ Θεοῦ) παρελθόντος, μαρτυρικῷ τέλει τοὺς ἱεροὺς κορυφαίους τῶν ἀποστόλων Πέτρου καὶ Παύλου ὑποβαλόντος, τῶν τε σὺν αὐτοῖς μαθητῶν ἄλλων ἀλλαχῇ τὸν βίον καταστρεψάντων, ἐπιστῆναί ποτε συνέβη τὸν μέγαν τοῦτον εὐαγγελιστήν τε καὶ Θεολόγον τοῖς ἐν Ἐφέσῳ, ὑπὸ χειμῶνος B ἐκβρασθέντα καὶ ναυαγίου, ὡς αὐτά τε τὰ ὑπὸ Εἰρηναίου τοῦ Λουγδούνων ἐπισκόπου συγγεγραμμένα ἱστορεῖ, καὶ ὁ λόγος ἔχει. Τῶν μέντοι μαθητῶν οἱ τοῖς ἄλλοις εὐαγγελισταῖς καὶ ἀποστόλοις ἀκολουθήσαντες τὰ ὑπ' ἐκείνων διαφόρῳ γλώττῃ συντεταγμένα (οὔπω γὰρ ἦσαν ὁμοφώνῳ χρώμενοι διαλέκτῳ), εἰς τὴν Ἐφεσίων πόλιν κομίσαντες, αὐτῷ ἐγχειρίζουσιν. Τὸν δὲ, καθὰ καὶ Εὐσεβίῳ τῷ Παμφίλου δοκεῖ διαλαμβάνοντι οὕτως, ἀποδέξασθαι μὲν τὰ γεγραμμένα, φασὶν, ἀλήθειαν αὐτοῖς ἐπιμαρτυρήσαντα, συνιδεῖν δὲ μόνην ἐν αὐτοῖς λειπομένην τὴν περὶ τῶν ἐν πρώτοις καὶ κατ' ἀρχὴν τοῦ κηρύγματος ὑπὸ τοῦ Χριστοῦ πεπραγμένων διήγησιν. Καὶ ἀληθής γε ὁ λόγος· εὑρήσεις γὰρ, ἤνπερ ἀκριβῶς C σκοπήσῃς, τοὺς τρεῖς εὐαγγελιστὰς, μόνα τὰ μετὰ τὴν ἐν τῷ δεσμωτηρίῳ Ἰωάννου τοῦ Βαπτιστοῦ κάθειρξιν ἐφ' ἕνα ἐνιαυτὸν πεπραγμένα τῷ Σωτῆρι συγγεγραφότας, καὶ αὐτὸ τοῦτο καλῶς ἐπισημαινομένους κατ' ἀρχὰς τῆς αὐτῶν ἱστορίας. Μετὰ γοῦν τὴν τεσσαρακονθήμερον τοῦ Χριστοῦ νηστείαν, καὶ τὸν ἐπ' αὐτῇ πειρασμὸν, ὁ μὲν Ματθαῖος τὸν χρόνον τῆς ἰδίας γραφῆς δηλοῖ λέγων· «Ἀκούσας δὲ ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν·» καὶ ὁ Λουκᾶς δὲ, πρὶν ἄρξασθαι τῶν τοῦ Ἰησοῦ πράξεων, παραπλησίως ὑποφαίνει φάσκων ὡς ἄρα προσθεὶς ὁ Ἡρώδης οἷς διεπράξατο κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. Διὰ ταῦτα γοῦν τὸν ἀπόστολόν φασιν Ἰωάννην παρακληθέντα, τὸν ὑπὸ τῶν προτέρων εὐαγγελιστῶν παρασιωπηθέντα χρόνον, καὶ τὰ κατ' αὐτὸν πεπραγμένα D τῷ Σωτῆρι, ταῦτα δὲ πρὸ τῆς τοῦ Βαπτιστοῦ καθείρξεως τῷ κατ' αὐτὸν Εὐαγγελίῳ παραδοῦναι, καίτοι πρότερον ἀγράφῳ κεχρημένον κηρύγματι, καὶ αὐτὸ τοῦτο ἐπισημήνασθαι, τοτὲ μὲν φήσαντα· «Ταύτην τὴν ἀρχὴν ἐποίησε τῶν παραδόξων ὁ Ἰησοῦς·» τοτὲ δὲ μνημονεύσαντα τοῦ Βαπτιστοῦ μεταξὺ τῶν Ἰησοῦ πράξεων, ὡς ἔτι τότε βαπτίζοντος ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλήμ. Ἔτι δὲ σαφέστερον τοῦτο δείκνυσι λέγων· «Οὔπω γὰρ ἦν ὁ Ἰωάννης βεβλημένος εἰς φυλακήν.» Δέδεικται οὖν φανερῶς ἐκ τούτων ὁ

[13] Matth. IV, 12. [14] Luc. III, 20. [15] Joan. II, 11.

(2) *Contra hæres.* lib. III, capp. 1, 11.

θεολόγος. ἐν τῇ τοῦ κατ' αὐτὸν Εὐαγγελίου γραφῇ, A τὰ μηδέπω τοῦ Βαπτιστοῦ βεβλημένου εἰς φυλακὴν ὑπὸ Χριστοῦ πραχθέντα παραδιδούς, οἱ δὲ λοιποὶ τρεῖς εὐαγγελισταὶ τὰ μετὰ τὴν εἰς τὸ δεσμωτήριον κάθειρξιν τοῦ Βαπτιστοῦ μνημονεύοντες. Οἷς καὶ ἐπιστήσαντι οὐκέτι ἂν δόξαιεν διαφωνεῖν ἀλλήλοις τὰ Εὐαγγέλια, τῷ τὸ μὲν κατὰ Ἰωάννην τὰ πρότερον ὑπὸ τοῦ Χριστοῦ πραχθέντα διηγεῖσθαι, τὰ δὲ λοιπὰ τὴν ἐπὶ τέλει τοῦ Χριστοῦ αὐτῷ γενομένην ἱστορίαν. Εἰκότως οὖν τὴν μὲν τῆς σαρκὸς τοῦ Σωτῆρος ἡμῶν γενεαλογίαν, ἅτε Ματθαίῳ καὶ Λουκᾷ προγραφεῖσαν ἀποσιωπῆσαι τὸν Ἰωάννην, τῆς δὲ θεολογίας ἄρξασθαι, ὡς ἂν αὐτῷ παρὰ τοῦ ἀγαθοῦ Πνεύματος οἷα κρείττονι παραπεφυλαγμένης· καὶ οὕτω μὲν Εὐσέβιος περὶ Ἰωάννου καὶ τῶν ἄλλων ἔξεισιν εὐαγγελιστῶν.

A meminisse eorum, quæ facta sunt, postquam Joannes fuisset conjectus in vincula. Quæ qui attenderit, non amplius ei videbuntur discrepare Evangelia; quod id quidem quod est secundum Joannem primas Christi continet actiones, reliqua autem, historiam quæ facta est in ipso fine Christi. Merito ergo carnis quidem Servatoris nostri genealogiam, ut quæ a Matthæo et Luca prius scripta fuisset, Joannes silentio præteriit : a theologia autem incipit, ut quæ ei, utpote præstantiori, fuisset a bono Spiritu conservata. Et sic quidem Eusebius de Joanne et aliis narrat evangelistis.

Η'. Οὐκ ἦν δὲ ἄρα τῆς αὐτοαληθείας Χριστοῦ τοὺς λόγους διαπεσεῖν, « Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε, » B πρὸς τοὺς ἀποστόλους τοὺς αὐτοῦ εἰρηκότος· οὐκοῦν οὐδὲ διέπεσον, ἀλλὰ πολλοῖς ἕκαστος ὑπεβλήθη τοῖς λυπηροῖς. Δομετιανοῦ γὰρ κατὰ πολλὴν τότε τῆς κακίας ἰσχὺν εἰσφθαρέντος τῇ βασιλείᾳ, μίαν τῶν Κυκλάδων καὶ οὗτος οἰκεῖν κατακρίνεται, Δομετιανοῦ τοῦ μετὰ Νέρωνα μὲν καὶ τοὺς μεταξὺ πολλοὺς ὕστερον χρόνοις τὴν ἀρχὴν πιστευθέντος, μηδὲν δὲ τῆς ἐκείνου μοχθηρίας ἀπολειφθέντος, ἀλλ' ἀεὶ πρὸς αὐτὸν ὁρῶντος, ἢ καὶ ὑπερβαλόντος τοῖς ἀτοπήμασιν, οὕτω τε ταῖς καθ' ἑτέρων διαβολαῖς τὰς ἀκοὰς ἡδέως ὑπέχοντος, ὡς οὐδὲ ταῖς εἰς αὐτὸν εὐφημίαις, εἴθε δὴ κολακείας τοσοῦτον ἴσχυσεν, ὡς καὶ Δομετιανῷ ἐπαίνου τι μεταδοῦναι καὶ εὐφημίας· τοῦτο γοῦν τὸ πρὸς διαβολὰς ἐκείνου τῶν ἀκοῶν εὔκολον ὑπερορίαν τὴν εἰς Πάτμον κατακρίνει τοῦ Ἰωάννου. Οὕτω γὰρ ἡ τῆς ὑπερορίας ὠνόμαστο C νῆσος. Ἔνθα δὴ καὶ ἀτίμως ὑπερορίου τοῦ τιμίου δηλαδὴ γενομένου, Τιμόθεος τῆς ἐπισκοπῆς Ἐφεσίων ἀντεποιεῖτο, κἂν οὐδὲ αὐτὸν ἐπιβιῶναι τῷ θρόνῳ χρόνον ἱκανὸν ὁ ἐχθρὸς εἴασεν.

VIII. Fieri ergo non poterat, ut ipsius veritatis, B Christi inquam, verba exciderent, qui discipulis suis dixit : « In mundo afflictionem habebitis[16]. » Neque ergo exciderunt, sed uterque multas subiit molestias. Cum enim Domitianus per magnam vim sceleris tunc invasisset imperium, condemnatur hic quoque habitare unam ex Cycladibus. Domitianus, inquam, cui post Neronem et eos qui intercedunt mandatum fuit imperium; ei autem improbitate nihilo fuit inferior, sed semper ad ipsum respiciebat, aut etiam sceleribus et flagitiis superabat, et structis in alios calumniis tam lubenter aures accommodabat, quam suis ipsius laudibus : siquidem tantum valuit assentatio, ut etiam Domitianum laude aliqua impertiret et celebraret. Illius ergo ad facile audiendas calumnias propensio, Joannem condemnat, ut relegetur in C Patmon. Sic enim nominata est insula, in quam fuit relegatus. Quem quidem in locum cum per ignominiam relegatus fuisset venerandus Joannes, Timotheus ejus loco suscepit episcopatum Ephesiorum : quanquam nec ipsum quoque in sede longo tempore vivere permisit inimicus.

Θ'. Ἦν γάρ τις παρ' Ἐφεσίοις ἑορτή, Καταγώγιον ὑπ' αὐτῶν καλουμένη· κατὰ γοῦν ταύτην ῥόπαλά τε ἀναιρούμενοι, καὶ εἴδωλα διὰ χειρὸς ἔχοντες, καί τινα περιτιθέντες ἑαυτοῖς προσωπεῖα τῆς τε πόλεως ἀναίδην τὰ ἐπισημότερα μέρη περιιόντες καὶ τινα τούτοις ἐπᾴδοντες, ἀνδράσι τε καὶ γυναιξὶ λῃστρικῶς ἐπιόντες, πολὺν αὐτῶν εἰργάζοντο φόνον, ταύτῃ τὸν οἰκεῖον ἡγούμενοι δαίμονα τιμᾷν οἱ κατάπτυστοι, ἵνα φαίνωνται τοιούτους ἀνθρώπους τιμῶντες, ὧν ἡ μεγίστη θεραπεία τῶν τιμώντων D ὁ θάνατος. Τιμόθεος τοίνυν ὁ θεῖος δεινῶς ἐπὶ τούτῳ ἀλύων, καὶ ζήλου πυρὶ τὰ σπλάγχνα καιόμενος, καὶ τοῦτο μὲν συμβουλαῖς πολλάκις καὶ ὑποθήκαις, τοῦτο δὲ παραινέσεσι καὶ διδασκαλίαις χρησάμενος, καὶ μὴ πεῖσαι δυνηθεὶς αὐτοὺς ἀποσχέσθαι τῆς τοιαύτης μανίας, πρόσεισιν αὐτοῖς ἐπὶ μέσης ἀμφόδου ἄρτι

IX. Erat enim quidem dies festus apud Ephesios, qui ab eis vocabatur *Catagogium* : in eo ergo et clavas tollentes, et simulacra in manibus tenentes, et sibi quasdam imponentes personas, et insigniores partes civitatis impudenter obeuntes, et iis quædam carmina decantantes, virosque et mulieres more prædonum invadentes, magnam cædem eorum faciebant : ea ratione putantes exsecrandi, se suum honorare dæmonem, ut eos viderentur homines honorare, quorum maximus cultus est mors D eorum qui honorant. Divinus ergo Thimotheus hoc ægre ferens, et igne zeli visceribus inflammatus, et partim quidem consiliis usus et admonitionibus, cum minime potuisset eis persuadere, ut a tali desisterent insania, accedit ad eos in media compita, cum jam festum ageretur, rursus admonens incre-

16 Joan. XVI, 33.

(1) Non successit Joanni Timotheus ; hic enim fuit primus Ephesiorum episcopus, sed quandiu aderat Joannes, apostolus Christi et evangelista, is, licet non uni sedi astrictus, primaria tamen valebat auctoritate.

pans, docens, quid non faciens ex iis quæ possent dimovere hominem a tali insania.

A τῆς ἑορτῆς ἀγομένης, παρακαλῶν αὖθις, ἐπιτιμῶν, διδάσκων, τί μὴ ποιῶν τῶν ἀποστῆσαι τοιαύτης ἀνοίας ἄνθρωπον δυναμένων.

X. Illi autem ejus dicendi libertatem ægræ ferentes, quæcunque habebant in manibus, iis adversus eum usi sunt, eum ferientes et per terram trahentes cum quam maxima dici potest crudelitate et humanitate, et tandem humi jacentem, cum omnis virtus vitalis et operatio eum deficeret, quidam Christiani eum tollentes, parum adhuc et ægre spirantem, et jam morti vicinum, ultra civitatis portum deposuerunt: ubi cum Deo commendatum emisisset spiritum, corpus rursus pie et sancte in quodam loco condunt, qui apud eos Pion, id est, pinguis, dicitur.

Ι'. Οἱ δὲ βαρέως ἐνεγκόντες τὴν παῤῥησίαν, κατ' αὐτοῦ πᾶσιν οἷς ἐν χερσὶν εἶχον ἐκέχρηντο, παίοντες αὐτὸν καὶ κατὰ γῆς ἕλκοντες μεθ' ὅσης ἂν εἴποις τῆς ὠμότητος καὶ τῆς μισανθρωπίας, καὶ τέλος ἐπὶ γῆς κείμενον, καὶ πάσης αὐτὸν δυνάμεως ζωτικῆς καὶ ἐνεργείας ἐπιλιπούσης, Χριστιανοί τινες ἀφελόμενοι ὀλίγον ἔτι καὶ ἀδρανῶς καὶ αὐτοῦ θανάτου παραψαῦον ἐκπνέοντα, πέραν τοῦ τῆς πόλεως λιμένος κατέθεσαν· ὅπου Θεῷ τὸ πνεῦμα παραθεμένου τὸ σῶμα πάλιν εὐλαβῶς καὶ ὁσίως εἴς τινα κρύπτουσι τόπον, Πίονα παρ' Ἐφεσίοις καλούμενον.

CAPUT III.

S. Timothei reliquiarum translatio.

XI. Longo autem tempore postea, Constantii in eum amores, qui filius fuit Constantini Magni, inquam, illius et primi imperatoris Christianorum, illinc exportant reliquias, desiderii administro utentes Artemio: cui cum egregiæ illius Timothei in dicendo libertatis fuisset imitator, ei quoque postea fuit conformis mortis similitudine, et fuit martyrii ornamento propter Christum decoratus. Reponitur autem in sacra ara ejus, quod cognominatur templum Apostolorum (fuit vero id Constantii manus opus et fidei), sub ipsa mensa mystica, suppeditator miraculorum, dispensator gratiarum, thesaurus qui non potest exinaniri, divitiæ quæ non consumuntur, et cum Luca et Andrea connumeratur: Deo fortasse hoc benigne providente, ut sicut eis omnia fuere communia, mores, disciplina, prædicatio; commune quoque esset sepulcrum, quoniam eis quoque est illic quies communis.

B ΙΑ'. Χρόνῳ μέντοι πολλῷ ὕστερον ἔρωτες θεῖοι τοῦ Κωνσταντίου, ὃς υἱὸς ἦν Κωνσταντίνου, φημὶ, τοῦ Μεγάλου, καὶ πρώτου Χριστιανῶν βασιλέως, τὸ λείψανον ἐκεῖθεν ἀνακομίζουσιν ὑπουργῷ τοῦ πόθου Ἀρτεμίῳ χρησάμενοι· ὃς καὶ ζηλωτὴς Τιμοθέῳ τῆς καλῆς ἐκείνης παῤῥησίας γενόμενος, σύμμορφος αὐτῷ μετὰ ταῦτα κατέστη καὶ τοῦ θανάτου τῷ ὁμοιώματι, καὶ τῷ διὰ Χριστὸν μαρτυρίῳ κατεκοσμήθη. Ἐναποτίθεται δὲ τῷ ἱερῷ θυσιαστηρίῳ τοῦ περιωνύμου τῶν Ἀποστόλων ναοῦ (χειρὸς ἦν οὗτος τῆς Κωνσταντίου καὶ πίστεως ἔργον), ὑπ' αὐτῇ τῇ μυστικῇ τραπέζῃ, χορηγὸς θαυμάτων, χαρίτων ταμίας, θησαυρὸς ἀκένωτος, πλοῦτος μὴ δαπανώμενος, καὶ Λουκᾷ καὶ Ἀνδρέᾳ συναριθμεῖται· Θεοῦ τάχα φιλανθρώπως οἰκονομήσαντος, ἵν' ὥσπερ αὐτῆς C κοινὰ γέγονε πάντα, ὁ τρόπος, ἡ μαθητεία, τὸ κήρυγμα, κοινὸς γένηται καὶ ὁ τάφος, ἐπεὶ κοινὴ τούτοις καὶ ἡ ἐκεῖθεν κατάπαυσις.

XII. Templum autem Justinianus, cum manu postea magnificentiori quoque arte adhibita, splendide ædificat et transformat, et ei pulchritudinem et magnitudinem, quæ nunc est et cernitur, exhibet, præterquam mysticam et divinam mensam. Ab ea enim sola abstinuit, hoc pulchre sancte faciens propter depositionem sacrarum reliquiarum. Quocirca posita est in medio templo usque in hodiernum diem, cum mensam ex purissimo argento construxisset, et cum magna sui in Christum amoris significatione, Christi sanctorum apostolorum sancta corpora recondidisset.

ΙΒ'. Τὸν μέντοι ναὸν Ἰουστινιανὸς φιλοτιμοτέραν μετὰ τῆς χειρὸς ὕστερον καὶ τέχνην εἰσενεγκὼν ἀνοικοδομεῖ λαμπρῶς καὶ μετασκευάζει, καὶ κάλλος αὐτῷ καὶ μέγεθος τό γε περιὸν νῦν καὶ ὁρώμενον ἀποδίδωσι, πλὴν τῆς μυστικῆς καὶ θείας τραπέζης· ταύτης γὰρ ἀπέσχετο μόνης, καλῶς ἐκεῖ καὶ ὁσίως ποιῶν διὰ τὴν τῶν ἱερῶν λειψάνων κατάθεσιν. Διὸ καὶ κατὰ μέσον εἰς δεῦρο ναὸν ἵδρυται ἐξ ἀργύρου τὴν τράπεζαν τοῦ καθαρωτάτου κατασκευάσας, ἐν αὐτῇ τε φιλοχρίστως τὰ τῶν ἀποστόλων Χριστοῦ ἐναποθησαυρίσας ἅγια σώματα.

XIII. Cum autem impius Domitianus sceleratissime quidem imperasset, miserrime autem vitam finiisset, Nerva suscipiens imperium, et statim post ipsum Trajanus quoque, cum se et quam fieri posset clementissimos et æquissimos vellent ostendere, cum multis aliis evangelistæ quoque et Theologo dissolvunt exsilium. Ille autem cum Ephesum (o cum quanto dixerit quis gaudio et honore!) rediisset, et divinum jam Timotheum ad Jesum, quem desiderabat, excessisse didicisset, et fine martyrii cursum Evangelii obsignasse, et esse

D ΙΓ'. Δομετιανοῦ δὲ τοῦ δυσσεβοῦς ἀνομώτατα μὲν βασιλεύσαντος, ἐλεεινότατα δὲ τὴν ζωὴν καταλύσαντος, παρελθὼν εἰς τὴν ἀρχὴν ὁ Νερούας, εὐθὺς δὲ μετ' αὐτὸν καὶ Τραϊανὸς, καὶ φιλανθρωποτέρους ὡς οἷόν τε καὶ εὐνομωτέρους ἑαυτοὺς παρέχειν βουλόμενοι, λύουσι μετὰ πολλῶν ἄλλων τῷ εὐαγγελιστῇ τε καὶ Θεολόγῳ ἐξορίαν. Ὁ δὲ τῇ Ἐφεσίων (ὢ πῶς ἂν εἴποις ἡδέως καὶ μετὰ τιμᾶς ὁπόσης!) ἀποδοθεὶς, καὶ Τιμόθεον ἤδη τὸν θεῖον πρὸς τὸν ποθούμενον Ἰησοῦν ἐκδεδημηκότα μαθὼν, καὶ τέλει μαρτυρίου τοῦ Εὐαγγελίου δρόμον ἐπισφραγίσαντα, ἔρημόν τε

οὖσαν τὴν Ἐκκλησίαν τοῦ προεστῶτος εὑρὼν, ἀντιποιεῖται καὶ πάλιν αὐτῆς, ὡς εἶναι τὸν αὐτὸν καὶ πάροχον Τιμοθέῳ τοῦ θρόνου καὶ πάλιν διάδοχον. Ἅπερ ἀμφότερα τοῦ κατὰ Θεὸν ζήλου καὶ τῆς πολλῆς περὶ τὴν εὐσέβειαν ἐκείνου σπουδῆς καὶ θερμότητος. Ὃς καὶ διετέλεσεν οὕτω μακροῦ χρόνου τῆς Ἐκκλησίας ἐπιμελόμενος, καὶ τὸ τῆς ἀληθείας κήρυγμα καταγγέλλων, εἰς ἐπίδοσιν τῆς εὐσεβείας, εἰς σωτηρίαν ψυχῶν, εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι, κράτος, τιμὴ, καὶ προσκύνησις νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ecclesiam præsule defectam invenisset, eam rursus suscipit : adeo ut idem et sedem Timotheo præbuerit, et ei successerit. Quæ quidem utraque sunt ejus zeli in Deum, magnique illius studii et ardoris in pietatem. Qui quidem longo postea tempore perpetuo curam gessit Ecclesiæ, et veritatis annuntiavit prædicationem, ad augmentum pietatis, ad salutem animarum, ad gloriam Domini nostri Jesu : cum quo Patri una cum sancto Spiritu est omnis honor nunc et semper et in sæcula sæculorum. Amen.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ ΠΕΡΣΟΥ

MARTYRIUM SANCTI ET MAGNI MARTYRIS

ANASTASII PERSÆ

(Anno 610, Januarii 22.)

[Græce nunc primum prodit ex cod. Reg. Paris. n. 1457 notato, sæc. XI. Latine apud Surium. EDIT. PATR.]

Α'. Τῆς μεγάλης πόλεως Ἱεροσολύμων, ὑπὸ τοῦ Περσῶν βασιλέως ἁλούσης, καὶ τῶν ἱερῶν τόπων ἐκείνων, οἳ καὶ διατριβὰς εἶδον τοῦ ἐμοῦ Χριστοῦ, καὶ σταύρωσιν, καὶ ταφὴν, καὶ ἀνάστασιν, Μηδικῷ δόρατι καὶ πυρὶ, τρόποις οἷς αὐτὸς οἶδε παραδοθέντων, ἄλλα τε πολλὰ τῇ πόλει καγκατελήφθη, καὶ δὴ καὶ τὸ τῆς σωτηρίας ἡμῶν τρόπαιον, ἡ τοῦ θανάτου λύσις, ἡ τῆς ἁμαρτίας ἀναίρεσις· τὸ τοῦ ζωοποιοῦ, φημὶ, σταυροῦ ξύλον ἐκεῖθεν εἰς Περσίδα μετεκομίσθη· ὃ καὶ χάριτος ἔμοιγε δοκεῖ θειοτέρας, καὶ μόνης τῆς τοῦ ἐσταυρωμένου οἰκονομίας· ἣ πλέκειν οἶδε καὶ διὰ τῶν ἐναντίων πολλάκις τὰ βελτιώτερα καὶ χρηστότερα. Ἐπεὶ γὰρ ὁ σωτήριος τοῦ Κυρίου σταυρὸς χερσὶ πολεμίαις ἑάλω καὶ εἰς τὴν Περσῶν, ὥσπερ ἔφημεν, ἀπηνέχθη, τοιαύτην αἰχμαλωτισθεὶς ὑπὸ Βαρβάρων αἰχμαλωσίαν, μιμεῖται τὸν ἐν αὐτῷ παγέντα Χριστόν. Καὶ μᾶλλον αὐτὸς τὴν Περσικὴν ἀνατρέπει καὶ σκυλεύει θρησκείαν, καὶ ψυχὰς τὰς αὐτοῦ ἀξίας αἰχμαλωτίζει τὴν ἐπαινετὴν ὄντως καὶ καλλίστην αἰχμαλωσίαν, ἢ, τόγε οἰκειότερον εἰπεῖν, τῆς αἰχμαλωσίας ἀνακαλεῖται, καὶ τὴν πρώτην αὐταῖς ἀποδίδωσι πάλιν ἐλευθερίαν. Ὁμοῦ τε γὰρ τῆς Περσῶν ἐπιβαίνει, καὶ πᾶσαν αὐτὴν εὐθέως ταῖς τῆς οἰκείας χάριτος ἀκτῖσι περιαυγάσας, πλήττει μὲν τὰς τῶν ἀπίστων ψυχὰς καθάπερ ὀφθαλμὸν νοσοῦντα προσβαλὼν ἥλιος· τοὺς δὲ πιστοὺς, ὥσπερ ἀστραπὴ

I. Cum magna civitas Hierosolymorum capta fuisset (1) a rege Persarum, et sacra illa loca, quæ mei Christi videre conversationem, et cruci affixionem et resurrectionem, Medorum lanceæ et igni iis, quos ipse novit, modis essent tradita, et multa alia capta sunt cum civitate, et salutis quoque nostræ tropæum, mortis solutio, peccati internecio : lignum, inquam, vivificæ crucis, illinc translatum est in Persidem : quod quidem mihi videtur divinioris esse gratiæ, et ejus, qui est crucifixus, solius dispensationis, quæ sæpe novit etiam per adversarios ea contexere, quæ sunt meliora et utiliora. Postquam enim salutaris crux Domini hostilibus capta fuit manibus, et in Perside, ut diximus, in ea captivitate captiva abducta est a Barbaris, imitatur eum, qui in ea fuit affixus, Christum : vel potius ipsa Persicam evertit et spoliat falsam religionem, et quæ se dignæ erant, captivas abducit animas, vere laudabili et longe pulcherrima captivitate aut ut magis proprie dicam, a captivitate revocat, et eis rursum primam restituit libertatem. Simul ac enim ingreditur Persidem, eam statim totam illustrans radiis suæ gratiæ, ferit quidem animas infidelium, non secus ac sol, qui laborantem oculum ingreditur: fideles autem non secus ac fulgur quoddam apparens in tenebris, revocat. Ex quibus fuit

(1) An. 614 capta est Hierosolyma a Chosroe Persarum rege, et crux sancta in Persidem translata.

pans, docens, quid non faciens ex iis quæ possent dimovere hominem a tali insania.

A τῆς ἑορτῆς ἀγομένης, παρακαλῶν αὖθις, ἐπιτιμῶν, διδάσκων, τί μὴ ποιῶν τῶν ἀποστῆσαι τοιαύτης ἀνοίας ἄνθρωπον δυναμένων.

X. Illi autem ejus dicendi libertatem ægræ ferentes, quæcunque habebant in manibus, iis adversus eum usi sunt, eum ferientes et per terram trahentes cum quam maxima dici potest crudelitate et humanitate, et tandem humi jacentem, cum omnis virtus vitalis et operatio eum deficeret, quidam Christiani eum tollentes, parum adhuc et ægre spirantem, et jam morti vicinum, ultra civitatis portum deposuerunt: ubi cum Deo commendatum emisisset spiritum, corpus rursus pie et sancte in quodam loco condunt, qui apud eos Pion, id est, pinguis, dicitur.

Ι'. Οἱ δὲ βαρέως ἐνεγκόντες τὴν παῤῥησίαν, κατ' αὐτοῦ πᾶσιν οἷς ἐν χερσὶν εἶχον ἐκέχρηντο, παίοντες αὐτὸν καὶ κατὰ γῆς ἕλκοντες μεθ' ὅσης ἂν εἴποις τῆς ὠμότητος καὶ τῆς μισανθρωπίας, καὶ τέλος ἐπὶ γῆς κείμενον, καὶ πάσης αὐτὸν δυνάμεως ζωτικῆς καὶ ἐνεργείας ἐπιλιπούσης, Χριστιανοί τινες ἀφελόμενοι ὀλίγον ἔτι καὶ ἀδρανῶς καὶ αὐτοῦ θανάτου παραψαῦον ἐκπνέοντα, πέραν τοῦ τῆς πόλεως λιμένος κατέθεσαν· ὅπου Θεῷ τὸ πνεῦμα παραθεμένου τὸ σῶμα πάλιν εὐλαβῶς καὶ ὁσίως εἴς τινα κρύπτουσι τόπον, Πίονα παρ' Ἐφεσίοις καλούμενον.

CAPUT III.

S. Timothei reliquiarum translatio.

XI. Longo autem tempore postea, Constantii in eum amores, qui filius fuit Constantini Magni, inquam, illius et primi imperatoris Christianorum, illinc exportant reliquias, desiderii administro utentes Artemio: cui cum egregiæ illius Timothei in dicendo libertatis fuisset imitator, ei quoque postea fuit conformis mortis similitudine, et fuit martyrii ornamento propter Christum decoratus. Reponitur autem in sacra ara ejus, quod cognominatur templum Apostolorum (fuit vero id Constantii manus opus et fidei), sub ipsa mensa mystica, suppeditator miraculorum, dispensator gratiarum, thesaurus qui non potest exinaniri, divitiæ quæ non consumuntur, et cum Luca et Andrea connumeratur: Deo fortasse hoc benigne providente, ut sicut eis omnia fuere communia, mores, disciplina, prædicatio; commune quoque esset sepulcrum, quoniam eis quoque est illic quies communis.

B ΙΑ'. Χρόνῳ μέντοι πολλῷ ὕστερον ἔρωτες θεῖοι τοῦ Κωνσταντίου, ὃς υἱὸς ἦν Κωνσταντίνου, φημὶ, τοῦ Μεγάλου, καὶ πρώτου Χριστιανῶν βασιλέως, τὸ λείψανον ἐκεῖθεν ἀνακομίζουσιν ὑπουργῷ τοῦ πόθου Ἀρτεμίῳ χρησάμενοι· ὃς καὶ ζηλωτὴς Τιμοθέῳ τῆς καλῆς ἐκείνης παῤῥησίας γενόμενος, σύμμορφος αὐτῷ μετὰ ταῦτα κατέστη καὶ τοῦ θανάτου τῷ ὁμοιώματι, καὶ τῷ διὰ Χριστὸν μαρτυρίῳ κατεκοσμήθη. Ἐναποτίθεται δὲ τῷ ἱερῷ θυσιαστηρίῳ τοῦ περιωνύμου τῶν Ἀποστόλων ναοῦ (χειρὸς ἦν οὗτος τῆς Κωνσταντίου καὶ πίστεως ἔργον), ὑπ' αὐτῇ τῇ μυστικῇ τραπέζῃ, χορηγὸς θαυμάτων, χαρίτων ταμίας, θησαυρὸς ἀκένωτος, πλοῦτος μὴ δαπανώμενος, καὶ Λουκᾷ καὶ Ἀνδρέᾳ συναριθμεῖται· Θεοῦ τάχα φιλανθρώπως οἰκονομήσαντος, ἵν' ὥσπερ αὐτῆς C κοινὰ γέγονε πάντα, ὁ τρόπος, ἡ μαθητεία, τὸ κήρυγμα, κοινὸς γένηται καὶ ὁ τάφος, ἐπεὶ κοινὴ τούτοις καὶ ἡ ἐκεῖθεν κατάπαυσις.

XII. Templum autem Justinianus, cum manu postea magnificentiori quoque arte adhibita, splendide ædificat et transformat, et ei pulchritudinem et magnitudinem, quæ nunc est et cernitur, exhibet, præterquam mysticam et divinam mensam. Ab ea enim sola abstinuit, hoc pulchre sancte faciens propter depositionem sacrarum reliquiarum. Quocirca posita est in medio templo usque in hodiernum diem, cum mensam ex purissimo argento construxisset, et cum magna sui in Christum amoris significatione, Christi sanctorum apostolorum sancta corpora recondidisset.

ΙΒ'. Τὸν μέντοι ναὸν Ἰουστινιανὸς φιλοτιμοτέραν μετὰ τῆς χειρὸς ὕστερον καὶ τέχνην εἰσενεγκὼν ἀνοικοδομεῖ λαμπρῶς καὶ μετασκευάζει, καὶ κάλλος αὐτῷ καὶ μέγεθος τό γε περιὸν νῦν καὶ ὁρώμενον ἀποδίδωσι, πλὴν τῆς μυστικῆς καὶ θείας τραπέζης· ταύτης γὰρ ἀπέσχετο μόνης, καλῶς ἐκεῖ καὶ ὁσίως ποιῶν διὰ τὴν τῶν ἱερῶν λειψάνων κατάθεσιν. Διὸ καὶ κατὰ μέσον εἰς δεῦρο ναὸν ἵδρυται ἐξ ἀργύρου τὴν τράπεζαν τοῦ καθαρωτάτου κατασκευάσας, ἐν αὐτῇ τε φιλοχρίστως τὰ τῶν ἀποστόλων Χριστοῦ ἐναποθησαυρίσας ἅγια σώματα.

XIII. Cum autem impius Domitianus sceleratissime quidem imperasset, miserrime autem vitam finiisset, Nerva suscipiens imperium, et statim post ipsum Trajanus quoque, cum se et quam fieri posset clementissimos et æquissimos vellent ostendere, cum multis aliis evangelistæ quoque et Theologo dissolvunt exsilium. Ille autem cum Ephesum (o cum quanto dixerit quis gaudio et honore!) rediisset, et divinum jam Timotheum ad Jesum, quem desiderabat, excessisse didicisset, et fine martyrii cursum Evangelii obsignasse, et esse

D ΙΓ'. Δομετιανοῦ δὲ τοῦ δυσσεβοῦς ἀνομώτατα μὲν βασιλεύσαντος, ἐλεεινότατα δὲ τὴν ζωὴν καταλύσαντος, παρελθὼν εἰς τὴν ἀρχὴν ὁ Νερούας, εὐθὺς δὲ μετ' αὐτὸν καὶ Τραϊανὸς, καὶ φιλανθρωποτέρους ὡς οἷόν τε καὶ εὐνομωτέρους ἑαυτοὺς παρέχειν βουλόμενοι, λύουσι μετὰ πολλῶν ἄλλων τῷ εὐαγγελιστῇ τε καὶ Θεολόγῳ ἐξορίαν. Ὁ δὲ τῇ Ἐφεσίων (ὢ πῶς ἂν εἴποις ἡδέως καὶ μετὰ τιμᾶς ὁπόσης!) ἀποδοθεὶς, καὶ Τιμόθεον ἤδη τὸν θεῖον πρὸς τὸν ποθούμενον Ἰησοῦν ἐκδεδημηκότα μαθὼν, καὶ τέλει μαρτυρίου τοῦ Εὐαγγελίου δρόμον ἐπισφραγίσαντα, ἔρημόν τε

οὖσαν τὴν Ἐκκλησίαν τοῦ προεστῶτος εὑρὼν, ἀντι- A ποιεῖται καὶ πάλιν αὐτῆς, ὡς εἶναι τὸν αὐτὸν καὶ πάροχον Τιμοθέῳ τοῦ θρόνου καὶ πάλιν διάδοχον. Ἅπερ ἀμφότερα τοῦ κατὰ Θεὸν ζήλου καὶ τῆς πολλῆς περὶ τὴν εὐσέβειαν ἐκείνου σπουδῆς καὶ θερμότητος. Ὃς καὶ διετέλεσεν οὕτω μακροῦ χρόνου τῆς Ἐκκλησίας ἐπιμελόμενος, καὶ τὸ τῆς ἀληθείας κήρυγμα καταγγέλλων, εἰς ἐπίδοσιν τῆς εὐσεβείας, εἰς σωτηρίαν ψυχῶν, εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ σὺν τῷ ἁγίῳ Πνεύματι, κράτος, τιμὴ, καὶ προσκύνησις νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ecclesiam præsule defectam invenisset, eam rursus suscipit: adeo ut idem et sedem Timotheo præbuerit, et ei successerit. Quæ quidem utraque sunt ejus zeli in Deum, magnique illius studii et ardoris in pietatem. Qui quidem longo postea tempore perpetuo curam gessit Ecclesiæ, et veritatis annuntiavit prædicationem, ad augmentum pietatis, ad salutem animarum, ad gloriam Domini nostri Jesu: cum quo Patri una cum sancto Spiritu est omnis honor nunc et semper et in sæcula sæculorum. Amen.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ ΠΕΡΣΟΥ

MARTYRIUM SANCTI ET MAGNI MARTYRIS

ANASTASII PERSÆ

(Anno 610, Januarii 22.)

[Græce nunc primum prodit ex cod. Reg. Paris. n. 1457 notato, sæc. XI. Latine apud Surium. EDIT. PATR.]

Α'. Τῆς μεγάλης πόλεως Ἱεροσολύμων, ὑπὸ τοῦ B Περσῶν βασιλέως ἁλούσης, καὶ τῶν ἱερῶν τόπων ἐκείνων, οἳ καὶ διατριβὰς εἶδον τοῦ ἐμοῦ Χριστοῦ, καὶ σταύρωσιν, καὶ ταφὴν, καὶ ἀνάστασιν, Μηδικῷ δόρατι καὶ πυρὶ, τρόποις οἷς αὐτὸς οἶδε παραδοθέντων, ἄλλα τε πολλὰ τῇ πόλει καγκατελήφθη, καὶ δὴ καὶ τὸ τῆς σωτηρίας ἡμῶν τρόπαιον, ἡ τοῦ θανάτου λύσις, ἡ τῆς ἁμαρτίας ἀναίρεσις· τὸ τοῦ ζωοποιοῦ, φημὶ, σταυροῦ ξύλον ἐκεῖθεν εἰς Περσίδα μετεκομίσθη· ὃ καὶ χάριτος ἔμοιγε δοκεῖ θειοτέρας, καὶ μόνης τῆς τοῦ ἐσταυρωμένου οἰκονομίας· ἣ πλέκειν οἶδε καὶ διὰ τῶν ἐναντίων πολλάκις τὰ βελτιώτερα καὶ χρηστότερα. Ἐπεὶ γὰρ ὁ σωτήριος τοῦ Κυρίου σταυρὸς χερσὶ πολεμίαις ἑάλω καὶ εἰς τὴν Περσῶν, ὥσπερ ἔφημεν, ἀπηνέχθη, τοιαύτην αἰχμαλωτισθεὶς ὑπὸ Βαρβάρων αἰχμαλωσίαν, μιμεῖται τὸν ἐν αὐτῷ C παγέντα Χριστόν. Καὶ μᾶλλον αὐτὸς τὴν Περσικὴν ἀνατρέπει καὶ σκυλεύει θρησκείαν, καὶ ψυχὰς τὰς αὐτοῦ ἀξίας αἰχμαλωτίζει τὴν ἐπαινετὴν ὄντως καὶ καλλίστην αἰχμαλωσίαν, ἢ, τόγε οἰκειότερον εἰπεῖν, τῆς αἰχμαλωσίας ἀνακαλεῖται, καὶ τὴν πρώτην αὐταῖς ἀποδίδωσι πάλιν ἐλευθερίαν. Ὁμοῦ τε γὰρ τῆς Περσῶν ἐπιβαίνει, καὶ πᾶσαν αὐτὴν εὐθέως ταῖς τῆς οἰκείας χάριτος ἀκτῖσι περιαυγάσας, πλήττει μὲν τὰς τῶν ἀπίστων ψυχὰς καθάπερ ὀφθαλμὸν νοσοῦντα προσβαλὼν ἥλιος· τοὺς δὲ πιστοὺς, ὥσπερ ἀστραπή

I. Cum magna civitas Hierosolymorum capta fuisset (1) a rege Persarum, et sacra illa loca, quæ mei Christi videre conversationem, et cruci affixionem et resurrectionem, Medorum lanceæ et igni iis, quos ipse novit, modis essent tradita, et multa alia capta sunt cum civitate, et salutis quoque nostræ tropæum, mortis solutio, peccati internecio: lignum, inquam, vivificæ crucis, illinc translatum est in Persidem: quod quidem mihi videtur divinioris esse gratiæ, et ejus, qui est crucifixus, solius dispensationis, quæ sæpe novit etiam per adversarios ea contexere, quæ sunt meliora et utiliora. Postquam enim salutaris crux Domini hostilibus capta fuit manibus, et in Perside, ut diximus, in ea captivitate captiva abducta est a Barbaris, imitatur eum, qui in ea fuit affixus, Christum: vel potius ipsa Persicam evertit et spoliat falsam religionem, et quæ se dignæ erant, captivas abducit animas, vere laudabili et longe pulcherrima captivitate aut ut magis proprie dicam, a captivitate revocat, et eis rursum primam restituit libertatem. Simul ac enim ingreditur Persidem, eam statim totam illustrans radiis suæ gratiæ, ferit quidem animas infidelium, non secus ac sol, qui laborantem oculum ingreditur: fideles autem non secus ac fulgur quoddam apparens in tenebris, revocat. Ex quibus fuit

(1) An. 614 capta est Hierosolyma a Chosroe Persarum rege, et crux sancta in Persidem translata.

unus is, qui nobis nunc est propositus Anastasius, etsi nondum quidem cultu, sed jam moribus et instituto: qui processit quidem e vico, qui vocabatur Rasnuni: est vero regionis Razech, quæ sita est in Perside. Erat autem nomen ejus moribus conveniens, et ex re ipsa magis cognitum. Is enim vocabatur Magundat. Erat enim illius Bau filius, qui erat in re magica præstantissimus et eruditissimus. Qui cum præesset communi ludo litterario, et multos haberet adolescentes ad eum ventitantes, captos amore præstigiarum, et cum in hoc solum omne suum studium poneret, nempe in rei magicæ exercitatione, in filio maxime arte utitur, et rem magicam eum tam diligenter docet, ut in ejus cognitione patri nihil esset reliquum quod non notum quoque esset filio.

II. Cum adolescentiæ autem ætatem jam attingeret, et rex Chosroe (2) novum exercitum in Perside colligeret. Ipse quoque cum aliis refertur in numerum tironum. Quoniam vero veneranda crux Domini totum agitabat et perturbabat Persidem, infidelibus quidem horrorem et terrorem incutiens, fidelibus autem suaviter admodum et placide illucescens: de ea quidem fama quædam per omnes persuadebat, fama, inquam, quæ paulo crassius et indoctius prædicabat, Christianorum Deum adesse Persis. Ad quam hic adolescens repente fuit accensus animo. Jam enim occulte eum tangebat ille ignis quem Christus venit jacere super terram [1]: qui quidem non sinebat quiescere pulchram illius adolescentiam, sed statim omnes obibat partes, de eo sciscitans quam vehementissime poterat et diligentissime. Cum audiret autem ab omnibus, eam esse crucem, in qua Christus Dei Filius, qui a Christianis adoratur, fuit crucifixus, veluti ignem igni adjecit, et quæstioni conjunxit quæstionem, et ex responsione accepit occasionem alterius interrogationis, et multo magis sitiebat discere, quemadmodum ex cœlo quidem descenderit, cum sit Deus: et quemadmodum etiam factus sit homo, et cur etiam sit ad crucem condemnatus, et a quibus, et an sit ad cœlum reversus unde descenderat. Cum autem ei a piis annuntiaretur carnis susceptæ divini consilii mysterium, aures quidem pietatis semina lubenter suscipiebant: anima vero producebat sensim spicam fidei, et ei desiderium paulatim innascebatur, subibatque æmulatio ejus perpessionum: quæ cum in ejus anima aucta et amplificata essent, eum informant et instituunt ad optimum vitæ genus, clarumque et insignem testem, martyrem, inquam, efficiunt, ut jam procedens declarabit oratio. Erat enim ei quidam frater genere et commilito: ambo autem relati in numerum exercitus Sain, veneruntque usque ad inclytam Chalcedonem. Cum autem divinus Heraclius irruptione facta

A τις ἐν σκότῳ φανεῖσα μετακαλεῖται. Ὧν εἷς ἦν καὶ ὁ
νῦν ἡμῖν προτεθεὶς Ἀναστάσιος· εἰ καὶ μὴ τὸ σέβας,
ἀλλὰ τὸν τρόπον ἤδη καὶ τὴν προαίρεσιν. Ὃς κώμης
μὲν προῆλθε, Ῥασνουνὴ καλουμένης· χώρας δὲ,
Ῥαζὴχ ὑπὸ τῇ Περσίδι κειμένης· ὄνομα δὲ αὐτῷ
τοῖς τρόποις συμβαῖνον, καὶ μᾶλλον ἐκ τοῦ πράγμα-
τος ἔχον τὸ γνώριμον. Καὶ γὰρ οὕτω Μαγγουδὰτ ἐκα-
λεῖτο. Βαῦ γάρ τινος ἦν ἐκείνου υἱὸς σοφοῦ κομιδῇ
καὶ ἀρίστου τὰ μαγικά· ὃς διδασκαλείου κοινοῦ προ-
καθήμενος, καὶ πολλοὺς ἔχων τῶν νέων κατ᾽ ἔρωτα
γοητείας φοιτῶντας· καὶ τοῦτο, φεῦ! ἐπιτήδευμα μό-
νον τὴν τῶν μαγικῶν ποιούμενος ἄσκησιν, ἐπὶ τῷ
υἱῷ μάλιστα χρῆται τῇ τέχνῃ· καὶ τὰ τῶν μάγων
οὕτω φιλοπόνως αὐτὸν ἐκπαιδεύει, ὥστε μηδὲν ὑπο-
λειφθῆναι τῷ πατρὶ πρὸς γνῶσιν ὃ μὴ τῷ υἱῷ γνώ-
B ριμον ἦν.

Β'. Ἀπτομένου δὲ ἤδη τοῦ παιδὸς ἀκμῆς τε καὶ
ἡλικίας, καὶ Χοσρόου τοῦ βασιλέως νεωτέραν στρα-
τιὰν ἐν Περσίδι συλλέγοντος, εἰς τύρωνα μεθ᾽ ἑτέρων
καὶ αὐτὸς ἀπολέγεται. Ἐπεὶ δὲ ὁ τίμιος τοῦ Κυρίου
σταυρὸς τὴν Περσῶν ἐκλόνει καὶ συνετάραττε πᾶ-
σαν· τοῖς μὲν ἀπίστοις φρικῶδές τε καὶ φοβερὸν ἐπι-
σείων, τοῖς δὲ πιστοῖς ἄγαν ἡδὺ προλάμπων καὶ
προσηνές· φήμη τις περὶ αὐτοῦ διὰ πάντων ἐχώρει·
καὶ ἡ φήμη, παχύτερόν πως εἶχε καὶ ἀμαθέστερον,
τὸν τῶν Χριστιανῶν Θεὸν, Πέρσαις παρεῖναι κηρύτ-
τουσα. Πρὸς ἣν ὁ νέος ἄφνω τὴν ψυχὴν ἀνεφλέχθη.
Ἤδη γὰρ αὐτῆς ἥπτετο κρυφίως ἐκεῖνο τὸ πῦρ, ὃ
Χριστὸς ἦλθε βαλεῖν ἐπὶ γῆς. Ὅπερ οὖν καὶ ἠρεμεῖν
οὐκ εἴα τὴν καλὴν ἐκείνου νεότητα, ἀλλ᾽ εὐθὺς ἁπαν-
C ταχοῦ περιῄει πυθανόμενος περὶ τούτου, μεθ᾽ ὅσης
ἂν εἴποις τῆς θερμότητός τε καὶ τῆς σπουδῆς.
Ἀκούων δὲ παρὰ πάντων, ὡς ἄρα οὗτός ἐστιν ὁ σταυ-
ρὸς ἐν ᾧ Χριστὸς ὁ τοῦ Θεοῦ Υἱὸς ὁ καὶ Χριστιανοῖς
προσκυνούμενος ἐσταυρώθη, πῦρ ὥσπερ πυρὶ προσ-
ετίθει, καὶ ζητήσει συνῆπτε ζήτησιν, καὶ τὰς ἀπο-
κρίσεις μᾶλλον ἑτέρας ἐρωτήσεως ἀφορμὰς ἐποίει·
καὶ πολλῷ πλέον ἐδίψα μαθεῖν· ὅπως μὲν ἐξ οὐρα-
νοῦ κατέλθοι Θεὸς ὤν· ὅπως δὲ καὶ ἄνθρωπος γένοιτο.
Διατί δὲ καὶ σταυρὸν κατακριθείη, καὶ παρὰ τίνων,
καὶ εἰ πρὸς οὐρανοὺς ἐπανέλθοι πάλιν, ὅθεν ἐλήλυ-
θεν. Ὡς δὲ ἀπηγγέλλετο παρὰ τῶν εὐσεβῶν αὐτῷ τὸ
τῆς οἰκονομίας μυστήριον, ἡ μὲν ἀκοὴ τὰ σπέρματα
τῆς εὐσεβείας ἡδέως ἐδέχετο· ἡ ψυχὴ δὲ ἠρέμα τῆς
πίστεως τὸν στάχυν ἐκαρποφόρει, καὶ πόθος αὐτῇ
D Χριστοῦ κατὰ μικρὸν ἐνεφύετο, καὶ ζῆλος αὐτοῦ τῶν
παθημάτων εἰσῄει· ἃ καὶ συνακμάσαντα δή που τῇ
τοῦ νέου ψυχῇ καὶ συναυξηθέντα, πρὸς ἀρίστην τε
αὐτὸν στοιχειοῖ πολιτείαν, καὶ μάρτυρα περιφανῆ
μετὰ ταῦτα ἐργάζεται, ὡς ὁδῷ προϊὼν ἤδη ὁ λόγος
δηλώσει. Ἦν γαρ τις ἀδελφὸς κατὰ γένος αὐτῷ, καὶ
συστρατιώτης· ἀμφότεροι δὲ τῇ τοῦ Σαΐν ἐξεταζόμε-
νοι στρατιᾷ μέχρι Χαλκηδόνος τῆς περιφανοῦς ἦλθον.
Ἐκεῖ δὲ ὁ θεῖος Ἡράκλειος εἰς τὴν Περσίδα παρα-
βαλὼν ἀντιπερισπάσοιτο τὸν Σαΐν· καὶ ὑποστροφῆς

[1] Luc. XII, 49.

(2) Fuit hic Chosroes junior, Hormisdæ regis filius, ut notat Baronius in Martyrologio.

αὖθις ὁ Πέρσης ἥττετο, καὶ σφοδρῶς ἐπανήει πρὸς A τὴν οἰκείαν. Ἀπολείπει μὲν τὴν Περσικὴν στρατείαν ὁ Ἀναστάσιος καὶ πρὸς ἑτέραν πολλῷ κρείττονα καὶ θειοτέραν στρατολογεῖται. Ἀπολείπει δὲ τὸν οἰκεῖον ἀδελφὸν καὶ συστρατιώτην, ἵνα τῷ στρατολογήσαντι ἀρέσοι, καὶ αὐτῷ διὰ παντὸς ἀκολουθεῖν ἔχοι μόνῳ, καὶ μόνοις τοῖς αὐτοῦ πολεμίοις συμπλέκεσθαι.

Γʹ. Καὶ πρῶτα μὲν εἰς Ἱεράπολιν ἐλθὼν, παρά τινι Χριστιανῷ Πέρσῃ κατάγεται, τὴν τέχνην ἀργυροκόπῳ· χρόνον δὲ συχνὸν ὑπ' αὐτῷ διατρίψας, καὶ τὴν ἀργυροκοπικὴν ἐκπονήσας, τὰς μὲν χεῖρας εἶχε τῷ ἔργῳ προσκειμένας· ἡ ψυχὴ δὲ ἀεὶ καὶ οἱ λογισμοὶ τὸν πρὸς Θεὸν ἔστρεφόν τε καὶ ἔτρεφον ἔρωτα, καὶ τοῦτον ἔτι μᾶλλον ἑαυτοῖς ὑπανῆπτον, καὶ ὑπ' αὐτοῦ πάλιν θερμότερον ἀνεφλέγοντο. Ὅθεν ἐδεῖτο τοῦ ἀν- B δρὸς ὁ μακάριος, ἀξιωθῆναι τοῦ θείου βαπτίσματος, καὶ ὅλως τοῦ προτέρου ῥύπου καὶ τῆς γοητικῆς ἐκείνης ἐκκαθαρθῆναι σαπρίας· ἵν' ᾖ μὴ προαίρεσιν μόνον, ἀλλὰ καὶ ψυχὴν καὶ σῶμα κεκαθαρμένος, καὶ γένηται τῆς ποθουμένης Χριστοῦ μερίδος, σημειωθεὶς τῷ ἐκείνου σφραγίσματι. Τοῦ δὲ τὸν ἐκ τῶν Περσῶν κίνδυνον δεδιότος, καὶ τὸ πρᾶγμα διὰ τοῦτο ταῖς εἰς τὸ μέλλον ἀναβολαῖς παρατείνοντος· τέως μὲν ταῖς παρὰ τοὺς θείους ναοὺς προόδοις τὸ πολὺ τῆς ἐπιθυμίας παρεμυθεῖτο, καὶ ἀπιόντι πρὸς αὐτοὺς τῷ ἀργυροκόπῳ καὶ αὐτὸς συναπῄει, καὶ εὐχομένῳ συνηύχετο, καὶ τὰ τῶν ἁγίων θαύματα καὶ τοὺς ἄθλους ἐπὶ τῶν τοίχων γεγραμμένα ὁρῶν, ἄγαν ἐπιμελῶς περὶ αὐτῶν ἀνηρώτα. Ἐπεὶ δὲ ἤκουεν οἷος ἐκείνοις ὁ βίος, ὁ τρόπος, ἡ ἀρετὴ, οἵ τε διὰ Χριστὸν ἀγῶνες ὁποῖοι, καὶ οἵας παρ' αὐτῷ πάλιν C ἐπιτυχεῖν αὐτοῖς γένοιτο καὶ τῆς παῤῥησίας· οὐκέτι κατέχειν τὴν ὠδῖνα τῆς καρδίας οἷός τε ἦν, ἀλλ' ἔγνω πορείας τῆς ἐπὶ τὰ Ἱεροσόλυμα μᾶλλον ἅψασθαι, κἀκεῖσε τυχεῖν τοῦ βαπτίσματος. Καταλαβὼν οὖν τὴν ἁγίαν πόλιν, καὶ παρελθὼν εἴς τινος οἰκίαν τὴν ἀργυροκοπικὴν καὶ αὐτοῦ μετιόντος, τὴν αἰτίαν αὐτῷ τῆς ἐπιδημίας ἀνεκαλύπτει· ὅτι βούλοιτο, φησὶ, πρὸς θεοσέβειαν μετατεθῆναι, καὶ Χριστῷ προσαχθῆναι διὰ βαπτίσματος. Καὶ ὃς αὐτὸν Ἠλίᾳ τῷ τῆς Ἁγίας Ἀναστάσεως ὁσιωτάτῳ πρεσβυτέρῳ προσάγει· κἀκεῖνος ὑπτίαις, ὃ δὴ λέγεται, χερσὶ τὸν νέον δεξάμενος, Μοδέστῳ τηνικαῦτα τοῦ ἀποστολικοῦ προεστῶτι θρόνου τὰ κατ' αὐτὸν ἀναφέρει, καὶ οὕτω τυγχάνει τοῦ θείου βαπτίσματος· καὶ καρπὸς ὄντως ὡραῖος, τοῦ σεβασμίου σταυροῦ δείκνυται, καὶ Ἀνα- D στάσιος ἐπωνύμως τῆς ἀνακλήσεως καὶ τῆς ἐπὶ τὰ κρείττω μεταβολῆς ἀπὸ τῆς προτέρας ἀπιστίας καὶ γοητείας μετονομάζεται. Σὺν αὐτῷ δὲ βαπτίζεταί τις καὶ ἕτερος τῆς αὐτῆς καὶ πατρίδος καὶ θρησκείας Ἀναστασίῳ· ὃς καὶ τῆς ἴσης ἐκοινώνησεν ὕστερον ὑπὲρ Χριστοῦ μαρτυρίας, καὶ τῶν αὐτῶν ἐν Ἐδέσσῃ κατηξιώθη στεφάνων.

Δʹ. Μείναντος μέντοι παρὰ τῇ τοῦ πρεσβυτέρου οἰκίᾳ ὀγδόην ἡμέραν Ἀναστασίου, καθ' ἣν καὶ νόμος ἀπροΐτους ἔχει τοὺς ἄρτι πεφωτισμένους, ἐπυν-

in Persidem, contra Sain [*Al.* Saes] retraxisset, rursum Persa reditum aggressus est, et in suam regionem vehementi studio est reversus. Exercitum autem Persicum relinquit Anastasius (3), et refertur in alium multo meliorem et diviniorem. Relinquit vero suum fratrem et commilitonem, ut ei placeret qui exercitum collegerat, et eum solum posset semper sequi, et conserere manus cum solis ejus hostibus.

III. Et primum quidem cum venisset Hierapolim, divertit ad quemdam Persam Christianum, arte argenti conflatorem: et cum artem conflandi argenti exercuisset, manus quidem habebat intentas operi, animus autem semper et cogitatio in Dei amore versabatur et alebatur: eumque sibi adhuc magis accendebat, et ab ipso rursus inflammabatur vehementius. Quamobrem eum rogabat ille beatus, ut divinum baptismum consequeretur, et omnino a prioribus sordibus expurgaretur, et ab illa labe præstigiarum: ut non solum voluntate et electione sed anima quoque et corpore esset purgatus, et fieret Christi partis, quam desiderabat, illius signatus signaculo. Cum ille autem ex Persis timeret periculum, et ideo morando rem differret in futurum, interim quidem ad divina templa aditione magnum suum solabatur desiderium, et cum argenti conflatore, ad ipsa adeunte, ipse quoque simul adibat, et cum orante simul orabat, et cum sanctorum miracula et certamina videret descripta in parietibus, de iis admodum diligenter rogabat. Cum vero audivisset, qualis eis vita, mores, virtus, et qualia propter Christum certamina, et qualem apud ipsum rursus fiduciam eis liceret consequi, non poterat amplius continere, id, quod ejus parturiebat animus, sed statuit proficisci Hierosolyma, et baptismum illic consequi. Cum ergo in sanctam pervenisset civitatem, et accessisset in domum cujusdam, qui ipse quoque argenti conflandi exercebat artem, ei aperit causam sui adventus, nempe quod vellet traduci ad pietatem et verum Dei cultum, et ad Christum adduci per baptismum. Ille autem eum adducit ad Eliam, Sanctæ Resurrectionis sanctissimum presbyterum: qui cum supinis, ut dicitur, manibus juvenem accepisset, de eo refert ad Modestum, qui sedi præerat apostolicæ: et sic divinum baptismum assequitur, et venerandæ crucis vere pulcher fructus ostenditur, et Anastasius nomine transmutato appellatur, sumpta denominatione a revocatione et ad meliora mutatione a priori infidelitate et præstigiis. Una autem cum eo baptizatur quoque quidam alius, qui erat ejusdem etiam patriæ et regionis, cujus Anastasius: qui fuit ejus quoque socius in ferendo pro Christo martyrio, et easdem est Edessæ coronas consecutus.

IV. Cum autem mansisset Anastasius octoginta dies apud presbyterum, quibus non licet egredi eos, qui modo fuere illuminati, rogavit eum divinus Elias,

(3) Anastasius ad Christianos transfugit anno 621, Baronio teste t. VIII *Annal.*

quidnam de se deinceps velit. Ille autem rogavit, ut habitum consequeretur monasticum. Cum vero ad hoc quoque annuisset presbyter (jam enim veluti ex quadam pellucida veste, et ex decoro habitu et statu ostendebatur nobilitas animæ, et quali virtute futurus esset Anastasius : et ideo ipse facile cessit ejus precibus), venit cum eo post divini mysterii celebrationem ad monasterium Sancti Anastasii, ut ejus quoque fieret mansionis particeps, cujus futurus erat virtutis socius, sicut etiam nominis. Atque monasterium quidem ad quartum lapidem erat remotum a sancta civitate : ei autem præerat Justinus, vir et alioqui clarus, et boni Spiritus variis donis ornatus. Quem cum simul cum multis quoque aliis rogasset presbyter, in monasterium admissus est Anastasius, anno decimo (4) imperii Heraclii illius egregii et fidelis. Tradit vero Justinus Anastasium uni ex suis discipulis, viro valde prudenti et virtutis amanti. Qui cum eum et Græcas docuisset litteras et psalterium, ejusque institutionem animadvertisset, jam recte se habere ad vitam monasticam, tonsis statim ejus capillis, et in eo factis omnibus quæ lex postulat, eum habitu induit monastico, et ex habitu hoc facit Anastasium, quod prius re erat et moribus : vel potius moribus convenientem et cognatum tradit habitum, et in eum deinceps erat affectus, ut in filium e suis genitum visceribus. Adeo pulchra res est virtus, ut quæ cum aliis et virtutis studiosos in amore conjungere, et tantam possit ingenerare benevolentiam, quantam nulla omnino alia cognatio.

A θάνετο αὐτοῦ ὁ θεῖος Ἠλίας, ὅ τί ποτε περὶ ἑαυτοῦ τὸ λοιπὸν ἄρα βούλοιτο. Ὁ δὲ ἠξίου καὶ τοῦ τῶν μοναχῶν τυχεῖν σχήματος. Ἐπινεύσαντος δὲ καὶ πρὸς τοῦτο τοῦ πρεσβυτέρου (παρεδείκνυτο γὰρ ἤδη καθάπερ ἔκ τινος διαφανοῦς ἐσθῆτος τοῦ εὐπρεποῦς σχήματός τε καὶ καταστήματος ἡ εὐγένεια τῆς ψυχῆς, καὶ ὁποῖος τὴν ἀρετὴν γένοιτο Ἀναστάσιος, καὶ διὰ τοῦτο καὶ αὐτὸς ἐνδοτικῶς ἔσχε πρὸς τὴν ἀξίωσιν), ἀφικνεῖται σὺν αὐτῷ μετὰ τὴν θείαν μυσταγωγίαν εἰς τὴν μονὴν τοῦ ἐν ἁγίοις Ἀναστασίου· ἵν' αὐτοῦ καὶ μονῆς γένοιτο κοινωνὸς, οὗ κοινωνὸς ἔμελλε γενέσθαι καὶ ἀρετῆς ὥσπερ ἤδη καὶ κλήσεως. Ἡ μὲν οὖν μονὴ τέσσαρσι τῆς ἁγίας πόλεως σημείοις ἀπεῖχε· προειστήκει δὲ αὐτῆς Ἰουστῖνος, ἀνὴρ τά τε ἄλλα ἐπιφανὴς, καὶ χαρίσμασι τοῦ ἀγαθοῦ Πνεύματος B ποικίλοις κεκοσμημένος. Οὗ μετὰ πολλῶν καὶ ἄλλων δεηθέντος τοῦ πρεσβυτέρου, εἰσδέχθη τῇ μονῇ ὁ ἱερὸς Ἀναστάσιος, ἔτει δεκάτῳ τῆς βασιλείας Ἡρακλείου τοῦ γενναίου δηλαδὴ καὶ πιστοῦ· παραδίδωσι δὲ τὸν Ἀναστάσιον Ἰουστῖνος ἑνὶ τῶν ἑαυτοῦ μαθητῶν, ἀνδρὶ συνετῷ μάλα καὶ φιλαρέτῳ· ὃς καὶ τὰ τῶν Ἑλλήνων γράμματα καὶ τὸ Ψαλτήριον ἐκδιδάξας αὐτὸν, ἀγωγήν τε αὐτοῦ πολιτείαν εὖ ἔχουσαν ἤδη πρὸς τὸν τῶν μοναχῶν βίον κατανοήσας, κείρας εὐθὺς καὶ τρίχας, καὶ ὅσα νόμος ἐπ' αὐτῷ τελέσας, τὸ τῶν μοναχῶν περιβάλλει σχῆμα· καὶ τοῦτο ποιεῖ τὴν Ἀναστάσιον ἐκ τοῦ σχήματος, ὃ πρώην ἀπὸ τοῦ τρόπου καὶ τοῦ πράγματος ἦν· μᾶλλον δὲ τρόπῳ τοιούτῳ, καὶ σχῆμα συγγενὲς ἀποδίδωσι· καὶ τὸ λοιπὸν αὐτῷ καθάπερ υἱῷ τῶν ἑαυτοῦ φύντι σπλάγχνων C προσέκειτο. Οὕτω κάλλιστόν τι χρῆμα ἡ ἀρετὴ μετὰ τῶν ἄλλων, καί συνάπτειν εἰς πόθον τοὺς φιλαρέτους, καὶ τοσαύτην ἐμποιεῖν εὔνοιαν, ὅσην οὐκ ἄλλη τις συγγένεια τὸ παράπαν δυνάμενον.

V. Ex illo tempore apud monasterium vitam cum conventu egit Anastasius. Porro autem ei quoque fuerunt diversa credita ministeria: nec erat solum in eis utilissimus, sed etiam in actione virtutis diligentissimus. Nam cum et culinæ et horti ministerio suam daret operam, et recte se gereret in labore manuum, a fratrum synaxi nunquam aberat, et ante alios sacrorum mysteriorum celebrationi intererat. In divinarum autem Scripturarum lectione, et maxime Vitæ sanctorum Patrum, totus erat affixus, et aures, ut dicitur, arrigebat ad audiendum, eratque mente vigilans et omnia memoria colligebat: ut etiamsi quid diceretur, quod ingenii ejus captum superaret, non negligeret, neque lucrum per socordiam amitteret : sed potius accederet ad fratres, qui eum doctrina superabant, et qui possent talia explanare, et lubenter cum eo inquirere, et sic meditando venerari, quidquid eum latebat. Cum autem apud se legeret victorias insignium martyrum, tropæa et certamina, libros aspergebat lacrymis, significans suum in patiendo consensum, seque cum eis molestia affici et zeli esse socium : et beatos quidem sanctos pronuntiabat propter finem : mirabatur vero eorum tolerantiam. Deinde id, quod erat

Ε'. Ἐξ ἐκείνου τοίνυν διῆγε παρὰ τῇ μονῇ μετὰ τῆς συνοδίας ὁ Ἀναστάσιος· καὶ μέντοι καὶ διαφόρους ἐπιστεύθη διακονίας· καὶ ἦν οὐ μόνον περὶ αὐτὰς εὐχρηστότατος, ἀλλὰ καὶ πρὸς τὴν ἐργασίαν τῆς ἀρετῆς ἐμμελέστατος· τῇ τε γὰρ τοῦ μαγειρείου καὶ τῇ τοῦ κήπου διακονίᾳ προσέχων, καὶ τῷ τῶν χειρῶν ἔργῳ κατευθυνόμενος, οὐδὲ τῆς τῶν ἀδελφῶν συνάξεως ἀπολέλειπτο, καὶ πρό γε τῶν ἄλλων τῆς κατὰ τὴν ἱερὰν, λέγω, μυσταγωγίαν. Ἔν γε μὴν τῇ τῶν θείων Γραφῶν ἀναγνώσει, καὶ μάλιστα τοῖς τῶν ὁσίων ἀνδρῶν βίοις, καὶ προσετήκει, καὶ τὰ ὦτα, τὸ τοῦ λόγου, ἵστη πρὸς τὴν ἀκρόασιν, καὶ τὸν νοῦν ἔξυπνος ἦν, καὶ εἰς τὴν μνήμην ἅπαντα συνελέγετο· ὡς εἴ τι καὶ ὑπὲρ τὴν αὐτοῦ λεχθείη διάνοιαν, μὴ D ἀμελεῖν, μηδὲ ῥᾳθυμίᾳ τὸ κέρδος ποιεῖσθαι, ἀλλὰ προσιέναι μᾶλλον τοῖς διαφορωτέροις τὴν παίδευσιν ἀδελφοῖς, καὶ τοῖς γε τὰ τοιαῦτα διασαφεῖν δυναμένοις, καὶ συζητεῖν ἡδέως, καὶ διερωτᾷν φιλοπόνως· καὶ οὕτως ἅπαν τὸ διαφεῦγον αὐτὸν μελέτῃ θηρᾷν· Ἀναγινώσκων δὲ καὶ καθ' ἑαυτὸν τὰ τῶν καλλινίκων μαρτύρων τρόπαια καὶ τοὺς ἄθλους, δάκρυα τῶν βιβλίων κατέῤῥει, τὸ συμπάσχειν καὶ συνοδυνᾶσθαι τούτοις καὶ κοινωνεῖν τοῦ ζήλου διασημαίνων· καὶ τοῦ μὲν τέλους, ἐμακάριζε τοὺς ἁγίους, τῆς δὲ

(4) *Duodecimo* corrigit Baron., qui fuit annus 621.

ὑπομονῆς, ἐξεπλήττετο. Εἶτα καὶ τὸν σύντροφον ἀπ' ἀρχῆς αὐτῷ πόθον καὶ ζῆλον τοῦ μαρτυρίου θερμότερον ἔτι μᾶλλον ἐποίει, τῇ ὁμιλίᾳ τῶν προλαβόντων ὑποκαιόμενον· καὶ τῶν ἴσων ἀξιωθῆναι παθημάτων ὑπὲρ Χριστοῦ καὶ αὐτὸς ηὔχετο. Διόπερ οὐδὲ σχολάζειν ἑτέραις τισὶν, ὅτι μὴ τῇ τούτων ἀναγνώσει μόνῃ προῄρητο. Ἕβδομον οὖν ἐν τῇ μονῇ χρόνον Ἀναστασίου διηνυκότος, ὁρῶν οὕτως ἐπιδιδόντα πρὸς ἀρετὴν ὁ τοῦ φθόνου πατὴρ ἐκεῖνον οὐκ ἀνεχόμενος, ἀλλ' ὁρμὴν τοσαύτην καὶ οὕτω σύντονον καὶ θερμὴν ἀνακόψαι μηχανῇ πάσῃ βουλόμενος, εἰς ὑπόμνησιν τῆς τε πατρικῆς αὐτὸν διδασκαλίας καὶ τῶν σαπρῶν ἐκείνων τῆς γοητείας ἐνῆγε ῥημάτων, καὶ τοιαύταις προσβολαῖς κατασεῖσαι τὸν πύργον τῆς ψυχῆς αὐτοῦ ἐπειρᾶτο. Καὶ ὃς τὴν ἐπιβουλὴν ἐκείνου μὴ ἀγνοήσας, τὴν ἄνωθεν ἐπικαλεῖται κατ' αὐτοῦ συμμαχίαν, πύργον ἰσχύος, τὸ τοῦ θείου φάναι Δαβὶδ, ἀπὸ προσώπου ἐχθροῦ· εἶτα καὶ προσαγγέλλει μετὰ θερμῶν δακρύων τῷ διδασκάλῳ τοῦ πονηροῦ τὴν ἐπήρειαν. Ὁ δὲ ἀπὸ τοῦ παθεῖν ἀσφαλὲς ἔχων καὶ τὸ διδάσκειν, τὰ κάλλιστα ὑποθέμενος, ἔπειτα αἱ εὐχὴν ὑπὸ πάσῃ τῇ τῶν ἀδελφῶν συνάξει ποιήσας, καὶ ὑπὲρ τοῦ μαθητοῦ δεηθεὶς, τῆς χαλεπῆς αὐτὸν ἀνῆκεν ἐπαγωγῆς.

Ϛ'. Γίνεται δέ τι καὶ ἄλλο μνήμης καὶ γραφῆς ἄξιον· Ὑποῦντι νυκτὸς Ἀναστασίῳ ὄναρ ἐφίσταταί τι τοιοῦτον· ἐδόκει ὄρους ὑψηλοῦ τινος ἐπιβεβηκέναι, προσελθόντα δέ τινα ποτήριον οἴνου χρυσῷ καὶ λίθοις κεκοσμημένον τιμίοις ὀρέγοντα, φάναι· Λάβε, πίε, ὃ καὶ δεξάμενος εὐθέως πιεῖν· καὶ τὸ πόμα, γλυκύτητα κρυφίως ἐνέσταξε τῇ ἐκείνου ψυχῇ, οἷον συνιέντος Ἀναστασίου καὶ κατ' αὐτοὺς ἔτι τοὺς ὕπνους, ὅτι τὸ ποθούμενον αὐτῷ μηνύει τοῦ μαρτυρίου τέλος ὁ ὄνειρος. Διυπνισθεὶς οὖν παραχρῆμα χαρίεις τε καὶ φαιδρὸς τὴν ἐκκλησίαν καταλαμβάνει, καθάπερ ἐν χερσὶν ἔχων τὰ ἐλπιζόμενα· ἤδη γὰρ ὁ καιρὸς ἐκάλει τῶν νυκτερινῶν ὕμνων τὴν σύναξιν, καὶ τὴν σεβάσμιον τῆς Χριστοῦ Ἀναστάσεως ἑορτήν. Κυριακὴ γὰρ ἦν ἡ πρώτη πασῶν καὶ μεγίστη. Οὕτω τοιγαροῦν εἰς τὴν σύναξιν ἀπαντήσας, καὶ τὸν οἰκεῖον διδάσκαλον ἀπολαβὼν, καὶ μόνος σὺν αὐτῷ πρὸς τὸ καλούμενον διακονικὸν εἰσελθὼν, πίπτει πρὸς τοὺς αὐτοῦ πόδας, πλουσίοις αὐτοὺς τοῖς δάκρυσι βρέχων· καὶ τοῦ ἀνδρὸς ἐν συντριβῇ καρδίας δεόμενος εὔξασθαι ὑπὲρ αὐτοῦ πρὸς τὸν κοινὸν ἁπάντων Δεσπότην· οἷα μέλλοντος πρὸς ἐκεῖνον οὐκ εἰς μακρὰν ἐκδημῆσαι. Εἶτα καὶ τὰ ἐξιτήρια φθέγγεται καὶ ὅσα τῆς ἐκδημίας· Οἶδα, Πάτερ ἅγιε, λέγων, ὅσους ἐπ' ἐμοὶ κόπους ὑπέστης τῷ ταλαιπώρῳ, καὶ ὅτι πολλὰ παρελύπησα καὶ πολλάκις τὰ πατρικὰ περὶ ἐμὲ καὶ φιλόστοργα σπλάγχνα σου, καὶ ὅτι διὰ σοῦ φῶς εἶδον οἱ ὀφθαλμοί μου, φῶς ἀληθινὸν, φῶς ἐπιγνώσεως, καὶ σκότους ἀπηλλάγην χαλεπωτάτου· διὸ μηδὲ διαλίποις τοῦ φιλανθρώπου Δεσπότου περὶ ἐμοῦ ὁ πιστὸς οἰκέτης διὰ παντὸς δεόμενος.

Ζ'. Πρὸς ταῦτα ἐκεῖνος ὑπολαβὼν, Τί δὲ τοῦτό ἐστιν, ἔφη, καὶ πόθεν ἂν γένοιτο δῆλον, ὅτι μέλλεις

A ei ab initio congenitum, desiderium martyrii et zelum ardentiorem afficiebat, ut qui accenderetur sua cum prioribus conversatione, et orabat ut ipse quoque tales pro Christo subiret perpessiones. Quocirca nulli rei alteri sibi vacandum esse censebat, nisi soli eorum lectioni. Cum ergo septem annos in monasterio transegisset Anastasius, videre ejus in virtute augmentum non ferens pater invidiæ, sed tantum et tam constantem ardentemque ejus impetum et studium volens omni ratione retardare, ei paternam doctrinam vocavit in memoriam, et fœtida illa verba præstigiarum, et ejusmodi insultibus ejus animæ turrim conabatur labefactare. Is autem illius non ignorans insidias, adversus eum supernum invocat auxilium, turrem fortitudi-
B nis, ut dicam cum divino David, a facie inimici [2]. Deinde etiam cum calidis lacrymis magistro significat maligni injuriam et petulantiam. Ille vero cum ex eo, quod esset passus, posset etiam tuto docere, ubi pulcherrima ei dedisset monita, et deinde etiam fudisset preces, in toto conventu fratrum, et rogasset pro discipulo, liberavit eum a gravi illa impulsione.

VI. Fit autem aliud quoque dignum quod mandetur memoriæ et scriptioni. Noctu dormienti Anastasio in somnis ei tale quid apparet. Videbatur montem quemdam excelsum ascendisse, ad eum autem accessisse quispiam porrigens vini poculum, auro ornatum et gemmis, et dixisse: Accipe, bibe. Cumque id accepisset, statim bibisse. Potus autem ejus
C animæ latenter instillavit dulcedinem, adeo ut vel in somnis intelligeret Anastasius, somnum significare desideratum a se finem martyrii. E somno itaque protinus excitatus, alacris et lætus venit ad ecclesiam, ut qui ea, quæ sperabantur, haberet in manibus. Jam enim vocabat tempus congregationem pro dicendis hymnis nocturnis, et celebrando venerabili festo Christi Resurrectionis. Erat enim dies Dominicus, primus omnium et maximus. Cum sic ergo venisset ad congregationem, et suum accepisset magistrum, et solus cum ipso esset ingressus in id, quod dicitur Diaconicum, procidit ad ejus pedes, profusis eos lacrymis irrigans, et eum rogans in contritione cordis, ut pro ipso communem omnium rogaret Dominum, ut qui esset propediem ad illum recessurus. Deinde etiam ea loquitur, quæ dici so-
D lent ab exeuntibus et iis qui peregre proficiscuntur: Scio, dicens, sancte Pater, quod pro me misero labores sustinuisti, et quod sæpe et in multis molestia affeci tua in me paterna et amantia viscera, et quod per te lucem mei viderunt oculi, lucem veram, lucem agnitionis, et a gravissimis liberatus sum tenebris. Quocirca ne cesses, qui es fidelis servus, clementem ac benignum perpetuo pro me orare Dominum.

VII. Ad hæc ille respondens : Quid hoc autem est, inquit, et undenam hoc evaserit manifestum,

[2] Psal. LX, 4.

quod sis in præsentia postremum a nobis discessum suscepturus? Ille vero refert ei somnium cum quam maxima potest affectione, et affirmat se omnino haud ita multo post moriturum, sive hac communi et omnibus æquali morte, sive aliqua alia, et alio modo, moriturum autem omnino. Nesciebat enim, quonam modo aperiret arcanum, quod scilicet martyrii desiderium ejus animo inhæsisset, ad quod ille referebat somnia. Verebatur enim, ne forte ad eo corriperetur, et sic refrigesceret ardor ejus animi, et a tantis opibus et thesauro excideret. Tunc ergo Anastasius, cum eum præceptor ejus multis et piis monitis esset consolatus, matutinas psalmodias Deo reddit cum fratribus. Deinde etiam cum sacrum celebraretur mysterium, divinis communicat sacramentis: et cum una cum fratribus communis mensæ fuisset particeps, somnumque parum vidisset et surrexisset, quoniam nesciebat quemadmodum posset exstinguere egregium illum amorem decertandi propter Christum, sed ab eo cor ejus vehementer accenderetur, clam egreditur monasterio, nihil secum ferens præter ea quibus necessario opus habebat ad tegumentum corporis.

VIII. Et primum quidem cum venisset Diospolim, et deinde etiam in montem, qui dicitur Charizim, orationis gratia et adorationis, et deinde etiam ad cætera, quæ illic sunt, loca veneranda accessisset et pervenisset usque ad Cæsaream Palæstinæ, in templo Deiparæ virginis duobus diebus moratur: et exinde eum rursus excipit templum omni ex parte laudandæ Euphemiæ, veluti quodam viæ duce utentem clanculum, qui plane ejus dirigebat gressus ad martyrium. Nam cum accederet, ut diximus, ad templum illius semper laudandæ Euphemiæ, videt quosdam Persarum magos occupatos in quibusdam præstigiis: zeloque protinus concitatur ejus animus. Sciebat enim, quam ea res esset impia et scelerata, eo quod ipse quoque in ea improba arte esset versatus. Quænam, inquit, tanta caligo vestris offusa est oculis, ut ne ea quidem aspiciatis, quæ ante vestros pedes sita sunt, quemadmodum in universum scilicet est deceptio, quæ vestram levitatem ludificatur et facilitatem, et eorum, quos vos rursus ad eumdem vobiscum corripitis interitum? Hanc illi admirati in dicendo libertatem et audaciam, rogarunt quisnam esset, et quid eum impulisset, ut hæc diceret. Ille autem: Fui ego quoque, inquit, aliquando vobis similis, et eodem falsus errore, et eisdem dedi operam præstigiis. Hæc audacter dixit, cum nihil eum puderet suæ, quam ab ineunte ætate acceperat, impietatis et sordium vitæ prioris: sed potius gloriaretur, quod in fidem esset translatus et sacro esset baptismo ablutus. Deinde prolixa cœpit uti oratione, rem esse exsecrandam arguens e quam esset insigniter absurda, aperiens, et sic paulatim seipsum eis exemplum adducens, et similiter eos invitans ad meliorem mutationem. Illi autem non solum ad hæc fuere

A τό γε νῦν ἔχον τὴν τελευταίαν ἐκδημήσειν ἀφ' ἡμῶν ἐκδημίαν; Ὁ δὲ, τὸν ὄνειρον αὐτῷ μεθ' ὅσης ἂν εἴποις διηγεῖται περιπαθείας, καὶ ὅτιπερ ἀποθανεῖται πάντως οὐ μετὰ πολὺ διατείνεται, εἴτε τὸν κοινὸν δὴ τοῦτον καὶ ἴσον τοῖς πολλοῖς θάνατον, εἴτε τινὰ ἄλλον καὶ τρόπον ἕτερον, ἀποθανεῖται δ' οὖν ὅμως· οὐ γὰρ εἶχεν ὅπως ἀπογυμνώσει φανερῶς τὸ ἀπόῤῥητον, ὁποῖος ἀπ' ἀρχῆς ἔρως αὐτῷ μαρτυρίου ἐντέτηκε τῇ ψυχῇ, πρὸς ὃν ἐκεῖνος ἀνέφερε τοὺς ὀνείρους. Ἐδεδίει γὰρ μὴ καὶ τυχὸν ἐπιτιμηθῇ παρ' αὐτοῦ, καὶ τὴν θέρμην οὕτω τῆς ψυχῆς διαψυχρανθείη, καὶ πλούτου τοσούτου διαπέσοι καὶ θησαυροῦ. Τότε μὲν οὖν παρακληθεὶς Ἀναστάσιος τὴν καρδίαν πολλαῖς τοῦ διδασκάλου καὶ φιλοθέοις ταῖς παραινέσεσι, τὰς ἑωθινὰς ψαλμῳδίας Θεῷ μετὰ τῶν ἀδελφῶν
B ἀποδίδωσιν. Εἶτα καὶ τῆς ἱερᾶς ἐπιστάσης μυσταγωγίας, τῶν θείων κοινωνεῖ μυστηρίων, καὶ κοινῆς τοῖς ἀδελφοῖς τραπέζης μεταλαχὼν, βραχύ τε γευσάμενος ὕπνου, καὶ διαναστὰς, ἐπεὶ οὐκ εἶχεν ὅπως τοὺς καλοὺς ἐκείνους κατασβέσει τῆς διὰ Χριστὸν ἀθλήσεως ἔρωτας, ἀλλὰ σφοδρῶς ὑπ' αὐτῶν ἐπίμπρατο τὴν καρδίαν, ὑπέξεισιν ἀφανῶς τοῦ μοναστηρίου, μηδὲν ἐπαγόμενος πλέον εἰ μὴ ὧν ἀναγκαίως διὰ τὴν του σώματος περιβέβλητο σκέπην.

Η'. Καὶ πρῶτα μὲν εἰς Διόσπολιν ἐλθὼν, ἔπειτα δὲ καὶ εἰς τὸ Γαριζὶν οὕτω λεγόμενον ὄρος εὐχῆς χάριν καὶ προσκυνήσεως, καὶ τοῖς λοιποῖς ἐκεῖ σεβασμίοις τόποις παραβαλὼν, καὶ μέχρι Καισαρείας τῆς Παλαιστίνης καταλαβὼν, τῷ τῆς Παρθένου καὶ Θεοτόκου ναῷ δυσὶν ἡμέραις ἐνδιατρίβει. Κἀκεῖθεν ὁ
C ναὸς τῆς πανευφήμου δέχεται πάλιν αὐτὸν Εὐφημίας, καθάπερ τινὶ κρυφίως ὁδηγῷ χρώμενον, ἐδοποιοῦντι λίαν ὁμαλῶς αὐτῷ τα πρὸς τὸ μαρτύριον διαβήματα. Παριὼν γὰρ πρὸς τὸν τῆς πανευφήμου ναὸν, ὥσπερ ἔφημεν, ὁρᾷ τινας τῶν Περσῶν μάγους περί τινας γοητείας ἠσχολημένους, καὶ ζήλου τὴν ψυχὴν εὐθέως ὑποπλησθεὶς (ᾔδει γὰρ τὴν ἀνοσιότητα καὶ μιαρίαν τοῦ πράγματος, ἀπὸ τοῦ καὶ αὐτός ποτε τοιαύταις ἐντριβῆναι κακοτεχνίαις), Τίς ἡ τοσαύτη, φησὶν, ἀχλὺς ἡ τῶν ὑμετέρων ὀφθαλμῶν καταχέχυται, ὡς μηδὲ πρὸς αὐτὰ δυνηθῆναί ποτε τὰ ἐν ποσὶ διαβλέψαι, ὅπως ἀπάτη τὸ ὅλον ἐστὶ τῆς ὑμετέρας εὐχερείας καὶ κουφότητος καταπαίζουσα, καὶ ὧν πάλιν ὑμεῖς πρὸς τὴν αὐτὴν ἀπώλειαν συναρπάζετε; Ταύτην ἐκεῖνοι τὴν παῤῥησίαν καταπλαγέντες, τίς τε εἴη, καὶ ὅθεν τοιαῦτα πρὸς αὐτοὺς εἰπεῖν προαχθείη διεπυνθάνοντο.
D Ὁ δὲ, Ἦν ποτε κἀγὼ καθ' ὑμᾶς, ἔφη, καὶ τὴν αὐτὴν ἠπατώμην ἀπάτην, καὶ γοητείαις ταῖς αὐταῖς προσεκείμην. Ταῦτα θαῤῥούντως ἔφη· μηδὲν τῇ ἐκ παίδων ἀσεβείᾳ καὶ τοῖς τοῦ προτέρου βίου μολυσμοῖς αἰσχυνόμενος, ἀλλὰ τῇ μεταθέσει μᾶλλον τῆς πίστεως καὶ τῇ ἐκπλύσει τοῦ ἱεροῦ βαπτίσματος σεμνυνόμενος. Εἶτα καὶ μακροὺς κατατείνειν ἤρξατο λόγους, τὸ μυσαρὸν τοῦ πράγματος διασύρων καὶ τὴν ὑπερβολὴν τῆς ἀτοπίας ἔκδηλον καθιστὰς, καὶ οὕτως ἠρέμα παρατιθεὶς ἑαυτὸν ἐκείνοις ὑπόδειγμα, καὶ πρὸς τὴν ἴσην αὐτοὺς ἐπὶ τὰ κρείττω μεταβολὴν ἐκκαλούμενος. Οἱ δὲ οὐ μόνον πρὸς ταῦτα κωφοῖς ἐώκεισαν, ἀλλὰ καὶ ἠξίουν τὸν ἄνδρα μάλα θερμῶς

μὴ οὕτως ἀναίδην τὰ σεμνὰ φαυλίζειν Περσῶν καὶ A εἰς χλεύην τοῖς πολλοῖς τίθεσθαι. Ἐντεῦθεν ὁ καλὸς τῷ ὄντι καὶ ποθεινὸς Ἀναστάσιος πρὸς τὸ τερπνὸν ἠπείγετο τοῦ μαρτυρίου κατάλυμα.

Θ'. Οὐ πολὺ δὲ αὐτῶν διεστῶτα ἰδόντες τινὲς τὸν ἄνδρα τῶν συνήθως παρὰ Πέρσαις λεγομένων καβαλλαρίων πρὸ τοῦ Δέβρας καθήμενοι, ὥσπερ γοῦν καὶ εἰώθασι (τοῦτο δέ ἐστι πραιτώριον τοῦ καλουμένου παρ' αὐτοῖς σελλαρίου), Ἤπου δηλάτωρ οὗτός ἐστιν, ἔφησαν πρὸς ἑαυτοὺς τῇ Περσῶν διαλέκτῳ, Ὁ δὲ τοῦ ῥήματος ὑπαισθόμενος καὶ τὴν γλῶτταν οὐκ ἀγνοήσας, οἷα Πέρσης καὶ αὐτὸς ὤν, καὶ φωνὴν τὴν αὐτὴν ἐκείνοις πεπαιδευμένος, δριμύ τι λίαν αὐτοῖς καὶ πικρὸν ἐμβλέψας, Οὐ δηλάτωρ ἔγωγε, εἶπε· λῆρος B τοῦτο καὶ φλυαρία· δοῦλος δὲ μᾶλλον Ἰησοῦ Χριστοῦ, καὶ πολλῷ γε βελτίων ὑμῶν, εἰ καὶ αὐτός ποτε καθ' ὑμᾶς ἐγεγόνειν καὶ τάξει τῇ τῶν καβαλλαρίων ἐξηταζόμην. Τούτων ἐκεῖνοι ἀκούσαντες, καὶ τῆς καθέδρας εὐθὺς ἐξαλάμενοι κατέσχον αὐτόν, ἔπειτα καὶ τῷ σελλαρίῳ εἰσαγγελθέν, ἔξεισι κἀκεῖνος τοῦ πραιτωρίου, καὶ ἀνακοίνας αὐτὸν ὅστις εἴη, καὶ ὅθεν ἥκοι, καὶ πάντα τὰ κατ' αὐτὸν ἀκριβείᾳ ἐξετάσας δίδωσι τηρεῖσθαι τὸν Ἀναστάσιον ὑπὸ φρουρᾷ τῇ ἀσφαλεστάτῃ· ἐν ᾗ καὶ εἰς τρίτην ἡμέραν, ἐξῆς κατακεκλεισμένος [ἦν], οὔτε βρωτὸν οὔτε ποτὸν οὐδ' ὁτιοῦν παρ' αὐτῶν ὅλως προσέσθαι ἠνέσχετο· ἀλλ' ἄγευστος οὕτω παντάπασιν ἐν τῇ φυλακῇ καθεῖρκτο, προσδοκίᾳ μόνῃ τῶν μελλόντων ὑπὲρ Χριστοῦ κινδύνων τρεφόμενος. Ὅδη δὲ τοῦ Μαρζαβανᾶ τῆς ἐκδημίας C ἐπανελθόντος (οὐδὲ γὰρ ἦν ἐπιδημῶν τηνικαῦτα τῇ Καισαρέων), καὶ τοῦ σελλαρίου τὰ κατὰ τὸν Ἀναστάσιον ἀπαγγείλαντος, δεσμώτης εὐθὺς ὁ μάρτυς εἰς τὸ πραιτώριον ἄγεται. Ἐν ᾧ δέ τισιν ἑτέραις ὁ Μαρζαβανῆς ἀπησχολεῖτο φροντίσιν ἀναγνωρίζει τῶν εὐσεβῶν τις τὸν Ἀναστάσιον· ὃς ἐτύγχανεν αὐτὸν ἐν τῷ σεβαστῷ τῆς Θεοτόκου τεμένει τεθεαμένος. Ἀναγνωρίσας τοιγαροῦν οὗτος αὐτὸν ἐν τῷ πραιτωρίῳ καὶ παρ' αὐτοῦ πυθόμενος ὅτου χάριν ἐκεῖσε παρείη, μακαρίσας τε αὐτὸν τοῦ σκοποῦ, ῥώννυσιν ἔτι μᾶλλον αὐτοῦ τὴν περὶ τὰ δεινὰ προθυμίαν, ὡς μήτε δεσμὰ δεῖσαι διὰ Χριστόν, μὴ βασάνους, μὴ θάνατον· ἀλλὰ γενναίως τῷ Μαρζαβανᾷ καὶ νεανικῶς ἀποκρίνεσθαι. Ἀμέλει καὶ πρὸς τὸν τύραννον εἰσαχθείς, οὐδὲ γόνυ κλίνει, ὥσπερ νόμος ἀεὶ Πέρσαις, προσκύνησιν ἀποδιδόναι τοῖς μείζοσιν, ἀλλὰ τὸ τῆς ψυχῆς εὐγενὲς D καὶ ἀδούλωτον διὰ τῶν ἐκτὸς ὑπεσήμαινεν.

Ι'. Ἐφ' ἱκανὸν αὐτῷ τοίνυν ὁ Μαρζαβανᾶς ἀτενίσας, τοῦτο μέν, ἵνα καὶ δειλίαν ἐμποιήσῃ τῷ ἐπιμόνῳ τοῦ βλέμματος, τοῦτο δὲ ἵνα καὶ περιεργότερον ἀνασκοπήσοι τὸν ἄνδρα, τίς τε εἴη καὶ ὅθεν ἤρετο. Ὁ δέ, Χριστιανός εἰμι ἀληθής, ἀπεκρίνατο. Εἰ δὲ βούλει καὶ ὅθεν προῆγμαι μαθεῖν, Πέρσης μὲν τὸ γένος ἐκ χώρας Ῥαζήχ, κώμης δὲ Ῥασμουνή, καβαλλάριος δέ ποτε καὶ αὐτὸς γεγονὼς καὶ τὰ μαγικὰ μετιὼν· καὶ σκότους οὕτω λειτουργὸς ὤν, ἴσχυσα πρὸς τὸ φῶς, ὡς ὁρᾷς, μεταβῆναι καὶ μετα-

surdis similes, sed eum etiam vehementer rogarunt. ne tam impudenter, quæ sunt apud Persas præclara, contemneret, et in vulgus irridenda proponeret. Exinde ille vere egregius et desiderabilis Anastasius festinabat ad delectabile et jucundum martyrii hospitium.

IX. Cum non longe autem a se remotum eum quidam vidissent ex iis, qui dicuntur a Persis caballarii, sedentes apud Derbos, sicut etiam consueverunt (hoc autem est prætorium ejus, cui apud ipsos dicitur sellarius); Certe hic est delator, dixerunt inter se sermone Persico. Ille vero cum verbum sensisset, et linguam non ignorasset, ut qui ipse quoque esset Persa, et in eadem voce, qua illi, eruditus, eos torve et acriter intuens: Non sum delator, inquit; sunt hæc, inquit, nugæ et ineptiæ: sed potius servus Jesu Christi, et vobis quidem melior: siquidem quoque fui aliquando sicut vos, et in caballariorum numerum fui relatus. Hæc eum illi audissent, et e cathedra statim exsiliissent, cum detinuerunt. Deinde cum sellario quoque fuisset annuntiatum, egreditur etiam ille ex prætorio: et cum; quisnam is esset, interrogasset, et undenam veniret, et quæ ad ipsum pertinebant, diligenter examinasset, dat servandum Anastasium in custodio tutissima. In qua jam tres dies inclusus, neque cibum, neque potum, neque aliquid aliud ab eis omnino accipere sustinuit: sed sic omnino jejunus detentus est in custodia, ut qui futurorum pro Christo periculorum aleretur sola exspectatione. Cum autem jam rediisset Marzabanas ex peregrinatione (neque enim tum erat Cæsareæ), et de Anastasio significasset sellarius, vinctus statim adducitur martyr in prætorium. Interim vero dum Marzabanas erat in aliquibus aliis curis occupatus, agnoscit aliquis ex piis Anastasium, qui eum in venerando templo Deiparæ aspexerat. Cum ergo sic eum agnovisset in prætorio, et eum interrogasset, quanam de causa illic adesset, ejus scopum et institutum laudens, et eum eo nomine beatum pronuntians, ejus promptum et alacrem animum magis confirmat in rebus gravibus et asperis, ut neque propter Christum timeret vincula, nec tormenta, nec mortem: sed Marzabanæ responderet strenue et juveniliter. Certe etiam cum fuit ad tyrannum introductus, nec genu quidem flexit, ut semper mos est Persis adorationem reddere majoribus: sed generosum, et qui in servitutem redigi non poterat, animum per externa significabat.

X. Cum ergo fixis oculis eum satis esset intuitus Marzabanas, partim quidem, ut constanti aspectu ei terrorem incuteret, partim autem, ut eum consideraret diligentius, rogavit eum quisnam esset et cujas. Ille vero: Verus sum Christianus, respondit, Quod si velis etiam scire, cujas sim, sum quidem Persa genere, ex regione Racech, vico autem Rasnuni: qui ipse quoque fui aliquando caballarius, et in rebus magicis exercitatus: cumque sic essem minister tenebrarum, potui, ut vides, transire ad

lucem e tenebris, et discere veritatem. Marzabanas autem cum nondum fecisset periculum, quam esset generosus athleta, sed putaret rem esse facilem et expeditam, eum a sua traducere sententia, cœpit illius mentem non secus ac parvi alicujus pueri parvis tentare promissionibus: ille vere parvi et abjecti animi: Desiste, dicens, ab hoc errore ad patriam religionem. Si enim sic feceris, dabo tibi equos et nummos, et multa alia bona. Martyr autem cœlum intuens: Absit, inquit, rex Christe, ut beatam tuam fallam confessionem. Propter quæ eum tanquam volens pudore afficere Marzabanas: Quid autem? placetne tibi, inquit, hoc habitu indui, quo nunc es indutus? Ille vero: Non minoris, respondit, eum facio, quam tu hanc tuam dignitatem. Quamobrem ille ira commotus: Certe tu, inquit, uteris cohabitante dæmone, neque aliud per teipsum loqueris, quam quod ipse tibi suggesserit. Ad ea martyr: Quando eram, inquit, in errore, male honorans impietatem, aut potius ab illa affectus ignominia, tunc gravis dæmon mecum cohabitabat. Nunc habeo ipsum Christum cahabitantem, qui tuos expellit dæmones. Cnm autem adjecisset Marzabanas: Quid ergo? non times; inquit, ne hæc ad regem referantur, ille vero te acerbe cruci affigat? Quomodo, inquit, hominem timuerim, qui est patibilis, et in quem cadit interitus? Nam etsi corpus superavit, capi tamen non potest anima, et ei non possunt omnino parari insidiæ.

XI. Hæc ergo non ferens Marzabanas, jubet ferreis collaribus collum et alterum ex pedibus subjectum vinciri, et ductum ad ergastulum, illic lapides cogi ferre gravissimos. Quod quidem cum ejus jussu factum esset, et ad ferendos lapides semper sanctos manus afferret, manus sanctas, manus quæ multum poterant apud Deum, corporeis laboribus plura erant, quæ extrinsecus ei afferebantur. Multi enim ex Persis ad eum accedentes, et maxime ex iis qui orti erant ex eodem vico, ex quo Anastasius, veluti proprium reputantes dedecus, quæ in illum fiebant, exprobrationem adversus proximum, ut cum divino David dicam[3], sumebant: Cur hoc fecisti? dicentes, Cur antiquam nobilitatem generis affecisti contumelia, effectus Christianus, et tantam nobis inusisti ignominiam, propterea in vincula conjectus, et maleficorum damnatus supplicio? quod quidem nostri ferre non possunt oculi. Cum his autem gravibus linguæ verberibus, manuum quoque beato verbera infligebant, vehementer verberantes, atque barbam vellentes, et ejus vestimenta lacerantes, et lapides, quos quatuor simul conjuncti ferebant, eos soli Anastasio ferendos imponebant: adeo ut ipse rursus loqui visus sit cum Davide [3*]: Supra dorsum meum fabricaverunt peccatores, prolongaverunt iniquitatem suam. Idque eum ne ferre quidem per se posset ferrum, quod erat collo et pedi ejus impositum: sed sub

A μαθεῖν τὴν ἀλήθειαν. Καὶ ὁ Μαρζαβανᾶς οὔπω πεῖραν εἰληφὼς τῆς τοῦ ἀθλητοῦ γενναιότητος, ἀλλ' εὐχερές τι πρᾶγμα καὶ ῥᾴδιον εἶναι τὸ μεταπείσειν αὐτὸν οἰόμενος, μικραῖς ἤρξατο ταῖς ἐπαγγελίαις ὁ μικρὸς τὴν γνώμην ἐκεῖνος ὡς ἑνὸς τῶν παίδων ἀποπειρᾶσθαι, Ἀπόστηθι, λέγων, τῆς πλάνης ταύτης καὶ πρὸς τὴν πάτριον αὖθις ἐπάνελθε θρησκείαν. Οὕτω γὰρ πάντως καὶ ἀλόγων, καὶ μιλιαρισίων, καὶ οὐκ ὀλίγων ἄλλων ἀγαθῶν μεταδώσω σοι. Καὶ ὁ μάρτυς ἄνω πρὸς οὐρανὸν ἀπιδὼν, Μή μοι γένοιτο, ἔφη, ψεύσασθαί σου τὴν μακαρίαν ὁμολογίαν, Χριστὲ βασιλεῦ. Ἐφ' οἷς ὥσπερ αὐτὸν ὁ Μαρζαβανᾶς αἰσχῦναι βουλόμενος· Τί δαί; ἀρέσκει σοι τοῦτο περικεῖσθαι τὸ σχῆμα ὅ γε νῦν περιβέβλησαι; Ὁ δὲ, Οὕτως ἐπ' αὐτῷ σεμνύνομαι, ἀπεκρίνατο, ὡς οὐδὲ σύ γε τῷδε B τῷ ἀξιώματι. Πρὸς ὅπερ ἐκεῖνος ἀγανακτήσας, Ἦπου συνοίκῳ, φησὶ, κέκτησαι δαίμονι, καὶ οὐ μᾶλλον φθέγγῃ διὰ σαυτοῦ, ἢ ἅπερ ἂν αὐτὸς ὑποβάλῃ σοι. Πρὸς ταῦτα ὁ μάρτυς, Ὅτε ἦν ἐν τῇ πλάνῃ, φησὶ, τιμῶν κακῶς τὴν ἀσέβειαν, ἢ καὶ ὑπ' ἐκείνης ἀτιμαζόμενος, τότε μοι χαλεπὸς δαίμων συνῴκει. Νῦν δὲ Χριστὸν αὐτὸν ἔχω σύνοικον, τὸν τοὺς σοὺς ἐλαύνοντα δαίμονας. Προσθεὶς τοίνυν Μαρζαβανᾶς, Τί γοῦν; οὐ φοβῇ, ἔφη, μὴ ἀνενεχθείη περὶ σοῦ ταῦτα τῷ βασιλεῖ, ὁ δὲ σταυρῷ πικρῶς ἀναρτήσει σε; Πῶς ἂν, εἶπεν, ἄνθρωπον φοβηθείην φθορᾷ καὶ πάθεσιν ὑποκείμενον; Εἰ γὰρ καὶ τοῦ σώματος περιέσται, ἀλλ' ἡ ψυχὴ πάντως ἄληπτος αὐτῷ καὶ παντελῶς ἀνεπίβουλος.

ΙΑ'. Οὐκ ἐνεγκὼν τοίνυν ἐπὶ τούτοις Μαρζαβανᾶς, C κελεύει κλοιοῖς σιδηροῖς τράχηλόν τε καὶ ποδοῖν τὸν ἕτερον ὑποβληθέντα, παρὰ τὸ φρούριόν τε ἀχθέντα, λίθους ἐκεῖσε πρὸς βίαν βαρυτάτους κομίζειν. Οὗ δὴ καὶ κατὰ τὴν ἐκείνου πρόσταξιν γεγονότος, καὶ χεῖρας ἀεὶ τοῦ ἁγίου τῇ μετακομιδῇ τῶν λίθων εἰσφέροντος, χεῖρας ὁσίας χεῖρας μεγάλα πρὸς Θεὸν δυναμένας, πλείω τῶν σωματικῶν κόπων τὰ ἔξωθεν αὐτῷ ἐπαγόμενα ἦν. Προσιόντες γὰρ πολλοὶ τῶν Περσῶν, καὶ μάλιστα τῶν ἐκ τῆς αὐτῆς Ἀναστασίῳ κώμης ὡρμημένων, καὶ οἰκείαν ὥσπερ αἰσχύνην ἡγούμενοι τὰ εἰς ἐκεῖνον γινόμενα, ὀνειδισμὸν ἐπὶ τὸν ἔγγιστα, τὸ τοῦ θείου φάναι Δαβὶδ, ἐλάμβανον, Τί τοῦτο ἔδρασας λέγοντες· τί τὴν παλαιὰν τοῦ γένους εὐγένειαν ὕβρισας, Χριστιανὸς γεγονὼς, καὶ τηλικοῦτον μῦσος ἡμῖν ἐπιτρίψας, καὶ διὰ τοῦτο καὶ D δεσμώτης γενόμενος, καὶ τὴν τῶν κακούργων κατακριθεὶς τιμωρίαν, πρᾶγμα μηδὲ ὀφθαλμοῖς ἀνεκτὸν ἡμετέροις; Μετὰ δὲ τῶν χαλεπῶν τούτων ἀπὸ τῆς γλώττης πληγῶν, ἔτι καὶ τὰς ἐκ τῶν χειρῶν ἐπῆγον τῷ μακαρίῳ, τύπτοντές τε σφοδρῶς καὶ πώγωνα τίλλοντες, καὶ ἱμάτια τούτου περιρρηγνύντες, καὶ λίθους οὓς αὐτοὶ συνάμα τέσσαρες ἔφερον, τούτους Ἀναστασίῳ μόνῳ φέρειν ἐπιτιθέντες· ὡς ἐοικέναι πάλιν αὐτὸν συμφθέγγεσθαι τῷ Δαβίδ· Ἐπὶ τοῦ νώτου μου ἐτέκταινον, ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν· καὶ ταῦτα μηδὲ τὸν ἐπὶ τοῦ τραχήλου καὶ τοῦ ποδὸς σίδηρον οὕτω καθ' ἑαυτὸν διαφέρειν ἔχοντι, ἀλλ' ὑπὸ

[3] Psal. XIV, 3. [3*] Psal. CXXVIII, 3.

τῷ αὐτῷ σιδήρῳ καὶ ἄλλου σὺν τῷ μάρτυρι τὸν πόδα πεπεδημένου, ἃ καὶ πολλαπλοῦν ἔπλεκε πάντως αὐτῷ τοῦ μαρτυρίου τὸν στέφανον. Ἔχεις, εἰ βούλει, καὶ ἄλλας ὀδύνας, καὶ ἄλλων ἀφορμὰς στεφάνων· αὐτὸ δὴ τοῦτό φημι, τὸ ἐν μέσῳ γνωρίμων ὀφθαλμῶν τὰ τοιαῦτα πάσχειν, καὶ τὰ πολλὰ παρ' αὐτῶν ὀνείδη, ἃ δὴ καὶ προλαβὼν ὁ λόγος ἐδήλωσεν. Ὑφ' ὧν οὕτω διέμεινεν ἀπαθής, ὡς ἐγκώμια ταῦτα μᾶλλον ἡγεῖσθαι διὰ Χριστὸν, ἤ τι τὴν καρδίαν ὑπ' αὐτῶν βάπτεσθαι.

ΙΒ'. Ὁ τοίνυν Μαρζαβανᾶς (ἀνακλητέον γὰρ αὖθις πρὸς τὴν ἀκολουθίαν τὸν λόγον) ὑπανεῖναί τι τὸν μάρτυρα τῆς πολλῆς ἐκείνης ἐνστάσεως τῇ μεταξὺ κακοπαθείᾳ νομίσας, καὶ τοῦτον πάλιν πρὸς ἑαυτὸν ἀγαγὼν, Εἰ ἀληθῶς, φησὶ, μάγου πατρὸς ἔγυς (τοῦτο γὰρ αὐτὸς ἐπεσημήνω περὶ σαυτοῦ), καὶ τὴν γλῶτταν ἱκανῶς ταῖς ἐκείνων ἤσκησαι βίβλοις, φθέγξαι τι τῶν μαγικῶν καὶ ἡμῖν, ὅπως σοι καὶ αὐτοὶ μάρτυρες ὦμεν τῆς ἐπιστήμης. Ὁ δὲ καὶ στόματος καὶ χειλέων ῥύπον, καὶ νοῦ κηλῖδα, καὶ μολυσμὸν τὸ καὶ μνησθῆναί τινος τούτων ἡγούμενος, Σῶτερ ὁ ἐμὸς, ἔφη, Δεσπότης καὶ κοινὸς ἁπάντων δημιουργὸς, μὴ, μοι δῴης τοιοῦτον μηδὲν ἀκοῦσαι ὅλως ἢ φθέγξασθαι. Πρὸς ἅπερ ὁ σκολιὸς ἐκεῖνος ἀπαγορεύσας, καὶ οἴκοθεν αὐτὸς οὐκ ἔχων ὅ τι καὶ δράσειεν, ἐπισείει καὶ αὖθις τῷ μάρτυρι καθάπερ τι μορμολυκεῖον τὸν βασιλέα, καὶ, Τί, φησὶν, ὦ οὗτος, τοῖς αὐτοῖς ἐπιμένεις; Ἐπίστρεψον εἰς τὴν προτέραν θρησκείαν· ἐπεὶ καὶ αὐτῷ βασιλεῖ τὰ περὶ σοῦ, εὖ ἴσθι, ἀνενεχθήσεται. Ὁ δὲ τὸ διάφορον οὐδὲν εἰδὼς, εἴτε παρ' αὐτοῦ, εἴτε δὴ καὶ παρὰ τοῦ βασιλέως τιμωρηθείη, ἐπεὶ καὶ ἀμφοῖν ἡ μισανθρωπία μία καὶ ἀγριότης, Ποίει, φησὶν ὃ βούλει· τάχα γὰρ καὶ ἤδη γράψας ἀντίγραφα ἐκομίσω. Καὶ ὃς ἐκφοβεῖν ἐκ τούτου δῆθεν τὸν ἄνδρα οἰόμενος, Ἐγὼ μὲν οὐδὲν οὐδέπω περὶ σοῦ γέγραφα, ἔφη· ἀλλ' ἤδη καὶ γράφειν, ὡς ὁρᾷς, ὥρμημαι. Τοῦτο οὐκ ἔδωκέ τινα σκέψιν ἢ μέριμναν ὅλως τῷ μάρτυρι· πῶς γὰρ τῷ χαίροντι μᾶλλον ἐν τῷ πάσχειν ὑπὲρ Χριστοῦ, καὶ τὰς μὲν πληγὰς ἀμοιβὰς, ζημίαν δὲ τὰς ἀνέσεις καὶ τὸν τῶν κολαζόντων οἶκτον ὑπολαμβάνοντι; Τί δὲ καὶ τοιούτου βασιλέως ἔδει φροντίζειν, τὸν πρὸς Χριστὸν βλέποντα μόνον καὶ τοῦτον ἀληθῆ βασιλέα καὶ Θεὸν εἶναι πεπιστευκότας; Οὐδὲν οὖν, ὥσπερ ἔφην, ἐπιδοιάσας, Χρῆσαι, φησὶν, ὁποίοις ἂν ἐθέλοις καὶ ὅπως τοῖς κατ' ἐμοῦ γράμμασι· Χριστιανὸς γὰρ ἐγω, καὶ πάλιν ὁμολογῶ, Χριστιανὸς εἰμι.

ΙΓ'. Ἐφ' οἷς τῶν ἄλλων, ὅσα δηλαδὴ πρὸς πειθὼ φέρει, πάντων ὁ ἡγεμὼν ἀπογνοὺς, ἐπὶ τὴν βίαν καὶ αὖθις ἐχώρει καὶ προστάττει ταθέντα κατὰ γῆς τὸν μάρτυρα τύπτεσθαι μέχρις ὅτου, φησὶ, ποιεῖν ὁμολογήσοι τὸ κελευόμενον. Ὁ δὲ τὸ μὲν ἐπίταγμα καὶ πράως λίαν καὶ ἀσμένως ἐδέξατο· κατασχεθῆναι δὲ μόνον χερσὶ δημίων ὥστε καὶ καὶ ὑπ' ἐκείνων διαταθῆναι πρὸς γῆν οὐκ ἠνέσχετο, Ἐάσατέ με, εἰπών· οὐδενὸς γὰρ ἐπ' ἐμοὶ τοῦ καθέζοντος χρεία, ἐπεὶ καὶ αὐτὸ τοῦτο τὸ πάσχειν διὰ Χριστὸν οὐκ ἀβούλητον ἔμοιγε, ἀλλὰ καὶ λίαν ὡς ἐν θέρει ὕδωρ διψώμενον,

A eodem ferro alius quoque cum martyre pedem haberet vinctum. Quæ quidem ei nectebant omnino multiplicem coronam martyrii. Habes, si vis, alios quoque dolores, et occasiones aliarum coronarum: hoc ipsum, inquam, quod in conspectu eorum, qui ipsum noverant, hæc et multa alia probra ab eis pateretur, quæ jam prius dicta sunt: a quibus adeo mansit nihil affectus, ut ea putaret potius encomia propter Christum, quam cor ejus ab eis morderetur aliquid.

XII. Marzabanas ergo (redeundum est enim ad orationis consequentiam), ratus fore ut martyr aliquid remitteret de magna illa constantia propter eam, quæ intercesserat, afflictionem, cum eum rursus ad se produxisset: Si vere es, inquit, mago
B patre natus (hoc enim ipse de teipso significasti), et linguam illorum libris satis exercuisti, nobis quoque tempore aliquid ex magicis, ut nos quoque de tua scientia feramus testimonium. Ille autem et os et labra et mentem maculari et pollui existimans, si horum alicujus meminisset: O Servator, inquit, qui es meus Dominus, et communis omnium opifex, ne mihi des omnino, ut tale quid aut loquar, aut audiam. Quæ cum perversus ille ægre tulisset, et plane desperans, ex se nihil haberet quod faceret, martyri rursus veluti quamdam larvam regem intentat. Et cur tu, inquit, in eisdem persistis? Ad priorem convertere religionem. Scias enim fore, ut de te ad regem referatur. Ille autem sciens nihil referre, an ab ipso, an a rege puniretur,
C quandoquidem ambobus inhumanitas una est et sævitia: Fac, inquit, quod vis. Forte enim jam scripsisti, et responsum accepisti. Is vero existimans se ipsum ita esse perterriturum: Ego quidem, inquit, nihil de eo adhuc scripsi, sed jam, ut vides, scribere aggredior. Hoc martyri nullam omnino attulit curam, aut sollicitudinem. Quomodo enim, cum potius gauderet se pati propter Christum, et plagas quidem remunerationes, damnum autem putaret remissionem, et eorum, qui castigabant ipsum misericordiam? Quid autem oportebat eum talem regem curare, qui ad Christum solum aspiciebat, et eum verum esse regem et Deum crediderat? Ille ergo, sicut dixi, nihil ambigens. Qualescunque, inquit, volueris, et quomodocun-
D que de me scribe litteras. Christianus enim ego: et rursus fateor, sum Christianus.

XIII. Quamobrem cum dux spem abjecisset omnium, quæ possent illum persuadere, ad vim rursus revertitur, jubetque humi extensum martyrem tandiu verberari, donec profiteretur facere, quod juberetur. Ille autem, quod jubebatur quidem, æquo animo et lubenti suscepit; solummodo lictorum manibus, ut ab illis extenderetur, teneri non sustinuit: Sinite me, dicens: non opus habeo ullo, qui me teneat. Nam hoc ipsum, pati scilicet propter Christum, nequaquam est involuntarium, sed quod ego non minus, quam aquam æstate, sitio, et quod

magis, quam ullas voluptates et delicias amplector. Cum ergo pronus humi cecidisset, et ipse seipsum sensim extendisset, tam crebris et tam continentibus verberabatur clavæ ictibus, quam imber deorsim cadit : cum ab inimicis solam petiisset gratiam, ut exueret venerandum monachorum amictum, et nudis verberaretur carnibus. Ne is, inquit, una cum meis membris probro afficiatur. Sic ille non solam vitæ ex Deo institutionem, sed etiam ejus signa omni honore afficiebat. Sed ille quidem diu tam crudeliter torquebatur, cum nec ab ullo omnino teneretur, nec premeretur, et non se transferre aut omnino movere prohiberetur : sed ipse seipsum valide teneret, et immobiliter, non vi manuum, sed animi, et naturæ necessitatem vincens necessitate liberi arbitrii, et acres corporis dolores acri vincens Dei desiderio, et præsentes molestias consolans spe futurorum.

XIV. Cum adversus hæc stultus ille dux nihil sapientius posset excogitare, quod tantæ fortitudini opponeret et tolerantiæ, ei rursus quoque regem intentabat et rogabat, ut persuaderetur athleta. Nam de te, inquit, ipsi regi significabo: perinde ac si uni puero utre terrorem afferret, ut dicitur. Ille autem eadem, quæ prius, respondit, et quod ejus animo placeret, jussit facere. Quocirca ille quoque rursus rogabat similiter. Deinde dicens : Non times regem ? Quam ob rem, inquit martyr, et quid ejusmodi sum ab eo passurus ? Annon, inquit, ipse quoque homo est, in quem idem interitus cadit et mors eadem ? Quemnam ergo me oportet magis timere, eumne qui æquæ atque ego interit, an eum, qui semper est, et qui cœlum et terram, et quæcunque sub aspectum cadunt et percipiuntur intelligentia, ad hoc ut essent, produxit ? Cum ergo vidisset dux rursus inutilem fuisse suum conatum, cum in constantia pro pietate nulli cederet Anastasius, rursus athletam transmittit in custodiam. Quomodo autem solet quis, quod vult, facile exspectare, post aliquot dies rursus sanctum educit e carcere, adhuc aliqua ei spe blandiente : Et acceptis, inquit, magicis sacrifica, ne te stulte hac luce prives. Martyr autem : Quibus, inquit, me jubes diis sacrificare? Ille vero : Igni, inquit, et soli, et lunæ. Ergo etiam montibus, inquit martyr, et collibus, et pecoribus, et omni servituti hominum, quibus imperare jussi sumus ab Opifice, non autem eis potius parere, ut vos vultis, non tanquam propter nos factis utentes, sed perinde ac si nos propter ea producti essemus, ita ea honorantes, et deos turpiter nominantes. Cum his verbis martyr ducem obstupefecisset, rursus abductus est in carcerem hoc prætextu, quasi deesset quod responderet, damnatus ad carcerem. Abductus est ergo, et decore confessionis glorians, et vinculis propter Christum.

XV. Cum autem de eo rescivissetis, cui in mona-

καὶ ἀντ' ἄλλης τινὸς ἡδονῆς ἢ τρυφῆς ἀσπαζόμενον. Πρηνὴς τοίνυν ἐπὶ τοῦ ἐδάφους πεσὼν, καὶ αὐτὸς ἑαυτὸν ἠρέμα διατείνας, ἴσα καὶ ὑετοῦ φορᾷ, καὶ μετὰ τῆς αὐτῆς συνεχείας, τοῖς ῥοπάλοις ἐτύπτετο· μόνην ἐκείνην παρ' ἐχθρῶν χάριν αἰτήσας, ὥστε τὸ σεβάσμιον τῶν μοναχῶν ἐκδύσασθαι περιβόλαιον, καὶ οὕτως ἐπὶ γυμνῶν τύπτεσθαι τῶν σαρκῶν· Ἵνα μὴ καὶ αὐτὸ, φησὶ, τοῖς ἐμοῖς συγκαθυβρίζηται μέλεσι. Οὕτως οὐ μόνην ἐκεῖνος τὴν κατὰ Θεὸν πολιτείαν, ἀλλὰ καὶ αὐτὰ ταύτης τὰ σύμβολα διὰ τιμῆς ἁπάσης ἐτίθει. Ἀλλ' ὁ μὲν οὕτως ἀνηλεῶς ἐπὶ πολὺν τὸν χρόνον ᾐκίζετο, οὐ κατεχόμενος ὑπό του τὸ παράπαν, οὐ πιεζόμενος, οὐ μεταφέρειν ἑαυτὸν ἢ παρακινεῖν ὅλως εἰργόμενος, ἀλλ' αὐτὸς ἑαυτὸς ἀσφαλῶς κατέχων καὶ ἀμετακινήτως, οὐ βίᾳ χειρῶν, ἀλλὰ γνώμης καὶ φύσεως ἀνάγκας ἀνάγκῃ νικῶν προαιρέσεως, καὶ σώματος δριμείας ὀδύνας δριμυτέροις πρὸς Θεὸν πόθοις ἀναψύχων, καὶ τὰ παρόντα λυπηρὰ ταῖς τῶν μελλόντων ἐλπίσι παραμυθούμενος.

ΙΔ'. Πρὸς ταῦτα ὁ ἀνόητος ἡγεμὼν ἐκεῖνος σοφωτέραν οὐκ οὐκ ἔχων ἐπίνοιαν τοσαύτῃ ἀντιθεῖναι ῥώμῃ καὶ καρτερίᾳ, τὸν βασιλέα καὶ πάλιν ἐπανετείνετο, καὶ πεισθῆναι ἠξίου τὸν ἀθλητήν. Ἐπεὶ καὶ αὐτῷ, φησὶ, βασιλεῖ δῆλα τὰ περὶ σοῦ θήσομαι· καθάπερ ἑνὶ τῶν παίδων ἀσκῷ, τὸ τοῦ λόγου, μορμολυττόμενος. Ὁ δὲ τὰ ἴσα τοῖς προλαβοῦσι καὶ νῦν ἀπεκρίνατο, καὶ ποιεῖν ὅπερ ἂν αὐτῷ κατὰ γνώμην ἐπέτρεπεν. Ἐφ' οἷς τὰ ὅμοια καὶ πάλιν ἐκεῖνος ἐπηρώτα, Εἶτα, οὐ δέδοικας, λέγων, τὸν βασιλέα ; Διατί, φησὶν ὁ μάρτυς, καὶ τί τοιοῦτον μέλλων παρ' αὐτοῦ πείσεσθαι ; Ἢ γὰρ οὐχὶ καὶ αὐτὸς ἄνθρωπός ἐστι, τὴν αὐτὴν ἡμῖν φθορὰν καὶ τὸν ἴσον θάνατον ὑφιστάμενος ; Τίνα οὖν με δεῖ μᾶλλον φοβεῖσθαι, τὸν ὁμοίως ἐμοὶ φθειρόμενον, ἢ τὸν ἀεὶ, καὶ αὐτοὺς ἡμᾶς, καὶ οὐρανὸν δὲ καὶ γῆν, καὶ πάντα ὁρατὰ καὶ νοούμενα εἰς τὸ εἶναι παραγαγόντα ; Εἰδὼς τοίνυν ὁ ἡγεμὼν, ὡς ἀνήνυτα καὶ αὖθις αὐτῷ τὰ τῆς ἐγχειρήσεως, οὕτως Ἀναστασίου μηδενὶ τὴν εὐσεβείας ἔνστασιν εἴκοντος, τῷ φρουρίῳ καὶ πάλιν παραπέμπει τὸν ἀθλητήν. Οἷα δὲ φιλεῖ, ὃ βούλεταί τις, τοῦτο ῥᾳδίως καὶ προσδοκᾷν, ἄγει μετά τινας ἡμέρας τὸν ἅγιον ἀπὸ τοῦ φρουρίου, ἔτι τινὸς αὐτὸν ἐλπίδος ὑποσαινούσης, καὶ, Λαβὼν, φησὶ, τὰ μαγικὰ, θῦσον, μὴ καὶ τοῦδε τοῦ φωτὸς σὲ αὐτὸν ἀνοήτως ἀποστερήσῃς. Καὶ ὁ μάρτυς, Ποίοις με κελεύεις, ἔφη, θῦσαι θεοῖς ; Ὁ δέ· Πυρὶ καὶ ἡλίῳ, καὶ σελήνῃ, καὶ ἵππῳ. Οὐκοῦν καὶ ὄρεσι, ὁ μάρτυς εἶπε, καὶ βουνοῖς, καὶ κτήνεσι, καὶ πάσῃ τῶν ἀνθρώπων δουλείᾳ, ὧν ἄρχειν ὑπὸ τοῦ Δημιουργοῦ κεκελ[ευ-σμ]έθα, οὐκ ἄρχεσθαι μᾶλλον, ὡς αὐτοὶ βούλεσθε, καθάπερ οὐ δι' ἡμᾶς γεγονόσιν αὐτοῖς χρώμενοι· ἀλλ' ὥσπερ ἂν εἰ διὰ ταῦτα μᾶλλον ὑμεῖς παρήχθητε, οὕτω καὶ τιμῶντες αὐτὰ καὶ θεοὺς ἀγεννῶς ὀνομάζοντες. Τούτοις ὁ μάρτυς καταπλήξας τοῖς ῥήμασι τὸν ἡγεμόνα, τὴν εἰς τὸ φρούριον καὶ αὖθις ἀπήγετο, πρόφασιν τῇ πρὸς τὸ ἀντειπεῖν ἀπορίας κατακριθεὶς τὴν φρουράν. Ἀπάγετο οὖν, τῷ τε τῆς ὁμολογίας κόσμῳ καὶ τοῖς ὑπὲρ Χριστοῦ δεσμοῖς σεμνυνόμενος.

ΙΕ'. Μαθὼν δὲ τὰ κατ' αὐτὸν ὁ τὴν ἐπιστασίαν τῆς

A αὐτοῦ ψυχῆς ἐν τῇ μονῇ πιστευθεὶς, ὅταν τε πολλάκις τῷ ἄρχοντι παραστὰς ἐπεδείξατο τὴν ὁμολογίαν, καὶ ὅπως πάντα παθεῖν ὑπὲρ εὐσεβείας προείλετο, αὐτός τε μετὰ τῆς ἄλλης τῶν μοναχῶν συνοδίας ἡδονῆς ἐπίπλατο, καὶ ὥσπερ Ἀναστασίῳ συνεῖναι κἀν τοῖς ἐκείνου μέλεσι καὶ αὐτὸς ἀθλεῖν ᾤετο. Καὶ βοηθεῖν οὐκ ἔχων τῇ παρουσίᾳ, ἐβοήθει τῇ εὐχῇ καὶ τῷ μέλανι· καὶ τοῦτο μὲν ἐδεῖτο θερμότατα τοῦ Θεοῦ μετὰ πάσης τῆς ἀδελφότητος διανυσθῆναι καλῶς αὐτῷ τοῦ μαρτυρίου τὸ στάδιον· τοῦτο δὲ καὶ δύο τῶν ἀδελφῶν ἐκπέμψας, γράμμασιν ἔτι μᾶλλον αὐτοῦ τὴν προθυμίαν ἐπέτεινεν. Ἐν ὅσῳ δὲ ὁ μάρτυς εἰς τὴν ἐν τῷ φρουρίῳ φυλακὴν ἐτηρεῖτο, τοῖς θείοις ῥήμασι καὶ ταῖς κατὰ Θεὸν ἐννοίαις διηνεκῶς ἐνετρύφα· καὶ οὔτε νὺξ αὐτῷ τοὺς πρὸς Θεὸν ὕμνους, οὔτε οἱ ἐκ τῶν χαλεπῶν δεσμῶν ἐκείνων πόνοι καὶ τῆς ἄλλης B ταλαιπωρίας ἐνέκοπτον, ἀλλὰ καὶ νέου τινὸς ἐπὶ κακουργίᾳ δῆθεν ἁλόντος τινὶ, αὐχένα τῷ μάρτυρι καὶ πόδα συνδεδεμένου, διανιστάμενος τῶν νυκτῶν ὁ ἅγιος ὥστε Θεῷ τὰς συνήθεις ἀποδοῦναι δοξολογίας, καὶ παραλυπεῖν αὐτὸν οὐκ ἐθέλων, ἀλλ' ὅπως μάλιστα καθευδήσει καὶ ἀναπαύσεται μάλα φροντίζων, ἐπέκλινε τὸν αὐχένα κειμένῳ, καὶ τὸν πόδα τῷ ἐκείνου ποδὶ προσήρειδεν, ὥστε μὴ ἀηδῆ καὶ λυπηρὸν αὐτῷ τῇ τῶν ἁλύσεων ἀποτάσει τὸν ἡδὺν πᾶσιν ὕπνον ἐργάζεσθαι. Μιᾶς γοῦν ποτε τῶν νυκτῶν ψάλλοντος αὐτοῦ, τὶς τῶν ἐν τῇ φυλακῇ δημίων ἐγρηγορὼς καὶ νήφων ἐπηκροᾶτο, Ἑβραῖος μὲν τὴν θρησκείαν καὶ τῶν ἐπισήμων, ἐπιεικὴς δὲ τὴν γνώμην, καὶ τρόπου χρηστοτέρου μεταποιούμενος, ὃς καὶ τὸν μακάριον ἐκεῖνον εἰδὼς, τὴν μὲν ἡμέραν ἀεὶ τῇ C μετακομιδῇ τῶν λίθων κατατεινόμενον, τὴν δὲ τῆς νυκτὸς ἀνάπαυσιν πάλιν εὐχῇ καὶ στάσει περικοπτόμενον, καὶ οὐδαμῶς ὑφιέντα τοῦ τόνου, οὔτε μὴν τὰ μέλη πεπονηκότα καὶ μικρὸν ἀνακτώμενον, διενοεῖτο καθ' ἑαυτὸν, ὅστις ποτὲ εἴη, καὶ ἥτις, ἣν λάχοι, φύσις, οὕτω καρτερική τις οὖσα καὶ στεῤῥὰ καὶ πόνοις ἀπειθὴς καὶ ἀνάλωτος.

ΙϚʹ. Τῷ μάρτυρι τοιγαροῦν ἐκεῖνος ἀτενὲς ἐνορῶν τοὺς ἑωθινοὺς ὕμνους ᾄδοντι, καὶ ὅλῳ τῷ νῷ πρὸς Θεὸν ἐκδημοῦντι, καὶ προαρπαζομένῳ τοῦ μαρτυρίου καὶ μετὰ σώματος, ὁρᾷ τινας λευχειμονοῦντας, ὠμοφόριά τε περικειμένους, καὶ ὅσα τῆς ἱερᾶς ἐκείνης στολῆς καὶ τοῦ σεμνοῦ τῶν ἀρχιερέων ἐνδύματος, φῶς οἷον ἑαυτῶν ἀπαστράπτοντας, φῶς ἰδεῖν μὲν ἥδιστον, ἀπαγγεῖλαι δὲ οὐ ῥᾴδιον· ἢ μᾶλλον, κρεῖττον μὲν τὴν ὅρασιν, ὄψεως ἀνθρωπίνης· κρεῖττον δὲ D τῆς ὁράσεως τὴν διήγησιν· καὶ ταῦτα ἐν ἀσελήνῳ σκότῳ νυκτὸς, κύκλῳ τοῦ ἁγίου παρεμβάλλοντας· καὶ ἀγγέλους αὐτοὺς εἶναι νομίσας, ὥσπερ ἄρα καὶ ἦσαν ταῖς ἀληθείαις, ὁρᾷ μετὰ μικρὸν καὶ τὸν μάρτυρα τὴν λαμπρότητα καὶ τὴν ἀναβολὴν ὁμοίως ἐκείνοις ἔχοντα· εἶτα καὶ νεανίας τις τὸ εἶδος καὶ τὸ κάλλος ἀμήχανον, θυμιατήριον ἀπηρτημένον τῆς δεξιᾶς, ἐν πολλῇ τῇ περὶ αὐτὸν δόξῃ τῶν ἀγγέλων, θυμιῶν πρὸ τοῦ μάρτυρος ἵστατο. Ταῦτα τοίνυν ἐκεῖνος ὁρῶν, καὶ τῷ καινῷ τῆς θέας τὴν καρδίαν καταπληττόμενος ἠγωνία μέν. ὥστε καὶ τὸν παρακαθεύδοντα διυπνίσαι (Χριστιανὸς δὲ ἦν οὗτος τὴν τῆς

sterio fuerat credita ejus animæ cura; qualem, inquam, productus ad præsidem sæpe ostendisset confessionem, et quemadmodum ipse constituisset omnia pati pro pietate, ipse quoque cum alio cœtu monachorum repletus est lætitia: ipse etiam putabat se esse una cum Anastasio, et in membris illius decertare: et cum non posset opem ferre sua præsentia, opem ferebat precibus et atramento. Et partim quidem Deum vehementissime rogabat cum tota fraternitate, ut pulchre per martyrium ei perficeretur stadium: partim autem duobus quoque missis fratribus, promptum et alacrem ejus animum magis auxit. Interea vero dum martyr custodiebatur in carcere, divinis verbis et sententiis se oblectabat assidue, et neque nox ejus ad Deum hymnos, neque gravium illorum vinculorum et reliquiæ afflictionis labores eos interrumpebant. Quin etiam cum quidam juvenis, qui captus fuerat propter aliquod maleficium, cum martyre haberet collum et pedem colligatum, noctu surgens sanctus, ut Deo consuetas redderet glorificationes, et ei nollet afferre molestiam, sed ut dormiret et quiesceret et curam gereret, collum ad jacentem inclinabat, et pedem illius pedi admovebat, ne extensis catenis injucundum et molestum ei somnum efficeret. Una autem nocte aliquando eum psallentem quidam ex iis, qui erant vincti in custodia, exaudiit, Hebræus quidem religione, isque valde insignis: mitis vero ac mansuetus, et valde bonis moribus. Qui cum beatum illum vidisset interdiu quidem vexari portandis lapidibus, noctis autem quietem rursus interrumpi stando et orando, et nihil omnino remittere de sua constantia, neque defessa membra paululum recreare, cogitabat apud se quisnam hic esset, et quæ ei obtigisset adeo robusta natura, tamque firma ac valida, laboribusque minime cedens et inexpugnabilis.

XVI. Ille itaque fixis oculis aspiciens martyrem matutinos hymnos decantantem, et tota mente ad Deum peregrinantem, et qui vel ante martyrium rapiebatur cum corpore, videt quosdam repente candidatos, et pallio sacraque illa omnino veste, et venerando indumento pontificum amictos, veluti quamdam ex se lucem emittere, lucem visu quidem jucundissimam ad explicandum autem non facilem, vel potius ad videndum quidem majorem quam ut eam humanus possit conspectus assequi, aut quam ulla quod viderit referre narratio, idque obscura nocte, cum luna non luceret, sanctum virum in orbem circumdantes. Quos cum angelos esse putasset, sicut erant revera, paulo post videt etiam martyrem, qui eumdem splendorem et similem illis habebat amictum. Deinde etiam quidam adolescens specie et pulchritudine eximius, suspensum dextera gestans thuribulum, in magna, quæ erat circa ipsum gloria angelorum, stabat ante martyrem suffumigans. Cum ille ergo hæc videret, et cor haberet perculsum novitate spectaculi, erat quidem per-

plexus animo, adeo ut eum etiam excitarit, qui prope dormiebat (erat autem is Christianus, cui fuerat commissa præfectura Scythopolis) et socium tanti fecerit spectaculi; manus autem nequaquam sequebatur, sed attenta quidem mente et fixis oculis attendebat iis, quæ videbantur: erat vero corpore immobilis et mutus, sive repentina illa admiratione eum reddente immobilem, sive Deo etiam aliquid aliud dispensante et providente sapientius et occultius. Cum tamen is qui erat propinquus, se vix tandem proxime admovisset (non poterat enim uti pedibus et manibus), conturbatus ille, ex eo causam rogat. Ille autem timore perculsus, ei visionem indicans, et, Vides, dicens, vides? non prius verbum absolverat, quam visio evanuerit. Atque præsidi quidem, cum ad videndum spectaculum totos defixisset oculos, nihil licebat videre: vinctus autem ille, omnia singulatim ei narrabat cum voluptate et admiratione. Et hæc quidem, ne piæ animæ tanto priventur miraculo. Nobis autem rursus quoque via procedat oratio martyrii, suam servans consequentiam.

XVII. Postquam enim videns Marzabanas esse plane martyrem immobilem, et non solum unam mortem, sed etiam, si fieri posset, plures paratum esse pro pietate alacriter suscipere, ad regem Chosroen de eo retulisset, et quemadmodum esset is tractandus, ab illo didicisset, cum ipsum e carcere accersivisset, eum suo aspectu non dignatus, significat per eum qui dicitur Meizoteros, id est, major: Ecce inquit, rex tibi imperat, ut quoniam fieri non potest, ut sis omnino impius, verbo solum abjures Christianismum, et statim solveris e carcere et a vinculis: et de cætero sive velis esse monachus, sive caballarius, hoc situm erit in tuo arbitrio: martyr autem rursus respondens: Absit, inquit, o Christe Servator, ut negem tuam pro Trinitate confessionem, neque animo, nec labris. Postquam autem post multas alias præsidis machinationes, ne sic quidem pulchram illam remitteret constantiam et dicendi libertatem, hanc ei postremam adhibet periclitationem. Hæc cum per Majorem rursus significasset: Scio, inquit, quod cum te multorum pudeat intuitus, et maxime eorum, qui sunt ex eadem regione et tribu, ea de causa in eorum oculis ne hoc quidem facis leve et expeditum, ut verbo solum tuam inficieris religionem. Quid enim, inquit, ea ex re detrimenti accipitur, cum cor non simul loquatur? Quoniam vero de jussu regis hic agitur quem non licet cuiquam omnino repellere: si quod est hoc multo levius, hoc dixeris in meo conspectu et quorumdam duorum sellariorum, liber esto a carcere et suppliciis. Quæ cum ille dixisset, fudit preces Anastasius prioribus similes, dicens: Neque tu me videris, neque ullus alius: non, o Rex et Deus, ne specie quidem tuum nomen, neque in somnis, aut ullo alio modo negantem.

XVII. Cum ergo videret præses, quod adversus tam fortem et tam excelsum animum mihi per se efficeret, resque ea et suas vires superaret et mo-

A Σκυθοπόλεως ἐπαρχίαν πεπιστευμένος) καὶ θεάματος κοινωνὸν τηλικούτου ποιήσασθαι. Ἠκολούθει δὲ ἡ χεὶρ οὐδαμῶς· ἀλλὰ νηφούσῃ μὲν διανοίᾳ καὶ ὀφθαλμοῖς ἑστῶσι προσεῖχε τοῖς ὁρωμένοις· τῷ σώματι δὲ, ἀκίνητός τε καὶ ἄφθογγος ἦν, εἴτε τῆς ἀθρόας ἐκπλήξεως τὸ ἀκίνητον ἐμποιούσης, εἴτε τι καὶ ἄλλο τοῦ Θεοῦ σοφώτερον οἰκονομοῦντος καὶ κρυφιώτερον. Ὅμως ὀψέ ποτε καὶ μόλις ἐγγύτατα τοῦ πλησίον ἑαυτὸν ἀγαγόντος (χερσὶ γὰρ ἢ ποσὶ τούτῳ χρῆσθαι οὐκ ἦν), διαταραχθεὶς ἐκεῖνος πυνθάνεται παρ' αὐτοῦ τὴν αἰτίαν, Ὁ δὲ περίφοβος αὐτῷ τὴν ὄψιν ὑποδεικνύων καὶ, Ὁρᾷς, λέγων, ὁρᾷς; οὐκ ἔφθανε τὸ ῥῆμα πληρῶν, καὶ ἡ ὄψις ἐλέλυτο. Τῷ μὲν οὖν ἄρχοντι, ὀφθαλμοῖς ὅλοις ἀτενίσαντι πρὸς τέαν, οὐδὲν ἦν ὁρᾷν· ὁ δέσμιος δὲ κατὰ μέρος αὐτῷ πάντα σὺν B ἡδονῇ καὶ θαύματι διηγεῖτο. Καὶ ταῦτα μὲν ὥστε μὴ τηλικοῦτον ζημιῶσαι θαῦμα τὰς φιλοθέους ψυχάς. Ἴτω δὲ καθ' ὁδὸν καὶ πάλιν ἡμῖν ὁ τοῦ μαρτυρίου λόγος τῆς ἀκολουθίας ἐχόμενος.

ΙΖ'. Ἐπεὶ γὰρ ὁρῶν ὁ Μαρζαβανᾶς τὸ τοῦ μάρτυρος ἰσχυρῶς ἀμετάθετον, καὶ ὅπως οὐχ ἕνα μόνον ὑπὲρ εὐσεβείας ἐστὶν, ἀλλὰ καὶ μυρίους, εἴπερ οἷόν τε, θανάτους ὑποστῆναι πρόθυμος, ἀνενέγκοι τῷ βασιλεῖ Χοσρόῃ περὶ αὐτοῦ, καὶ ὅπως τὸν ἄνδρα χρὴ μετελθεῖν ὑπ' ἐκείνου μάθοι, μεταστειλάμενος αὐτὸν τοῦ δεσμωτηρίου, τῆς δὲ κατ' ὄψιν ὁμιλίας μὴ ἀξιώσας, μηνύει διὰ τοῦ λεγομένου μειζοτέρου, ὡς Ἰδοὺ προσέταξέ σε, φησὶν, ὁ βασιλεύς. Ἵν' ἐπεὶ σοι τὸ παντελῶς ἀσεβεῖν ἀδύνατον, ῥήματι μόνον ἐξομόσῃ τὸν C Χριστιανισμόν· καὶ ἀπολύσῃ παραχρῆμα καὶ τοῦ δεσμωτηρίου καὶ τῶν κλοιῶν· καὶ τὸ λοιπὸν εἴτε μοναχὸς ἐθέλοις εἶναι καβαλλάριος εἶναι, τῇ γνώμῃ τοῦτο τῇ σῇ κείσεται. Ὑπολαβὼν δὲ πάλιν ὁ μάρτυς, Μή μοι γένοιτο, φησὶν, ἀρνήσασθαί σου τὴν ὑπὲρ τῆς Τριάδος ὁμολογίαν, Σῶτερ Χριστὲ, μηδὲ ψυχῇ μηδὲ χείλεσιν. Ὡς δὲ μετὰ πολλὰς καὶ ἄλλας τοῦ ἄρχοντος μηχανὰς, οὐδὲ οὕτω τῆς καλῆς ἐκείνης ἐνστάσεως ὑφίει καὶ παῤῥησίας, πεῖραν αὐτῷ ταύτην τελευταίαν προσάγει, τοιαῦτα καὶ πάλιν διὰ τοῦ μειζοτέρου μηνύσας· Οἶδα, φησὶν, ὅτι τοὺς τῶν πολλῶν ὀφθαλμοὺς αἰσχυνόμενος, καὶ μάλιστα τῶν ἐκ τῆς αὐτῆς σοὶ καὶ χώρας καὶ φυλῆς προηγμένων, τούτου χάριν ὑπ' ὄψιν αὐτῶν οὐδὲ τὸ κοῦφον τοῦ καὶ πρόχειρον ῥήματι μόνῳ ποιεῖς τὴν τῆς σῆς θρησκείας ἀθέτησιν. Τί γὰρ, φησὶν, ἐκ τούτου βλάβη, μὴ καὶ D τῆς καρδίας συμφθεγγομένης; Ἐπεὶ δὲ τὸ πρᾶγμα βασιλικὴ πρόσταξις, καὶ οὐκ οὐκ ἔστιν ὅπως ἄν τις αὐτὴν διακρούσαιτο· κἂν, ὃ πολὺ τούτου κουφότερον, ὑπ' ἐμαῖς ὄψεσιν μόναις καί τινων δύο σελαρίων τοῦτο εἰπὼν, ἀπαλλάγηθι καὶ φρουρᾶς καὶ κολάσεων. Πρὸς ἅπερ ὁ μάρτυς τὰ ἴσα τοῖς προλαβοῦσιν ἐπηύξατο, Μήτε σύ με ἴδοις, εἰπὼν, μήτε τις ἕτερος, μὴ, βασιλεῦ καὶ Θεὲ, μηδὲ σχήματι τὸ σὸν ὄνομα, μηδ' ὄναρ ἢ τρόπον ἕτερον μηδαμῶς ἐξαρνούμενον.

ΙΗ'. Εἰδὼς τοίνυν ὁ ἄρχων ὡς ἄρα πρὸς οὕτω ψυχὴν ἀνδρικὴν καὶ γενναίαν οὐδὲν αὐτὸς ἀνύοι δι' ἑαυτοῦ, ἀλλὰ τὸ πρᾶγμα μεῖζον ἢ κατὰ τὴν αὐτοῦ

δύναμιν καὶ τὸ μέτρον τοῦ ἀξιώματος, ὑπ' ὄψιν τὸν μακάριον ἀγαγὼν, Ἰδοὺ προστέταγμαι, φησὶν, ὑπὸ δεσμοῖς σε σιδηροῖς εἰς Περσίδα τῷ βασιλεῖ παραπέμψαι. Καὶ ὁ μάρτυς, Ἐγὼ, φησὶν, εἰ παρὰ σοῦ ἐπιτραπείην, καὶ ἄδετος ἂν ἐκεῖσε παραγενοίμην· τίς γὰρ ἐπ' ἐμοὶ χρεία δεσμῶν, ᾧπερ ἡδονή ἐστι τὸ διὰ Χριστὸν παθεῖν, ἐφ' ᾧ δηλαδὴ καὶ πέμπομαι; Οὕτως οὖν αὐτὸν ὁ δικαστὴς ἰδὼν καὶ τὰ νῦν ἔχοντα, καὶ μήτε ἀπειλαῖς εἴκοντα, μήτε θωπείαις δελεαζόμενον, ἀνάλωτον παντελῶς καὶ ἀήττητον, σφραγῖδα τε αὐτῷ καί τισι δυσὶ τῶν εὐσεβῶν ἑτέροις ἐπιβαλὼν, δημοσίᾳ φυλακῇ παραδίδωσιν, οἷα μετὰ πέμπτην ἡμέραν πορείας ἅψεσθαι μέλλοντας. Μεταξὺ δὲ τῆς σεβασμίας ἑορτῆς καταλαβούσης τῆς τοῦ ζωοποιοῦ, φημὶ, ξύλου τοῦ σταυροῦ Ἀνυψώσεως, αὐτός τε ὁ θαυμαστὸς Ἀναστάσιος, οἵ τε πρὸς αὐτὸν παραβαλόντες δύο τῶν ἀδελφῶν, καὶ οἱ τὴν αὐτὴν ἐκείνῳ τοῦ δικαστοῦ σφραγῖδα δεξάμενοι, καὶ τινες ἕτεροι τῶν ἐν τῇ πόλει θεοφιλῶν, πᾶσαν τὴν ἱερὰν ἐκείνην νύκτα εὐχαῖς τε καὶ ψαλμῳδίαις πανηγυρίσαντες, ἐπιλαθέσθαι τοὺς ἐν τῇ φυλακῇ πάντας τῶν καθ' ἑαυτοὺς δεινῶν πεποιήκασιν, ὡς ἐν ἑορταζόντων οἴκῳ μᾶλλον οὐκ ἐν φρουρᾷ διατρίβοντας. Ἕωθεν δὲ πρὸς τὸν Μαρζαβανᾶν ὁ κομερκιάριο εἰσελθὼν, ἀνὴρ εὐσεβὴς καὶ συναλγεῖν ψυχαῖς ὀδυνωμέναις εἰδὼς καὶ παρακαλεῖν ἐν ταῖς θλίψεσι, δεῦται τοῦ ἄρχοντος ἀνεθῆναι τοῦ δεσμωτηρίου τὸν Ἀναστάσιον, ὥστε καὶ αὐτὸν παρεῖναι τῇ οὖν Χριστιανῶν πανηγύρει.

ΙΘ'. Παρασχόντος δὲ τὴν χάριν ἐκείνου, καὶ τοῦ μάρτυρος τὴν ἐκκλησίαν καταλαβόντος, παράκλησις ταῖς τῶν πιστῶν ψυχαῖς, ἡδονὴ, φαιδρότης, περιεχύθη. Κατήφεια γὰρ αὐτοὺς εἶχε πρώην καὶ ἀθυμία, διὰ τὴν τῶν ἀμυθήτων ἀνιαρῶν ἐκείνων ἐπαγωγήν. Οἱ πολλοὶ δὲ ἤδη καὶ κατεῤῥαθύμουν τῆς εὐσεβείας, καὶ ἁλῶναι ὅσον οὐδέπω ταῖς τοῦ πονηροῦ πάγαις ἐλεεινῶς ἐκινδύνευον, μὴ ὄντος τοῦ λυτρουμένου μηδὲ σώζοντος, εἴτουν διανιστῶντος αὐτῶν τὰς ψυχὰς καταπιπτούσας καὶ ἡττωμένας. Ἐπεὶ δὲ ὁ ἱερὸς Ἀναστάσιος τότε τὴν ἐκκλησίαν εἰσέλθοι, τοσοῦτος ἅπαντας ζῆλος ὑπὲρ εὐσεβείας εἰσέδυ, καὶ οὕτως ἕκαστος αὐτῶν καὶ ἀπὸ μόνης ἐκείνου τῆς ὄψεως τὴν καρδίαν διεθερμάνθη, ὡς μὴ μόνον αὐτοὺς πρὸς τὸν ὑπὲρ Χριστοῦ καὶ τῆς ἀληθείας παρασκευάσασθαι θάνατον, ἀλλὰ καὶ τὰ ἐκείνου καταφιλοῦντας δεσμὰ, καὶ πόθου δάκρυον αὐτοῖς ἐπιστάζοντας, παραθαῤῥῦναι τῶν ἄνδρα τοῖς ὑποφωνήμασι καὶ κελεύσμασι καὶ ταῖς εὐφημίαις, καὶ ὑπεκκαῦσαι μᾶλλον αὐτῷ καὶ διανάψαι τοῦ μαρτυρίου τὸν ἔρωτα· καὶ ταῦτά τίνες; οἱ καὶ ταῖς ἐπηρείαις καὶ πρὸς μεταβολὴν ἤδη καὶ προδοσίαν τοῦ καλοῦ βλέψαντες, οὐκ ἄνδρες μόνον ἀλλὰ καὶ γυναῖκες· φύσεως γὰρ οὐκ ἦν ἐνταῦθα διαφορά, διὰ τὴν κοινωνίαν τῆς προαιρέσεως. Οὕτω διπλῆ γέγονε τότε τῷ πλήθει πανήγυρις, τὸ μὲν τῇ προθεσμίᾳ τῆς ἑορτῆς, τὸ δὲ τῇ ἐπιδημίᾳ τοῦ μάρτυρος. Μετὰ μέντοι τὴν τῆς ἱερᾶς μυσταγωγίας συμπλήρωσιν, τοῦ κομερκιαρίου μὴ ἀνιέντος, ἀλλὰ τῷ μάρτυρι σφοδρῶς ἐγκειμένου, καὶ λιπαροῦντος τοῦ καὶ

A dum dignitatis, cum beatum in suum conspectum adduxisset: Ecce jussus sum, inquit, in ferreis vinculis te in Persidem transmittere ad regem. Martyr autem: Ego, inquit, si mihi a te permitteretur, etiam absque ullis vinculis illuc accederem. Quid enim in me opus est vinculis, qui lubenter patior propter Christum, ad quem scilicet mittor? Cum eum ergo tunc quoque judex sic vidisset affectum et neque minis cedentem, neque inescatum blanditiis, planeque insuperabilem et inexpugnabilem, cum ei et duobus aliis ex piis injecisset signaculum, tradit in carcerem publicum, ut qui post quintum diem iter essent inituri. Cum interim autem venisset festum venerabile, vivifici, inquam, ligni exaltationis (5), et ipse admirabilis Anastasius, B et duo ex fratribus, qui ad eum accesserunt, et qui eamdem, quam ille, notam judicis acceperant, et quidam alii viri pii, qui erant in civitate, cum totam illam noctem celebrassent precibus et psalmodiis, effecerunt, ut qui erant in carcere omnium suorum malorum obliviscerentur: perinde ac si versarentur in domo eorum qui festum celebrarent, non in carcere. Mane vero ad Marzabanam ingressus Comerciarius, vir pius, et qui sciebat misereri animarum affectarum molestia, et consolari in afflictionibus, rogat præsidem, ut ex carcere solvatur Anastasius, ut ipse possit interesse festo Christianorum.

XIX. Cum ille autem hoc concessisset, et venisset martyr in ecclesiam, consolatio, gaudium et lætitia C circumfusa fuit piorum animis. Eos enim nuper invaserat tristitia et mœror, propterea quod quæ dici nequeunt, ei infligerentur molestiæ. Multi autem jam erant socordes in pietate, et veniebant in periculum, ne statim caperentur miserabiliter laqueis inimici, cum non esset qui redimeret, nec qui daret salutem, seu erigeret cadentes et victas eorum animas. Cum vero sacer Anastasius tunc esset ingressus ecclesiam, tantus eos zelus subit pro pietate et vel ex solo ejus aspectu sic est cor eorum inflammatum, ut non solum ipsi parati essent ad mortem pro Christo et pietate subeundam, sed ejus etiam vincula deoscularentur: et desiderii lacrymas eis instillantes, ei animum adderent laudibus et adhortationibus, ejusque magis accenderent et inflammarent amorem martyrii. Et hæc quidem aliqui, D qui jam erant labefactati tempore et contumeliis, et jam spectabant mutationem, et ejus quod est honestum proditionem, non solum viri, sed etiam mulieres. Naturæ enim non est hic differentia, propterea quod sit communis electio et institutum. Sic tunc fuit populo festum duplex: unum quidem diei præfiniti, alterum autem adventus martyris. Nam postquam sacrum quidem fuit celebratum mysterium, Comerciario non dimittente, sed martyrem vehementer urgente et rogante, ut ad illius domum veniret: putabat enim vel solum illius ad-

(5) Nota festum Exaltationis sanctæ crucis.

ventum impertiri posse sanctificationem: partim quidem ille cedens, partim autem coactus, cum duobus monasterii fratribus illuc accedit: ubi cum se invicem in convivio accepissent et lætificassent, in custodiam lubenter revertuntur.

XX. Cum jam autem dies venisset præstitutus, egreditur e civitate Cæsareæ cum duobus illis viris Christi amantissimis, qui ipsi quoque aliqua de causa fuerant appetiti calumniis: lacrymis, adhortationibus, ejulatibus, gratiarum actionibus, lamentationibusque et precibus multis eum prosequentibus, non solum ex Persis, qui cum Anastasio scilicet communem habebant patriam et sanguinem, sed etiam ex nostratibus et alienigenis. Communem enim esse orbitatem, illius ducebant separationem: sicut rursus etiam proprium unusquisque honorem, adjiciam autem gloriæ quoque coronam, ejus pro pietate constantiam et confessionem. Quocirca utraque tunc conveniebant: et civitati divisi erant animi duobus animi motibus. Alter autem ex fratribus una cum martyre profectus est in Persidem, et est una peregrinatus: quoniam ita jusserat præfectus, partim quidem, ut ei subministrarentur necessaria, et ut ejus consolaretur animum, qui premebatur tanta malorum perpessione: partim autem, ut cum apud hunc virum præclarum semper adesset, et ejus videret omnia, posset ille postea aperte præfecto narrare et fraternitati, non quæ ab alio audivisset, sed quæ ipse vidisset, et quorum haberet testes suos oculos. Atque qui viæ quidem erant continentes vici et civitates, per quas ille obiens transibat, ita eum venientem excipiebant, et discedentem prosequebantur ac deducebant, et utrumque cum tanta pietate et reverentia, ut ipse suspectum habens nimium honorem, ne de ea, quam illinc a Deo exspectabat, gloria aliquid detraheret, scripserit Hierapoli ad præfectum monasterii, ut pro eo Deum rogaret, ut pro his conservaretur non condemnatus in eo, quod illic est, judicio: et scripserit etiam apud Tigrim fluvium, rogans similiter, ut pro eo oraret, ut inflexibiliter et citra ullum lapsum ab eo martyrii cursus consummaretur.

XXI. Cum jam autem pervenisset in Persidem (6), datur in custodiam, sitam in quodam prædio, quod vocatur Batsaloe quæ ad sextum lapidem distat a Discartha in quo rex versabatur Chosroe. Qui vero cum eo erat frater, in domo Cortacti, qui erat illius Jesdin filius, fuit hospitio acceptus. Et carcer quidem martyrem habuit cum maleficis. Cum autem post aliquot dies de eo fuisset relatum ad Chosroen, ille misso uno ex magistratibus, eum rogavit quisnam esset, et cujas, et quidnam eum movisset, ut patriam relinqueret religionem. Is vero per quemdam respondet interpretem. Nam ne voce quidem Persica volebat uti amplius, ut qui eam abjurasset linguam una cum religione, aut linguæ potius esset infensus propter

(6) Anno 617.

A πρὸς τὸν ἐκείνου οἶκον παραβαλεῖν· ἐπίστευε γὰρ καὶ μόνην ἁγιασμοῦ μεταδιδόναι τὴν ἐκείνου ἐπιδημίαν· τὸ μὲν εἴξας ἐκεῖνος, τὸ δὲ βιασθείς, μετὰ τῶν δύο τῆς μονῆς ἀδελφῶν ἐκεῖ παραγίνεται, ἄπου καὶ συνεστιαθέντες ἀλλήλοις, καὶ συνησθέντες, τῇ φυλακῇ πάλιν ἀσμένως ἀποκαθίστανται.

Κ'. Ἤδη δὲ τῆς προθεσμίας καταλαβούσης, ἔξεισι τῆς πόλεως Καισαρείας μετὰ τῶν δύο φιλοχρίστων ἐκείνων ἀνδρῶν, ἐπί τινι καὶ αὐτῶν αἰτίᾳ διαβληθέντων, ὑπὸ πολλοῖς τῶν ἐν τῇ πόλει δάκρυσιν ἅμα· καὶ παραινέσεσιν, οἰμωγαῖς, εὐχαριστίαις, θρήνοις τε καὶ εὐχαῖς, προπεμπόμενος, οὐ Περσῶν μόνον, ὅσοι δηλαδὴ κοινωνεῖν εἶχον Ἀναστασίῳ καὶ πατρίδος καὶ αἵματος, ἀλλὰ καὶ ἡμεδαπῶν τε καὶ ἀλλοφύλων. Κοινὴν γὰρ ὀρφανίαν τὸν ἐκείνου χωρισμὸν ἐποιοῦντο· B ὥσπερ καὶ τιμὴν οἰκείαν ἕκαστος πάλιν, προσθήσω δ' ὅτι καὶ στέφανον δόξης, τὴν ὑπὲρ εὐσεβείας ἔνστασιν αὐτοῦ καὶ ὁμολογίαν. Διὸ καὶ ἀμφότερα τότε συνῆλθε, καὶ δυσὶ πάθεσιν ἡ πόλις τὰς ψυχὰς ἐμερίζετο. Ἅτερος δὲ τῶν ἀδελφῶν, καὶ συναπῆρε πρὸς τὴν Περσίδα τῷ μάρτυρι καὶ συναπεδήμησεν, οὕτω τοῦ προεστῶτος ἐντειλαμένου· τὸ μὲν ὥστε διακονεῖσθαι τὰ πρὸς τὴν χρείαν καὶ παρακαλεῖν αὐτοῦ τὴν ψυχήν, τοσαύτῃ κακοπαθείᾳ πιεζομένην· τὸ δέ, ὅπως ἀεὶ τῷ γενναίῳ παρών, καὶ τὰ κατ' αὐτὸν ὁρῶν ἅπαντα, ἔχοι σαφῶς ὕστερον ἐκεῖνα τῷ τε προεστῶτι καὶ τῇ ἀδελφότητι διηγεῖσθαι, οὐχ ἅπερ ἂν ἄλλου ἀκούσειεν, ἀλλ' ἅπερ ἂν αὐτὸς ἴδοι, καὶ ὧν ὀφθαλμοὺς ἔχοι τοὺς ἑαυτοῦ μάρτυρας. Αἱ μέντοι προσεχεῖς τῇ ὁδῷ κῶμαι καὶ πόλεις, αἷς ἐκεῖνος C παριὼν ἐπεδήμει, οὕτως αὐτὸν ὑπεδέχοντο παραβάλλοντα, καὶ ἀπαίροντα πάλιν προέπεμπον, καὶ μετὰ τοσαύτης αἰδοῦς τε καὶ εὐλαβείας ἀμφότερα, ὥστε καὶ αὐτὸν τὸ πολὺ τῆς περὶ αὐτὸν τιμῆς ὑφορώμενον, μή τι τῆς ἐκεῖθεν παρὰ Θεῷ δόξης ὑφεληται, γράψαι τῷ προεστῶτι τῆς μονῆς ἐξ Ἱεραπόλεως εὔχεσθαι ὑπὲρ αὐτοῦ τῷ Θεῷ, ἀκατάκριτον αὐτὸν τούτων ἕνεκεν ἐπὶ τοῦ ἐκεῖ δικαστηρίου συντηρηθῆναι· γράψαι δὲ καὶ ἀπὸ τοῦ Τίγρητος ποταμοῦ, ἀξιοῦντα δεῖσθαι ὁμοίως ὑπὲρ αὐτοῦ, ἵν' ἀκλινῶς αὐτῷ καὶ ἀπταίστως ὁ τοῦ μαρτυρίου δρόμος τελειωθείη.

ΚΑ'. Ἤδη δὲ τὴν Περσίδα καταλαβὼν φυλακῇ δίδοται, πρός τινι χωρίῳ Βετσαλῶε καλουμένῳ κει- D μένῃ, σημείοις ἓξ τοῦ Δισκάρθας διεστηκυῖα, ἔνθα δὴ βασιλεὺς Χοσρόης διετρίβεν. Ὁ μέντοι σὺν αὐτῷ ἀδελφός, τῇ τοῦ Κορτακτοῦ οἰκίᾳ, ὃς υἱὸς ἦν Ἰεσδὶν ἐκείνου, ἐπεξενώθη· καὶ τὸν μὲν μάρτυρα εἶχε μετὰ τῶν κακούργων τὸ δεσμωτήριον. Ἀνενεχθὲν δὲ μετά τινας ἡμέρας τῷ βασιλεῖ Χοσρόῃ περὶ αὐτοῦ, πέμψας ἕνα τῶν ἀρχόντων ἐκεῖνος ἐπυνθάνετο αὐτοῦ ὅστις εἴη, καὶ ὅθεν, καὶ τί δήποτε παθών, τὴν πάτριον ἀπολίποι θρησκείαν. Ὁ δὲ διά τινος ἑρμηνέως ἀπολογεῖται· οὐκέτι γὰρ οὐδὲ τῇ φωνῇ περσίζειν ἠξίου καὶ αὐτὴν μετὰ τῆς θρησκείας τὴν γλῶτταν ἀπώμοτον ποιησάμενος, ἢ καὶ τῇ γλώττῃ μᾶλλον διὰ τὸ σέβας ἀπεχθανόμενος. Ἀπολογεῖται τοίνυν,

Διότι τὰ σεβάσματα ὑμῶν, λέγων, σαφὴς ἀπώλεια καὶ (A) πλάνη δαιμόνων ἐστίν· ἅπερ οὖν ποτε καὶ αὐτὸς πρεσβεύων, σκότους ἄρτι φῶς ἠλλαξάμην, καὶ νυκτὸς ἡμέραν, καὶ ἀχλύος ἀφεγγοῦς ἥλιον, Θεῷ προσανέχων ἐκείνῳ, τῷ οὐρανοῦ καὶ γῆς καὶ ὁρωμένων ἁπάντων καὶ νοουμένων Δημιουργῷ. Πρὸς ἅπερ ὁ ἄρχων, Ἄθλιε, φησὶν, οὐχ ὃν Χριστιανοὶ σέβονται, τοῦτον ἐσταύρωσαν Ἰουδαῖοι; πῶς οὖν τῆς Περσῶν θρησκείας τὰ Χριστιανῶν προτετίμηκας; Καὶ ὁ μάρτυς, Ὅτι μὲν ἐσταυρώθη, φησὶν, ὑπὸ Ἰουδαίων, σύμφημι καὶ αὐτὸς, πλὴν ἀλλ' ἑκουσίως καὶ ὑπὲρ ἡμῶν τῶν ἀχαρίστων καὶ ἀγνωμόνων. Τοῦτο γὰρ τῆς αὐτοῦ φιλανθρωπίας ἐστὶ τὸ παραδοξότατον· ὅτι Θεὸς ὢν καὶ Σωτὴρ ἁπάντων καὶ Δημιουργὸς τοῦδε τοῦ σύμπαντος, οὐ μόνον δούλου μορφὴν ἀνέλαβε, δι' ἡμᾶς ἐξ οὐρανοῦ καταβὰς, ἀλλὰ καὶ σταυρὸν ὑπὲρ ἡμῶν (B) καὶ θάνατον εἵλετο, ἵνα ἀνέλῃ τὴν ἡμῶν ἁμαρτίαν, ἐκ τῆς τοῦ πονηροῦ συμβουλῆς καὶ πλάνης τοῖς ἀνθρώποις ἐπιτριβεῖσαν. Ὑμεῖς δὲ προτιμότερον τὸν ἐχθρὸν πεποιήκατε, ταῖς ἐκείνου μέχρι καὶ νῦν ἀπάταις ἀνοήτως ἑπόμενοι, καὶ θύοντες ἡλίῳ, καὶ πυρὶ, καὶ σελήνῃ, μηδὲ αὐτὰ δυσωπηθέντες, εἰ μή τι ἄλλο, τὰ Χριστοῦ σφάγια.

ΚΒ'. Ὑπολαβὼν δὲ ὁ ἄρχων, Τί σοι καὶ τοῖς ἀνοήτοις, ἔφη, τούτοις καὶ περιττοῖς ῥήμασιν; ἰδοὺ γάρ σοι παρὰ τοῦ βασιλέως καὶ ἀξίωμα τῶν ἐπιφανῶν, καὶ ζῶναι χρυσαῖ, καὶ ἵπποι, καὶ τἆλλα πάντα, ὅσα τῶν λαμπρῶν τε καὶ ἐπιδόξων, ἡτοίμασται· δεῦρο δὴ οὖν, τὸ πάτριον καὶ αὖθις σέβας ἐπανελοῦ. Πρὸς ταῦτα (C) ὁ μάρτυς. Ἐμοὶ τὰ τῇδε, φησὶν, ὦ ἄρχων, τερπνὰ καὶ ζηλωτὰ καὶ ἐπίφθονα, ὄνομα δηλαδὴ καὶ τρυφὴ, καὶ πλοῦτος καὶ περιφάνεια, ἐκ πολλοῦ πάντα καταπεφρόνηται, βίον ἐπανῃρημένῳ μονήρη, καὶ μόνων τῶν ἐκεῖθεν ἐλπίδων ἐκκρεμαμένῳ. Τούτου δέ σοι καὶ πρὸ τῆς ἐμῆς γλώττης τὸ σεβάσμιον σχῆμα τῶν μοναχῶν καὶ τὸ εὐτελὲς τουτὶ ῥάκος, ἀψευδὴς ἄγγελος. Πῶς οὖν ἅπερ ἐμοὶ πάντοτε σπουδὴ, καὶ φροντὶς, καὶ μελέτη, ταῦτα νῦν ἀτιμάσω, καὶ προσκαίρου καὶ φθαρτοῦ βασιλέως ἐπαγγελίαις συναρπαφεὶς; Πρὸς ἅπερ οὐκ ἔχων ὁ ἄρχων ὅ τι καὶ φθέγξαιτο, πρὸς τὸν πέμψαντα πάλιν ἀπὸ τῆς φυλακῆς ἀναστρέφει πάντα σημαίνων ἀπὸ γλώττης αὐτῷ, ἐφ' οἷς ἐκεῖνος οὐ μετρίως ἀγανακτήσας κελεύει μετὰ τῆς πειθοῦς καὶ βίαν ἐπαγαγεῖν, καὶ τοῖς ῥήμασι μῖξαι (D) καὶ τιμωρίας. Τῇ δὲ κατόπιν ἡμέρᾳ τῇ φυλακῇ καὶ πάλιν ὁ ἄρχων ἐπιστὰς, ἔργῳ τὰ κελευσθέντα πληροῦν ἤρχετο, καὶ προσέταττε συνωθισμοῖς καὶ βίᾳ τὸν ἀθλητὴν ἐκεῖθεν ἐξάγεσθαι, πολλὰς ἔξωθεν καὶ αὐτὸς τὰς ἀπειλὰς ἐπιχέων καὶ τῷ σφοδρῷ τῆς προσβολῆς καὶ τεταραγμένῳ, καταπλῆξαι τὴν γενναίαν ἐκείνην ὑπολαμβάνων ψυχήν. Ὁ δὲ μηδὲν πρὸς ταῦτα θῆλυ παθὼν, μηδὲν μικρόψυχον, μηδὲ ἀγεννὲς, μηδὲν τῶν προλαβόντων ἀνάξιον, μετὰ τῆς συνήθους τῶν ἠθῶν ἐκείνης καὶ χαριεστάτης ἁπλότητος, Μὴ κάμῃς, κῦρι ὁ ἄρχων, ἔφη, μὴ κοπιάσῃς· ἐμὲ γὰρ τῇ τοῦ ἐμοῦ Χριστοῦ χάριτι δυναμούμενον οὐ πείσεις

falsam religionem. Respondet ergo: Quoniam, dicens, vester deorum cultus est manifestum exitium et error dæmonum. Quem quidem cum ipse aliquando sequerer, nuper luce commutavi tenebras, et die noctem et sole abscuram caliginem, illi Deo me dedicans, qui est cœli et terræ, et omnium quæ videntur et mente percipiuntur, opifex. Cui magistratus: Miser, inquit, non eum, quem vos Christiani colitis, cruci Judæi affixere? Quomodo ergo Persicæ religioni Christianorum res prætulisti? Martyr autem: Quod fuerit quidem, inquit, a Judæis crucifixus, ipse quoque assentior: sed sua sponte, et pro nobis ingratis, et qui sumis beneficii accepti immemores. Ejus enim benignitatis et clementiæ est hoc vel maxime admirabile, quod cum esset Deus et servator omnium, et opifex hujus universi, non solum propter nos servi formam accepit, cum de cœlo descendisset, sed etiam pro nobis crucem volens subiit et mortem, ut nostrum peccatum tolleret, quod ex maligni insidiis et fraudibus inflictum erat hominibus. Vos autem inimicum prætulistis, qui stulte illius fraudes in hodiernum usque diem sequimini, et soli sacrificatis, et igni, et lunæ, nullam ne Christi quidem cædis, si non alterius, ducentes rationem.

XXII. Respondens autem magistratus: Quid tibi, inquit, cum his stultis verbis et supervacaneis? Ecce enim tibi a rege insignes dignitates, et zonæ aureæ, et equi, et quæcunque illustria et gloriosa, sunt parata. Agedum ergo, patriam suscipe religionem. Ad hæc martyr: Mihi, inquit, o præses, quæ hic sunt jucunda, valdeque expetenda et invidiosa: nomen scilicet, deliciæ, et divitiæ, et splendor, jam sunt diu abhinc contemptui, ut qui vitam susceperim monasticam, et a sola spe, quam hinc concepi, pendeam. Hujus rei etiam antequam loquar, hic venerandus monachorum habitus, et hic vilis pannus est certus nuntius. Quomodo ergo ea, in qua omne studium omnemque meam curam contuli et sollicitudinem, ea quæ nunc (7) habebo contemptui, regis qui est ad tempus, et in quem cadit interitus, inductus promissionibus? Ad quæ cum non haberet magistratus quid diceret, reducit ad eum, qui miserat e custodia, ei lingua omnia significans. Qua de causa illo non leviter indignatus, jubet cum suasione vim quoque adhibere, et verbis etiam miscere supplicia. Sequenti autem die, cum rursus magistratus venisset ad custodiam, ea quæ imperata fuerant, cœpit reipsa exsequi, et jussit ut per vim protrusum illinc athletam abducerent: ipse quoque, multas minas intentans, vehementique insultu et tumultu se fortem et strenuam illam animam perterrefacturum existimans. Ille vero nihil effeminatum, nihil quod sit pusilli et abjecti animi, et nihil quod sit indignum iis quæ præcesserant, præ se ferens, cum illa consueta et jucundissima morum simplicitate: Ne labores inquit, neque defatigeris, domine

(7) *Ea nunc*, habet Baronius.

præses; mihi enim, qui sum mei Christi gratia confirmatus, non persuadebis ut a pietate deficiam, fac ergo quæcunque vis, a nullo abstinens.

XXIII. Hanc Anastasii cum prudentia constantiam nulla moderatio excepit aut humanitas, sed vinctus more Persico virgis cædebatur crudeliter. Cum is autem verberaretur, hæc decantabat magistratus : Cum maximis regis donis et honoribus persuaderi non sustinueris, ad hæc sis deinceps paratus. Sic enim te quotidie verberans, consumam plagis. Ille autem cum eum juberet rursus, quæ vellet facere, jubet martyri relaxato a vinculis, cum extensus esset supinus, lignis medias intercipi tibias, utraque autem eorum extrema premere viros aliquot robustos, qui et corporum magnitudine et ætatis vigore præstarent. Martyr autem cum sic ejus tibiæ premerentur usque ad ossa, magno et excelso animo et plane philosophico tolerabat. Quod quidem cum vidisset magistratus, et cognovisset se ex eo magis augere ejus patientiæ et tolerantiæ constantiam, rursus in tutissimam eum tradit custodiam, ut de eo rursus referret ad regem. Cum is autem cui erat commissa cura carceris, sellarius, esset religione Christianus, et ideo eorum misereretur, qui pro pietate laborabant et eo quod est bonum et honestum, et eis, qui vellent ex Christianis, concederet ingressum, interdiu ingrediens sine ulla prohibitione frater monasterii, qui cum martyre solverat ex Cæsarea, consolabatur illam asperam et tetram in carcere habitationem, et quos ex plagis senserat dolores, et quas ex vinculis et alia malorum perpessione acceperat molestias. Multi quoque alii viri pii, cum quibus illius quoque Iesdin filii ad eum ingredientes, ad speciosos ejus pedes, et bona aperte evangelizantes, procidebant et vincula deosculabantur et rogabant, ut ab eo aliquas consequerentur preces et benedictiones. Cum is autem hæc omnino minime admitteret (ille enim toto semper animo et mente, humanæ gloriæ, hujus, inquam vanæ, et infidæ, et fallacis, et quæ nihil habet firmum ac stabile, resecabat occasiones), ipsi vinculis ceram immittens, quæ ex illis exprimebatur effigiem, tanquam maximum aliquod remedium et salutare ad omnem morbum et dolorem solvendum efferebant.

XXIV. Non multum temporis intercessit, et rursus veniens ille magistratus in custodiam, an jussis cederet regiis, frustra interrogabat, aut potius quærens occasionem gratificandi animo crudelissimo, qui pœnas cupiebat sumere. Cum is autem non parum ægre tulisset interrogationem et magna contentione et motione capitis id quod sæpe dixerat, nunc quoque respondisset : Scito me Christo et pietati nihil esse prælaturum, jubet eum rursus quoque clavibus verberari, sicut prius. Cum vero viri statuam potius quam virum visi essent verberare, quantum licuit conjicere ex eo, quod esset ejus animus plane inflexibilis, eo quidem relicto in custodia, recedit magistratus; et aliquot interjectis

A ἀποστῆναι τῆς εὐσεβίας · ποίει τοιγαροῦν ἃ βούλει, μηδενὸς αὐτῶν ἀπεχόμενος.

ΚΓ'. Ταύτην Ἀναστασίου τὴν μετὰ συνέσεως ἔνστασιν ἐπιεικὲς, οὐδὲν ἢ φιλάνθρωπον διεδέχετο, ἀλλὰ Περσικῷ τρόπῳ δεθεὶς ῥάβδοις ἀνηλεῶς κατῃκίζετο. Τυπτομένῳ δὲ αὐτῷ τοιαῦτα καὶ ὁ ἄρχων ἐπῇδεν· Ταῖς μεγίσταις τοῦ βασιλέως τιμαῖς τε καὶ δωρεαῖς πεισθῆναι μὴ ἀνασχόμενος, πρὸς τοιαῦτα τοῦ λοιποῦ παρεσκεύασο · οὕτω γάρ σε τύπτων καθ' ἑκάστην ἡμέραν, ταῖς πληγαῖς ἀναλώσω. Τοῦ δὲ καὶ πάλιν ἃ βούλοιτο ποιεῖν ἐπιτρέποντος, κελεύει τῶν δεσμῶν ἀνεθέντα τὸν μάρτυρα, ὕπτιόν τε διαταθέντα, ξύλοις τὰς κνήμας μέσον ἀποληφθῆναι · ἑκατέρᾳ δὲ τούτων ἄκρα γενναίους τινὰς ἐπιστῆναι ἄνδρας μεγέθει τε B σωμάτων καὶ ἡλικίας ἀκμῇ διαφέροντας. Ὁ δὲ μάρτυς, καὶ τοιούτοις πιέσμασι μέχρις ὀστέων αὐτῶν τὰς κνήμας ἀποθλιβόμενος, μεγαλοψύχως ἔτι μᾶλλον καὶ φιλοσόφως διεκαρτέρει · ὅπερ ὁ ἄρχων ἰδὼν, καὶ γνοὺς ὡς ἐπιτείνει μᾶλλον αὐτῷ τῆς ὑπομονῆς ἐντεῦθεν καὶ καρτερίας τὸ σύντονον, ἀσφαλεστάτῃ καὶ πάλιν αὐτὸν φρουρᾷ δίδωσιν · ὥστε τῷ βασιλεῖ περὶ τούτου καὶ αὖθις ἀνενεγκεῖν. Τοῦ δὲ τὸ δεσμωτήριον ἐπιτετραμμένου σελλαρίου Χριστιανοῦ τὸ σέβας ὑπάρχοντος, καὶ παρὰ τοῦτο συναλγεῖν ἔχοντος φιλανθρώπως τοῖς ὑπὲρ εὐσεβείας καὶ τοῦ καλοῦ κάμνουσι, καὶ Χριστιανῶν τῷ βουλομένῳ τῆς εἰσόδου παραχωροῦντος · εἰσιὼν παρ' ἡμέραν ὁ τῆς μονῆς ἀδελφὸς ἀκωλύτως, ὁ καὶ συναπάρας ἐκ Καισαρείας τῷ μάρτυρι, τὸ σκληρὸν καθάπαξ ἐκεῖνο καὶ ἄφιλον C τῆς ἐν τῷ δεσμωτηρίῳ διαγωγῆς, τάς τε τῶν πληγῶν ὀδύνας, καὶ τὴν ὑπὸ τῶν δεσμῶν καὶ τῆς ἄλλης κακοπαθείας στενοχωρίαν παρεμυθεῖτο. Πολλοὶ δὲ καὶ ἄλλοι τῶν εὐσεβῶν, μεθ' ὧν καὶ οἱ τοῦ Ἰεσδὶν ἐκείνου υἱοὶ, πρὸς αὐτὸν εἰσιόντες, ποσί τε αὐτοῦ τοῖς ὡραίοις καὶ ἀγαθὰ σαφῶς εὐαγγελιζομένοις προσέπιπτον, καὶ τὰ δεσμὰ κατεφίλουν, καί τινος παρ' αὐτοῦ τυχεῖν εὐχῆς τε καὶ εὐλογίας ἐδέοντο. Τοῦ δὲ πρὸς ταῦτα καὶ λίαν ἀπαραδέκτως ἔχοντος. (ὅλῃ γὰρ ἐκεῖνος ἀεὶ καὶ γνώμης καὶ ψυχῆς προθέσει τῆς ἀνθρωπίνης δόξης, τῆς κενῆς δὴ ταύτης καὶ ἀπίστου καὶ ψευδομένης καὶ οὐδὲν ἐχούσης ἀληθινὸν, τὰς ἀφορμὰς παρέκοπτε), αὐτοὶ κηρὸν τοῖς δεσμοῖς ἐπιβάλλοντες, τὸ ἐκεῖθεν ἐκτύπωμα ὥς τι μέγιστον φυλακτήριον καὶ καμάτου παντὸς καὶ πάθους λυτήριον ἐκομίζοντο.

ΚΔ'. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ πάλιν ἐπιστὰς ὁ ἄρD χων τῇ φυλακῇ, εἰ τοῖς τοῦ βασιλέως εἴκοι προστάγμασιν εἰς κενὸν ἠρώτα, ἢ μᾶλλον ἀφορμὰς ἐκζητῶν, ὠμοτάτῃ ψυχῇ χαρίζεσθαι κολάζειν ἐφιεμένῃ. Τοῦ δὲ μὴ μετρίως περὶ τὴν ἐρώτησιν δυσχεράναντος, καὶ σὺν ὁρμῇ πρὸς αὐτὸν καὶ κινήματι κεφαλῆς, ὃ πολλάκις εἶπε, καὶ νῦν ἀποκριναμένου, ὡς Οὐδὲν ἐγὼ Χριστοῦ καὶ τῆς εὐσεβείας, εὖ ἴσθι προτιμότερον θήσομαι · κελεύει, ῥοπάλοις αὐτὸν καὶ πάλιν ὥσπερ δὴ καὶ πρότερον τύπτεσθαι. Ἐπεὶ δὲ ἀνδριάντα μᾶλλον ἢ ἄνδρα τύπτειν ἐῴκεσαν, ὅσον ἦν εἰκάσαι τῷ ἀκαμπεῖ τοῦ φρονήματος · τέως μὲν αὐτὸν ἐν τῇ φυλακῇ καταλιπὼν ὁ ἄρχων ἄπεισι, καί τινας ἐπισχὼν ἡμέρας ἔρχεται πρὸς αὐτὸν αὖθις, πολὺς ὢν τοῖς

τεχνάσμασι καὶ ταῖς ἐπινοίαις· καὶ νῦν μὲν κολακείαις καὶ ὑποσχέσεσι, νῦν δὲ ἀπειλαῖς καὶ κολάσεσι εἰς ἄρνησιν τῆς εὐσεβείας αὐτὸν ἐκκαλούμενος. Ἐπεὶ δὲ ὁ αὐτὸς ἦν Ἀναστάσιος, μήτε τούτοις ὑποκλινόμενος, μήτε ἐκείνοις θελγόμενος, τοῖς προλαβοῦσι δεσμοῖς καὶ ταῖς πληγαῖς ἐξεδίδοτο. Εἶτα τῶν δεσμῶν ἀνεθεὶς, τῆς ἑτέρας χειρὸς ἐξαρτᾶται, λίθου τὴν ὁλκὴν βαρυτάτου θατέρου τοῖν ποδοῖν ἐκδεθέντος. Οὕτως οὖν αὐτὸν ἐπὶ δυσὶν ὥραις κρεμάμενόν τε καὶ διασπώμενον ὁ ἄρχων καταλιπὼν, ἐπεὶ κατ' οὐδὲν ἑώρα τῷ μάρτυρι τὸν τόνον ὑπολυόμενον· ἀλλὰ καὶ σφριγῶντα μᾶλλον τῇ τῶν βασάνων ἐπιμονῇ καὶ ῥωννύμενον, ἐκεῖνον μὲν πέμψας κατάγει, πρὸς δὲ τὸν βασιλέα ἐπανελθὼν, τό τε ἄτρεπτον αὐτοῦ τῆς γνώμης καὶ δεινῶς ἀνδρικὸν ἀπαγγέλλει, καὶ συμβουλεύει καὶ αὐτὸς οἴκοθεν μηκέτι πεῖραν Ἀναστασίῳ προσαγαγεῖν, μηδὲ δοῦναι τηλικοῦτον ἀρχῆς ὕψος καὶ μέγεθος, πρὸς ἑνὸς ἀνδρὸς ἔνστασιν ὁρᾶσθαι νενικημένον.

ΚΕ'. Ἐντεῦθεν ἀπογνοὺς τοῦ μάρτυρος καὶ ὁ βασιλεὺς πέμπει μετὰ πέμπτην καὶ δεκάτην ἡμέραν αὐτόν τε τὸν εἰρημένον ἄρχοντα, καί τινας ἑτέρους τῶν ὑπὸ χεῖρα, ὥστε μὴ τὸν ἅγιον μόνον, ἀλλὰ πολλοὺς σὺν αὐτῷ καὶ ἄλλους Χριστιανοὺς ἀνελεῖν. Οἱ δὲ καταλαβόντες τὸ δεσμωτήριον, ἐκβάλλουσι Χριστιανοὺς αἰχμαλώτους οὐκ ἐλάττους ἢ ἑβδομήκοντα σὺν τῷ μάρτυρι, μεθ' ὧν καὶ οἱ τὴν αὐτὴν Ἀναστασίῳ φυλακὴν ἐν Καισαρείᾳ κατακριθέντες καὶ τῆς σφραγῖδος αὐτῷ καὶ τῆς δεσμοῦ κοινωνήσαντες δύο ἄνδρες ἐτύγχανον, οὓς καὶ τοῦ τῆς Βετσαλώης ἐξαγαγόντες χωρίου, ἐν ᾧ καὶ τῷ δεσμωτήριον ᾠκοδόμητο, καὶ πάντας πρὸς τῷ ποταμῷ στήσαντες, εἶτα καθ' ἕνα διαιροῦντες, σχοινόν τε αὐτῶν τῷ τραχήλῳ ἐμβάλλοντες, καὶ οὕτως ἐλεεινῶς ὑπὸ τοῖς τοῦ μάρτυρος ὀφθαλμοῖς ἀποπνίγοντες, ἐπέλεγον καθ' ἕκαστον τῷ ἁγίῳ Διατί θέλεις ὡς εἷς τούτων βιαίως ἀναιρεθῆναι, καὶ μὴ μᾶλλον πεισθῆναι τῷ βασιλεῖ, καὶ τῆς παρούσης ἀπολαύειν εὐημερίας; Ὁ δὲ προσσχὼν ἐπὶ τούτοις, οὐρανῷ τε ὄμματα δοὺς, καὶ Θεῷ συντεταμένως εὐχαριστήσας, ὅτιπερ ἤδη παρεστῶτα τὸν ὑπὲρ αὐτοῦ θάνατον ἔβλεπεν, εἶτα καὶ πρὸς ἐκείνους ἐπιστραφεὶς, Ἐγὼ, φησὶν, ὑπὲρ τῆς τοῦ Χριστοῦ μου ἀγάπης καὶ τοῦ θερμοῦ πρὸς αὐτὸν καὶ ἀπαθοῦς ἔρωτος, ἅπαν κατατμηθῆναι μέλος εἰς λεπτὰ προσεδόκων, καινότατον δή τινα περιμένων καὶ ἀπηχῆ θάνατον. Ἐπειδὴ δὲ οὗτος ἐστιν ὁ παρ' ὑμῶν ἀπειλούμενος, εὐχαριστῶ σοι τῷ μόνῳ Θεῷ μου καὶ Σωτῆρι, Χριστὲ βασιλεῦ, ὅτι τελευτῆς οὕτως ἀπόνου καὶ ἀνωδύνου, ἣν καὶ φύσις αὐτὴ μετὰ μικρὸν ἐπήνεγκεν ἄν, μαρτυρίου με τιμὴν ὠνήσασθαι κατηξίωσας. Ταῦτα εἰπὼν, καὶ οὕτω τελευταίοις ἐπιλαμπρυνθεὶς ῥήμασιν, ἴσῳ θανάτῳ καὶ οὗτος ἐτελειώθη.

ΚϚ'. Οἱ δήμιοι δὲ τὴν ἱερὰν ἐκείνην κεφαλὴν ἐκτεμόντες, σαφῆ τῆς ἀναιρέσεως τοῦ ἀνδρὸς ἀπόδειξιν τῷ βασιλεῖ κομίζουσι. Τὸν μέντοι ἐπὶ τῆς φυλακῆς σελλάριον Χριστιανὸν ὄντα, καὶ μαρτύρων εἰδότα τιμᾶν σώματα, ἀνελέσθαι τὸ τοῦ ἁγίου λείψα-

A diebus ad eum revertitur, varias artes et rationes excogitans: et nuunc quidem minis et promissis, nunc autem minis et suppliciis eum revocans ad negandam pietatem. Cum autem idem esset Anastasius et nec his inclinaretur, nec illis deliniretur, prioribus vinculis et plagis est traditus. Deinde cum fuisset relaxatus a vinculis, ex altera manu suspenditur, cum lapis gravissimi ponderis esset alligatus alteri ex pedibus. Cum eum ergo sic pendentem et sic divulsum duabus horis reliquisset magistratus, videretque robur ac firmitatem minime dissolvi martyri, illum quidem remittit: ad regem autem reversus, immutabilem ejus mentem significat et summam animi fortitudinem. Ipse quoque ei consulit ne amplius periculum faciat in B Anastasio, nec permittat ut tanta altitudo et magnitudo imperii ab unius viri constantia videatur superata.

XXV. Hinc cum omnem spem superandi martyris rex abjecisset, mittit post decimum quintum diem et dictum magistratum et quosdam alios ex subditus, ut non solum sanctum, sed multos quoque alios Christianos cum eo interimerent. Illi autem cum venissent in carcerem, expellunt Christianos captivos non pauciores, quam septuaginta, una cum martyre: cum quibus erant ii quoque qui cum Anastasio Cæsareæ damnati fuerant ad custodiam, signaculique et vinculorum fuerant ei sociis quos cum eduxissent ex prædio Betsaloes, in quo fueral carcer ædificatus, et ad fluvium statuissent, C eos singulatim dividentes et eorum collo funem injicientes, et miserabiliter ante oculos martyris suffocantes, sancto dum unumquemque vicissim submergerent, dicebant, : Cur vis, sicut unus ex his, violenter tolli de medio et non potius regi parere, et priorem consequi felicitatem? Ille autem cum his mentem adhibuisset et in cœlum oculos sustulisset et Deo ingentes egisset gratias, quod jam pro ipso mortem videret esse subeundam, deinde ad illos quoque conversus: Ego, inquit, pro Christi mei charitate, ardentique et vehementi in eum amore, exspectabam omne membrum minutatim conscindi, exspectans novam aliquam et inauditam mortem. Quoniam autem hæc est ea, quam vos mihi minamini, ago tibi gratias soli Deo D meo et Servatori Christo, quod morte, quæ usque adeo vacat omni labore et molestia, quam quidem paulo post ipsa quoque attulisset natura, me voluisti emere honorem martyrii (8). Cum hæc dixisset et hæc ultima verba præclare esset locutus, æquali morte sic quoque est consummatus.

XXVI. Carnifices autem, cum sacrum illud caput amputassent, ut eum esse interfectum ostenderent, ad regem deferunt. Sellarium vero, qui præerat custodiæ carceris, cum esset Christianus, et sciret martyrum honorare corpora, vellet autem sancti

(8) Cum alii eum laqueo, alii gladio interemptum dicant, Baronius in notis ad Martyrol. Rom. in hæc verba Menologii Græcorum concludit: « Ipsius collo ita laqueo astricto, ut respirandi facultatem non haberet, postremo securi percutitur, capite pro Christi fide abscisso. »

tollere reliquias, et eas separare ab aliis, ne tantum lateret bonum, permistum cum cæteris corporibus, prohibuere carnifices. Cum filiis autem Iesdin annuntiata fuisse viri consummatio, ad quam euntem martyrem illorum pueri consequebantur, et illi serviebant, ii pecunia corrumpunt carnificum diligentiam, et ut corpus sibi liceret loco separato deponere, non paucis emunt pecuniis. Deinde is quoque monachus, qui cum martyre excesserat e Cæsarea, et cum decertante ad finem usque manserat, cujus etiam sæpe fecimus mentionem, cum et pueros filiorum Iesdin, et quosdam ex iis, qui illic erant, monachis in noctem sequentem assumpsisset, et ut martyris corpus pie et sancte componeret, venisset (o quomodo, o Christe, laudabo miraculorum tuorum magnitudinem?) invenit canes alia quidem corpora toto ore exedentes, ab hoc autem solo se abstinentes, ut quod non subjiceretur amplius legibus corporis. Jam enim erat pulchritudinis coronam in manu Dei (divinus dixit Isaias) et diadema regni in manu Dei ejus. Cum sustulisset ergo corpus martyris, et mundis linteis, quæ dedere filii Iesdin pro ultimis corporis exsequiis, mundas illas et sanctas involvisset reliquias, in Sergii (9) martyris monasterio, quod ad unum lapidem distabat a vico, deponit decimo septimo (10) quidem anno imperii pii Heraclii, vicesimo autem secundo mensis Januarii. Is enim fuit dies, qui vidit decessum martyris.

XXVII. Sequenti autem die duos ex iis, qui erant in custodia licuit audire hæc inter se narrantes. Dicebat enim unus alteri: Vidisti quemadmodum canes, qui heri venerunt, reliquis quidem corporibus se cupide impleverunt, abstinuerunt autem a solo corpore illius monachi: et quemadmodum postquam se aliis exsatiassent, prope illud sedentes visi sunt potius esse custodes, horis deinceps duabus neque recedentes, neque corpus tangentes? Alter autem rursus excipiens orationem: Ego vero, inquit, cum vespere ex specula in domum reverterer, videbar mihi videre stellam quamdam terram tangentem, jucundum quemdam et perspicuum splendorem emittentem. Spectaculi itaque novitate obstupefactus, quod scilicet non sicut aliæ, sed humilius et terræ vicinius resplenderet, vado ut videam, quidnam sit illud, quod apparuerat. Cum autem fui prope illum locum, illam quidem stellam videre non poteram, sed solum corpus monachi, quod jacebat super terram. Hæc cum narrarent et mirarentur milites, quidam ex Christianis captivis, qui exercitati erant in lingua Persica, qua tunc illi inter se utebantur, intellexerunt ea, quæ dicebantur. Ex quibus duo quidam relaxati a custodia post interemptum regem Chosroen, una cum multis aliis venerunt in sanctam civitatem, quibus quidem martyr, cum una cum eis esset in carcere, de sua

A νον βουληθέντα καὶ ἰδίᾳ θεῖναι τῶν ἄλλων, ὅπως μὴ τοσοῦτον ἀγαθὸν λάθῃ τοῖς λοιποῖς ἀναμιγὲν σώμασιν, εἶρξαν οἱ δήμιοι. Μηνυθείσης δὲ τοῖς τοῦ Ἰεσδὶν υἱοῖς τῆς τοῦ ἀνδρὸς τελειώσεως, πρὸς ἣν ἀπιόντι τῷ μάρτυρι παῖδες ἐκείνων ἦσαν ἀκολουθοῦντες αὐτῷ καὶ ὑπηρετούμενοι· χρήμασιν ὑποφθείρουσιν οὗτοι τὴν τῶν δημίων ἀκρίβειαν καὶ τὴν τοῦ σώματος ἐν ἰδιάζοντι τόπῳ κατάθεσιν, ἀργυρίων οὐκ ὀλίγων ὠνοῦνται. Εἶτα ὁ καὶ συναποδημήσας ἐκ Καισαρείας τῷ μάρτυρι μοναχὸς, καὶ ἀθλοῦντι μέχρι τέλους συμπαραμείνας, οὗ καὶ μνείαν πολλάκις ὁ λόγος ἔθετο, τούς τε παῖδας τῶν τοῦ Ἰεσδὶν υἱῶν, καί τινας τῶν ἐκεῖ μοναχῶν εἰς τὴν ἐπιοῦσαν νύκτα παραλαβὼν, καὶ ὥστε τὸ τοῦ μάρτυρος σῶμα ἱερῶς τε καὶ ὁσίως περιστεῖλαι καταλαβὼν (ὦ πῶς ἀναξίως αἰ-

B νέσω σου, Χριστὲ, τῶν θαυμάτων τὸ μέγεθος;), εὑρίσκει τοὺς κύνας τὰ μὲν ἄλλα τῶν σωμάτων ὅλῳ στόματι κατεσθίοντας, τούτου δὲ μόνου καὶ λίαν πεφυλαγμένως ἔχοντας καὶ ἀπεχομένους, οἷα μηδὲ σώματος ἔτι νόμοις ὑποκειμένου. Ἤδη γὰρ ἦν στέφανος κάλλους ἐν χειρὶ Κυρίου, ὁ θεῖος ἂν εἶπεν Ἡσαΐας, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ αὐτοῦ. Τὸ σῶμα τοίνυν τοῦ μάρτυρος ἀνελόμενος, καὶ καθαραῖς ὀθόναις, ἃς οἱ τοῦ Ἰεσδὶν υἱοὶ τελευταῖον τῷ μάρτυρι παρέσχον ἐντάφιον, τὸ καθαρὸν ἐκεῖνο καὶ ἅγιον ἐνειλήσας, εἰς τὴν τοῦ μάρτυρος Σεργίου μονὴν ἐνὶ σημείῳ τῆς κώμης διέχουσαν κατατίθεται, ἑπτακαιδεκάτῳ μὲν ἔτει τῆς Ἡρακλείου τοῦ εὐσεβοῦς βασιλείας, εἰκάδι δὲ καὶ δευτέρᾳ μηνὸς Ἰανουαρίου. Αὕτη γὰρ ἦν ἡ καὶ τὴν τελευτὴν ἰδοῦσα τοῦ μάρτυρος ἡμέρα.

C ΚΖʹ. Εἰς δὲ τὴν ἐπιοῦσαν δύο τῶν ἐπὶ τῆς φυλακῆς τινων, τοιαῦτα πρὸς ἀλλήλους ἀκούειν ὑπῆρξε διηγουμένων. Ὁ μὲν γὰρ ἔλεγε τῷ ἑτέρῳ· Εἶδες ὅπως χθὲς ἐλθόντες οἱ κύνες τῶν μὲν λοιπῶν χανδὸν ἐνεπίμπλαντο σωμάτων, μόνου δὲ τοῦ μοναχοῦ ἐκείνου ἀπείχοντο, καὶ ὅπως ἐπείπερ ἱκανῶς τῶν ἄλλων ἐμφορηθείησαν, πλησίον ἐκείνου καθήμενοι φύλακες ὥσπερ εἶναι μᾶλλον ἐῴκεσαν, ὡρῶν ἑξῆς δύω μήτε ἀποχωροῦντες μήτε τοῦ σώματος θήγοντες; Ἅτερος δὲ πάλιν τὸν λόγον ὑπολαβὼν, Ἐγὼ δὲ, φησὶν, ἑσπέρας ἐκ τῆς κατασκοπῆς εἰς τὴν οἰκίαν ἐπανιὼν, ἐδόκουν ἀστέρα τινὰ τῆς γῆς ψαύοντα βλέπειν, ἡδύ τι καὶ διοφανὲς ἀπαστράπτοντα· καὶ τὸ καινὸν τοίνυν καταπλαγεὶς τοῦ θεάματος ὅπως οὐ κατὰ τοὺς λοιποὺς ἦν ἀστέρας, ἀλλὰ χθαμαλά καὶ πρόσγεια λάμπων, πορεύομαι τί ποτ' ἂν εἴη τὸ φανὲν ἐκεῖνο μαθεῖν.

D Ὡς δὲ ἤδη πλησίον ἐγενόμην τοῦ τόπου, ἀστέρα μὲν ἐκεῖνον οὐκ εἶχον ὁρᾷν, μόνον δὲ τὸ τοῦ μοναχοῦ σῶμα κείμενον ἐπ' ἐδάφους. Ταῦτα τῶν στρατιωτῶν ἐν διηγήσει καὶ θαύματι ποιουμένων, τινὲς τῶν ἐν τῇ φυλακῇ Χριστιανῶν αἰχμαλώτων, τὴν Περσῶν ἠσκημένοι γλῶσσαν, ᾗ τότε κἀκεῖνοι πρὸς ἀλλήλους ἐχρῶντο, τῶν λεγομένων συνίεσαν, ὧν καὶ δύο τινὲς τῆς φυλακῆς ἀνεθέντες μετὰ τὴν Χοσρόου τοῦ βασιλέως ἀναίρεσιν, σὺν ἅμα πολλοῖς καὶ ἄλλοις τὴν ἁγίαν πόλιν κατέλαβον· οἷς δήπου καὶ συνὼν ὁ μάρτυς ἐν τῷ δεσμωτηρίῳ, περί τε τῆς ἑαυτοῦ τε-

(9) Sergium in veneratione a Cosroe habitum memorat Baronius ob plurima in ipsum collata beneficia.
(10) Heraclii 17 imperii annus fuit Christi 627, teste Baronio t. VIII *Annal.*

λειώσεως καὶ τῆς σφετέρας ἐλευθερίας, τῆς τε τοῦ A πικροῦ διώκτου, καὶ τυράννου μᾶλλον ἢ βασιλέως ἀναιρέσεως, ἀψευδέστατα προειρήκει διαῤῥήδην οὕτως εἰπών· Γινώσκετε, ἀδελφοί μου, ὅτι Θεοῦ τοῦ ἀγαθοῦ χάριτι, ἐγὼ μὲν αὔριον τελειοῦμαι· ὑμεῖς δὲ μετά τινας ὀλίγας ἡμέρας ἀπολυθήσεσθε· ὅτε ἄδικος καὶ πονηρότατος βασιλεὺς ἀναιρεθήσεται, ἀλλ' ὑμῖν Θεοῦ δὲ πάντως κυβερνήσει καὶ ὁδηγίᾳ πρὸς τὴν ἁγίαν πόλιν ἐπανιοῦσι μελήσει καὶ τῇ μονῇ τοῦ ἀββᾶ Ἀναστασίου παραβαλεῖν, καὶ παρ' ἡμῶν προσειπεῖν καὶ πάντα τῷ τε πατρί μου καὶ τοῖς ἀδελφοῖς ἀπαγγεῖλαι. Ταύτας οὐ μόνον ἐκεῖνοι τὰς προῤῥήσεις ἀκούσαντες, ἀλλὰ καὶ εἰς ἔργον τὰς ἐκβάσεις ἰδόντες, τὰς τελευταίας τοῦ μάρτυρος ἐντολὰς οὐκ ἠτίμασαν, ἀλλὰ θέμενοι τὴν πρὸς τὴν μονὴν ὁδὸν καὶ αὐτῆς ἐπανόδου προτιμοτέραν· ᾗ καὶ ῥᾳδίας μᾶλλον δὲ αὐτὴν B καὶ ὁμαλῆς τυχόντες τῆς ἐπανόδου, καὶ τῇ μονῇ ὡς εἶχον αὐτῷ καμάτῳ τῆς ὁδοιπορίας αὐτοῖς ἐφοδίοις παραβαλόντες, πάντα τῇ ἀδελφότητι ἐξηγήσαντο.

ΚΗ. Ὁ μέντοι πολλάκις μνημονευθεὶς ἀδελφός (ἐπ' αὐτὸν γὰρ ἄγει καὶ πάλιν τὰ τῆς ἀκολουθίας τὸν λόγον) τὸ τοῦ μάρτυρος σῶμα σὺν εὐλαβείᾳ καὶ μάρτυσι πρεπούσαις τιμαῖς, εἰς τὴν τοῦ μεγάλου Σεργίου μονὴν καταθέμενος, χρόνον μέν τινα καὶ αὐτὸς ἐκεῖ διατρίβων ἦν· καὶ ὅπως ἀνασωθείη πρός τε τὸν πέμψαντα καὶ τοὺς ἀδελφοὺς κινδύνων χωρίς, σκοπούμενος. Δεκάτῃ δὲ μετὰ τὴν λειψάνου κατάθεσιν ἡμέρᾳ, καταλαμβάνει μετὰ τῆς στρατιᾶς βασιλεὺς ἕτερος. Οὐχ οἷος ὁ προειρημένος διώκτης καὶ ἀποστάτης καὶ τὴν κακίαν περιττὸς καὶ ἀνήκεστος· ἀλλὰ καὶ λίαν ἐπιεικής τε καὶ ἥμερος καὶ τὴν εὐσέβειαν ἐκείνῳ μᾶλλον καὶ τὴν φιλανθρωπίαν ἀντίθετος· οὓς ἰδὼν ἐπὶ ξένης ἡδέως ὁ μοναχὸς καθάπερ τινὰς ἐν C σκότῳ λαμπάδας καί, τῶν περὶ τὴν ἐπάνοδον φροντίδων εὐθὺς καὶ τοῦ τῆς ἀθυμίας ἀναπνεύσας ἄχθους, καὶ τὴν ψυχὴν οἱονεὶ κουφισθείς, οἷα καὶ αὐτὴν ἀδελφότητα καὶ μονὴν οὐκ εἰς μακρὰν ὄψεσθαι προσδοκήσας, τῇ Ἑλλήνων αὐτοὺς γλώσσῃ προσαγορεύει, τὸν ἀναγνωρισμὸν τοῖς ἀνδράσι διαφωτίζων. Οἱ δὲ Χριστιανὸν αὐτὸν εἶναι γνόντες, πρᾶγμα ἐσχάτως ἐν Περσίδι σπανίζον (τοῦτο γὰρ καὶ τὸ τῶν μοναχῶν ἔνδυμα καὶ ὁ λόγος ἐμήνυον), ἤροντο αὐτὸν ὅ τι ποτὲ εἴη διατρίβων ἐνταῦθα. Τοῦ δὲ κατὰ μέρος αὐτοῖς τὰ κατὰ τὸν μακάριον ἀπαγγείλαντος, τοῦτο μέν, εἰς πόθον ἐκεῖνοι τοῦ μάρτυρος, τοῦτο δὲ καὶ εἰς συμπάθειαν τοῦ μοναχοῦ τὰς ψυχὰς κινηθέντες, εἴς τε τὰς οἰκείας σκηνὰς τὸν ἄνδρα λαβόντες, κοινωνόν τε αὐτὸν καὶ στέγης ἐξ ἐκείνου καὶ τραπέζης ποιούμενοι, καὶ ὅπως ἔδει Χριστιανούς τε καὶ φιλομάρτυρας D πρὸς τοῦτον διατεθέντες, διὰ τῆς Ἀρμενίων αὐτὸν ἐξήγαγον. Ὃς καταλαβὼν δι' ἔτους τὸ μοναστήριον, τῷ τε προεστῶτι καὶ τοῖς ἀδελφοῖς ἡδίστην τινὰ τρυφὴν καὶ φιλότιμον εὐωχίαν τὴν κατὰ τὸν ἱερὸν Ἀναστάσιον διήγησιν ἐποιήσατο, ἀνακομίσας ἔτι καὶ τὸ μοναχικὸν ἐκείνου κολόβιον, ὃ καὶ πρὸς αὐτῇ τῇ ἀναλύσει ἐνδέδυτο, καὶ ἀνακομίσας οὐχ ἁπλῶς, ἀλλὰ μετὰ θαυμαστοῦ γε τοῦ διηγήματος. Ἔλεγε γὰρ ὡς εἴη τις ἀδελφὸς ἐν τῇ μονῇ καθ' ἣν ἀποτεθείη τὸ λείψανον, νέος τὴν ἡλικίαν, πονηρῷ πνεύματι κατ-

consummatione et de eorum liberatione et de sævi persecutoris et tyranni potius quam regis interfectione, verissime prædixerat, sic aperte dicens: Sciatis, fratres mei, me boni quidem Dei gratia cras esse consummandum: vos autem paucis post diebus liberandos, quando rex iniquissimus et sceleratissimus fuerit interemptus. Cæterum vobis, cum, Deo omnino regente et ducente, in sanctam fueritis reversi civitatem, curæ erit ad abbatis Anastasii vos conferre monasterium et eos nostro nomine salutare et omnia annuntiare patri meo et fratribus. Has prædictiones cum illi non solum audivissent, sed effectum etiam vidissent consecutas, ultima mandata martyris non neglexere: sed venire ad monasterium, pluris quam ipsum facientes reditum, et ita ut erant fessi ex itinere, cum suo viatico venientes in monasterium, exposuerunt omnia fraternitati.

XXVIII. Frater autem, cujus sæpe facta est mentio (ad eum enim ex consequentia non rursus reducit oratio), cum corpus martyris pie et cum eo, quo par est, honore et reverentia deposuisset in magni Sergii monasterio, ipse quidem aliquantum temporis ibi est moratus, quemadmodum ad eum, qui misit, et fratres salvus et sine periculo perveniret, considerans. Decimo autem die, postquam depositæ fuerunt reliquiæ, eo venit cum exercitu rex alius, non qualis is qui prius dictus est, persecutor et religioni infestus et in scelere eximius et plane profligatus, sed valde æquus et mansuetus, pietateque et humanitate illi plane contrarius. Quos cum lubenter vidisset monachus in externa regione, tanquam quasdam lucernas in tenebris, a cura de reditu et ægritudinis onere mox respirans et veluti animi pondere levatus, ut qui fraternitatem et monasterium se esse propediem visurum speraret, lingua eos Græca alloquitur, ea ratione sui notitiam aperiens. Illi autem cum novissent eum esse Christianum, quod quidem rarum est apud Persas (hoc enim et monachorum significabat indumentum et sermo) rogarunt illum, cur illic moraretur. Cum his vero eis singulatim de beato exposuisset Anastasio, illi partim quidem desiderio martyris, partim autem monachi moti misericordia, cum virum in sua accepissent tabernacula, tectique et mensæ socium eum deinceps fecissint, et ut decet Christianos et martyrum amantes, in eum affecti essent, eduxerunt ipsum per Armeniam. Qui cum post annum pervenisset ad monasterium, præfecto et fratribus jucundissimum lautumque et magnificum exibuit epulum, nempe de sancto Anastasio narrationem, ut qui etiam attulerit monasticum illius colobium, quo indutus erat in ipsa resolutione, nec attulerit solum, sed simul etiam mira quædam narraverit. Dicebat enim, fuisse quemdam fratrem in monasterio, in quo positæ erant reliquiæ, ætate juvenem qui a maligno spiritu detinebatur. Cum autem

præfectus a me sæpe petiisset colobium et hoc simul atque accepisset, juvenem induisset (o celerem visitationem, o promptissimum auxilium!) statim exuit dæmonem, ut qui sicut frigus calori, vel luci tenebræ, huic martyris panno facile cessisset : in gloriam Domini nostri Jesu Christi, quem decet omnis honor et adoratio, nunc et in sæcula sæculorum. Amen.

οχος. Αἰτήσαντος οὖν με τὸ κολόβιον ὅτι πλεῖστα τοῦ ἡγουμένου, καὶ τοῦτο λαβόντος ἅμα καὶ τὸν νέον ἐνδύσαντος, (ὢ ταχείας ἐπισκοπῆς, ὢ θερμοτάτης ἐπικουρίας!) τὸν δαίμονα εὐθὺς ἀποδύεται, ὥσπερ θέρμῃ ψύχος, ἢ φωτὶ σκότος, τῷ μαρτυρικῷ τούτῳ ῥάκει ῥαδίως ὑποχωρήσαντα· εἰς δόξαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα τιμὴ, καὶ προσκύνησις, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

DE S. CLEMENTE ANCYRANO

ET SOCIIS

(Initio sæculi IV, 23 Januarii. — Acta SS. Bolland. ad hanc diem, p. 458.)

§ I. *S. Clementis martyrii tempus, socii.*

1. Galatæ, Asiatica gens, Bithyniæ contermina, e Galliis progressa, ut nomen ipsum testatur, et lingua; nam teste S. Hieronymi procem. in lib. II Comment. in Epist. S. Pauli ad Galatas, « excepto Græco sermone, quo omnis Oriens loquebatur, propriam linguam habebant, eamdem pene quam Treviri : » Teutonicam nimirum, quæ olim Gallis omnibus communis, nunc parti Belgarum, Germanis, aliisque ad Arcton populis, etsi varia dialecto ita alterata, ut vix ac ne vix quidem mutuo intelligant. Metropolis Galatarum erat Ancyra, cujus antistites postea « Honoratissimi principes totius Galatiæ » in Expositione Andronici Palæologi senioris appelantur.

2. In hujus urbis episcopalem thronum evectus olim fuit S. Clemens, gloriosæ dein martyrum turmæ primipilus, cum vicesimum duntaxat annum explesset ætatis. Natus is erat Valeriano consule, imperii Valeriani anno 12, Christi 250. Fuit ea quorumdam Græcorum epocha (quod alibi monuimus) ut octo annis serius, atque Latini vulgo, æram Christianam ordirentur. Ergo si anno Christi 250, juxta ipsorum calculum, in lucem editus est Clemens, is annus fuit æræ vulgaris 258 aut 257, postrema sui parte, nam annum a Septembri auspicabantur. Consul tunc fuit quartum Valerianus, et Gallienus tertium : at nonnisi quintus eorum imperii annus is erat: nec duodecimum attigit Valerianus, anno Christi 260, a Sapore Persarum rege captus, atque immanissime interemptus. Sed si placet annum ab adito imperio duodecimum retinere, quo Gallienus, cum patre susceptum, adhuc administrabat imperium, Christi is erat 265, quo Valerianus junior, Gallieni frater, secundum consul fuit, cum L. Cæsonio Lucillo Macro Rufiniano. Et favet Metaphrastes, qui natum Clementem scribit « Coss. Valeriano et Luciano. » Fortassis *Luciano* scriptum pro *Lucillo*. At qui superius statutam epocham sequebantur Græci, non 250 Christi annum illum computabant, sed 257, nisi sic scriptum fuit. et ἑβδόμῳ *septimo* librarii incuria omissum.

3. Anno dein ætatis vicesimo evoluto, Christi 277, Probo imperante, aut potius 284, quo et Diocletianus XV Kal. Octob. invasit imperium, episcopus factus est Clemens : et concitata mox persecutione, sub anni fortasse sequentis exitum conjectus in vincula; post varia multorum annorum atrocia certamina, imperantibus adhuc Diocletiano et Maximiano, glorioso exitu labores terminavit XXIII Januarii, die Dominica, anno scilicet bissextili 304, quo eodem ipsis Kalendis Aprilibus imperio sese ambo imperatores abdicarunt. Atqui anni, quibus Clemens certavit, non 28, sed 18 solum ac menses aliquot, exsistent. Aut certe anno 309, sub Galerio Maximiano oportebit eum peremptum fateri; nam eo quoque anno XXIII Januarii in Dominicam incidit. Et videtur id Nicephorus infra citandus innuere, cum ait, eo ipso anno, quo S. Pantaleonem, martyrium peregisse. Sed de hoc disquiremus 27 Julii.

4. Hæc de S. Clementis ætate : nunc de sociis certaminum et triumphi. Præcipuus Agathangelus fuit, mensibus ante eum duobus, diebus octodecim, coronatus V Novembris ; quo die Græci in suis Menæis hæc de eo canunt : Τῇ αὐτῇ ἡμέρα ὁ ἅγιος Ἀγαθάγγελος ξίφει τελειοῦται.

Χρηστάγγελός τις ψῆφον Ἀγαθαγγέλῳ
Ἦ, τῆς τελευτῆς ψῆφος ἦν ἐκ τοῦ ξίφους.

Eodem die S. Agathangelus gladio vitam finit.
Benignus Angelus aliquis decretum Agathangelo
Misit, mortis decretum per gladium.

At solenni religione ambo hoc die 23 Januarii coluntur, præsertim in propria illis dicata Constantinopoli ecclesia, « trans Eudoxii regionem ultra Anaplum et in sanctissima æde S. Irenes, vetere et nova ; » ut Menæa et Maximus Cythereus tradunt.

5. De utroque Menologium a Canisio editum hoc ipso die : « Natalis S. Clementis Ancyræ Galatiæ, qui ortus patre gentili, matre vero Christiana nomine Euphrosyna, quæ Christi martyrem futurum illum prædixit, sub Diocletiano et Maximiano martyrium pertulit : quo die et S. Agathangelus An-

cyræ, Lucio præside, passus est.» Imo 5 Novembris passus. Utriusque cætera meminerunt Græcorum Monologia, Horologia etc., quæ sequitur Molanus in addit. ad Usuardum : « Die vicesima tertia, sancti hieromartyris Clementis Ancyræ, et sancti martyris Agathangeli. » Romanum quoque Martyrologium : « Ancyræ in Galatia S. Clementis episcopi, qui sæpius cruciatus, tandem sub Diocletiano martyrium consummavit. Ibidem S. Agathangeli, qui eodem die sub Lucio præside passus est. » De Clemente ita Galesinius : « Ancyræ S. Clementis episcopi et martyris, qui Diocletiano imperatore inauditis excruciatus suppliciis, iisque multis ac variis, demum cum constanter in fide persisteret, præciso capite martyrii coronam accepit. »

6. In Notationibus, Christophorum et Charitonem, Clementis in martyrio obeundo socios, memorat Galesinius. Menæa, Menologium Casinii, et Cytheræus referunt 9 Septembris « S.Charitonem gladio occisum. » Sed quod non ei additus comes Christophorus, et hi ambo 23 Januarii occubuerint, alium remur. Eucarpii quoque plures fuere. At nulli Phengon jungitur, nec ullis in Martyrologiis eorum reperimus ad 7 Septembris, quo perempti fuere, inscripta nomina. Eorum certamina, aliorumque tam Ancyranorum quam Romanorum, in Actis S. Clementis, qui eos Christo genuerat, continentur, celebranturque a plurimis hoc die omnes ; et pleraque nomina Actis præfigit Joannes Basilius Sanctorius.

§ II. *Acta S. Clementis et sociorum.*

7. Res a Clemente et Agathangelo præclare ac fortiter gestas,solita facundia composuit Metaphrastes, ex antiquis haustas monumentis. Eum Metaphrastæ commentarium,a Gentiano Herveto Latine versum, Lipomanus et Surius vulgarunt; atque in epitomen redactum,Lippelous,Ribadeneira, Sanctorius, Gabriel Flamma, Machantius,Rosweydus, aliique. Baronius in Notat ad Martyrologium scribit multa sibi in his Actis displicere : sed quænam illa sint, non exprimit. Hyperbolica quandoque cruciatuum auxesis videri possit, nisi et diaboli ejusque satellitum furorem, et Dei, suos martyres confirmantis,virtutem cogitemus.Neque existimare oportet omnia quæ narrantur, continenter inflicta sanctis esse supplicia ; sed toto annorum 18 spatio, indulta fortassis plurium sæpe mensium quiete, dum aliis Reip. negotiis præsides distinebantur ; quanquam id negari videtur in Anthologio et Menæis. Et si singula considerentur tormenta, nullum fere non pluribus martyribus sub iisdem Diocletiano et Maximiano, in iisdem Asiæ urbibus, irrogatum : ac vincuntur pleraque moderna Japonum adversus Christianos immanitate. Præter citata Martyrologiorum testimonia, exstat egregia Actorum epitome in Anthologio Græcorum a Clemente VIII approbato, Menæis quoque, et Maximi Cytheræi Vitis.

8. Nicephorus Callistus quoque hoc eos illustri encomio celebravit lib. VI *Hist. Eccles.* cap. 14 : « Hoc ipso anno Clemens Ancyranus episcopus, cum Agathangelo nobilissimum martyrium est exorsus. Viginti octo namque annis pro Christo splendidissimum absolvit cursum. Siquidem post mundum conditum quicunque pro Christo certamen igne, ferro, lapidibus, lignis obierunt, quive cum bestiis depugnarunt, et diuturnis vinculis afflicti sunt ; præterea qui diversis modis in terra, in aere, in aquis, cum suppliciis sunt colluctati ; tum autem qui vel frigore, vel calore nimio sunt consumpti, aut qui aliis quibuscunque pœnis et tormentis vitam amiserunt : eos omnes,meo quidem judicio, sanctus ille Clemens, et cum ipso Agathangelus, longe superavit : primum quidem Romæ, deinde Nicomediæ ; cum feritate et crudelitate aliis præstantes tortores, eis excruciandis vices per successionem mutantes, ab omni jam tormentorum specie destituerentur : ad postremum autem gladio percussi vitam hanc immortali illa commutarunt. »

ΒΙΟΣ ΚΑΙ ΑΘΛΗΣΙΣ

ΤΟΥ ΑΓΙΟΥ

ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΚΛΗΜΕΝΤΟΣ ΑΓΚΥΡΑΣ

—

VITA ET CERTAMEN

S. CLEMENTIS ANCYRANI ET SOCIORUM.

(Græcus textus nunc primum prodit ex cod. Reg. Paris. n. 1456, sæc. XI. Edit. Patrol.)

—

CAPUT I.

S. Clementis ortus et educatio. Obitus parentum.

I. Post ducentesimum et quinquagesimum annum Domini nostri Jesu Christi, anno duodecimo Valeriani imperatoris, consulibus ipso Valeriano et Luciano, ille vere magnus et admirabilis Clemens, Ancyræ, metropoli primæ Galatarum provinciæ, tanquam egregius aliquis palmes, multis boni Spiritus botris erat omni ex patre plenus. Ea enim cum ipsum tulisset, et multis etiam aliis civitatibus misisset præclarum exemplar martyrii, ipsa quoque collegit pulchros fructus consummationis.

II. Erat autem genere insignis, ex nobili quidem et alto deductus sanguine. Erat enim ei pater et mater, hæc quidem ex ambobus parentibus claris et fidelibus; ille autem in religione a Sophia (1) fideli valde dissidens, et gentili deditus stultitiæ. Nam cum eam haberet vitæ sociam et habitationis, multa semper dicens et faciens, conabatur eam facere sociam religionis. Ea autem cum animi magnitudine maritum superaret, hoc majori studio contendebat, ut si qua ratione fieri posset, eum deduceret ad veram pietatem. Sed ille quidem dormiens in profundis erroris tenebris, erat sua sponte malus, et recusabat aspicere magnam lucem veritatis. Quocirca sic quoque miser duplici morte moritur, nempe carnis et animæ. Solus autem uxori filius hic Clemens admirabilis ex ipso relinquitur, adhuc infans, et quem mater suis tenebat ulnis, et ejus alebatur ubere.

III. Cum sic ergo esset mater marito vidua, labaretque adhuc spes ejus de puero, ei tantam dabat operam, et ei tam diligenter attendebat, ut ei esset

A Α'. Μετὰ διακοσιοστὸν καὶ πεντηκοστὸν ἔτος τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πρὸς οὐρανοὺς ἀναλήψεως, ἐν ἔτει δωδεκάτῳ τῆς βασιλείας Οὐαλεριανοῦ, ἐπὶ τῆς ὑπατίας αὐτοῦ τε Οὐαλεριανοῦ καὶ Λουκιανοῦ, ὁ μέγας ὄντως καὶ θαυμαστὸς Κλήμης ἐν Ἀγκύρᾳ τῆς Γαλατῶν ἐπαρχίας, καθάπερ εὐγενές τι βλῆμα πολλοῖς πάντοθεν ἐκόμα τοῖς τοῦ ἀγαθοῦ Πνεύματος βότρυσιν. Αὕτη γὰρ αὐτὸν ἐνεγκοῦσα, καὶ πολλαῖς πόλεσι καὶ ἄλλαις καλὸν ὑπόδειγμα πέμψασα μαρτυρίας, καλοὺς ὕστερον αὐτοῦ καὶ τῆς τελειώσεως ἐτρύγησε τοὺς καρπούς.

Β'. Τὸ δὲ γένος ἐπίσημος ἦν, ἐξ εὐγενοῦς ἄνωθεν καταγόμενος αἵματος· πατέρες γὰρ αὐτῷ, ἡ μὲν ἐκ πατέρων ἄμφω περιφανῶν καὶ πιστῶν, ὁ δὲ σφόδρα περὶ τὸ σέβας τῇ πιστῇ Σοφίᾳ διαφερόμενος (τοῦτο B γὰρ ἦν ὄνομα τῇ συζύγῳ), καὶ τῇ Ἑλληνικῇ μωρίᾳ προσκείμενος. Κοινωνὸν γὰρ αὐτὴν βίου καὶ σύνοικον ἔχων, πολλὰ καὶ λέγων ἀεὶ καὶ ποιῶν, ἔσπευδε κοινωνὸν αὐτὴν ποιῆσαι καὶ τῆς θρησκείας. Ἡ δὲ ἄρα καὶ τὸν ἄνδρα ψυχῆς ὑπερβάλλουσα γενναιότητι, τοῦτο μᾶλλον εἶχε διὰ σπουδῆς εἴπερ οἷόν τε καὶ αὐτὸν ἐπαγαγέσθαι πρὸς τὴν εὐσέβειαν. Ἀλλ' ἐκεῖνος μὲν ὑπὸ βαθεῖ τῷ τῆς ἀπάτης σκότῳ καθεύδων, ἐθελοκακῶν ἦν, καὶ ἀπηνήνατο πρὸς τὸ μέγα φῶς ἀναβλέψαι τῆς ἀληθείας. Διὸ καὶ οὕτως ἀθλίως θνήσκει τὸν διπλοῦν, οἴ μοι! σαρκός τε καὶ ψυχῆς θάνατον. Μόνον δὲ τῇ γυναικὶ παῖς, ὁ θαυμαστὸς οὗτος Κλήμης, ἐξ αὐτοῦ καταλείπεται, παῖς ἔτι κομιδῇ νήπιος ὤν, μητρικαῖς τε χειρῶν ἀγκάλαις, καὶ μαζῷ τρεφόμενος.

C Γ'. Ἡ γοῦν μήτηρ ἔρημος οὕτως ἀνδρὸς γενομένη, καὶ τὰς ἐλπίδας ἐπὶ τῷ παιδὶ μόνῳ σαλεύουσα, οὕτω δή τι καὶ προσέκειτο φιλοπόνως, ὥστε πάντα εἶναι

(1) Euphrosyne appellatur in prioribus Actis.

αὐτῷ, καὶ πατὴρ καὶ παιδαγωγὸς καὶ μήτηρ. Πρῶτα μὲν γὰρ ἐπιμελῶς ἔτρεφε, καὶ τὰ μητέρων ἐπ' αὐτῷ ἐποίει· ἤδη δὲ καὶ ἡλικίας ἁψάμενον, ἣν οἱ παῖδες μαθημάτων ἔχουσι δεκτικήν, τὸν ὀρθὸν αὐτῷ λόγον τῆς ἀληθείας εὐφρονοῦσα ὑπέτεινε, Κλήμεντα καλῶς ὀνομάσασα, μᾶλλον δὲ προφητικῶς καὶ τοῦ τέλους ἀξίως· ᾔδει γὰρ αὐτὸν οἱονεί τι κλῆμα Χριστοῦ τῆς ἀληθινῆς ἀμπέλου ἐσόμενον, καὶ πολλὰς αὐτῷ μέλλοντα καρποφορῆσαι ψυχάς, εἰ καὶ πολλοὶ βασιλεῖς, καθάπερ τινὲς οὐκ ἀγαθοὶ γεωργοί, πολλαῖς αὐτὸν καὶ πολλάκις ταῖς τιμωρίαις κατέκειραν, ὡς ἑξῆς προϊὼν ὁ λόγος δηλώσει.

Δ'. Ἐν τούτοις ὄντος τοῦ Κλήμεντος, καὶ οὕτως ὑπὸ μητρὶ φιλοστόργῳ τρεφομένου καλῶς καὶ ἀναγομένου, ἐγγίζουσαν ἐκείνη προαισθομένη τὴν τελευτήν, τὸν παῖδα προσηνῶς καὶ γνησίως περιβαλοῦσα, οὔπω δωδέκατον ἀνύσαντα ἔτος, οὐ μᾶλλον διάδοχον τοῦ ἐκείνου πλούτου, ὅσον δὴ κληρονόμον αὐτὸν τῶν ἐν οὐρανοῖς θησαυρῶν ἔσπευδε ποιεῖν, τοιαῦτα μετὰ γλυκυτάτων ἀσπασμῶν αὐτῷ ἐπισκήπτουσα· Τέκνον ἐμόν, τέκνον φίλτατον, τέκνον πρὶν μὲν ἰδεῖν τὸν σὸν πατέρα ὀρφανίαν ἰδών, Θεὸν δὲ Πατέρα πλουτήσαν καὶ εἰς εὐτυχίαν τῇ ὀρφανίᾳ χρησάμενον· ἐγὼ μέν σε προήγαγον σώματι, Χριστὸς δὲ διὰ Πνεύματος ἀπεγέννησε. Γνῶθι τὸν σου πατέρα, μὴ ψεύσῃ τὸ τοῦ υἱοῦ ὄνομα· Χριστῷ λάτρευε μόνῳ, Χριστῷ πεποιθὼς ἔσο· οὗτος ἀληθῶς ἡ ἀθανασία, οὗτος ἡ σωτηρία, οὗτος ὁ δι' ἡμᾶς ἐξ οὐρανοῦ κατελθὼν καὶ συνανυψώσας ἑαυτῷ καὶ ἡμᾶς, καὶ υἱοὺς αὐτοῦ καὶ θεοὺς ἐργασάμενος. Ὅ γε τοίνυν ὑπὸ τούτῳ Δεσπότῃ ταττόμενος, πάντων περιέσται τῶν χαλεπῶν, οὐ τοὺς εἴδωλα μόνον τιμῶντας τυράννους καὶ βασιλεῖς καταβάλλων, ἀλλὰ καὶ αὐτοὺς τοὺς ὑπ' αὐτῶν τιμωμένους δαίμονας καταισχύνων, καὶ τὸν ἀρχηγὸν αὐτῶν καὶ προστάτην διάβολον.

Ε'. Εἶτα μεταξὺ τῶν λόγων ὑποπλησθεῖσα δακρύων τοὺς ὀφθαλμοὺς καὶ θεωρίας θείας ὑπὸ τῆς χάριτος πληρωθεῖσα, καὶ τὰ μέλλοντα συμβῆναι τῷ Κλήμεντι προφητικώτατα διεξήει, καί, Δέομαί σου, ἔλεγε, φίλτατε παῖ, δέομαί σου μίαν ἀντὶ πάντων δοῦναί μοι χάριν· ἐπεὶ γὰρ καιρὸς ἐφέστηκε χαλεπός, καὶ δεινὸν ὁ τῆς ἀσεβείας πνεῖ διωγμός, μέλλεις δὲ καὶ αὐτός, καθὼς ὁ ἡμέτερος Δεσπότης φησίν, ἐπὶ βασιλεῖς δι' αὐτὸν καὶ ἡγεμόνας ἀχθῆναι, ταύτην, ὦ τέκνον, ἐμοὶ δὸς τὴν τιμήν, ὥστε γενναίως ὑπὲρ αὐτοῦ στῆναι, καὶ ἀσφαλῆ διὰ τέλους τηρῆσαί μοι τὴν ὁμολογίαν· καὶ πέποιθα ἐπὶ τῷ ἐμῷ Χριστῷ, μέλος ἐμὸν πέποιθα, ὅτι καὶ τῇ σῇ κεφαλῇ ταχέως ὁ μαρτυρικὸς ἐπανθήσει στέφανος. Ἑτοίμαζε οὖν σεαυτόν, καὶ πρὸς ἀνδρείαν ἐρέθιζε τὴν ψυχήν, ὅπως μὴ ἀπαράσκευος πρὸς τοὺς ἀγῶνας ληφθῇς. Οὐ γὰρ πρὸς τοὺς τυχόντας, οὐδὲ ὑπὲρ τῶν τυχόντων ἡ πάλη, ἀλλὰ πρὸς μὲν ἀνταγωνιστὰς τὸν πονηρὸν αὐτὸν καὶ τοὺς ὑπασπιστὰς ἐκείνου καὶ ὑπηρέτας· ὑπὲρ αἰωνίου

A omnia, et pater, et pædagogus, et mater. Nam primum quidem eum studiose alebat, et ea faciebat, quæ par est matrem filio. Cum autem jam ad eam pervenisset ætatem, in qua sunt pueri capaces disciplinarum, ei rectam pietatis rationem recte sapiens suggessit, ut quæ eum recte Clementem nominaverit, vel potius prophetice, et uti fini conveniebat. Sciebat enim eum futurum veluti quemdam palmitem (2) veræ Christi vineæ, et ei producturum esse fructum multarum animarum; etiamsi multi reges, veluti quidam non boni agricolæ, eum sæpe multis totonderint suppliciis, ut deinceps procedens declarabit oratio.

IV. Cum ita se haberet Clemens, et a matre benevola tam pulchre aleretur atque educaretur, B propinquum illa sentiens decessum, puerum benigne et amanter complexa, qui duodecimum nondum compleverat, non magis eum suarum facultatum, quam thesauri qui est in cœlis, hæredem conabatur facere, hæc cum suavissimis ei mandans amplexibus : Fili mi, fili charissime, fili, qui prius quam tuum videres patrem, vidisti orbitatem, Dei autem Patris opibus es locupletatus, et orbitate usus es ad felicitatem; ego quidem te produxi corpore, Christus autem regeneravit per Spiritum. Cognosce tuum patrem, vide ne ejus filii denominatio sit tibi falso imposita. Servi soli Christo, in Christum tuam colloca fiduciam. Is vere est immortalitas, is salus, is qui de cœlo descendit propter nos, et nos quo-C que una secum in altum extullit, et filios suos effecit, et deos. Qui ergo huic paret Domino, superabit quæcunque sunt difficilia, non solum, qui simulacra honorant, tyrannos et reges deprimens et dejiciens, sed eos etiam qui ab ipsis honorantur, dæmones pudore afficiens, eorumque ducem et præsidem diabolum.

V. Deinde inter loquendum oculos suffusa lacrymis, et divina contemplatione impleta a gratia, ea etiam quæ erant eventura Clementi, persequitur, vel maxime prophetice ; et, Rogo te, dicebat, fili charissime, rogo te, ut mihi des unam gratiam pro omnibus. Quoniam enim instat tempus difficile, et vehementer spirat impietatis persecutio; es autem ipse quoque, ut noster dicit Dominus, ad reges D propter ipsum præsidesque ducendus, hunc mihi honorem concede, fili, ut pro ipso stes fortis et strenuus, et mihi firmam ac stabilem conserves confessionem : et confido in Christo meo, o membrum meum, confido, quod cito in tuo quoque capite florebit corona martyrii. Para ergo teipsum, et ad magni animi virtutem tuam incita animam, ne te imparatum offendant certamina. Non enim adversus hostes contemnendos, neque de rebus levibus est decertatio. Sed sunt adversarii quidem ipse malignus, illiusque ministri et satellites : agitur

(2) Κλῆμα, palmitem significat, ut ante scriptum.

autem de vita æterna et honore, aut rursus de dedecore, quod nunquam terminatur et supplicio. Aut ergo te bona adhortentur, aut gravia deterreant. Turpe est, o fili, milites quidem pro conservo et mortali rege lubenter mortem oppetere, nos vero non hoc velle similiter subire pro Rege immortali. Quamquam ipsi quidem ab eo nihil accipiunt, quod respondeat meritis tantæ benevolentiæ. Quod enim donum tanti est momenti, quanti vita? aut quisnam post mortem est sensus eorum, quæ donantur? Sed si mortuus fueris pro Christo communi omnium Domino, pro vita quæ est ad tempus, habebis immortalem; pro deliciis et gloria et quæ semper fluunt divitiis, æterna frueris beatitudine. Quid vero? etsi nunc non moriamur, non paulo post omnino moriemur, et omnibus commune reddemus debitum? Et alioqui quæ propter Christum mors suscipitur, ne mors quidem jure existimabitur. Semper enim meliore spe futurorum, ejus sensus adimitur.

VI. Ante omnia autem, o fili, illa sunt consideranda, quemadmodum ipse Effector universæ creatæ naturæ, et nostri generis opifex, propter nos homo factus est: et cum in terram venisset, conversatus est cum hominibus. Cur non dico id, quod est maximum, quod pro nobis quoque ingratis famulis Dominus morte est condemnatus, consputus, colaphis pulsatus et postremo mortuus? Et hæc omnia ipse passus est propter nos et nostram salutem, ut peccati solveretur tyrannis, ut prior tolleretur condemnatio, ut cœli portæ nobis rursus aperirentur. Quomodo ergo non erimus venia indigni, o fili, si ipse quidem pro nobis, qui gravissima perpetravimus, isque cum sit Dominus, talia passus sit; nos autem ne pauca quidem propter illum susstineamus? Hæc, o fili, considera, et nihil te separet a charitate Christi, non minæ præsidum, non tormenta ac supplicia, non metus regum, qui sunt ad tempus, quorum ira cito decidit cum supercilio, et ignis exstinguitur, et ensis rubigine obducitur: sed potius te consolentur bona, quæ sunt parata martyribus, et cœlum ipsum, quod est tibi propositum præmium martyrii.

VII. Hæc quotidie mater ei suggerebat, ut quæ ejus, qui vere est sapientia, Spiritum haberet per se loquentem, cum puer jam esset canus prudentia etiam ante ætatem, et profundiore opus haberet admonitione. In fine autem hæc quoque adjicit: Hæc mihi tuæ matri redde, o fili, pro tui nutritione: hæc sit mihi merces, meorum in te pariendo dolorum, o fili jucundissime, ut ego quoque mater, ex Pauli sententia [1], salva fiam per liberorum procreationem, et in membris filii glorificer. Ecce enim, se o fili, ego quidem jam recedo (senserat enim se morientem, virtute gratiæ) et hæc lux sensibilis mihi mane non illucescet. Tu vero mea in Christo lux et vita, et, te rogo, mea viscera, ne ea

A δὲ ζωῆς καὶ τιμῆς, ἢ αἰσχύνης πάλιν καὶ ἀτελευτήτου κολάσεως ὁ ἀγών. Ἢ τοίνυν τὰ χρήματα προτρεπέτω, ἢ πτοείτω σε τὰ δεινά. Αἰσχρὸν, ὦ παῖ, στρατιώτας μὲν ὑπὲρ ὁμοδούλου καὶ θνητοῦ βασιλέως ἐθέλοντας ἀποθνήσκειν, ἡμᾶς δὲ μὴ τοῦ παραπλησίως ἐθέξειν ὑπὲρ ἀθανάτου Βασιλέως ὑφίστασθαι. Καίτοι αὐτοὶ μὲν οὐδὲν παρ' ἐκείνου τοιαύτης εὐνοίας ἀντιλαμβάνουσιν ἄξιον· τίς γὰρ ζωῆς ἀντίῤῥοπος δωρεάς; ἢ ποία τῶν διδομένων μετὰ θάνατον αἴσθησις; Ἂν δὲ ὑπὲρ τοῦ κοινοῦ Δεσπότου πάντων ἀποθάνῃς Χριστοῦ, ἀντὶ προσκαίρου ζωῆς, ἀθάνατον ἕξεις· ἀντὶ τρυφῆς, καὶ δόξης, καὶ πλούτου ῥέοντος, αἰωνίου κατατρυφήσεις μακαριότητος. Τί δέ; εἰ καὶ μὴ νῦν ἀποθάνωμεν, οὐ μετ' ὀλίγον πάντως ἀποθνούμεθα, καὶ τὴν κοινὴν πᾶσιν ὀφειλὴν ἀποτίσο-
B μεν; Ἄλλως τε δὲ, καὶ ἡ διὰ Χριστὸν τελευτὴ, οὐδὲ θάνατος ἂν εἰκότως νομίζοιτο· τῇ χρηστοτέρᾳ γὰρ ἀεὶ τῶν μελλόντων ἐλπίδι, κλεπτομένην ἔχει τὴν αἴσθησιν.

ς'. Πρὸ δὲ πάντων, ὦ τέκνον, ἐκεῖνα λογίσασθαι χρὴ, ὅπως αὐτὸς ὁ πάσης τῆς κτίσεως Ποιητὴς καὶ τοῦ ἡμετέρου γένους δημιουργὸς, ἄνθρωπος ἐγένετο δι' ἡμᾶς, καὶ ἐπὶ γῆς ἐλθὼν τοῖς ἀνθρώποις συνανεστρέφετο. Τί μὴ λέγω τὸ μεῖζον, ὅτι καὶ ὑπὲρ ἡμῶν τῶν ἀγνωμόνων οἰκετῶν ὁ Δεσπότης θάνατον κατεκρίνετο, καὶ ἐνεπτύετο καὶ ἐῤῥαπίζετο, καὶ τέλος, ἔθνησκε; καὶ ταῦτα πάντα, δι' ἡμᾶς καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν αὐτὸς ἔπασχε, ὅπως λυθῇ τῆς ἁμαρτίας ἡ τυραννὶς, ὅπως ἡ προτέρα καταδίκη
A Κλήμης, οὗ μέγα τὸ ἐπὶ καρτερίᾳ καὶ γεννοιότητι ὄνομα; Ἀλλ' ἔδει πάντως τὸ γενναῖόν σου τοῦτο καὶ μεγαλόψυχον εὐσεβῆ τινα καὶ δικαίαν ἔχειν τὴν πρόφασιν, ἀλλὰ μὴ ἀνοσίαν οὕτω καὶ ἄδικον, καὶ αὐτό γε τοῦτο φανερὸν ψυχῆς τε καὶ σαρκὸς ὄλεθρον. Νῦν γὰρ ὅσῳ μεῖζον τοσούτῳ χεῖρόν ἐστι, καὶ ἡμᾶς ἐπὶ πλέον εἰς ὀργὴν κινεῖ, καὶ τοὺς θεοὺς παροξύνει πρὸς ἄμυναν. Σὺ δὲ ἀλλ' ἐπὶ τἀναντία τὴν γνώμην μεταβαλὼν, τὸ σταθερόν τοῦτο καὶ εὔψυχον ὑπὲρ τῆς τῶν θεῶν ἐπιδείκνυσο εὐσεβείας, ἵν, οὕτω μᾶλλον καὶ ἀξίων ἀπολαύσῃς τῶν ἀμοιβῶν. Ἐκεῖνοι γάρ σε καὶ τῆς ἀνδρείας ταύτης καὶ τῆς γενναιότητος, οἶμαι, κατελεήσαντες διὰ τοῦτό σε καὶ πρὸς τοσαύτας κολάσεις ἀντισχεῖν παρεσκευάσαν, καὶ οὐ πάλαι κακῶς ἀπολέσθαι, οὐδὲ προαναρ-
B πασθῆναι μεθῆκαν, τὴν ἐπίγνωσιν πάντως καὶ τὴν μεταβολὴν ἀναμένοντες. Ταῦτα εἶπε, καὶ ὑπ' ὀφθαλμοὺς αὐτίκα προτίθησι τῷ ἁγίῳ, ἔνθεν μὲν χρυσόν τε καὶ ἄργυρον, καὶ γραμμάτια βασιλικὰ τὴν τῶν πατρικίων τιμὴν δωρούμενα, εἶτα καὶ τὰ τῶν ἄλλων ἀρχῶν τε καὶ ἀξιωμάτων παράσημα, πρὸς τούτοις ἐσθῆτας εὐανθεῖς καὶ πολυτελεῖς, καὶ τἄλλα ὅσα φιλοκάλους ὀφθαλμοὺς ἐκκαλεῖται· ἐκεῖθεν δὲ πάλιν τὰ τῶν κολάσεων ὄργανα, χεῖρας σιδηρᾶ, κραββάτους καὶ αὐτοὺς σιδηροῦς, τροχούς τε καὶ ξυστῆρας, ἐσχάρας, λέβητας, ὀβελίσκους, τήγανα, καὶ ἁλύσεις βαρείας, καὶ ἄλλο πολύ τι πλῆθος ὀργάνων τὸ μὲν σχῆμα διάφορα, τὴν θέαν δὲ φοβερώτατα, τὴν δὲ πεῖραν καὶ αὐτῆς ἄρα τῆς θέας χαλεπωτέραν ἔχοντα. Εἶτα τῷ μάρτυρι πρᾶον ἐμβλέψας, καὶ τῇ χειρὶ τὰ
C χρήματα ὑποδείξας, Τούτοις σε, φησίν, ἀμειβόμεθα εὐσεβῆ τὰ πρὸς τοὺς θεοὺς καὶ ὅσιον περὶ ἡμᾶς γινόμενον.

ΚΖ'. Ἐκείνου δὲ τὴν ὄψιν ἀπ' αὐτῶν στρέψαντος, καὶ οἱονεὶ μυκτηρίσαντος, ἐπιστενάξαντός τε βαθέως τοῖς εἰρημένοις, καὶ, ὡς Ἀπόλοιντο ὑμῖν, εἰπόντος, καὶ αὐτοὶ σὺν αὐτοῖς οἱ θεοί, τότε δριμύ τι λίαν καὶ αὐστηρὸν τὸν γενναῖον Κλήμεντα ὑπιδὼν, καὶ ἅμα πρὸς τὰ τῶν κολάσεων εἴδη τὴν ὄψιν ἐπιβαλὼν, Ὁρᾷς, ἔφη, τῶν μὴ πειθομένων ταῦτα καὶ ἀσεβούντων. Καὶ ὁ μάρτυς· Εἰ αἱ παρ' ὑμῶν, ἔφη, ποιναὶ οὕτω καθάπερ οἴει φοβεραί, καὶ τὴν πεῖραν ἀνύποιστοι, ὥσπερ αἱ δωρεαὶ πάλιν φιλότιμοι, καὶ λαμπραὶ, καὶ μακαρισμοῦ παντὸς ἄξιαι, τίνα γε ἄρα τὰ τοῦ ἐπουρανίου νομίζεις εἶναι καὶ μόνου Θεοῦ; ποίας μὲν ἀθανάτους τιμωρίας καὶ ὀδύνας
D ἀπαραιτήτους; ποίους δὲ ποταμοὺς πυρὸς οὐδὲ τὴν ὄψιν φορητοὺς μόνην; Τίνα δὲ πάλιν τὰ τοὺς ἠγαπηκότας αὐτὸν ἐκδεξόμενα ἀγαθά; Γέγραπται γὰρ τοιαῦτα, οἷα μήτε τῷ ληπτὰ εἶναι, μήτε ὀφθαλμῷ θεατὰ, ἢ τὴν ἡδονὴν ὅλως εἰκασθῆναι δυνάμενα. Τὰ μὲν γὰρ παρόντα, ὁ ἄργυρος οὗτος καὶ ὁ χρυσὸς χοῦς μόνον ἐστὶ καὶ πηλὸς ἢ εὐτελὴς ὕλη καὶ ἄκαρπος, ἢ ἀτίμως κἂν ἀπὸ τικτομένη, ἀτιμότερον δὲ εἰς εἶδος τὸ δοκοῦν διὰ σιδήρου καὶ πυρὸς μεταφερομένη, λῃσταῖς ὑποκειμένη καὶ κλέπταις· εἰ δὲ μὴ τούτοις, ἀλλὰ μειώσει καὶ ἰῷ δαπανωμένη καὶ καταῤῥέουσα.

Ἐσθήματα δὲ περιπόρφυρα καὶ λαμπρά, σκωλήκων εἰσὶ νήματα καὶ βαρβάρων ἀνθρώπων εὑρέματα· ὥστε εἰ τούτοις τιμώμεθα, σκώληκος ἄρα καθ' ὑμᾶς ὁ ἄνθρωπος ἀτιμότερος· εἰ δέ τι χρὴ καὶ διὰ ταῦτα τοὺς ἀνθρώπους θαυμάζειν, πολὺ μᾶλλον ἐθαύμασα ἂν τοὺς τὰ τοιαῦτα δημιουργεῖν εἰδότας, ἢ τοὺς εἰκῇ καὶ μάτην ἐπὶ τῇ περιβολῇ τούτων σεμνυνομένους. Οἱ μὲν γὰρ τέχνης δεινότητι, μεταρυθμίζουσι τὴν φύσιν ἐπὶ τὸ βέλτιον, καὶ τὴν αἴσθησιν ἀπατῶσι, καὶ προτιθέασι φιλοκόσμοις ὀφθαλμοῖς ἡδὺ δέλεαρ· οἱ δὲ σεμνύνονται περιβαλλόμενοι κουφότητα διανοίας ἑαυτῶν καταμαρτυροῦντες, καὶ δέον αὐτοὺς αἰσχύνεσθαι τῆς ἀπάτης· οἱ δὲ καὶ φυσῶνται μᾶλλον, καὶ τὰς ὀφρῦς αἴρουσιν ἑτέρων ἔργοις τιμώμενοι, εἴ γε καὶ τιμὴν ὅλως χρὴ τὰ τοιαῦτα καλεῖν. Ἀλλὰ τὰ μὲν παρ' ὑμῶν τοιαῦτα καὶ οὕτως ἔχοντα, τὰ δὲ παρὰ τοῦ ἀγαθοῦ Θεοῦ ἡμῶν ἀγαθὰ τοὐναντίον ἅπαν. Ἀθάνατον γὰρ ἔχει τὴν ἡδονήν, διηνεκῆ δὲ τὴν λαμπρότητα· οὐδὲ γὰρ δέδοικε τὴν ἐκ τοῦ χρόνου μεταβολήν, οὐχ ὑποπτεύει τροπήν, οὐκ ἐπίσταται γῆρας, ἀλλὰ ἀκμάζει διηνεκῶς ἐπὶ τῆς ἴσης μένοντα εὐπρεπείας, καὶ πεπηγότα ὄντα διαπαντὸς καὶ ἀκίνητα.

A nutioni saltem et rubigni, ut quæ consumatur atque defluat. Vestes autem purpureæ et splendidæ, fila sunt vermium, et inventa barbarorum hominum. Quamobrem si ea nos reddunt honoratos, vestra quidem sententia homo est verme vilior. Quod si oportet etiam homines propter hæc habere in admiratione, multo magis admirarer eos, qui hic fabricantur, quam eos, qui propter ex his confecta indumenta gloriantur, et se magnifice circumspiciunt. Nam illi quidem artis solertia transformant naturam ad id quod est melius, et sensum decipiunt, et ornatum amantibus oculis suaves escas proponunt; hi autem induti sibi placent, et se magnifice circumspiciunt, de sui animi levitate ferentes testimonium : et cum oporteret eos pudere sui erro- B ris, illi potius intumescunt, et tollunt supercilia, honorati aliorum operibus, si modo ea omnino honorem vocare oporteat. Sed vestra quidem sunt talia, et eo modo se habent. Quæ autem a bono Deo nostro, sunt bona, contra se habent. Voluptatem enim habent immortalem, splendorem vero perpetuum. Neque enim timent eam, quæ est ex tempore, mutationem. Non suspectam habent conversionem, senium ignorant, sed semper florent, in æquali decore permanentia, stabiliaque perpetuo et immobilia.

ΚΗ'. Πρὸς ταῦτα Διοκλητιανός, Δοκεῖς μοι, φησίν, καλῶς μέν, ὦ Κλήμη, λέγειν, φρονεῖν δὲ καὶ λίαν κακῶς· γλώττῃ μὲν γὰρ προτιμᾷς τὴν ἀθανασίαν, ἐπὶ θνητῷ δὲ ἀεὶ τὰς ἐλπίδας ἔχεις· τὸν ὑμέτερον λέγω Χριστόν, ὃν μυρία φασὶν ὑπὸ Ἰουδαίων πεπονθέναι δεινά, καὶ τέλος τὸν διὰ σταυροῦ θάνατον ὑποστῆναι. Οἱ δὲ καθ' ἡμᾶς θεοί, ἀεί τε ἀθάνατοι εἰσι, καὶ ἀλγεινὸν οὐδὲν οὐδὲ δυσχερὲς ὑπομένουσι. Καὶ ὁ μάρτυς ὑπολαβών, Περὶ τῆς ἀθανασίας αὐτῶν, φησί, καὶ ἀναλγησίας μικρὸν καὶ ἀληθῆ λέγεις, ὦ βασιλεῦ. Πῶς γὰρ δὴ καὶ ἀποθνοῦνται οἱ μηδὲ τὴν ἀρχὴν ὅλως ζήσαντες; ἢ πῶς ἂν ἀλγήσειάν οἱ καὶ αὐτῆς αἰσθήσεως ἀτεχνῶς ἔρημοι; πλὴν εἰ καὶ τῶν ἀλγεινῶν μὴ αἰσθάνονται, ἀλλὰ μυρίαις γοῦν ὑπόκεινται πληγαῖς τε καὶ ὕβρεσιν. Ὅσοι μὲν γὰρ ἐκ λίθων γεγόνασι, καὶ πληγὰς ὑπὸ χειρὸς διαγλυφούσης ἐδέξαντο, σιδήρῳ τε διεξέσθησαν, καὶ οὕτω μετὰ πολλῆς ὅσης τῆς ματαιοπονίας εἴδωλα μορφῆς ἀνθρωπίνης καὶ ἀνδριάντες γεγόνασιν· οἷς δὲ χρυσὸς ἡ ὕλη πάλιν, εἴτε χαλκός, εἴτε ἄργυρος, καὶ οὗτοι δὴ λαβροτάτῳ πυρὶ χωνευθέντες, τὰ παραπλήσια καὶ αὐτοὶ τοῖς ἄλλοις ἀναισθήτως ὑπέστησαν, τοσούτου δέοντες βοηθεῖν ἑτέροις, ὅσῳ καὶ ἑαυτοῖς τοῦ μὴ τοιαῦτα πάσχειν, τὸ παράπαν εἰσὶν ἀδύνατοι. Θνήσκουσι μὲν οὖν οὐδαμῶς, ἐπεὶ μηδὲ τὴν ἀρχήν, ὡς ἔφθην εἰπών, ὅλως ἔζησαν· διαῤῥέουσι δὲ καὶ συντρίβονται, καθάπερ χρόνῳ τὸ εἶναι οὕτω δὴ καὶ τὸ μὴ εἶναι λαμβάνοντες. Οὔκουν τοιαῦτα καὶ τὰ ἡμέτερα· ἀλλ' αὐτὸς ὁ ἀληθὴς Δεσπότης καὶ Δημιουργὸς ἁπάντων ὁ ἐμὸς Θεὸς ἄχρονός τε ὢν καὶ ἀθάνατος, καὶ ἄνθρωπος ὕστερον γίνεται δι' ἐμέ, ἵν' ἐγὼ γένωμαι δι' ἐκείνου Θεός, καὶ σταυροῦται θέλων καὶ θάπτεται, καὶ τριήμερος ἀνίσταται, καὶ εἰς οὐρανοὺς ἄνεισι πάλιν ὅθεν δὴ κατῆλθε, συναναστήσας ἑαυτῷ

XXVIII. Ad hæc Diocletianus : Mihi videris, inquit, pulchre quidem loqui, o Clemens, sed male admodum sentire Nam lingua quidem præfers immortalitatem, in mortali autem semper spem tuam C collocas : vestrum inquam Christum, quem dicunt a Judæis mala passum esse innumerabilia, et tandem mortem in cruce sustinuisse. Nostri vero dii et semper immortales sunt, et nihil grave nec molestum sustinent. Respondens autem martyr : De ipsorum, inquit, immortalitate et doloris vacuitate propemodum vera dicis, o imperator. Quomodo enim morientur, qui ne omnino quidem vixerunt? aut quomodo dolorem senserint, qui ipso quoque sensu plane carent? Sed etsi dolorem non sentiunt, sunt tamen subjecti innumerabilibus plagis et contumeliis. Nam qui facti quidem sunt ex lapidibus, et a manu, quæ sculpit, plagas acceperunt, et ferro sunt lævigati ac politi, et sic cum magno, sed inani, labore, formæ humanæ simulacra et statuæ facti sunt. Quibus autem rursus aurum est mate- D ria, sive æs, sive argentum, ii quoque fusi igne vehementissimo, similiter atque alii consistunt omnino sensus expertes : qui tantum abest, ut opem ferant aliis, ut ne ipsi quidem possint facere, quominus hæc omnino patiantur. Nequaquam ergo moriuntur, quoniam nec omnino quidem, ut prius dixi, vixerunt: diffluunt autem et conteruntur, quomodo quod sint, a tempore, ita etiam, quod non sint, accipientes. Non ergo nostra quoque sunt hujusmodi, sed ipse verus Dominus opifex omnium, Deus meus, qui est et expers temporis, et immortalis, propter me quoque fit homo postea, ut ego fiam per illum Deus; volensque cruci affigitur et sepelitur, et tertio die resurgit, et rursus in cœlum

ascendit, unde descenderat, cum nos una quoque fecisset resurgere, et ad priorem reduxisset principatum, a quo male excidimus propter inobedientiam.

A καὶ ἡμᾶς, καὶ εἰς τὴν προτέραν ἀρχὴν ἐπαναγαγὼν, ἣν διὰ τὴν παρακοὴν κακῶς ἐκπεπτώκαμεν.

CAPUT VI.

Varii tolerati Romæ cruciatus. Multi conversi et martyrio coronati.

XXIX. Proptær hæc imperator ad iram concitatur; et verbis victus convertitur ad supplicia, nesciens stultus, se per illa magis esse vincendum: siquidem apertum est indicium, victum esse eum, qui punit, quod is, qui punitur, nihil omnino cedat suppliciis. Jubet ergo rotæ alligari martyrem, et rotam quidem verti magno impetu, martyrem autem virgis verberari crudelissimis. Statimque martyr fuerat alligatus, rota vero vertebatur celeriter. Martyr autem, quando erat quidem in rota sublimi, tradebatur iis qui verberabant; quando vero rota eum sub se ferebat, corpus ejus acerbe conscindebatur, et ossa conterebantur. Cumque sic laceraretur, Domine mi Jesu Christe, dicebat, veni ad opem mihi ferendam, et leva me hoc pondere supplicii: quoniam circumdederunt me dolores mortis, pericula inferni invenerunt me. Respice ad me, et miserere mei, et ex necessitatibus meis erue me. Adsis mihi, ut aliquando etiam paralytico (3), ad gloriam tuam, ad confessionem tui nominis, ad dedecus et ignominiam inimicorum, ad majorum propter te perpessionem tolerantiam.

ΚΘ΄. Ἐπὶ τούτοις ὀργὴ λαμβάνει τὸν βασιλέα καὶ πρὸς τοὺς λόγους ἡττώμενος, ἐπὶ τὰς τιμωρίας ἐχώρει, οὐκ εἰδὼς ἀνόητος, ὅτι πολὺ μᾶλλον δι' ἐκείνων ἔμελλεν ἡττηθήσεσθαι, εἴπερ ἧττα σαφὴς τοῦ κολάζοντος τὸ τὸν κολαζόμενον μηδὲν ὅλως ἐνδοῦναι B τῆς τιμωρίας. Κελεύει γοῦν τροχῷ τὸν μάρτυρα προσδεθῆναι, καὶ τὸν μὲν τροχὸν μετὰ πολλῆς στρέφεσθαι τῆς ὁρμῆς, τὸν μάρτυρα δὲ ῥάβδοις ὠμοτάτως τύπτεσθαι. Καὶ αὐτίκα ὁ μὲν ἀθλητὴς ἐδέδετο· ὁ δὲ τροχὸς ὀξέως ἐφέρετο. Ὁ δὲ μάρτυς ὅτε μὲν ἐπὶ μετεώρου τοῦ τροχοῦ ἦν τοῖς τύπτουσιν ἐξεδίδοτο, ἡνίκα δὲ πάλιν αὐτὸν ὑφ' ἑαυτὸν ἐλάμβανεν ὁ τροχὸς κατετέμνετο πικρῶς τὸ σῶμα, καὶ τὰ ὀστᾶ συνετρίβετο. Καὶ οὕτως ἐπὶ πολλαῖς ταῖς ὥραις κοπτόμενος, Κύριε Ἰησοῦ Χριστὲ, ἔλεγεν, ἐλθὲ εἰς τὸ βοηθῆσαί μοι, καὶ τὸ βαρὺ τοῦτο τῆς κολάσεως ἐπικούφισον, ὅτι περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὕροσάν με. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, καὶ ἐκ τῶν ἀναγκῶν μου ἐξάγαγέ με· παράστηθι ὡς τῷ παραλυτικῷ ποτε, καὶ ἐμοὶ εἰς C δόξαν σὴν, εἰς ὁμολογίαν τοῦ σοῦ ὀνόματος, εἰς αἰσχύνην καὶ ἐντροπὴν τῶν ἐχθρῶν, εἰς πλειόνων ὑπὲρ σοῦ παθημάτων ὑπομονήν.

XXX. Hæc cum dixisset sanctus, statim et rota a motu, et qui verberabant, cessaverunt a plagis afferendis: et martyr quidem simul ab omnibus, et a rota, et a vinculis illis sua sponte solutus fuerat, et restitutus in priorem sanitatem: lictores autem subiit membrorum dissolutio. Et multi ex Romanis, qui ad tale spectaculum concurrerant, sanis evaserunt animis, et, Magnus est Deus Christianorum, magna voce exclamaverunt. Magnus vero Clemens, qui erat vere Christi palmes, cum veluti pulchros quosdam fructus sua membra Deo obtulisset: Ago tibi gratias, dicebat, o Deus, quod volueris me in hac maxima et frequentissima civitate pati pro Filio tuo unigenito, qui ipse quoque passus fuit pro nobis, et pretium nostræ captivitatis et servitutis suum effudit sanguinem. Deinde subjunxit etiam seriem sanctorum, qui Romæ erant: Quem Petrus, inquit, docuit colere, et Paulus prædicavit, et qui erat ejusdem, cujus ego, nominis Clemens ille sapiens, adorandum esse decrevit; et divinus deinceps Onesimus est confessus. Propter quem ipsi quoque passi, libere loquendi potestate apud eos valent plurimum, et adorantur a fidelibus, haud ita multo post autem adorabuntur etiam a

Λ΄. Ταῦτα τοῦ ἁγίου εἰπόντος, εὐθέως ὅ τε τροχὸς τῆς φορᾶς, καὶ οἱ τύπτοντες τῶν πληγῶν ἔστησαν. Καὶ ὁ μάρτυς μὲν πάντων ὁμοῦ καὶ τοῦ τροχοῦ, καὶ τῶν δεσμῶν ἐκείνων αὐτομάτως ἐλέλυτο, καὶ εἰς τὴν προτέραν ὑγείαν ἀποκαθίστατο· τοὺς δημίους δὲ πάρεσις εἰσῄει μελῶν, καὶ πολλοὶ τῶν ἐπὶ τοιαύτῃ συνδραμόντων θέᾳ Ῥωμαίων τὰς ψυχὰς ὑγιάσθησαν, καὶ, Μέγας ὁ Θεὸς τῶν Χριστιανῶν, μεγάλῃ ὡς εἶχον ἐβόησαν τῇ φωνῇ. Ὁ μέντοι γενναῖος Κλήμης, τὸ εὐγενὲς ὡς ἀληθῶς τοῦ Χριστοῦ κλῆμα, καθάπερ τινὰς ὡραίους καρποὺς τὰ ἑαυτοῦ μέλη καρποφορήσας Θεῷ· Εὐχαριστῶ σοι, ἔλεγεν, ὁ Θεὸς, ὅτι κατ- D ηξίωσάς με κἂν τῇ μεγίστῃ ταύτῃ καὶ πολυανθρωποτάτῃ τῶν πόλεων ὑπὲρ τοῦ μονογενοῦς Υἱοῦ σου παθεῖν, τοῦ καὶ αὐτοῦ παθόντος ὑπὲρ ἡμῶν, καὶ λύτρον τῆς ἡμετέρας αἰχμαλωσίας καὶ τῆς δουλώσεως, τὸ οἰκεῖον αἷμα ἐκχέαντος. Εἶτα καὶ τὸν ὁρμαθὸν τῶν ἐν τῇ Ῥώμῃ ἁγίων ἐπῆγεν· Ὃν Πέτρος, φησίν, ἐδίδαξε σέβειν, καὶ Παῦλος ἐκήρυξε καὶ ὁ συνώνυμος ἐμοὶ Κλήμης ὁ σοφὸς ἐδογμάτισε, καὶ Ὀνήσιμος ὁ θεῖος ἑξῆς ὡμολόγησεν· δι' ὃν καὶ αὐτοὶ παθόντες πολλήν τε πρὸς αὐτὸν ἔχουσι τὴν παῤῥησίαν, καὶ ὑπὸ πάντων πιστῶν προσκυνοῦνται, μετ' οὐ πολὺ δὲ καὶ ὑπὸ εὐσεβῶν βασιλέων προσκυνηθή-

(3) Acta priora, *Paulo*.

σονται. Τοῦτο δὲ εἶπε προανακφωνῶν τὴν τῆς ἀσεβείας καθαίρεσιν.

ΛΑ'. Ταῦτα μείζονα Διοκλητιανῷ τοῦ θυμοῦ τὴν φλόγα ἐποίει, καὶ στύλοις ἐκέλευε σιδηροῖς τὸ μαρτυρικὸν ἐκεῖνο στόμα συνθλάττεσθαι· ὅθεν οἱ μὲν ὀδόντες εὐθὺς ἐξεκρούοντο, αἱ σιαγόνες δὲ συνετρίβοντο. Ἡ δὲ φωνὴ οὐκ ἐπείχετο, οὐδέ τις καὶ μικρὰ ὕφεσις τῆς μακρᾶς ἐκείνης παῤῥησίας ἐγίνετο· ἀλλὰ καὶ τῶν δημίων τῶν σιωπὴν αὐτῷ ἐγκελευομένων, αὐτὸς ὁ αὐτὸς ἦν, καὶ οὐδὲ μικρὸν ὑφίει, τοὐναντίον μὲν οὖν καὶ μείζονι ἐκέχρητο τῇ φωνῇ, καθάπερ τις χαλκοῦς ἀνδριὰς τῇ σφοδροτέρᾳ πληγῇ μείζονα μᾶλλον τὸν ἦχον ἀποτελῶν. Ἐφ' οἷς καὶ αὐτὸς ἀπαγορεύσας ὁ βασιλεὺς, δεσμὰ καὶ τὴν ἀπὸ τῶν δεσμῶν ταλαιπωρίαν ὅλῳ τῷ μάρτυρι περιθεὶς, τῇ φυλακῇ παραδίδωσι.

ΛΒ'. Τὸ μέντοι τῶν πιστευσάντων πλῆθος τῷ κατὰ τὸν τροχὸν θαύματι, ἄνδρες τε καὶ ὅσον ἔμφρον ἐν γυναιξὶν ἦν, τὴν γῆν ἤδη τοῦ ἡλίου ἀπολιπόντος ἀλλήλοις συνθέμενοι, τὸ δεσμωτήριον μετὰ τῶν παίδων εἰσῄεσαν· εἶτα τῶν ἐκείνου ποδῶν ἁπτόμενοι ἐδέοντο μάλα θερμῶς ὥστε τοῦ θείου καταξιωθῆναι βαπτίσματος. Πρὸς οὖν δέησιν οὕτω θερμὴν θερμότατα καὶ αὐτὸς ἐπινεύσας, εὐθὺς ἐπετίθει τὸ ἔργον. Κατὰ γοῦν τὴν φυλακὴν ἀφθονίας ὑδάτων οὔσης, τὰς καθηκούσας τε αὐτὸς εὐχὰς ἐπιλέγει, καὶ σὺν αὐτοῖς παισὶ πάντας τοῦ ἱεροῦ βαπτίσματος ἀξιοῖ. Μέσων δὲ νυκτῶν καὶ θεία τις αὐτοῖς ἐφίσταται ὄψις, φῶς οἷον ἄῤῥητον καὶ ἀθέατον ὅλον ὁμοῦ τὸ δεσμωτήριον καταστράπτον. Ἐν μέσῳ δὲ τῷ φωτὶ καὶ ἀνὴρ τὴν ὄψιν ἄγαν φαιδρὸς, τὴν ἐσθῆτα λαμπρὸς, φῶς καὶ αὐτὸς ὅλος ὢν, πτέρυξι βαθυτάταις κομῶν· οὗτος τῷ θαυμασίῳ Κλήμεντι προσελθὼν, ἄρτον αὐτῷ καὶ ποτήριον ἐγχειρίζει. Ἔπειτα ὁ μὲν ἀφανὴς ἦν, τοὺς δὲ καὶ ἡ φωνὴ αὐτὴ ἐπιλείπει τῷ παραδόξῳ τῆς θέας καταπλαγέντας. Ὅ γε μὲν ἱερώτατος Κλήμης συμβαλὼν εὐθὺς ὡς εἴη ἄρα σύμβολα ταῦτα τοῦ Δεσποτικοῦ σώματός τε καὶ αἵματος, ὑπεδέξατό τε λίαν αὐτὰ εὐλαβῶς, καὶ τὰς συνήθεις εὐχὰς ἐπειπὼν κοινωνεῖ αὐτῶν τοῖς ἤδη βαπτισαμένοις.

ΛΓ'. Πλειόνων τοίνυν ἑκάστοτε πρὸς αὐτὸν ἰόντων, καὶ τὸ δεσμωτήριον ἐκκλησίαν ἐργαζομένων, προσθήκη τε τῷ πλήθει τῶν Χριστιανῶν γινομένων, οἱ δεσμοφύλακες ἀπαγγέλλουσι ταῦτα τῷ βασιλεῖ. Καὶ ὃς συλληφθῆναί τε αὐτοὺς κελεύει νυκτὸς, καὶ εἰ μὴ τὴν εὐσέβειαν ἔξαρνοι γίνονται, ἀνηλεῶς πάντας ἀναιρεθῆναι. Οἱ δὲ ὡς τοῦ βασιλέως πρόσταγμα συλληφθέντες οὐκ ἀμαθεῖς εὑρέθησαν τοῦ τὸ καλὸν ἐκλέξασθαι καὶ συμφέρον, ἀλλὰ ἀποστῆναι μᾶλλον τῆς προσκαίρου ζωῆς, ἢ Χριστοῦ τοῦ πλάσαντός τε καὶ ἀγαπήσαντος καὶ ἀποθανόντος ὑπὲρ ἡμῶν εἵλοντο. Διὸ καὶ πρὸ τῆς πόλεως, καθάπερ τινὰ ἱερὰ θύματα ἑαυτούς τε καὶ παῖδας τῷ Δεσπότῃ προσάγουσιν, οὐδενὸς τότε γοῦν ὑπολειφθῆναι ἀνασχομένου, πλὴν

A fidelibus imperatoribus. Hoc autem dixit, prædicens mox delendam impietatem.

XXXI. Hæc Diocletiani animum acrius inflammaverunt: jussit autem stylis ferreis illud præclarum martyris os confundi ac confringi. Quo factum est, ut dentes quidem mox labefactarentur, maxillæ vero contererentur. Vox tamen non reprimebatur, neque illi prolixæ loquendi libertati vel minima dabatur remissio: sed etiam lictoribus ut sileret jubentibus, ipse idem erat, et ne parum quidem remittebat: sed contra etiam voce utebatur majore, non secus ac statua quædam ænea, quæ icta vehementius, majorem edit sonitum. Quamobrem cum ipse quoque imperator esset defatigatus, vinculis et quæ ex eis oritur afflictione et miseria toti mar- B tyri imposita, tradit eum in custodiam.

XXXII. Multitudo autem eorum, qui rotæ miraculo crediderant, viri, et quæcunque erant prudentia præditæ mulieres, inita inter se conventione, carcerem cum pueris ingressi sunt. Deinde tangentes illius pedes, valde acriter rogarunt, ut divinum baptismum consequerentur. Cum itaque precibus tam vehementibus ipse quoque alacerrime annuisset, rem statim est aggressus. Dum itaque in carcere esset aquæ copia, et ipse quas oportet preces profert, et cum ipsis pueris omnes sacro dignatur baptismate. Media autem nocte eis divina quædam apparet visio, nempe lux quædam, quæ neque verbis exprimi potest, et quam humanus uon admittit aspectus, totum simul tanquam fulgur illustrat carce- C rem. In media vero luce erat vir quidam aspectu valde alacer, splendida autem veste indutus, qui ipse quoque erat lux totus quantus, pennis insignis densissimis. Is cum ad Clementem accessisset admirabilem, ei in manus tradit panem et calicem. Deinde ille quidem ovanuit, eos autem ipsa quoque vox deficit, ut qui spectaculo admirabili essent obstupefacti. Sanctissimus autem Clemens cum statim conjecisset ea esse signa Dominici corporis et sanguinis, ea et valde pie suscepit, et cum preces dixisset consuetas, ea communicat iis, qui jam erant baptizati.

XXXIII. Cum ergo complures ad eum undique accederent, et carcerem facerent ecclesiam, et multitudini Christianorum fieret accessio, custodes car- D ceris hæc renuntiant imperatori. Ille autem et eos jubet noctu comprehendi, et nisi pietatem abnegaverint, omnes citra ullam interimi misericordiam. Illi vero comprehensi jussu imperatoris, inventi sunt non ignari ejus, quod erat bonum et utile, eligendi; sed ab hac, quæ est ad tempus, vita maluerunt recedere, quam a Christo deficere, qui nos formavit, et dilexit, et mortuus est pro nobis. Quamobrem ante civitatem, tanquam sacras quasdam hostias, seipsos et filios offerunt Domino, cum nullus tunc remanere sustinuisset præter unum;

cujus quidem erat animus aliquanto juvenilior : non enim remanserat ut certamen effugeret, sed ut cum majoribus potius malis colluctaretur, eaque ei essent coronarum majorum occasio. Is erat admirabilis Agathangelus, de quo etiam deinceps dicetur apertius.

XXXIV. Diocletianus autem cum paulo post esset magni Clementis recordatus, eum rursus producit, et primum quidem, tanquam abductus pœnitentia, priorem illam abjecisset insaniam, ipsum et laudibus sensim aggrediebatur, et ea ratione conabatur potius superare generosum illum et excelsum animum. Deinde cum vidisset rem sibi esse cum homine cordato, et qui non magis posset animi fortitudine malorum ferre impetus, quam prudentia blandis verbis et disertis non succumbere; abjecta statim persona et ficta illa mansuetudine, repente apparuit id quod erat : et rursus aliquod nouum excogitavit supplicium, quodam Amphione, qui inter suos primum locum obtinebat, ad hoc maxime incitante. Erat autem hoc supplicium, ut sic a tanta multitudine distenderetur martyr, ut ipsæ quoque membrorum dissolverentur compages, lictores autem quatuor circumsistentes, exsiccatis boum nervis cum diu crudeliter verberarent.

XXXV. Postquam vero ille quoque fortiter huic restitit supplicio, et perinde ac si alius pateretur, ipse impatibilis mansit et immobilis : Scio, inquit Diocletianus, o Clemens, te esse animo valde contentioso, corpus autem illi posse inservire. Sed ipse ne sic quidem rursus cedam, sed etiam ferreis te aggrediar ungulis : es enim tu forte ferreus et torpidus, et nullo fere sensu præditus; ut videam an te forte his excitaverim, quem somnus tam profundus invasit. Martyr autem : Recte quidem, ait, dixisti, o imperator. Dormio enim veluti quemdam dulcem somnum, me meo Christo ad labores pro eo suscipiendos futurorum spe sopiente: rursus vero efficiente, ut sim sobrius et vigilans, quando eum prædicare oportet, et libere loqui pro ejus confessione. Hæc ille dixit : et imperator quidem statim jubet lictores desistere a verberibus; sublimem autem eum in lignum tollere, et eum ferreis carpere ungulis, donec ei carnes omnino consumptæ essent, sanguis autem exinanitus, et sola ossa relinquerentur. Cum itaque rursus lictores ad id magnam adhiberent diligentiam, ut qui etiam ab occulto lictore atque adeo carnifice ad ea incitarentur; martyr quidem primum seipsum attendens, deinde etiam ad tyrannum aspiciens : Non est, inquit, meum corpus id quod adest, quo ego quidem sum indutus, tu autem id nunc, o imperator, laceras. Neque enim omnino dolore afficior, quomodo me oporteret, dum laceror : sed quod mihi quidem datum fuerat a natura paulatim præcedentibus prius consumptum est suppliciis et nec parva quidem ejus pars mihi est relicta : carne autem, quæ nunc ad

A ἄρα ἑνὸς, καὶ τούτου νεανικώτερόν τι μᾶλλον διατεθέντος. Οὐ γὰρ ὥστε τὸν ἀγῶνα διαφυγεῖν ὑπελείφθη, ἀλλ' ὥστε μείζοσι μᾶλλον προσπαλαῖσαι κακοῖς, ἵνα δὴ καὶ μειζόνων λάβοι στεφάνων ὑπόθεσιν· ὁ θαυμάσιος Ἀγαθάγγελος οὗτος ἦν, περὶ οὗ καὶ σαφέστερον ἑξῆς δηλωθήσεται.

ΛΔ'. Διοκλητιανὸς δὲ τοῦ μεγάλου μετὰ μικρὸν ἀναμνησθεὶς Κλήμεντος, παρίστησι πάλιν αὐτὸν, καὶ τὸ μὲν πρῶτον ὥσπερ ἐκ μεταμελείας τὴν προτέραν μανίαν ἀποβαλὼν, ἐπαίνοις τε αὐτὸν ὑπῄει, καὶ ταύτῃ περιέσεσθαι μᾶλλον τῆς ἀνδρείας ἐκείνου καὶ γενναιότητος ἐπειρᾶτο. Ἔπειτα ὡς εἶδε νοῦν ἔχοντι προσβαλὼν, καὶ οἵῳ ὄντι οὐ μᾶλλον ἀνδρείᾳ κακῶν ἐπιφορὰν ἐνεγκεῖν, ἢ φρονήσει πρὸς κολακείαν λόγων καὶ δεινότητι μὴ καταπεσεῖν, τὸ προσωπεῖον εὐθὺς B ἐκεῖνο καὶ τὴν πεπλασμένην πραότητα ῥίψας, ἀθρόον ὅπερ ἦν ἀνεφάνη, καὶ κόλασιν αὖθις τινα καινοτέραν διενοεῖτο, Ἀμφίονος μάλιστά τινος πρώτου τῶν ὑπ' αὐτὸν εἰς τοῦτο διερεθίζοντος. Ἡ δὲ κόλασις ἦν αὕτη· διαταθῆναι μὲν οὕτω, καὶ ὑπὸ τοσούτου πλήθους τὸν μάρτυρα, ὥστε καὶ τῶν μελῶν αὐτῷ τὰς ἁρμονίας διαλυθῆναι, δημίους δὲ περιστάντας ἀπηνῶς αὐτὸν ἄχρι πολλοῦ ξηροῖς βουνεύροις τύπτειν διὰ τεσσάρων.

ΛΕ'. Ἐπεὶ δὲ καὶ πρὸς ταύτην ἐκεῖνος ἔστη γενναίως τὴν τιμωρίαν, καὶ ὥσπερ ἑτέρου πάσχοντος οὕτως ἀπαθῶς αὐτὸς καὶ ἀτρέπτως διέκειτο, Οἶδ' ὅτι, φησὶν ὁ Διοκλητιανὸς, ψυχὴν μὲν ἔχεις, ὦ Κλήμη, C διαφερόντως φιλόνεικον, σῶμα δὲ ὑπηρετεῖν ἐκείνῃ δυνάμενον. Ἀλλ' οὐδὲ αὐτὸς ὑφήσω πάλιν, ἀλλὰ καὶ σιδηροῖς πειράσομαι ὄνυξι· τάχα γὰρ σιδηροῦς τις εἶ καὶ ναρκώδης σὺ καὶ δυσαίσθητος, εἴ πως ἄν σε τούτοις ἀφυπνίσω, βαθὺν ὕπνον οὑτωσὶ καθεύδοντα. Καὶ ὁ μάρτυς, Εὖ γε, φησὶν, εἶπας, ὦ βασιλεῦ· καθεύδω γὰρ οἱονεί τινα γλυκὺν ὕπνον, οὕτω με τοῦ ἐμοῦ Χριστοῦ πρὸς τοὺς ὑπὲρ αὐτοῦ πόνους ταῖς τῶν μελλόντων ἐλπίσι κομίζοντος· νήφειν δὲ πάλιν καὶ ἐγρηγορέναι παρασκευάζοντος, ὅπου τε αὐτὸν κηρύξαι χρὴ, καὶ ὑπὲρ τῆς αὐτοῦ ὁμολογίας παῤῥησιάσασθαι. Ταῦτα οὖν ἐκεῖνος εἶπε, καὶ ὁ βασιλεὺς τῶν μὲν πληγῶν εὐθὺς ἀποστῆναι τοὺς δημίους κελεύει, μετεωρίσαι δὲ αὐτὸν ἐπὶ ξύλου, καὶ οὕτω καταξᾶναι σιδηροῖς ὄνυξιν, ἕως ἂν αἵ τε σάρκες οὕτω καθάπαξ ἀναλωθεῖεν, ἐκκενωθῇ δὲ καὶ τὸ D αἷμα καὶ μόνα γοῦν τὰ ὀστᾶ ὑπολίπηται. Τῶν δημίων τοίνυν πολλὴν εἰσφερόντων καὶ αὖθις τὴν ἐπιμέλειαν, ἅτε καὶ ὑπὸ τοῦ κρυπτοῦ δημίου πρὸς τὰ τοιαῦτα παροξυνόμενοι, ὁ μάρτυς πρῶτα μὲν ἑαυτῷ προσέχων, εἶτα καὶ πρὸς τὸν τύραννον ἀπιδών· Οὐκ ἐμὸν τὸ σῶμα, φησὶ, τὸ παρὸν, ὅπερ ἐγὼ μὲν περίκειμαι, ξαίνεις δὲ νῦν αὐτὸς, ὦ βασιλεῦ· οὐδὲ γὰρ ἀλγῶ πάντως ὅσον ἀλγεῖν με δέον ξαινόμενος· ἀλλ' ὃ μὲν δέδοταί μοι παρὰ τῆς φύσεως ταῖς προλαβούσαις κατὰ βραχὺ προανηλώθη κολάσεσι, καὶ οὐδὲ μέρος ἐξ αὐτοῦ μικρὸν ὑπελείφθη μοι· τὴν δὲ νῦν ὑποτρέχουσαν τοῖς ὀστέοις μου σάρκα καὶ τῶν μελῶν

τὴν ἁρμονίαν συνέχουσαν, ὥσπερ τινὰ περιβολὴν ὁ A ἐμὸς ἐνέδυσέ με Χριστὸς, δι' ὃν καὶ τὴν προτέραν ἀπεδυσάμεν. Ἧς δήπου καὶ νῦν ἀποξεσθείσης, ἐπενδύσει πάλιν ἑτέραν· οὐδὲ γὰρ ἂν ὁ πηλὸς ἐπιλίποι τὸν κεραμέα. Ὁ μὲν οὖν ταῦτα εἰπὼν καὶ πλείονα τούτων ἐπαύσατο· Διοκλητιανὸς δὲ αὐτῷ λαμπάδας πυρὸς κελεύει προσφέρεσθαι, τῷ δὲ κἀκεῖνα ἦν ἡδονὴ, φῶς οἷον, ἀλλ' οὐχὶ καὶ πυρὸς ἔχον δύναμιν.

ossa mea accurrit, et membrorum continet compagem, veluti quodam indumento meus me Christus induit, propter quem priori me exui, eaque nunc erasa, me rursus induet alia. Neque enim lutum defuerit figulo. Cum is ergo hæc et his plura dixisset, cessavit. Diocletianus autem jussit ei ignis faces adhiberi. Ei autem illa quoque erant voluptati, ut quæ essent tanquam lux, quæ vim ignis non haberet.

CAPUT VII.

In itinere Nicomediensi, ac præsertim Rhodi, gesta.

ΛϚʹ. Ἔκπληξις εἶχε τὸν βασιλέα λοιπὸν, καὶ πρὸς B τοὺς περιεστῶτας ἐπιστραφεὶς, Ἐγὼ πολλοὺς μὲν, εἶπε, τῶν δυσωνύμων Χριστιανῶν ἐτιμωρησάμην, πολλοὺς δὲ καὶ θανάτῳ παρέπεμψα· πλὴν οὐδέπω τοιαύτης ἄνδρα ψυχῆς τε καὶ γνώμης ἐθεασάμην, ἀλλ' οὐδὲ σῶμα στεῤῥὸν οὕτω καὶ καρτερικὸν καὶ δυσθάνατον· παραπέμψω γοῦν αὐτὸν εἰς τὴν Νικομήδους, τέρας, ὡς εἰκὸς, Μαξιμιανῷ ἄπιστον. Οὐδὲ γὰρ ἂν οὐδὲ αὐτὸν ἀνδρὶ ποτε οἶμαι τοιούτῳ περιτυχεῖν αὐθεκάστῳ δεινῶς καὶ ἰσχυρογνώμονι. Ταῦτα ἐν θαύματι πρὸς τοὺς παρόντας εἰπὼν, ψηφίζεται Κλήμεντα δεθέντα εἰς ἐξέτασιν Μαξιμιανῷ πρὸ τὴν Νικομήδους διαπόντιον ἄγεσθαι, γράψας καὶ τὰ κατ' αὐτὸν πάντα, ὅσα τε παρὰ Δομετιανοῦ πρότερον, καὶ ὅσα πάλιν ὑπ' αὐτοῦ παρὰ δόξαν καὶ φύσιν ἀνθρωπίνην ὑπενέγκοι πᾶσαν· ἔτι καὶ τοῦτο σημάνας, C ὡς εἰ μὲν ἑλεῖν αὐτὸν, ὅπερ ἀνέλπιστον, καὶ μεταπεῖσαι δυνήσεναι, αὖθις ἀναπέμψαι πρὸς αὐτὸν, πρᾶγμα κεχαρισμένον ἀπόδειξιν ἐκείνου μεγίστης φρενὸς καὶ περινοίας ἐσόμενον· εἰ δ' οὐχ ἀλλὰ θηρίοις αὐτὸν ἐκδοῦναι, ἢ καὶ ἄλλαις τιμωρίαις πικραῖς τοῦ ζῆν ὑπεξαγαγεῖν, Ἵνα μὴ περιὼν ἔτι, φησὶν, καὶ Χριστιανοὺς μεγάλα βλάπτοι καὶ Ἕλληνας, τοὺς μὲν ὑποφθείρων καὶ παρασπῶν, Χριστιανοὺς δὲ δυσμεταθέτους μᾶλλον ποιῶν καὶ ἀσφαλιζόμενος.

XXXVI. Obstupuit de cætero imperator, et conversus ad eos, qui circumsistebant, Ego multos quidem punii, inquit, ex miseris Christianis, et multos etiam morte affeci; sed nondum viri virum tam magno et excelso animo præditum, sed neque cujusquam corpus adeo validum et robustum, et cui mortem afferre esset difficilius. Eum ergo transmittam Nicomediam, Maximiano, ut est verisimile, prodigium futurum incredibile. Neque enim existimo eum unquam incidisse in virum tam firmi et tam constantis animi. Hæc cum mirabundus dixisset qui aderant, decernit ut Clemens vinctus trans mare mitteretur Nicomediam, examinandus a Maximiano, de eo scribens, et quæ prius a Domitiano, et quæ a se rursus passus sit, quæ opinionem et humanam omnem naturam superant: et hoc prætereа significans, quod si eum quidem, quod est plone desperandum, vincere et in aliam potuerit traducere sententiam, eum rursus remittat, rem illi gratam futuram, ut argumentum illius maximæ prudentiæ et ingenii solertiæ: si minus, eum tradat bestiis, vel etiam acerbis aliis suppliciis ei vitam adimat, Ne si amplius, inquit, sit superstes, et Christianos et Græcos magnis afficiat incommodis, hoc quidem corrumpens et attrahens, Christianos autem efficiens difficiles ad transmovendum, eosque muniens et confirmans.

ΛΖʹ. Ἐξήγετο τοίνυν τῆς Ῥώμης ὁ ἅγιος ὑπὸ πολλῶν μὲν προπεμπόμενος, πολλοῖς δὲ δακρύων αἴτιος καθιστάμενος, οἷς τὸ πάθος παρεμυθοῦντο τοῦ χωρισμοῦ. Τίς γὰρ ἂν διεξέλθοι τὰ τῶν πιστῶν, ὅσα D μὲν τηνικαῦτα ἔλεγον, ὅσα δὲ πάλιν ἐπ' αὐτῷ ἐποίουν; Οἱ μὲν γὰρ ποδῶν ἥπτοντο, καὶ χεῖρας ἠσπάζοντο· οἱ δὲ τράχηλον περιβάλλοντες κατεφίλουν καὶ τοῦ χωρισμοῦ πικρὸν ἐπ' αὐτῷ δάκρυον ἔσταζον· ἄλλοι τοῖς αἵμασι κατεχρίοντο, τοῖς τραύμασι προσεφύοντο, τῶν ἱματίων οὐκ ἀπεσπῶντο, Ὁ λαμπρὸς ἀριστεὺς, ὁ γενναῖος ἀγωνιστὴς ὁ σιδήρου, λέγοντες, ἰσχυρότερος. Οἱ γοῦν ἀπάγοντες αὐτὸν ἐπικλασθέντες τοῖς ὀδυρμοῖς, καὶ παθόντες καὶ αὐτοὶ τὰς ψυχὰς, ἔστησαν ἄχρι πολλοῦ παραχωροῦντες τῷ πάθει, καὶ τῷ ἐλεεινῷ του θεάματος. Ἐπεὶ δὲ ἤδη καὶ ὁ καιρὸς ἐκάλει τοῦ πλοίου ἐπιβῆναι τὸν μάρτυρα, τῶν περισχομένων βίᾳ καὶ μόλις ἀποσπασθεὶς,

XXXVII. Roma ergo sanctus est eductus, multis quidem eum deducentibus, multis autem lacrymis quoque prosequentibus, quibus consolabantur suam ab eo separationem. Quis enim oratione persequi potuerit ea, quæ tunc dicebant quidem fideles, et quæ rursus propter ipsum fecerint? Nam alii quidem pedes tangebant, et manus amplectebantur; alii vero collum complectentes deosculabantur, et propter separationem amaras effundebant lacrymas: alii se ejus sanguine inungebant, a vestibus avelli non poterant, Vir præclarus et fortis, strenuus decertator, qui ferro, dicentes, est validor. Qui ipsum autem abducebant, fracti fletibus, et ipsi quoque affecti animis, constiterunt diu, cedentes animorum perturbationi et spectaculo miserabili. Cum vero jam tempus vocaret, ut martyr navem ascenderet, vi et ex tandem

avulsus ab iis qui ipsum continebat, et tanquam membrum commune abruptus ab omnibus, civitati ea quæ par erat, et sibi precatus, navem ascendit, et cœpit navigare. Sed quid sapiens gubernator universorum Deus in nave suo providet consilio?

XXXVIII. Is qui prius solus martyrum effugerat ex iis qui sub Clemente crediderant in carcere, de quo paulo ante sumus nos esse dicturos polliciti, cum esset Romanus quidem genere, Agathangelus autem nomine, hic una navigat cum martyre. Cum enim pervenisset ad navem in qua erat Roma enavigaturus, et cum nautis pauca esset locutus, eis facile persuadet, cumque sensim conscendisset, in aliqua ejus parte delitescebat. Deus autem fuit, qui et navem ostendit Agathangelo, et effecit ut essent ei nautæ faciles, et cito fuerint ab eo persuasi. Postquam autem jam martyr quoque adfuit ipse cum militibus, et navem sunt ingressi, distabant a terra circa ducenta stadia, videns Agathangelus milites quidem et inter se et circa navem esse occupatos, solum vero sacrum Clementem seorsum Deum orare, a nemine visus nec animadversus prope eum accedit: cumque ejus pedes prehendisset, et in memoriam revocat ejus, quæ in custodia facta est, confessionis et dati baptismatis. Deinde etiam narrat, quomodo e cæde effugerit, et quemadmodum prius sciverit navigium, et quemadmodum sint ingressus, et quemadmodum in eo delituerit.

XXXIX. Martyr autem (quomodo enim par est eum fuisse affectum, cum agnovit Agathangelum? Erat enim primus ex iis qui tunc ab eo fuere baptizati) salutabat, amplectebatur, benigne eum alloquebatur, aperte præ se ferebat, se viscera habere paterno refecta gaudio. Deinde etiam cœpit precari vehementius, partim quidem gratias agens pro Agathangelo, et verba quæ animi lætitiam significabant offerens; partim autem Deum quoque invocans, ut illi ferret auxilium, et rogans, ut is esset sibi socius confessionis: Ago tibi gratias, Domine Jesu Christe, dicens, qui mihi es sola et unica consolatio et auxilium, quod me neque in terra, neque in mari relinquas a tuo desertum auxilio, sed me per totam viam defenderis et deduxeris, et meum labore defessum animum recreaveris eo quem scis modo ejus consolator effectus. Ecce enim nunc quoque in mari in Agathangelo bono meo fratre mihi es cognitus, qui vel mihi ex ipso nomine tuum spondet auxilium, ut qui Agathangelus, id est, bonorum nuntius, et sit et dicatur. Sed ei quoque concede, o rex Christe, ut ad finem tuam deducat voluntatem, et glorifica ipsum tua confessione, ut tu quoque rursus in ipso glorificeris.

XL. Ille argo cum Agathangelo sic diu noctuque precabatur, cibum quidem non sumens, nam ne niminum quidem eis cibi usquam aderat, ut cujus

A καὶ ὥσπερ μέλος κοινὸν ἁπάντων ἀποῤῥαγεὶς, τῇ τε πόλει τὰ εἰκότα καὶ ἑαυτῷ ἐπευξάμενος, οὕτω τῆς νεὼς ἐπέβη καὶ του πλοῦ ἤρξατο. Ἀλλὰ τί καὶ περὶ τὴν ναῦν ὁ σοφὸς τῶν κυβερνήτης οἰκονομεῖ Θεός; ;

ΛΗ'. Καὶ ὁ πρότερον τὸ μαρτύριον μόνος τῶν ὑπὸ Κλήμεντος ἐν τῇ φυλακῇ πιστευσάντων διαφυγὼν, περὶ οὗ φθάσας μικρῷ πρόσθεν ὁ λόγος ὑπέσχετο, Ῥωμαῖος μὲν ὢν τὸ γένος, Ἀγαθάγγελος δὲ τὴν κλῆσιν, σύμπλους ἐνταῦθα τῇ μάρτυρι γίνεται. Καταλαβὼν γὰρ τὸ πλοῖον δι' οὗ τῆς Ῥώμης αὐτὸς ἐκπλεῖν ἔμελλε, καὶ ὀλίγα συλλαλήσας τοῖς ναύταις, πείθει ῥᾳδίως, ἐμβάς τε ἠρέμα κατά τι μέρος αὐτοῦ λανθάνων ἐκρύπτετο. Θεὸς δὲ ἦν ἄρα ὁ καὶ τὸ πλοῖον B ὑποδείξας Ἀγαθαγγέλῳ, καὶ τοὺς πλωτῆρας εὐπειθεῖς αὐτῷ καὶ προσηνεῖς ἐργασάμενος. Ἐπεὶ δὲ ἤδη καὶ ὁ μάρτυς αὐτὸς μετὰ τῶν στρατιωτῶν ἐπέστη, καὶ τῆς νεὼς εἴσω γεγόνασιν, ἀπέσχον τε τῆς γῆς ὅσον σταδίου; διακοσίους, ὁ Ἀγαθάγγελος τοὺς μὲν στρατιώτας περί τε σφᾶς αὐτοὺς καὶ τὴν ναῦν ἀπησχολημένους ἰδὼν, μόνον δὲ τὸν ἱερὸν Κλήμεντα προσευχόμενον καταμόνας Θεῷ, πᾶσαν ὀφθαλμῶν αἴσθησιν κλέψας πλησίον ἐκείνου γίνεται, καὶ λαβόμενος αὐτοῦ τῶν ποδῶν, τῆς ἐ τῇ φυλακῇ αὐτὸν ὁμολογίας ἀναμιμνήσκει καὶ τοῦ βαπτίσματος· εἶτα καὶ τὴν ἐκ τῆς σφαγῆς φυγὴν διηγεῖται, ὅπως τε προγνοίη τὸ πλοῖον, ὅπως τε ἔλθοι, καὶ ὅπως ἐν αὐτῷ κρόπτοιο.

C ΛΘ'. Ὁ μάρτυς τοίνυν (καὶ τί γὰρ ἂν αὐτὸν οὐκ εἰκὸς παθεῖν ἐπιγνόντα τὸν Ἀγαθάγγελον; ἦν γὰρ καὶ πρῶτος τῶν ὑπ' αὐτοῦ τηνικαῦτα βαπτισαμένων) ἠσπάζετο, περιεπτύσσετο, προσηνῶς αὐτῷν περιέβαλλε, δῆλος ἦν ἡδονῆς ἐπ' αὐτῷ πατρικῆς τὰ σπλάγχνα πληρούμενος. Ἔπειτα καὶ τῆς εὐχῆς θερμότερον εἴχετο, τοῦτο μὲν εὐχαριστῶν ὑπὲρ Ἀγαθαγγέλου καὶ ψυχῆς εὐθυμούσης προσάγων ῥήματα, τοῦτο δὲ καὶ Θεὸν εἰς συμμαχίαν ἐκείνῳ καλῶν, καὶ τὸν ἄνδρα κοινωνὸν ἑαυτῷ γενέσθαι τῆς ὁμολογίας εὐχόμενος, Εὐχαριστῶ σοι, Κύριε Ἰησοῦ Χριστὲ, λέγων, ἡ μόνη καὶ μία παράκλησις ἐμοὶ καὶ βοήθεια, ὅτι με μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν ἔρημον τῆν σῆς βοηθείας καταλιμπάνης, ἀλλ' ἐν ὁδῷ πάσῃ συναντελάβου καὶ προηγήσω μοι, καὶ πεπονηD κυῖάν μου τὴν ψυχὴν ἀνεκτώσω, παρήγορος αὐτῇ τρόπον ὃν αὐτὸς οἶδας γινόμενος. Ἰδοὺ γὰρ καὶ τανῦν ἐν θαλάσσῃ ἐν Ἀγαθαγγέλῳ τῷ πιστῷ τούτῳ μοι ἀδελφῷ ἐγνωρίσθης, ὃς καὶ ἀπ' αὐτῆς μοι τῆς κλήσεως τὴν παρὰ σοῦ πιστοῦται βοήθειαν, ἀγαθῶν ἄγγελος καὶ γενόμενος καὶ καλούμενος. Ἀλλὰ παράσχου καὶ αὐτῷ, Χριστὲ βασιλεῦ, τὸ σὸν εἰς πέρας ἀγαγεῖν θέλημα, καὶ δόξασον αὐτὸν τῇ ὁμολογίᾳ σοῦ, ἵνα καὶ σὸ πάλιν ἐν αὐτῷ δοξασθῇς.

Μ'. Ὁ μὲν οὖν οὕτω σὺν Ἀγαθαγγέλῳ νυκτὸς καὶ ἡμέρας εὐχόμενος ἦν, τροφὴν μὲν οὐ προσιέμενος (καὶ γὰρ οὐδὲ βραχεῖα τις αὐτοῖς παροῦσα ἐτύγχανε

ποθεν, ἧς οὐδὲ παρὰ τὴν ἀρχὴν ἐμέλησεν ὅλως τῷ Κλήμεντι)· τὸν ζῶντα δὲ ἄρτον ἐν τῇ καρδίᾳ καὶ τὸ ὕδωρ ἐκεῖνο τὸ ζῶν ἔχοντες, καὶ τούτοις ἀφανῶς τρεφόμενοί τε καὶ ποτιζόμενοι. Κατελεήσαντες τοιγαροῦν αὐτοὺς τῆς πολλῆς ἐκείνης τῷ δοκεῖν ἀσιτίας οἱ στρατιῶται, καὶ τὰς ψυχὰς συμπαθῶς τε αὐτοῖς καὶ φιλανθρώπως διατεθέντες, μεταδοῦναι βρωμάτων αὐτοῖς ἐπειρῶντο. Οἱ δὲ τοὺς στρατιώτας μὲν τῆς προαιρέσεως ἀπεδέχοντο, τὴν τροφὴν δὲ οὐκ ἐδέχοντο ἄνωθεν παρὰ τοῦ Θεοῦ αὐτὴν ἐκδέχεσθαι λέγοντες. Ὅπερ οἱ μὲν ἔλεγον, Θεὸς δὲ εἰς ἔργον ἐξῆγε, καὶ περὶ τὴν πρώτην φυλακὴν τῆς νυκτὸς, οὐρανία τροφὴ τοῖς δικαίοις ὑπό τινος ἄνωθεν ἐχορηγεῖτο δυνάμεως, καὶ ἀγγέλων ἄρτῳ ἐτρέφοντο ἄνθρωποι.

ΜΑ'. Συχναὶ γοῦν ἐτρίβησαν αὐτοῖς κατὰ τὸν πλοῦν ἡμέραι, καὶ εἰς τὴν Ῥόδον κατασχόντες, οἱ μὲν ἄλλοι πάντες ἐπισιτίσασθαι βουληθέντες τοῦ πλοίου ἀπέβησαν, τοῖς δέ γε φυλακῆς χάριν τῶν ἁγίων ὑπολειφθεῖσι προσέκειντο λιπαροῦντες αὐτοὶ καὶ δεόμενοι, ἐξεῖναί τε αὐτοῖς τῇ τῶν Χριστιανῶν ἐκκλησίᾳ παραβαλεῖν, καὶ τῶν ἀχράντων μετασχεῖν μυστηρίων. Κυριακὴ μὲν οὖν τηνικαῦτα ἡμέρα ἤγετο, καὶ πάντες ὅσοι κατὰ τὴν νῆσον Χριστιανοὶ (ὀλίγοι δὲ οὗτοι) πρὸς τὸν ναὸν συνέτρεχον. Τούτων δέ τις ἀκριβῶς ὅπως εἶχε τὰ κατὰ τοὺς ἁγίους μαθὼν, μηνύει πάντα τῷ τῆς Ῥόδου προέδρῳ, Φωτεινὸς τῷ ἐπισκόπῳ ὄνομα. Κἀκεῖνος οὐδὲν ἔτι διαμελλήσας, παραλαβὼν αὐτίκα μάλα συχνοὺς τῶν παρόντων Χριστιανῶν, εἰς τὸν αἰγιαλὸν ἀφικνεῖται, ᾧ γε ἡ τοὺς ἁγίους ἔχουσα ναῦς προσωρμίζετο, καὶ πολὺς ἦν τῶν φυλάκων δεόμενος, ὥστε λυθῆναι τοὺς μάρτυρας τῶν δεσμῶν, καὶ τὴν ἐπὶ τῆς ἐκκλησίας αὐτοῖς ἀνεθῆναι πάροδον.

ΜΒ'. Ἐκείνων τοίνυν τὴν ἱκετείαν δυσωπηθέντων ὑπὸ πολλοῖς τοῖς εὐχαριστηρίοις ὕμνοις οἱ μάρτυρες ἐπὶ τὴν ἐκκλησίαν προπέμπονται, καὶ ἀκολούθως τῆς ἱερᾶς προτεθείσης βίβλου ἐκεῖνα παραδόξως ἡ τῶν Εὐαγγελίων ἐδήλου φωνὴ, ἃ καὶ τῷ καιρῷ προσήκοντα καὶ τοῖς ἁγίοις ἁρμόζοντα ἦν. Τίνα δὲ ἄρα ταῦτα; Μὴ φοβεῖσθε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν ἀποκτεῖναι μὴ δυναμένων. Τοῦτο οἱονεί τινα γλυκύτητα θείαν ἐνέσταξε ταῖς τῶν ἁγίων ψυχαῖς, καὶ ὀφθαλμοὺς ὁμοῦ καὶ χεῖρας εὐθὺς εἰς οὐρανοὺς ἀνασχόντες, ἐκ περιχαρείας δεδακρυμένοι προσηύχοντο. Οἰκοδόμησις οὖν ἐν τῇ πίστει τὸ πρᾶγμα τοῖς παροῦσιν ἐγένετο, καὶ πάντες εἰς αὐτοὺς ὁρῶντες εἰς φανερὰ καὶ αὐτοὶ κατήγοντο δάκρυα, καὶ τῶν σκαμμάτων κοινωνῆσαι καὶ τῶν βραβείων, τοῖς μάρτυσιν ηὔχοντο.

ΜΓ'. Εἶτα ὁ θεοφιλὴς ἐκεῖνος ἐπίσκοπος τὰ τῆς ἁγίας ἀναφορᾶς ἐπιτελέσαι μυστήρια τὸν ἱερώτατον Κλήμεντα ἠξίου· ὧν δὴ κατὰ τὸ εἰωθὸς ὑπ' αὐτοῦ τελουμένων, καὶ πάντων ἐν συντριβῇ καρδίας καθάπερ γυμνῇ τῇ ψυχῇ προσεχόντων, ὁρῶσι πολλοὶ τῶν παρόντων, ὅσοι δὴ καὶ τὰ τοιαῦτα ὁρᾷν ἄξιοι, φοβερὸν, ὦ Δέσποτα, θέαμα καὶ φρικτόν· ἄνθρακα μὲν φωτὸς ὑπερμεγέθη τῆς ἀχράντου καὶ

A Clemens nullam curam gessisset omnino: vivum autem panem in corde et vivam illam aquam habentes, quibus obscure alebantur et putabantur. Diuturnæ ergo illorum, ut videbatur, inediæ miserti milites motique animo, benigneque et humane in eos affecti, eos cibis volebant impertiri. Illi autem laudabant quidem bonum militum animum, cibum vero non accipiebant, dicentes se eum desuper a Deo accipere. Quod autem illi dicebant, Deus effectum reddidit, et circa primam noctis custodiam, cœleste alimentum justis suppeditabatur, et pane angelorum nutriebantur homines.

XLI. Multi vero dies consumpti sunt ab eis in B navigando: et cum Rhodum appulissent, alii quidem omnes e navi descenderunt ad quærendum commeatum; eis autem, qui relicti fuerant pro custodia sanctorum, instabant ipsi vehementer rogantes et orantes, ut liceret eis accedere ad ecclesiam Christianorum, et esse intemeratorum participes sacramentorum. Atque tunc quidem dies celebrabatur Dominicus, et quicunque erant in insula Christiani, pauci autem erant, ad templum concurrebant. Ex his vero cum quidam accurate didicisset, quomodo se haberent res sanctorum, antistiti Rhodi omnia significat: episcopo nomen erat Photinus. Ille autem nihil amplius cunctatus, cum statim accepisset multos ex iis qui aderant Christianis, venit ad littus, ad quod appulerat navis, C in qua erant sancti, et custodes vehementer oravit, ut martyres solverentur a vinculis, et eis permitteretur venire in ecclesiam.

XLII. Cum illi autem cessissent precibus, cum multis hymnis, quibus Deo aguntur gratiæ, in ecclesiam deducuntur martyres; et consequenter sacro libro proposito, admirabiliter et præter opinionem declaravit vox Evangeliorum illa, quæ et tempus decebant, et sanctis conveniebant. Quænam autem ea sunt? Nolite timere eos, qui corpus occidunt, animam autem non possunt occidere [4]. Hoc veluti quamdam divinam dulcedinem sanctorum instillavit animis, oculosque simul et manus statim ad cœlos tollentes, præ gaudio orabant lacrymantes. Ædificatio autem D in fide fuit res ea iis qui aderant, omnesque eos intuentes, ipsi quoque aperte emittebant lacrymas, martyrumque certamina et coronas participare cupiebant.

XLIII. Deinde pius ille et Dei amans episcopus rogabat Clementem sanctissimum, ut sanctæ oblationis perageret mysteria. Quæ quidem cum de more ab eo peragerentur, et omnes in contritione cordis, veluti nuda et aperta anima, eis attenderent, vident multi ex iis qui aderant, quicumque scilicet erant digni talia intueri, stupendum, o Domine, et mirabile spectaculum; lucis quidem car-

4 Matth. x, 28.

bonem maximum, in intemerata et mystica mensa A propositum, candidatorum autem multitudinem in aere supervolantem. Atque illi quidem cum visionem ferre non potuissent, et humi pronos seipsos dejecissent, jacebant, ut qui eum, qui ex iis procedebat, splendorem contra non possent omnino aspicere. Cum autem fama brevi totam pervasisset civitatem, multi etiam ex infidelibus publice concurrebant; et maxime quicunque aliquos ex filiis, cognatis, vel domesticis habebant laborantes aliquibus morbis immedicabilibus, frequentes concurrebant, secum ægrotos adducentes, et alios quidem ad pedes martyrum projicientes, alios autem ad beatarum manuum contactum adducentes, eos statim videbant a morbis expurgatos. Multorum quoque gentilium curatæ sunt animæ, et sa- B nationis ipsorum miraculo deducti sunt ad veritatem. Hæc milites obstupefecerunt, et cum viderent civitatis magnum in Clementem desiderium, et timerent deinde, ne in eos aliquid innovaretur, et martyr ex eorum manibus effugeret, ei vincula rursus immittunt, et ad navem abducunt, illi male faciendi sumentes occasionem ex insigni ejus virtute. Præcessit autem Agathangelus, et primus navem ascendit, ut qui esset primus viam initurus martyrii.

μυστικῆς τραπέζης προκείμενον, λευχημονούντων δὲ πλῆθος ἐπὶ τοὺς ἀέρος ὑπεριπτάμενον. Ἐκεῖνοι μὲν οὖν τὴν ὄψιν οὐκ ἐνεγκόντες, πρηνεῖς καταβαλόντες ἑαυτοὺς ἔκειντο, μηδὲ τῇ ἐκεῖθεν αὐγῇ τὸ παράπαν ἀντιβλέπειν δυνάμενοι. Τῆς φήμης δὲ πᾶσαν ἐν ὀλίγῳ τὴν πόλιν διαδραμούσης, πολλοὶ πανδημεὶ καὶ τῶν ἀπίστων συνέῤῥεον, καὶ μάλιστα ὅσοι τινὰς τῶν παίδων, ἢ συγγενῶν, ἢ καὶ τῶν ἄλλως οἰκείων ἀνηκέστοις εἶχον πιεζομένους νοσήμασι, συνέῤῥεον δὲ τοὺς νοσοῦντας ἕκαστος ἐπαγόμενοι, καὶ τοὺς μὲν τοῖς μαρτυρικοῖς ποσὶν ἐκείνων παραῤῥιπτοῦντες, τοὺς δὲ τῇ τῶν μακαρίων χειρῶν ἀφῇ προσάγοντες ἐκκεκαθαρμένους εὐθὺς τῶν νόσων ἑώρων. Πολλοὶ δὲ καὶ τὰς ψυχὰς αὐτὰς τῶν Ἑλλήνων ἐθεραπεύοντο, καὶ τῷ κατ' αὐτοὺς θαύματι τῆς ἰάσεως, ἐχειραγωγοῦντο πρὸς τὴν ἀλήθειαν. Ἐξέπληττε ταῦτα τοὺς στρατιώτας, καὶ τὸν πολὺν τῆς πολεως ὁρῶντες περὶ τὸν Κλήμεντα πόθον, εἶτα καὶ δεδιότες μή τι κατ' αὐτῶν νεωτερισθείη καὶ ἐκ μέσων αὐτοῖς ὁ μάρτυς τῶν χειρῶν διαφύγοι, τὰ δεσμά τε αὐτῷ περιτιθοῦσι πάλιν καὶ εἰς τὸ πλοῖον ἀπάγουσιν, πρόφασιν τοῦ κακῶς ἐκεῖνον δρᾶσαι τὸ περιὸν αὐτοῦ τῆς ἀρετῆς θέμενοι. Ἀφηγεῖτο δὲ Ἀγαθάγγελος πρῶτος αὐτὸς, καὶ τῆς νεὼς ἐπιβὰς, οἷα δὴ καὶ προοδοποιῆσαι μέλλων αὐτῷ τοῦ μαρτυρίου τὴν εἴσοδον.

CAPUT VIII.

Tormenta Nicomediæ Sanctis inflicta.

XLIV. Cum eis itaque ventus successisset secundus, Ægeum mare transmittunt: et cum appulissent Nicomediam, deducuntur statim ad Maximianum. C Ille autem cum accepisset litteras imperatoris, et multa quidem etiam ab ipsis didicisset, ea vero vidisset congruere litteris, nempe aspectum, qui quam profitebatur virtutem conservaret, faciem liberalem, morum libertatem; nihil servile, humile, et abjectum, neque quod facile possit in aliam traduci sententiam; hæc cum vidisset Maximianus, ut qui in judicandis illis multum valeret, sibi statim interdicit ejus examinationem, et quasdam bellicas causatus occupationes, præfecto urbis Agrippino committit Clementis cognitionem. Ille vero cum eum statim sisti curasset, hoc ante alia interrogat, an ipse esset ille Clemens, qui vulgo ita jactabatur. Cum is autem se esse respondisset, et Christi servum præterea adjecisset, ira motus Agrippinus, D jussit militibus, ut ei in facie colaphum impingerent dictitantes, se servum imperatorum, non autem Christi, vocaret. Martyr autem, Utinam, inquit, et domini et imperatores vestri vocati essent Christi servi, et aliæ quoque omnes gentes eis servirent et parerent, et non eis potius improbe imperaret impietas, et stulte nos vincere contenderent!

XLV. Hæc cum veluti flamma quædam incidissent in animum Agrippini, magis accenderunt fornacem insaniæ. et Clementi quidem nihil respondit, ut qui ostenderet conceptam in eum iram esse majorem,

ΜΔ'. Ἐπιφόρου τοίνυν τοῦ ἀνέμου τυχόντες διαπλέουσι τὸν Αἰγαῖον, καὶ εἰς τὴν Νικομήδους κατάραντες, ὡς τὸν Μαξιμιανὸν εὐθέως ἀνάγονται. Ὁ δὲ τὰ βασιλικὰ δεξάμενος γράμματα, καὶ τὰ πολλὰ μὲν καὶ ἀπ' αὐτῶν διδαχθεὶς, συνᾴδοντα δὲ τοῖς γράμμασι καὶ ταῦτα ἰδὼν, οἷον ὄψιν ἀπαγγελίαν ἀρετῆς σώζουσαν, παράστημα εὐγενὲς, ἦθος ἐλευθερίαν, οὐδὲν ἐθελόδουλον, οὐδὲ ταπεινὸν, οὐδὲ πρὸς τὸ μεταπεισθῆναι ῥᾴδιον, ταῦτα καὶ Μαξιμιανὸς ἰδὼν, οἷος ἐκεῖνος κρίνειν τὰ τοιαῦτα δεινὸς, ἀπαγορεύει εὐθὺς τὴν ἐξέτασιν, καί τινα φροντίδων πολεμικῶν ἀσχολίαν αἰτιασάμενος, τῷ ἐπάρχῳ Ἀγριππίνῳ τὰ κατὰ τὸν γενναῖον ἐπιτρέπει Κλήμεντα. Ὁ δὲ παραστησάμενος αὐτὸν, τοῦτο πρῶτον, εἰ αὐτὸς ἐκεῖνος εἴη Κλήμης ἠρώτα. Τοῦ δὲ ἐκεῖνό τε ἀποκριναμένου, καὶ Ὁ τοῦ Χριστοῦ δοῦλος προσθέντος, ὀργισθεὶς Ἀγριππῖνος πληγὰς αὐτῷ κατὰ κόρης ἐντεῖναι κελεύει τοῖς στρατιώταις, δοῦλον τῶν βασιλέων καλεῖν ἑαυτὸν, ἀλλὰ μὴ τοῦ Χριστοῦ λέγοντας. Καὶ ὁ μάρτυς, Ὄφελον, ἔφη, καὶ οἱ δεσπόται καὶ βασιλεῖς ὑμῶν Χριστοῦ δοῦλοι ἐκλήθησαν ἂν, ἵνα δὴ καὶ τἄλλα πάντα ἔθνη, δοῦλά τε αὐτοῖς καὶ ὑπήκοα ἦν, ἀλλὰ μὴ κακῶς αὐτοὶ μᾶλλον ὑπὸ τῆς ἀσεβείας κατῄροντο καὶ ἡμῶν κρατεῖν ἀνοήτως ἐφιλονείκουν.

ΜΕ'. Ταῦτα οἱονεί τις φλὸξ εἰς τὴν Ἀγριππίνου ψυχὴν ἐμπεσόντα σφοδροτέραν ἐποίει τῆς μανίας τὴν κάμινον, καὶ πρὸς μὲν τὸν Κλήμεντα οὐδὲν ἀντεφθέγγετο, οἷα δεικνὺς τὴν κατ' αὐτοῦ ὀργὴν, καὶ

ἀπειλῆς οὖσαν μείζονα, πρὸς δὲ τὸν Ἀγαθάγγελον A ἀπιδὼν, Σὺ δὲ τίς εἶ; ἔφη, οὐδὲ γὰρ ἔγκεισαι τοῖς Διοκλητιανοῦ γράμμασι. Κἀκεῖνος τὴν ὅρασιν μερισθεὶς, καὶ πρὸς τὸν οὐρανὸν ἄρας ὁμοῦ τοὺς ὀφθαλμοὺς καὶ τὸν Κλήμεντα (ἑκατέρωθεν γὰρ ἕξειν αὐτῷ τὴν βοήθειαν προσεδόκα), Κἀγὼ Χριστιανός εἰμι, ἔφη, διὰ τοῦ δούλου τοῦ Χριστοῦ Κλήμεντος, τῆς μακαρίας ταύτης ἀξιωθεὶς κλήσεως. Τότε Ἀγριππῖνος κελεύει Κλήμεντα μὲν μετεωρισθέντα σπαθίζεσθαι, Ἀγαθάγγελον δὲ βουνεύροις ὑπὸ δημίων ὠμότατα τύπτεσθαι. Ἐπεὶ δὲ καὶ τὴν τοιαύτην βάσανον ὁ μέγας Κλήμης οὕτω τι γενναίως ὑπέμενε, τοσούτου δέον ἐν λόγῳ τινὶ καὶ μετρίῳ τὰς πληγὰς τίθεσθαι, ὡς ὑπὲρ ἑαυτοῦ τε καὶ Ἀγαθαγγέλου ἀπερισπάστως εὔχεσθαι, ὁ ἔπαρχος μικρὰ ταῦτα νομίσας καὶ μὴ δυνάμενα καθικέσθαι ψυχῆς οὕτω πάγιον ἐν B αὐτῇ θεμένης τὸ ἀπετάπειστον, ἀνῆκεν αὐτοὺς τῆς κολάσεως καὶ ἀμφοτέρους τῇ φυλακῇ δίδωσι· θέατρον δὲ εἰς τὴν ἑξῆς αὐτῷ καὶ θηρία ἑτοιμασθῆναι κελεύει, καὶ τὸ πλῆθος πολλὰ, καὶ τὸ γένος διάφορα, καὶ ὑπερφυᾶ τὴν ὠμότητα.

ΜϚʹ. Ἅγιοι τῷ δεσμωτηρίῳ καταλειφθέντες, συντονωτέρᾳ μᾶλλον ἐπηγρύπνουν τῇ προσευχῇ· ἄγγελοι δὲ αὐτοῖς ἄνωθεν ἐπιστάντες πρὸς τὸ μαρτύριον ἤλειφον. Ὅσοι γοῦν καὶ ἄλλοι κατά τινας καὶ αὐτοὶ αἰτίας ᾤκουν τὸ δεσμωτήριον, τότε τῆς δεήσεως αὐτῶν ἐκτενὲς ἰδόντες, εἶτα καὶ τῆς τῶν ἀγγέλων αἰσθόμενοι παρουσίας, καὶ τὴν θαυμαστὴν ἐκείνην ἐκπλαγέντες παράκλησιν, θέρμῃ τινὶ θείᾳ τὴν ψυχὴν C κινηθέντες, προσπίπτουσί τε τοῖ ἁγίοις, καὶ τὰ περὶ τοῦ Χριστοῦ καὶ αὐτοῖς εἰς γνῶσιν ἐλθεῖν ἀξιοῦσι, καὶ τῆς ἐκείνου γενέσθαι ὁμολογίας ἀναξίους μὴ λογισθῆναι. Οἱ μὲν οὖν ἄχρι μέσων νυκτῶν τοῖς ἀνδράσι διαλεγόμενοι, παραινοῦντες, διδάσκοντες οὐπρότερον ἀπέστησαν ἕως αὐτοὺς εἰς τὴν ἀληθῆ κατήρτισαν πίστιν, καὶ τῷ θείῳ βαπτίσματι ἐσφραγίσαντο. Ἔπειτα ὅλως ὁ μέγας Κλήμης τὰς τοῦ δεσμωτηρίου πύλας αὐτοῖς εὐχῇ διαπετάσας ἐκείνους μὲν χαίρων ἀφῆκε χαίροντας, αὐτὸς δὲ σὺν τῷ Ἀγαθαγγέλῳ, μόνοι παρὰ τῇ φυλακῇ ὑπελίποντο.

ΜΖʹ. Τοῦτο ἰσχυρῶς ἐκμαίνει τὸν Ἀγριππῖνον, καὶ παραγαγὼν αὐτοὺς εἰς τὸ θέατρον, καί τι πρότερον αὐτὸς κατὰ τῶν ἁγίων βρύξας λεόντιον, εἶτα καὶ D λέοντας αὐτοῖς καὶ πολλοὺς τῶν θηρῶν ἑτέρους ἀφεθῆναι κελεύει. Οἱ δ' ἀνεθέντες τοὺς μὲν ἁγίους οὐδὲν τὸ παράπαν κακῶς ἐποίουν, ἀλλὰ καὶ ἡδὺ μᾶλλον καὶ ἥμερον εἰς αὐτοὺς ἑώρων, καὶ νῦν μὲν τὰ ἴχνη τούτων ἱλαρῶς περιέλειχον, νῦ δὲ καὶ προσήλλοντο προσηνῶς, οὐκ ἀνόμοια τοῖς κυσὶ ποιοῦντες, ἃ πρὸς τοὺς δεσπότας τοὺς ἑαυτῶν ἐκεῖνοι δρῶσι πολλάκις μετὰ χρόνον ἐπανιόντας· τοὺς μὲν οὖν ἁγίους οὐδὲν οἱ θῆρες εἰργάζοντο πονηρὸν, Ἀγριππίνῳ δὲ τὴν καρδίαν ἰσχυρῶς ἔπληττον, ἀπορουμένῳ τοῖς ὅλοις, καὶ τοῦτο δὴ τὸ ᾀδόμενον ἀνηνύτοις ἐπιχειροῦντι, κἂν τὸ πλάνης σκότος οὕτω βαθέως αὐ-

quam ut minis eam significaret. Ad Agathangelum autem aspiciens: Tu vero quis es? inquit. Neque enim contineris in litteris Diocletiani. Ille autem cum visum suum divisisset, et simul in cœlum et ad Clementem sustulisset oculos (utrinque enim ad se venturum sperabat auxilium): Ego quoque, inquit, sum Christianus, per servum Christi Clementem hanc beatam nactus appellationem. Tunc Agrippinus jubet Clementem quidem in altum sublatum cædi ac mutilari; Agathangelum autem boum nervis a lictoribus crudelissime verberari. Quoniam vero magnus Clemens ejusmodi tormentum tam magno et excelso animo ferebat, et tantum aberat, ut plagarum vel modicam ullam duceret rationem, ut pro se et pro Agathangelo assidue oraret: præfectus hæc parva esse arbitratus, et quæ animum non attingerent, in quo hoc adeo fixum et firmum insederat, ne ad contrariam traduceretur sententiam; utrumque quidem relaxavit a castigatione, et tradidit in custodiam: sequenti autem die jubet theatrum parari et bestias, et numero multas, et genere diversas, et crudelitate insignes.

XLVI. Atque sancti quidem relicti in carcere, vehementius et intensius vigilantes, vacabant orationi: angeli autem ad eos desuper advolantes, præparabant et confirmabant ad martyrium. Quicunque vero alii propter alias etiam causas habitabant in carcere, cum eorum intensam vidissent orationem, et deinde etiam sensissent adventum angelorum, et illa admirabili obstupefacti essent consolatione, divino quodam ardore eorum incitatis animis, procidunt ad pedes sanctorum, et rogant ut ipsi quoque veniant ad Christi cognitionem, et ne reputentur indigni, qui illum confiteantur. Illi autem cum eis ad mediam usque noctem disserentes, suadentes, admonentes, docentes, non prius destiterunt, quam eos in vera fide instituerint, et divino baptismo obsignaverint. Deinde cum magnus Clemens sola oratione eis carceris totam aperuisset januam, illos quidem lætus lætos uimisit: ipse autem solus cum Agathangelo mansit in custodia.

XLVII. Hoc Agrippinum valde magno ciet furore, et cum eos deduxisset in theatrum, et ipse prius more leonis in sanctos rugiisset, deinde in eos quoque leones et multas alias bestias jubet immitti. Illi autem immissi, nihil quidem mali sanctis omnino faciebant; sed blandis potius et benignis eos intuebantur oculis, et nunc quidem eorum pedes hilariter lingebant; nunc autem in eos etiam placide insiliebant, num dissimiliter facientes iis, quæ canes sæpe faciunt suis dominis, qui post longum tempus redeunt. Atque sanctis quidem bestiæ nihil mali faciebant: Agrippini vero animum valde percellebant, qui erat de tota re mirandum in modum perplexus et animi dubius, et, ut dicitur, ea aggrederetur, quæ non possent effici: quanquam er-

poris tenebræ usque adeo crassæ eum detinebant, ut nec cum ea quidem vidisset, intelligeret, nec bestiarum saltem revereretur illum supra naturam mutationem. Sanctis autem ea res fuit causa Deum glorificandi, et orantes dicebant : Gloria tibi, Christe, quod feræ quoque sint nos admirabiliter et præter opinionem reveritæ, et confirmasti quæ dicta sunt per tuum Danielem prophetam [5]. Ecce enim et leones multæ immanes feræ in nos sunt immissæ, sed tu omnino fuisti nobiscum, qui es etiam Deus Danielis.

XLVIII. Deinde vero agrestis Agrippinus, cum nihil, ut prius diximus, esset mutatus; sed ejus, quod admirabiliter fecissent bestiæ, et præter opinionem, earum mansuetudinem dixisset esse causam, jubet subulas valde candentes eis per medios utriusque manus digitos, ad ipsas usque ulnas infigi. Atque illæ quidem, ut ille jusserat, athletis adactæ, theatro acerbum præbuere spectaculum, ut multi ne libere quidem intueri possent, sed propter tristitiam ejus, quod cernebatur, humanis et clementibus conniverint oculis, effecere. Cum primum enim ferrum carnes attigisset, illæ quidem veluti quemdam primum gravem sibilum emisere; deinde purpurea quædam pinguedo illinc descendens cum sanguine, videbatur vim ignis exstinguere, nidoreque et fumo implebat aerem. Atque illi quidem, qui aderant, ejus quod fiebat ægre ferentes acerbitatem, et animi perturbationem aperte ostendebant, et ut viri dimitterentur, clamabant. Agrippinus autem magis accensus, et propter furorem impos mentis, jubet alias subulas, et ipsas quoquo vehementer accensas, sub eorum axillis usque ad humeros transfigi : quod quidem eis quoque magis auxit dolorem, et eis sensum longe immisit acriorem.

XLIX. Populus itaque non ferens tam inhumanum spectaculum, sed partim quidem graviter ferens magistratus sævitiam, partim autem judicans admirabile id quod factum fuerat, quemadmodum martyres tantis restiterunt insultibus, et non una cum eis protinus quoque animas emiserint, jecerunt quidem undique lapides in magistratum: Magnus, autem, est Deus Christianorum, voce quam potuerunt clarissima clamaverunt. Cum magnus itaque, ut est consentaneum, exortus esset tumultus, et præfectus suæ saluti fuga consuluisset, libere et secure martyres in montem Pyramida ascenderent, in quo et sacrificia fiebant a gentilibus, et deorum apud eos insignium occultabantur simulacra.

L. Sed ne sic quidem irasci desiit Agrippinus : sed cum per suos satellites eos multos dies diligenter quæsiisset, vix tandem invenit sanctos : et cum sequenti die jussisset per præconem convenire in montem omnes qui erant initiati diis et et dæmonibus,

A τοῦ καθίκετο ὡς μηδὲ συνεῖναι ταῦτα ἰδόντα, μηδὲ τῶν θηρῶν γοῦν αἰδεσθῆναι τὴν ὑπὲρ φύσιν ἐκείνην τῆς φύσεως μεταβολήν. Τοῖς ἁγίοις δὲ πρόφασις γέγονε τῆς εἰς Θεὸν δοξολογίας τὸ πρᾶγμα, καὶ προσευχόμενοι, Δόξα σοι, Χριστὲ, ἔλεγον, ὅτι καὶ θῆρες ἡμᾶς παραδόξως ᾐδέσθησαν, καὶ διὰ τῶν ταπεινῶν ἡμῶν τὰ κατὰ τὸν σὸν προφήτην Δανιὴλ ἐπιστώσω· ἰδοὺ γὰρ καὶ λέοντες καθ' ἡμῶν καὶ πολλὰ τῶν ἀνημέρων ἀφειθη θηρίων, ἀλλὰ οὐ πάντως ἧς μεθ' ἡμῶν ὁ καὶ τοῦ Δανιὴλ Θεός.

ΜΗ'. Εἶτα ὁ ἄγριος τἀληθὲς Ἀγριππῖνος οὐδὲν, ὥσπερ ἔφθημεν εἰπόντες, μεταβαλὼν, ἀλλὰ τῆς τῶν θηρῶν παραδοξοποιίας τὸ χειρόηθες αὐτῶν καὶ τιθασὸν αἴτιον γενέσθαι φθεγξάμενος, κελεύει σούβλας B ἰσχυρῶς ἄγαν ἐκπυρωθείσας διὰ μέσον αὐτοῖς ἑκατέρας χειρὸς τῶν δακτύλων ἄχρις ἀγκώνων αὐτῶν ἐμπαρῆναι. Αὗται μὲν οὖν, ὡς ἐκεῖνος ἐκέλευσεν, ἐπενεχθεῖσαι τοῖς ἀθληταῖς, πικράν τινα διατριβὴν τῷ θεάτρῳ παρεῖχον πολλοὺς δὲ μηδὲ ὁρᾷν ἐλευθερίως, ἀλλ' ἐπιμύειν τῷ σκυθρωπῷ τοῦ θεάματος τῶν φιλανθρώπων ὀφθαλμῶν παρεσκεύαζον. Ἁψαμένου γὰρ εὐθὺς τῶν σαρκῶν τοῦ σιδήρου, δεινὸν μὲν ἐκεῖνα τὰ πρῶτα συριγμὸν ὥσπερ ἠφίεσαν· εἶτα πορφυρεός τις ἐκεῖθεν πιμελὴ σὺν αἵματι κατιοῦσα σβεννύειν τε τοῦ πυρὸς ἐῴκει τὴν δύναμιν, καὶ κνίσσης μεστὸν καὶ καπνοῦ τὸν ἀέρα ἐποίει. Οἱ μὲν οὖν παρόντες δυσχερῶς ἔχοντες πρὸς τὴν πικρίαν τοῦ γινομένου, καὶ φανερὸν ἐποίουν τὸ πάθος, καὶ ἀφεθῆναι τοὺς ἄνδρας ἐβόων. Ὁ Ἀγριππῖνος δὲ περιφλεγὴς μᾶλλον C καὶ ἔκφρων τῇ μανίᾳ γενόμενος, καὶ ἄλλας κελεύει σούβλας πάνυ σφόδρα καὶ αὐτὰς πυρωθείσας, ὑπὸ ταῖς μασχάλαις αὐτῶν ἄχρι καὶ ὤμων διαπαρῆναι· ὃ δὴ καὶ μᾶλλον αὐτοῖς ἐπέτεινε τὴν ὀδύνην, καὶ πολλῷ δριμυτέραν ἐνῆκε τὴν αἴσθησιν.

ΜΘ'. Ὁ δῆμος τοίνυν ἀπάνθρωπον ὄψιν οὐκ ἐνεγκόντες, ἀλλὰ τοῦτο μὲν πρὸς τὴν ἀγριότητα τοῦ ἄρχοντος χαλεπήναντές, τοῦτο δὲ καὶ θαύματος ἄξιον εἶναι τὸ γεγονὸς κρίναντες, ὅπως οἱ μάρτυρες πρὸς τηλικαύτας ἀντέσχον ἐπαγωγάς, καὶ μὴ συναπέῤῥηξαν αὐταῖς εὐθέως καὶ τὰς ψυχὰς, πρὸς μὲν τὸν ἄρχοντα λίθους πανταχόθεν ἀφῆκαν· Μέγας ὁ Θεὸς τῶν Χριστιανῶν, λαμπρῶς ὡς εἶχον ἐβόησαν. Θορύβου τοιγαροῦν, ὡς εἰκὸς, πολλοῦ γενομένου, καὶ τοῦ ἐπάρχου φυγῇ τὴν σωτηρίαν πιστεύσαντος, κατὰ D πολλὴν οἱ μάρτυρες ἄδειαν ἐπὶ τὴν Πύραμιν τὸ ὄρος ἀνῆλθον, ἐν ᾧ τά τε τῶν θυσιῶν τοῖς Ἕλλησιν ἐτέλεττο, καὶ τῶν παρ' αὐτοῖς ἐπισήμων θεῶν εἴδωλα κατεκρύπτετο.

Ν'. Οὐ μὲν οὐδὲ οὕτως τὰ τοῦ θυμοῦ τῷ Ἀγριππίνῳ ὑπέληγεν· ἀλλ' ἐπιμελῆ διὰ τῆς ὑπηρετουμένης αὐτῷ τάξεως ἐπὶ πολλὰς ἡμέρας ζήτησιν ποιησάμενος, εὑρίσκει μόλις ποτὲ τοὺς ἁγίους, καὶ συνδραμεῖν πάντας εἰς τὴν ἑξῆς ὅσοι θεοῖς ἐτελοῦντο

[5] Dan. VI, et XIV.

καὶ δαίμοσιν ἐπὶ τὸ ὄρος κηρύξας, ἐφ' ὑψηλοῦ κἀκεῖνος ἐν αὐτῷ προκαθίζει τοῦ βήματος, καὶ τοὺς ἁγίους εἰς μέσον παραγαγὼν, Τί δή ποτε, ἔφη, ταῖς ὑμετέραις μαγγανείαις διεστήσατε μὲν τὸ πλῆθος ἀπ' ἀλλήλων, χεῖρας δὲ καθ' ἡμῶν ἆραι καὶ πρὸς ἄρνησιν χωρῆσαι καὶ βλασφημίαν τῶν θεῶν ἀνεπείσατε; Καὶ οἱ μάρτυρες· Ἡμῖν μὲν, ὦ ἔπαρχε, εἶπον, οὐδὲν εἰς ἀνατροπὴν τοῦ δήμου καὶ διάστασιν πέπρακται, ἀλλὰ καὶ ἡμῶν σιωπώντων, ἀληθὴς αὐτοῖς ἀπό γε τῆς ἀληθείας ἐγνώσθη Δεσπότης, καὶ τοῦτον ὑπὸ μεγάλῃ, ὡς καὶ αὐτὸς οἶσθα, τῇ φωνῇ ζῶντα μόνον Θεὸν ἀνεκήρυξαν. Σὺ δὲ εἴ τινα βούλει καὶ πάλιν ἡμῖν δι' αὐτὸν τιμωρίαν ἐπαγαγεῖν, μὴ μέλλων ἐπάγαγε· δυνατὸς γὰρ οὗτος καὶ αὐτῆς ἡμᾶς ἀπαλλάξαι, καὶ τῶν ὑμετέρων ἐξελέσθαι χειρῶν.

ΝΑ'. Οὕτω τῆς τῶν μαρτύρων καὶ ψυχῆς καὶ γνώμης αἰσχρῶς ὁ Ἀγριππῖνος ἡττώμενος τῶν σωμάτων κρατῆσαι γοῦν ἔσπευδε· καί πρὸς τῇ ἄνω πέτρᾳ τῆς τοῦ ὄρους κορυφῆς αὐτοὺς ἀποτείνας, καὶ ξύλοις παχυτάτοις τά τε ὀστᾶ συνθλάσας, καὶ τὰς σάρκας, οἴμοι! κατατεμὼν, καὶ εἶτα εἰς σάκκους τε ἐμβάλλει, καὶ λίθους αὐτῶν ἐκδώσας μεγίστους, ἀφίησι σφοδρότατα κατὰ τῆς ὑπωρείας. Τῶν μὲν οὖν παρόντων οὐδεὶς ἦν ὃς οὐκ ἐπέπειστο εὐθέως ἀποθανεῖσθαι τοὺς μάρτυρας ὑπὸ τῆς ὀξυτάτης φορᾶς ἐκείνης διασπασθέντας, ἐκεῖνοι δὲ ὀξέως οὕτω φερόμενοι, οὐδὲ πρὸς τὸ τῆς ὑπωρείας ἔσχατον ἔστησαν, ἀλλὰ καὶ αὐτοῦ διεκπεσόντες τοῦ αἰγιαλοῦ τῷ βυθῷ τῆς θαλάσσης κατώλισθον.

ΝΒ'. Ἄνδρες οὖν αὐτόθι τῶν εὐλαβῶν ἐπὶ ἀγρᾳ δῆθεν τῶν μαρτυρικῶν λειψάνων ἑστῶτες ἐτύγχανον, ἵν' εἴ τι παρὰ τῆς θαλάσσης αὐτῶν ἐκβρασθείη, τοῦτο ἀνέλοιντο. Ἐφ' ἱκανὸν τοίνυν ἐκεῖ παραμείναντες ὁρῶσι τοῦ βυθοῦ τοὺς σάκκους ἀναδοθέντας, καὶ ἠρέμα τοῖς ὕδασιν ἐπιπλέοντας. Νεὼς οὖν αὐτίκα μάλα ἐπιβάντες, καὶ πλησίον τῶν σάκκων γενόμενοι, ζῶντας (ὅση σοῦ, Χριστὲ βασιλεῦ, ἡ δύναμις!) ἀναιροῦνται τοὺς μάρτυρας, μηδὲ μικρὸν ἐκείνων ἔτι τῶν πληγῶν ἐφ' ἑαυτῶν ἴχνος ἔχοντας. Μέσης δὲ νυκτὸς καὶ μέγα τοὺς ἁγίους φῶς ἐξ οὐρανοῦ περιήστραψεν, ἄγγελοί τε φανερὰν αὐτοῖς ὤρεξαν χεῖρα, καὶ πρὸς τὴν χέρσον ἐξαγαγόντες, τροφῆς τε μετέδωκαν οὐρανίας, καὶ καταβεβλημένην αὐτῶν τὴν δύναμιν ὑπὸ τῆς συνεχείας τῶν κακῶν ἀνεκτήσαντο.

ΝΓ'. Εἶθ' οὕτως ἐπὶ μέσης οἱ ἅγιοι τῆς πόλεως παρελθόντες τοῖς τε ἄλλοις πιστοῖς τὰ μεγαλεῖα τοῦ Θεοῦ διηγοῦντο, καὶ αὐτοὶ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνοντες, θερμοτέρᾳ πρὸς αὐτὸν ἐχρῆντο τῇ εὐχαριστίᾳ. Πάρεργον δὲ αὐτοῖς τῆς ἐπὶ τὴν πόλιν παρόδου δύο τυφλοὶ παρά τινι ἑστῶτες στοᾷ, ἕτερος τε τὴν χεῖρα κατεσφιγμένος, καὶ ἄλλος πάλιν παρειμένως ἔχων τοῦ σώματος, τῶν μακαρίων ἐκείνων χειρῶν ψιλὴν τὴν ἀφὴν ἄπονον αὗρε θεραπείαν καὶ ἄμισθον. Πολλοί τε ἄλλοι συῤῥεύσαντες πολλαῖς καὶ διαφόροις κάτοχοι νόσοις τὴν αὐτὴν ἐκείνοις πίστιν εἰσενεγκόντες τῆς αὐτῆς ἄρα καὶ θεραπείας ἀπέλαυσαν.

A ipse quoque in eo præsidet in alto tribunali : et cum sanctos in medium produxisset : Cur, inquit, vestris præstigiis et incantationibus in populo seditionem excitatis, ut manus autem in nos tollerent, et ad deos negandos et maledictis insectandos procederent, persuasistis? Martyres vero, A nobis quidem, dixerunt, o præfecte, nihil factum est, quo moveretur et ad seditionem concitaretur populus: sed vel nobis silentibus verus eis ex ipsa veritate cognitus est Dominus, et cum magna, ut ipse nosti, voce vivum solum Deum prædicaverunt. Tu autem si aliquod rursus nobis velis propter ipsum inferre supplicium, infer, non differens ; potest enim is ab eo quoque nos liberare, et a vestris manibus eripere.

B

LI. Sic a martyrum anima et sententia turpiter victus Agrippinus, corpora saltem studebat superare: cumque eos extendisset in petra, quæ erat super verticem montis, et crassissimis lignis ossa eorum confregisset, et carnes, proh dolor, conscidisset, deinde injicit in saccos; et eis maximis alligatis lapidibus, per latera montis dejicit vehementissime. Atque eorum quidem, qui aderant, nullus erat cui non esset persuasum, statim morituros martyres, illo vehementissimo impetu discerptos et distractos. Illi autem cum ferrentur tam celeriter, ne ad extremum quidem montis lateris constiterunt : sed cum ab ipso quoque littore decidissent, dilapsi sunt in profundum maris.

C

LII. Illic itaque stabant ex piis aliquot ad martyrum venandas reliquias, ut si ex eis aliquid a mari ejiceretur, id tollerent. Cum illic ergo satis diu permansissent, vident saccos e profundo redditos, et sensim aquis supernatantes. Cum ergo navem ascendissent, et prope saccos fuissent, viventes (o tua, Christe rex, potentia !) martyres suscipiunt, ne parvum quidem illarum plagarum vestigium adhuc in se habentes. Media autem nocte magna quoque lux sanctos e cœlo circumfulsit : et angeli aperte manum eis præbuere, et cum in terram eduxissent, eos cœlesti alimento impertierunt, malisque assiduis dejectam eorum virtutem recrearunt.

D

LIII. Deinde cum sic sancti in mediam accessissent civitatem, et aliis sanctis Dei narrabant magnalia, et ipsi manus in cœlos extollentes, ei gratias egerunt vehementius. Eorum autem in civitatem adventus accessio in transitu, fuerunt duo quidam cæci, stantes in quadam porticu, et alius, cui erant manus torpefactæ, et alius rursus, cui corpus laborabat paralysi, qui ex beatarum illarum manuum solo contactu, sine labore et mercede invenerunt curationem. Multi quoque alii, qui variis morbis laborabant, cum ad eum confluxissent, eamdem quam illi fidem afferentes, eamdem quoque consecuti fuere curationem.

CAPUT IX.

Ancyræ rursus tolerata tormenta. Pueri, ejus alumni, martyres.

LIV. Cum ergo hæc quoque didicisset præfectus, et ipsa cognovisset experientia, se non modo nihil proficere dum puniret martyres, sed suam potius lædere religionem, ut qui multos videret ex gentilibus, iis quæ præter opinionem ab ipsis fiebant miraculis, transfugere ad pietatem; non audet quidem ipse amplius certamen suscipere, sed de eis ad Maximianum refert imperatorem, qui procul a Nicomedia cum toto versabatur exercitu: cumque alia singulatim retulisset, et quod orti quidem essent in regione Galatarum, patria autem Ancyranorum ; cum eas accepisset Maximianus, et legisset ea quæ continebantur, eum veretur rursus examinare, hoc prætextu rem volens evitare. Nam cum eos Ancyræ esse ortos litteræ significarent, illuc sanctos ad quemdam ducem transmittit, nomine Curicium, dicens : Æquum est, ut quæ genuit, eos et habeat, et alat, et puniat.

LV. Tantum solertia et sapientia et excogitandi facilitate valet Dei providentia, et in rebus dubiis exitum tam facile invenit, et Clemens, qui tantum terræ et maris obierat, et tamdiu fuerat peregrinatus, in charissimam et jucundissimam, sicut optabat, patriam revertitur. Quam cum læto et alacri animo esset ingressus : Gloria tibi, Domine Jesu Christe Deus, dicebat, quod meas preces exaudieris, patriæque et meorum majorum sepulcris me cum pulcha reddideris accessione, cum socio, inquam, certaminis Agathangelo : ut ubi natus sum, illic etiam decedam. Deinde ad Curicium præsidentem in quodam loco, qui vocabatur Cryptos, id est, Occultus, ubi etiam parva quædam ædificata fuerat ecclesia, viri sistuntur egregii. Ille autem conans eos inducere, et ad se pellicere ingenii acumine et solertia, eos ita est allocutus statim in principio :

LVI. Cum accurate, o viri, de vobis didicerim, et quantum terris obieritis, et quot, et quanta subieritis pericula, et quot mortis genera vobis intenta effugeritis, ipse quoque animo afficior, et vel eorum sola frangor auditione, et efficior vobis quodammodo socius calamitatum: et ideo illa magistratus deposita severitate, tam benigne vobiscum et placide colloquor. Videris enim mihi omnino, o Clemens maxime et admirabilis, eo quod ex hæc præstantissima natus sis civitate, in eaque creveris et doctus sis et educatus, ea de causa ne pius quidem in deos in alia videri voluisse civitate, nisi prius in tuam rediisses patriam, pro alia, ut videtur, remuneratione hoc illi reservans. Sunt ergo nunc a te civitati et nobis agendæ gratiæ. Te autem consequatur præclarus quoque Agathangelus. Nolite ergo differre, sed diis de more sacrificate. Sancti vero : Quomodo, dixerunt, fueris nobis so-

ΝΔ'. Μαθὼν τοίνυν καὶ ταῦτα ὁ ἔπαρχος καὶ αὐτῇ πείρᾳ γνοὺς ὡς ἄρα οὐδὲν ὀνίνησι τοὺς μάρτυρας τιμωρούμενος, καὶ ἑαυτῷ μᾶλλον καὶ τῇ ἑαυτοῦ θρησκείᾳ λυμαίνεται, οἷα πολλοὺς καὶ τῶν Ἑλλήνων ὁρῶν τοῖς παραδόξως τελουμένοις ὑπ' αὐτῶν θαύμασιν αὐτομολοῦντας πρὸς τὴν εὐσέβειαν, αὐτὸς μὲν οὐκ ἔτι λοιπὸν τὸν ἀγῶνα θαῤῥεῖ, Μαξιμιανῷ δὲ τῷ μεγάλῳ βασιλεῖ τὰ κατ' αὐτοὺς ἀναφέρει, μακράν που Νικομηδείας ὁμοῦ τῷ παντὶ στρατῷ διατρίβοντι· τἆλλα τε κατὰ μέρος διεξελθὼν, καὶ ὅτι χώρας μὲν τῆς τῶν Γαλατῶν, πατρίδος δὲ τῆς Ἀγκυρανῶν ὥρμηνται. Δεξάμενος οὖν τὰ γράμματα ὁ Μαξιμιανὸς καὶ τὰ ἐγκείμενα ἐπελθὼν, αὖθις ὀκνεῖ τὴν ἐξέτασιν, ταύτῃ τοι καὶ ἀφορμῇ πάλιν εὐπροσώπῳ περιστεῖλαι τὸ πρᾶγμα βουλόμενος. Ἐπεὶ καὶ τῆς Ἀγκυρανῶν ὡρμῆσθαι αὐτοὺς ἐδήλου τὰ γράμματα, ἐκεῖσε τοὺς ἁγίους πρὸς ἡγεμόνα τινὰ Κουρίκιον παραπέμπει οὕτως εἰπών· Τὴν γεννησαμένην ἔχειν τε αὐτοὺς καὶ τρέφειν, καὶ τιμωρεῖσθαι δίκαιον.

ΝΕ'. Οὕτως εὐμήχανός τε καὶ σοφὴ καὶ ἐν τοῖς ἀπόροις εὔπορος ἡ τοῦ Θεοῦ πρόνοια, καὶ ὁ τοσαύτην ἐπελθὼν γῆν τε καὶ θάλασσαν Κλήμης, καὶ τηλικαύτης ἀποδημίας στειλάμενος, τὴν φίλην αὖθις καθάπερ ηὔχετο καὶ ἡδίστην ἀπολαμβάνει πατρίδα. Ἧς δὴ που καὶ σὺν ἡδονῇ ἐπιβὰς καὶ φαιδρότητι, Δόξα σοι, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς, ἔλεγεν, ἀνθ' ὧν εἰσήκουσας τῆς προσευχῆς μου, καὶ τῇ τε πατρίδι καὶ τοῖς προγονικοῖς με τάφοις μετὰ καλῆς τῆς προσθήκης τοῦ συνάθλου, φημὶ, Ἀγαθαγγέλου ἀπέδωκας, ἵν' ὅπου τὴν γέννησιν ἔχον, καὶ τὴν τελευτὴν ἐκεῖ δέξωμαι. Εἶτα προκαθίσαντι τῷ Κουρικίῳ ἐν τόπῳ τινὶ ὃς ἐκαλεῖτο Κρυπτὸς ἔνθα τις καὶ μικρὰ ᾠκοδόμητο ἐκκλησίας, οἱ γενναῖοι παρίστανται. Ὃς δὲ ἐπαγαγέσθαι αὐτοὺς καὶ ὑποκλέψαι περιουσίᾳ δῆθεν ἀγχινοίας πειρώμενος, τοιαῦτα ἐν προοιμίοις ἔτι πρὸς αὐτοὺς διελέγετο.

ΝϚ'. Μαθὼν ἀκριβῶς, ὦ ἄνδρες, τὰ καθ' ὑμᾶς, ὅσην τε περιήλθετε γῆν, ὅσους τε ὑπεμείνατε κινδύνους, καὶ ἡλίκας θανάτων ἐπαγωγὰς διεφύγετε, πάσχω καὶ αὐτὸς τὴν ψυχὴν, καὶ πρὸς αὐτὴν μόνην κατακλῶμαι τὴν ἀκοὴν, καὶ οἱονεὶ κοινωνὸς ὑμῖν τῶν συμφορῶν γίνομαι· διὰ τοῦτο καὶ ἀρχοντικὸν πάντα ὄγκον ἀποβαλὼν οὕτως ἠπίως ὑμῖν καὶ προσηνῶς διαλέγομαι. Δοκεῖς μοι γὰρ πάντως, ὦ θαυμασιώτατε Κλήμη, τῷ τῆς ἀρίστης ταύτης φῦναι πόλεως τραφῆναί τε ἐν αὐτῇ, καὶ αὐξηθῆναι καὶ παιδευθῆναι, τούτου χάριν μηδὲ θελῆσαι ὅσιος τὰ περὶ τοὺς θεοὺς ἐν ἑτέρᾳ ἀναφανῆναι γῇ, εἰ μὴ ἄρα τῆς οἰκείας ἐπιβῇς πάλιν, ἀντ' ἄλλης, ὡς ἔοικεν, ἀμοιβῆς, τοῦτο τῇ πατρίδι ταμιευόμενος. Ὥρα γοῦν σοι χάριτας τῇ τε πόλει καὶ ἡμῖν ἀποδοῦναι. Συνεπέσθω δέ σοι καὶ ὁ καλὸς Ἀγαθάγγελος· μὴ οὖν μέλλετε, ἀλλὰ θύετε θεοῖς τὰ νενομισμένα. Οἱ δὲ ἅγιοι, Πῶς δὲ ἡμῖν κοινωνὸς ἂν, εἶπον, τῶν θλίψεων γένοιο, οἷς ἡδονὴ

μᾶλλον αἱ τοιαῦται θλίψεις εἰσί; Χαίρομεν γὰρ ἐπὶ A τοῖς παθήμασι τούτοις, καὶ τοσοῦτον, ὅσῳ καὶ πάθος μᾶλλον καὶ συμφορὰν τὸ μὴ τοιαῦτα παθεῖν λογιζόμενοι, ὥσπερ καὶ διηνεκῆ πάλιν μακαριότητα, εἰ ἐν τῇ παρούσῃ τοῦ Χριστοῦ πίστει καὶ τῇ ὁμολογίᾳ ταύτῃ τελειωθῶμεν. Εἰ δὲ ἔτι χρὴ καὶ κοινωνεῖν ἀλλήλοις τῶν συμφορῶν, ἡμᾶς δεῖ μᾶλλον τῶν ὑμετέρων λαμβάνειν κακῶν, οἵ γε τὸν ἀληθῆ Θεὸν ἀγνοήσαντες εἰδώλοις ἀναισθήτοις, φεῦ! καὶ κωφοῖς ἀθλίως προστίθεσθε.

ΝΖ'. Πρὸς ταῦτα δεινῶς ἐκθηριωθεὶς ὁ Κουρίκιος, Ἐπειδή, φησί, μοίρας, ὡς ἔοικεν, ἐστὲ πονηρᾶς, καὶ χαίρετε μᾶλλον, ὡς ὁρῶ, τιμωρούμενοι, ἐγὼ τὰ κατὰ γνώμην ὑμῖν φιλοτίμως παρέξω. Σίδηρον οὖν ἐκπυρώσας οὕτω σφοδρῶς, ὡς καὶ σπινθῆρας πανταχόθεν πυρὸς ἀφιέναι, ταῖς τοῦ μεγάλου Κλήμεντος B ὑποβάλλει μασχάλαις· εἶτα καὶ ταῖς πλευραῖς ἀσφαλῶς τοὺς ἀγκῶνας ἐγκαταδήσας, ἵνα καὶ πικροτέρας αἰσθάνηται τῆς ὀδύνης, ξύλον τε ἰσόμηκες ἀνδρὶ κατὰ γῆς πηγνύει, καὶ τὸν Κλήμεντα ὄρθιον ἐν αὐτῷ καταδεθῆναι κελεύει· τὸν Ἀγαθάγγελον δὲ μετεωρίσας, καὶ δημίους πάντοθεν περιστήσας, πλευρὰς αὐτοῦ καὶ κνήμας κατέξαινε. Μεταξὺ δὲ καὶ ὥσπερ ἐπιχλευάζων εἰ ἐπαισθάνοιντο τῶν κολάσεων διηρώτα. Πρὸς ὃν ὁ μέγας Κλήμης τὸ τοῦ Παύλου κατὰ καιρὸν ἀπεκρίνατο, Ὅσον ὁ ἔξωθεν ἡμῶν ἄνθρωπος φθείρεται, λέγων, τοσοῦτον ὁ ἔνδοθεν ἀνακαινοῦται. Ὁ ἡγεμὼν οὖν τὴν ἐκείνου τῆς καρτερίας ὑπερβολὴν ὑπερβολῇ πάλιν κολάσεων νικῆσαι φιλονεικῶν, καὶ σιδηρᾶν περικεφαλαίαν ὡς ἐνῆν μάλιστα ἐκπυρώσας, ἐπὶ τὴν κεφαλὴν φέρων τοῦ μάρτυρος κατατίθησι, C καὶ καπνὸς μὲν αὐτίκα διὰ τοῦ στόματος, τῶν ῥινῶν, τῶν ὤτων ἐπέμπετο. Βαθὺ στενάξας ἐκεῖνος καὶ τὸν Θεὸν ἐπιβοησάμενος, Τὸ ὕδωρ, εἶπε, τὸ ζῶν, ὁ τῆς σωτηρίας ἡμῶν ὑετός, αὐτὸς ἐπίσταξόν μοι τὴν δρόσον τὴν παρὰ σοῦ. Ἐξήγαγες ἡμᾶς τὸ πρὶν ὕδατος, ἐξάγαγε καὶ νῦν ἐκ πυρὸς εἰς ἀνάψυχήν. Ταῦτα εἶπεν, καὶ κατὰ μικρὸν ψυχρόν τε τὸ μηχάνημα ἐκεῖνο κατέστη, καὶ οἱ τὸν Ἀγαθάγγελον ξέοντες ἀπηγόρευσαν. Ὅπερ οὖν ἰδόντα τὸν ἡγεμόνα τρόμος τε σὺν ἐκπλήξει κατέσχε, καὶ τοὺς ἁγίους ἀπάγεσθαι πρὸς τὸ δεσμωτήριον εὐθὺς ἐκέλευσε, τὴν ἀπορίαν ἐν προσχήματι συμπαθείας διαλυόμενος.

ΝΗ'. Ἡ μέντοι σοφὴ Σοφία, ἡ καὶ μήτηρ, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, καὶ παιδαγωγός, καὶ πάντα τῷ καλῷ Κλήμεντι γενομένη, διὰ χρόνου τοῦτον ἰδοῦσα, D οὕτω τε μετὰ τοῦ κόσμου τῆς ὁμολογίας καὶ λαμπρᾶς ἐπανελθόντα τῆς τοῦ μαρτυρίου στολῆς, καὶ πάλιν ἐπιφανέστερον ἐν τῇ πατρίδι τῇ προσθήκῃ τῶν κινδύνων γενόμενον μεστήν τε εἶχεν ἡδονῆς τὴν καρδίαν, καὶ προσεδόκα ὅσον οὐδέπω καταπεμπομένους ἄνωθεν καὶ τοὺς στεφάνους ἰδεῖν. Νυκτὸς δὲ πρὸς τὸ δεσμωτήριον ἀφικομένη καὶ τῷ Κλήμεντι ὡς εἶχε περιχυθεῖσα, καὶ ἡδονῆς ἐπ' αὐτῷ δάκρυα καταστάζουσα, τὸ στόμα, τὰς χεῖρας, τοὺς ὀφθαλμούς, πάντα ἐκείνου γνησίως κατεφίλει τὰ μέλη. Ἔπειτα πῶς ἐκεῖθεν πλεύσοι, τίσιν παραδοθείη, τίνα τὰ μεταξὺ

cius afflictionum, quibus sunt voluptati afflictiones? Lætamur enim his perpessionibus, et eo magis, quod non talia pati, perpessionem esse ducimus et calamitatem; sicut etiam perpetuam rursus beatitudinem, si in præsenti Christi fide et in hac consummemur confessione. Quod si oportet nos esse inter nos socios calamitatum, oportet nos vestrorum malorum potius misereri, qui verum Deum ignorantes, nullo sensu præditis (proh dolor!) simulacris et surdis misere estis dediti.

LVII. His graviter efferatus Curicius: Quoniam, inquit, ut videtur, malarum estis partium, et, ut videtur, lætamini dum cruciamini, ego quæ sunt vobis cordi, præbebo liberaliter et magnifice. Cum itaque statim ferrum vehementer accendisset, ut etiam ignis scintillas undequaque emitteret, id subjicit axillis magni Clementis: et deinde cum lateribus ulnas fortiter alligasset, ut dolorem sentiret acerbiorem, lignum magnitudine ei æquale figit in terram: et Clementem quidem jubet rectum in eo alligari: cum Agathangelum autem sublimem sustulisset, et lictores circa eum omni ex parte statuisset, eorum latera et tibias simul cædebat. Interim autem eos veluti subsannans, interrogabat an sentirent supplicia. Cui magnus Clemens illud Pauli [6] in tempore respondit: Quantum externus homo noster corrumpitur, dicens, tantum internus renovatur. Dux itaque summam illius tolerantiam contendens rursus summis superare suppliciis, ferream quoque galeam, cum eam quantum potuisset accendisset, ferens posuit supra caput martyris: et statim fumus quidem mittebatur per os, per nares, per aures. Cum ille autem profunde ingemuisset, et Deum invocasset: O aqua, inquiens, viva, imber nostræ salutis, ipse, inquit, tuum instilla mihi rorem. Nos quidem prius ex aqua eduxisti, et nunc ex igne educ in refrigerium. Hæc dixit, et paulatim frigida evasit illa machina, et defessi sunt, qui ipsum cædebant Agathangelum. Quod quidem cum dux vidisset, eum invasit tremor et admiratio; et statim jussit sanctos abduci in carcerem, inopiam consilii tegens prætextu misericordiæ.

LVIII. Sapiens autem Sophia, quæ, ut diximus, ejus erat et mater et institutrix, et bono Clementi effecta erat omnia, cum post longum tempus eum vidisset sic rediisse cum ornatu confessionis, et splendida stola martyrii, et rursus in patria evasisse clariorem accessione periculorum, habebat cor plenum lætitia, et sperabat se mox visuram coronas, quæ desuper mitterentur. Noctu autem veniens in carcerem, complexa Clementem, et præ gaudio in eum emittens lacrymas, os, manus, oculos, et omnia denique illius membra germane et suaviter deosculabatur. Deinde quomodo illinc navigaverit, quibusnam traditus fuerit, et quænam interim sustinuerit, et quemadmodum tanto tem-

[6] II Cor. IV, 16.

pore decertaverit, et quisnam sit, qui cum eo sub hoc duce decertaverit, et cum eo rursus est inclusus, singula aperte interrogavit. Postquam vero magnus Clemens singulatim omnia, quomodo se haberent, exposuit, cum eorum abstersisset sanguinem, et mundis linteis mundasset vulnera, eis apponit alimenta, quibus sciebat Clementem nutriri ab ineunte ætate.

LIX. Cum interim autem considerasset Curicius, quod nihil ab eo posset ejusmodi excogitari ad supplicium, ut virorum tantam superaret tolerantiam, vicario cuidam, cui tunc Amesenorum data erat administratio (erat autem ei nomen Domitius) de eis mandat cognitionem. Cum vero ad eum deducerentur martyres, quæ filiorum aut martyrum potius amore tenebatur, ab eis abesse non potuit, sed prompto et alacri animo sequebatur cum iis qui ab ea alebantur, pueris; quos quidem, ut prius diximus, ei Clemens asciverat.

LX. Cum autem ad Maximianum statim esset relatum de pueris, jubet ut, si voluerint quidem discedere a Clemente, eis permittat domum redire : sin vero ab eo non facile recedant, ut eos morti dedat. Cum hæc ergo in pueros lata esset sententia, eos apprehendentes milites, conabantur eos per vim avellere a martyre. Cum ab eo autem disjungi non sustinerent, ipsos se humi dejicientes, et ambabus manibus pedes illius amplectentes, non prius dimiserunt, quam unusquisque eorum ense vitæ finem acceperit, cum constantiam et prudentiam supra ætatem ostendissent, et aperte monstrassent, perfectum hoc donum descendisse desuper a Patre luminum, boni animi et instituti munificentissimam remunerationem. Atque locus quidem, cui puerorum corpora sorte obtigerunt, appellabatur Campus. Pia autem Sophia, propter summam suam in eos benevolentiam, gerebat etiam curam mortuorum corporum, nec se dignum esse existimabat, si ea humi videret jacentia; sed vel invita a magno Clemente disjuncta est et divino Agathangelo, cum eis prius vale fecisset, et dixisset quod si Deus daret, ad eos rursus rediret. Quamobrem cum illa puerorum corpora manibus sanctis sancte humo texisset, illa quidem læta domum est reversa.

A ὑπομείνοι, ὅπως τε τὸν τοσοῦτον ἀθλήσειε χρόνον, καὶ τίς ὁ καὶ συναθλήσας ἐπὶ τοῦ ἡγεμόνος αὐτῷ καὶ μετ' αὐτοῦ πάλιν ἐγκεκλεισμένος, ἕκαστα σαφῶς ἀνηρώτα. Ἐπεὶ δὲ ὁ μέγας Κλήμης ὅπως εἶχε πάντα κατὰ μέρος ἀπήγγειλεν, ἀποψήσασα τούτων τὸ αἷμα, καὶ καθαραῖς τὰ τραύματα σινδόσιν ἐκμάξασα, τροφὰς αὐτοῖς παρατίθησιν αἷς ἐκ παιδὸς τὸν Κλήμεντα ᾔδει τρεφόμενον.

ΝΘ'. Ἐν τούτῳ δὲ σκεψάμενος ὁ Κουρίκιος, ὡς ἄρα οὐδὲν αὐτῷ τηλικοῦτον ἐπινοηθείη πρὸς τιμωρίαν, ὥστε καρτερίας ἀνδρῶν τοσαύτης περιγενέσθαι, βικαρίῳ τινὶ τὴν Ἀμισηνῶν ἀρχὴν τὸ τηνικαῦτα διέποντι (Δομέτιος αὐτῷ ὄνομα) τὰ κατὰ τοὺς ἁγίους ἀνατίθησιν. Ἀγομένοις δὲ τοῖς μάρτυσι πρὸς αὐτὸν, ἡ φιλόφαις, ἡ φιλόμαρτυς μᾶλλον οὐκ ἔσχεν ἀπολει- B φθῆναι Σοφία, ἀλλὰ προθύμως μετὰ τῶν ὑπ' αὐτῇ τρεφομένων ἠκολούθει παιδίων, ἅπερ αὐτῇ πρότερον, ὡς ἔφθημεν εἰπόντες, ὁ Κλήμης εἰσεποιήσατο.

Ξ'. Ἀνενεχθὲν δὲ περὶ τῶν παίδων εὐθὺς Μαξιμιανῷ, κελεύει ὥστε εἰ μὲν ἀποσχέσθαι Κλήμεντος ἐθελήσειαν, παραχωρεῖν αὐτοὺς οἴκαδε ἀναστρέφειν, εἰ δὲ τούτου μὴ εὐχερῶς ὑπόσχοιντο, θανάτῳ παραδιδόναι. Ταύτης τοιγαροῦν κατὰ τῶν παίδων τῆς ψήφου δοθείσης, ἁπτόμενοι τούτων οἱ στρατιῶται, βιαίως ἀποσπᾷν αὐτὰ τοῦ μάρτυρος ἐπειρῶντο· τὰ δὲ οὐχ ὑπομένοντα τὴν διάζευξιν, ῥίπτοντα ἑαυτὰ χαμαὶ, καὶ χερσὶν ἀμφοτέραις τοὺς ἐκείνου περιβάλλοντα πόδας οὐ πρότερον μεθίεσαν ἕως τὴν διὰ ξίφους ἕκαστον αὐτῶν ἐδέχετο τελευτὴν, ἔνστασιν καὶ φρένας C ὑπὲρ ἡλικίαν ἐπιδειξάμενα, καὶ ἀκριβῶς δείξαντα δώρημα τοῦτο τέλειον ἐκ τοῦ Πατρὸς τῶν φώτων ἄνωθεν καταβῆναι, προαιρέσεως ἀγαθῆς καὶ γνώμης ἀντίδοσιν φιλοτιμοτάτην. Ὁ μὲν οὖν τόπος ὃς τὰ τῶν παίδων ἐκληρώθη σώματα, Κάμπος ἐκαλεῖτο. Ἡ δὲ θεοφιλὴς Σοφία τῇ τῆς περὶ αὐτὰ φιλοστοργίας ὑπερβολῇ, καὶ νεκρῶν ἐκήδετο τῶν σωμάτων, καὶ οὐκ ἄξιον αὐτῆς ἐλογίζετο περιιδεῖν αὐτὰ κείμενα ἐπ' ἐδάφους· ἀλλὰ καὶ ἄκουσα τοῦ τε μεγάλου Κλήμεντος καὶ τοῦ θείου Ἀγαθαγγέλου διίσταται, συνταξαμένη πρότερον αὐτοῖς καὶ εἰποῦσα, ὡς ἄρα Θεοῦ διδόντος πάλιν αὐτοὺς ἀπολήψεται· ὅθεν καὶ τὰ μαρ- D τυρικὰ τῶν παίδων ἐκεῖνα σώματα χερσὶν ὁσίαις ὁσίως τῇ γῇ κατακρύψασα, ἡ μὲν οἴκαδε μεθ' ἡδονῆς ἐπανήκει.

CAPUT X.

Cruciatus Amisi illati. SS. Phengontis et Eucarpi martyrium.

LXI. Martyres vero cum ad Amesenorum pervenissent civitatem, et genua in terram aliquamdiu inclinant, et cum ut Deus eis rursus adesset ad auxilium, cum calidis invocassent lacrymis, a militibus adducuntur ad Domitium. Sed ille cum esset occupatus in examinandis aliis Christianis, eos in diem sequentem reservat certis tribunalibus et suppliciis, dicens non esse honestum, ut de eis

ΞΑ Οἱ μάρτυρες δὲ τὴν Ἀμισηνῶν πόλιν καταλαβόντες, τά τε γόνατα εἰς γῆν κλίνουσι, καὶ τὸν Θεὸν παραστῆναι καὶ πάλιν εἰς συμμαχίαν αὐτοῖς μετὰ θερμῶν τῶν δακρύων ἐγκαλεσάμενοι, οὕτως ὑπὸ τῶν στρατιωτῶν τῷ βικαρίῳ προσάγονται. Ἀλλ' ἐκεῖνος περὶ ἑτέραν τηνικαῦτα Χριστιανῶν ἐξέτασιν ἀσχολούμενος, εἰς τὴν ἑξῆς αὐτοὺς ἐπὶ ὡρισμένοις καὶ βήματι καὶ κολάσεσι ταμιεύεται, μὴ καλὸν εἶναι

φήσας πάρεργον θέσθαι τὰ κατ' αὐτούς. Παρίστανται τοίνυν αὐτῷ εἰς τὴν ἐπιοῦσαν μετὰ ψυχῆς ἀτρέπτου καὶ γενναίου φρονήματος, τοσοῦτον ἀπέχοντες τοῦ παθόντας τι τῶν ἐπωδύνων ἐνδοῦναι, καὶ προδοσίαν ὑπομεῖναι τῆς εὐσεβείας, ὥστε καὶ αὐτὸν μεταπείθειν ὁ μέγας Κλήμης ἐπεχείρει τὸν δικαστήν, περὶ τῶν μελλόντων ἀγαθῶν διδάσκων καὶ τῆς ἀθανάτου ζωῆς, ἃ τοὺς διὰ Χριστὸν παθεῖν τι προελομένους ἐκδέχεται, Δι' ὃν καὶ ἡμεῖς, λέγων, τὰς παρούσας κολάσεις μεθ' ἡδονῆς ὑπομένομεν· καὶ τούτων ἔτι πλείω νουθετῶν αὐτὸν καὶ ὑποτιθείς, καὶ πολλῆς αὐτοῦ τὰ ὦτα καὶ ἡδίστης διδασκαλίας ἀποπληρῶν, ὡς καὶ αὐτὸν ἡδονῆς ὑποπλησθέντα τὸν Ἀγαθάγγελον πεσεῖν τε πρὸς τοὺς πόδας αὐτοῦ, εἶτα ἐκεῖθεν ἀναστάντα περιβαλεῖν αὐτόν, καὶ τὸ ἡδὺ ἐκεῖνο στόμα θερμῶς περιπτύξασθαι.

ΞΒ'. Ἀλλ' ὁ Δομέτιος ὄνος ἦν τῆς τοῦ λόγου λύρας ἀκούων οὐδὲ ὀλίγα τῶν εἰρημένων ὑπ' αὐτοῦ συνιείς, ὅλος δὲ τῇ πλάνῃ κάτοχος ὤν, ὁπλίζεται κατὰ τῶν μαρτύρων μεταπείσειν αὐτοὺς ἀπὸ τῆς εὐσεβείας οἰόμενος. Ἀμέλει καὶ διίστησιν αὐτοὺς ἀπ' ἀλλήλων, ἵνα καὶ ἀσθενεστέροις αὐτοῖς οὕτως περιτύχοι, καὶ ἄγει καθ' ἕνα πρὸς τὴν ἐξέτασιν. Ἀλλ' ἐγένετο πᾶν τοὐναντίον. Διαστάντες γὰρ σωματικῶς ὅλως τῷ πνεύματι συνεδέθησαν, καὶ τὰς πρὸς ἀλλήλους συνθήκας καὶ τὴν ὁμολογίαν αἰδούμενοι, γενναιοτέρους οὕτως ἑαυτοὺς παρεσκεύασαν, τὴν ὑπ' ἀλλήλων παράθηξιν παρ' ἑαυτοῦ λαμβάνειν σπεύδων ἑκάτερος.

ΞΓ'. Ὁ τοίνυν ἄνομος δικαστὴς ἐκεῖνος κολάζειν ἐκ προοιμίων προειρημένος, λάκκον τιτάνου πληρώσας ὃν σύνηθες ἄσβεστον ὀνομάζειν, ἐν αὐτῷ καταχώννυσι τοὺς ἁγίους. Ἔπειτα δὲ καὶ στρατιώτας οὗτοις ἐπιστήσας ἀσφαλῶς φυλάττειν ἐκέλευσε· μήπου Χριστιανοί, φησίν, αὐτοὺς νυκτὸς ἀποκλέψωσι. Καὶ τοιαῦτο μὲν ὁ μάταιος ἐκεῖνος, καὶ ματαίοις ὄντως ἐπιχειρῶν, οἶδε ὁ Θεός. Ὥσπερ γὰρ ἡ κάμινος πάλαι, τοὺς τρεῖς ὑποδεξαμένη παῖδας οὐκ ἐλύπησεν, οὐ παρηνώχλησεν, ἵνα τὸ τῆς θείας εἴπω Γραφῆς, οὐ τρίχα μόνην αὐτῶν ἐλυμήνατο, οὕτω δὴ καὶ ἐπὶ τούτων αὐτῶν ἐγίνετο. Δευτέρας γὰρ ὥρας ἐν τῷ τιτάνῳ βληθέντες παρ' ὅλην ἡμέραν (Παρασκευὴ δὲ ἦν) ἀποθεῖς κακοῦ τὸν Θεὸν ὑμνοῦντες εἱστήκεσαν· ἑσπέρας δὲ καὶ φῶς αὐτοῖς ἄνωθεν ἐῤῥάγη, καὶ διὰ πάσης αὐτοὺς νυκτὸς περιέλαμπεν.

ΞΔ'. Ἠκολούθησε τῷ θαύματι καὶ καρπός· δύο γὰρ τῶν ἐπ' αὐτοῖς τεταγμένων στρατιωτῶν, τὴν λαμπηδόνα καὶ τὴν φαιδρότητα τήνδε καταπλαγέντες, ἄσμενοί τε τῇ ἀσβέστῳ ἐμπεπηδήκασι, καὶ Χριστιανούς, ὡς εἶχον, ἑαυτοὺς ὡμολόγησαν. Ἄρτι δὲ ἡμέρας ὑποφαινούσης, τεθνάναι ἤδη αὐτοὺς προσδοκῶν ὁ τῇ δυσσεβείᾳ νεκρὸς βικάριος, ἐκβληθῆναι τούτων τὰ σώματα τοῦ λάκκου κελεύει. Καὶ προσελθόντες οἱ τὴν φυλακὴν αὐτῶν πιστευθέντες, ὁρῶσιν αὐτούς τε καὶ τοὺς αὐτομολήσαντας αὐτοῖς στρατιώτας οὐ-

A cognitionem aliis adjungeret. Ad eum ergo adducuntur die sequenti cum generoso et excelso animo, et qui erat expers omnis timoris; qui tantum abest, ut si quid grave paterentur, cederent et pietatem proderent, ut etiam ipsum judicem magnus Clemens conatus sit in suam traducere sententiam, docens de bonis futuris et de vita immortali, quæ exspectant qui pati propter Christum constituerunt: Propter quem nos quoque præsentia, dicebat, supplicia lubenter sustinemus; et adhuc his plures adjiciens admonitiones, et ejus aures implens doctrina jucundissima, adeo ut ipse quoque Agathangelus repletus voluptate, procideril ad ejus pedes, et cum illinc deinde surrexisset, eum sit complexus, et suave illud os

B ardenter deosculatus.

LXII. Sed Domitius, ut est in proverbio, erat asinus ad lyram in audiendo: et nec pauca quidem intelligebat ex eis quæ ab eo dicta fuerant, sed cum ab errore totus detineretur, arma capit contra martyres, existimans fore ut eos a pietate traduceret. Certe eos a se invicem separat, ut etiam sic in eos incideret imbecilliores, et singulos seorsum ducit ad examinationem. Sed totum evenit contrarium. Nam cum disjuncti esseni corpore, erant omnino colligati spiritu, et reverentes eas, quæ erant inter se invicem factæ, conventiones et confessionem, sic seipsos effecerunt magis generosi et magis excelsi animi, eam quæ erat a se invicem, incitationem a se contendens uterque

C accipere.

LXIII. Impius ergo ille judex, cum eos ab initio punire statuisset, cisterna quadam calce impleta, sanctos in ipsa defodit. Deinde cum prope statuisset milites, jussit ut eos diligenter servarent: Ne forte, inquit, Christiani eos noctu suffurentur. Et hæc quidem ille stultus, ei vere sulta aggrediens, ut novit Deus. Quomodo enim fornax, quæ olim tres suscepit pueros 7, nullo eos dolore nec ulla affecit molestia, et ut dicam cum divina Scriptura, ne unum quidem eorum pilum læsit; ita etiam in his factum est. Nam cum hora sæcula jacti essent in calcem, toto die (erat autem Parasceve) steterunt nullo malo affecti, Deum laudantes. Vespere vero et lux eis desuper emicuit, et per totam noctem eos circumfulsit.

D LXIV. Miraculum autem fructus quoque est consecutus. Duo enim ex militibus, quibus erat eorum demandata custodia, hunc splendorem mirati et hanc alacritatem, et lubenter in calcem insilierunt, et Christianos se esse confessi sunt. Cum vero jam dies appareret, eos esse mortuos existimans vicarius, qui erat impietate mortuus, jubet eorum corpora ejici e cisterna. Et cum accessissent ii quibus erat eorum commissa custodia, vident eos, et milites qui ad eos transfugerant, nihil quidem grave

7 Dan. III.

sustinuisse; sed habere divinam quamdam gratiam in suo vultu efflorescentem, et e facie dulcem quemdam radium emittere. Cum eos ergo e cisterna trahissent, de militibus vicario renuntiant (erant autem eorum nomina Phengon et Eucarpus), et illo jubente protinus fuere cruxcifixi clara quoque ipsi luce confessionis habentes oculos illuminatos, et jam remunerationum fruentes præmiis.

A δὲν μὲν ἀπὸ τῆς ἀσβέστου χαλεπὸν ὑποστάντας, θείαν δέ τινα χάριν ἐπάνθοῦσαν αὐτῶν ταῖς ὄψεσιν ἔχοντας, καὶ ἀκτῖνα τοῦ προσώπου τινὰ γλυκεῖαν ἐπαφιέντας. Ἀνιμησάμενοι τοίνυν αὐτοὺς ἐκ τοῦ λάκκου τῷ βικαρίῳ περὶ τῶν στρατιωτῶν ἀπαγγέλλουσι (Φέγγων ἦν αὐτοῖς καὶ Εὔκαρπος τὰ ὀνόματα), κἀκείνου προστάξαντος, εὐθὺς ἀνεσκολοπίζοντο, λαμπρῷ καὶ αὐτοὶ τῆς ὁμολογίας φέγγει τὰς ὄψεις περιλαμπόμενοι, καὶ προοίμια ἤδη τῶν ἀμοιβῶν καρπούμενοι.

LXV. Clemens vero et Agathangelus adhuc currebant in statio martyrii. Vicarius autem studebat iis quoque vitam præsentem adimere, ut qui nec videret eos persuaderi bonorum promissionibus, nec omnino malorum cedere insultibus, plures adhuc præclariores volens eis coronas contexi. Dehinc certe vicarius jussit duo lora exscindi ex tergis uniuscujusque: deinde autem ipsos quoque verberari virgis toto corpore vehementissime. Illi vero, cum etiam eis carnes conciderentur, et ossa contererentur, fortiter tamen et constanter sustinebant præsentia, tanquam ad impatibilem jam traducti naturam, et nullam sentientes necessitatem corporis. Præclarus autem Clemens tales quoque voces ad Deum loquebatur, dicens: Domine Jesu Christe, qui quidquid spirat, e luto propriis fabricatus es manibus, et homini nervos et ossa et aliam construxisti figuram, qui etiam nos sæpe contritos confirmasti, et concidentes stabilisti, afflictosque et prostratos erexisti, ipse ossa quoque nostra nunc contrita erige, et tua imple exsultatione. Ipse enim es, o rex invicte, qui in nobis hoc certamen decertas: ut per nostram imbecillitatem tua apertius ostendatur potentia. Quomodo enim hoc corpus, in quod cadit interitus, tales vicerit perpessiones? Ita magnus Clemens cum Deo loquebatur.

ΞΕ'. Κλήμης μέντοι καὶ Ἀγαθάγγελος ἔτι τὸν τοῦ μαρτυρίου δίαυλον ἔτρεχον· ὁ βικάριος δὲ καὶ αὐτοὺς ἔσπευδε τῆς παρούσης ζωῆς ὑπεξαγαγεῖν, οἷα μήτε ἀγαθῶν ἐπαγγελίαις πειθομένους ὁρῶν, μήτε κακῶν ἐπαγωγαῖς ὅλως εἴκοντας, πλείους αὐτοῖς ἔτι καὶ B λαμπροτέρους πλακῆναι τοὺς στεφάνους βουλόμενος. Ἔνθεν τοίνυν καὶ δύο μὲν ἱμάντας τῶν ἑκάστου νώτων ὁ βικάριος διεκκοπῆναι κελεύει, ἔπειτα δὲ καὶ ῥάβδοις αὐτοὺς ὅλον τὸ σῶμα σφοδροτάτως τύπτεσθαι. Οἱ δὲ καὶ τὰς σάρκας τεμνόμενοι, καὶ τὰ ὀστᾶ συντριβόμενοι, ὅμως καρτερῶς τὰ παρόντα καὶ εὐτόνως ὑπέμενον, ὥσπερ ἤδη πρὸς τὴν ἀπαθῆ μεταθέμενοι φύσιν, καὶ μηδεμιᾶς ἀνάγκης τοῦ σώματος αἰσθανόμενοι. Ὁ δὲ γενναῖος Κλήμης καὶ φωνὰς πρὸς τὸν Θεὸν τοιαύτας ἐφθέγγετο· Κύριε Ἰησοῦ Χριστὲ, λέγων, ὁ πᾶσαν ἐκ πηλοῦ πνοὴν χερσὶν οἰκείαις δημιουργήσας, καὶ νεῦρα τῷ ἀνθρώπῳ καὶ ὀστᾶ καὶ τὴν ἄλλην κατασκευάσας διάπλασιν, ὁ καὶ συντριβέντας πολλάκις ἡμᾶς ἐπιῤῥώσας, καὶ καταπίπτοντας ὑποστηρίξας, καὶ ἀνορθώσας κατεῤῥαγμένους, C αὐτὸς καὶ τὰ συντριβέντα ἡμῶν ὀστᾶ νῦν ἀνόρθωσον καὶ τῆς σῆς ἀγαλλιάσεως ἔμπλησον· αὐτὸς γὰρ εἶ, ἀνίκητε βασιλεῦ, ὁ ἐν ἡμῖν τὸν ἀγῶνα τοῦτον ἀγωνιζόμενος, ὥστε καὶ σαφεστέραν διὰ τῆς ἡμετέρας ἀσθενείας τὴν σὴν ἐπιδειχθῆναι δύναμιν· ἐπεὶ πῶς ἂν τὸ φθαρτὸν τοῦτο σῶμα τηλικούτων περιεγένετο παθημάτων; Ταῦτα ὁ μέγας Κλήμης τῷ Θεῷ διελέγετο.

LXVI. Vicarius autem videns eos superius præsentia, ad alium modum processit supplicii: et cum duos ferreos candefecisset grabatos, facit ut in altero eorum alter recumbat. Cum vero multum ignis inferius substravisset, oleum et ignem et picem et sulphur infundit. Cum multus ergo, ut est consentaneum, et flamma sublati essent in magnam partem aeris, ii quidem qui circumsistebant, quinetiam ipse quoque cum eis magistratus, id quod erat rei et naturæ consequens, credebant omnes sanctos esse mortuos. Significabat autem jam lictoribus quoque vicarius, ut rogo exstincto, corpora sanctorum jacerent in fluvium. Eos vero invaserat quidem dulcis somnus et inexplicabilis; in somno autem visio quoque accedebat. Visio vero erat ipse agonotheta Christus, qui cum exercitu angelorum apparuit, et dixit: Nolite timere, ego enim sum vobiscum [8]. Illi ergo cum ab hoc divino

ΞϚ'. Καὶ ὁ βικάριος κρείττους αὐτοὺς καὶ τῶν παρόντων ὁρῶν πρὸς ἕτερόν τινα τιμωρίας τρόπον ἐχώρει, καὶ δύο σιδηροῦς ἐκπυρώσας κραββάτους, ἐν ἑκατέρῳ τούτων ἑκάτερον ἀνακλίνει. Κάτωθεν δὲ πῦρ ἄφθονον ὑποστρώσας, ἔλαιόν τε καὶ πίσσαν καὶ θεῖον ἄνωθεν ἐπιχέει. Καπνοῦ τοίνυν, ὡς εἰκὸς, πολλοῦ καὶ φλογὸς ἐπιπολὺ τοῦ ἀέρος ἀρθέντων, οἱ μὲν D περιεστῶτες, ἀλλὰ καὶ αὐτὸς σὺν αὐτοῖς ὁ ἄρχων, ὅπερ ἦν καὶ τῷ πράγματι καὶ τῇ φύσει ἀκόλουθον, τεθνάναι πάντες ἐπίστευον. Ἐσήμαινε δὲ καὶ τοῖς δημίοις ὁ βικάριος ἤδη, σβέσαντας τὴν πυρὰν ῥίψαι κατὰ τοῦ ποταμοῦ τῶν ἁγίων τὰ σώματα· τοὺς δὲ ἦν ἄρα λαβὼν ὕπνος τις γλυκὺς ἀπόῤῥητος, ἐπὶ τῷ ὕπνῳ δὲ καὶ ὄψις ἐφοίτα. Ἡ δὲ ὄψις αὐτὸ ἦν ὁ ἀγωνοθέτης Χριστὸς μετὰ στρατιᾶς ἀγγέλων ἐπιφανεὶς, καὶ, Μὴ φοβεῖσθε, εἰπών· ἐγὼ γάρ εἰμι μεθ' ὑμῶν. Ἐκεῖνοι μὲν οὖν τοῦ θείου τούτου ὕπνου ἀνενεγκόντες ἀλλήλοις ἐκοινοῦντο τὴν ὅρασιν, καθάπερ

8 Matth. XXVIII.

ἐν εὐώδει πόᾳ καὶ μαλακῇ, ἀλλ' οὐκ ἐν φλογὶ μέσῃ κείμενοι.

A somno essent expergefacti, communicabant sibi invicem visionem, tanquam in herba molli et odorifera, non in media autem flamma, jacentes.

CAPUT XI.

Ignis cruciamentum Tarsi superatum.

ΞΖ'. Δομέτιος δὲ παραδόξως οὕτω καὶ τοῦ πυρὸς αὐτοὺς περιγενομένους ἰδὼν, καὶ μὴ ἔχων ὅ τι λοιπὸν αὐτοῖς χρήσαιτο, παρὰ Μαξιμιανὸν αὖθις αὐτοὺς ἀναπέμπει ἐκ Ταρσοῦ τηνικαῦτα πρὸς Ἄγκυραν ἀναστρέφοντα. Οἱ ἅγιοι τοίνυν ὑπὸ στρατιώταις μετὰ πολλῶν καὶ ἄλλων Χριστιανῶν ἀψάμενοι τῆς πορείας, ἐπειδὴ τῷ τε τῆς ὁδοῦ μήκει τὰ σώματα πεπονήκεσαν, ἄλλως τε δὲ καὶ ἡ ὁδὸς ἣν ἔμελλον διαβαίνειν, B ἔρημος ἐπιπολὺ οὖσα καὶ ἀτεχνῶς ἄνυδρος, εἰς ὀξὺ δίψος αὐτοὺς ἀνέφλεγε. Τούτῳ δὲ αὐτῷ καὶ τοὺς ὁδοιποροῦντας δεινῶς πιεζομένους ὁρῶντες καὶ ὅσον οὔπω ἐκλείποντας, εἰς εὐχὴν μετὰ τῶν γονάτων καὶ αὐτὴν κλίναντες τὴν καρδίαν, Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν, εἶπον, ὁ καὶ θαλάσσης ὕδατα πρότερον ὡσεὶ τεῖχος παγῆναι ποιήσας, καὶ ὕδωρ ἐκ πέτρας πάλιν ἐξαγαγὼν, αὐτὸς ἐπίβλεψον καὶ νῦν ἐφ' ἡμᾶς, ἐπίβλεψον, βασιλεῦ· διαπέφλεκται γὰρ ἰσχυρῶς ἡ ψυχὴ ἡμῶν, καὶ τρέχομεν ἐν δίψει καύματος ἐν ἀνύδρῳ· σοῦ δὲ βουλομένου, πάντως καὶ ὕδωρ ἡ γῆ, καὶ αὖ πάλιν γῆ τὸ ὕδωρ γενήσεται. Ταῦτα ἔλεγόν τε, καὶ θερμὰ δάκρυα αὐτῶν ὀφθαλμῶν ἀπέῤῥεον. Προσευξαμένων γοῦν καὶ εἰς τὸν οὐρανὸν εὐθέως ἰδόντων, καθαρόν τι νᾶμα καὶ διειδὲς τῆς ξηρᾶς ἐκείνης C καὶ ἀνημέρου γῆς ἀναδίδοται· οὗ καὶ πιόντες τὸ πιέζον αὐτοὺς τὸ δίψος ἐκοίμισαν.

ΞΗ'. Τῆς φήμης οὖν καὶ τοῖς πόῤῥω διαδοθείσης συνέῤῥεον πρὸς αὐτοὺς οἱ περίοικοι, καὶ πολύ τι πλῆθος αὐτοῖς πολλοῖς καὶ ποικίλοις πάθεσιν ἐνοχλουμένων προσήγετο. Ἀλλ' ἡ τῶν χειρῶν ἀφὴ μόνον ἑκάστῳ τοῦ πάθους ἐγίνετο φάρμακον. Ὁ τοίνυν μακαριώτατος Κλήμης (ἐπ' αὐτὸν γὰρ μόνον αὖθις τὸν λόγον ἐπαναγάγωμεν) οὕτω πάσχειν ἐδίψα διὰ Χριστὸν, ὥστε μηδὲ ὀλιγωθῆναι ταῖς τιμωρίαις τὸν χρόνον αὐτῷ τῆς ζωῆς ηὔχετο, ἀλλὰ διὰ τέλους παραταθῆναι τὰ σκάμματα, Δέσποτα Κύριε, λέγων, μόνε βασιλεῦ τῶν αἰώνων, μὴ ἀναγάγῃς με ἐν ἡμίσει τῶν ἡμερῶν μου, τοῖς καθημερινοῖς τούτοις κινδύνοις ἀπαγορεύσαντα· ἀλλὰ παράσχου μοι τῷ ἁμαρτωλῷ παρ' ὅλην μου τὴν ζωὴν ὑπὲρ τοῦ σοῦ ὀνόματος D καὶ τῆς σῆς ὁμολογίας πάντα παθεῖν, καὶ αὐτά σοι καταθῦσαι τὰ μέλη, ὡς ἂν μετὰ πλείονος ἀπολάβω πάλιν αὐτὰ τῆς λαμπρότητος. Ταῦτα ὁμοῦ τε ηὔξατο, καὶ φωνῆς ἄνωθεν εὐθέως ἀκούειν ἐῴκει· ἡ φωνὴ δὲ ἦν· Ἅπερ ᾐτήσω, Κλήμη, νῦν δέδοταί σοι. Ἴσχυε καὶ ἐνδυναμοῦ, καὶ τὸν δρόμον ὄντως τρέχε τὸν τῆς ἀθλήσεως· ὁ πᾶς γάρ σοι τῆς ζωῆς ὑπόλοιπος χρόνος, μετά γε τῶν ἤδη τῇ ἀθλήσει διηνυσμένων εἰς ὀκτὼ καὶ εἴκοσιν ἔτη τῷ μαρτυρίῳ ἀριθμηθήσεται.

LXVII. Cum eos vero Domitius vidisset ita admirabiliter et præter opinionem ignem superavisse, nec sciret deinceps quidnam eis faceret, remittit eos ad Maximianum, qui tunc ex Tarso revertebatur Ancyram. Cum sancti ergo sub militibus cum multis quoque aliis Christianis essent iter ingressi, quoniam et viæ longitudine defessa erant corpora, et alioqui via, qua erant transituri, erat admodum deserta et plane aquæ expers, sitis eos urebat vehementissime. Et eum viderent graviter premi eos, qui una iter ingrediebantur, et mox esse defecturos, ad preces cum genibus ipsum cor quoque inclinantes: Domine Jesu Christe, Deus noster, dicebant, qui etiam prius a quas maris tanquam murum firmas effecisti et stabiles, et aquam rursus eduxisti e petra; ipse nunc quoque super nos respice, respice, inquam, rex: valde enim ardet nostra anima, et currimus in siti æstus in loco qui est sine aquis. Te autem volente, omnino et terra aqua, et rursus aqua terra fiet. Hæc et dicebant, et calidæ lacrymæ eis fluebant ex oculis. Cum itaque orassent, et protinus in cœlum suspexissent, purum quoddam et perspicuum fluentum ex illa arida et inculta terra emittitur. Ex quo cum bibissent, eam quæ eos premebat sitim sedarunt.

LXVIII. Cum hujus autem rei fama etiam ad eos, qui procul erant remoti, pervasisset, ad ipsos confluebant qui circumcirca habitabant, et magna hominum multitudo, qui multis et variis morbis vexabantur, ad eos adducebatur. Manuum autem solus contactus fuit unicuique morbi medicamentum. Beatissimus ergo Clemens (ad ipsum enim solum rursus revertitur oratio) propter Christum pati adeo sitiebat, ut nec vitæ quidem suæ tempus oraret minui suppliciis, sed ejus septa extendi perpetuo: Domine, dicens, qui es solus rex sæculorum, ne me abduxeris in dimidio dierum meorum, his quotidianis defessum periculis: sed præbeas mihi peccatori per totam eam vitam omnia pati pro tuo nomine et tua confessione, et vel ipsa tibi membra sacrificare, ut ea rursus accipiam cum majori splendore. Hæc simul ac precatus est, visus est sibi vocem audire ex alto, dicentem: Quæ petiisti, Clemens, ea nunc tibi data sunt. Te fortiter gere, et tuas vires confirma, et certaminis cursum constanter confice. Universum enim quod tibi restat vitæ tempus, cum iis, quæ certando jam a te sunt peracta, numerabitur ad viginti et octo annos martyrii.

LXIX. Sic ergo egregius Clemens, cum e cœlo acceperisset certum pignus martyrii, ad Ancyranorum civitatem rursus confidenter procedebat una cum Agathangelo. Qui eos autem adducebant milites, audientes imperatorem adhuc versari Tarsis oppido Ciliciæ, illuc ad eum sanctos ducunt. Ille autem cum eos statim sisti curasset et id quod revera erat celasset, simulata benignitate, humane et placide eos primum conabatur inducere : Mihi videmini, dicens, o viri, propterea in hodiernum usque diem non induxisse in animum, ut omnino cederetis, sed in eos potius, ad quos missi estis, immorigeri fuisse et contentiosi, ut ad nos usque veniretis, et non prius in alicujus alterius, quam in ipsius imperatoris oculis mutaremini. Scit enim sæpe præsentia imperatoris animum quoque transmutare, et id quod est valde inimicum provocare ad benevolentiam. Ecce ergo nostro aspectu dignati estis in præsentia, propediem autem digni quoque nostra censebimini benevolentia, si prius deos ut servatores et communes hominum curatores colueritis. Præclari autem viri præclare admodum respondentes : Quod ad tuam quidem potentiam, dixerunt, deducti sumus, o imperator, ipsi quoque lætamur : sed ut qui pro tuo tribunali supplicio propter Christum, non aliquo autem alio honore, digni simus censendi. Sic enim cum magna fiducia sistemur ad illius terribile, et quod corrumpi minime potest, tribunal : quam ut consequaris, te quoque rogamus, o imperator. Ipse enim est, per quem et reges vere regnant, et tyranni in terra dominatum obtinent. Ipse enim est, qui et destruit omnem gentem, et Romanorum extollit imperium, et adhuc magis extollet, et per ipsum omnibus dominabitur gentibus. Quod quidem propheta quoque appellat virgam ferream : Dedit tibi, dicens, gentes hæreditatem tuam, et possessionem tuam fines terræ. Pasces eos in virga ferrea [8]. Porro autem imperatores quoque, qui vos sequentur, excitabit pios et veri Dei cultores. Nam hoc quoque prius elocutus est Spiritus.

A ΞΘ'. Οὕτως οὖν ὁ γενναῖος Κλήμης ἐξ οὐρανοῦ τὸ τοῦ μαρτυρίου λαβὼν ἐχέγγυόν, εἰς τὴν Ἀγκυρανῶν αὖθις σὺν Ἀγαθαγγέλῳ πεποιθότες ἐχώρουν· οἱ δὲ ἀπάγοντες αὐτοὺς στρατιῶται διατρίβειν ἐν Ταρσῷ τῆς Κιλικίας ἔτι τὸν βασιλέα πυθόμενοι, ἐκεῖ παρ' αὐτὸν ἄγουσι τοὺς ἁγίους. Ὁ δὲ παραστησάμενος εὐθέως αὐτοὺς, καὶ κρύψας ὁ ταῖς ἀληθείαις ἦν, προσποιήτῳ φιλανθρωπίᾳ, ἡμέρως οὕτω καὶ προσηνῶς ἐπαγαγέσθαι πρῶτον αὐτοὺς ἐπειρᾶτο· Ἐοίκατέ μοι, λέγων, ὦ ἄνδρες, ὅτι διὰ τοῦτο μέχρι καὶ νῦν οὐκ εἶξαι τὸ παράπαν οὐδὲ ἐνδοῦναι ἀνέσχεσθε, ἀλλ' ὅτι μᾶλλον καὶ πρὸς οὓς παρεπέμφθητε λίαν ἀπειθεῖς κατέστητε καὶ φιλόνεικοι, ἵν' ἕως ἡμῶν αὐτῶν ἔλθητε, καὶ μὴ ὑπ' ἄλλῳ τινὶ πρότερον, ἀλλ' ἢ ὑπὸ τοῖς αὐτοῦ βασιλέως ὀφθαλμοῖς μεταβάλητε. Οἶδε γὰρ B πολλάκις παρουσία βασιλικὴ καὶ γνώμην μεταποιεῖν, καὶ τὸ σφόδρα πολέμιον μετακαλεῖσθαι πρὸς εὔνοιαν. Ἰδοὺ τοιγαροῦν τῆς ἡμετέρας τόγε νῦν ἔχον ὄψεως ἠξιώθητε, οὐκ εἰς μακρὰν δὲ καὶ τῆς εὐμενείας ἀξιωθήσεσθε, εἴ γε τοὺς θεοὺς πρότερον οἷα σωτῆρας καὶ κηδεμόνας ἀνθρώπων κοινοὺς θεραπεύσητε. Καὶ οἱ γενναῖοι μάλα γενναίως ὑπολαβόντες· Ὅτι μὲν τῷ σῷ κράτει παρέστημεν, εἶπον, ὦ βασιλεῦ, ἡδόμεθα αὐτοὶ, πλὴν ἄλλως τιμωρίας διὰ Χριστὸν καὶ πρὸ τοῦ σοῦ βήματος, οὐχ ὥς τινος ἄλλης τιμῆς ἀξιωθησόμενοι· οὕτως ἂν γὰρ μετὰ πολλῆς τῆς παῤῥησίας τῷ φοβερῷ ἐκείνου καὶ ἀδεκάστῳ βήματι παρασταίημεν, ἧς ἐπιτυχεῖν εὐχόμεθα καὶ σὲ, βασιλεῦ· αὐτὸς γάρ ἐστι δι' οὗ βασιλεῖς βασιλεύουσι, καὶ τύραννοι κρατοῦσι γῆς· αὐτὸς ὁ καὶ πᾶν ἔθνος καθαιρῶν, καὶ C τὴν Ῥωμαίων ἀρχὴν ὑψῶν, καὶ ἔτι μᾶλλον ὑψώσων, καὶ δι' αὐτοῦ βασιλεύσων πάντων ἐθνῶν· ἣν δὴ καὶ ῥάβδον ὁ προφήτης σιδηρᾶν ὀνομάζει, Δέδωκά σοι, λέγων, ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. Καὶ βασιλεῖς δὲ μεθ' ὑμᾶς εὐσεβεῖς ἀναστήσει· καὶ τοῦτο γὰρ τῷ Πνεύματι προανεπεφώνηται.

LXX. His ergo vehementius commotus Maximianus, Quosnam, inquit, o vos, qui violenta estis morte perituri, legistis libros fatidicos, qui hæc fabulantur? Illi autem: Non fatidicos, sed propheticos potius, dixerunt, o imperator, in quibus utique hoc quoque scriptum est: Exsurgere faciet Deus in diebus novissimis reges pios. Maximianus vero, dum ii hæc dicerent, interrumpens orationem : Quid vero, inquit, non nos ii sumus, qui in deos tanta pietate utimur, ut eos quoque qui eis non parent, ut nunc vos, malis afficiamus gravissimis? Quamobrem magnus Clemens, silente Agathangelo: Sed, o imperator, inquit, si fuisset quidem aliqua mutatio impietatis, ex quo illud prædictum est propheticum, ea quæ a te dicta sunt, aliquam haberent rationem. Cum autem cultus simulacrorum in ho-

Ο'. Ὀξύτερον τοίνυν πρὸς ταῦτα κινηθεὶς Μαξιμιανος· Ποίας, ἔφη, βιαιοθάνατοι, μαντικὰς ἀνέγνωτε βίβλους τὰ τοιαῦτα μυθολογούσας; — Οὐ μαντικὰς, ἀλλὰ προφητικὰς μᾶλλον, εἶπον ἐκεῖνοι, ὦ βασιλεῦ, D ἐν αἷς που καὶ τοῦτο γέγραπται· Ἀναστήσει ὁ θεὸς ἐν ταῖς ἐσχάταις ἡμέραις βασιλεῖς εὐσεβεῖς. Καὶ Μαξιμιανὸς μεταξὺ λεγόντων αὐτῶν ἐπιλαβόμενος τοῦ λόγου, Τί δέ; οὐχ ἡμεῖς, εἶπεν, οὗτοι, οἵ γε τοσαύτῃ περὶ τοὺς θεοὺς εὐσεβείᾳ χρώμεθα, ὥστε καὶ τοὺς ἀπειθοῦντας αὐτοῖς, ὥσπερ δὲ καὶ νῦν ὑμᾶς, ἀνηκέστοις ἐκδιδοῦμεν κακοῖς; Ἐφ' οἷς ὁ μέγας Κλήμης, ἡσυχίαν ἄγοντος τοῦ Ἀγαθαγγέλου· Ἀλλ', ὦ βασιλεῦ, εἶπεν, εἰ μέν τις ἐγένετο τῆς ἀσεβείας μεταβολὴ, ἐξότου τὸ προφητικὸν τουτὶ προηγόρευται, εἶχεν ἄν τινά σοι λόγον τὰ εἰρημένα. Ἐπεὶ δὲ τὰ τῆς εἰδωλολατρείας ἔτι καὶ νῦν ἐπιπολάζει τῇ οἰκουμέ-

[8] Psal. II, 9.

νῃ, δῆλον ὡς ἕτερος εἴη πάντως ὁ τῶν εὐσεβῶν βασιλέων καιρός. Πρὸς ταῦτα θυμῷ πάλιν ἀσχέτῳ ληφθεὶς Μαξιμιανὸς τὴν φωνὴν εὐθέως ἐσβέννυτο· κάμινός τε αὐτίκα τῆς Χαλδαίων παρὰ πολὺ μείζων τοῖς ἁγίοις ἀνήπτετο. Ἀλλὰ καὶ εἰς αὐτὴν ἐμβληθέντας ἡ θεία χάρις αὐτοὺς ἐδρόσιζεν, ὥσπερ ἐκεῖ τοὺς παῖδας, οὕτως ἀβλαβεῖς ἐνταῦθα τηροῦσα τοὺς μάρτυρας· νύκτα μὲν οὖν ὅλην καὶ ἡμέραν αὐτοὺς ἡ κάμινος εἶχεν, ἦχος δέ τις ἐκεῖθεν ἑορταζόντων ἠκούετο, καὶ καπνὸς εὐώδης καὶ ἡδὺς ἀνεφέρετο.

ΟΑ'. Ταῦτα μηνύεται Μαξιμιανῷ, καὶ ἐκεῖνος ἤδη τῆς φλογὸς ἀπομαρανθείσης ἐπιστὰς ὁρᾷ σώους ἐν αὐτῇ τοὺς ἁγίους, (ὢ τοῦ θαύματος !) μηδὲ τρίχα μόνην αὐτῶν τῆς φλογὸς τὸ παράπαν λυμηναμένης, ἀλλὰ τὰς χεῖρας εἰς οὐρανοὺς ἀνατεταμένας ἔχοντας, τὰ χείλη δὲ πρὸς δοξολογίαν ὑποκινοῦντας· καὶ τούτους εὐθέως τῷ οἰκείῳ βήματι παραστήσας, Καὶ ἐν τούτῳ γοῦν, ἔφη, χαρίσασθέ μοι, ὥστε γνωρίσαι ὁποίαις δήποτε ἐπῳδαῖς τὴν τοῦ πυρὸς ἀφαιρεῖσθε δύναμιν. Οἱ δὲ, Οὐκ ἐπῳδαῖς, εἶπον, ὦ βασιλεῦ, ἀλλὰ μονῃ τοῦ εἰπόντος ἐπαγγελίᾳ, ὅτι Κἂν διὰ πυρὸς διέλθῃς, οὐ κατακαύσει σε φλόξ. Ἐδάκνετο πρὸς τοῦτο πάλιν, καὶ δεινῶς εἶχεν ὁ βασιλεὺς, καὶ σύρεσθαι αὐτοὺς ἐκέλευε δημοσίᾳ, καὶ ὑπὸ τῶν δημίων σπαράττεσθαι, καὶ τὰ ἔσχατα ὑπομένειν. Ἀλλ' ἐπὶ κακῷ καὶ ταῦτα τῷ ἐκείνῳ ἐγίνετο. Πολλοὶ γὰρ τηνικαῦτα καὶ τῶν ἀπίστων φρόνημά τε ὁρῶντες ἀδούλωτον, καὶ ψυχὴν ἀταπείνωτον, καὶ παῤῥησίας κομιδῇ πνέουσαν, αὐτὸ τὸ μέγιστον, ἀνθρώπους ἑλκομένους πικρῶς καὶ σπαρασσομένους καὶ τί τῶν δεινῶν μὴ πάσχοντας, καὶ οὐ μόνον οὐκ ἐνδιδόντας, ἀλλὰ καὶ ἀκμαιοτέρους οἱονεὶ γινομένους, θάρσους τε ὑποπιπλαμένους, καὶ αὐτοῦ περιγινομένους τοῦ βασιλέως· ταῦτα ὁρῶντες τήν τε πάτριον ἐξώμνυντο θρησκείαν, καὶ αὐτοῖς τε καὶ τῷ ὑπ' αὐτῶν κηρυττομένῳ Χριστῷ προσετίθεντο.

ΟΒ'. Ἀπορίᾳ γοῦν πάντοθεν περισχεθεὶς Μαξιμιανὸς, αὐτοῖς ὡς εἶχον δεσμοῖς, τῇ φυλακῇ τοὺς μάρτυρας δίδωσι, τέταρτον ἔτος αὐτοὺς τὸ δεσμωτήριον οἰκεῖν κατακρίνας· Εἴ πως, φησὶ, κἂν ὁ μεταξὺ χρόνος ὑπολύσει τὸν τόνον αὐτοῖς, καὶ τῆς προθυμίας τὸ διάθερμον ἀμβλυνεῖ. Ἀλλ' ἦν ἀπεναντίας τῇ ἐλπίδι τὰ ἀπαντήσαντα· τόν τε γὰρ μεταξὺ χρόνον εὐψύχως διήγαγον, καὶ τῆς προθεσμίας ἤδη παρισταμένης, καθάπερ χθὲς καὶ πρώην κατάκλειστοι γεγονότες, οὕτω θερμὸν πνέοντα τὸν πρὸς τὴν ὁμολογίαν ζῆλον ἐτήρουν. Ὁ γὰρ εἰς Χριστὸν πόθος καὶ ἡ τῶν μελλόντων ἐλπὶς ὡς οἶκον αὐτοῖς καὶ παλάτιον πολυτελῆ τὴν φυλακὴν οἰκεῖν παρεσκεύαζον. Μαξιμιανὸς οὖν ἔτι καὶ ταῦτα μαθὼν, αὐτὸς μὲν τοὺς πρὸς ἐκείνους ἀγῶνας ὑπελθεῖν αὖθις ἀπαγορεύσας, ἐσκέπτετο τίνι λοιπὸν αὐτοὺς παραπέμψειε, πρόσχημα μὲν ὡς δι' ὑπερβολὴν ἀνοσιότητος, οὐδὲ ἀξίους ὄντας βασιλικοῦ

A diernum usque diem abundet in orbe terrarum, clarum est futurum omnino aliud tempus piorum imperatorum. Cum ex his ira, quæ cohiberi non poterat, esset incitatus Maximianus, loqui quidem desiit : fornax vero, Chaldæorum fornace longe major, sanctis fuit accensa. Sed eos quoque in ipsam injectos divina rore perfudit gratia ; sicut illic pueros, sic hic conservans martyres. Atque totam quidem noctem et diem eos fornax tenuit: illinc vero audiebatur quidam sonus festum celebrantium, suaveque olens et dulcis fumus ex eo sursum emittebatur.

LXXI. Hæc significantur Maximiano. Ille autem, cum jam flamma exhabuisset, accedens, videt sanctos in ea salvos, (o miraculum!) cum flamma ne vel B solum quidem eorum pilum læsisset, sed manus quidem haberent in cœlum extensas, labra vero moverent ad glorificationem. Quos cum curasset statim ad suum tribunal sistendos : Vel in hoc, inquit, mihi saltem gratificemini, ut significetis quibusnam incantationibus igni vim adimitis. Illi autem : Non incantationibus, dixerunt, o imperator, sed sola ejus, qui dixit, promissione: Etiamsi per ignem transeas, flamma non te comburet[9]. Hæc ergo rursus mordebant et male habebant imperatorem, et eos jussit trahi publice, et convelli a lictoribus et extrema perpeti. Sed hæc quoque illi male cesserunt. Nam tunc quoque multi ex infidelibus videntes spiritus, qui non poterant redigi in servitutem, et animum, qui dejici et deprimi non C poterat, planeque fiduciam spirabat et libertatem, et hoc quod est maximum, homines qui acerbe trahebantur et convellebantur, et quid non grave patiebantur, et non solum non cedebant, sed evaserant quodammodo robustiores et vegetiores, et pleni erant fiducia, et superabant ipsum imperatorem ; hæc videntes, et patriam abjurabant religionem, et eis se adjungebant, et ei, qui ab ipsis prædicabatur, Christo.

LXXII. Cum itaque consilii inopia esset plane ex omni parte implicatus Maximianus, martyres, ita ut erant, vinctos tradit in custodiam, cum eos damnasset quatuor annos habitare carcerem: Si forte, inquit, quod intercedit tempus, sit eorum soluturum constantiam, promptique et alacris animi hebetaturum vehementiam. Sed ea contra atque sperabat D evenerunt. Bono enim et tranquillo animo fuerunt interea, et cum jam tempus adesset præfinitum, perinde ac si fuissent inclusi heri et nudiustertius, acrem et vehementem servabant zelum ad confessionem. Desiderium enim in Christum, et spes futurorum, efficiebant ut habitarent carcerem non secus ac magnificas ædes et palatium. Maximianus ergo cum hæc quoque didicisset, ipse quidem recusat amplius snscipere adversus eos certamina : deliberabat autem ad quem eos de cætero

[9] Isa. XLIII, 2.

transmitteret, prætextu quidem, quod propter insignem impietatem, ne imperatoris quidem essent digni tribunali; vera autem causa erat, quod cum eos invenisset omnibus eos inducendi rationibus superiores, et neque induci bonorum promissionibus, neque flecti malorum insultibus, verebatur adhuc manus cum eis conserere, generosum, et qui deprimi non poterat, eorum spiritum ejus deprimere gloriam et aliquid de magnitudine detrahere existimans.

A βήματος, ἡ δ' ἀληθὴς αἰτία ὅτιπερ ἁπάσης ἐπαγωγῆς ἀνωτέρους εὑρὼν, καὶ μήτε ἀγαθῶν ἐπαγγελίαις ὑπαγομένους, μήτε κακῶν ἐπιφοραῖς καμπτομένους, ὤκνει τὴν εἰς ἔτι πρὸς αὐτοὺς συμπλοκὴν, τὸ εὐγενὲς αὐτῶν καὶ ἀταπείνωτον τοῦ φρονήματος ταπεινοῦν αὐτῷ τὴν δόξαν καὶ ὑποτέμνεσθαι τὸν ὄγκον ὑπολαμβάνων.

CAPUT XII.

A præsidibus Sacerdote et Maximo intentata.

LXXIII. Ei autem sic deliberanti aderant multi quoque alii simul magistratus et præsides qui ex multis convenerant provinciis. Inter quos erat etiam (4) Sacerdos, qui erat quidem principatu insignis, sed erat longe impietate insignior, et multos Christianos multis sæpe et variis subjecerat supplicis. Ei mandat Maximianus cognitionem de martyribus. Cum autem persuadendi magna vi esset præditus, et ad illiciendas hominum mentes artifex egregius, et alioqui studeret ostendere, eos qui ipsum præcesserant, non ex martyrum animi magnitudine, sed ex sua potius simplicitate illis præbuisse victoriam, sedens in tribunali effecit, ut viri illi egregii coram se sisterentur, et varie cum eis decertare est aggressus, modo quidem lenitate et pecuniæ promissione, modo vero acerbitate et minis rerum C malarum, nunc blanditiis, nunc indignatione, et partim quidem asperarum rerum experientia, partim autem iis, quæ præcesserant, adhibendo medicinam tanquam ex pœnitentia. Cæterum cum primum fecit ut sisterentur martyres: Adeste, inquit, ad Sacerdotem, quem nullus effugit ex Christianis, qui Pontum habitant et Galatiam: sed multos quidem persuasos, honoribus affeci et muneribus, et diis, quod quidem est maximum reconciliavi et effeci familiares; multos vero ex iis, qui non paruerunt, ferro et igne consumpsi, et morti tradidi acerbissimæ. Cui quidem vos quoque parentes, sacrificate, ut pro portione tot malorum, quæ tot annos patimini, vos bonis fruamini.

B ΟΓ'. Οὕτω δὲ αὐτῷ σκεπτομένῳ παρῆσαν πολλοὶ μὲν καὶ ἄλλοι ἄρχοντες ἅμα καὶ ἡγεμόνες ἐκ πολλῶν συνελθόντες ἐπαρχιῶν· ἐν δὲ δὴ καὶ Σακερδὼς, ἐπιφανὴς μὲν τὴν ἡγεμονίαν, ἐπιφανέστερος δὲ πολλῷ τὴν ἀσέβειαν, καὶ πολλοὺς τῶν Χριστιανῶν πολλαῖς πολλάκις τιμωρίαις καὶ ποικίλαις ὑποβαλών. Τούτῳ Μαξιμιανὸς τὰ κατὰ τοὺς μάρτυρας ἐπιτρέπει· δεινὸς δὲ ὢν καὶ πεῖσαι καὶ ὑποκλέψαι γνώμας ἀνδρῶν πιθανώτατος, ἄλλως τε δὲ καὶ τοὺς πρὸ αὐτοῦ δεῖξαι φιλονεικῶν, οὐκ ἐκ τῆς τῶν μαρτύρων ἀνδρείας, ἀλλ' ἐκ τῆς ἑαυτῶν μᾶλλον ἀφελείας νικᾶν ἐκείνοις παρασχομένους, ἐπεὶ τοῦ βήματος προκαθίσας παρέστησεν αὐτῷ τοὺς γενναίους, ποικίλως μετῄει τὴν πρὸς αὐτοὺς συμπλοκὴν· ἄρτι μὲν ἐπιεικείᾳ καὶ χρημάτων ἐπαγγελίᾳ, ἄρτι δὲ αὐστηρίᾳ καὶ πονηρῶν ἀπειλῇ, νῦν κολακείᾳ, νῦν ὀργῇ, καὶ τοῦτο μὲν πείρᾳ τῶν ἀλγεινῶν, τοῦτο δὲ θεραπείᾳ τῶν προλαβόντων ὡς ἐκ μετανοίας προσγινομένῃ. Πλὴν ἀλλ' ὡς τὸ πρῶτον τοὺς μάρτυρας παρεστήσατο, Σακερδῶτι παρίστασθε, λέγει, ὃν οὐδεὶς Χριστιανῶν τῶν κατοικούντων Πόντον καὶ Γαλατίαν διέφυγεν· ἀλλὰ πολλοὺς μὲν πεισθέντας καὶ τιμῶν ἠξίωσα καὶ δωρεῶν, καὶ θεοῖς, τόγε μεῖζον, κατήλλαξα καὶ ᾠκείωσα· πολλοὺς δὲ τῶν ἀπειθησάντων πυρὶ καὶ σιδήρῳ ἀναλώσας, καὶ θανάτῳ παρέδωκα χαλεπῷ· ᾧ γε πεισθέντες καὶ αὐτοὶ θύσατε, ὡς ἂν ἀναλόγως ὧν ἐπὶ τοσούτους χρόνους ὑπέστητε κακῶν, ἀγαθῶν ἀπολαύσοιτε.

LXXIV. Ad hæc dixerunt sancti: Qui nos pro meritis est remuneraturus et honoraturus, est Christus, qui dona habet tam excellentia, ut ne condignæ quidem sint hujus sæculi passiones ad gloriam, quæ est in nobis ab ipso revelanda. Propter quæ Sacerdos quos fecit similiter iis qui præcesserant, et eos jussit cædi in humeris, donec eis ipsa ossa aperirentur. Cum autem martyribus præsentia viderentur esse levia, spina quoque similiter cædebatur, donec a præsentibus oculis visa est ossium compositio, et tota dimensa est compago vertebrarum. Sacerdos ego tam misere et tam miserabiliter victus est martyrum fortitudine. Quocirca quæ

D ΟΔ. Πρὸς ταῦτα οἱ ἅγιοι· Ὁ μέλλων ἡμᾶς ἀξίως ἀμείβεσθαι καὶ τιμᾶν, Χριστός ἐστιν, εἶπον ὃς τοσαύτην ἔχει τῶν δωρεῶν τὴν ὑπερβολὴν ὡς μηδὲ ἄξια τοῦ νῦν καιροῦ τὰ παθήματα εἶναι, πρὸς τὴν μέλλουσαν ἡμῖν ἀποκαλυφθῆναι παρ' αὐτοῦ δόξαν. Ἐφ' οἷς καὶ Σακερδὼς τοῖς προλαβοῦσιν ὁμοίως ἐποίει, καὶ ξέεσθαι αὐτοὺς κατὰ τῶν ὤμων ἐκέλευεν, ἄχρις ἂν καὶ αὐτὰ ἐκκαλυφθεῖεν αὐτοῖς τὰ ὀστᾶ. Ἐπεὶ δὲ κοῦφα τοῖς μάρτυσι τὰ παρόντα ἑώρα, καὶ ἡ ῥάχις τοῖς ξεσμοῖς ὁμοίως ἐδίδοτο, ἕως αὐτή τε τοῖς παροῦσιν ὀφθαλμοῖς ἡ σύνθεσις τῶν ὀστέων ὡράθη καὶ πᾶσα διεμετρεῖτο τῶν σπονδύλων ἡ ἁρμογή. Ὁ γοῦν Σακερδὼς οὕτως ἐλεεινῶς καὶ ἀθλίως

(4) Sacerdon, Σακέρδων, in Græco ms. appellatur : diciturque fuisse Galatiæ præfectus.

της αὐτῶν ἥττητο καρτερίας, ὥστε καὶ ἅπερ ἦν ἐκείνους πάσχειν εἰκὸς αὐτὸς ὑφίστατο μᾶλλον. Οἱ μὲν γὰρ αὐτοῖς ποσὶ πρὸς τὸ δεσμωτήριον ἐπανῄεσαν, ἐκείνου κελεύσαντος. Ὁ δὲ τῇ ἐκ τῆς ἥττης αἰσχύνῃ καὶ ἀθυμίᾳ λιποψυχῶν, καὶ ὑπὸ χειρὸς πολλῆς διαβασταζόμενος, οὕτως αἰσχρῶς ὑπεχώρει τοῦ τυραννικοῦ βήματος. Μεταξὺ δὲ πρὸς τὴν φυλακὴν τῶν ἁγίων πορευομένων ἐκπίπτουσαι σὺν αἵματι τούτων αἱ σάρκες, τρέχειν ἁπανταχόθεν ἐπὶ τὴν συλλογὴν αὐτῶν τοὺς πιστούς, ὡς ἐπί τινα θησαυρὸν ἀγαθῶν, παρεσκεύαζον. Ἅσπερ ὡς εἶχον εὐθὺς αὐτῇ κόνει διψώσαις ὥσπερ χερσὶν ἀναιρούμενοι, εὐλογίαν ἐπισπᾶσθαι τινα καὶ χάριν ἐπίστευον.

ΟΕ'. Ἐπεὶ δὲ πάντα φόβον, καὶ πεῖραν, καὶ σοφίσματα, καὶ τεχνάσματα, καὶ μαγγανείας Σακερδὼς ἐνεγκὼν ἄπρακτος ἦν καὶ ἀνήνυτος, καὶ τοῦτο δὴ τὸ τοῦ λόγου εἰς οὐρανὸν τοξεύειν ἐπιχειρῶν, Μαξιμιανὸς ταῦτα μαθὼν, καὶ πλατὺν τοῦ Σακερδῶτος γέλωτα καταχέας, Οὗτός ἐστι Σακερδὼς ὁ ὑπὸ πάντων ᾀδόμενος, ἔφη. Μάξιμος δ' ἦν τις καὶ αὐτὸς ἡγεμὼν τηνικαῦτα παρεστὼς Μαξιμιανῷ, καὶ τῶν λεγομένων ἀκούων, ζήλου κατὰ τῶν ἁγίων τὴν ψυχὴν ὑποπίμπλαται· Δέομαι τοῦ σοῦ κράτους, ἔφη, βασιλεῦ, ὥστε κἀμοὶ τοὺς ἄνδρας τούτους ἐγχειρισθῆναι, καὶ αὐτοῖς πέποιθα τοῖς μεγίστοις θεοῖς, ὡς ἢ μεταπείσω πάντως, ἢ κακῶς αὐτοὺς ἀπαλλάξω τοῦ ζῆν. Ἐφ' ᾧ κατανεύσαντος Μαξιμιανοῦ, ὄγδοος αὐτὸς τοὺς μάρτυρας διαδέχεται, καί τι καινὸν κατ' αὐτῶν πλέκει μηχάνημα, ἐκ διαλειμμάτων πρὸς αὐτοὺς τὰς ὁμιλίας ποιούμενος, καὶ σύμβουλος ἀληθὴς εἶναι τοῖς ἁγίοις καὶ φίλος ὑποκρινόμενος. Ἐντυγχάνει μὲν γὰρ αὐτοῖς τὸ πρῶτον τὰ φιλικὰ δῆθεν ὁμιλῶν, καὶ πρὸς ἡδονὴν καὶ χάριν διαλεγόμενος· ἑξῆς δὲ πάλιν ἡμέρας διαλιμπάνων, εἰς λόγων αὐτοὺς κοινωνίαν ἐκάλει, καὶ ὑποτιθέναι καὶ συμβουλεύειν αὐτοῖς, ἀλλ' οὐ βιάζεσθαι τὸ παράπαν οὐδὲ ἀναγκάζειν ἐῴκει.

ΟϚ'. Χρόνου δὲ αὐτοῖς οὕτω συχνοῦ διαγενομένου, τὰ τῆς ἀπάτης τῷ Μαξίμῳ σαφῶς ἠλέγχετο, καὶ φανερὰν τὴν αἰτίαν ἐποίει τῆς δολερᾶς ἐκείνης καὶ προσποιήτου φιλίας. Προσκαλεσάμενος γὰρ τοὺς ἁγίους, Χαίρετε, ἔφη, ὦ ἄνθρωποι, οὓς φιλοῦσί τε ὁμοίως οἱ ἀθάνατοι θεοί, καὶ ἀμφοτέρους ἐν μοίρᾳ γνησίων ἔχουσι παίδων· πολλάκις γάρ μοι καὶ χρησμοὺς εἶπον, καὶ ἐν ὕπνῳ ἐφοίτησαν τῆς καθ' ὑμῶν ὀργῆς ἀναστέλλοντες, ἑτέρου μὲν πάντως ἕνεκεν οὐδενὸς, ἀλλ' ἢ τὴν ὑμετέραν αὐθαίρετον γενέσθαι μεταβολὴν ἀναμένοντες, ἥτις δήπου μετὰ μικρὸν καὶ αὐτὴ παρέσται, ὡς ἐμοὶ γοῦν τῆς παρελθούσης νυκτὸς ὁ μέγας ἐν θεοῖς παρεγύμνωσε Διονύσιος, Φέρε τοὺς ἄνδρας, πρὸς ἡμᾶς ἐπισκήψας. Ἰδοὺ τοίνυν καὶ βωμὸς εὐτρεπὴς, καὶ τὰ τῶν θυσιῶν παρεσκεύασται· θύετε προσελθόντες τῇ αὐτῶν εὐμενείᾳ. Πρὸς ταῦτα ὑπολαβόντες οἱ ἅγιοι, Φανερῶς, ὦ δικαστὰ, διεψεύσω, εἶπον, καὶ ἀπιθάνως· ὅσα γὰρ ἡμέρας σοι προσφθέγγονται οἱ θεοί σου, τοσαῦτα πάντως καὶ ἐν νυξί. Ποῖος δέ σοι καὶ παρέστη Διονύσιος; διπλοῦς γὰρ,

A illos pati erat verisimile, ipse potius sustinebat. Nam ii quidem, cum ille jussisset, suis pedibus redierunt in carcerem. Ille autem cum ex pudore et ægritudine quod vinceretur, linqueretur animo, et multis portaretur manibus, turpiter recessit a tyrannico tribunali. Interim autem dum sancti irent in carcerem, carnes quæ eis decidebant cum sanguine, effecerunt ut fideles undique ad eas colligendas concurrerent, tanquam ad quemdam thesaurum bonorum. Quas quidem statim cum ipso pulvere tollentes sitientibus manibus, credebant se quamdam benedictionem attrahere et gratiam.

LXXV. Postquam vero Sacerdos omni metu intentato, adhibitaque omni experientia, callidisque B commentis artificiisque et præstigiis, nihil potuit efficere, sed, ut dicitur, in cœlum est jaculatus, et hæc rescivit Maximianus, et risum profudit in Sacerdotem: Hic est Sacerdos, inquit, qui decantatur ab omnibus! Maximus ergo quidam, qui ipse quoque erat dux, cum esset apud Maximianum, et audiret quæ dicebantur, impletur quodam animi zelo adversus sanctos, et, Rogo, inquit, o imperator, tuam potentiam, ut ii viri mihi quoque tradantur in manus. In maximis enim diis habeo fiduciam, quod vel eis persuadebo, ut mutent omnino sententiam, vel eis male vitam adimam. Quamobrem cum annuisset Maximianus, octavus ipse suscipit martyres, et novum quid in ipsos machinatur, ut qui interjecto aliquo temporis intervallo cum ipsis col- C loqueretur, et se sanctis verum et amicum dare fingeret consilium. Nam eos quidem primum alloquitur, amice sermocinans, et quæ jucunda et grata essent, cum eis disserens. Deinceps vero aliquot rursus diebus interjectis, eos ad sermonem conferendum vocabat, eosque admonere et eis consulere, non autem eis omnino vim afferre, neque eos cogere videbatur.

LXXVI. Cum vero sic multum temporis intercessisset, fraus Maximi aperte arguebatur, et aperiebatur causa illius fraudulentiæ et simulatæ amicitiæ. Nam cum sanctos advocasset: Salvete, inquit, o homines, quos similiter amant dii immortales, et ambos habent loco germanorum filiorum. Sæpe enim mihi et responsa dederunt, et in somnis apparue- D runt, iram in vos reprimentes, nulla quidem omnino alia de causa, nisi quod exspectant vestram sponte futuram mutationem, quæ quidem paulo post aderit, ut mihi certe præterita nocte magnus inter deos aperuit Dionysius, ut qui nobis mandaverit, dicens: Adduc viros. Ecce ergo et ara est parata, et parata sunt sacrificia: accedite, et sacrificate eorum benevolentiæ. Ad hæc sancti respondentes: Falsum, o judex, aperte dixisti, et minime probabiliter. Nam quæ interdiu tui tibi dii loquuntur, ea omnino noctu quoque. Quisnam enim adest tibi Dionysius? Is enim est duplex, ut videmus: aut quemnam nominas ex his immortalem? æneumne, an lapideum?

Nam si cum dicis, qui constat ex lapide, videbis paulo post hunc tibi deum immortalem vel confractum, vel injectum in ædificium, vel exustum et in calcem transmutatum. Quod si tecum disseruit æneus, is quoque cito pulchre fundetur in vasa, quæ deserviunt ministeriis, quomodo unumquodque eorum usus exegerit. Cum hæc sancti respondissent, et cognovisset Maximus nihil sibi aliud profuisse omnino simulationem illam et fictionem, quam quod sûis diis labem et maculam inusserit, personam deinceps exuens aperte ostendit Maximum, et id quod erat, protinus apparuit.

A ὡς ὁρῶμεν, οὗτος· ἢ τίνα τοῦτον ἀθάνατον ὀνομάζεις; τὸν χαλκοῦν ἢ τὸν λίθινον; Εἰ μὲν γὰρ τὸν ἐκ λίθου λέγεις, ὄψει μετὰ βραχὺ τὸν ἀθάνατόν σοι τοῦτον θεὸν, ἢ θλασθέντα καὶ εἰς οἰκοδομὴν ἐμβληθέντα, ἢ ἐκκαυθέντα καὶ εἰς ἄσβεστον μετασκευασθέντα. Εἰ δὲ καὶ ὁ χαλκοῦς σοι διείλεκται, θᾶττον ἂν καὶ αὐτὸς εἰς ὑπηρετικὰ σκεύη καλῶς ἀναχωνευθείη, ὅπως ἂν ἕκαστον αὐτῶν ἀπαιτῇ τὰ τῆς χρείας. Ταῦτα τῶν ἁγίων ἀποκριναμένων, γνοὺς ὁ Μάξιμος ὡς ἄρα οὐδὲν ἕτερον τῆς ὑποκρίσεως ἐκείνης ἀπώνατο καὶ τοῦ πλάσματος, ἢ ὅσον μῶμον προστρίψασθαι τοῖς οἰκείοις θεοῖς, ἐκδὺς τὸ προσωπεῖον λοιπὸν, φανερὸν αὐτοῖς ἐποίει τὸν Μάξιμον, καὶ ὅπερ ἦν, εὐθέως ἐφαίνετο.

LXXVII. Jubet itaque obeliscos in extremo acutos, unius pedis magnitudine, superne habentes cuspides, defigi in terram, et B. Clementem supinum acubus impositum, crassissimis lignis verberari vehementissime: Agathangelo autem in caput infundi plumbum igne liquefactum. Cum ergo jussus effectum celeriter accepisset, magnanimus quidem Clemens et in pectore superne cædebatur, et ejus terga inferne obeliscis transfigebantur. Sed ne sic quidem anima huic sancto discedebat a corpore. Verax enim erat qui fuerat pollicitus, tormenta eum non esse superatura, nec ullo supplicio vitam esse finiturum. Agathangelus vero ipse quoque similiter admirabilem ostendit fortitudinem. Maximus itaque hoc præter opinionem miraculo obstupefactus, cum iis qui circumstabant, propemodum ne poterat quidem credere suis oculis, adeo inopinatum et quod erat præter rationem videntibus miraculum, per pectus, cor et totum deinceps corpus, acuto ferro transfixum hominem, et præterea superne quoque vehementer verberatum, non statim emisisse animam, sed vivum adhuc esse et superstitem, et vi illi intolerabili sana mente resistere. Vix ergo tandem eum detrahit ab obeliscis, non secus ac vestem undique dilaceratam, et solo sermone persuadentem, se non esse mortuum. Martyr ergo ad Maximum protinus aspiciens: Modo, inquit, cognovistis, quemadmodum non solum nostrum corpus adversus vos decertat, sed Deum habet, qui per ipsum longe vestras superat insidias, qui etiam non sinit animam evolare e corpore, eam cohibens et continens arcano quodam consilio, et quæ dici non potest providentia.

B ΟΖ'. Κελεύει γοῦν ὀβελίσκους τὸ ἄκρον ὀξεῖς ποδιαίους τὸ μῆκος τὰς ἀκμὰς ἄνωθεν ἔχοντας τῇ γῇ ἐμπαγῆναι, καὶ τὸν μακάριον Κλήμεντα ταῖς ἀκίσιν ἐπιτεθέντα ὕπτιον, ξύλοις παχυτάτοις σφοδρότατα τύπτεσθαι· τῷ Ἀγαθαγγέλῳ δὲ μόλυβδον κατὰ κεφαλῆς πυρὶ τακέντα ἐπιχεθῆναι. Ταχὺ τοίνυν ἐκβάντος εἰς ἔργον τοῦ ἐπιτάγματος, ὁ μὲν γενναιότατος Κλήμης στέρνα τε ἄνωθεν ἐτύπτετο, καὶ τὰ νῶτα τοῖς ὀβελίσκοις κάτωθεν διεπείρετο· ἀλλὰ οὐδὲ οὕτως ἡ ψυχὴ τοῦ σώματος τῷ ἁγίῳ διίστατο. Ἀψευδὴς γὰρ ἦν ὁ ἐπαγγειλάμενος μὴ βασάνους αὐτοῦ περιγενέσθαι, μηδὲ τιμωρίᾳ μηδεμιᾷ τελευτῆσαι τὸν βίον. Καὶ Ἀγαθάγγελος δὲ ὡσαύτως ὑπερφυῆ τινα τὴν καρτερίαν καὶ αὐτὸς ἐπεδείξατο. Μάξιμος τοίνυν τῷ παραδόξῳ τοῦ θαύματος μετὰ τῶν περιεστώτων C καταπλαγεὶς, οὐκέτι οὐδὲ πιστεύειν εἶχε μικροῦ τοῖς σφῶν ὀφθαλμοῖς, παράλογον οὕτως ὁρῶσι θέαμα, τὰ στέρνα, τὴν καρδίαν, ὅλον ἑξῆς τὸ σῶμα ὀξύτητι σιδήρου διαπειρόμενον ἄνθρωπον, εἶτα καὶ προστυπτόμενον ἄνωθεν μάλα σφοδρῶς, καὶ οὐκ εὐθὺς ἀποῤῥήξαντα τὴν ψυχὴν, ἀλλὰ ζῶντα ἔτι καὶ περιόντα, καὶ πρὸς τὴν ἀφόρητον ἐκείνην βίαν μεθ' ὑγιοῦς τῆς καταστάσεως ἐνιστάμενον. Ὀψὲ δὲ οὖν ὅμως τῶν ὀβελίσκων αὐτὸν ἐξαιρεῖται, καθάπερ ἱμάτιον πανταχόθεν διεῤῥωγότα, καὶ τὸ μὴ νεκρὸς εἶναι μόνῃ τῇ φθογγῇ ἀναπείθοντα. Ὁ μάρτυς τοίνυν πρὸς τὸν Μάξιμον εὐθὺς ἀπιδὼν, Ἐγνώκατε κἂν ἄρτι, ἔφη, ὅπως οὐ τὸ ἡμέτερον σῶμα μόνον πρὸς ὑμᾶς ἀγωνίζεται, ἀλλὰ Θεὸν ἔχει τὸν δι' αὐτοῦ μετὰ πολλῆς τῆς περιουσίας τὰς ὑμετέρας ἐπιβουλὰς κατισχύοντα, D ὅστις καὶ τὴν ψυχὴν ἀποπτῆναι τοῦ σώματος οὐκ ἐᾷ, διακρατῶν αὐτὴν καὶ συνέχων ἀῤῥήτοις οἰκονομίαις.

CAPUT XIII.

Aphrodisii Persæ conatus in Sanctos.

LXXVIII. Cum animum ergo omnino despondisset tyrannus, et nulla spe amplius teneretur, sacrum quidem Clementem, qui adhuc portabatur, cum Agathangelo includit in carcere. Refert autem ipse quoque singula Maximiano, quænam adversus mar-

ΟΗ'. Ἀπαγορεύσας οὖν ἐκ πάντων ὁ τύραννος, καὶ μηδεμιᾶς ἐλπίδος ἀνεχούσης αὐτὸν, τὸν μὲν ἱερὸν Κλήμεντα ἔτι διαβασταζόμενον σὺν Ἀγαθαγγέλῳ τῇ φυλακῇ κατακλείει. Ὁ δὲ Μαξιμιανῷ καὶ αὐτὸς οἷά τε κατὰ τῶν μαρτύρων ἐπινοήσειεν, ὅπως τε κρείτ-

τους καὶ θωπειῶν αὐτοὺς εὗροι, καὶ βασάνων, καὶ φύσεως, ἕκαστα σαφῶς ἀναφέρει. Μαξιμιανὸς δὲ ὁμοίως αὐτῷ τοῖς ὅλοις ἀμηχανήσας, οὐχ ὅτι μὴ πείσειε τοὺς γενναίους, ἀλλ' ὅτι μηδὲ ἀνελεῖν αὐτοὺς δύναιτο, κελεύει παρὰ τῇ φυλακῇ οὕτως ἐρήμους πάσης προνοίας ἀπολιπεῖν, ἄχρις ἂν τὴν ἐκ τῆς φύσεως αὐτοὶ τελευτὴν ὑπομείνωσιν. Οἱ ἀσεβεῖς δὲ καὶ πεῖραν οὕτω σαφῆ τῶν ἀνδρῶν λαβόντες, (ὢ τῆς ὠμότητος!) οὐδὲ οὕτως ἡσυχάζειν εἶχον, ἀλλὰ καὶ ταύτῃ περιέσεσθαι προσεδόκων.

ΟΘ'. Ἀμέλει καὶ Ἀφροδίσιος ἔννατος τὴν πρὸς αὐτοὺς ὑπέρχεται πάλην, Πέρσης μὲν τὸ γένος, πολλὰς δὲ κατὰ Χριστιανῶν πολλάκις ἐπινενοηκὼς τιμωρίας. Τοῦτο δὲ σύμβολον ἀκριβὲς ὅτι πολὺς ἦν περὶ αὐτῶν Μαξιμιανῷ λόγος, καὶ ὅτι γνῶσις τοιάδε κατειλήφει πάντας, ὡς ὁ μεταπείσειν αὐτοὺς δυνηθεὶς, τὰ μέγιστα αὐτῷ χαριεῖται, καὶ πλείστην ὅσην ὑπὲρ τοῦδε τὴν ἀμοιβὴν λήψεται. Οὗτος οὖν παρατυχὼν Μαξιμιανῷ ἡνίκα περὶ τῶν ἁγίων αὐτῷ ἀπηγγέλλετο, αἰτεῖ τὴν κατ' αὐτῶν ἐξουσίαν, εἰ καὶ, τὸ τοῦ λόγου, Σικυώνιος ἐπαπέδυ. Αἰτήσας δὲ καὶ λαβὼν, δεῖπνα κατὰ τὴν οἰκίαν εὐθὺς φιλότιμα καὶ πολυτελῆ παρετίθει, καὶ αὐτοὺς ἐκάλει πρὸς τὴν ἑστίασιν, ἵνα κεκμηκότας δῆθεν τοῖς ἐπιπόνοις τῇ παροχῇ τῶν ἐνηδόνων χαρίσηται, καὶ τὴν αὐτῶν γνώμην ὁμαλῶς ὑφαρπάσῃ. Τῶν δὲ τὴν σύντροφον καὶ φίλην μᾶλλον ἀσπαζομένων ἐγκράτειαν, καὶ προστιθέντων, ὡς Ἡμεῖς τὸν οὐράνιον ἐσθίομεν ἄρτον, οὗ ὁ φαγὼν οὐκ ἔτι οὐ μὴ πεινάσῃ, ἀλλὰ ζήσει εἰς τὸν αἰῶνα· ἐκεῖ γὰρ ἡμῖν τὰ δεῖπνα ἡτοίμασται· ὕβριν Ἀφροδίσιος τὸ πρᾶγμα νομίσας, καὶ σφοδρότητι ἐπ' αὐτοὺς κινηθεὶς, ἐκείνους μὲν τηνικαῦτα τῇ φυλακῇ δίδωσιν εἰπὼν, ὡς Ἄρα τὸ ὑμέτερον δεῖπνον ὀδυνηρὸς ἔσται θάνατος, ὅπερ ἐγὼ τὴν αὔριον φιλοτίμως ὑμῖν παραθήσω.

Π'. Δύο δὲ λίθους ἀπὸ μυλῶνος ἐνεχθῆναι τῇ ὑστεραίᾳ κελεύει, ἑκάτερον δὲ αὐτῶν ἑκατέρου τῷ τραχήλῳ περιδεθῆναι, καὶ οὕτως αὐτοὺς λίθοις πάντοθεν βαλλομένους διὰ μέσης τῆς πόλεως ἕλκεσθαι, τοῦτο αὐτοῖς τῶν ἑλκόντων ἐπιφωνούντων· Τοῖς θεοῖς καὶ τοῖς αὐτοκράτορσι πείθεσθε· ὅστις δὲ παρὰ τὴν πάτριον ἡμῶν θρησκείαν νομοθετεῖ, τιμωρίαις τοιαύταις ὑπόδικος γίνεται. Ἀλλὰ τοῦτο μὲν ὅλον Ἀφροδίσιος ἐποίει, ὅπως ἢ κατενέγκῃ αὐτῶν τὸ φρόνημα καὶ ὑπανεῖναι παρασκευάσῃ τὴν ἄτιμον περιαγωγὴν ταύτην οὐκ ἐνεγκόντας, ἢ τὴν πόλιν κατ' αὐτῶν ἐρεθίσῃ, καὶ κοινῇ συνδραμόντες πάντες αὐτοὺς ἀνέλοιεν. Ἀλλ' ὁ ἀνακαλύπτων βαθεῖα καὶ ἀπόκρυφα κατὰ τῆς ἐκείνου μᾶλλον κεφαλῆς τὸ σόφισμα περιέτρεψεν. Οἵ τε γὰρ μάρτυρες σεμνυνόμενοι μᾶλλον, οὐκ αἰσχυνόμενοι περιήγοντο, ἥ τε πόλις ἐπὶ τὴν θέαν συῤῥέουσα καὶ

A tyres excogitaverit, et quemadmodum invenerit eos nec blanditiis vinci posse, nec tormentis, atque adeo ipsam quoque ab eis superari naturam. Maximianus vero cum similiter atque ipse, nullam posset excogitare rationem, nedum viros persuadendi egregios, sed nec eos quidem interimendi, jubet eos relinqui in carcere, nec ullam eorum omnino curam geri, donec ipsi naturalem mortem sustinuissent. Viri autem impii, cum eorum tam manifestam accepissent experientiam, (o amentiam! o crudelitatem!) ne sic quidem poterant quiescere, sed etiam exspectabant fore, ut sic vincerent.

LXXIX. Certe Aphrodisius quoque nonus luctam adversus ipsos suscipit, genere quidem Persa, qui multa tormentorum genera sæpe excogitarat adversus Christianos. B Erat autem hoc signum evidens, Maximianum eorum magnam habere rationem, et hoc sciebant omnes, quod qui eos potuisset persuadere ei esset rem facturus gratissimam, et pro eo maximam accepturus remunerationem. Hic ergo cum forte fuisset apud Maximianum, quo tempore de sanctis ei renuntiabatur, petit in eos sibi dari potestatem, etiamsi, ut est in proverbio, exuerit Sicyonium (5). Cum autem petiisset et accepisset, domi statim apponit lautam et magnificam cœnam, et eos invitat ad convivium, ut eis labores sustinendo defessis, res jucundas præbendo gratificaretur, et eorum ad se animum leniter alliceret. Cum (6) vero, quæ eis coaluerat et grata erat, magis amplecterentur abstinentiam, et adjicerent: Nos pane C cœlesti vescimur, quem qui comederit, non amplius esuriet, sed vivet in æternum, illic enim est bonis cœna parata, contumeliam esse ratus Aphrodisius, et in eos commotus vehementius, illos quidem tradit in custodiam, dicens: Vestra ergo cœna erit mors cum dolore, quam quidem ego cras vobis apponam magnifice.

LXXX. Jubet autem postridie afferri duos lapides morales: utrumque vero eorum collo utriusque alligari, et sic eos lapidibus undique appetitos, trahi per mediam civitatem, iis, qui trahebant, hoc eis acclamantibus: Diis parete et imperatoribus; qui aliquid decernit præter nostram patriam religionem, fit obnoxius talibus suppliciis. Sed hoc quidem totum faciebat Aphrodisius, ut vel ingentes D frangeret eorum spiritus, et efficeret ut cederent, se tam turpiter traduci non ferentes; vel in eos incitaret civitatem, et communiter concurrentes omnes ipsos interimerent. Sed qui quæ sunt profunda et occulta aperit, id evertit, quod is callide cogitaverat. Nam et martyres gloriantes potius quam pudore affecti, circumducebantur, civitasque confluens ad spectaculum, et videns quam alacres et læti propter Christum obirent, et quam post tot

(5) Similis, a Sicyone certe ducta utraque, apud Scottum nostrum centuria 12, adagio 71, ex Suida parœmia; « Sicyonius in arenam descendit. » Neutrius usum afferunt parœmiographi.

(6) Hæc in Græco pluribus efferuntur.

et tanta supplicia valida essent eis corpora, maximas illas plagas cito repellentia; eos veluti impatibiles existimantes et immortales, illi quoque verum Deum confitebantur, et læti accedebant ad pietatem. Cum sic ergo longe fuisset inferior Aphrodisius, hæc Maximiano quoque significantur. Ille autem cum spem omnem abjecisset mutationis, utpote quod fieri non posset, ut a sua sententia traducerentur martyres, maxime cum ex eo plures ad eorum traherentur pietatem, ad perpetuum eos condemnat carcerem, ut cum custodia, a qua nullo tempore egredi liceret, extabuissent, sic e vita excederent, Deo hoc eis providente, ut oratio Clementis eum, quem ipse precatus fuerat, finem acciperet, et essent eis majores martyrii remunerationes.

A ὁρῶντα ὅπως μὲν εὔθυμοι διὰ Χριστὸν καὶ φαιδροὶ περιῄεσαν, ὅπως δὲ αὐτοῖς ἐπὶ τοσαύταις ἄρα καὶ τηλικαύταις κολάσεσι τὰ σώματα ἔῤῥωτο, ταχὺ τὰς ἀνηκέστους πληγὰς ἐκείνας ἀποβαλόντα, καὶ ὥσπερ ἀπαθεῖς αὐτοὺς καὶ ἀθανάτους εἶναι οἰόμενοι, τὸν ἀληθῆ κἀκεῖνοι Θεὸν ὡμολόγουν, καὶ τῇ εὐσεβείᾳ χαίροντες προσετίθεντο. Οὕτως οὖν καὶ Ἀφροδισίου μετὰ πολλῆς ἡττηθέντος περιουσίας, Μαξιμιανῷ καὶ ταῦτα τῷ βασιλεῖ δῆλα γίνεται. Ὁ δὲ πᾶσαν ἐλπίδα μεταβολῆς ἀπογνοὺς, ὡς ἀδύνατον ὂν ἔτι μεταπεισθῆναι τοὺς μάρτυρας, ἄλλως τε καὶ ὅτι πλείους μᾶλλον ἐντεῦθεν ἐπισπῶνται πρὸς τὴν εὐσέβειαν, διηνεκὲς αὐτοῖς καταψηφίζεται δεσμωτήριον, ὡς ἂν τὸν ἅπαντα χρόνον τῇ ἀνεξόδῳ φυλακῇ καταμαρανθέντες, οὕτω τὴν ζωὴν ἀποῤῥήξωσι, Θεοῦ B καὶ ταῦτα περὶ αὐτοὺς οἰκονομουμένου, ἵν' ἥ τε τοῦ Κλήμεντος δέησις, ὁποῖον ἐκεῖνος ηὔξατο δέξηται καὶ πέρας, καὶ μείζονες αὐτοῖς αἱ τοῦ μαρτυρίου ἀμοιβαὶ γένωνται.

CAPUT XIV.

S. Agathangeli martyrium Ancyræ.

LXXXI. Cum longo ergo tempore sic morati essent in custodia, multi alii ex piis, qui martyrium post eos inchoaverant, acceperunt ante ipsos consummationem. Qui autem Clementis et Agathangeli, præclarorum athletarum pietatis, erant a Maximiano carceris constituti custodes, defessi diuturna illa carceris custodia, vix tandem accedunt ad Maximinum (7), qui tunc susceperat imperium, et rogant ecquid jubeat de iis, quos multis annis tenent vinctos, qui Christianæ sunt religionis, qui difficiliter moriuntur, vel sunt potius immortales. Sic enim nominabant beatos, propterea quod mala sustinuissent, quæ ferre non potest humana natura. Maximinus autem cum prius suos deos multis insectatus fuisset maledictis, quod non potuissent præsentem illis vitam adimere, deinde etiam quæsivisset de civitate, in qua nati et ex qua profecti fuerant, et cujusnam essent generis, cum eos et Galatas esse intellexisset, et ex civitate Ancyrana, ad Lucium eos mittit præsidem : is enim tunc ei præerat Ita cognoscitur Dominus judicia faciens, qui martyres quoque post tot et tanta pericula, ei rursus, quæ eos tulerat, iis quibus ipse novit modis, restituit. Illi ergo cum Tarsis egressi essent, alacri pede confecerunt viam quæ fert in patriam. Cum primum autem viderunt Ancyram, sistuntur coram præside Lucio. Ille vero cum nec eis quidem prius loquendi fecisset potestatem, tunc eos quidem valide includit in ligno, lapide utrique alligato, ita ut nec ipsi quidem possent omnino moveri, nec crura extendere.

ΠΑ'. Πολὺν τοίνυν οὕτω τῇ φυλακῇ χρόνον διατριψάντων, πολλοὶ καὶ ἄλλοι τῶν εὐσεβῶν ὕστερον τοῦ μαρτυρίου ἀρξάμενοι, πρὸ αὐτῶν ἐδέξαντο τὴν τελείωσιν. Οἱ μέντοι Κλήμεντι καὶ Ἀγαθαγγέλῳ τοῖς γενναίοις τῆς εὐσεβείας ἀγωνισταῖς ἐφεστῶτες ὑπὸ Μαξιμιανοῦ δεσμοφύλακες, τῇ πολλῇ ἐκείνῃ περὶ C τοὺς μάρτυρας ὀκλάσαντες προσεδρείᾳ, ὀψὲ καὶ βραδέως προσίασι Μαξιμιανῷ, τηνικαῦτα τῆς βασιλείας ἐπειλημμένῳ, καὶ, Τί περὶ ὧν ἐπὶ πολλοῖς ἤδη χρόνοις ἔχομεν δεσμωτῶν, τῆς τῶν Χριστιανῶν ὄντων θρησκείας, δυσθανάτων ἀληθῶς ἢ ἀθανάτων ἐπιτάττεις; ἠρώτων. Οὕτω γὰρ τοὺς μακαρίους ὠνόμαζον διὰ τὸ μείζω φύσεως ἀνθρωπίνης ὑπομεῖναι τὰ χαλεπά. Μαξιμιανὸς οὖν πολλὰ τοὺς ἑαυτοῦ θεοὺς πρότερον βλασφημήσας, ὅτι μὴ τῆς παρούσης ζωῆς ὑπεξαγαγεῖν ἐκείνους ἠδύναντο, εἶτα καὶ τὴν πόλιν ἐν ᾗ τε γεγόνασι καὶ ὅθεν ὥρμηνται, καὶ τὸ γένος ὁποῖοί τινές εἰσιν ἐκζητήσας, ἐπὶ Γαλάτας αὐτοὺς εἶναι μάθοι καὶ τῆς Ἀγκυρανῶν πόλεως, Λουκίῳ αὐτοὺς ἐξαποστέλλει τῷ ἡγεμόνι· οὗτος γὰρ τηνικαῦτα αὐτῆς ἦρχεν. Οὕτω γινώσκεται Κύριος κρίματα ποιῶν, D ὅς γε δὴ καὶ τοὺς μάρτυρας μετὰ τοσούτους καὶ τηλικούτους κινδύνους, τῇ ἐνεγκαμένῃ πάλιν οἷς οἶδε τρόποις αὐτὸς ἀποδίδωσιν. Ἐκεῖνοι οὖν μετ' εὐχαριστίας ἀπάραντες τῆς Ταρσοῦ προθύμῳ ποδὶ τὴν ἐπὶ τὴν πατρίδα φέρουσαν ἤνυον. Ὁμοῦ δὲ τὴν Ἄγκυραν εἶδον, καὶ ὁμοῦ τῷ ἡγεμόνι Λουκίῳ παρίστανται· ὁ δὲ μηδὲ λόγου πρότερον αὐτοῖς μεταδοὺς τότε μὲν ἀσφαλῶς ἐν τῷ ξύλῳ αὐτοὺς κατακλείει, λίθον ἑκατέρου ἐκδήσας, ὡς μηδὲ κινεῖσθαι ὅλως αὐτοὺς, μηδὲ ἀποτείνειν τὰ σκέλη δύνασθαι.

(7) Si non anno ultimo imperii Diocletiani, Christi 304, occisi sunt sancti, sed 309 (quod alias disputatum), is Galerii Maximiani quintus fuit, quem multi Græcorum Maximinum vocant.

ΠΒ'. Τῆς δὲ ἐπιούσης μεταστειλάμενος τὸν Αγαθάγγελον, Οἶδα φησὶν, ὡς οὐ διὰ κακουργίαν, ἀλλὰ ψυχῆς εὐκολίαν καὶ τρόπου ἁπλότητα, οὕτως ὑπὸ τοῦ συνήθους ἠπάτησαι Κλήμεντος, ὥστε καὶ δοκεῖς τοῖς πολλοῖς οἴκοθεν ἔχειν τὸ λίαν φιλόνεικον· καὶ θαυμαστὸν οὐδὲν, εἰ φαύλη συνήθεια χρόνῳ καθάπερ τις νόσος ἐνσκιρωθεῖσα μεταβολὴν εἰργάσατο γνώμης· ἐπεὶ καὶ ῥανὶς ὕδατος ἐνδελεχῶς ἐπιστάζουσα, καὶ πέτραν οἶδεν, ὡς λόγος, κοιλαίνειν. Ἀλλὰ τοῦτο δή σου τὸ εὐπειθὲς, Ἀγαθάγγελε, χάρισαί ποτε καὶ ἡμῖν, πολλῷ λυσιτελέστερόν τε καὶ δικαιότερον, ἄγγελος ἡμῖν ἀγαθὸς κατὰ τὴν κλῆσιν γενοῦ, τὴν οἰκείαν μηνύων ἐπιστροφὴν καὶ μετάνοιαν. Πρὸς ταῦτα ὁ Ἀγαθάγγελος· Ἐμοὶ τὴν ἔκστασιν, ἔφη, ταύτην οὔτ' εὐκολογία γνώμης, οὔτε κακουργία πεποίηκεν, ἀλλ' ὅτι μὲν οὐ κακουργία, καὶ αὐτὸς B ἤδη φθάσας διωμολόγησας. Ὅτι δὲ πάλιν οὐδὲ τὸ τοῖς τυχοῦσιν εὐκόλως πείθεσθαι, δῆλον ἐντεῦθεν· πῶς γὰρ ἂν πρὸς τοσούτους ἀντέσχον ἡγεμόνας, ἔτι δὲ καὶ αὐτὸν βασιλέα οἳ μὲ καὶ σὺν ἅμα Κλήμεντι, καὶ ἰδίᾳ πάλιν ἀπολαβόντες οὐδεμιᾶς ἀπέσχοντο μηχανῆς, ἀλλὰ καὶ ὑποσχέσεσι δελεάσαι, καὶ ἀπειλαῖς καταπλῆξαι, καὶ κολάσεσι μεταπεῖσαι πρὸς βίαν ἔσπευσαν; Φήτε οὖν εὐκολίαν, μήτε κακουργίαν, ἀλλὰ σοφίαν μᾶλλον καὶ ἀνδρείαν ὀνόμαζε τὰ τοιαῦτα· σοφίαν μὲν, ᾗ τῶν φθειρομένων τούτων τὰ ἑστῶτα καὶ μένοντα προαιρούμεθα, καὶ τοὺς ψευδεῖς ὑμῶν θεοὺς καὶ κιβδήλους ἀποστρεφόμενοι, τῷ ζῶντι μόνῳ καὶ ἀληθεῖ Θεῷ προσανέχομεν. ἀνδρείαν δὲ, δι' ἧς τηλικούτοις ὑπὲρ Χριστοῦ κινδύνοις διαπαλαίομεν, καὶ ὥσπερ ὕπνου τινὸς τοῦ θα- C νάτου καταφρονοῦμεν. Οὔτε οὖν Κλήμης ἐστὶν ὁ πείθων ἐμὲ, ἀλλὰ Χριστὸς πολὺ πρότερον ὁ διὰ Κλήμεντος με προσκαλεσάμενος. Οὐκ ἐξηπατήθην, ἀλλὰ τῆς ἀπάτης μᾶλλον ἀπέστην, ἧς ἀποστῆναι καὶ ὑμᾶς εὔχομαι, ἀγαθὸς, εἰ βούλοισθε, καὶ ὑμῖν ἄγγελος τῆς ἀληθείας γινόμενος.

A LXXXII. Sequenti autem die accersito Agathangelo: Scio, inquit, quod non propter improbitatem, sed propter animi facilitatem et morum simplicitatem, deceptus es a tuo familiari Clemente. Quocirca videris multis habere innatum nimium contendendi studium. Non est autem mirum, si mala consuetudo, quæ veluti morbus quidam tempore callum obduxit, mutaverit sententiam. Nam gutta quoque aquæ assidue distillans, petram quoque scit cavare, ut dicitur. Sed hanc tuam ad morem gerendum facilitatem nobis quoque aliquando concede, Agathangele, utiliorem et justiorem, et convenienter tuo nomini sis nobis bonus nuntius, nuntians conversionem propriam et pœnitentiam. Ad hæc Agathangelus: Mihi, inquit, hanc constantiam nec animi fecit facilitas, nec improbitas. Sed quod non improbitas quidem, ipse prius es confessus. Quod autem rursus nec quibuslibet facile paream, hinc est apertum: quomodo enim tam multis restitissem præsidibus, atque adeo ipsi etiam imperatori, qui cum me et cum Clemente et seorsum rursus accepissent, nullam non adhibuere machinam, sed et promissis inescare, et minis perterrere, et suppliciis conati sunt in aliam traducere sententiam. Neque ergo facilitatem, neque improbitatem, sed sapientiam potius et animi fortitudinem hæc nomines: sapientiam quidem, qua iis quæ intereunt et cito fluunt, præferimus ea quæ stant et manent; falsosque vestros deos et adulterinos aversantes, solum unum Deum et verum attendimus: fortitudinem autem, per quam cum tam multis pro Christo colluctantur periculis, et veluti quemdam somnum mortem contemnimus. Neque est ergo Clemens, qui mihi persuadet; sed Christus multo prius, qui me vocavit per Clementem. Neque deceptus sum, sed potius discessi ab errore: a quo rogo, ut vos quoque recedatis, ut qui vobis quoque, si vultis, sim nuntius veritatis.

ΠΓ'. Ταῦτα τοῦ Ἀγαθαγγέλου διεξελθόντος, ἐλπίδος ἐπ' αὐτῷ πάσης ὁ ἡγεμὼν ἀποστὰς, σιδηρᾶς τε περόνας ἰσχυρῶς ἄγαν ἐκπυρωθείσας κατὰ τῶν ἐκείνου ὤτων ἐμβάλλει, καὶ λαμπάδας ἄφθονον τρεφούσας τὸ πῦρ, ταῖς πλευραῖς ἑκατέραις προσάγει. Δριμείας οὖν ἐκ τῶν ὤτων ὀδύνης στρεφούσης ἔνδοθεν τὸν ἐγκέφαλον, καὶ καπνοῦ καὶ σκοτοδίνης αὐτὸν D ἐμπιπλώσης, ἐκαρτέρει γενναίως ὁ μάρτυς Χριστὸν ὁμολογῶν, καὶ μόνον αὐτὸν εἰς ἐπικουρίαν καλῶν, Δέσποτα, κράζων, Ἰησοῦ Χριστὲ, μὴ στερήσῃς με τῆς μακαρίας ἐκείνης τῶν ἀθανάτων ἀγαθῶν ἀπολαύσεως, ἀλλὰ δούς ὑπομονήν μοι καὶ καρτερίαν, καὶ τελείως ἀνῦσαί με τὸν δρόμον τῆς σῆς ὁμολογίας καταξιώσας συναρίθμησόν με τῷ δούλῳ σου Κλήμεντι, καὶ πᾶσιν οἳ τοῦ σοῦ ἐνδόξου ὀνόματος ὑπερήθλησαν, ὅτι ἐξέλιπεν ἡ ἰσχύς μου, ἡ δὲ ψυχή μου ἐπὶ σοὶ ἤλπισε. Ταῦτα ὁ μὲν ηὔχετο, Θεὸς δὲ ἄνωθεν ἐπετέλει.

LXXXIII. Hæc cum dixisset Agathangelus, omni de eo spe concepta præses frustratus, et ferreas fibulas valde accensas in illius aures injicit, et faces copiosum ignem alentes utrisque admovet lateribus. Cum acris itaque dolor hinc ex auribus intrinsecus versaret cerebrum, fumusque et tenebræ id implerent, fortiter id ferebat martyr, Christum confitens, et eum solum vocans in auxilium, et clamans: Domine Jesu Christe, ne me privaveris beato illo fructu bonorum immortalium; sed des mihi patientiam et tolerantiam, et cum dignatus me fueris perficere cursum tuæ confessionis, cum tuo famulo Clemente me connumeres, et cum omnibus, qui pro glorioso tuo nomine decertarunt, quoniam defecit virtus mea; anima autem mea in te speravit. Hæc illa quidem est precatus, Deus autem ex alto hæc perfecit.

ΠΔ'. Καὶ γνοὺς ὁ ἡγεμὼν ὡς ἄρα οὐ μόνον οὐδὲν

LXXXIV. Cum videret præses nihil sibi succedere

ex sententia, sed athletam potius effici clariorem, abducto illo in locum, qui Cryptos, id est Abditus, appellatur, ense beatum caput amputat, quinto mensis Novembris. Atque martyr quidem, cum recessisset ab iis, quæ sunt ad tempus, et a laboribus liberatus fuisset et tormentis, fuit in cœlis; et qui staret cum angelis, et cum superis choros duceret, dignus fuit habitus, cum certasset sub imperatoribus quidem Diocletiano et Maximiano, sub magistratibus autem Agrippino, Curicio, Domitio, Sacerdote, Maximo, Aphrodisio et Lucio. Pia autem illa et martyrum amantissima Sophia, materno amore in Agathangelum quoque accensa propter magnum Clementem, postquam vidit eum, ut optabat, consummatum, et ab iis, quas pro ipso gerebat, curis est exsoluta, et cum magna voluptate tollens illud corpus martyricum, et componens in loco consummationis, in quodam sepulcro profundissimo, in ingressu templi quod illic est deposuit.

A ἑαυτῷ κατὰ γνώμην ἀνύει ἀλλ' ἐπιφανέστερον μᾶλλον τὸν ἀθλητὴν ἀπεργάζεται, ἀπαγαγὼν αὐτὸν εἰς τὸν Κρυπτὸν ἐκεῖνον οὕτω καλούμενον τόπον, ξίφει τὴν μακαρίαν κεφαλὴν ἀποτέμνει, πέμπτην τότε τοῦ Νοεμβρίου μηνὸς ἄγοντος. Ὁ μὲν οὖν μάρτυς λοιπὸν ἀποστὰς τῶν προσκαίρων, καὶ πόνον καὶ βασάνων ἀπαλλαγεὶς, ἐν οὐρανοῖς ἦν· καὶ μετὰ ἀγγέλων ἑστάναι, καὶ μετὰ τῶν ἄνω χορεύειν ἠξίωτο, ἀθλήσας ἐπὶ μὲν τῶν βασιλέων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐπὶ δὲ τῶν ἀρχόντων Ἀγριππίνου, Κουρικίου, Δομετίου, Σακερδῶτος, Μαξίμου, Ἀφροδισίου καὶ Λουκιου. Ἡ δέ γε θεοφιλὴς ἐκείνη καὶ φιλόμαρτυς Σοφία μητρικῶς καὶ Ἀγαθαγγέλου διὰ τὸν μέγαν Κλήμεντα περικαιομένη, ἐπείπερ εἶδεν αὐτὸν, ὡς ἐπόθει, τελειωθέντα, καὶ τῶν ὑπὲρ τούτου φροντίδων ἐλύθη, καὶ σὺν ἡδονῇ πολλῇ τὸ μαρτυρι- B κὸν ἐκείνου σῶμα ἀνελομένη καὶ περιστείλασα κατ' αὐτὸν τὸν τῆς τελειώσεως τόπον, ἔν τινι βαθυτάτῳ τάφῳ, πρὸς τῇ τοῦ ἐκεῖσε ναοῦ εἰσόδῳ κατέθετο.

CAPUT XV.

Martyrium SS. Clementis, Christophori et Churitonis.

LXXXV. Præclarus autem Christi athleta Clemens, cum sui in certamine socii Agathangeli intellexisset consummationem, ipse quoque voluptate, quæ minime potest explicari, repletus in carcere ita ut erat pronus humi extensus (prohibebat enim ne surgeret, lignum quod habebat in pedibus, et lapis alligatus corpori) emittebat, ut par est, ad Deum voces, quibus agebat gratias. Sed neque in eum evaserat præses negligentior, sed præter vincula, et quam perpetiebatur ex illis miseriam, jubebat centum et quinquaginta plagas ei in vultu et in capite infligi quotidie. Sic ergo quotidie ex eo fluebant rivi sanguinis, ut ipse quoque lapis, qui erat ei alligatus, et totus subjectus locus fieret purpureus. Nocte autem rursus adveniente, et lux circa ipsum veluti eluxit et angeli astiterunt, et ejus liberalis consecuta est curatio.

ΠΕ'. Ὁ μέντοι γενναῖος ἀθλητὴς τοῦ Χριστοῦ Κλήμης, τὴν τοῦ συνάθλου τελείωσιν Ἀγαθαγγέλου μαθὼν, καὶ ἡδονῆς καὶ αὐτὸς τὴν ψυχὴν ἀφάτου πλησθεὶς, ὡς εἶχεν ἐπὶ τοῦ δεσμωτηρίου πρηνὴς ἐκταθεὶς τῷ ἐδάφει (ἐκώλυον γὰρ αὐτὸν ἀναστῆναι τό τε ξύλον τὸ ἐπὶ τοῖς ποσὶ καὶ ὁ ἐκδεδεμένος λίθος τοῦ σώματος), φωνὰς πρὸς τον Θεὸν, οἷα εἰκὸς εὐχαριστίας ἐφθέγγετο. C Οὐ μὲν οὐδὲ περὶ αὐτὸν ῥᾳθυμότερον ἔσχεν ὁ ἡγεμὼν, ἀλλὰ πρὸς τοῖς δεσμοῖς καὶ τῇ ἀπὸ τῶν δεσμῶν ἐκείνων ταλαιπωρίᾳ, καὶ πληγὰς αὐτῷ κατά τε τοῦ προσώπου καὶ τῆς κεφαλῆς πρὸς ταῖς ἑκανὸν ἑκάστης ἡμέρας ἐκτείνειν ἐκέλευσεν. Αἵματος μὲν οὖν οὕτω καθ' ἑκάστην ἐξ αὐτοῦ κατήγοντο ῥύακες, ὡς καὶ αὐτὸν δήπου τὸν ἐκδεδεμένον αὐτοῦ λίθον, καὶ πάντα δὲ τὸν ὑποκείμενον φοινίσσεσθαι τόπον. Νυκτὸς δὲ πάλιν ἐπιγινομένης, φῶς τε περὶ αὐτὸν οἷον ἐξέλαμπε, καὶ ἄγγελοι ἐφειστήκεσαν, καὶ ἡ θεραπεία φιλοτίμως ἐπηκολούθει.

LXXXVI. Cum ipse ergo et lapidem et vincula et nocturnas illas plagas ferret fortiter jam longo tempore, Christianis quidem jam erant festa adventura Servatoris nostri Jesu Christi Theophania: pia autem et Dei amans Sophia, quæ vehementi quidem pietatis zelo semper movebatur, et alioqui ardentiori tunc fervebat spiritu, audet præclarum aggredi facinus et magni animi. Cum famulorum accepisset multitudinem, et puerorum, qui ab ea alebantur, masculos et feminas, ingreditur carcerem, et cum vinculis solvissent martyrem, educunt e carcere. Deinde vero cum Sophia eum veste induisset candida, et superhumerale ei imposuisset, et ei manus tradidisset Evangelium, cum multis lampadibus et suffitibus circumseptum deducebat ad ecclesiam. Cum

ΠϚ'. Θὕτως οὖν αὐτοῦ τῷ λίθῳ, καὶ τοῖς δεσμοῖς, καὶ ταῖς καθημεριναῖς ἐκείναις πληγαῖς διακαρτεροῦντος ἐπὶ χρόνον ἤδη συχνὸν, ἑορταὶ μὲν ἤδη Χριστιανοῖς ἔμελλον τὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ D Χριστοῦ Θεοφάνια· ἡ δέ γε θεοφιλὴς Σοφία σφοδρῷ μὲν καὶ ἀεὶ τῷ τῆς εὐσεβείας κινουμένη ζήλῳ, ἄλλως τε δὲ καὶ θερμοτέρῳ τηνικαῦτα ζέσασα πνεύματι, τολμᾷ τι γενναῖον καὶ ἀνδρικόν· καὶ παραλαβοῦσα πλῆθός τε οἰκετῶν, καὶ τῶν τρεφομένων ὑπ' αὐτῇ παίδων, ὥσον τε θῆλυ καὶ ὅσον ἐν ἄῤῥεσιν ἔνδον τοῦ δεσμωτηρίου γίνεται, καὶ λύσαντες τὸν μάρτυρα τῶν δεσμῶν, ἐξάγουσι τοῦ δεσμωτηρίου. Ἔπειτα δὲ καὶ στολὴν αὐτῷ περιθεῖσα λευκὴν ἡ Σοφία, καὶ τὴν ἐπωμίδα περιβαλοῦσα, καὶ χερσὶν ἐπιδοῦσα τὸ Εὐαγγέλιον, οὕτως ὑπὸ πολλαῖς αὐτὸν λαμπάσι

καὶ θυμιάμασι μέσον ἀπειλημμένον, ἐπὶ τὴν ἐκκλησίαν παρέπεμπε. Λευκὴν δὲ αὐτὴ στολὴν περιβαλομένη, καὶ τὴν ἔνδον ἐπὶ τῷ γενναίῳ Κλήμεντι τῆς ψυχῆς ἀποδεικνῦσα φαιδρότητα, καὶ χεῖρα κατὰ τὸ εὐώνυμον μέρος ὑπεῖχεν, ἀνέχουσαν καὶ συναιρομένην πρὸς τὴν πορείαν τῷ μάρτυρι.

ΠΖ'. Ἔτι οὖν εἴχοντο τῆς ὁδοῦ, καὶ ὁ μέγας Κλήμης, καθάπερ ἤδη τοῦ Δεσπότου πρὸς αὐτὸν καλοῦντος αἰσθόμενος, τὴν δεξιὰν εἰς τὸν οὐρανὸν ἀνασχὼν (ἡ ἑτέρα γὰρ τὸ Εὐαγγέλιον εἶχε) ὑπερηύχετο τῆς κατὰ πνεῦμα μητρὸς αὐτοῦ Σοφίας, ὑπερηύχετο τοῦ κλήρου καὶ τοῦ ποιμνίου παντός· ᾐτεῖτο τοῖς ἐπικαλουμένοις αὐτὸν μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν, καὶ ἄλλως θεραπεύουσι καὶ τιμῶσιν, ἀντίληψιν παρὰ Κυρίου καὶ σωτηρίαν, καὶ πᾶν ὅτι περ ἂν αὐτοῖς εἰς αἴτησιν ᾖ πρὸς τὸ συμφέρον οἰκονομούμενον, καὶ B δεόμενος οὕτω τὰ τελευταῖα, εἴσεισι μετὰ τῆς φιλομάρτυρος Σοφίας καὶ τῶν παραπεμπόντων τὴν ἐκκλησίαν. Ἐκεῖνοι μὲν οὖν μοχλοῖς καὶ κλεισὶ τὰς θύρας ἀσφαλισάμενοι (ἐδεδίεσαν γὰρ μή τινες αὐτοῖς τῶν ἀσεβῶν ἐπιπέσωσι), διὰ πάσης νυκτὸς ᾄδοντες ἦσαν. Ὡς δὲ καὶ ἡ σωτήριος ἡμέρα παρῆν, φαιδρόν τι λίαν καὶ ἡδὺ λάμπουσα ταῖς τῶν ἀξίων ψυχαῖς, λαμπρῶς ἄγαν ὁ μάρτυς τὴν ἱερὰν λειτουργίαν διατελέσας, καὶ της ἀχράντου κοινωνήσας τοῖς παροῦσι καὶ ἀναιμάκτου θυσίας, εἶτα καὶ γλυκὺν αὐτοῖς τὸ τοῦ Χριστοῦ κλῆμα τὸν οἶνον τῆς διδασκαλίας ἀπέσταξε.

ΠΗ'. Περιδεεῖς δὲ αὐτοὺς καὶ καταφόβους ὁρῶν, οἷα τινα τῶν ἀπίστων ἐπέλευσιν ὑποπτεύοντας, ἐπέρρωσεν αὐτῶν τὰ φρονήματα, καὶ τὴν δειλίαν ἐκβέβληκε, C φανερὰ καὶ ὑπ' ὀφθαλμοὺς αὐτοῖς τὰ μέλλοντα συμβήσεσθαι παραστήσας. Θαρσεῖτε γὰρ, φησὶν, ἀδελφοὶ θαρσεῖτε· εἷς ἐξ ὑμῶν οὐκ ἀπολεῖται, δύο δέ τινες καὶ τρίτος ἐγὼ σὺν αὐτοῖς, ἤδη τὴν τελευταίαν ἐκδημίαν ἀφ' ὑμῶν ἐκδημήσομεν· ἔπειτα σβεσθήσεται μὲν ἡ κατὰ Χριστιανῶν λύσσα, εἰρήνη δὲ πρὸς τὰ Ῥωμαίων ἀνατελεῖ, καὶ πᾶσα πόλις καὶ χώρα τῆς ἐπιγνώσεως πλησθήσεται τοῦ Χριστοῦ· κα ἀνοιγήσεται μὲν ἅπας ὁ ἱερὸς οἶκος, κλεισθήσονται δὲ οἱ τῶν Ἑλλήνων ναοὶ, καὶ φεύξονται οἱ προσκυνοῦντες ἐν αὐτοῖς, καὶ τὸν φόβον ἡμῶν αὐτοὶ φοβηθήσονται. Ὁ δὲ καιρὸς οὗτος ἐγγὺς, καί τινες ἐξ ὑμῶν τὴν καταστροφὴν τῶν διοκόντων ἡμᾶς ὄψονται.

ΠΘ'. Ταῦτα ἐκείνου γυμνῶς οὕτω καὶ ἀποκεκαλυμμένως τοῖς παροῦσι διεξιόντος, D φιλόχριστός τε καὶ φιλόμαρτυς Σοφία μεστὴν ἡδονῆς ἐπὶ τῷ Κλήμεντι καὶ φαιδρότητος ἔχουσα τὴν καρδίαν, χήρας τε καὶ ὀρφανοὺς συνεκάλει, καὶ ἄρτον αὐτοῖς καὶ ἐδέσματο καὶ οἶνον ἄφθονα προσετίθει πάντα, καὶ ὡς ἡ χεὶρ εἶχεν ἐδεξιοῦτο. Ταῦτα μὲν οὖν δωδεκάτην ἐξῆς ἐτελεῖτο ἡμέραν, καὶ φιλοτίμως τοὺς παραβάλλοντας ἡ Σοφία εἱστία, καὶ ἦσαν ἐν ἑορταῖς πάντες καὶ εὐπαθείαις, καὶ Κλήμεντος τὴν ἐπεκδημίαν ἑώρταζον· ἐπεὶ δὲ καὶ ἡ προθεσμία παρῆν (Κυριακὴ δὲ ἦν ἡ ἡμέρα) τὸν ἀθλητὴν ἀπὸ τῆς παρούσης καλοῦσα

A ipsa autem vestem quoque induisset candidam, et internam propter egregium Clementem ostenderet animi lætitiam, ei in sinistra parte manum subjiciebat, quæ eum sustineret, et ad ingrediendum ferret opem martyri.

LXXXVII. Adhuc autem erant in itinere, cum Clemens, ut qui jam sensisset, Dominum eum ad se vocantem, in cœlum sublata dextera (altera enim tenebat Evangelium), oravit et pro sua secundum spiritum matre Sophia, et oravit etiam pro clero et universo grege, et petiit iis, qui ipsum invocarent, postquam hinc excessisset, et eum alioqui honorarent et colerent, Domini defensionem et salutem, et quidquid ad eorum petitionem tributum futurum esset eis utile: et sic postremo orans, cum martyrum amante Sophia, et iis qui eum deducebant, ingreditur ecclesiam. Atque illi quidem cum clavibus et vectibus fores muniissent (timebant enim, ne aliqui ex impiis in eos irruerent), tota nocte canebant. Postquam autem dies advenit salutaris, jucunde et suaviter illucessens eorum, qui digni erant, animis, cum præclare admodum martyr sacum celebrasset ministerium, et intemerato et incruento eos qui aderant, impertiisset sacrificio, eis suavis Christi palmes, Clemens, inquam, eis instillavit dulce vinum doctrinæ.

LXXXVIII. Cum autem videret perturbatos et timore affectos, ut qui suspicarentur fore aliquam infidelium incursionem, confirmavit eorum spiritus, et cum quæ futura erant, eorum subjecisset oculis: Bono, inquit, sitis animo, fratres, non peribit unus ex vobis Duo autem quidam, et ego tertius cum eis prostremo a vobis excedemus. Deinde exstinguetur quidem, quæ sævit in Christianos, rabies: orietur vero pax in imperio Romanorum: omnisque civitas et regio implebitur Christi cognitione: et aperietur quidem omnis ædes sacra, claudentur autem templa gentilium, et fugient, qui in eis, adorant, et eo, quo nunc vos, ipsi timore afficientur. Hoc autem tempus prope est, et quidam ex vobis videbunt eversos persecutores.

LXXXIX. Hæc cum ille tam aperte dissereret iis qui aderant, Christi et martyrum amantissima Sophia, maximo gaudio et lætitia propter Clementem in corde plena, convocabat viduas et orphanos, panemque et cibum et vinum eis abunde suppeditabat, et pro viribus eos complectabatur. Atque hæc quidem duodecim deinceps dies facta sunt, et eos, qui accedebant, convivio liberaliter accepit Sophia, festosque dies celebrabant et hilariter transigebant, et Clementis adventum honorabant. Cum autem jam dies adesset præstitutus (erat vero dies Dominicus) a præsenti vita athletam

evocans, ille quidem divinum celebrat sacrificium. Postquam autem perfecta fuerant, quæ consueverant, et participes fuerunt fideles vivifici corporis et sanguinis, divinis adhuc donis in sacra mensa propositis, et ad ea martyre collum habente inclinatum, quidam ex magistratibus, Alexander nomine, impetu repente facto cum militibus, jubet uni ex suis amputare sacrum caput Clementis. Deinde etiam intemeratam oblationem (o tuam, Christe rex, patientiam!) dejecerunt in terram, et profanis pedibus profani conculcarunt. Atque sic quidem magnus ille Clemens sacrificans, acceptum pro aliquo alio sacrificium ipse Deo offertur. Eorum autem qui aderant multitudo, alii quidem recesserunt lacrymantes; duo vero soli ex Levitis, qui etiam intemerato ministrabant sacrificio, unus quidem Christophorus, alter autem Chariton nomine, ut ipse prius significavit beatus, ad divinam quidem ejus mensam beatum ipsi quoque finem acceperunt.

XC. Fidelis autem Sophia, quæ magno Clementi fuit ex Deo mater et nutrix et institutrix, cum in aula tutissima haberet filium repositum, et qui ad supernas transierat coronas, et immobilium illorum bonorum remunerationes, sollicitudinem omnem solvens et mærorem, et lucernarum accendit multitudinem, multaque perpessum et quod multa vicerat certamina, sui amicissimi mortui tollens corpus, mundis vestibus et linteis involvit, et in ipso templo, quod est in loco, qui dicitur Cryptos, præclarum præclare deponit: ubi etiam prius deposuerat Agathangelum, ut uni sepulcro crederentur corpora, quorum animas idem cœli suscepit tabernaculum. Prope eos autem, illos etiam sepelit diaconos, qui cum magno Clemente concertaverant, quo in loco eorum quoque parva ædificata est ædicula. Deinde cum Clementis assedisset sepulcro, hæc humanitateque et affectione plena verba eloquebatur: Ego quidem vos, o filii, in Crypto, id est in abdito, deposui: sed vos omnino Christus in aperto deducet in requiem, propter quem tot et tanta vestra sponte pati delegistis, et vobis dignam ædem excitabit, et vestra corpora in ea reponentur. Porro autem me quoque jam ad vos vocat senectus, quæ propterea in hodiernum usque diem est conservata, ut vobis communem omnino congeram pulverem, quos ne longum quidem tempus martyrii a se invicem separavit, et meipsam vobis pulchrum bustum præbeam. Sed orate pro me, o charissimi, quæ sum mater, et nutrix, et supplex, ut possim sicut hic, ita etiam illic quoque esse prope vos, et apud Dominum possim quoque parvam aliquam habere fiduciam. Atque illa quidem hæc apud sepulcrum loquebatur, et sensim una cum voce etiam effluebant lacrymæ.

A ζωῆς, ὁ μὲν ἐτύγχανε τὴν θείαν λειτουργίαν ἱερουργῶν. Ὡς δὲ πάντα ἐτελέσθη τὰ εἰωθότα, καὶ τοῦ ζωοποιοῦ μετέσχον οἱ πιστοὶ σώματός τε καὶ αἵματος, ἔτι τῶν θείων δώρων τῆς ἱερᾶς προκειμένων τραπέζης, καὶ τοῦ μάρτυρος ὑποκεκλιμένον αὐτοῖς ἔχοντος τὸν αὐχένα, μετὰ πλήθους στρατιωτῶν ἄρχων τις, Ἀλέξανδρος ὄνομα, ἐκ τοῦ αἰφνιδίου ἐπεισπεσὼν κελεύει τῶν ὑπ' αὐτῶν ἑνὶ ξίφει τὴν ἱερὰν καὶ θείαν τοῦ Κλήμεντος ἀποτέμνειν κεφαλήν. Εἶτα καὶ τὴν ἄχραντον προσφορὰν, (ὅση σου, Χριστὲ βασιλεῦ, ἡ μακροθυμία!) κατὰ γῆς ἐῤῥίπτουν, καὶ ποσὶ βεβήλοις οἱ βέβηλοι κατεπάτουν. Οὕτω μὲν οὖν θύων ὁ μέγας Κλήμης, θῦμα δεκτὸν ἀντ' ἄλλου τινός αὐτὸς προσάγεται τῷ Θεῷ· τὸ δὲ τῶν παρεστώτων πλῆθος, οἱ μὲν ἄλλοι δακρύοντες B ὑπεχώρουν, δύο δέ μόνοι τῶν Λευϊτῶν, οἳ καὶ τῇ ἀχράντῳ θυσίᾳ διακονούμενοι ἦσαν, ὁ μὲν Χριστοφόρος, ὁ δὲ Χαρίτων καλούμενοι, ὡς αὐτὸς προαγγείλας ἦν ὁ μακάριος, αὐτοῦ που παρὰ τῇ θείᾳ τραπέζῃ τὸ μακάριον καὶ αὐτοὶ τέλος ἐδέξατο.

Ϟʹ. Ἡ μέντοι πιστὴ Σοφία ἡ καὶ μήτηρ τῷ μεγάλῳ Κλήμεντι κατὰ Θεὸν, καὶ τροφὸς, καὶ παιδαγωγὸς γενομένη, ἐπειδὴ καὶ τὸν υἱὸν ἤδη λοιπὸν ἐν ἀσύλῳ ἀποτεθέντα εἶχε ταμείῳ, καὶ πρὸς τοὺς ἄνω διαβάντα στεφάνους, καὶ τῶν ἀκινήτων ἀγαθῶν ἐκείνων τὰς ἀντιδόσεις φροντίδος πάσης καὶ ἀγωνίας ἑαυτὴν ἀνεῖσα, λαμπάδων τε πλῆθος ἀνάπτει, καὶ ἡδίστης εὐωδίας τὸν ἀέρα πληροῖ, θείους τε αὐτῷ ὕμνους ἐπᾴδει, καὶ οὕτω τὸν πολυπαθῆ καὶ πολύαθλον ἐκεῖνον τοῦ φιλτάτου ἀνελομένη νεκρὸν C ἐσθήμασί τε καὶ σινδόσι καθαροῖς περιελίττει, καὶ ἐν αὐτῷ τῷ κατὰ τὸν τόπον ναῷ, ὃς ἄρα καὶ Κρυπτὸς ἐκαλεῖτο, λαμπρὸν λαμπρῶς κατατίθεται, ἵνα καὶ τὸν Ἀγαθάγγελον ἐτύγχανε προκαταθεμένη, ὅπως καὶ τάφος εἷς τὰ σώματα πιστευθῇ, ὧν ἡ αὐτὴ σκηνὴ καὶ τὰς ψυχὰς ἐν οὐρανοῖς ὑπεδέξατο. Πλησίον δὲ καὶ αὐτοὺς θάπτει τοὺς συναθλήσαντας τῷ μεγάλῳ Κλήμεντι διακόνους, ἔνθα καὶ μικρά τις ᾠκοδόμητο ἐκείνων οἰκία. Εἶτα παρακαθίσασα τῷ τοῦ Κλήμεντος τάφῳ, οὕτω πως ὑπεφθέγγετο τὰ γενναῖα ταυτὶ καὶ φιλάνθρωπα καὶ περιπαθῆ ῥήματα· Ἐγὼ μὲν ὑμᾶς, ὦ τέκνα, ἐν τῷ Κρυπτῷ κατεθέμην, ἀλλὰ Χριστὸς ἐν τῷ φανερῷ πάντως διαναπαύσει· δι' ὃν καὶ τὰ τοσαῦτα παθεῖν ἡδέως προείλεσθε, καὶ οἶκον ὑμῖν ἄξιον ἀναστήσει, καὶ τὰ σώματα ὑμῶν ἐν D αὐτῷ ἀποθήσεται. Κἀμὲ δὲ τὸ γῆρας ἤδη λοιπὸν καλεῖ πρὸς ὑμᾶς, διὰ τοῦτο καὶ εἰς δεῦρο τηρηθεῖσαν, ἵνα πάντως κοινὴν ὑμῖν ἐπιχώσω κόνιν, οὓς οὐδὲ ὁ μακρὸς ἀπ' ἀλλήλων τοῦ μαρτυρίου διέστησε χρόνος, καὶ καλὸν ἐμαυτὴν παράσχω ἐντάφιον. Ἀλλ' εὔξασθε ὑπὲρ ἐμοῦ, φίλτατοι, τῆς καὶ μητρὸς, καὶ τροφοῦ, καὶ ἱκέτιδος, ὥστε δυνηθῆναι καθάπερ ἐνταῦθα, οὕτω καὶ αὐτόθι γένεσθαί που πλησίον ὑμῶν, καὶ μικρᾶς τινος κἀμὲ πρὸς τὸν κοινὸν Δεσπότην κοινωνῆσαι τῆς παῤῥησίας. Ἡ μὲν οὖν παρὰ τῷ τάφῳ ταῦτα ἐφθέγγετο, καὶ ἡσυχῇ μετὰ τῆ φωνῆς παρέῤῥει καὶ δάκρυα.

XCI. Præclarus autem Christi athleta Clemens (nam cum iis, quæ dicta sunt, pauca quædam adjecero, finiam orationem) perpetuo quidem de-

ϞΑʹ. Ὅ γε μὴν γενναῖος τοῦ Χριστοῦ ἀθλητὴς Κλήμης (μικρὸν γὰρ ἔτι τοῖς εἰρημένοις προσθεὶς καταλύσω τὸν λόγον) διετέλεσε μὲν ἀθλῶν ἐπὶ βασι-

λέων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, ἐπὶ ἀρχόντων A δὲ Δομετιανοῦ, Ἀγριππίνου, Κουρικίου, Δομετίου, Σακερδῶτος, Μαξίμου, Ἀφροδισίου, Λουκίου, καὶ Ἀλεξάνδρου· τὸν ἀγῶνα δὲ τρίτῃ μηνὸς Ἰανουαρίου καὶ εἰκοστῇ καταλύει, ὡς εἶναι τὸν πάντα τοῦ μαρτυρίου χρόνον εἰκοστὸν αὐτῷ καὶ ὄγδοον ἔτος. Ὃ πρὸς ἀνανηψιν ἡμᾶς τῆς οἰκείας ἔχειν δεῖ ῥᾳθυμίας, καὶ τὴν μακρὰν ταύτην αἰδεσθαι τῶν ἄθλων παράτασιν, ὅσοι μηδὲ βραχεῖάν τινα καιροῦ ῥοπὴν ὑπομεῖναί τι καὶ τῶν ἀηδεστέρων διὰ Χριστὸν ἀνεχόμεθα, καὶ οὕτω παρεσκευάσθαι, καὶ οὕτω θάῤῥεῖν, ὥστε δι' αὐτὸν, εἰ δεήσει, πάντα παθεῖν, ἵνα καὶ αὐτοὶ προαιρέσεως ὦμεν μαρτύριον διανύσαντες, καὶ παῤῥησίας πρὸς Θεὸν ἅμα σὺν ἐκείνῳ μετάσχομεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ B ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, καὶ προσκύνησις, νυν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

τῆς οἰκείας ἀρετῆς ἐννοῆσαί τε καὶ εἰπεῖν. Προσελθὼν τοίνυν τῷ μακαρίῳ, Ἡ βασιλικὴ χεὶρ, ἔφη, δέσποτα, πολλῶν δεῖται χρημάτων εἰς ἀναγκαίας τοῦ κοινοῦ χρείας ὅσαι ὧραι καταναλίσκουσα· ὁρᾷς γὰρ καὶ αὐτὸς, ὡς ἐν στενῷ κομιδῇ τὰ τοῦ κοινοῦ περιέστη. Προσῆκον οὖν ἐστι τὰ εἰκῇ καὶ εἰς οὐδὲν δέον παρὰ σοῦ δαπανώμενα, τῷ τοῦ δημοσίου ταμείῳ προσενεχθῆναι. Ὁ δὲ μηδὲν ἐπ' αὐτῷ διαταραχθεὶς, Οὐ δίκαιον, ἔφη, τὰ τῷ ἐπουρανίῳ βασιλεῖ καθιερωμένα τῷ ἐπιγείῳ καταπροέσθαι. Ἱεροσυλία γὰρ ἄντικρυς τοῦτο, καὶ εἰς Θεὸν οὐ φαῦλον ἁμάρτημα. Εἰ δέ σοι οὕτω δέδοκται πράττειν, ἰδοὺ τὰ τῆς Ἐκκλησίας πάντα λαβὼν ποίει κατὰ τὴν σὴν θέλησιν, εἴγε μηδείς σε λόγος τῆς γνώμης ταύτης ἀφίστησι· προαιρέσει γὰρ οἰκείᾳ, οὐδ' ὀβολὸν ἕνα τῶν κειμένων προήσομαι. Οὐδὲν οὖν ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ B οὐκ οἶδ' ὅπως ὑποστειλάμενος, εἰσκαλεῖται τοὺς ἑπομένους καὶ τὰ χρήματα εὐθὺς ἆραι κελεύει, μηδὲν πλέον, ὅτι μὴ ἑκατὸν μόνας τοῦ χρυσίου λίτρας τῷ πατριάρχῃ καταλιπών.

Κ'. Ἐν ᾧ δὲ κατῄεσαν οἱ ταῦτα διαβαστάζοντες, συναντῶσιν ἀνερχομένοις τισὶ πρὸς τὸν πατριαρχην, κεράμια μέλιτος ἐπικομιζομένοις· ὧν τοῖς μὲν, Πρῶτεῖον, τοῖς δὲ, Ἄκαπνον ἐπιγέγραπτο. Ἐπεὶ οὖν ὁ πατρίκιος ἐθεάσατο ταῦτα, καὶ τὴν ἐπιγραφὴν ὅπως εἶχεν ἀνέγνω, δηλοῖ παραχρῆμα τῷ πατριάρχῃ ἓν τῶν κεραμίων αὐτῷ ἐκπεμφθῆναι. Τοῦ δὲ πιστευθέντος αὐτὰ διάπειραν, ὡς ἔθος, αὐτῶν ποιουμένου· εἶτα καὶ τὸ γεγονὸς ἐπ' αὐτοῖς θαῦμα καταμαθόντος, καὶ τῷ μακαρίῳ γνωρίσαντος, ὡς πάντα μεστὰ χρυσίου τυγχάνουσιν ὄντα, ἓν αὐτῶν παραχρῆμα πέμπει τῷ C πατρικίῳ, ὃ Μέλι πρωτεῖον, τὴν ἐπιγραφὴν εἶχε. Τούτῳ τοιγαροῦν καὶ γράμματα στέλλει, ὧν ἡ δύναμις οὕτως ἦν· Ὁ εἰπὼν Κύριος, «Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω,» ἀψευδὴς ὢν αὐτὸς, καὶ νῦν ὧν ἡ σὴ ἐνδοξία ἀφείλετο χρημάτων ἀντιδίδωσιν ἕτερα. Δηλώσει δέ σοι καὶ τὸ νῦν ἐκπεμφθὲν κεράμιον, ἓν τούτων ὑπάρχον. Ἴσθι τοίνυν ἀκριβῶς ὅτι τὸν καὶ πνοὴν καὶ τροφὴν πᾶσι διαχορηγοῦντα Θεὸν, φθαρτὸς ἄνθρωπος στενῶσαι οὔ ποτε ἂν οὐδαμῶς δυνήσεται. Παρήγγειλε δὲ καὶ τοῖς τὸ κεράμιον διακομίζουσιν, ἐπὶ μάρτυσιν αὐτοῖς ἀνοιγῆναι κατ' ὄψιν τοῦ πατρικίου, ἀπαγγεῖλαί τε ὡς καὶ τἄλλα πάντα, ὅσα δὴ καὶ τεθέαται, οὕτως ἔχει, καὶ χρυσίου τυγχάνει πεπληρωμένα. Εὐωχούμενον τοίνυν καταλαβόντες, ἐγχειρίζουσιν αὐτῷ τὴν ἐπιστολὴν ἐπιδεικνύντες καὶ τὸ κεράμιον· ὅπερ ὡς ἐθεάσατο, Χολᾷ μοι πάντως ὁ D δεσπότης μου, ἔφη, ἐπεὶ οὐκ ἂν ἕν μοι μόνον ἐπέστελλεν. Οἱ μέντοι διακομισταὶ, καθὼς ἦν αὐτοῖς ἐπιτεταγμένον, ὑπ' ὄψις αὐτοῦ διανοίξαντες τὸ κεράμιον καὶ τὰ χρήματα ἐκκενώσαντες, χρυσίου πεπληρῶσθαι καὶ τὰ λοιπὰ ὁμοίως ἀπήγγελλον. Ὡς δὲ καὶ τὴν ἐπιστολὴν ἐπιὼν, εὗρεν ὅτι Θεὸν ἄνθρωπος στενῶσαι οὐ δύναται, συσταλεὶς ἐπὶ τούτῳ, καὶ δέους ὑποπλησθεὶς (ταχεῖα γὰρ εἰς τὴν τοῦ μὴ κα-

(13) Leontius lagunculas scribit missas fuisse, habentes pecunias, non mel : nec miraculum hic ullum mutati in pecuniam mellis, sed divinam Providentiam agnoscit in hisce muneribus eo tempore missis.

A Accedens itaque ad Beatum : Manus, inquit, imperatoris eget multis pecuniis, ut quas ad necessarios usus reipublicæ quotidie consumat. Nam ipse quoque vides, in quantas angustias redacta sit respublica. Oportet ergo, ut quæ temere et ad nihil quod oportet a te consumuntur, deferantur ad ærarium publicum. Ille autem nihil propterea conturbatus : Non est, inquit, justum, ut quæ Regi cœlesti sunt consecrata, prodantur regi terreno. Est hoc enim plane sacrilegium, et non parvum in Deum peccatum. Sin autem tibi visum est sic facere, ecce quæcunque sunt Ecclesiæ, ea accipe, et fac ut volueris, si quidem te nulla ratio ab hac abducit sententia : mea enim voluntate ne obolum quidem dimittam eorum quæ B sunt reposita. Nihil ergo, nescio quo modo, ex eo repressus vir ille admirabilis, vocat eos qui sequebantur, et statim jubet tollere pecunias, nihil aliud relinquens patriarchæ nisi solas centum libras auri.

XX. Interim autem dum descendebant ii, qui eas portabant, occurrunt quibusdam ascendentibus ad patriarcham, qui mellis (13) amphoras afferebant ad eum, in quarum nonnullis inscriptum quidem erat, Primarium ; in aliis autem, Fumo carens. Postquam ergo hæc vidit Patricius, et agnovit inscriptionem, significavit patriarchæ, ut ad ipsum mittatur una ex amphoris. Cum is autem, cujus fidei hæc commissa fuerant, eorum, ut mos est, fecisset periculum, et deinde intellexisset, quod in C eis factum erat miraculum, et beato Joanni significasset quod sunt omnia auri plena, illico unum mittit ad Patricium, quod inscriptum erat, Mel primarium. Ad eum autem mittit etiam litteras, quarum hæc erat vis : Dominus qui dixit, « Non te dimittam, nec te derelinquam, » ipse pro iis, quas tua Celsitudo nunc abstulit, pecuniis reddit alias. Id autem tibi declarabit quæ nunc ad te missa fuit amphora, quæ est una ex iis. Scias ergo, quod Deum, qui spiritum et alimentum omnibus suppeditat, homo, in quem cadit interitus, nequaquam poterit in angustum redigere. Porro autem præcepit etiam iis, qui ferebant amphoram, ut eis præsentibus aperiretur in conspectu Patricii, et ei renuntiarent, quod aliæ omnes, quas vidit, ita se habent, et sic sunt auro plenæ. Cum eum ergo invenissent D convivantem, ei tradunt epistolam, ostendentes etiam amphoram. Quam quidem postquam vidit : Irascitur mihi omnino dominus meus, inquit : neque enim unam mihi solam misisset. Qui autem portabant, quomodo fuerat eis imperatum, cum in ejus conspectu aperuissent amphoram, et pecunias effudissent, annuntiabant fuisse reliquias auro similiter repletas. Cum vero perlegens epistolam, invenisset quod homo Deum non potest in angustum redigere,

ad se postea reversus et timore repletus (eorum enim, quæ non recte facta sunt, pœnitentia cito movetur generosa virtutis amans anima), Vivit Deus,

XXI. Cum statim itaque surrexisset, et quascunque ex ecclesia sustulerat pecunias rursus sumpsisset, et ipsam quæ missa fuerat amphoram, quinetiam e suo libras trecentas addidisset, ascendit ad patriarcham, veniam petens inconsiderati consilii. Ille autem eum libenter excipiens, neque ei exprobravit, neque aliquid locutus est, quod ei afferret molestiam: sed verbis potius animum consolantibus et spiritualibus admonitionibus confirmatum amandavit. Ab eo autem tempore tanto fuerunt inter se conjuncti vinculo amicitiæ, ut etiam patriarcha fuerit ejus filiorum susceptor. Ut autem non solum per uberiorem laxamque et solutam vivendi rationem cognosceretur animus ejus incomparabilis, et bona spes ejus in Deum fidei, sed etiam per angustiorem, quam esset probatus, esset evidens: (clarum est enim, quod sunt utraque periculosa, nempe et res secundæ, quæ enervant et emolliunt, a Deique recordatione ejiciunt; et res adversæ rursus, quæ in arctum cogunt, pusillumque et abjectum animum efficiunt): propterea providit Deus, ut is cadat in egestatem. Quonam modo autem id provisum sit, dicam.

XXII. Cum magna multitudo eorum, qui manum Persicam effugerant, confugisset Alexandriam, et esset magna alimenti penuria, maxime quod nec illo tempore Nilus ascendisset, ut consueverat, et pecuniæ Ecclesiæ essent consumptæ; coactus est ille magnus mille libras auri mutuas accipere ab aliquibus. Cum autem eas quoque consumpsisset, agitabatur magna sollicitudine, et Dei orabat benignitatem, ut in rebus dubiis aliquam viam excogitaret. Sed etiamsi ad tantam redactus fuisset inopiam, non fuit tamen victus a calamitate, non divinas leges et sacras constitutiones affecit dedecore, nec intermisit commissum sibi gregem accurate regere. Itaque cum quidam clericus, ex iis qui secundas nuptias contraxerant, abundans divitiis, vellet consequi gradum diaconatus, rescivisset autem has patriarchæ angustias, et arripuisset tempus tanquam opportunum, si pecuniis levata inopia assequeretur id, quod desiderabat, chartam tradidit beato Joanni, quæ sic habebat: Cum accepissem angustias in quas redacta est munifica dextera mei domini, non existimavi oportere me quidem degere in deliciis et rerum abundantia, dominum autem meum redactum esse in angustias. Sunt apud me frumenti quidem multa millia, auri autem centum libræ et quinquaginta: eas velim per te dare Christo, si tantum judicatus fuero dignus ejus diaconatu per sanctam tuam ordinationem. Inventum enim est alicubi quid dictum fuisse apud Apostolum [2], ex necessitate legis quoque fieri translationem.

[2] Heb. VII.

A λῶς πεπραγμένου μετάνοιαν εὐγενὴς ψυχὴ καὶ φιλάρετος), Ζῇ Κύριος, ἐξεβόησεν, οὐδὲ ὁ ταπεινὸς Νικήτας στενῶσαι τοῦτον πειραθῆναι ἀνέξεται.

ΚΑ'. Παραυτίκα τοίνυν διαναστὰς, καὶ τὰ χρήματα πάντα ὅσα δὴ καὶ τὰ τῆς ἐκκλησίας ἀφείλετο πάλιν ἀναλαβὼν, καὶ αὐτὸ τὸ σταλὲν κεράμιον, ἀλλὰ καὶ παρ' ἑαυτοῦ χρυσίου λίτρας τριακοσίας προσεπιθεὶς, ἄνεισι πρὸς τὸν πατριάρχην, συγγνώμην τῆς ἀβουλίας αἰτούμενος. Ὁ δὲ ἀσμένως αὐτὸν δεξάμενος, οὔτε ὠνείδισεν, οὔτε τι τῶν λυπούντων ἀπεφθέγξατο πρὸς αὐτόν· λόγοις δὲ μᾶλλον παρακαλοῦσι ψυχὴν, καὶ νουθεσίαις ἐπιστηρίξας πνευματικαῖς, ἀπέστειλε. Καὶ τὸ ἀπὸ τοῦδε οὕτω πρὸς φιλίαν ἀλλήλοις ἀμφότεροι συνεδέθησαν, ὡς καὶ ἀνάδοχον τῶν αὐτοῦ παίδων γενέσθαι τὸν πατριάρχην. Ἵνα δὲ μὴ μόνον διὰ B τῆς ἀφθονωτέρας ἀγωγῆς καὶ ἀνέτου, τὸ ἀπαράβλητον τῆς τοῦ ἀνδρὸς προαιρέσεως, τῆς τε πρὸς Θεὸν πίστεως τὸ εὔελπι γνωρισθῇ, ἀλλὰ καὶ διὰ τῆς στενωτέρας τὸ δοκίμιον οἷος φανηρὸς γένηται· (δῆλον γὰρ ὡς ἐπισφαλῆ ἀμφότερα· εὐημερία χαυνοῦσα καὶ τῆς τοῦ Θεοῦ μνήμης ἐκβάλλουσα, καὶ δυσπραγία πάλιν ἀποστενοῦσα καὶ πρὸς μικροψυχίαν ἐλαύνουσα)· διὰ ταῦτα οἰκονομεῖ τοῦτον ἐνδείᾳ περιπεσεῖν ὁ Θεός. Τίς δὲ ὁ τῆς οἰκονομίας τρόπος, ἐρῶ.

ΚΒ'. Τοῦ πολλοῦ πλήθους τῶν τὴν Περσικὴν χεῖρα διαφυγόντων εἰς τὴν Ἀλεξάνδρειαν καταπεφευγότων, C καὶ τῶν τροπῶν σφόδρα σπανιζουσῶν, τῷ μάλιστα κατ' ἐκεῖνο καιροῦ μηδὲ τὸν Νεῖλον ὥσπερ σύνηθες ποιήσασθαι τὴν ἀνάβασιν, καὶ τῶν τῆς Ἐκκλησίας χρημάτων ἀναλωθέντων, ἀπηναγκάσθη ὁ μέγας χιλίας χρυσίου λίτρας παρά τινων ἐκδανείσασθαι· ὡς δὲ καὶ ταύτας ἀνάλωσε, πολλή τις αὐτὸν ἐκλόνει φροντὶς, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐδεῖτο πόρον ἐν ἀπόροις ἐπινοήσασθαι· ἀλλὰ καὶ οὕτως εἰς ἔσχατον ἀπορίας ἐληλακὼς, οὐχ ἥττων ὤφθη τῆς συμφορᾶς, οὐ τοὺς θείους νόμους καὶ τὰς ἱερὰς ᾔσχυνε διατάξεις, οὐδὲ καθυφῆκέ τι τοῦ μὴ πρὸς ἀκρίβειαν ἰθύνειν τὸ πιστευθὲν ποίμνιον. Ταύτῃ τοι καὶ κληρικός τις τῶν δευτέροις γάμοις ὡμιληκότων, πλούτῳ περιττῶς ἔχων, τοῦ τῶν διακόνων βαθμοῦ τυχεῖν ἐφιέμενος τὴν στένωσιν ταύτην τῷ πατριάρχῃ μεμα- D θηκὼς, καὶ τὸν καιρὸν ἁρπάσας ὡς ἐπιτήδειον, εἴγε χρήμασι τὴν ἔνδειαν θεραπεύσας αὐτὸς ἐπιτύχοι τοῦ ποθουμένου, χάρτην ἐγχειρίζει τῷ μακαρίῳ οὕτω πως ἔχοντα· Τὴν συνέχουσαν στένωσιν τὴν μεγαλόδωρον δεξιὰν τοῦ ἐμοῦ δεσπότου καταμαθὼν, οὐ δέον ἡγησάμην ἐμὲ μὲν ἐν ἀπολαύσει διάγειν καὶ ἀφθονίᾳ, τὸν δεσπότην δὲ τὸν ἐμὸν ἐν στενώσει διατελεῖν. Εἰσὶ τοίνυν παρ' ἐμοὶ σίτου μὲν χιλιάδες πολλαὶ, χρυσίου δὲ λίτραι ἑκατὸν καὶ πεντήκοντα. Ταύτας δέομαι δοῦναι διὰ σοῦ τῷ Χριστῷ, εἰ μόνον ἄξιος τῆς αὐτοῦ διακονίας κριθείην διὰ τῆς σῆς ἁγίας χειροτονίας. Εὕρηται γάρ που τοιοῦτον καὶ παρὰ τοῦ Ἀποστόλου λεχθὲν, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσιν γίνεσθαι.

ΚΓ'. Μεταστέλλεται τοίνυν ὁ πατριάρχης ἰδίᾳ τὸν ἄνδρα, αἰσχῦναι τοῦτον ἐπὶ πολλῶν μὴ βουλόμενος, καί φησιν πρὸς αὐτόν· Ἡ μὲν προσαγωγή σου, τέκνον, πολλή τε καὶ τῷ νῦν καιρῷ ἀναγκαία, ἐπίμωμος δὲ καὶ δι' αὐτὸ τοῦτο καὶ ἀπαράδεκτος· οὐκ ἀγνοεῖς γὰρ ὅτι τὰ κατὰ νόμον προσαγόμενα πρόβατα, εἰ μὴ ἄμωμα ἦν, κἂν μεγάλα ἐτύγχανεν ὄντα, εἰς θυσίαν ἀπρόσδεκτα ἦν· καθ' ἣν αἰτίαν οὐδὲ τὰ τοῦ Κάϊν τῷ Θεῷ προσεδέχθη. Τὸ δὲ ἐξ ἀνάγκης καὶ νόμου μετάθεσιν γίνεσθαι, τοῦτο περὶ τοῦ παλαιοῦ νόμου εἰρῆσθαι τῷ Ἀποστόλῳ γινώσκομεν. Ἐπεὶ τί σοι δοκεῖ τὸ παρὰ τῷ θεαδέλφῳ κείμενον Ἰακώβῳ; Ἔχει δὲ οὕτως· « Τὸν πάντα τὸν νόμον τελέσαντα, πταίσαντα δὲ ἐν ἑνὶ, ἔνοχον εἶναι πάντων. » Τοὺς δὲ ἀδελφοὺς ἡμῶν τοὺς πένητας, κἂν ἡμεῖς ἀπορήσαιμεν, ἀλλ' ὅγε θρέψας εἰς δεῦρο Θεὸς, αὐτὸς περὶ τούτων καὶ τοῦ λοιποῦ φροντιεῖ, μόνον εἰ ἡμεῖς τὰς ἐντολὰς αὐτοῦ εἴημεν ἀκινήτως διατηροῦντες. Τί γὰρ ἀδύνατον ἢ δυσχερὲς τῷ τοὺς πέντε ἄρτους ἐν ἐρήμῳ ποτὲ πληθύναντι, καὶ τοὺς δέκα μοδίους τοὺς ἐν τῷ σιτῶνι τῷ ἐμῷ εὐλογήσαντι, πρὸς πολὺ πλῆθος αὐξῆσαι. Διό σοι, τέκνον, τὸ ἐν ταῖς Πράξεσι πρὸς Σίμωνα εἰρημένον ἁρμόσει ὅτι, « Οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τούτῳ τῷ μέρει. »

A XXIII. Eum ergo seorsum accersit patriarcha, non volens multis præsentibus eum afficere dedecore, et dicit ei : Tua quidem oblatio, o fili, est magna et huic tempori necessaria. Sed est vitiosa, et propter hoc ipsum non admittenda. Non ignoras enim, quod oves, quæ ex lege offerebantur, si non essent vitii expertes etiamsi essent magnæ, non poterant admitti ad sacrificium. Qua de causa nec munera Cain Deo fuerunt accepta. Illud autem, Ex necessitate etiam fieri legis translationem, hoc ab Apostolo dictum esse scimus de lege veteri. Quid enim tibi videtur, quod situm est apud fratrem Domini Jacobum? Sic autem habet : « Qui totam legem impleverit, in uno autem lapsus sit, esse omnium reum [3]. » Fratres autem nostros pauperes, B etiamsi nos versemur in inopia, at qui aluit Deus usque in hodiernum diem, ipse eorum quoque de cætero curam geret, si modo nos ejus mandata servamus immobilia. Quid est enim quod facere non possit? aut quid sit difficile ei, qui quinque panes in deserto aliquando multiplicavit, si decem modios, qui sunt in meo horreo, benedixerit, eos in magnam augere multitudinem? Quamobrem tibi, o fili, conveniet id, quod Simoni dictum est in Actis: « Non est tibi pars, neque sors in hac parte [4]. »

ΚΔ'. Οὔπω τὸν ἑαυτοῦ οἶκον ἐκεῖνος ἀποπεμφθεὶς ἄπρακτος ὑπῆρχε καταλαβὼν, καὶ μηνύεται τῷ μεγάλῳ δύο τῶν τῆς Ἐκκλησίας πλοίων ἐν τῷ λιμένι κατᾶραι, σίτου πολλὰς χιλιάδας ἐκ Σικελίας ἄρτι διακομίζοντα· ὅπερ ἀκούσας, ἐκεῖνος εἰς γόνατα πεσὼν, ηὐχαρίστει τῷ Θεῷ λέγων, ὅτι Οἱ ἐκζητοῦντές σε, Κύριε, καὶ τὰς ἐντολάς σου φυλάττοντες, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ· διὸ μεγαλύνω σου τὸ πανάγιον ὄνομα, ὅτι μὴ συνεχώρησας τῷ δούλῳ σου χρημάτων ὤνιον τὴν χάριν σου θέσθαι. Ἀλλ' οὕτω μὲν ἐν στενώσει πλατυνθεὶς ὁ ἀοίδιμος οὐ προήκατο τῆς ἀναγκαίας χρείας τὴν τοῦ κανόνος ἀκρίβειαν.

XXIV. Nondum ille dimissus domum, re infecta, redierat, cum magno Joanni significatur duas naves Ecclesiæ in portum appulisse, ferentes ex Sicilia multa frumenti millia Quod quidem cum ille audivisset, procidens in genua, Deo egit gratias, dicens: C Qui te quærunt, Domine, et servant tua mandata, non minuentur omni bono. Quamobrem magnifico sanctissimum nomen tuum, quod non permiseris servo tuo, ut tuam gratiam venumdaret pecunia. Sed sic quidem in angustiis dilatatus vir inclytus, non prodidit pro usu rerum necessariarum accuratam regulæ observationem.

CAPUT V.

Mansuetudo animi.

ΚΕ'. Δεῖ δὲ καὶ δεῖγμα τῆς πολλῆς ἧς εἶχεν ἀνεξικακίας ἐρεῖν, καὶ οἷα ἦν αὐτῷ περὶ τήνδε τὴν ἐντολὴν ἡ ἀκρίβεια διηγήσασθαι. Δύο τινὰς τῶν αὐτοῦ κληρικῶν ἀλλήλοις ἐπιμανέντας ἀφορισμῷ καθυπεβάλεν ὁ θαυμάσιος· ὧν ὁ μὲν εἷς, ἄσμενος κατεδέξατο τὴν ἐπιτιμίαν· θάτερος δὲ πρόφασιν ὥσπερ τῆς ἑαυτοῦ ῥᾳθυμίας αὐτὴν εὑρηκὼς, εὐχῶν μὲν καὶ συνάξεων τὸ παράπαν ἠμέλει, ἐπιθυμίαις δὲ ταῖς ἰδίαις διαπαντὸς ἐνεσχόλαζεν· εἶτα προσηπείλει καὶ τῷ μεγάλῳ καταπανουργήσασθαι τῆς πολλῆς ἐκείνης καὶ ἁγιωτάτης ἁπλότητος. Φασὶ δέ τινες καὶ τοῦτον αὐτὸν εἶναι τὸν ὑποβεβληκότα Νικήτᾳ πατρικίῳ τὰ τῆς Ἐκκλησίας ἀνελέσθαι χρήματα, οἰόμενον ἐκ τούτου λύπης αἴτιον καταστῆναι τῷ πατριάρχῃ. Ἐπεὶ τοίνυν ἔγνωστο τουτὶ τῷ μεγάλῳ, λογισάμενος μήποτε καὶ τῷ διαβόλῳ παρανάλωμα γένηται, καλεῖν

XXV. Oportet autem dicere etiam indicium magnæ, quam habuit, tolerantiæ, et narrare quam se perfecte gereret in hoc præcepto. Duos quosdam ex suis clericis, qui inter se invicem fuerant debacchati, vir admirandus subjecerat segregationi. Quorum unus quidem pœnam libenter subierat; alter D autem cum eam invenisset tanquam prætextum suæ socordiæ, precum quidem et congregationum nullam omnino curam gerebat, vacabat autem omnino suis cupiditatibus : deinde minabatur etiam, se magni illius viri summam illam et sanctissimam simplicitatem calliditate aliqua circumventurum. Dicunt vero aliqui, hunc quoque eum esse, qui Nicetæ patricio suggesserat, ut pecunias tolleret Ecclesiæ, dum existimaret se ea ratione patriarcham affecturum molestia. Cum ergo hoc magnus cognovisset

[3] Jac. II, 10. [4] Act. VIII, 12.

patriarcha, timens ne forte is a diabolo consumeretur, eum erat vocaturus et dignaturus commiseratione: meliore autem providentia mandatur oblivioni id, quod animo cogitabat, ut suprema ejus humilitas fieret evidens majori commiseratione.

A ἔμελλε τοῦτον καὶ συμπαθείας καταξιοῦν· προμηθείᾳ δὲ κρείττονι λήθῃ παραιρεῖται τὸ μελετώμενον, ὥστε τὸ ὑπέρμεγα τῆς αὐτοῦ ταπεινώσεως, μείζονι συμπαθείᾳ γενέσθαι καταφανές.

XXVI. Nam cum adesset dierum omnium præcipuus, ipse autem astaret in altari (14), et incruentum offerret sacrificium, ea ipsa hora, in qua sacrum velum auferret a sanctis donis, recordatus ejus, qui odium in eum conceperat, et memor præcepti Dominici, quod jubet quidem dimittere donum ante altare, procedere autem prius ad fratris reconciliationem [5], et tunc donum offerre; significat diacono, ut connexam resumat petitionem, et sæpe dicat, donec ipse redierit. Ipse autem ventrem prætexens, egressus est ab altari, et mittit magna celeritate, ad se vocans illum clericum: qui quidem mox aderat. Sanctus vero procidit ad ejus pedes, nihil omnino aversans oculos eorum, qui aderant, veniam postulans. Deinde ille, qui prius fuerat insipiens, videns hoc sacrosanctum caput projectum ad suos pedes, fuit statim fractus animo, timens ignem de cœlo, et quæ illinc mittuntur fulmina. Ipse quoque pronus cadens, petiit ab eo veniam. Beatus autem Joannes: Deus ambobus, inquit, ignoscat, fili mi. Deinde eum quoque secum assumit, et cum gaudio et cum quanta dici non potest voluptate aram ingressus, tunc ausus est Deo dicere cum fiducia: Dimitte nobis debita nostra, sicut et nos dimittimus debitoribus nostris. Abhinc ergo fuit hic clericus adeo modestus et moderatus, ut visus sit dignus, qui ordinaretur presbyter. Sed hoc quidem, sicut diximus, est indicium magnæ illius tolerantiæ et moderationis.

ΚϚ'. Ὡς γὰρ ἡ κυρία τῶν ἡμερῶν παρῆν, αὐτὸς δὲ τῷ βήματι παραστὰς τὴν ἀναίμακτον ἐτύγχανε προσφέρων θυσίαν κατ' αὐτὴν τὴν ὥραν ἐν ᾗ τὸ ἱερὸν καταπέτασμα τῶν θείων δώρων ἀφαιρεῖται, εἰς μνήμην τοῦ μνησικακοῦντος ἐλθὼν, καὶ τῆς Δεσποτικῆς ἐπιμνησθεὶς ἐντολῆς, ἥ τὸ μὲν δῶρον ἔμπροσθεν ἀφεῖναι τοῦ θυσιαστηρίου κελεύει, πρὸς καταλλαγὰς δὲ πρότερον χωρῆσαι τοῦ ἀδελφοῦ, καὶ τότε δὴ τὸ δῶρον προσενεγκεῖν, δηλοῖ τῷ διακόνῳ τὴν συναπτὴν αἴτησιν ἐπαναλαβεῖν, καὶ πολλάκις εἰπεῖν μέχρις ἂν αὐτὸς B ἐπανέλθοι. Αὐτὸς δὲ τὴν γαστέρα προφασισάμενος ὑπεξῆλθε τοῦ θυσιαστηρίου, καὶ πέμπει πολλῷ τῷ τάχει τὸν κληρικὸν ἐκεῖνον μετακαλούμενος. Καὶ ὃς αὐτίκα παρῆν. Ὁ δὲ τοῖς αὐτοῦ προσπίπτει ποσὶν οὐδὲν ὅλως τοὺς τῶν παρόντων διατραπεὶς ὀφθαλμοὺς, συγχώρησιν ἐξαιτούμενος. Εἶτα ὁ πρὶν ἀσύνετος ἐκεῖνος, τὴν ἱερὰν ταύτην ὁρῶν κεφαλὴν τῶν αὐτοῦ ποδῶν προκειμένην, κατεκλάσθη τε εὐθὺς τὴν ψυχὴν τὸ ἐξ οὐρανοῦ δείσας πῦρ καὶ τοὺς ἐκεῖθεν πρηστῆρας, καὶ πρηνὴς καὶ αὐτὸς πεσὼν, ἐδεῖτο συγγνώμης τυχεῖν. Ὁ δὲ μακάριος, Ὁ Θεὸς καὶ ἀμφοτέροις συγχωρήσειεν, ἔφη, τέκνον ἐμόν. Ἔπειτα λαμβάνει τοῦτον μεθ' ἑαυτοῦ, καὶ μετ' εὐφροσύνης καὶ ὅσης οὐκ ἄν τις εἴποι τῆς ἡδονῆς εἰς τὸ θυσιαστήριον εἰσελθὼν, τότε δὴ μετὰ παῤῥησίας εἰπεῖν ἐθάρσησε C τῷ Θεῷ· Ἄφες ἡμῖν τὰ ὀφειλήματα ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Τοσοῦτον οὖν τὸ ἀπὸ τοῦδε, συνεσταλμένος κατέστη καὶ μέτριος ὁ κληρικὸς οὗτος, ὥστε καὶ τῆς τοῦ πρεσβυτέρου χειροτονίας ἄξιος ἀναφανῆναι. Ἀλλὰ τοῦτο μὲν ὥσπερ ἔφημεν, δεῖγμα τῆς πολλῆς ἀνεξικακίας ἐκείνου καὶ μετρίου φρονήματος.

XXVII. Aliud autem narrabo, quod est non multum dissimile ei quod præcessit. Est Angelorum, ait quidam ex Patribus, nequaquam depugnare, sed esse in pace perpetua: dæmonum autem irrevocabiles per totam vitam exercere inimicitias: hominum vero sapientum breviter quidem fortasse irasci, cito autem et paulo post currere ad reconciliationes. Cum ergo huic magno Joanni incidisset ut nonnihil esset ira percitus adversus eum, cujus sæpe mentionem fecimus, patricium; illo quidem defendente rem injustam lucri causa, non patiente autem Joanne propter zelum justitiæ; cum jam hora advenisset undecima, patriarcha per nuntium primum ex presbyteris ei significat, dicens: Sol jam est in occasu, o vir maxime venerande. Ille autem hoc verbo tanquam stimulo aliquo compunctus animo, statim surrexit et venit ad Sanctum. Quem cum ille libens excepisset et esset amplexus: Crede mihi, inquit, nisi fuisset mihi exploratum, quod te

ΚΖ'. Ἕτερον δὲ οὐ παρὰ πολὺ τοῦ προλαβόντος ἀνόμοιον διηγήσομαι. Ἀγγέλων, ἔφη τις τῶν Πατέρων, τὸ μηδαμῶς διαμάχεσθαι, ἀλλ' ἐν εἰρήνῃ εἶναι διηνεκεῖ· δαιμόνων δὲ τὸ ἀκατάλλακτον διὰ βίου θάλπειν τὴν ἔχθραν· ἀνθρώπων δὲ συνετῶν, τὸ βραχέα μὲν ἴσως ὀργίζεσθαι, ταχὺ δὲ καὶ δι' ὀλίγου θέειν πρὸς καταλλαγάς. Ἐπεὶ γοῦν καὶ τῷ μεγάλῳ τούτῳ παροξυσμόν τινα συνέβη πρὸς τὸν πολλάκις διαμνημονευθέντα γενέσθαι πατρίκιον, συναγορεύοντος πράγματι κέρδους ἕνεκα, τούτου δὲ μὴ ἀνεχομένου κατὰ ζῆλον δικαιοσύνης· τῆς ἑνδεκάτης ὥρας D ἤδη καταλαβούσης, ὁ πατριάρχης δι' ἀγγέλου τοῦ πρώτου τῶν πρεσβυτέρων· Ὁ ἥλιος, αὐτῷ δηλοῖ, πρὸς δυσμὰς ἤδη, τιμιώτατε· Ὁ δὲ τῷ ῥήματι καθάπερ κέντρῳ τινὶ διανυγεὶς τὴν ψυχὴν, αὐτίκα διαναστὰς δρομαῖος ἀφίκετο πρὸς τὸν ὅσιον, ὃν ἄσμενος ἐκεῖνος ὑποδεξάμενός τε καὶ κατασπασάμενος, Πίστευσον, ἔφη, εἰ μὴ συνεῖδον ὅτι λυπήσω σε πράξας, τάχα ἂν οὐδὲν ὑπολογισάμενος, πρὸς τὴν σὴν αὐτὸς ἐφοίτων,

[5] Math. v, 25.

(14) Verterat Hervetus *tribunali*; perperam. Græce τῷ βήματι παραστὰς, quod in re sacra, ut hic ex adjunctis patet, pro altari sumitur.

μεγαλοπρέπειαν. Τί γάρ, εἰ καὶ ὁ κοινὸς ἡμῶν Δεσπότης οὐκ ἀπηξίου κατὰ πόλεις διιέναι καὶ κώμας, ὠφελείας χάριν καὶ θεραπείας;

ΚΗ'. Πάντων δὲ τῶν ὅσοι τότε παρῆσαν τῆς μετριότητος τὴν ὑπερβολὴν ἀγαμένων, ὁ πατρίκιος πρὸς αὐτὸν, Οὐκέτι μου τὰ ὦτα, ἔφη, χωρεῖ, δέσποτα, τῶν ἐνδιαβαλλόντων μηνύματα. Πρὸς ὃν ὁ σοφὸς διδάσκαλος, Πέπεισο, εἶπε, τέκνον πιστότατον, ὡς εἰ μέλλοιμεν οὕτως ἁπλῶς καὶ ἀβασανίστως τὰ ὦτα πᾶσιν ὑπέχειν, μυρίων ἑσμὸν ἁμαρτημάτων ἑαυτοῖςποριούμεθα, καὶ μάλιστα νῦν ἐν καιρῷ τοιούτῳ, ὅτε δὲ καὶ ἀπέψυκται πᾶσι τὰ τῆς ἀγάπης. Οἶδα γὰρ ἐγὼ πολλάκις, τῷ πιστεῦσαί τισι τῶν τὰ κοινὰ τῆς πόλεως πράγματα λαχόντων ἰθύνειν, καὶ τοῖς αὐτῶν λόγοις ἁπλῶς ὑπαχθῆναι, λυπήσας οὐδὲν δέον ἐνίους. Ἐφ' οἷς οὐκ ὀλίγα μοι τὸ λοιπὸν μετεμελήσεν. Ὅθεν ὡς ἅπαξ καὶ δὶς καὶ πολλάκις παρενεχθεὶς ἔτυχον τῇ τῶν διαβαλλόντων ἀπάτῃ, τὸ μετὰ ταῦτα ὅρον ἐμαυτῷ περιέβαλον, μὴ πρότερόν τι κατά τινος ἀποφήνασθαι, πρὶν ἂν ἑκατέρου μερῶν τὰς δικαιολογίας ἀκούσαιμι· καὶ τοῖς προσαναφέρουσι δή μοι τὰ πρακτέα ἠπείλησα, ὡς εἰ φωραθεῖεν εἰς τὸ ἑξῆς μάταιόν τι καὶ συκοφαντικὸν τῶν ἐμῶν ὤτων καταφλυαροῦντες, τὴν αὐτὴν ἣν ὁ συκοφαντούμενος ἔμελλε φιλαλήθως κατηγορούμενος τίσουσι δίκην. Ἐξ ἐκείνου γοῦν πᾶσα τῶν συκοφαντῶν ἐξεκόπη διαβολή· διὸ καὶ τῆς σῆς δέομαι μεγαλοπρεπείας, μὴ ἁπλῶς οὕτω καὶ εὐπαραδέκτως πρὸς τὰς διαβολὰς ἔχειν τῶν ἐθελοκακούντων ἀνδρῶν, ἀλλὰ πολλῇ πρότερον ὑποβάλλειν ἐρεύνῃ. Οὐδὲ γὰρ τὰ μέτρια ἐντεῦθεν κακὰ τίκτονται, ἀλλὰ καὶ δημεύσεις, καὶ μάστιγες, καὶ φόνοι πολλάκις ἀναίτιοι, πολλοῖς ἐπικαταψευσθέντες ἐπῆλθον· καὶ σχεδὸν ὁ σύμπας ὑπὸ τῶν τοιούτων ἀνατέτραπται βίος. Ταύτας ὡς ἐκ Θεοῦ τὰς παραινέσεις παραλαβὼν ὁ πατρίκιος, φυλάττειν ἐπηγγείλατο ἄχρι τέλους.

ΚΘ'. Ἕτερον προστεθήτω τοῖς εἰρημένοις, καὶ αὐτὸ τὸ πρᾶον καὶ ἀνεξίκακον τοῦ ἀνδρὸς ἀρνούντως χαρακτηρίσαι δυνάμενον. Ἀνεψιὸς ἦν τῷ μεγάλῳ Γεώργιος τοὔνομα· οὗτος ὑβρισθεὶς παρά τινος τῶν καπήλων τῆς πόλεως, ἰσχυρῶς τε ἐδήχθη καὶ χαλεπώτατα ἤνεγκε. Τοῦτο γὰρ ἐποίει τὸ πολὺ τὸ μεταξὺ ἀμφοτέρων, ἥ τε πρὸς τὸν μέγαν αὐτοῦ ἀγχιστεία, καὶ τὸ πάνυ τοῦ ὑβρίσαντος ἐξουδενωμένον. Προσέρχεται τοίνυν καταμόνας τῷ μακαρίῳ δάκρυσιν ὁ νέος καὶ συνοχῇ καρδίας τὴν ὕβριν ἀνακλαιόμενος. Ὁ δὲ οὕτως ἰδὼν ἡττηθέντα τοῦ πάθους, καταψῶν αὐτὸν ὥσπερ καὶ ἀναλαμβάνειν βουλόμενος, καὶ, Ὅλως, φησὶν, ἐτόλμησε κατὰ σοῦ στόμα διᾶραι, ὅλως καθυβρίσαι τις τὸν ἐμὸν φίλτατον; Εὐλογητὸς Κύριος· πρᾶγμα ἐπ' αὐτῷ ποιήσω, ὥστε πᾶσαν ἐκπλαγῆναι τὴν Ἀλεξάνδρειαν. Ὡς δὲ εἶδεν ἐπὶ τῷ λόγῳ βραχύ τι ἀνεθέντα τῆς ἀθυμίας, Τέκνον, εἶπεν, ἐμοὶ ποθεινότατεν, εἰ ταῖς ἀληθείαις βούλει ἀνεψιὸς τῆς ἐμῆς μετριότητος εἶναί τε καὶ ὀνομάζεσθαι, παρασκεύασον σεαυτὸν, οὐ πρὸς ὕβριν μόνον, ἀλλ' εἰ

molestia affecissem, forte nihil dubitans aut pensi habens, ipse ad tuam venissem Magnificentiam. Quid enim, si communis quoque noster Dominus non est dedignatus obire civitates et vicos, utilitatis gratia et curationis?

XXVIII. Omnibus autem qui aderant admirantibus summam moderationem, dixit ei patricius: Non amplius capiunt aures meæ, inquit, o domine, delationes eorum, qui criminantur. Cui dixit sapiens magister: Persuasum tibi sit, inquit, o fili fidelissime, quod si simpliciter et absque examinatione essemus aures præbituri omnibus, pararemus nobis examen decies mille peccatorum, et maxime nunc tali in tempore, quando refrixit omnibus charitas. Scio enim ego, quod propterea quod credideram aliquibus, quibus obtigerat rectio civitatis, et eorum verbis solum essem inductus, nonnullos, cum minime oporteret, sæpe affecerim molestia. Quo factum est, ut non paucorum me de cætero subierit pœnitentia. Quamobrem cum semel et bis et sæpe incidissem in fraudem eorum, qui criminantur, de cætero apud me constitui, non amplius aliquid pronuntiare in aliquem, priusquam audiissem jus utriusque partis: et iis qui facta ad me deferebant, sum minatus, quod si deinceps fuissent deprehensi inanes aliquas nugas ad meas aures deferre per calumniam, easdem daturi essent pœnas, quas qui est revera calumniator. Ab illo itaque tempore excisa fuit omnis calumnia sycophantatarum. Quamobrem tuam quoque rogo Magnificentiam, ne tam simpliciter et tam facile admittas malignorum hominum calumnias, sed eas prius diligenter examines. Neque enim hinc mala nascuntur mediocria: sed et bonorum publicationes, et verbera, et cædes sæpe per mendacium multi innocentes subierunt, et ab iis universa propemodum est eversa vita hominum. Has admonitiones cum tanquam a Deo accepisset patricius, pollicitus est se eas esse perpetuo servaturum.

XXIX. Aliud addatur iis quæ dicta sunt, quod satis potest exprimere ejus mansuetudinem atque patientiam. Magni Joannis consobrinus erat, nomine Georgius. Is contumelia affectus ab aliquo caupone civitatis vehementer fuerat morsus, et id ferebat gravissime. Id enim faciebat et magnum quod erat inter eos discrimen, nempe et ejus cum Magno affinitas, et nimiæ sordes et humilitas ejus qui fecerat injuriam. Accedit ergo seorsum ad beatum Joannem adolescens, cum lacrymis, et dolore cordis quo agebatur, deplorans injuriam. Cum sic eum vidisset victum ab animi perturbatione patriarcha, volens eum demulcere et veluti recreare, et: Ausus est, inquit, omnino os adversus te aperire, et omnino contumelia afficere aliquis eum, qui est mihi charissimus? Benedictus Dominus, rem in ipso faciam, ut admiretur omnis Alexandria. Postquam autem vidit eum propter id, quod dixerat, paululum remisisse de animi ægritudine: Fili, inquit, mihi jucundissime, si revera vis meæ parvitatis esse et nominari con-

sobrinus, pars te ipsum non solùm adversus contu- A melias, sed etiam, si sit amplius aliquid dicendum, etiam adversus ipsa flagra. Vera enim nobilitas non ex sanguine et carne, sed ex virtute animæ accipit formam et characterem. Statim ergo accersito principe cauponum, ei denuntiavit, ne consuetum deinceps vectigal acciperet ab eo, qui suum consobrinum affecerat contumelia, aut aliquid ex iis, quæ ab eo de more dabantur Ecclesiæ. Propter quæ admirati incomparabilem illius patientiam, intellexerunt omnes hoc esse supplicium, quod erat miratura tota Alexandria.

XXX. Sed forte in iis quidem, qui ad ipsum pertinebant, tam diligenter cavebat, ne memor esset acceptæ injuriæ, alios autem negligebat in rebus hujusmodi. Nequaquam. Cum enim rescivisset quemdam ex diaconis, nomine Damianum, odio B habere propinquum, ut qui recordaretur acceptæ injuriæ, denuntiavit archidiacono, ut in tempore participationis Sacramentorum ei ostenderet eum, qui memor erat injuriæ. Cum ergo cognovisset, eum manu accipiens: Vade, dicit ei, et fratri primum reconciliare, ut vult præceptum, et tunc sumes sacramenta Christi, qui non est memor acceptæ injuriæ. Ille autem pudore affectus, præsentibus omnibus promisit se hoc esse facturum, et tunc eum impertit sanctificatis. Deinceps ergo invasit timor non solum clericos, sed etiam laicos, et cavebant ne ullum odio haberent, et essent acceptæ injuriæ memores, timentes ne multis præsentibus sic pudore afficerentur. Sed tam accurata quidem, et exacta fuit ejus vita, tam quod ad ipsum attinebat quam quod ad eos, qui ab illo pascebantur.

δεῖ τι καὶ πλέον εἰπεῖν, καὶ πρὸς αὐτὰς μάστιγας, ἡ γὰρ ἀληθὴς εὐγένεια, οὐκ ἐξ αἵματος καὶ σαρκὸς, ἀλλ' ἐξ ἀρετῆς ψυχῆς οἶδε χαρακτηρίζεσθαι. Τὸ τάχος οὖν τὸν τῶν καπήλων ἐξάρχοντα μετακαλεσάμενος, παραγγελίᾳ παρήγγειλε μηδέποτε τοῦ λοιποῦ παρὰ τοῦ ἐξυβρικότος εἰς τὸν ἀνεψιὸν τὸ σύνηθες τέλος λαβεῖν, ἢ ἄλλο τι τῶν κατὰ συνήθειαν τῇ Ἐκκλησίᾳ παρ' αὐτοῦ διδομένων. Ἐφ' οἷς ἐκπλαγέντες τὸ ἀπαράκλητον τῆς τοῦ ἀνδρὸς ἀνεξικακίας, συνῆκαν ἅπαντες αὐτὴν εἶναι τὴν τιμωρίαν, ἣν πᾶσα ἡ Ἀλεξάνδρεια ἐκπλαγήσεσθαι ἔμελλεν.

Λ'. Ἆρ' οὖν τὰ μὲν πρὸς αὐτὸν οὕτω πεφυλαγμένος ἦν εἰς μνησικακίαν, ἠμέλει δὲ τῶν ἄλλων ἐν τοῖς τοιούτοις; Οὐδαμῶς. Τινὰ γὰρ τῶν διακόνων, Δαμιανὸν τοὔνομα, μνησικακεῖν τῷ πλησίον ἀναμαθὼν, τῷ ἀρχιδιακόνῳ παρήγγειλεν κατὰ τὸν καιρὸν τῆς τῶν μυστηρίων μεταλήψεως, δῆλον αὐτῷ θέσθαι τὸν μνησικακοῦντα. Ἐπεὶ οὖν ἔγνω, λαβόμενος τῆς χειρὸς, Ὕπαγε, αὐτῷ πρῶτον, ἔφη, τῷ ἀδελφῷ κατὰ τὴν ἐντολὴν καταλλάγηθι, καὶ τότε τῶν τοῦ ἀμνησικάκου μυστηρίων μεταλήψῃ Χριστοῦ. Ὁ δὲ αἰσχυνθεὶς ἐπὶ πάντων, τοῦτο ποιήσεις ἐπηγγείλατο, καὶ τότε τῶν ἁγιασμάτων αὐτῷ μεταδίδωσι. Φόβος οὖν τὸ ἀπὸ τοῦδε, οὐ τοὺς τοῦ κλήρου μόνον, ἀλλὰ καὶ τοὺς λαϊκοὺς κατελάμβανε· καὶ τὸ μνησικακεῖν ἐφυλάττοντο, δεδιότες μὴ οὕτως ἐπὶ πολλῶν τῶν παρόντων τὴν αἰσχύνην ὀφλήσειεν. Ἀλλ' οὕτω μὲν ἀκριβείας βίου, πρός ἑαυτόν τε εἶχε, καὶ τοὺς ὑπ' ἐκείνου ποιμαινομένους.

CAPUT VI.

Disciplina domestica, ratioque vitæ exterior.

XXXI. Præter alia autem bona, in sacrarum quo- C que Scripturarum cognitione summe laboraverat et plurimum est meditatus, non sine voluptate et studio acerrimo. Licebat ergo videre quotidie in congressione quæ fiebat in secreto, eum nihil fere aliud loquentem aut quærentem, quam narrationes Patrum, qui erant magni nominis, et problemata dogmatica et quæstiones ad Scripturam pertinentes. Hæc autem maxime propterea, quod tunc abundabat multitudo hæreticorum, ad quos evertendos adsciverat eos, qui illis temporibus erant excellentissimi, Joannem, inquam, et Sophronium.

XXXII. Porro autem ei quoque erat studio conservare consessum nulli detractioni affinem, et nulli vano sermoni. Quod si quis ex iis qui considebant, tale quid proposuisset, ille ingeniose et apte id re- D pellebat, injiciens bonam aliquam quæstionem et animæ utilem. Si is autem esset crassus et plebeius, et qui non recedebat ab iis quæ sunt consueta, præsentem quidem non male tractabat, nec se iracunde et aspere in eum gerebat, præcipiebat vero ne eum sinerent amplius esse e concilio, ut per eum unum fierent alii cautiores et diligentiores.

XXXIII. Ut autem mortis memoriam suæ cogitationi profunde imprimeret, et eam perpetuo haberet

ΛΑ'. Πρὸς τοῖς ἄλλοις δὲ ἀγαθοῖς καὶ ἡ τῶν ἁγίων Γραφῶν γνῶσις εἰς ἄκρον αὐτῷ πεπόνητο, καὶ μελέτημα ἦν χαριέστατόν τε καὶ περισπούδαστον. Ἦν οὖν ἰδεῖν ἑκάστης ἡμέρας ἐν τῇ κατὰ τὸ σέκρετον συνελεύσει μηδὲν ἄλλο σχεδὸν διαλαλούμενον ἢ ζητούμενον, ἢ διηγήματα Πατέρων τῶν πολλοῦ γε ὀνόματος ἠξιωμένων, προβλήματα τε δογματικὰ, καὶ Γραφικὰ ζητήματα· καὶ ταῦτα δὲ μάλιστα διὰ τὸ πλεονάζον τηνικαῦτα τῶν αἱρετικῶν πλῆθος· ὧν ἐπ' ἀνατροπῇ καὶ καθαιρέσει, τοὺς ἐν τοῖς καιροῖς ἐκείνοις διαφορωτάτους προσηταιρίσατο, Ἰωάννην φημὶ καὶ Σωφρόνιον.

ΛΒ'. Ἐσπούδαστο δὲ αὐτῷ καὶ καταλαλιᾶς καὶ ἀργολογίας πάσης ἄψαυστον διατηρεῖν τὸ συνέδριον· κἂν τις τῶν συνεδριαζόντων τοιοῦτον προέτεινεν, ἀλλ' ἐκεῖνος εὐφυῶς αὐτὸ διωθεῖτο, σπουδαῖόν τι καὶ ψυχωφελὲς παρεμβαλὼν πρόβλημα. Παχὺν δὲ τοῦτον εἰ τύχοι ὄντα καὶ δημωδέστερον καὶ τῶν συνήθων οὐκ ἀφιστάμενον, κατ' ὄψιν μὲν οὐδὲν διετίθει κακῶς, οὐδὲ ὀργίλον τι καὶ τραχὺ αὐτῷ ἐπιδείκνυ, παρήγγελλε δὲ μηκέτι αὐτὸν ἐᾷν τῆς συνόδου γίνεσθαι· ὥστε δι' ἑνὸς τοῦδε τοὺς ἄλλους ἀκριβείας ἐπιλαμβάνεσθαι.

ΛΓ'. Ἵνα δὲ καὶ τὴν τοῦ θανάτου μνήμην εἰς βάθος ἐγχαράξῃ τῇ διανοίᾳ, καὶ διὰ παντὸς αὐτῷ περι-

ἰσαμένην ἔχῃ καὶ πρὸ ὀμμάτων, τί ποιεῖ; Μνημεῖον A αὐτῷ προστάττει διοικοδομηθῆναι· τούτῳ δὲ μὴ ἐπιτεθῆναι πέρας, ἀλλ' ἡμιτελὲς οὕτω καταλειφθῆναι· εἶτα τοὺς ἐπὶ τῷ ἔργῳ τεταγμένους ἐπειδὰν ἐπίσημός τις ἑορτὴ εἴη, ἐπὶ πάντων ἐφισταμένους τῶν συνεδρευόντων ἐν τῷ προφανεῖ λέγειν· Τὸ μνῆμα τὸ σὸν ἄχρι τήμερον ἀτελές, δέσποτα· ἐπίτρεψον οὖν αὐτὸ πέρας λαβεῖν· ἄδηλον γὰρ ὁποίᾳ ὥρᾳ ὁ κλέπτης ἔπεισι θάνατος.

ΛΔ'. Ἀλλὰ τίς ἂν ἐκείνου τὸ λιτὸν τῆς διαίτης, καὶ τὸ περὶ τὴν ἐσθῆτα καὶ στρωμνὴν εὐτελές τε καὶ μέτριον ἐξείποι καλῶς; Μετὰ γὰρ τῶν ἄλλων οὐδὲ ταύτης ἠμέλει τῆς ἀρετῆς· ὥστε μηδὲν πλέον ἐν τούτοις τῶν πολλῶν ἔχειν καὶ εὐκαταφρονήτων, Ἀμέλει τις τῶν οἰκητόρων τῆς πόλεως συνηθέστερος αὐτῷ τυγχάνων, ὅπως εἶχε μαθὼν, σισύραν ἓξ καὶ τριάκοντα νομισμάτων πριέμενος, στέλλει τῷ μακαρίῳ, B πλεῖστα μὴ ἀπώσασθαι δεηθεὶς, ἀλλ' ἑαυτὸν ταύτῃ περιστέλλειν. Τοῦτο οὖν καὶ διὰ τὸ τοῦ ἀνδρὸς εὔπιστον καὶ τὸ τῆς ἀξιώσεως ἐπιμελὲς καὶ διάπυρον ποιῆσαι θελήσας, οὐ διέλιπεν ὅμως παρ' ὅλην τὴν νύκτα ταλανίζων ἑαυτὸν, ὡς οἱ παρεδρεύοντες εἰς ἔσχατον ἐξηγήσαντο. καὶ, Τίς ἂν οὐ καταγνοίη μου τοῦ ταπεινοῦ, λέγων, Ἰωάννου, εἰ ἐμοὶ μὲν ἔστι τριάκοντα καὶ ἓξ νομισμάτων ἐπιβλήματι σκέπεσθαι, τοῖς δὲ κατὰ Χριστὸν, φεῦ, ἀδελφοῖς τοῖς ἐμοῖς τὸ ὑπαίθρους τῷ κρύει πηγνυμένους διατελεῖν, καὶ μηδὲ ῥάκος βραχύτατόν τι καὶ εὔωνον εὐπορεῖν· ὧν οἱ πλείους καὶ κενοὶ τὴν γαστέρα καὶ ἄδειπνοι κατεκλήθησαν, καὶ αὐτῶν, οἴμοι, τῶν ἀποπιπτουσῶν τῆς ἐμῆς τραπέζης ψιχῶν ἐφιέμενοι κατὰ τὸν πένητα Λάζαρον. Αἲ! αἴ, πόσοι νῦν ξένοι καὶ παρεπίδημοι C πρὸς ταύτην ἀφίκοντο τὴν πόλιν οἱ μὴ ἔχοντες ὅποι τὴν κεφαλὴν κλίνοιεν, πεινῶντες, κατὰ μέσην κεῖνται τὴν ἀγοράν· ἐγὼ δὲ παντοίοις ἐνευπαθῶν ἀγαθοῖς πρὸς τῇ ἄλλῃ τρυφῇ, καὶ τῷδε τῷ πολυτελεῖ ἐπιβλήματι νῦν περιστέλλομαι. Τί τοίνυν κατ' ἐκείνην ἀκούσεσθαι προσδοκῶ τὴν ἡμέραν; Τί ἕτερον, ἢ ὅτι, Ἀμέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, οἱ δέ γε πένητες τὰ κακὰ, καὶ διὰ τοῦτο νῦν αὐτοὶ μὲν παρακαλοῦνται, σὺ δὲ ἀξίως ὀδυνᾶσαι; Ἀλλ' εὐλογητὸς Κύριος, οὐκ ἔτι τοῦτο ὁ ταπεινὸς σκεπασθήσεται Ἰωάννης, ἀλλὰ τὴν αὐτοῦ τιμὴν πένητες ἀμφιάσονται.

ΛΕ'. Ἅμα γοῦν φωτὶ τὴν σισύραν εἰς τὴν ἀγορὰν πέμπει διαπραθησομένην, ἣν ὁ προσενεγκὼν θεασάμενος, αὖθις πριάμενος, αὖθις καὶ προσάγει· ὁ δὲ δέ- D χεται μὲν, πρὸς δὲ τὴν ἀγορὰν καὶ αὖθις ἐκπέμπει. Ὡς δὲ δὶς καὶ πολλάκις τοῦτο γένοιτο, ὁ μέγας δηλοῖ τῷ προσάγοντι· Ἴδωμεν, εἰπὼν, τίς πρότερον ἀπαγορεύσει τῶν δύο, ἐγὼ μὲν αὐτὴν πιπράσκων, σὺ δὲ ὠνούμενος καὶ προσφέρων. Καὶ γὰρ ἦν ὁ ἀνὴρ τῶν λίαν εὐπόρων, οὗ χάριν ἐπίτηδες ὁ μέγας καὶ παρακερδαίνειν αὐτοῦ ἠβούλετο, ὥστε τὰ ἐκείνου πρὸς τοὺς πένητας παραῤῥεῖν. Ἔλεγε δὲ καί τι τοιοῦτον ὡς, Εἴ τις ἀπὸ τῶν ἁβρῶν τούτων καὶ πλουσίων δύναιτο καὶ μάλιστά τῶν ἀπλάγχνων τέχνῃ

præsentem, et ante oculo, quid facit? Jubet sibi exstrui monimentum: ei autem finem non imponi, sed semiperfectum sic relinqui; deinde eos qui præfecti erant operi, cum esset festum aliquod insigne, accedentes in conspectu omnium, qui considebant, aperte dicere: Monimentnm tuum in hodiernum usque diem est imperfectum, domine. Jube ergo, ut id finem accipiat. Incertum est enim, qua hora fur ingrediatur, nempe mors.

XXXIV. Sed quis illius victus tenuitatem, et quæ erat circa vestem et stratum vilitatem et mediocritatem, recte enuntiaverit? Cum aliis enim ne hanc quidem neglexit virtutem, adeo ut vulgus et eos qui sunt contempti, in his ne superaret quidem. Quidam certe ex habitatoribus civitatis, qui erat ei familiarior, cum rescivisset quomodo res se haberet, opertorium (15) emptum triginta sex nummis mittit ad Beatum, plurimum rogans ne id recusaret, sed se eo indueret. Hoc ergo cum et propter viri fidelitatem, precumque contentionem et ardorem facere voluisset, non cessavit tamen tota nocte lamentori (ut postremo exposuerunt, qui ei assidebant), Quis, dicens, non condemnarit me miserum Joannem, si mihi licet tegi tegumento triginta et sex nummorum, fratres autem mei (proh dolor!) secundum Christum, sub dio perpetuo degant concreti frigore, et nec minimum quidem et vilissimum pannum habeant? quorum plurimi quidem ventre vacuo et incœnati recumbunt, et vel ipsas, (hei mihi!) quæ a mensa mea cadunt, micas cupiunt, sicut pauper Lazarus. Heu! heu! quam multi nunc hospites et peregrini ad hanc venerunt civitatem, qui non habent ubi caput reclinent, esurientesque et sitientes, jacent in medio foro. Ego autem me delicate omne genus explens bonis, præter alias delicias hoc quoque nunc sumptuoso induor tegumento. Quid ergo illo die expecto me auditurum? Quid aliud, quam: Recepisti bona tua in vita tua, pauperes autem mala: et propterea ipsi quidem nunc accipiunt consolationem, tu autem cruciaris pro meritis? Sed benedictus Deus, non amplius eo tegetur humilis Joannes, sed ejus pretio induentur pauperes.

XXV. Cum primum itaque illuxisset, mittit opertorium in forum venumdandum: quod cum vidisset is qui obtulerat, rursus emit et ad eum affert. Ille autem accipit quidem, rursus vero mittit ad forum. Cum autem bis et sæpe hoc factum esset, magnus Joannes significat ei qui offerebat; Videamus, dicens, quis ex nobis prius defatigabitur, ego quidem ipsum vendens, tu autem emens et offerens: erat enim valde dives. Quamobrem dedita opera volebat magnus Joannes ex eo lucrifacere, ut illius bona ad pauperes effluerent. Dicebat autem etiam tale quid, quod si quis ab his delicatis et divitibus, et maxime iis qui sunt immisericordes,

(15) **Hervetus, *cilicium*. Græce σισύραν, stragulum barbaricum e villosis pellibus.**

posset arte aliqua et ratione ad ipsas usque auferre tunicas, ut benefaceret indigentibus, ab eo quod decet minime aberraret. Sic enim res duas efficiet pulcherrimas: unam quidem, quod illorum animis salutem conciliabit; alteram autem, quod ex rebus alienis non parvam neque levem sibi parabit mercedem. In testimonium autem ejus quod dicebat, adducebat etiam id quod magnus fecit Epiphanius, qui effecit, ut pecuniæ Joannis episcopi Hierosolymitani pia quadam via et ratione distribuerentur pauperibus.

A τινὶ καὶ μεθόδῳ ἄχρι καὶ αὐτῶν ἀφαιρεῖσθαι τῶν χιτώνων τῆς τῶν ἐνδεῶν ἕνεκεν εὐποιίας, οὐχ ἁμαρτήσεται τοῦ προσήκοντος. Δύο γὰρ οὕτω διοικονομεῖται τὰ κάλλιστα, ἓν μὲν ὅτι καὶ ταῖς ἐκείνων ψυχαῖς μνηστεύεται σωτηρίαν; ἕτερον δὲ ὅτι καὶ ἑαυτῷ μισθὸν ἐκ τῶν ἀλλοτρίων, οὔτι μικρὸν οὐδὲ τὸν τυχόντα περιποιεῖ. Μαρτύριον δὲ τοῦ λόγου καὶ τὸ τοῦ μεγάλου παρετίθει Ἐπιφανίου, ὃς Ἰωάννου τὰ τοῦ ἀρχιεπισκόπου Ἱεροσολύμων χρήματα εὐσεβεῖ μεθόδῳ παρεσκεύασε τοῖς δεομένοις ἐκκενωθῆναι.

CAPUT VII.

Historia S. Patri Teloniarii.

XXXVI. Addebat vero aliud quoque, quod a fideli quodam et amante veritatis dicebat se audivisse in Cypro, qui sic narrabat, ea quæ dicebat jurejurando confirmans: Cum essem in Africa, habitabam apud quemdam publicanum, valde quidem divitem, sed admodum immisericordem, et pauperem quod attinet ad misericordiam. Cum autem accidisset, ut tempore hiberno sol luceret calidius, pauperes simul congregati calore fruebantur. Ut solet autem in his evenire, domos enumerabant: illas quidem, quæ erant misericordum et sua communicantium, beantes; eas autem, quæ possidebantur a parcis et nihil elargientibus, miseras dicentes et exsecrantes: cum quibus, inquit, etiam meum connumerarunt dominum. Sic itaque invicem rogabant, an aliquis unquam illinc fuisset eleemosynæ particeps? Cum vero nullus esset ex omnibus qui affirmaret se accepisse, unus ex illis: Sed quid, inquid, mihi dabitis, si ego hodie recedens illinc consecutus fuero misericordiam? Cum autem de ea re pacta conventa inter se fecissent, pauper cum fuisset ex adverso vestibuli publicani, invenit ipsa hora pistorem trahentem mulum pane onustum, ipsumque venientem per viam quæ tendit ad ædes. Cum itaque pauperem ex adverso stantem vidisset publicanus, et solo tristi habitu provocantem eum ad misericordiam (neque enim vel solam vocem audebat emittere, ne virum irritaret alienum a misericordia), sic quoque furore percitus, uno pane arrepto, et eo usus tanquam lapide, jacit in pauperem. Quem ille protinus accepit, et abiens ostendit aliis, affirmans quod accepisset ab ipsis manibus publicani.

ΛϚʹ. Προσετίθει, δὲ καὶ ἕτερον ὅπερ παρὰ τοῦ B πιστοῦ καὶ φιλαλήθους ἀνδρὸς ἔλεγε κατὰ τὴν Κύπρον ἀκοῦσαι, ὃς οὕτως ἐξηγεῖτο, φησίν, ὅρκῳ τοὺς λόγους πιστούμενος· Ὅτιπερ ἐν Ἀφρικῇ γεγονὼς, παρῴκουν τελώνῃ τινὶ, πάνυ μὲν πλουσίῳ, πάνυ δὲ ἀσπλάγχνῳ καὶ πενιχρῷ τὰ πρὸς ἔλεον. Οὕτω δὲ συμβὰν, ὥρᾳ χειμῶνος ἡλίου θερμότερον ἐπιλάμψαντος, πένητες ἅμα συναθροισθέντες, τῆς θέρμης ἀπέλαβον. Ὥσπερ δὲ εἰκὸς ἐπὶ τούτοις συμβαίνειν, ἀπηριθμοῦντο τὰς οἰκίας, τὰς μὲν τῶν εὐσπλάγχνων καὶ κοινωνικῶν μακαρίζοντες, τὰς δὲ φειδωλοὺς ἐχούσας καὶ ἀμεταδότους τοὺς κεκτημένους ταλανίζοντές τε καὶ ἐπαρώμενοι, οἷς καὶ τὸν ἐμὸν, ἔφη, κύριον συνηρίθμουν. Ἐπυνθάνοντο γοῦν ἀλλήλους εἴ ποτέ τιν ἐκεῖθεν ἐλεημοσύνης μετάσχοι. Ὡς δὲ μηδεὶς ἦν ἐκ πάτων ὁ λαβεῖν καταθέμενος, εἷς τις ἐκείνων, C Ἀλλ' ἐμοὶ τί ἂν δοίητε, ἔφη, [εἰ] σήμερον ἀπελθὼν ἐλέους ἐκεῖθεν μεθέξω; Ὡς δὲ καὶ συνθήκας ἔθεντο περὶ τούτου, ὁ πένης ἀπεναντίας τῷ πυλῶνι τοῦ τελώνου γενόμενος, εὗρεν αὐτῆς ὥρας ἡμίονον ἕλκοντα τὸν ἀρτοποιὸν, ἄρτοις πεφορτισμένην, καὶ διὰ τῆς πρὸς τὸν οἶκον φερούσης αὐτὸν ἐρχόμενον. Τὸν πένητα γοῦν ὁ τελώνης ἀπέναντί που παριστάμενον θεασάμενος καὶ σχήματι κατηφεῖ μόνῳ πρὸς ἔλεον αὐτὸν ἐκκαλούμενον (οὐδὲ γὰρ καὶ φωνὴν ἐθάῤῥει πρὸς αὐτὸν ἀφεῖναι, τοῦ μὴ παροξῦναι τὸν ἄσπλαγχνον), θυμῷ κἀν τούτῳ ληφθεὶ, ἕνα τῶν ψωμῶν διαρπάσας, καὶ οἷα λίθῳ χρησάμενος, βάλλει κατὰ τοῦ πένητος· ὃν ἐκεῖνος παραχρῆμα λαβὼν, τοῖς ἄλλοις ἀπελθὼν ἐδείκνυ, ἦ μὴν διαβεβαιούμενος, ὡς ἐξ αὐτῶν λάβοι τοῦτον τοῦ τελώνου χειρῶν.

XXXVII. Nondum duo dies prætererant, et publicanus morbo correptus mortifero, cum mentis subiisset exstatim, videbat a se exigi rationem suarum actionum. Deinde videbatur etiam adesse trutina, utraque discernens: in cujus sinistra quidem lance videbat nigros congregatos, et multa ejus turpia facta in lance deponentes; in dextera autem, viros quidem candidatos et forma terribiles assistentes nihil vero boni invenientes, quod contra possent in lance collocare, essetque mœstos et tristes, et dicentes: Nihil habemus aliud, quod opponamus, nisi panem illum, quem duobus ante diebus, et nec ipsum quidem sponte, dedit cuidam

ΛΖʹ. Οὔπω δύο παρῆλθον ἡμέραι, καὶ ὁ τελώνης D θανατηφόρῳ νόσῳ κατάσχετος γεγονὼς, ἔκστασίν τε φρενῶν ὑποστὰς, ἑαυτὸν ἑώρα λόγους τῶν ἰδίων πραττόμενον πράξεων, εἶτα καὶ ζυγὸς ἐῴκει παρεῖναι διακρίνων ἑκάτερα, οὗ κατὰ μὲν τὴν λαιὰν πλάστιγγα μέλανας ἔβλεπε συναθροιζομένους, καὶ πολλὰ τῶν αὐτοῦ πράξεων ἄτοπα τῇ πλάστιγγι κατατιθέντας, κατὰ δὲ τὴν δεξιὰν λευχείμονας μὲν ἄνδρας καὶ φοβεροὺς τὴν μορφὴν Ἰσταμένους, μηδὲν δὲ ἀγαθὸν ἀντισταθμίσαι παρεξευρίσκοντας, κατηφεῖς τε εἶναι καὶ σκυθρωπούς. Οὐδὲν ἄλλο, λέγοντας, ἔχομεν ἀντιθεῖναι, ὅτι μὴ τὸν ἕνα ἄρτον ἐκεῖνον ὃν δυσὶ πρότερον ἡμέραις, καὶ οὐδὲ αὐτὸν ἑκούσιον,

πένητι παρέσχε τινί. Τῇ ἑτέρᾳ τοιγαροῦν πλάστιγγι A τοῦτον ἐνθέμενοι, ἰσοῤῥεπῆ κατέστησαν τὰ ζυγὰ, τότε δὴ τῷ τελώνῃ φασὶν οἱ λευχείμονες. Ἀπελθὼν πρόσθες ἐπὶ τῷ ἄρτῳ τούτῳ καὶ ἔργα σου, ἐπεὶ μέλλουσιν οὓς ὁρᾷς μέλανες οἶδε παραλαμβάνειν σε. Αὐτίκα τοίνυν διαναστὰς, καὶ εἴσω φρενῶν γενόμενος, ἀληθῆ τὰ θεαθέντα ἐπέγνω. Ἅπαντα γὰρ ὅσα ἐκ νέου ὑπῆρχεν αὐτῷ διαπεπραγμένα, καὶ ὧν εἰς λήθην ἤδη κατέστη, τοὺς Αἰθίοπας ἐκείνους ἑώρα συνάγοντας δῆθεν καὶ τῇ πλάστιγγι ἐγκατατιθέντας. Ὅθεν δὴ καὶ εἰς ἔκπληξιν πολλάκις ἰὼν, Βαβαὶ, ἔλεγεν, ὅση τῆς ἐλεημοσύνης ἡ δύναμις! Εἰ γὰρ εἷς ἄρτος, καὶ αὐτὸς ἐπιχόλως πένητι προσριφεὶς ἴσχυσε τοσοῦτον, πόσων ἂν δυνηθείη κακῶν ἑαυτὸν ἀπολύσασθαι ὁ ἱλαρῶς τὰ ὄντα τοῖς πένησι προϊέμενος! Τοσοῦτον οὖν φιλοτίμως ἐλεημοσύνῃ ἐχρήσατο, B καὶ οὕτως ἀφειδῶς ἐκίνου ἀμφοῖν τοῖν χεροῖν, ὡς ὁ λόγος, εἰς τὰς τῶν πενήτων γαστέρας ἀντλῶν, ὡς μετὰ τὸ πάντα προέσθαι, μηδὲ αὐτοῦ φείσασθαι σώματος, ἀλλὰ καὶ τούτῳ πένητας θρέψαι ἀποδόμενον τὴν ἐλευθερίαν, ὡς μετ' ὀλίγον φανότερον ὁ λόγος δηλώσει.

ΛΗ'. Προϊόντι γὰρ αὐτῷ ἐπὶ τὸ τελωνεῖον ναύτης ὑπήντησε ἐκ ναυαγίου γυμνὸς, ὅνπερ ἐπὶ θεασάμενος, τὸ ἱμάτιον εὐθὺς ἀποδὺς ἁβρόν τι καὶ πολύτιμον ὂν, αὐτῷ δίδωσι, πολλὰ δεηθεὶς διὰ παντὸς αὐτὸ περιβαλέσθαι. Ὁ δὲ, τοῦτο μὲν ἐρυθριῶν μεγαλοπρεπεῖ χρῆσθαι τοιούτῳ, τοῦτο δὲ καὶ πρὸς τὰ ἄλλα πενόμενος, εἰς τὴν ἀγορὰν τίθησι διαπραθησόμενον. Ὡς δὲ ὑποστρέφων ὁ τελώνης ἴδοι κρεμάμενον, ἀνίᾳ συνεσχέθη πολλῇ, σκυθρωπάζων τε ἦν διαλογιζόμενος C ὅτι μὴ ἐξεγένετο αὐτῷ κεῖσθαί τι τῷ πένητι παρ' αὐτοῦ ἐλεημοσύνης ὑπόμνημα. Ταῦτα τοίνυν λογιζομένῳ ὕπνος ἐπῄει· ἐφίσταται δὲ αὐτῷ ὄναρ εὐόπτός τις ἀνὴρ ἡλίου τὴν ὥραν φαιδρότερος σταυρὸν μὲν ἐπὶ τῆς κεφαλῆς ἔχων, τὸ δὲ ἱμάτιον ὅπερ αὐτὸς τῷ ναύτῃ παρέσχετο, περιβεβλημένος, ὃς πλησίον γενόμενος· Τί δῆτα, φίλε Πέτρε (τοῦτο γὰρ ἦν ὄνομα τῷ τελώνῃ), ἀλύεις καὶ ὀδυνᾷ; Ὁ δὲ ὥσπερ γνοὺς ὅστις εἴη ὁ προσφθεγγόμενος· Ἐπειδὴ, ἔφη, δέσποτα, ὧν αὐτὸς πλουσίως ἡμῖν ἐμπαρέχεις, πολλάκις τισὶ κοινωνοῦντες οὐχ ὁρῶμεν καλῶς αὐτοὺς τοῖς δοθεῖσι χρωμένους δι' αἰσχροκέρδειαν. Οὔπω τὸν λόγον ἐκεῖνος ἐπλήρου, καὶ ὁ φανεὶς ὑποδεικνύων αὐτῷ τὸ ἱμάτιον· Ἐπιγινώσκεις τοῦτο; φησί; Τοῦ δὲ καταθεμένου, πάλιν ἐκεῖνος· Ἰδοὺ, ἐξότου μοι καὶ παρέσχες αὐτὸ, διὰ παντὸς ἐνδιδύσκομαι. D

ΛΘ'. Ἐπεὶ δὲ καὶ ὁ ὕπνος ἀνῆκεν αὐτὸν, ἐπὶ νοῦν ἐλθὼν, Εὐλογητὸς Κύριος, ἔλεγεν, εἰ καὶ Χριστὸς εἷς εἶναι τῶν ἐνδεῶν φαίνεται, οὐκ ἀνήσω μέχρις ἂν καὶ αὐτὸς εἷς τῶνδε τῶν ἐλαχίστων γένωμαι. Παραχρῆμα τοίνυν τὸν ἐπίτροπον τῆς οἰκίας ὃς ἦν ἀργυρώνητος αὐτῷ καλέσας, Ἔχω σοί τι, ἔφη, τῶν ἀποῤῥήτων πιστεῦσαι, ὅπερ εἰ ἔκφορον θείης, ἢ μὴ ἐργάσῃ ὃ ἐπ' αὐτῷ βούλομαι, μακρὰν ἔσῃ τοῦ ἐμοῦ προσώπου, καὶ εἰς βάρβαρον ἀπεμποληθήσῃ γῆν. Ταῦτα εἰπὼν, δέκα τοῦ χρυσίου λίτρας αὐτῷ ἐγχειρίζει ἐπὶ πραγματείᾳ τούτῳ καταβληθησομένας· εἶτα, Τῇ πραγμα-

A pauperi. Cum in altera itaque lance cum imposuissent, fecerunt trutinam ex utraque parte ex æquo propendentem. Tunc illi publicano dicunt viri candidati: Recedens adde huic pani, et operare. Nam illi, quos vides nigri, sunt te accepturi. Cum statim itaque experrectus esset, et ad se rediisset, agnovit vera esse, quæ visa fuerant. Nam quæcunque ab ineunte ætate ab eo facta fuerant, et quorum jam erat oblitus, videbat illos Æthiopes utique congregantes, et in lancem imponentes. Quamobrem sæpe obstupefactus, Papæ! dicebat, quanta est virtus eleemosynæ. Si enim unus panis, isque per iram pauperi projectus, tantum potuit, a quam mulis malis se poterit liberare, qui hilariter bonis suis impertitur pau-B peres? Adeo ergo munifice usus est eleemosyna, tam abunde ambabus, ut dici solet, effudit manibus, in ventres pauperum infundens, ut postquam omnia profudisset, ne suo quidem parceret corpori, sed eo quoque aleret pauperes, vendita libertate; ut paulo post clarius ostendemus.

XXXVIII. Ei enim eunti in telonium, occurrit nauta nudus ex naufragio: quem quidem cum vidisset, veste statim se exuens, quæ erat delicta et sumptuosa, ei donat, multum precatus, ut ea perpetuo indueretur. Ille autem partim quidem erubescens uti veste magnifica, partim vero aliarum quoque rerum, egenus, in foro exponit ut venderetur. Cum autem revertens publicanus eam vidit pen-C dentem, magno fuit affectus dolore, et erat tristis, reputans quod non ei licuisset relinquere pauperi aliquod monimentum suæ misericordiæ. Hæc cum cogitaret, ei obrepit somnus. In somnis autem ad eum accedit vir quidam insigni, sole specie alacrior, crucem quidem habens in capite, indutus autem veste, quam ipse dederat nautæ. Qui cum prope accessisset: Cur inquit, chare Petre (hoc enim erat nomen publicano), angeris et cruciaris? Ille autem perinde ac si nosset, quisnam esset qui loquebatur: Quoniam, inquit, Domine, quæ tu nobis abunde præbes, ea nonnullis sæpe impertientes, non videmus eos recte uti iis quæ data sunt, propter turpe lucrum. Ille nondum impleral orationem, et qui apparuerat ostendens ei vestem: Agnoscisne hanc? inquit. Cum is autem affirmasset, ille D rursus: Ecce, inquit, ex quo tu mihi eam præbuisti, ea perpetuo.

XXXIX. Postquam autem eum dimisit somnus, hæc mente agitans, Benedictus Dominus, aiebat: si Christus videtur esse unus ex indigentibus, non desistam, donec ipse quoque sim unus ex iis minimis. Statim ergo vocato procuratore domus, qui fuerat ab ipso emptus: Volo, inquit, tibi credere quoddam arcanum, quod si enuntiaveris, aut nisi effectum reddideris, quod volo, procul recedes a meo conspectu, et venderis in barbara regione. Hæc cum dixisset, decem libras auri ei tradit, quæ erant ei solvendæ ob negotiationem. Deinde: Me

quoque, inquit, assume ad hanc negotiationem A (hoc est enim arcanum) et cum me abduxeris ad partes sanctæ civitatis, illic me vende Christiano alicui tanquam mancipium. Quod autem ad te ex eo redibit pretium, quantumque fuerit, detur pauperibus. Cum, postquam diu institisset, vix tandem ei persuassisset, venit cum eo Hierosolyma. Quo in loco, cum in quemdam amicum, qui erat quidem arte aurifex, incidisset procurator (erat autem ei nomen Zoilus, qui propter aliquem casum redactus erat ad inopiam), Servus est, inquit, mihi valde bonus: quem si me audiens emeris, mihi erit impedimento, quominus ad pristinam redeas felicitatem. Est enim non solum bonis moribus, sed etiam in fundendo auro summe exercitatus, fuerat enim Petrus huic quoque arti summe deditus. Ille autem statim in medium adducens paupertatem, B cum qua conflictabatur, dicebat se non posse eum emere. Sed tamen ille verbis amici persuasus, et auro accepto fenori, emit zelo ferventem Petrum triginta nummis. Quos cum accepisset procurator, ivit Constantinopolim.

XL. Licebat ergo videre eum, qui propter Christum voluntariam susceperat servitutem, diligentissime domino suo inservientem in omnibus, quæ ad usum domus pertinebant, jejuniisque vacantem et vigiliis: quæ faciebant, ut res domini incrementum acciperent, ut benedicerentur ejus ultima, sicut Jobo [6], magis quam priora. Qui etiam summam ejus virtutem venerans, cogitabat eum manumittere, etiamsi ille id minime admiserit, volens potius C in servitute propter Christum perpeti, quam cum libertate quiescere. Sed quis dicere omnino potuerit eas, quæ ei a maligno inferebantur, afflictiones? Quicunque enim erant a familia, tanquam emotæ mentis quempiam reputantes, aliquando quidem eum irridebant, aliquando autem alapas infligebant, et non desistebant ei omnibus modis afferre molestiam. Quotiescunque autem contigisset eum, contumelis a conservis affectum, dormire cum animi ægritudine, toties ei assistebat in somnis, qui in Africa ab eo visus fuerat, ferensque ejus vestem, et pretium triginta aureos habens in manibus: Ne sis tristis, aiebat, frater Petre. Ego enim etiam tuum accepi pretium, sicut prius vestem.

XLI. Intercessit aliquantum temporis, et quidam D qui erant ejusdem cujus Petrus regionis, arte aurifices, voti causa et adorationis pervenerunt ad loca veneranda. Quos dominus ejus, ut qui essent ejusdem artis, domum ductos accepit omni benignitate. Petrus autem cum eis ministraret, et viros agnovisset, seipsum celabat pro viribus, et omnibus modis conabatur latere. Illi vero tanquam per figuram corporis eum indagantes, agnoverunt. Et primum quidem inter se susurrabant: dubitationem enim eis afferebat similitudo. Postquam autem illum ipsum esse aperte agnoverunt, communiter cum

τείᾳ, φησὶ, κἀμὲ συμπαραλαβὼν (τοῦτο γὰρ τὸ ἀπόῤῥητον), καὶ πρὸς τὰ τῆς ἁγίας πόλεως ἀπαγαγὼν μέρη, ἐκεῖ με Χριστιανῷ τινι καθάπερ ἕν τῶν ἀνδραπόδων πώλησον· τὸ δὲ ἐντεῦθεν περιελευσόμενόν σοι τίμημα, ὅσον ἂν καὶ εἴη, δοθήτω πένησι. Μετὰ πολλὴν γοῦν τὴν ἔνστασιν, καταπειθοῖ μόλις ἐκεῖνον λαβὼν, φθάνει σὺν αὐτῷ τὰ Ἱεροσόλυμα· ἔνθα προσφιλεῖ τινι ὁ ἐπίτροπος ἐντυχὼν ἀργυροκόπῳ μὲν τὴν τέχνην, Ζωΐλῳ δὲ τοὔνομα, τότε δὲ κατά τινα περιπέτειαν βίου ἀπόρως καὶ ἐνδεῶς ἔχοντι, Δοῦλός ἐστί μοι, ἔφη αὐτῷ, πάνυ σφόδρα καλός. Ὃν εἰ ἐμοῦ ἀκούσας ὠνήσῃ, οὐδὲν τὸ κωλῦον, ἕξεις, μὴ δι' αὐτοῦ πάλιν εἰς τὸ εὖ πράττειν ἐπανελθεῖν ὡς τὸ πρότερον. Ἔστι γὰρ οὐ δεξιὸς μόνον τὸν τρόπον, ἀλλὰ καὶ τὴν χρυσοχοϊκὴν ἄκρως ἐξησκημένος. Καὶ γὰρ ἦν ὁ Πέτρος καὶ πρὸς τοῦτο ἔχων ἐπιτηδείως. Ὁ δὲ τὴν σύνοικον εὐθὺς προβαλλόμενος ἀπορίαν, μὴ δύνασθαι τὴν ἀρχὴν ἔλεγε τοῦτον ὠνεῖσθαι. Πλὴν ἀλλὰ τοῖς τοῦ φίλου λόγοις πεισθεὶς καὶ χρυσίον λαβὼν εἰς δάνειον, ὠνεῖται τὸν θερμὸν Πέτρον νομισμάτων τριάκοντα, ἃ καὶ παραλαβὼν ὁ ἐπίτροπος, ἐχώρει πρὸς τὴν Κωνσταντινούπολιν.

Μ'. Ἦν οὖν ἰδεῖν τὸν διὰ Χριστὸν ἑκούσιον τὴν δουλείαν προῃρημένον, ἐπιμελέστατα τῷ δεσπότῃ τῷ ἑαυτοῦ ἐπὶ πάσαις ταῖς κατ' οἶκον χρείαις ὑπηρετούμενον· νηστείαις τε τὸ παράπαν καὶ ἀγρυπνίαις προσκείμενον· ἃ καὶ πρὸς πληθυσμὸν ἐποίει καὶ αὔξησιν τὰ τοῦ δεσπότου ἐπιδιδόναι, ὡς εὐλογηθῆναι κατὰ τὸν Ἰὼβ τὰ ἔσχατα μᾶλλον αὐτοῦ ἢ τὰ ἔμπροσθεν, ὃς καὶ τὴν ἄκραν ἀρετὴν αὐτοῦ δυσωπούμενος, ἀφεῖναι τῆς δουλείας διενοεῖτο, καὶ ἐκεῖνος ἥκιστα παρεδέξατο τὴν ἐν δουλείᾳ διὰ Χριστὸν ἑλόμενος κακοπάθειαν, ἢ τὴν μετ' ἐλευθερίας ἀνάπαυσιν. Ἀλλὰ τίς ἂν ἐξείποι τὰς ἐκ τοῦ πονηροῦ πάντως ἐπαγομένας αὐτῷ θλίψεις; Οἱ γὰρ τῆς οἰκίας πάντες ὥς τινα παράκοπον ὄντα ταῖς φρεσὶ λογιζόμενοι ποτὲ μὲν ἀπέσκωπτον εἰς αὐτὸν, ποτὲ δὲ καὶ ἐπὶ κόρρης ἐῤῥάπιζον, καὶ πάντα τρόπον ἀνιῶντες οὐ διελίμπανον. Ὁσάκις οὖν συμβαίη τοῦτον ὑπὸ τῶν ὁμοδούλων ἐμπαροινούμενον, ἐν λύπῃ κοιμηθῆναι, τοσαυτάκις αὐτῷ ὄναρ ἐφίστατο ὁ ἐν Ἀφρικῇ ὁραθεὶς, φορῶν τε αὐτοῦ τὸ ἱμάτιον καὶ τὴν τιμὴν τοὺς τριάκοντα χρυσοῦς μετὰ χεῖρας ἔχων, Μὴ ἀθύμει, τε, ἀδελφὲ, λέγων, Πέτρε. Ἰδοὺ γὰρ ἐγὼ καὶ τὴν τιμὴν εἴληφα τὴν σὴν, ὥσπερ πρότερον τὸ ἱμάτιον.

ΜΑ'. Χρόνος ἐτρίβη τὸ μεταξὺ, καί τινες ὁμόχωροι τῷ Πέτρῳ ἀργυροκόποι τὴν τέχνην, εὐχῆς χάριν καὶ προσκυνήσεως τοὺς σεβασμίους κατέλαβον τόπους· οὓς ὁ δεσπότης αὐτοῦ ἅτε ὁμοτέχνους οἴκαδε ἀγαγὼν κατὰ πᾶσαν ἐδεξιοῦτο φιλοφροσύνην. Ὁ μέντοι Πέτρος διακονούμενος ὢν, καὶ τοὺς ἄνδρας ἀναγνωρίσας, συνέκρυπτεν ἑαυτὸν ὁπόση δύναμις, καὶ πάντα τρόπον ἐμηχανᾶτο λαθεῖν. Ἐκεῖνοι δὲ ὥσπερ διὰ τῶν χαρακτήρων ῥινηλατοῦντες αὐτὸν ἀνεγίνωσκον, καὶ πρῶτα μὲν διεψιθύριζον πρὸς ἀλλήλους (ἐνεδοιάζετο γὰρ αὐτοῖς τὰ τῆς ἐμφερείας), καὶ ἀκριβῶς αὐτὸν ἐκεῖνον εἶναι διέγνωσαν, εὐθὺς πρὸς τὸν

[6] Job. XLII 12.

κεκληκότα κοινολογούμενοι, Τί ὅτι σοι, εἶπον, ἀνὴρ A τοιοῦτος εἰς διακονίαν, εἷς μὲν τῶν συγκλητικῶν καὶ μεγάλων, οὐδενὸς δὲ τὴν ἐπιφάνειαν δεύτερος; Οὗτος γὰρ ὁ νῦν ἡμῖν ἐπὶ τῆς τραπέζης ὑπηρετούμενος Πέτρος ἐστὶν ὁ τελώνης· περὶ οὗ μὲν πολλὴ τῷ βασιλεῖ λύπη, πολλὴ δὲ καὶ τῇ συγκλήτῳ πάσῃ, ὡς ἂν ἀφανοῦς αὐτοῦ γενομένου.

ΜΒ'. Τούτων ὁ Πέτρος τῶν ῥημάτων διομιλουμένων ἀκούσας, αὐτίκα ῥίπτει μὲν εἰς τοὔδαφος ὃν εἶχε πίνακα μετὰ χεῖρας, κάτεισι δὲ δρόμῳ πρὸς τὸν πυλῶνα, ᾧ κωφός τις καὶ ἄλαλος νεανίσκος ἐκ γενετῆς ἐφειστήκει, νεύματι κλείειν τε καὶ ἀνοίγειν δυνάμενος. Πρὸς ὃν ὁ Πέτρος, Σοὶ λέγω, ἔφη, τῷ κωφῷ καὶ ἀλάλῳ, ἐν ὀνόματι Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἄκουσόν μου καὶ ἄνοιξον· ὁ δὲ, Ὡς κελεύεις τε, ἀπεκρίνατο, καὶ εὐθὺς ἤνοιξε, καὶ ὃς ἐξῆλθε δρομαῖος, εἶτα ὁ πυλ- B ωρὸς ἀνελθὼν, τὴν εἰς αὐτὸν χαίρων ἐξηγεῖτο θαυματουργίαν, ἔλεγέ τε φλόγα πυρὸς τοῦ στόματος τοῦ μεγάλου Πέτρου προϊοῦσαν θεάσασθαι, καὶ τῶν ὤτων αὐτοῦ διαδῦναι· ἥτις καὶ, φησὶν, ὅλον με περιλάμψασα, ἀκοῦσαι τε παραχρῆμα καὶ λαλῆσαι πεποίηκε. Ταῦτα τοῦ τέως κωφοῦ τε καὶ ἀλάλου διηγουμένου, θαῦμά τε καὶ ἔκπληξις πάντας εἰσῄει, καὶ παραχρῆμα ὡς εἶχε ποδῶν ἕκαστος, διώκειν ὥρμησαν. Πανταχοῦ δὲ διερευνησάμενοι οὐκ ἔσχον καταλαβεῖν τὸν ζητούμενον, ἐφ' ᾧ καὶ πολλή τις αὐτοὺς εἰσῆλθε μετάνοια, καὶ τὴν προτέραν ἦσαν ἀπροσεξίαν μετακλαιόμενοι, καθ' ὃ τὸν τοῦ Θεοῦ ἄνθρωπον διὰ τοσαύτης ἦγον τῆς παροινίας, τύπτοντές τε καὶ προπηλακίζοντες καὶ ἡμέρας ἑκάστης εἰς αὐτὸν ἀποσκώπτοντες. C

statim alloquentes, qui eos invitaverat: Quid sibi vult, dixerunt, quod vir talis tibi ministrat, qui est unus quidem ordinis senatorii, splendore autem nulli est secundus? Is enim, qui nunc nobis servit in mensa, est Petrus publicanus, de quo imperator quidem magnum accip t dolorem, magnum autem Senatus quoque, ut qui evanuerit.

XLII. Eos hæc verba dicentes cum audiisset Petrus, statim humi quidem jacit discum, quem habebat in manibus; cursu autem descendit ad vestibulum, in quo astabat quidem adolescens, ab ortu surdus et mutus, qui nutu poterat claudere et aperire. Cui Petrus: Tibi dico, inquit, qui es surdus et mutus, in nomine Christi Dei nostri, audi me, et aperi. Ille autem, Sicut jubes, respondit: et statim aperuit. Ille vero currens, protinus est egressus. Deinde ascendens janitor lætus, narravit quod in ipsum fecerat miraculum. Dicebat enim ce vidisse flammam ignis procedentem ex ore magni Petri, ad aures ejus pervenisse Quæ, inquit, cum me totum circumfulsisset, repente fecit audire et loqui. Hæc cum narraret is, qui prius erat surdus et mutus, subiit omnes stupor et admiratio, et statim quam maxima potuerunt celeritate, aggressi sunt eum persequi. Cum ubique autem scrutati essent, non potuerunt eum, quem quærebant, comprehendere. Quamobrem eos magna subiit pœnitentia, et deplorabant quod non magis animum attendissent, quo factum erat, uti Dei hominem tantis afficerent contumeliis, verberantes et insultantes, et eum quotidie irridentes.

CAPUT VIII.

Alienæ virtutis imitatio.

ΜΓ' Τοιαῦτα τῆς συμπαθοῦς καὶ φιλανθρώπου ψυχῆς Ἰωάννου τὰ φιλάνθρωπα διηγήματα. Ὡς γὰρ ἐπὶ πλεῖστον, ὅσα πρὸς συμπάθειαν ἠρέθιζε καὶ φιλοπτωχείαν λέγειν τε καὶ ἀκούειν ἠβούλετο· ἀμέλει καὶ ὅσαι ὧραι τῶν ἐπὶ ἐλεημοσύνῃ βεβοημένων Πατέρων ἀνίχνευε τοὺς βίους, καὶ ἔργον αὐτῷ τοῦτο διὰ βίου τὸ σπουδαιότατον, ἅτε τὴν αὐτὴν ἐκείνοις ὁδεύειν προθυμουμένῳ. D

ΜΔ'. Ἐντυχὼν οὖν ποτε τῷ τοῦ θείου Σαραπίωνος Βίῳ τοῦ Σιδωνίου, οὐ διέλιπε τὸν ἄνδρα τε ἐκπληττόμενος καὶ τὰ ἐκείνου ἐκδιηγούμενος, ὅπως τε ἀπορροῦντι περιτυχὼν πένητι, καὶ τὸ συνήθως λεγόμενον ὠμοφόριον ἀποδὺς δέδωκεν· εἶτα συναντήσας ἑτέρῳ ῥιγοῦντι τὸ στιχάριον ὁμοίως παρέσχετο, καὶ λοιπὸν κάθητο γυμνὸς, ἐπὶ τῆς ἀγκάλης μόνον κατέχων τὸ Εὐαγγέλιον. Εἶτα πρός τινος ἐρωτηθεὶς τίς ὁ γυμνώσας εἴη. Τοῦτο, ἔφη, δείξας τὸ Εὐαγγέλιον. Ὡς δὲ καὶ πωλήσας τὴν ὑπὲρ αὐτοῦ τιμὴν τοῖς πένησι διενείματο, πυθομένῳ τῷ μαθητῇ, Ποῦ ἐστι, Πάτερ, τὸ Εὐαγγέλιον τὸ μικρόν; — Πίστευσον, ἔφη, πειθόμενος τῷ λέγοντι, Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς

XLIII. Tales erant misericordis et clementis Joannis animæ benignæ et humanæ narrationes. Maxima enim ex parte, quæcunque incitabant ad commiserationem et amorem in pauperes, ea volebat dicere et audire. Assidue quidem certe investigabat vitam eorum Patrum, qui fuerunt celebrati propter eleemosynam, et in hoc per totam vitam magnum ponebat studium, ut qui vellet eadem via, qua illi, ingredi.

XLIV. Cum itaque aliquando incidisset in Vitam divini Serapionis Sidonii, non cessabat virum illum admirari et res illius narrare, quemadmodum cum aliquando in egentem incidisset pauperem, se pallio exuit et ei dedit Deinde cum obviam factus esset alteri algenti, similiter ei præbuit tunicam: et de cætero sedit nudus, ulnis solum tenens Evangelium. Deinde ab aliquo interrogatus, quisnam eum nudasset, Hoc, inquit, ostendens Evangelium[6*]. Cum vero eo quoque vendito pro eo acceptum pretium distribuisset pauperibus, cuidam discipulo, qui eum rogavit: Ubi est, Pater, parvum Evangelium? Crede mihi, inquit, fili, parens ei qui dixit,

6* Matth. XIX, 31.

Vende quæ habes, et da paüperibus, ne ipsi quidem libro, in quo hoc scriptum erat, statui parcere.

XLV. Addatur hoc quoque iis quæ dicta sunt, afferens auditoribus non mediocrem utilitatem. Quidam monachus illo tempore puellam ducens speciosam, obibat civitatem : cum autem quidam ex Ecclesia eum vidissent ad multorum offensionem eam circumagentem, introducunt ad beatum Joannem. Ille autem verbis illorum inductus, ut qui existimasset eos zelo divino illum admonuisse, ipsum et puellam jubet vehementer cædi, deinde eos in diversis custodiis includi. Cum autem factum esset quod jusserat, et eos accepissent custodiæ, et nox jam adventasset, monachus ei apparet in somnis, ostendens tergum notatum vibicibus et stigmatibus, ei dicens simpliciter et placide : Quid vero hæc tibi placeut, Domine? Crede, nunc quidem certe semel deceptus es, ut homo.

XLVI. A somno autem excitatus, accersit illico monachum, educens eum e custodia, præ plagis vix valentem ingredi. Deinde cum in ejus vultum conjecisset oculos, agnovit eum esse, qui fuerat ab eo visus. Cumque vellet scire, an tam multas accepisset plagas, quam multas habens in somnis apparuerat, jubet eum linteo succintum aperire dorsum. Cum divina autem providentia fuisset linteum solutum, apertæ fuerunt partes occultæ, et conspectus est monachus propemodum exsectus et mancus virilibus, etiamsi propter florem ætatis non fuisset prius immunis a suspicione. Statim ergo eos qui illos detulerant, a suis gradibus deturbatos, tres annos arcet a communione. Pio vero monacho se, ut par erat, excusavit, et rogavit ut ei condonaret peccatum admissum per ignorantiam. Sed hoc solum dixit se non laudare, quod nullo adhibito custode obiret civitates, cum esset monachus, et videretur adeo juvenis, et traheret secum feminam, et esset multis causa offensionis.

XLVII. Ille vero cum ea, qua par erat, reverentia, et modestia : Benedictus Dominus, inquit, domine, non mentior. Non multis ante diebus cum essem Gazæ, et illinc festinarem ad adorandum SS. Cyrum et Joannem, hæc puella mihi vespere fit obviam, et ad meos pedes procidit, rogans ut mecum iter ingrederetur, eo quod vellet esse Christiana, erat enim Hebræa. Ego autem Dei veritus judicium, qui dixit, ne ex pusillis aliquem despiceremus, obediens admisi eam viæ comitem, maxime confidens, quod cum essent mihi membra ita affecta, non esset facile inimico struere in me tentationem. Cum illuc autem venissem, et vota reddidissem, feci eam catechismo instrui et baptizari, et de cætero eam circumduco in simplicitate cordis, et mendicans eam alo, studens si possim eam collocare in aliquo monasterio virginum. Hæc cum audisset ille Beatus, Papæ, inquit, quam multi sunt occulti servi Dei, etiamsi sint nobis ignoti! Cum autem monachum

A πτωχοῖς οὐδὲ αὐτοῦ τοῦ βιβλίου, ἐν ᾧ τοῦτο ἐγέγραπτο, φείσασθαι διενοησάμην.

ΜΕ'. Προσκείσθω καὶ τοῦτο τοῖς εἰρημένοις, οὐ μετρίαν φέρον τοῖς ἀκροαταῖς τὴν ὠφέλειαν· Μοναχός τις κατ' ἐκεῖνο καιροῦ κόρην εὐειδῆ ἐπαγόμενος περιῄει τὴν πόλιν· καί τινες τῶν τῆς Ἐκκλησίας θεασάμενοι τοῦτον ὡς ἐπὶ σκανδάλῳ δῆθεν τῶν πολλῶν αὐτὴν περιάγοντα, εἰσηγοῦνται τῷ μακαρίῳ· καὶ ὃς τοῖς ἐκείνων ὑπαχθεὶς λόγοις, ἅτε κατὰ ζῆλον θεῖον οἰηθεὶς αὐτοὺς τὴν ὑπόμνησιν πεποιῆσθαι, αὐτόν τε καὶ τὴν κόρην κελεύει τυφθῆναι σφοδρῶς, εἶθ' οὕτως ἐν φυλακαῖς διαιρεθέντας κατακλεισθῆναι. Ὡς δὲ γέγονε τὸ κελευσθὲν, καὶ αἱ φυλακαὶ τούτους ἐλάμβανον, νύξ τε ἤδη παρῆν, ὄναρ τῷ πατριB άρχῃ ὁ μοναχὸς ἐφίσταται τὸν νῶτον ὑποδεικνύων κατεστιγμένον, λέγων τε πρὸς αὐτὸν ἁπλῶς οὕτω καὶ ἀφελῶς· Τί δὲ ἀρέσκει σοι ταῦτα, δέσποτα; Πίστευσον, ταύτην γοῦν τὴν μίαν ἠπάτησαι καὶ αὐτὸς ὡς ἄνθρωπος.

ΜϚ'. Ἀνεθεὶς δὲ τοῦ ὕπνου μεταστέλλεται παραχρῆμα τὸν μοναχὸν, ἐξάγων ἀπὸ τῆς φυλακῆς μόλις βαδίζειν δυνάμενον ὑπὸ τῶν πληγῶν· εἶτα ἐπιβαλὼν αὐτοῦ τῇ ὄψει τοὺς ὀφθαλμοὺς, ἐπέγνω τοῦτον εἶναι τὸν θεαθέντα· βουλόμενός τε μαθεῖν, εἰ καὶ τοσαύτας φέροι πληγὰς, ὅσας δὲ καὶ κατὰ τοὺς ὕπνους ἔχων ἐφάνη, κελεύει λεντίῳ διαζωσάμενον τὸν νῶτον ὑπογυμνῶσαι. Κρείττονι δὲ τάχα προνοίᾳ τοῦ λεντίου διαλυθέντος ἐξεκαλύφθη τὰ κεκρυμμένα μόρια, καὶ ὡρᾶτο ὁ μοναχὸς ἀπόκοπος ὀλίγου καὶ τὴν αἰδῶ πεC πηρωμένος, εἰ καὶ διὰ τὴν τῆς ἡλικίας ἀκμὴν πρότερον οὐκ ἀπολέλυτο ὑπονοίας. Εὐθέως οὖν τοὺς κατειπόντας αὐτοῦ τῶν οἰκείων ἐξώσας βαθμῶν, ἐπὶ τρισὶ χρόνοις ἀπείργει τῆς Ἐκκλησίας· τῷ δὲ θεοφιλεῖ μοναχῷ ἀπολογεῖτό τε τὰ προσήκοντα καὶ συγγνῶναι αὐτῷ ἠξίου τοῦ κατὰ ἄγνοιαν ἁμαρτήσαντος· Πλὴν τοῦτο μόνον οὐκ ἔχω, ἔλεγεν, ἐπαινεῖν τὸ ἀφυλάκτως ἐν ταῖς πόλεσιν αὐτὸν περιάγειν, μοναχὸν ὄντα καὶ νέον οὕτως ὁρώμενον, γυναῖκά τε ἐπισύρεσθαι, καὶ πολλοῖς ἀφορμὴν εἶναι σκανδάλου.

ΜΖ'. Ὁ δὲ μετὰ τῆς προσηκούσης αἰδοῦς τε καὶ μετριότητος, Εὐλογητὸς Κύριος, δέσποτα, εἶπεν, οὐ ψεύδομαι· οὐ πολλαῖς πρότερον ἡμέραις κατὰ τὴν Γάζαν μοι γενομένῳ, κἀκεῖθεν εἰς προσκύνησιν τῶν ἁγίων Κύρου καὶ Ἰωάννου ἐπειγομένῳ, συναντᾷ μοι D πρὸς ἑσπέραν ἡ κόρη αὕτη, καὶ τοῖς ποσὶ τοῖς ἐμοῖς προσπίπτει συνοδεῦσαί μοι δεομένη τῷ βούλεσθαι γενέσθαι Χριστιανήν· Ἑβραία γὰρ ἦν. Ἔγωγε οὖν τὸ ἀπὸ Θεοῦ δείσας κατάκριμα εἰρηκότος μή τινος καταφρονεῖν τῶν μικρῶν, ὑπακούσας παρεδεξάμην τὴν συνοδίαν, ἄλλως τε καὶ θαῤῥήσας ὅτι μοι μελῶν οὕτως ἔχοντι, οὐκ ἂν εἴη τῷ ἐχθρῷ ῥᾴδιον πειρασμόν μοι ἐπισκευάσαι. Ἐκεῖσε μέντοι γενόμενος καὶ τὰς εὐχὰς ἀποδοὺς, κατηχηθῆναί τε αὐτὴν καὶ βαπτισθῆναι πεποίηκα· καὶ τὸ ἀπὸ τοῦδε καρδίας ἁπλότητι περιάγω καὶ προσαιτῶν τρέφω, σπεύδων, εἰ δυνατὸς γενοίμην, καὶ παρθενῶνι αὐτὴν ἐγκατατάξαι. Ταῦτα ἀκούσαντα τὸν μακάριον, Βαβαὶ, πόσοι, φάναι, κρύφιοι τοῦ Θεοῦ δοῦλοι, κἂν ἡμῖν οὗτοι

τυγχάνωσιν ἄγνωστοι. Τὸν μέντοι μοναχὸν νομίσμασιν ἑκατὸν δωρουμένου, ἐκεῖνος οὐ παρεδέξατο. Ὁ μοναχὸς, εἰπὼν, εἰ ἔχοι πίστιν, οὐ δεῖται χρημάτων· εἰ δὲ χρημάτων ὅλως ἐρᾷ, πίστεως πάντως ἐστὶν ἔρημος. Ταῦτα εἰπὼν καὶ προσκύνησιν ποιησάμενος, ἀπιὼν ᾤχετο.

ΜΗ'. Ὅπως δὲ ἀξιοσπούδαστον ἦν ἡ τοῦ θανάτου μνήμη τῷ μακαρίῳ, καὶ ὡς ἔχειν αὐτὴν ἀνεξάλειπτον περὶ παντὸς ἐποιεῖτο, εἴρηται μὲν καὶ πρότερον, εἰρήσεται δὲ καὶ νῦν. Θανατηφόρου γάρ ποτε νόσου τὴν πόλιν καταλαβούσης, ἔργον ἦν ἐκείνῳ πάντων ἐπιμελέστατον, τὰ θαμὰ παριέναι, πρός τε τῶν νοσούντων ἐπίσκεψιν καὶ τὴν τῶν τελευτώντων ταφήν· πολλάκις δὲ καὶ ψυχορραγοῦσι παρεκάθητο, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν οἰκείαις χερσὶν ἐπεκάλυπτεν· B ἐπέτρεπε δὲ καὶ τὰς ὑπὲρ τῶν κεκοιμημένων συνάξεις ἐπιτελεῖν, ἰσχυριζόμενός τε καὶ διαβεβαιῶν, τὰ μεγάλα τοῖς κατοιχομένοις λυσιτελεῖν τὰς ὑπὲρ αὐτῶν μνήμας καὶ λειτουργίας.

ΜΘ'. Εἰς πίστιν δὲ τῶν λεγομένων καί τι τοιοῦτον οὐ πρὸ πολλοῦ γενόμενον ἐξηγεῖτο. Ἔλεγε γὰρ ὡς ὑπὸ Περσῶν τις εἰς Περσίδα αἰχμάλωτος ἀπαχθεὶς, ἐν τῇ φυλακῇ ἣ οὕτω καλεῖται Λήθη, δέσμιος ἐφρουρεῖτο· νόμος δὲ παρὰ Πέρσαις ἐκράτει τοιοῦτος, τοὺς ἐν τῇ φυλακῇ τῇδε καθειρχθέντας ἀνακαλεῖσθαι μηδέποτε· ταύτῃ τοι καὶ Λήθη αὐτῇ τὸ ὄνομα κατὰ λόγον ἐτέθη. Ἐκεῖθεν οὖν ἀποδρᾶσαι τινες δυνατοὶ γενόμενοι καὶ τὴν Κύπρον καταλαβεῖν, τοῖς τοῦ νεανίσκου πατράσιν, ὡς εἴη τεθνηκὼς ἐν τῇ φυλακῇ διεβεβαιώσαντο. Ἐκεῖνοι τοιγαροῦν τοῦ ἐνιαυτοῦ τρεῖς συνάξεις ὡς ἐπὶ νεκρῷ τούτῳ ἐποίουν. C Καὶ τέσσαρες οὕτω παρῆλθον ἐνιαυτοί· εἶθ' οὕτως καὶ ὁ παῖς ἐκεῖθεν ἐκφυγεῖν δυνηθεὶς, εἰς τὴν οἰκίαν ἐπάνεισιν, ὃν οἱ γονεῖς οὐχ ὥσπερ ἐκ φυλακῆς φυγόντα, ἀλλ' ὡς ἐκ νεκρῶν ἀναστάντα μᾶλλον σὺν πολλῇ τῇ ἐκπλήξει θεασάμενοι καὶ ἀπορρήτως πλησθέντες τῆς ἡδονῆς, τἄλλα τε ἔλεγον καὶ ἐποίουν, ὅσα ἂν ψυχὴ τοιοῦτον ἰδοῦσα πάθοι καὶ εἴποι, καὶ ὅπως ὡς ἀποθανόντι ἤδη, τὰ ἐπὶ θανοῦσι νενομισμένα ἐποίουν, καὶ τὰς ἡμέρας ἀναδιδάξαντες αἵπερ ἦσαν, ἥ τε τῶν ἁγίων Θεοφανίων ἡμέρα, καὶ ἡ τοῦ σωτηρίου Πάσχα καὶ τῆς ἁγίας Πεντηκοστῆς. Τούτων ἐκεῖνος ἀκούσας, καὶ εἰς μνήμην ἐλθὼν, ὅρκῳ τοὺς τεκόντας διεβεβαίου ὡς κατ' αὐτὰς τάσδε τὰς ἡμέρας, καὶ αὐτὸς τῶν δεσμῶν ἀνεῖτο, ἐπιστασίᾳ λαμπροφοροῦντός τινος, καὶ ἀδείας ἀπέλαυε πάσης, τὰς ἐφεξῆς ἐν τοῖς D δεσμοῖς πάλιν ὥσπερ καὶ πρότου καταλαμβανόμενος.

A donaret centum nummis, ille non accepit, dicens: Monachus si habet fidem, non indiget pecuniis: sin autem omnino amat, est omnino fide defectus. Hæc cum dixisset et adorasset, recessit.

XLVIII. Quam magnum autem studium poneret beatus, ut mortis meminisset, et quod plurimi faceret efficere ne ejus recordatio deleretur, dictum quidem est prius, dicetur autem nunc quoque. Nam cum lethalis morbus aliquando invasisset civitatem, maximæ illi erat curæ accedere ad ægrotorum visitationem, et eorum qui decedebant sepulturam. Sæpe autem etiam assidebat iis qui emittebant animam, et eorum oculos suis tegebat B manibus. Jubebat synaxes quoque celebrari pro iis qui dormierant, asserens et affirmans defunctis multum prodesse quæ pro eis fiunt commemorationes et sacra ministeria.

XLIX. Ad fidem autem faciendam eorum quæ dicebantur, tale quid etiam narrabat, quod factum fuerat non ita multo ante. Dicebat enim, quod a Persis quidam abductus captivus, in custodia, quæ appellatur Lethe, asservabatur vinctus. Lex autem erat apud Persas, ut qui conjecti erant in eam custodiam, nunquam revocarentur: et ea ratione consentaneum est eam fuisse vocatam Lethen, id est, oblivionem. Illinc autem cum quidam potuissent aufugere, et in Cyprum venire, affirmarunt parentibus adolescentis, eum esse mortuum in C custodia. Illi vero tres quotannis synaxes celebrabant, tanquam eo mortuo. Quatuor anni præterierant, cum filius illinc aufugiens, redit domum. Quem cum parentes non tanquam qui fugisset e custodia, sed tanquam qui surrexisset e mortuis, cum magno stupore aspexissent, et fuissent ineffabili voluptate repleti, et alia faciebant et dicebant, quæ anima, quæ talem vidisset, faceret et diceret: et quemadmodum ei tanquam jam mortuo fecerant justa, quæ fiunt mortuis, et cum eum docuissent, quinam essent ii dies, nempe dies sanctorum Theophaniorum, et dies salutaris Paschæ, et dies sanctæ Pentecostes. Hæc cum ille audivisset, et in memoriam revocasset, parentibus affirmabat, quod his ipsis diebus relaxabatur a vincu- D lis, adventu cujusdam, qui gestabat lampadem; et fruebatur omni securitate: diebus autem sequentibus tenebatur vinculis, sicut prius.

CAPUT IX.

Eleemosynarum vis apud Deum.

Ν'. Τοιούτοις ἔργοις καὶ διηγήμασι χρώμενος πολλοῖς κατέστη σωτηρίας ὑπόθεσις. Διὰ ταῦτα καὶ πλεῖστοι ἐκεῖνα τὰ τῶν ἀποστόλων ζηλοῦντες, καὶ τὰ ὄντα διαπιπράσκοντες, τὰς τιμὰς φέροντες ταῖς αὐτοῦ χερσὶ κατετίθουν, ἀξιοῦντες ὑπ' αὐτοῦ τοῖς πένησι διανεμηθῆναι. Μεθ' ὧν εἷς τις προσελθὼν, ἑπτὰ ἥμισυ λίτρας τοῦ χρυσίου προσῆγεν, ἐπιβεβαιῶν

L. Talibus utens factis et narrationibus, fuit multis occasio salutis. Propterea plurimi quoque imitantes illa, quæ fiebant tempore apostolorum, et vendentes ea quæ habebant, eorum pretium afferentes deponebant in ejus manibus, volentes id ab ipso distribui pauperibus. Cum quibus unus quispiam accedens, auri septem libras cum dimidia obtulit,

affirmans nihil amplius auri apud se remansisse. Petebat autem ab eo, ut duas gratias acciperet: nempe ut et servaretur quidem ejus filius illius precibus; referretur vero navis absque ullo periculo, quæ quidem emissa fuerat in Africam. Cum autem post preces triginta dies præteriissent, moritur quidem filius: tertio vero die post ejus mortem, navis quæ redibat ex Africa, cum fuisset ex adverso Phari, in grave incidit naufragium, adeo ut universum quidem onus perierit, sola (15) autem navis fuerit salva cum vectoribus. Cum autem prius audito nuntio de filio, adhuc vigente animi perturbatione, accessit de nave tristitia, id eum plane obruit.

LI. Quod quidem postquam cognovisset patriarcha, id nihilo minorem ei attulit animi ægritudinem. Deum itaque rogavit, ut invisibiliter ejus animam attingeret, et increparet tempestatem animi ægritudinis et transmutaret in tranquillitatem. In somnis itaque nocte sequenti illi apparet vir, figura et lineamentis similis patriarchæ, ei dicens: Cur ita victus es a tristitia propter ea quæ acciderunt? Nonne tu me rogasti, ut hæc precibus a Deo postularem, nempe ut et tuus salvus esset filius? Et ecce ejus gratia est salvus, ut qui a vitæ malis dimissus sit illæsus. Si enim vixisset longius, non bonus, sed improbus erat evasurus, et indignus eo qui creaverat. Quod ad navem autem attinet, nihil dubites, quod nisi Deus fuisset exoratus a nostra mediocritate, erat cum ipsis viris in profundum transmittenda, et præter onus fratrem quoque et alios amisisses. Non oportet ergo esse tristem, sed propter hoc ipsum ferenda sunt potius quæ accidunt grato animo. Nihil enim eorum quæ fiunt, fit sine Dei judicio, etiamsi sint nobis ignota multa ex illius judiciis. Postquam ergo eum dimisit somnus, sensit cor suum satis magnam accepisse consolationem. Statimque profectus, procidit ad beati viri pedes, magnas ei agens gratias, et quam viderat noctu narrans visionem. Ille autem suasit, ut non ipsi, sed Deo, qui omnia dispensat ad utilitatem, acceptam ferat gratiam.

LII. Sed quemadmodum non eos solum, qui Christo offerebant, et, ut dicit divinus Apostolus, in benedictione seminabant, ille benedictione dignos duxit et accipiendos; sed eos etiam, qui in ipsum erant parci et illiberales, prudenti ratione studuerit inducere ad eleemosynam, declarant quidem etiam multa alia; declarabit autem etiam, quod factum est in Troilum episcopum. Eum enim, cum esset avarissimus et parcissimus, statuit traducere ad amorem eleemosynæ hoc modo. In ptochotrophium, quod ipse construxerat, ut solebat, vadens, assumit etiam Troilum. Cujus comitem cum cognovisset habere in sinu triginta libras auri; Sunt, inquit, a te hodie curandi, sanctissime Troile, nostri in Christo fratres. Ille autem tanquam eo sermone

A οὐδὲν αὐτῷ εἰς χρυσὸν πλέον ὑπολελεῖφθαι. Δύο δὲ παρ' αὐτοῦ χάριτας ᾐτεῖτο λαβεῖν· σωθῆναι μὲν τὸν αὐτοῦ παῖδα ταῖς αὐτοῦ εὐχαῖς, ἀνακομισθῆναι δὲ καὶ τὸ πλοῖον ἀκίνδυνον, ὅπερ ἔτυχεν εἰς Ἀφρικὴν ἐκπεμφθέν. Ἐπεὶ οὖν μετὰ τὴν εὐχὴν τριάκοντα παρῆλθον ἡμέραι, θνήσκει μὲν ὁ υἱὸς, τρίτην δὲ ἡμέραν μετὰ τὸν θάνατον τὸ πλοῖον ἐξ Ἀφρικῆς ἀναγόμενον, εἶτα τῷ Φάρῳ ἀπεναντίας γενόμενον ναυαγίῳ δεινῷ περιπίπτει, ὡς πάντα μὲν τὸν φόρτον ἀπολέσθαι, μόνον δὲ σὺν ἐπιβάταις τὸ πλοῖον διασωθῆναι. Ὡς οὖν, τῆς περὶ τοῦ παιδὸς ἀγγελίας πρότερον ἀκουσθείσης, καὶ τοῦ πάθους ἔτι κρατοῦντος, τὸ περὶ τοῦ πλοίου σκυθρωπὸν ἐπῆλθε, τέλεον αὐτὸν κατεβάπτισεν.

ΝΑ'. Ὅπερ γνόντα τὸν πατριάρχην, οὐδὲν ἔλαττον B ἐκείνου ἀθυμεῖν ἐποίει· δεῖσθαι τε τοῦ Θεοῦ ἀοράτως ἐφάψασθαι τῆς αὐτοῦ ψυχῆς, ἐπιτιμῆσαι τε τῇ ζάλῃ τῆς ἀθυμίας καὶ εἰς γαλήνην μεταβαλεῖν. Ὄναρ τοίνυν εἰς τὴν ἐπιοῦσαν νύκτα ἐφίσταται τῷ ἀνθρώπῳ ἀνὴρ, τῷ τοῦ πατριάρχου ἐοικὼς σχήματι, Τί οὕτω, πρὸς αὐτὸν λέγων, τῆς ἐπὶ τοῖς συμβεβηκόσιν ἡττῆσαι λύπης; οὐχὶ σύ με ἠξίωσας δέησιν ταύτην δεηθῆναι Θεοῦ σωθῆναί σου τὸν υἱόν; καὶ ἰδοὺ χάριτι τῇ αὐτοῦ σέσωσται τῶν τοῦ βίου κακῶν ἀπήμαντος ἀφεθείς. Εἰ γὰρ μακροτέρας ἔτυχε τῆς ζωῆς, οὐκ ἀγαθὸς, ἀλλὰ μοχθηρὸς ἔμελλεν ἀποβήσεσθαι καὶ τοῦ πεποιηκότος ἀνάξιος· χάριν δὲ τοῦ πλοίου μηδὲν ἔσο ἐπιδοιάζων· ὡς εἰ μὴ Θεὸς ὑπὸ τῆς ἡμῶν παρακέκληται μετριότητος, αὔτανδρον ἔμελλε τῷ Κυρίῳ Θεῷ παραπεμφθήσεσθαι, καὶ πρὸς τῷ φόρτῳ C καὶ τὸν ἀδελφὸν καὶ τοὺς ἄλλους ἀπώλεσας ἄν. Οὔκουν ἀθυμεῖν δέον, ἀλλὰ δι' αὐτὸ τοῦτο μᾶλλον εὐχαρίστως τὰ προσπίπτοντα ὑπομενητέον. Οὐδὲν γὰρ τῶν γινομένων παρὰ Θεοῦ ἄκριτον, κἂν ἡμῖν ἄγνωστα τὰ πολλὰ τῶν ἐκείνου κριμάτων. Ἐπεὶ οὖν καὶ ὁ ὕπνος ἀνῆκε τὸν ἄνδρα, ᾔσθετο τῆς αὐτοῦ καρδίας ἱκανῶς παρακεκλημένης, καὶ πορευθεὶς αὐτίκα τοῖς ποσὶ προσπίπτει τοῦ μακαρίου, πολλάς τε αὐτῷ καθομολογῶν τὰς χάριτας, καὶ τὴν ὄψιν ἣν ἑώρακε τῆς νυκτὸς διηγούμενος. Ὁ δὲ οὐκ αὐτῷ μᾶλλον, ἀλλὰ τῷ Θεῷ πάντα ὡς ἐπὶ συμφέρον οἰκονομοῦντι λογίζεσθαι παρῄνει τὴν χάριν.

ΝΒ'. Ἀλλ' ὅπως οὐ τοὺς καρποφοροῦντας Χριστῷ μόνον, καὶ, ὥς φησιν ὁ θεῖος Ἀπόστολος, ἐπ' εὐλογίας σπείροντας, εὐλογίας ἐκεῖνος καὶ ἀποδοχῆς ἠξίου, ἀλλὰ καὶ τοὺς μικρολόγους γὰρ πρὸς τοῦτο D καὶ φειδωλοὺς μεθόδοις συνεταῖς ἔσπευδεν ἐπάγεσθαι πρὸς ἐλεημοσύνην, δηλοῦσι μὲν καὶ ἄλλα πολλὰ, δηλοῖ δὲ καὶ τὸ ἐπὶ τῷ Τρωΐλῳ τῷ ἐπισκόπῳ γενόμενον. Τοῦτον γὰρ φιλάργυρον ὄντα καὶ φειδωλότατον εἰς ἐλεημοσύνης ἔρωτα μεταθεῖναι διεσκέψατο τρόπῳ τοιῷδε· Εἰς τὸ πτωχοτροφεῖον ὅπερ αὐτὸς ἦν οἰκοδομησάμενος, κατὰ τὸ σύνηθες ἀπιὼν, καὶ Τρωΐλον παραλαμβάνει, οὗ τὸν ἀκόλουθον ὡς ἔγνω, τριάκοντα τοῦ χρυσίου λίτρας ἐγκεκολπωμένον, Θεραπευτέον σε σήμερον, ἔφησεν, ἱερώτατε Τρωΐλε, τοὺς ἐν Χριστῷ ἡμῶν ἀδελφούς. Ὁ δὲ ὥσπερ τὸν λόγον δια-

(15) At Leontius hanc quoque ait periisse, unica scapha salva.

τραπεὶς, καὶ μὴ γλίσχρος, ἀλλ' ἁπλοϊκώτερος μᾶλλον ὑπειλῆφθαι βουλόμενος, ἐπιτρέπει τῷ τὰ χρήματα πεπιστευμένῳ, ἑκάστῳ τῶν ἐκεῖσε πενήτων ἀνὰ νόμισμα παρασχεῖν.

ΝΓ'. Ὡς δὲ πᾶν ἤδη ἀνάλωτο τὸ χρυσίον, καὶ ἡ ἐπείσακτος ἐκείνη καὶ μὴ κατὰ τὸ ἐνδιάθετον πρὸς ἐλεημοσύνην θερμότης, ὑπόψυχρος ἐγεγόνει λύπη βαρεῖα καὶ δεινὴ μεταμέλεια τὸν ἀκούσιον ἐλάμβανεν εὐεργέτην. Οἴκαδε ἐπανιὼν, φρίκῃ παραλόγῳ καὶ πυρετῷ συλληφθεὶς κλινοπετὴς ἦν. Ἤδη δὲ τῆς κατὰ τὸ ἄριστον ὥρας καταλαβούσης, ἐκάλει τοῦτον συνεστιαθησόμενον αὐτῷ πέμψας ὁ πατριάρχης. Ἐπεὶ δὲ μεμάθηκεν ὅπως ἔχοι, καὶ τὴν αἰτίαν οὐκ ἠγνόει τῆς νόσου, οὐχ ὑπέμεινε τοῦτον μὲν παριδεῖν οὕτως ἀνιᾶσθαι καὶ πάσχειν, αὐτὸς δὲ κοινωνεῖν τραπέζης. Ἀλλ' εὐθὺς ἀναστὰς ὡς αὐτὸν ἀφικνεῖται καί φησιν ὑπομειδιῶν· Μὴ οἴου με, συλλειτουργὲ, πρὸς ἀλήθειαν εἰρηκέναι σοι καταβαλεῖν οἴκοθεν τοῖς κατὰ Θεὸν ἀδελφοῖς· ἀλλὰ τῷ μὴ ἐπὶ χεῖρας ἔχειν τότε χρυσίον τὸν ἀκόλουθον τὸν ἐμὸν εἰς δάνειον παρὰ σοῦ ἔλαβον· νῦν δὲ πάρειμι, φησὶ, τὰς τριάκοντα λίτρας ἐπιφερόμενος, ἅσπερ δὴ καὶ σώας ἀποδίδωμί σου τῇ ἀρετῇ. Ὡς οὖν εἶδε μόνον τὸ χρυσίον ἐν ταῖς τοῦ πατριάρχου χερσὶ, κρείττων μὲν ῥίγους ἦν, κρείττων δὲ τῶν ἐκ τοῦ πυρετοῦ κακῶν, ἥ τε δύναμις ἐπανήκει, καὶ τὴν ὄψιν ἐγάνη ἔχων ἀνθοῦσαν καὶ θαλεράν· ὡς ἐντεῦθεν δῆλον γενέσθαι δηλονότι ὃ πάντως ἀποδοθὰν τὴν νόσον ἔλυε, τοῦτο δὴ καὶ πρῶτον ἀφαιρεθὲν, μὴ οὖσαν ἐκάλει.

ΝΔ'. Δοὺς οὖν τὸ χρυσίον εἰς τὰς ἐκείνου χεῖρας ὁ πατριάρχης ἐκστῆναι αὐτῷ τοῦ μισθοῦ γράμμασιν ἀπῄτει. Ὁ δὲ ἀσμένως τὴν γραφὴν αὐτοχειρίᾳ ξέει, ἔχουσαν ἁπλοϊκῶς· Ὁ Θεὸς τοῦ ἐλέους καὶ τῆς φιλανθρωπίας, αὐτὸν τὸν μισθὸν ἀπόδος Ἰωάννῃ τῷ ἐμῷ δεσπότῃ καὶ πατριάρχῃ τῆς Ἀλεξάνδρου τῶν τριάκοντα τοῦ χρυσίου λιτρῶν τῶν παρ' ἐμοῦ τοῖς πένησι διανεμηθέντων. Ἐγὼ γὰρ ἀπέλαβον τὰ ἐμά. Ὁ οὖν πατριάρχης λαβὼν τὸ χειρόγραφον συμπαραλαμβάνει κἀκεῖνον τῆς τραπέζης αὐτῷ μεθέξοντα. Ὃν μετὰ τὸ φαγεῖν ὑπνοῦντα βουλόμενος ὁ Θεὸς τοῦ πολλοῦ ὕπνου τῆς φιλοχρηματίας διαναστῆσαι, μαθεῖν τε παρασκευάσαι οἵας ἐστέρηται μισθαποδοσίας καὶ μεταμαθεῖν τὸ φιλάνθρωπον, ἔκστασιν ὥσπερ αὐτῷ ἐμβάλλει, καὶ ὁρᾶν ἐδόκει οἶκον περικαλλῆ τινα καὶ ὑπέρλαμπρον, ὥρᾳ τε καὶ μεγέθει μηδενὶ τοῦ ἴσου παραχωρεῖν νομιζόμενον, ἄνω δὲ τοῦ πυλῶνος τίτλον ἐπιγεγράφθαι χρυσοῖς γράμμασι, Μονὴ καὶ ἀνάπαυσις αἰωνία Τρωΐλου τοῦ ἐπισκόπου. Ὡς οὖν ἥσθη ταῦτα ἀναγνοὺς, οἰόμενος ἐκ τοῦ βασιλέως δεδόσθαι αὐτῷ τὸν οἶκον, καταλαμβάνει τις ἀνὴρ ἐπιφανὴς, καὶ εἷς εἶναι τῆς συγκλήτου φαινόμενος κουβικουλαρίῳ τὸ σχῆμα ἐοικὼς, καὶ τινας ἄλλους ἔχων αὐτοῦ προπορευομένους, ὃς ἐπεὶ ἤγγισε τῷ πυλῶνι ἀπιδὼν πρὸς τοὺς δορυφόρους, κατενεγκεῖν ἐπέταττε τὸν τίτλον ὡς τάχος, ἀντιθεῖναι δὲ ἕτερον, ὃν ὁ δεσπότης, φησὶ, τῆς οἰκουμένης κελεύσειεν. Ἐτίθετο τοίνυν εὐθὺς ἕτερος γραφὼν ἔχων

A pudore motus, et volens non existimari tenax et sordidus, sed potius simplex et liberalis, jubet ei cui creditæ fuerant pecuniæ, unicuique eorum, qui illic erant, pauperum, præbere unum nummum.

LIII. Cum vero totum aurum jam fuisset consumptum, et adventitius ille et non ex affectione ardor ad eleemosynam fuisset refrigeratus, gravis dolor et magna pœnitentia incessit involuntarium benefactorem. Domum itaque reversus, inopinato horrore et febre correptus, decumbebat in lecto, Cum esset autem jam hora prandii, eum ad convivium invitat patriarcha. Qui cum accepisset quemadmodum se haberet, et causam morbi non ignoraret, non sustinuit eum quidem despicere sic vexari et pati, se autem inire convivium : sed B statim surgens, ad ipsum venit, et dicit subridens: Ne putes, o comminister, me tibi vere dixisse, ut e domo tua largireris fratribus secundum Deum: sed quoniam tunc aurum non habebat ad manum comes meus, accepi a te mutuo. Nunc vero adsum, triginta, inquit, libras ad te afferens, quas etiam salvas reddo tuæ virtuti. Postquam ergo solum vidit aurum in manibus patriarchæ, horrorem vicit, mala febris discessit, vires ei redierunt, et visus et habens vultum alacrem et vividum : ut hinc fieret manifestum, quod omnino redditum morbum solvit, hoc etiam primum ablatum, eum vocavit cum non esset.

LIV. Cum aurum ergo in illius manus dedisset C patriarcha, postulabat ut litteris ei mercede cederet. Ille autem lubenter sua manu conscribit syngrapham, quæ sic habebat: Deus misericordiæ et clementiæ, ipsam mercedem redde Joanni, meo domino et patriarchæ Alexandriæ, triginta auri librarum, que a me fuerunt distributæ pauperibus. Ego enim mea accepi. Patriarcha ergo accepto chirographo, illum quoque simul accipit mensæ futurum participem. Quem; cum comedisset, dormientem volens Deus excitare a gravi somno avaritiæ, et efficere ut sciret quanta fuerit privatus remuneratione, et disceret benignitatem, ei immittit quodammodo ecstasim, et videbatur sibi videre domum quamdam pulcherrimam et splendidissimam, et cui elegantia et magnitudine nulla poterat conferri. Supra vestibulum autem inscriptus erat titulus aureis D litteris: *Mansio et requies æterna Troili episcopi*. Postquam vero his lectis est lætatus, existimans domum sibi datam fuisse ab imperatore, accedit vir quidam insignis, et qui videbatur esse unus ex senatu, habitu similis cubiculario, habens quosdam alios ante se ambulantes. Qui postquam appropinquavit vestibulo, aspiciens ad satellites (16), jubet quamprimum dejici titulum : pro illo autem poni alium, quem, inquit, jubet Dominus orbis terræ. Statim autem fuit positus, hanc habens inscriptionem : *Mansio et requies æterna Joannis*

(16) Gentianus *fores* vertit.

archiepiscopi Alexandrini, empta triginta libris auri. E somnio itaque surgens stupefactus, exposuit patriarchæ visionem, et ipse suum vitium animadvertit, et mores mutavit, et facere eleemosynam ardenter est agressus, et pro eo, quod erat prius parcus et tenax, ad dandum manum habuit promptissimam.

LX. Sed Deus, qui permisit Jobi dissipari et exinaniri divitias ad ejus virtutis faciendum periculum, permittit etiam similia accidere huic beato patriarchæ. Erant enim tredecim naves ejus Ecclesiæ, quæ quidem oneratæ cum essent in mari Adriatico, incidunt omnes simul in naufragium, peritque universum onus, quod erat ter mille et trecentarum librarum auri. Ii ergo quibus fuerant commissæ naves, adducentes has inanes, appellunt in portum Alexandriæ : ipsi autem confugerunt in templum. Quod quidem cum cognovisset patriarcha, Deo quidem propter hoc quoque agit gratias ; ad illos vero mittit litteras remissionis, ea sola quæ Job dixit, dicens, Dominus dedit, fratres, Dominus abstulit. Egredimini ergo, propter hoc nullum timentes periculum. Dominus enim erit sollicitus de crastino.

LVI. Cum autem multi ex civibus venient ad eum consolandum, prior ipse eis dixit: Non oportet vos, o fratres, tristitia affici propter periculum navium, cujus ipse solus sum causa. Nisi enim magnos et elatos sumpsissem spiritus propter alienorum elargitionem, imo vero Dei ipsius, hoc nequaquam accidisset. Volens itaque Deus meum tumorem comprimere, permittit hanc accidere mihi calamitatem. Est enim eleemosyna sæpe causa superbiæ ei qui non advertit. Paupertas autem, sicut scriptum est, virum reddit humilem. Ego sum igitur causa duorum malorum ; unius quidem, quod mercede eleemosynæ privatus sum propter vanam gloriam; alterius vero, quod propter eam procuravi amissionem tantarum pecuniarum: et nunc ad me attraho universum judicium animarum, quæ rediguntur ad angustias. Sed Deus, etiamsi non propter me, sed tamen propter curam, quam gerit eorum qui indigent, suppeditabit ea, quæ sunt ad usum necessaria : illud enim, Non te dimittam, neque te relinquam 7, ab eo dictum est : fidelis autem est qui promisit. Sic ii, qui venerant ad sanctum consolandum, ipsi sunt potius ab illo dimissi accepta consolatione.

LVII. Non multum temporis præterierat, et Deus novo Jobo duplicat facultates, eratque in egenos liberalior et munificentior quam prius; non in egenos solum abundantiam, sed in eos etiam, quibus fiebat injuria, ostendens commiserationem. Cum enim iret aliquando ad divinos martyres Cyrum et Joannem precaturus, accessit ad eum quædam paupercula, dicens se fuisse a genero gravi injuria

A τοιάνδε. Μονὴ καὶ ἀνάπουσις αἰωνία ᾿Ιωάννου ἀρχιεπισκόπου ᾿Αλεξανδρείας, τριάκοντα λιτρῶν χρυσίου πραθεῖσα. Ἔκπληκτος οὖν ἀπὸ τοῦ ὕπνου διαναστὰς ἐξηγεῖτό τε τῷ πατριάρχῃ τὸ ὅραμα καὶ αὐτὸς εἰς συναίσθησιν ἤρχετο, τοῦ τρόπου τε μετεβάλλετο, καὶ θερμῶς ἐλεημοσύνης ἥπτετο, καὶ ἀπὸ τοῦ φειδωλὸς εἶναι καὶ μικρολόθος πάνυ προθυμοτάτην ἔχειν τὴν δεξιάν.

ΝΕ'. ᾿Αλλ' ὁ τὸν τοῦ ᾿Ιὼβ πλοῦτον κατὰ πεῖραν τῆς ἀρετῆς ἐκφορηθῆναι παραχωρήσας Θεὸς, ὅμοια καὶ τῷ μακαρίῳ τούτῳ πατριάρχῃ συμβῆναι παραχωρεῖ. Τρεῖς καὶ γὰρ ἐπὶ δέκα νῆες ἦσαν τῆς κατ' αὐτὸν ᾿Εκκλησίας, αἵτινες φόρτου πλήρεις, ὅτε τῷ τοῦ ᾿Αδρίου προσέσχον πελάγει, ναυαγίῳ πᾶσαι κατ' αὐτὸν περιπίπτουσι, καὶ ὁ φόρτος ἅπας ἀπόλλυται, τριακοσίων
B τε καὶ τρισχιλίων οὐσῶν τοῦ χρυσίου λιτρῶν. Οἱ οὖν τὰ πλοῖα πεπιστευμένοι κενὰ ταῦτα γέροντες τῷ τῆς ᾿Αλεξανδρείας προσορμίζουσι λιμένι, φυγάδες αὐτοὶ τῷ ναῷ γενόμενοι, ὅπερ[ὡς] ἐπίδηλον κατέστη τῷ πατριάρχῃ, Θεῷ μὲν καὶ τούτῳ τὴν χάριν ὁμολοθεῖ· ἐκείνοις δὲ ἀφέσως ἐπιπέμπει γραμματεῖον, μόνα τὰ τοῦ ᾿Ιὼβ ἐπιλέ[ξε] ἔχον. Ὁ Κύριος ἔδωκεν, ἀδελφοὶ, ὁ Κύριος ἀφείλετο. ᾿Εξέλθετε τοίνυν μηδένα ὑπὲρ τούτου κίνδυνον ὑφορώμενοι· ὁ Κύριος γὰρ περὶ τῆς αὔριον φροντιεῖ.

ΝϚ'. ᾿Επεὶ δὲ πολλοὶ τῶν τῆς πόλεως ἐφοίτων ὡς αὐτὸν εἰς παράκλησιν, φθάσας αὐτὸς, Οὐδὲν ὑμᾶς, ἔφη, προσῆκον, ἀδελφοὶ, σκυθρωπάζειν ἐπὶ τῷ κινδύνῳ πλοίων, οὗ μόνος κατέστην αὐτὸς αἴτιος. Εἰ μὴ γὰρ ὑψηλοφροσύνης ἡψάμην ἐγὼ ἐπὶ τῇ τῶν
C ἀλλοτρίων μεταδόσει, μᾶλλον δὲ τῶν τοῦ Θεοῦ οὐκ ἂν δὴ τοῦτο συνέβη. ᾿Αμέλει καὶ βουλόμενος ὁ Θεὸς τὸ φύσημα τὸ ἐμὸν κατασταλῆναι, τὴν συμφορὰν ταύτην συμβῆναι παραχωρεῖ. Οἶδεν ἐλεημοσύνη πολλάκις ὑψηλοφροσύνης αἰτία τῷ μὴ προσέχοντι γίνεσθαι. πενία δὲ, κατὰ τὸ γεγραμμένον, ἄνδρα ταπεινοῖ. Δύο τοιγαροῦν ἐγὼ κακῶν αἴτιος· ἑνὸς μὲν, ὅτι τοῦ τῆς ἐλεημοσύνης μισθοῦ διὰ κενοδοξίαν ἐστέρημαι, ἑτέρου δὲ, ὅτι δι' αὐτὴν καὶ τοσούτων χρημάτων ἀπωλείας κατέστην πρόξενος, Καὶ νῦν ἑλκύω πρὸς ἐμαυτὸν ἅπαν τὸ κρῖμα τῶν στενουμένων ψυχῶν· πλὴν ὁ Θεὸς, κἂν μὴ δι' ἐμὲ, ἀλλ' οὖν τῆς τῶν δεομένων χάριν κηδεμονίας χορηγὸς ἔσται τῶν πρὸς τὴν χρείαν. Τὸ γὰρ, Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω, ἐκείνου λόγος, καὶ πιστὸς ὁ ἐπαγγειλάμενος.
D Οὕτως οἱ παρακαλέσαι προσελθόντες τὸν ἅγιον, αὐτοὶ μᾶλλον ὑπ' ἐκείνου παρακληθέντες ἐπέμποντο.

ΝΖ'. Οὐ πολὺς παρῆλθε χρόνος, καὶ ὁ Θεὸς διπλασιάζει τοῦ νέου ᾿Ιὼβ τὰ ὑπάρχοντα, καὶ ἦν πρὸς τοὺς δεομένους μεγαλοψυχότερός τε καὶ πολυαρκέστερος ἢ τὸ πρότερον, οὐ πρὸς τοὺς ἐνδεεῖς μόνον τὸ δαψιλὲς, ἀλλὰ καὶ πρὸς τοὺς διακονουμένους τὸ συμπαθὲς ἐνδεικνύμενος. ᾿Απιόντι γὰρ ποτε πρὸς τοὺς θείους μάρτυρας Κῦρον καὶ ᾿Ιωάννην προσευξομένῳ γυνή τις πενιχρὰ προσῆλθε βαρὺν αὐτῇ πρὸς ἀδι-

7 Hebr. XIII, 31 ; Jos. I, 5.

κίαν ἐπιτεθεῖσθαι τὸν γαμβρὸν λέγουσα, καὶ τῆς A παρ' αὐτοῦ δεῖσθαι βοηθείας. Τῶν οὖν συνοδευόντων αὐτῷ ἐν τῷ ὑποστρέφειν συμβουλευόντων ἐπισκοπῆσαι τὰ κατ' αὐτὸν, ὁ συμπαθὴς οὐκ ἠνέσχετο, ἐπειπών· Ἀλλὰ πῶς ὁ Θεὸς τῇ ἐμῇ προσευχῇ προσέξει, εἴπερ ἐγὼ τὴν αὐτῆς ὑπέρθωμαι δέησιν; Τίς δέ μοι καὶ τὴν αὔριον ἐγγυήσαιτο ζῆν, καὶ μὴ πρὸ ταύτης μᾶλλον ἀποθανόντι ἀναπολόγητά μοι τὰ περὶ τῆς δεηθείσης εἶναι πρὸς τὸν Θεόν; Ταῦτα εἰπὼν, οὐδαμῶς ἀπέστη τοῦ τόπου, ἕως τὴν προσήκουσαν τῷ δικαίῳ κρίσιν ἐπὶ τῇ γυναικὶ ἐξέθετο.

affectam, et se ejus indigere auxilio. Cum ii autem, qui erant ejus viæ comites, consulerent ut dum rediret, viseret et consideraret, quæ ad eam pertinent; misericors ille non sustinuit, dicens: Sed quomodo Deus attendet meas preces, si ego differo ejus supplicationem? Quis autem fidejusserit, fore ut vivam usque in diem crastinum, et non, si ante eam moriar, futurum me apud Deum inexcusabilem propter ejus supplicationem? Hæc cum dixisset, minime recessit a loco, donec mulieri justum reddidisset judicium.

ΝΗ'. Οὕτως οὖν ὁ τῶν δεομένων εἰς ἄκρον ἐπιμελούμενος, περί τινος παιδὸς ἀκούσας ἀνδρὸς ἐλεήμονος, ὡς τοῦ πατρὸς αὐτῷ τελευτήσαντος, πολλὴ τοῦτον κατεῖχεν ἔνδεια διὰ τὸ τὸν αὐτοῦ πατέρα πενήτων μᾶλλον γενέσθαι πατέρα, καὶ πρὸς αὐτοὺς πᾶν ὅ τι B ἐκέκτητο, ἡδέως ἐκδαπανῆσαι, τοῦτον δὲ τῇ Θεοτόκῳ ἐπιτρέψαι μόνῃ Μαρίᾳ, ἧς καὶ τῷ ναῷ νύκτα καὶ μεθ' ἡμέραν προσήδρευε· μετακαλεῖταί τινα νομικὸν καὶ ὑποτίθησιν αὐτῷ κατὰ τὸ λανθάνον διαθήκην ἐν παλαιῷ χάρτῃ χαράξαι ἀνδρός τινος Θεοπέμπτου ὄνομα, Ἐμὲ, εἰρηκὼς, καὶ τὸν πατέρα τοῦ παιδὸς γνησίους τούτου ἀνεψιοὺς ἐμφαίνουσαν, ὑποδεῖξαι δὲ τῷ παιδὶ τὰ τῆς διαθήκης ἰσότυπα· ὥστε πεπληροφορημένον τὰ περὶ τῆς πρός με συγγενείας μηδὲν ὑποστέλλεσθαι, ἀλλὰ πρὸς τὴν ἐμὴν θαῤῥούντως ἀφικέσθαι ταπείνωσιν. Γέγονεν οὖν τὰ πάντα κατὰ τὸ αὐτῷ δόξαν, καὶ φοιτᾷ σὺν τῷ νέῳ πρὸς τὸν πατριάρχην ὁ νομικὸς, ἡ ἔγγραφος ἐμφανίζεται διαθήκη, ὁμολογεῖ τὴν συγγένειαν ὁ μέγας, κατασπάζεται τὸν νέον, ἅτε ἀνεψιοῦ γνησίου υἱὸν γνησιώτατον, δωρεῖται C τούτῳ χρήματα, κτήματα, περιουσίαν ἄλλην συχνὴν, συνάπτει καὶ γυναικὶ τῶν περιφανῶν κατὰ Ἀλεξάνδρειαν· καὶ ἀποκαθίστησι δι' ὀλίγου ἐξ ἀφανῶν γνώριμον, ἐξ ἀδόξων ἔνδοξον, εὔπορον ἐξ ἀπόρων, ἠποδεῖξαι σπουδάσας ἀληθέστατον εἶναι τὸ θεσπέσιον ἐκεῖνο ῥῆμα, μὴ ἰδεῖν, λέγον, δίκαιον ἐγκαταλελειμμένον, μηδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους.

LVIII. Hic ergo, qui summam curam gerebat indigentium, cum audivisset de filio viri misericordis, quod cum pater ejus decessisset, is magna laboraret inopia, propterea quod pater ejus quidquid habebat, lubenter consumpsisset in pauperes eum autem soli Dei parenti commendasset Mariæ, cujus templo assidebat noctu et interdiu; accersit quemdam jurisperitum, et clanculum jubet, ut in veteri charta conscribat testamentum cujusdam viri, nomine Theopempti, dicens id ostendere, Me et patrem hujus pueri esse veros et germanos consobrinos: et ostendat puero exemplum testamenti, ut certior factus de ea, quæ illi mecum intercedit, cognatione, nihil formidet, sed audacter ad meam veniat humilitatem. Facta sunt autem omnia, sicut ei visum fuerat, et cum adolescente venit ad patriarcham jurisperitus. Scriptum ostenditur testamentum. Confitetur magnus ille cognationem, amplectitur adolescentem tanquam germani consobrini filium germanissimum, dat ei pecunias, possessiones, alias multas facultates, conjungit eum matrimonio cuidam illustri feminæ Alexandrinæ, et brevi eum reddit ex obscuro nobilem, ex abjecto insignem, ex paupere divitem: studens ostendere esse verissimum divinum illud verbum, quod dicit se non vidisse justum derelictum, neque semen ejus quærens panem.

CAPUT X.

Historia S. Vitalis monachi.

ΝΘ'. Ἕτερος δέ τις τῶν γερόντων, ἀνὴρ μοναχὸς D καὶ βίου ἄκρου ἐπειλημμένος, Βιτάλιος τοὔνομα, διάπειραν τοῦ μεγάλου ποιούμενος, εἰ πρὸς τοῖς ἄλλοις οἷς ἔχει καλοῖς οὐδὲ εὐκολός ἐστι κατακρῖναι, τῇ τοῦ μοναχοῦ Σερίδωνος ἐφησυχάζων μονῇ, καταλαμβάνει τὴν Ἀλεξάνδρειαν. Ἔνθα δὴ γεγονὼς πολιτείαν μέτεισι, πρὸς μὲν ἀνθρώπους καὶ λίαν εὐδιάβλητον, καὶ σκάνδαλα τοῖς πολλοῖς πλεῖστα ἐμποιεῖν δυναμένην, πρὸς Θεὸν δὲ καὶ σφόδρα κεχαρισμένην. Εἰσελθὼν γὰρ τὴν πόλιν ὁ γέρων, ἑξηκοστὸν ἤδη ἔτος ὑπερβεβηκὼς, ἔργον [ἦν] ἔχων ἐπιμελὲς τὰς ἐν τοῖς χαμαιτυπείοις πάσας ἀπογράφεσθαι πόρνας. Ἄρχεται δὲ καὶ μισθοῦ δουλεύειν ὁμολογήσας δώδεκα τῆς ἡμέρας ὀβολοὺς λαμβάνειν· ὧν τοῦ μὲν ἑνὸς θέρμους ὠνούμενος, τούτους μετὰ δυσμὰς ἐσιτεῖτο, τοὺς λοι-

LIX. Alius autem quidam senex monachus, qui vitam agebat perfectam, nomine Vitalis, volens magni Joannis facere periculum, num præter alia, quæ habebat bona, ne esset quidem facilis ad condemnandum, cum quietem et silentium ageret in monasterio magni Seridonis, venit Alexandriam. Quo cum venisset, exercet vitæ genus, quod apud homines quidem est valde probrosum et obnoxium vituperationi, et quod multis afferre potest offensionem; Deo autem erat valde gratum. Ingressus enim civitatem senex, jam sexaginta annos natus et amplius, suum in id conferebat studium, ut describeret omnes meretrices, quæ erant in prostibulis. Porro autem incipit etiam servire mercede, pacto initio, se quotidie duodecim obolos accepturum, quorum uno lu-

8 Psal. xxxvi, 25.

pinos quidem emens, eos comedebat post occasum A solis; reliquos autem una nocte dabat, vadens ad unam ex meretricibus, dicens: Hæc accipe, et conserva te mihi hac nocte impollutam.

LX. Quod cum faceret, stabat tota nocte in angulo habitaculi illius mulieris, genu flectens, et linguam psalmis exercens assidue, et supplices manus pro ea ad Deum tendens. Mane autem exiens, eam adigebat jurejurando, se nemini id esse indicaturum. Unam itaque ex iis, quæ ausa fuerat contemptui habere jusjurandum et aperire arcana, facit senex precibus possideri a dæmone, adeo ut nulla deinceps ausa fuerit ejus vitam enuntiare. Ipse autem volens effugere gloriam ex hominibus, et animas educere a peccatis, quando erat apud aliquem mercenarius, accipiens quod datum fuerat, cum B esset abiturus, fingebat apud se dicere omnibus audientibus: Abeamus jam infelix senex. Scis enim, quod illa te exspectat: illam significans, ad quam erat diversurus. Ad eos autem, qui irridebant et eum probris ac maledictis impetebant, se excusans, tanquam pro mala, quæ fiebat revera, actione: Quid vero? annon ego quoque sum ex iis, qui carnem gestant, et cedunt ejus legibus? An solis prohibitum est monachis manere extra corporis voluptates? non sunt ipsi quoque participes naturalium affectionum, similiter atque alii? Deinde quibusdam consulentibus et dicentibus: Unam saltem tibi accipe, mutato vestitu, et ne sis tam multis offensioni, ut neque Deus per te blasphemetur, neque monachorum pretiosus habitus probro afficiatur, et C omnium judicium in tuum caput attrahatur; multis hæc ei dicentibus, ille se simulans irasci et ægre ferre, Sed non ego vos audiam, dicebat cum magno clamore. Quid mea refert, si vos, ut dicitis, offendimini? Discedite a me. Quid rei mecum est vobis? Ex vestro, inquit, consilio cum femina conjungar matrimonio, et me injiciam in curas innumerabiles, et de victu sollitudines? Cessate me ludificari et criminari. Non estis enim mei judices; res meæ sint mihi curæ. Est enim alius, qui est judicaturus orbem terræ, qui etiam reddet unicuique secundum opus suum.

πους δὲ κατὰ μίαν τῶν νυκτῶν εἰς μίαν τῶν πορνῶν πορευόμενος ἐδίδου, Λάβε ταυτί, λέγων, καὶ τήρησόν μοι τῇ νυκτὶ τῇδε σεαυτὴν ἀμόλυντον.

Ξ'. Καὶ οὕτω ποιῶν διετέλει παρ' ὅλην τὴν νύκτα πρὸς τῇ γωνίᾳ τοῦ καταγωγίου τῆς γυναικὸς ἐκείνης ἱστάμενος, γόνυ τε κλίνων, καὶ τὴν γλῶσσαν ἄπαυστον τοῖς ψαλμοῖς ἐπιτρέπων, καὶ χεῖρας ἱκεσίους αἴρων ὑπὲρ αὐτῆς πρὸς Θεόν· ἕωθεν δὲ ἐξιὼν ὅρκοις αὐτὴν κατελάμβανε μηδενὶ τοῦτο ποιῆσαι καταφανές. Μίαν τοίνυν αὐτῶν περιφρονῆσαι τοὺς ὅρκους τολμήσασαν καὶ δῆλα τὰ ἀπόῤῥητα θέσθαι, δαίμονι κάτοχον διὰ προσευχῆς ὁ γέρων ποιεῖ· ὡς μηκέτι τῶν ἄλλων μηδεμίαν τολμῆσαι ἔκφορα τοῦ λοιποῦ τὰ κατὰ τὸν αὐτοῦ βίον ποιῆσαι· αὐτὸς δὲ διαφεύγειν τὴν ἐξ ἀνθρώπων δόξαν βουλόμενος, καὶ ψυχὰς ἐξ ἁμαρτίας [ἐξάγειν], ἡνίκα παρὰ τῷ Θεῷ ἐμισθοφόρει, τὸ δοθὲν λαμβάνων, ὡς ἀφίεσθαι ἔμελλε, προσεποιεῖτο λέγειν πρὸς σεαυτὸν εἰς ἀκοὰς πάντων· Ἀπίωμεν ἄρτι, ταπεινὲ γέρων· οἶδας γὰρ ὅπως ἡ δεῖνα περιμένει σε· ἐκείνην δηλῶν πρὸς ἣν ἄρα καὶ κατάγεσθαι ἔμελλε. Πρὸς μέντοι τοὺς σκώπτοντας αὐτὸν καὶ ὀνείδεσι βάλλοντας ἀπολογούμενος ὡς περί τινος φαύλου πράξεως πρὸς ἀλήθειαν γινομένης. Τί δέ; ἔλεγε, μὴ γὰρ καὶ αὐτὸς οὐκ εἰμὶ τῶν σάρκα φορούντων καὶ τοῖς νόμοις αὐτῆς εἰκόντων; ἢ τοῖς μοναχοῖς ἀπείρηται μόνοις, τῶν τοῦ σώματος ἡδονῶν ἔξω μένειν; οὐ μετέχουσι καὶ αὐτοὶ τῶν φυσικῶν παθῶν τοῖς ἄλλοις ὁμοίως; Εἶτα συμβουλευόντων τινῶν καὶ, Λάβε γοῦν μίαν σεαυτῷ, λεγόντων, τὴν στολὴν ἀμείψας καὶ μὴ σκάνδαλον οὕτω τοῖς πολλοῖς ἔσο, τοῦ μήτε τὸν Θεὸν διὰ τοῦ βλασφημεῖσθαι, μήτε τὸ τῶν μοναχῶν τίμιον ἐξυβρίζεσθαι σχῆμα, καὶ τὸ κρῖμα πάντων κατὰ τῆς σεαυτοῦ φέρεσθαι κεφαλῆς· τοιαῦτα πολλῶν λεγόντων αὐτῷ, ἐκεῖνος τὸν ὀργιζόμενον καὶ ἀποδυσπετοῦντα ὑποκρινόμενος, Ἀλλ' οὐκ ἔγωγε ἀκούσομαι ὑμῶν, ἔλεγε μετὰ πολλῆς τῆς κραυγῆς. Τί δὲ καὶ ἐμοί, ἐὰν ὑμεῖς, ὥς φατε, σκανδαλίζησθε; ἀπόστητε ἀπ' ἐμοῦ· τί κοινὸν ἐμοί τε καὶ ὑμῖν; Ἐξ ὑμετέρας, φησί, συμβουλῆς γυναικὶ ἐγὼ συναφθήσομαι, καὶ βιωτικαῖς περιστάσεσιν ἐμαυτὸν ἐμβαλῶ; Παύσασθε δὲ καὶ τοῦ τὰ ἐμὰ σκώπτειν καὶ διαβάλλειν· μὴ γὰρ ὑμεῖς κατέστητε τῶν ἐμῶν δικασταί; Περὶ τῶν οἰκείων ὑμῶν μελέτω· ἕτερος γάρ ἐστιν ὁ κρῖναι μέλλων τὴν οἰκουμένην, ὃς καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ.

LXI. Multi ergo hæc verba audientes cum acerbitate D et vociferatione, alii quidem cessabant reprehendere, ejus impudentiam timentes et audaciam; alii vero conabantur eum apud sanctum criminari. Sed ille, ut qui a Deo didicerat, quali virtute esset senex, minime attendebat ea, quæ dicebantur ab ipsis, ut qui ante oculos semper descriptum haberet illud excisi monachi. Suadebat autem omnino vitare accusationes quæ fiebant adversus monachos, præclarum illud verbum imperatoris Constantini, inter imperatores celeberrimi, in ore habens, qui in Nicæna synodo libellos accusationum datos adversus aliquos episcopos non admisit, dicens: Si in episcopum aut monachum fornicantem incidissem, sustulissem

ΞΑ'. Τούτων οὖν πολλοὶ τῶν σὺν αὐστηρίᾳ καὶ βοῇ λόγων ἀκούοντες, οἱ μὲν ἐπαύοντο τῶν ἐλέγχων, ὑποστελλόμενοι τὴν δῆθεν ἀναίδειαν αὐτοῦ καὶ τὸ θράσος· οἱ δὲ διαβάλλειν πρὸς τὸν ὅσιον ἐπεχείρουν. Ἀλλ' ἐκεῖνος οἷος ἦν τὴν ἀρετὴν ὁ γέρων ὑπὸ Θεοῦ διδασκόμενος, ἥκιστα προσεῖχε τοῖς παρ' αὐτῶν λεγομένοις, ἀνάγραπτον τὸ τοῦ ἀποκόπου μοναχοῦ καὶ πρὸ ὀμμάτων ἀεὶ τιθέμενος. Παρῄνει δὲ καὶ καθάπαξ ἐκκλίνειν τῆς κατὰ τῶν μοναχῶν κατηγορίας, τὸ ἀξιοζήλωτον ἐκεῖνο ῥῆμα Κωνσταντίνου τοῦ ἐν βασιλεῦσιν ἀοιδίμου ἐπιφθεγγόμενος· ὃς ἐν τῇ κατὰ Νίκαιαν συνόδῳ λιβέλλους κατηγοριῶν κατά τινων ἐπισκόπων ἐπιδιδομένους οὐ παρεδέξατο, εἰρηκώς, ὅτι Κἂν πορνεύοντι ἐπισκόπῳ ἢ μοναχῷ περι-

ἔτυχον, τὴν χλαμύδα τὴν ἐμὴν ἀνασχὼν ἐπέθηκα ἂν αὐτῷ, ὥστε μὴ ὑπό τινος ὀφθαλμοῦ ὀφθῆναι· εὖ εἰδὼς ἐκεῖνος ὅτι τὰ τῶν τοιούτων ἀνδρῶν ἐλαττώματα δῆλα τοῖς πολλοῖς καθιστάμενα, οὐ μόνον τὰ αἰδοῦς ἄξια καὶ τιμῆς καταφρονεῖσθαι παρασκευάζουσιν, ἀλλὰ καὶ πολλὴ παράκλησις εἰς κακίαν καὶ ἀφορμὴ γίνονται.

ΞΒ'. Ἀλλ' οὕτω μὲν ὁ μέγας τὰς κατὰ τοῦ μεγάλου γέροντος διαβολὰς ἀπωθεῖτο. Ἐκεῖνος δὲ τῆς ἐργασίας οὐκ ἔληγε ταύτης· ἀλλὰ κἂν τοῖς πολλοῖς αἰσχύνην ὤφειλε καὶ ὄνειδος, αὐτὸς πρὸς ἓν ἑώρα μόνον, τὴν τῶν ψυχῶν σωτηρίαν· τοῖς δὲ τὴν γλῶσσαν κατ' αὐτοῦ κινοῦσι, καὶ συγγνώμην μᾶλλον τῆς ἁμαρτίας προσηύχετο. Ὅτι δὲ τοῦτο οὐκ ἄκαρπον καὶ ἀνόνητον αὐτῷ γέγονεν, ἀλλὰ πολλοῖς αἴτιον σωτηρίας κατέστη, δῆλον ἐντεῦθεν. Ὁρῶσαι γὰρ αἱ γυναῖκες τήν τε παννύχιον αὐτοῦ στάσιν καὶ τὴν τὰ θεῖα διὰ παντὸς ᾄδουσαν γλῶσσαν, αὐτήν τε τὴν ὑπὲρ τῆς μεταβολῆς αὐτῶν καὶ τοῦ σωθήσεσθαι διηνεκῆ προσευχήν, τῶν φαύλων ἀφιστάμεναι πράξεων, σωφροσύνης ἐπεμελοῦντο. Καὶ αἱ μὲν νομίμοις συνήπτοντο, αἱ δὲ οὕτως ἔμενον ἀποστᾶσαι τῶν πονηρῶν πράξεων, αἱ δὲ καὶ τέλεον, τῷ κόσμῳ ἀποταξάμεναι, τὸν τῶν μοναχῶν εἵλοντο βίον. Οὐδεὶς μέντοι διέγνω τὴν ἐν τῷ ἀφανεῖ κατὰ Θεὸν αὐτοῦ πολιτείαν ἄχρι καὶ τῷ βίῳ περιὼν ἦν, καὶ ὅπως τῷ φαυλότητα ὑποκρίνεσθαι τὰ φαῦλα γύναια μετετίθει τοῦ τρόπου.

ΞΓ'. Διὰ δὴ τοῦτο καὶ ἐξιόντι ποτὲ τοῦ καταγωγίου τῆς τῶν πορνῶν πρωτευούσης, συναντᾷ τις τῶν ἀκολάστων, ἐπ' αὐτὸ τοῦτο εἰσιὼν ἐκεῖνος, ὥστε βδελυρίαν ἑαυτῷ πράξασθαι, καὶ παίει τὸν ὅσιον κατὰ κόρρης ὅλῃ χειρί, Ἕως τίνος, ἐπειπών, Χριστεμπαῖκτα, τῶν φαύλων οὐκ ἀποστήσῃ πράξεων; Πρὸς ταῦτα τὸν θαυμάσιον ἐκεῖνον ἄνθρωπον, Ταπεινέ, φάναι, μέλλει σοι ἐπικροτηθῆναι ῥάπισμα, ὡς μικροῦ πᾶσαν τὴν Ἀλεξάνδρειαν πρὸς τὰς σὰς ἐπισυναχθῆναι κραυγάς. Χρόνος τὸ μεταξὺ ἱκανός, καὶ ὁ θεῖος ἐκεῖνος ἀνὴρ πρὸς Κύριον ἐκδημεῖ, ἔν τινι σμικροτάτῳ κελλίῳ ὤν, ὃ κατὰ τὴν λεγομένην Ἡλιούπολιν κτησάμενος ἦν, καθ' ἣν μικρόν τι εὐκτήριον ἐκ γειτόνων ἔχων, πολλὰς ἐν αὐτῷ συνάξεις ἐποίει. Ἔνθα δὴ καὶ ἠθροίζετο πολύ τι τῶν ἀσέμνων γυναικῶν πλῆθος, ἱκανῆς παρ' αὐτοῦ τῆς θεραπείας ἀξιούμεναι, ὥστε καὶ τοὺς τὸν ἐμπαθῆ διώκοντας βίον, χολᾷν αὐτῷ καὶ ὀργίζεσθαι, πονηροῦ πράγματος δῆθεν ἐκείνῳ διαφθονουμένους, καί, Ὦ πῶς ἐξεγένετο, λέγοντας, τῷ ἀπατεῶνι τοσαύτας ἑλκῦσαι πρὸς ἑαυτόν;

ΞΔ'. Κοιμηθέντος οὖν, ὥσπερ εἴρηται, καὶ μηδενὸς αἰσθομένου, ἐφίσταταί τις παραχρῆμα δύσμορφος Αἰθίοψ τῷ ῥαπίσαντι αὐτὸν ἀκολάστῳ, καὶ παίει βαρύ τι καὶ ἔντονον αὐτῷ κατὰ τῶν παρειῶν ῥάπισμα, οὕτως ἰσχυρῶς, ὡς τὸν κρότον ἄχρι καὶ μηκίστου τοῦ διαστήματος ἀκουστὸν γενέσθαι, ἐπειπεῖν τε αὐτῷ· Δέξαι τουτὶ τὸ ῥάπισμα, ὅπερ ὁ μοναχός σοι Βιτάλιος πέπομφεν, ὡς προεῖπεν. Αὐτίκα

meam chlamydem, et ei imposuissem, ut a nullo oculo videretur : ut qui recte sciret, quod delicta talium virorum, si multis fiant manifesta, non solum efficiunt ut contemnantur quæ sunt honore digna et reverentia ; sed etiam magnum præbent incitamentum et occasionem ad vitium.

LXII Sed sic quidem magnus ille repellebat calumnias, quæ intentabantur adversus magnum senem. Ille autem non cessabat ab hac operatione : sed etiamsi probro et dedecore a multis afficeretur, ipse unum solum spectabat, nempe salutem animarum. Iis vero, qui adversus eum linguam movebant, peccati sui precabatur veniam. Quod autem hoc studium non fuit ei infrugiferum et inutile, sed multis attulit salutem, hinc est manifestum. Videntes enim mulieres ejus per noctem stationem, et linguam divina perpetuo canentem, et pro earum mutatione, et ut servarentur, assiduam precationem, desistentes a malis actionibus, gerebant curam temperantiæ : et aliæ quidem legitimo conjuugebantur matrimonio ; aliæ autem sic manebant, desistentes a flagitiosis actionibus; aliæ vero mundo perfecte renuntiantes, vitam eligebant monasticam. Nemo autem cognovit occultam ejus ex Deo vitam, quandiu fuit in vita superstes; nec quemadmodum simulando nequitiam, a malis moribus traduxit malas mulieres.

LXIII. Quamobrem cum aliquando egrederetur ex habitaculo ejus, quæ primum locum tenebat inter meretrices, ei occurrit quidam libidinosus, propter hoc ipsum ingrediens, ut data pecunia, expleret libidinem : et sancto impingit colaphum, Quousque, dicens, o Christi illusor, non desistes a malis actionibus ? Ad hæc homo ille admirabilis, Miser, inquit, et tibi incutiendus colaphus, ut tota fere Alexandria ad tuos clamores congregetur. Non multum intercessit temporis, et vir ille divinus migravit ad Dominum, cum esset in parva quadam cella, quam construxerat in loco, quæ dicitur Porta (17) solis, in qua quoddam parvum habens oratorium, faciebat in eo multas synaxes. Quo in loco congregabatur etiam multitudo impudicarum mulierum, quæ consequebantur ab eo curationem, adeo ut qui vitam agebant libidinosam et voluptariam, ei irascerentur et succenserent, ut cui propter rem malam scilicet inviderent, dicentes: Quomodo fieri potuit, ut hic impostor tam multas ad se attraxerit ?

LXIV. Cum dormiisset ergo, sicut dictum est, et nemo sensisset, accedit repente quidam deformis Æthiops ad virum libidinosum, qui ei colaphum impegerat, et ejus genis incutit gravem et validum colaphum, adeo ut ejus sonus ad maximum usque spatium fuerit exauditus. Qui deinde ei dixit : Accipe hunc colaphum, quem ad te misit monachus Vitalis, sicut prædixit. Protinus ergo miser voluta-

(17) Utrumque Ms. Græcum Ἡλιόπολις, ast Hervetus legit Ἡλιόπυλος, cui consentit altera vita per Leontium.

batur correptus a dæmone, ut ad ipsum fuit congregata tota fere Alexandria, sicut ille vir justus prædixerat. Cum itaque vix tandem post multum tempus ad se redisset, rumpit vestes, et surgens cursu contendit ad sancti domunculam, Miserere mei, clamans, serve Dei Vitalis, qui in Deum et in te multum peccavi. Omnibus ergo videntibus, qui aderant, postquam domui senis appropinquavit, ipsum jaciens et discerpens dæmonium dimisit.

LXV. Cum ergo hæc vidissent, ingressi domunculam, invenerunt sanctum, qui genu flexerat et Deo per precationem animam commendatam emiserat. Deinde humi aspicientes, vident scripturam quæ sic habebat : *Viri Alexandrini, nolite aliquid judicare ante tempus, donec venerit Dominus.* Confitebatur itaque omnibus præsentibus is, qui liberatus fuerat a dæmone, mala quæ sancto fecerat, et quæ audivit prophetice ab eo dicta, quæ etiam passus est. Fuerunt ergo hæc statim renuntiata patriarchæ, et ipse cum simul venisset cum toto clero, ubi legit eam, quæ erat humi, scripturam, paulo post dixit : Si fuissem inductus verbis eorum, qui calumniabantur, fuisset mihi incussus ille colaphus.

LXVI. Tunc etiam congregatur universum agmen meretricum ad justa facienda venerando corpori. Quæ quidem eum efferebant cum aromatibus et lampadibus, valde deflentes privationem ejus doctrinæ, a qua ad eas magna manabat utilitas, et tunc exponebant ejus vitam, iis quæ dicebantur fidem omnibus modis facientes, quod non ob aliquod malum ad eas ingrediebatur, et nec visus sit ulli earum ne manum quidem admoxisse, aut ad latus omnino accubuisse. Ad eos autem, qui illarum reprehendebant silentium, et dicebant eas fuisse multis causam offensionis, illius præceptum adducebant ad sui excusationem, et quæ a dæmone inflicta fuerat, plagam, ad disciplinam ei quæ non obedierat. Ipse autem, qui colaphum dederat et contra acceperat, nunquam intermisit, cum dæmon eum reliquisset, beati sepulchro assidere, quod effectum est thesaurus multorum miraculorum, et illius commemorationem de more cum psalmis peragere. Deinde paucis post annis detondetur in monasterio monachi Saridonis : et cum illi fuisset tradita B. Vitalis cella propter magnam in ipsum fidem, illic vitam quietam in silentio transegit perpetuo, donec pervenit ad finem vitæ præsentis. Præterea autem patriarcha quoque magnas Deo agebat gratias, quod non permisisset, ut aliquid diceret aut cogitaret indignum beata illa et gloriosa anima. Alioqui autem multi quoque ex iis, qui habitabant Alexandriam, meliores evaserunt, qui propensi erant ad condemnandum, ei hanc malam didicerant consuetudinem. Sed talis quidem erat vir ille sanctus; et res ejus hoc modo se habebant.

A γοῦν ὁ ἄθλιος ἐκυλίετο δαιμονῶν· καὶ συνηθροίσθησαν ἐπ' αὐτῷ μικροῦ πᾶσα ἡ Ἀλεξάνδρεια, κατὰ τὴν τοῦ δικαίου πρόῤῥησιν. Μόλις γοῦν ποτε μετὰ πολλὴν ὕστερον τὴν ὥραν ἑαυτοῦ γενόμενος ῥήγνυσι τὰ ἱμάτια, καὶ διαναστὰς δρόμῳ πρὸς τὸν τοῦ ὁσίου οἰκίσκον ἐχώρει, Ἐλέησόν με, κράζων, τοῦ Θεοῦ δοῦλε Βιτάλιε, μεγάλα εἰς Θεὸν καὶ σὲ ἁμαρτήσαντα. Πάντων οὖν ὁρώντων ὅσοι παρόντες ἔτυχον, ὡς τῷ οἰκίσκῳ τοῦ γέροντος ἤγγισε, ῥίψαν αὐτὸν τὸ δαιμόνιον καὶ σπαράξαν ἀφῆκεν.

ΞΕ'. Ἐπεὶ οὖν ταῦτα εἶδον, εἴσω τοῦ οἰκίσκου γενόμενοι, εὗρον τὸν ὅσιον ἐπὶ γόνυ κλιθέντα, καὶ Θεῷ διὰ προσευχῆς τὴν ψυχὴν παραθέμενον. Εἶτα τῷ ἐδάφει προσκύψαντες, γραφὴν ὁρῶσιν ἔχουσαν οὕτως· Ἄνδρες Ἀλεξανδρεῖς, μὴ πρὸ καιροῦ τι B κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος. Ἐξωμολογεῖτο τοιγαροῦν ἐπὶ πάντων ὁ τοῦ δαίμονος ἀνεθεὶς ἅ τε εἴργασται πονηρὰ κατὰ τοῦ δικαίου, καὶ ἅπερ ἤκουσε προφητικῶς παρ' αὐτοῦ ῥηθέντα, ἃ δὴ καὶ πέπονθεν. Ἀνηγγέλη οὖν ταῦτα παραχρῆμα τῷ πατριάρχῃ, καὶ αὐτὸς ἅμα παντὶ τῷ κλήρῳ παραγενόμενος, ὡς ἀνέγνω τὴν ἐπὶ τοῦ ἐδάφους γραφὴν, παρ' ὀλίγον εἶπεν· Εἰ τοῖς λόγοις τῶν ἐνδιαβαλλόντων ὑπαχθεὶς ἦν, ἐμοὶ ἂν ἐκεῖνο ἐπεκροτήθη τὸ ῥάπισμα.

ΞϚ'. Τότε δὴ συναθροίζονται καὶ τὸ τῶν πορνῶν ἅπαν σμῆνος πρὸς τὴν τοῦ τιμίου σώματος κηδείαν· προεκομίζοντό τε αὐτὸ ἀρώμασι καὶ λαμπάσι, τὴν στέρησιν ἐκθύμως ἀποκλαιόμεναι τῆς πολὺ τὸ ὠφέλιμον ῥεούσης αὐτοῦ διδαχῆς, ἐξηγοῦντό τε τὸν αὐτοῦ βίον, πᾶσαν πίστιν τοῖς λεγομένοις ἐπάγουσαι, ὡς οὐ C κατά τι πονηρὸν τὴν πρὸς αὐτὰς εἴσοδον ποιεῖτο, οὔτε μὴν ὀφθείη ποτὲ ὑπὸ μιᾶς αὐτῶν οὐδὲ χεῖρα χεῖρα προσβαλὼν, ἢ ἐπὶ πλευρὰν ὅλως κατακλιθείς. Πρὸς μέντοι τοὺς ἐγκαλοῦντας ταύταις τὴν σιωπὴν, καὶ ὅτι πολλοῖς ἐντεῦθεν σκανδάλου γεγόνασιν αἴτιαι, τὴν ἐκείνου παραγγελίαν εἰς ἀπολογίαν προέτειναν, καὶ τὴν ὑπὸ δαίμονος ἐπισκήψασιν εἰς παιδείαν τῇ παρακουσάσῃ μάστιγα. Αὐτὸς δὲ ὁ τὸ ῥάπισμα δεδωκὼς καὶ ἀντιλαβὼν οὐ διέλειπέ ποτε, τοῦ δαίμονος αὐτὸν ἀνέντος, τῷ τάφῳ προσεδρεύων τοῦ μακαρίου, θησαυρῷ πολλῶν χρημάτων ἀποδειχθέντι, τὴν μνήμην τε καὶ τὴν ἐκείνου κατὰ τὸ ἔθος διὰ ψαλμῳδίας ποιούμενος. Εἶτα καὶ χρόνοις ὀλίγοις ὕστερον τῇ μονῇ τοῦ μοναχοῦ Σερίδωνος ἀποκείρεται, [τὸ] καὶ τοῦ θείου Βιταλίου κελλίον κατὰ πολλὴν τὴν πρὸς αὐτὸν D πίστιν ἐγχειρισθεὶς διετέλεσεν οὕτω τὸν ἥσυχον ἐκεῖσε μετιὼν βίον, ἄχρι καὶ τοῦ παρόντος βίου τὸ τέλος ἔσχηκεν. Ἔτι γε μὴν καὶ ὁ πατριάρχης πολλὰς ὡμολόγει τῷ Θεῷ χάριτας παρ' ὃ μὴ συγχωρηθείη ἀνάξιόν τι φθέγξασθαι ἢ ἐννοῆσαι τῆς μακαρίας ἐκείνης καὶ ἀοιδίμου ψυχῆς· ἄλλως τε δὲ καὶ πολλοὶ τῶν τὴν Ἀλεξάνδρειαν κατοικούντων, τὰ μεγάλα ἐβελτιώθησαν, προχείρως περὶ τὸ κατακρίνειν ἔχοντες, καὶ τὴν πονηρὰν ταύτην ἀπομαθόντες συνήθειαν. Ἀλλὰ ταῦτα μὲν τοῦ ὁσίου ἀνδρὸς ἐκείνου τοιαῦτα καὶ οὕτως ἔχοντα.

CAPUT XI.

Temeraria judicia vitânda.

ΞΖ'. Ἀρκέσει δὲ καὶ τὸ ῥηθήσεσθαι μέλλον εἰς A μαρτυρίαν, ὅπως βραδὺς εἰς κατάκρισιν ἐτύγχανεν ὁ θαυμαστὸς πατριάρχης. Νέος τις ἀκολάστοις ὁρμαῖς χρώμενος, ἀνὰ τὴν πόλιν περιιὼν Ἀλεξάνδρειαν, παρθένον τινὰ τῶν τὸν μοναχικὸν βίον ἀσπασαμένων, τῆς εὐθείας ἀποπλανήσας, εἶτα ἐντρύφημα τῆς αὐτοῦ θέμενος ἀσελγείας, μετ' ὀλίγον εἰς τὸ Βυζάντιον σὺν αὐτῇ ἀπέδρα. Ὅπερ μαθόντι τῷ θεσπεσίῳ λύπης πολλῆς κατέστη αἴτιον. Καὶ τοῦτο δὴ τὸ τοῦ λόγου, πάντα λίθον ἐκίνει, σπεύδων αὐτοὺς ὅτι τάχος ἀναλαβεῖν του πτώματος. Χρόνου δὲ τὸ μεταξὺ διαγενομένου, διήγησιν πρός τινας τῶν τοῦ κλήρου ψυχῆς ὠφέλειαν ἐμποιεῖν δυναμένην, τοῦ μακαρίου διηγουμένου, καὶ ἡ τοῦ νέου ἐκείνου καὶ νεωτερικὰ δράσαντος ἔτυχεν οὕτως παρενεχθῆναι· ὃν εὐθὺς οἱ τότε παρόντες κατέκρινόν τε καὶ ἀπεκήρυττον ὡς ἐκ μιᾶς B ἅπαντες γλώττης, οὐ δύο μόνων ψυχῶν ἀπώλειαν τὸ φαινόμενον ὀφλεῖν λέγοντες, ἀλλὰ καὶ πολλῶν ἑτέρων, οἷς εἰς πονηρὸν κατέστη παράδειγμα. Τούτοις τοιγαροῦν τῆς προχείρου ταύτης ἐπιμεμφόμενος κατακρίσεως, Μὴ οὕτως, εἶπεν, ὦ τέκνα, μὴ εὔκολοί ἐστε τὴν γλῶτταν ἐν τῷ κατειπεῖν τῷ πλησίον, ἐπεὶ καὶ ὑμεῖς πάντως δυσὶ κακοῖς μέλλετε πίπτειν· ἑνὶ μὲν, τοῦ μὴ πρὸ καιροῦ τι κρίνειν διακελευομένου τὴν ἐντολὴν παραβαίνοντες· ἑτέρῳ δὲ, ὅτι τὸ μέχρι τοῦ νῦν γενόμενον ἀγνοοῦντες, κριτὰς ἑαυτοὺς ἐκείνου κατὰ πολλὴν καθίζετε τὴν εὐχέρειαν. Ἄδηλον γὰρ πάντως εἴτε εἰς δεῦρο τῷ ἁμαρτήματι παραμένουσι, ἢ μετεβάλοντο πρὸς διόρθωσιν. Ἐγὼ γάρ ποτε, ἔφη, βίον τινὸς τῶν μεγάλων Πατέρων ἀναγινώσκων, τοιούτῳ τινὶ ὠφελείας μεστῷ διηγήματι περιέτυχον. C Εἶχε δὲ οὕτως.

LXVII. Sufficiet autem id quoque quod est dicendum, ad testandum quam esset tardus vir ille admirabilis ad condemnationem. Quidam juvenis impudicuscivitatem obiens Alexandriam,cum virginem quamdam ex iis, quæ vitam amplexæ erant monasticam, a via recta abduxisset,et deinde eam suæ libidinis et intemperantiæ fecisset.delicias, paulo post cum ea aufugit Byzantium. Quod quidem cum rescivisset vir divinus,magno dolore est affectus,et,ut dicitur,omnem movebat lapidem,studens eos a lapsu revocare. Aliquauto autem tempore interjecto, accidit ut cum apud quosdam ex clero narraret beatus quamdam narrationem, quæ poterat eorum animæ afferre utilitatem,illius quoque juvenis, qui hæc recentia fecerat, fieret mentio; quem qui tunc aderant, protinus condemnabant, tanquam uno ore omnes dicentes, eum non solum duas, ut apparebat, perdidisse animas, sed et tam multas alias, quibus hoc malum erat exemplar propositum. Eorum itaque magnus ille nimis facilem reprehendens condemnationem. Nolite, inquit, o filii, nolite esse lingua tam prompti ad detrahendum proximo. Nam sic quidem futurum est,ut vos omnino in duo mala incidatis,unum quidem, transgredientes præceptum illius, qui jubet non judicare ante tempus ; alterum autem, quod ignorantes quod hucusque factum est, vos magna facilitate constituitis judices. Est enim omnino incertum,an hucusque permaneant in peccato,an mutati sint ad correctionem. Ego enim, inquit, aliquando legens vitam cujusdam magni ex Patribus, incidi in talem narrationem plenam utilitate. Sic autem habebat :

ΞΗ'. Εἰς Τύρον τὴν πόλιν μοναχοὶ δύο διακονίαν δήπου πληροῦντες ἀφίκοντο· θατέρῳ δὲ τούτων εἴς τόπον παριόντι τινὰ μία τῶν πορνῶν, ἧς τοὔνομα Πορφυρία, εἵπετο κράζουσα· Πάτερ τίμιε, σῶσόν με, οἷά ποτε τὴν πόρνην Ἰησοῦς ὁ Χριστός. Ὁ δὲ μηδὲν τῶν ἀνθρωπίνων ὑπολογισάμενος, λαβόμενος αὐτῆς τῆς χειρὸς ὑπὸ πολλῶν ὁρώντων τοῖς ὀφθαλμοῖς διὰ μέσης τῆς πόλεως ἔξεισι. Φήμη τοιγαροῦν πανταχοῦ διέῤῥευσεν, ὡς εἴη ὁ μοναχὸς ἐκεῖνος εἰς γυναῖκα τὴν Πορφυρίαν λαβών. Διιοῦσα δὲ ἡ πόρνη σὺν αὐτῷ πόλεις τε καὶ κώμας, βρέφει περιτυγχάνει χαμαὶ κειμένῳ· ὅπερ ἐπὶ τῷ ἀναθρέψαι φιλανθρώπως ἀνελομένη βαστάζουσα ἦν. Χρόνῳ δέ τινι ὕστερον Τύριοι D καταλαβόντες ἔνθα οὗτοι διέτριβον, καὶ τὸ παιδίον ὑπό γε τῆς πόρνης ἰδόντες ἠγκαλισμένον, ὥσπερ ἐγγελῶντες, καὶ τοῦ γενναίου τοῦδε ἀνδρὸς κατειρωνευόμενοι, Ἀληθῶς, ἔλεγον πρὸς αὐτὴν, οὐχ ἥμαρτες τοῦ σκοποῦ· καλὸν γάρ σοι τὸ ἐκ τοῦ μοναχοῦ τέκνον ἀποκεκύηται. Οἳ καὶ εἰς Τύρον ἐπανελθόντες, λόγον ἁπανταχοῦ διέσπειραν, ἐκ τοῦ μοναχοῦ ταύτην παιδίον ἀποτεκεῖν, σαφεῖς ἐκείνου διασῷζον τοὺς χαρακτῆρας. Οὕτω σχεδὸν οἱ ἄνθρωποι ἕτοιμοι πιστεῦσαι

LXVIII. In Tyrum civitatem venerant duo monachi, aliquo fungentes ministerio. Alterum vero eorum,cum venisset in quemdam locum, quædam meretrix. cui nomen erat Porphyria, sequebatur clamans: Venerande Pater,serva me,sicut olim Jesus Christus meretricem. Ille aute humanarum rerum nihil reputans,ea manu accepta, multis videntibus,egreditur per mediam civitatem.Manavit itaque fama in omnes partes, quod ille monachus in uxorem accepisset Porphyriam.Cum ipso obiens meretrix urbes et vicos,incidit in infantem humi jacentem. Quem quidem cum benigne sustulisset, ut aleret secum eum portabat. Cum aliquo autem tempore venisset Tyrii in eum locum, ubi versabantur, et meretricem vidissent in ultis tenere infantem, veluti irridentes, et egregium hunc virum ludificantes : Re vera, ei dicebant, a scopo non aberrasti. Pulcher enim tibi filius natus est ex monacho.Qui etiam Tyrum reversi, eam rem ubique disseminarunt, quod ea ex monacho peperisset filium, qui illius expressam conservavit effigiem. Ita fere sunt homines prompti ad creden-

dum suspicionibus et maxime qui sunt mali et flagitiosi, et a se habent acceptam credendi occasionem. Statim enim tanquam e propinquo seipsos testes accipientes, alios accusant facile;simul quidem se volentes explere deliciis talium cogitationum et verborum, et cupientes esse alios similiter improbos; et sic studentes vitare plagas, quæ inferuntur eis a conscientia. Monachus autem cum totondisset Porphyriam, et ei monasticum imposuisset habitum, vocat eam Pelagiam, et concedit ei, ut in monasterio virginum agat silentium.

A ταῖς ὑπονοίαις, καὶ μάλιστα φαῦλοι καὶ μοχθηροὶ ὄντες, καὶ οἴκοθεν ἔχειν τὰς τοῦ πιστεύειν ἀφορμὰς δυνάμενοι. Εὐθὺς γὰρ, ὥσπερ ἑαυτοὺς ἐκ τοῦ ἐγγυτάτου λαμβάνοντες μάρτυρας, κατηγοροῦσι τῶν ἄλλων ῥᾳδίως, ἅμα μὲν τοῖς τοιούτοις νοήμασί τε καὶ ῥήμασιν ἐντρυφᾷν βουλόμενοι, ἅμα δὲ καὶ ἑτέρους εἰς μοχθηρίαν ὁμοίους ἔχειν ἐπιθυμοῦντες, καὶ οὕτω φεύγειν σπουδάζοντες τὰς ἐκ τοῦ συνειδότος πληγάς. Ὁ μέντοι μοναχὸς ἀποκείρας τὴν Πορφυρίαν, καὶ τὸ τῶν μοναχῶν αὐτῇ σχῆμα περιθεὶς, Πελαγίαν μετονομάζει καὶ εἰς παρθενῶνα δίδωσιν ἡσυχάζειν.

LXIX. Cum vero præscivisset diem sui decessus, illa quoque accepta,redit Tyrum Eam autem puer quoque sequebatur, jam septem annos natus. Ad omnes vero pervenit fama eorum adventus, quod scilicet revertitur Porphyria cum monacho suo conjuge. Deinde cum agrotasset monachus, et ad mortem jam spectaret,plurimi ad eum accesserunt ex habitatoribus, ejus visitandi gratia. In quorum conspectu cum jussisset afferri thuribulum plenum candentibus carbonibus, accipit eos carbones, et infundit in sinum,et omnibus audientibus:Benedictus,inquit, Dominus, qui olim rubum servavit incombus: is mihi fuerit testis fidelis,quod quomodo meas vestes non attigit hæc quæ est in igne urendi vis, ita nec ego attigi mulierem toto tempore vitæ meæ. His auditis omnes obstupuerunt, Deo dantes gloriam, qui eos, qui ipsum in occulto colunt, scit aperte glorificare. Hæc cum fecissset et dixisset monachus,in manus Dei deponit animam. Propterea vobis omnibus suadeo,o filii spirituales, sicut etiam prius dixi, non esse promptos ad condemnationem.Contigit enim nonnunquam, ut ejus quidem, qui est fornicatus,aut aliquid aliud deliquit, peccatum aperte factum sciamus, in occulto autem factum ignoremus pœnitentiam.Oportet autem Dominicam quoque timere vocem, quæ dicit : « In quo judicio judicatis, judicabimini [9]. »

ΞΘ'. Ἐπεὶ δὲ προέγνω τὴν ἡμέραν τῆς τελευτῆς, παραλαβὼν κἀκείνην, ἐπάνεισι πρὸς τὴν Τύρον· ἦν δὲ καὶ τὸ παιδίον αὐτῇ συνεπόμενον, ἑπτὰ χρόνους σχε- B δὸν γεγονός. Διεδόθη δὲ αὐτῶν εἰς πάντας ἡ ἄφιξις, ὡς ἡ Πορφυρία μετά γε τοῦ μοναχοῦ ἀνδρὸς αὐτῆς ἐπανήκει· εἶθ' οὕτως νοσήσαντι καὶ πρὸς θάνατον ἀφορῶντι τῷ μοναχῷ, πλεῖστοι τῶν οἰκητόρων ἐπισκέψεως χάριν αὐτῷ προσέβαλον. Ὧν ἐπ' ὄψεσι θυμιατήριον ἐνεχθῆναι κελεύσας ἀνθράκων πλῆρες πυρὸς, λαβὼν καταχέει τοῦ κόλπου τοὺς ἄνθρακας, καὶ εἰς ἀκοὰς πάντων, Εὐλογητὸς Κύριος, ἔφη, ὁ πάλαι τὴν βάτον τηρήσας ἄφλεκτον· οὗτός μοι εἴη μάρτυς πιστὸς, ὅτι ὥσπερ οὐχ ἥψατο τῶν ἐμῶν ἱματίων ἡ καυστικὴ ἤδη τοῦ πυρὸς δύναμις, οὕτως οὐδὲ ἐγὼ γυναικὸς ἡψάμην παρ' ὅλον τὸν τῆς ζωῆς χρόνον. Τοῦτο πάντες ἀκούσαντες κατεπλάγησαν, δόξαν τῷ Θεῷ διδόντες, ὅς γε τοὺς ἐν τῷ κρυπτῷ αὐτὸν θεραπεύοντας φανερῶς οἶδε δοξάζειν. Ταῦτα ποιήσας C τε καὶ λέξας ὁ μοναχὸς, εἰς Θεοῦ χεῖρας τὴν ψυχὴν παρατίθησι. Διὰ δὴ ταῦτα ὑμῖν παρεγγυῶμαι πᾶσι, τέκνα πνευματικὰ, καθάπερ δὴ καὶ πρότερον ἔφην, μὴ προχείρους εἶναι πρὸς τὴν κατάκρισιν. Ἔστι γὰρ ὅτε καὶ συμβαίνει τὴν μὲν τοῦ πορνεύσαντος ἢ καὶ ἄλλο τι πεπλημμεληκότος ἁμαρτίαν ἐν τῷ φανερῷ πραχθεῖσαν εἰδέναι, τὴν δὲ μετάνοιαν κατὰ τὸ κρυπτὸν τελεσθεῖσαν, ἀγνοεῖν. Χρὴ δὲ καὶ τὴν Δεσποτικὴν φωνὴν δεδιέναι τὴν λέγουσαν· « Ἐν ᾧ κρίματι κρίνετε, κριθήσεσθε. »

CAPUT XII.

Pietatis et divinorum mysteriorum commentario.

LXX. Neque vero suadebat solum cavere hoc delictum;sed eorum etiam qui divina præcepta negligunt,volens corrigere socordiam,tale quid fecit, dignum quod mandetur memoriæ.Cum enim cognovisset multos negligentiores post lectionem divinorum Evangeliorum exire ex ecclesia,et vanis ac otiosis vacare sermonibus, solemni quodam die, relicto sacrificio, ipse quoque e templo egreditur, et sedet cum universa multitudine. Omnibus autem hoc stupentibus,Non oportet,inquit,admirari. Ubi enim sunt oves, illic omnino oportet esse pastorem.Nam cum propter vos et vestram utilitatem soleamus synaxes celebrare, si vos autem foris versemini, contingit inutilem a nobis capi laborem,

D Ο'. Οὐ μὲν ἄχρι τοῦ ἐλαττώματος πεφυλαγμένους εἶναι παρῄνει· ἀλλὰ καὶ τῶν τῶν θείων προστάξεων κατολιγορούντων τὸ ῥᾴθυμον βουλόμενος διορθώσασθαι, τοιοῦτόν τι ἐπετήδευσε μνήμης ἄξιον. Ἐπεὶ γὰρ ἔγνω πολλοὺς τῶν ἀμελεστέρων μετὰ τὴν ἀνάγνωσιν τῶν θείων Εὐαγγελίων ἐξιόντας τῆς ἐκκλησίας καὶ ἀργολογίαις σχολάζοντας, ἐν μιᾷ τῶν ἐπισήμων ἡμέρᾳ τὴν θείαν ἱερουργίαν ἀφεὶς ἔξεισι καὶ αὐτὸς τοῦ ναοῦ, καὶ σὺν τῷ ὄχλῳ παντὶ κάθηται. Πάντων οὖν δι' ἐκπλήξεως τουτὶ ποιουμένων, ἐκεῖνος, Οὐ χρὴ, ἔφη, θαυμάζειν. Ὅπου γὰρ τὰ πρόβατα, ἐκεῖ δεῖ πάντως εἶναι καὶ τὸν ποιμένα· ἐπεὶ γὰρ δι' ὑμᾶς καὶ τὴν ὑμετέραν ὠφέλειαν εἰώθαμεν τὰς συνάξεις ἐπιτελεῖν, ὑμῶν δὲ ἔξω διατριβόντων ἀνόνητον ἡμῖν

9 Matth. VII, 2.

τὸν κόπον συμβαίνει γίνεσθαι· πέπεικα ἐμαυτὸν A ἀξιοῦσί τε ὑμῖν συνεξέρχεσθαι, καὶ αὖθις εἰσερχομένοις συν[εισ]ιέναι. Πολλοὺς τοῦτο διώρθωσε καὶ τῆς μὴ καλῶς γινομένης ἀπήλλαξε συνηθείας.

ΟΑ'. Οὐκ ἐκείνους δὲ μόνους βελτιοῦν ἔσπευδε τοὺς ἔξω τῆς συνάξεως ἀργολογίαις ἐνευκαιροῦντας, ἀλλὰ καὶ τοὺς ἔνδον πρὸς ἀλλήλους ἀλογώτατα κοινολογουμένους· καὶ μάλιστα δὴ τοὺς τοῦ βήματος. Εἴ ποτε δὲ τινα μετὰ μίαν καὶ δευτέραν παραίνεσιν ἀδιόρθωτον ἴδοι, ἔξω εὐθὺς ἔβαλλε, τὴν Δεσποτικὴν αὐτοῖς ἐπιλέγων φωνήν. « Τὸν οἶκον τοῦ Θεοῦ οἶκον δεῖ προσευχῆς εἶναι· » ἔμπαλιν δὲ τοὺς περὶ τὰς θείας συνάξεις σπουδαιοτέρους, ἀπεδέχετο τῆς φιλοθεΐας καὶ προσεπῄνει· ἀλλὰ καὶ προκοπαῖς ἐτίμα βαθμῶν· ὅπερ δὴ καὶ καφέστερον τὸ μέλλον ῥηθήσεσθαι γνωριεῖ. B

ΟΒ'. Δύο τινὲς κληρικοὶ τῆς κατ' αὐτὸν Ἐκκλησίας, σκυτοτομικὴν μετιόντες τέχνην, ἐκ γειτόνων ἀλλήλοις ἔμενον· ὧν ὁ μὲν, γυναικὶ συνεζευγμένος καὶ τέκνα ἔχων, πατέρα τε καὶ μητέρα συνοικοῦντας αὐτῷ, οὓς πάντας ἐκ τῶν χειρῶν ἔτρεφε τῶν ἰδίων, ὅμως τῶν συνάξεων οὐκ ἠμέλει. Θάτερος δὲ, καίτοι μόνος ὢν, τὴν τέχνην τε ἀκριβέστερος, καὶ τὴν ἐργασίαν ἐπιμελέστερος, οὐδὲ αὐτῷ μόνῳ πορίζειν τὰ πρὸς τὴν χρείαν δυνατὸς ἦν. Τῷ οὖν ὁμοτέχνῳ διαφθονούμενος καὶ μηκέτι φέρειν δυνάμενος τὴν ὠδῖνα τῆς βασκανίας, ἐντυχὼν αὐτῷ κατὰ μόνας, Ὁρκίζω σε κατὰ τοῦ Θεοῦ, ἔφη, μὴ ἀποκρύψειν ἀπ' ἐμοῦ ἀλλὰ φανερόν μοι τουτὶ θέσθαι, πόθεν αὐτὸς μὲν πλουτῶν διατελεῖς, καὶ ταῦτα, ὅσα γε εἰς τὴν ἐργασίαν ῥάθυμος ὤν, ἐμοὶ δὲ ἐπιμελεῖ ὄντι καὶ φιλοπόνῳ τοὐναντίον μὲν συμβαίνει, μᾶλλον καὶ εἰς ἐσχάτην ἤδη περιέστηκα πενίαν. Ὁ δὲ, βουλόμενος αὐτὸν ἐπιμελέστερον θέσθαι περὶ τὰς συνάξεις, ὀλιγώρως ἔχοντα, Κἀμὲ πρότερον, εἶπεν, ἀδελφὲ, πολλὴ στένωσις εἶχεν· ἀφ' οὗ δὲ σχολάζειν πρὸς τὰς συνάξεις ἐμαυτὸν ἔπεισα, ἔστιν ὅτε καὶ χρυσίον εὑρίσκω κατὰ τὴν ὁδὸν ἀπιών· ὅθεν δὴ καὶ ἐπισυνῆκται πᾶσαν [*forte* πᾶσα] ἣν ὁρᾷς εὐπορίαν. Ἀλλ' εἴ τι ἐμοὶ πείθῃ, ἕπου καὶ αὐτὸς ἀπιόντι μοι, καὶ παραμυθίαν ἐντεῦθεν ἕξεις οὐ τὴν τυχοῦσαν. Πείθεται τοῖς αὐτοῦ λόγοις, καὶ καθ' ἑκάστην σύναξιν φοιτῶν σὺν αὐτῷ, ᾔσθετο μετ' οὐ πολὺ εὐλογίας παρὰ Θεοῦ γενομένης εἰς τὸν αὐτοῦ οἶκον, καὶ τῷ ἀγαθῷ συμβούλῳ τὴν χάριν ἀνωμολόγει. Ὁ δὲ εὐθὺς τὴν σκηνὴν διάρας, φανερῶς λέγει τῷ ὁμοτέχνῳ ὡς οὐδέποτε χρυσίον αὐτῷ κατὰ τὴν ὁδὸν εὑρεθείη. Ἀλλὰ βουλόμενος, φησὶ, διαναστῆσαί σε πρὸς τὰ θείας ἀφικνεῖσθαι συνάξεις, τὴν τοῦ χρυσίου εὕρεσιν ἐπλασάμην. Τοῦτο εἰς ὦτα τῷ μακαριωτάτῳ Ἰωάννῃ ἐλθὸν, τῆς τε ἀγαθῆς προθέσεως αὐτὸν ἀποδέχεται καὶ τῆς τοῦ πρεσβυτέρου χειροτονίας καταξιοῖ.

statui cum egredientibus vobis simul egredi, et rursus ingredi cum ingredientibus. Hoc multos correxit, et a mala abduxit consuetudine.

LXXI. Non illos vero solos studuit corrigere, qui extra congregationem otiosis vacabant sermonibus; sed eos etiam, qui citra rationem intus inter se conferebant sermones, et maxime vero altaris ministros. Si quando autem vidisset quempiam post unam et alteram admonitionem nequaquam posse corrigi, eum statim ejiciebat, apud eos vocem usurpans Dominicam, « domum Dei oportere esse domum orationis [9*]. » Contra autem eorum, qui in divinas congregationes erant studiosiores, illi accepta erat pietas, eosque et laudabat et ad gradus provehebat. Quod quidem apertius indicabit id, quod jam est dicendum.

LXXII. Duo clerici ejus Ecclesiæ, artem exercentes incidendi corium, erant inter se vicini. Quorum unus quidem mulieri conjunctus matrimonio, habensque filios et patrem et matrem cum ipso habitantes, quos quidem alebat omnes suis manibus, non negligebat tamen divinas congregationes: alter autem etsi erat solus, et artis peritior, et in operando diligentior, ne sibi quidem soli parare poterat, quæ erant ad usum necessaria. Ei itaque, qui erat ejusdem artis, invidens, et non amplius ferre valens quam animo conceperat invidiam, eum aliquando solum offendens: Adjuro te, inquit, per Deum, ne me celes, sed hoc mihi aperias, qui fit, quod tu sis semper quidem dives, idque cum sis in operando negligens; C mihi autem, qui sum diligens et laboriosus, contra accidit ut jam redactus sim ad extremam paupertatem? Ille autem volens eum reddere diligentiorem, qui erat negligens in adeundis congregationibus, quæ fiunt sacrorum causa: Mihi quoque, inquit, o frater, res erat redacta ad maximas angustias. Ex quo autem mihi persuasi divinis vacare congregationibus, nonnunquam eo vadens, aurum in via invenio, quo factum est ut mihi sint congregatæ omnes, quas vides, copiæ. Sed si me audias, ipse quoque me euntem sequere, et hinc non vulgarem habebis consolationem. Paret dictis, et ad singulas divinas synaxes cum ipso ventitans, sentiebat domui suæ factam a Deo benedictionem, et bono consultori agebat D gratias. Ille autem, scena mox aperta, manifeste dicit socio, se nunquam aurum in via invenisse, Sed volens, inquit, te excitare ut venires ad divinas congregationes, finxi hanc auri inventionem. Hoc cum pervenisset ad aures beatissimi patriarchæ, et ejus bonum commendat propositum, et eum ordinat presbyterum.

[9*] Matth. XXI, 13.

CAPUT XIII.

S. Joannis fuga, obitus.

LXXIII. Hic revera bonus pastor, divinus, inquam, patriarcha, credens principi pastorum Christo, qui jubet [10], si persecuti fuerint, ex una civitate fuere in aliam; cum esset Alexandria tradenda manibus Persarum, divina providentia illinc quidem recedit, migrat autem in suam patriam Cyprum, suum ei corpus largiturus, ut quæ eum aluerat: præsciverat enim jam appropinquare decessum. Is itaque, cujus sæpe mentionem fecimus, patricius Nicetas, accepta occasione ex eo quod Persæ irruperant, obsecrat virum divinum, ut veniat usque ad regiam civitatem, precibus et benedictione impertiturus imperatorem. Ille autem cum sciret, qualis esset fides viri clarissimi, annuit quidem petitioni: cum ambo autem nave veherentur, et jam essent in medio mari, inciduntin gravem tempestatem. Cum vero navis tam vehementer quateretur fluctibus, et mox esset mittenda in profundum, visus est nocte illa, qua fuerat excitata tempestas, patricius in somnis videre patriarcham cum pauperibus, aliquando quidem per totam navem circumcursantem, aliquando autem cum ipsis manus extendentem, et e cœlis petentem auxilium. Cum autem jam in Rhodum insulam pervenissent, ille ipse patriarcha cum a se discessisset, revera videt, et non in somnis, splendidum virum eunucho similem, aureum sceptrum habentem in manibus, et ad eum accedentem dicere: Vocat te Rex regum. Statim ergo accersito patricio, cum dixisset qualem habuisset visionem: Tu quidem, inquit, o vir splendidissime, studuisti nos deducere ad eum, qui regnat in terra: qui autem cœlum et terram et omnia sua tenet ditione, prior ad se accersit. Ille vero hoc dicto tristitia affectus et dolore repletus, non potuit quidem eum retinere. Sed cum venerabilium ejus precum fructum jucunde accepisset, quam potuit officisiosissime eum dimittit in Cyprum.

LXXIV. Cum autem in suam civitatem pervenisset Amathuntem, jussit scribis ut scriberent testamentum, quod sic habebat: Joannes humilis quidem servus servorum Dei, propter autem mihi impositam pontificatus dignitatem, gratia Christi liber, ago tibi gratias, Domine Deus meus, quod me dignum censueris, qui tua tibi offerrem: et quod ex mundi bonis nihil aliud sit mihi reliquum, nisi tertia pars nummi; quam ipsam jubeo quoque dari pauperibus, qui sunt mihi fratres in Christo. Quando enim Dei promissione creatus fui episcopus Alexandriæ, inveni in meo episcopatu circiter octo millia librarum auri: ex oblatione autem piorum millies his ampliores collegi pecunias: quas cum cognoscerem esse Christi, Christo etiam dare volui, cui nunc quoque trado animam. Cum hoc testa-

A ΟΓ'. Οὗτος ὁ καλὸς τῷ ὄντι ποιμὴν, ὁ θεῖος, φημὶ, πατριάρχης, τῷ ἀρχιποιμένι Χριστῷ κελεύοντι εἴκων, διωκομένους ἐκ τῆσδε τῆς πόλεως φεύγειν εἰς τὴν ἑτέραν, ἡνίκα ἡ Ἀλεξάνδρεια χερσὶ Περσῶν παραδοθήσεσθαι ἔμελλε, θείᾳ προνοίᾳ ἐκεῖθεν μὲν ἀπανίσταται, πρὸς δὲ τὴν ἑαυτοῦ πατρίδα τὴν Κύπρον μεθίσταται, τὸ οἰκεῖον αὐτῇ σῶμα, ὡς θρεψαμένῃ, χαριούμενος· προέγνω γὰρ ἤδη τὴν τὴν τελευτὴν ὅσον οὔπω ἐγγίζουσαν. Ὁ γοῦν πολλάκις διὰ μνήμης ἡμῖν γενόμενος, ὁ πατρίκιος δηλαδὴ Νικήτας, ἀφορμῆς τῆς ἀπὸ τῶν Περσῶν ἐφόδου λαβόμενος, λιπαρεῖ τὸν θεσπέσιον, μέχρι και τῆς βασιλίδος τῶν πόλεων ἀφικέσθαι, εὐχῆς καὶ εὐλογίας τοῖς βασιλεύουσι μεταδώσοντα. Εἰδὼς οὖν ἐκεῖνος οἵα ἡ τοῦ λαμπροτάτου πίστις ἀνδρὸς, ἐπινεύει μὲν πρὸς τὴν B αἴτησιν, διὰ πλοίου δὲ ἀμφότεροι ἀναχθέντες, καὶ μέσον ἤδη τοῦ πελάγους γενόμενοι, χαλεπῇ περιπίπτουσι ζάλῃ. Δεινῶς δὲ ἤδη τοῦ πλοίου χειμαζομένου, καὶ ὀλίγου μέλλοντος τῷ βυθῷ παραπέμπεσθαι, ἔδοξε τῆς νυκτὸς ἐκείνης καθ' ἣν ζάλη ἐγήγερτο, ὁ πατρίκιος ὄναρ ὁρᾷν τὸν πατριάρχην μετὰ τῶν πενήτων, ὅτε μὲν ἅπαν τὸ πλοῖον περιθέοντα, ὅτε δὲ σὺν αὐτοῖς τὰς χεῖρας εἰς οὐρανὸν ὀρέγοντα καὶ τὴν ἐκεῖθεν βοήθειαν ἐξαιτούμενον. Ὡς δὲ καὶ πρὸς Ῥόδον ἤδη νῆσον κατέλαβον, αὐτὸς ἐκεῖνος ὁ πατριάρχης, ἐν ἐκστάσει γενόμενος, ὕπαρ οὐκ ὄναρ ὁρᾷ λαμπρὸν ἄνδρα εὐνούχῳ ἐοικότα, χρύσεον σκῆπτρον ἐν χερσὶν ἔχοντα, αὐτῷ τε προσελθόντα, Ὁ Βασιλεὺς, φάναι, τῶν βασιλευόντων καλεῖ σε. Αὐτίκα γοῦν τὸν πατρίκιον μετακαλεσάμενος καὶ τὰ τῆς C ὄψεως ὡς εἶχεν εἰπὼν, Σὺ μὲν, ὦ λαμπρότατε, ἔφη, πρὸς τὸν ἐπὶ γῆς βασιλεύοντα σπουδὴν ἐποίεις ἡμᾶς ἀγαγεῖν· ὁ δὲ οὐρανοῦ καὶ γῆς καὶ πάντων κρατῶν, φθάσας πρὸς ἑαυτὸν μετεστείλατο. Σκυθρωπάσας οὖν ἐπὶ τῷ λόγῳ ἐκεῖνος, καὶ λύπης πληρωθεὶς τὴν καρδίαν, ἐπισχεῖν μὲν αὐτὸς οὐχ οἷός τε ἦν, τῶν δὲ τιμίων αὐτοῦ κατατρυφήσας εὐχῶν, μετὰ πλείστης ὅσης τῆς θεραπείας πρὸς τὴν Κύπρον ἐκπέμπει.

ΟΔ'. Ἐπεὶ οὖν τὴν ἰδίαν πόλιν Ἀμαθοῦντα κατέλαβε, διαθήκην τοῖς ὑπογραφεῦσιν ἐκέλευσε γράφειν ἔχουσαν ὧδε. Ἰωάννης δοῦλος μὲν εὐτελὴς τῶν Θεοῦ δούλων, διὰ δὲ τὸ ἐπιτεθέν μοι τῆς ἀρχιερωσύνης ἀξίωμα, χάριτι Χριστοῦ ἐλεύθερος, εὐχαριστῶ σοι, Κύριε ὁ Θεός μου, ὅτι με κατηξίωσας τὰ σὰ σοὶ προσενεγκεῖν· καὶ μηδ' ὁτιοῦν ἄλλο μοι νῦν τῷ βίῳ D περιλειφθῆναι ὅτι μὴ τρίτον νομίσματος, ὅπερ δὴ καὶ αὐτὸ τοῖς πένησι τοῖς ἐν Χριστῷ ἀδελφοῖς μου δοθῆναι κελεύω. Ὅτε γὰρ κατὰ Θεοῦ συγχώρησιν Ἀλεξανδρέων ἐπίσκοπος προεβλήθην, περὶ τὰς ὀκτακισχιλίας τοῦ χρυσίου λίτρας ἐν τῷ ἐπισκοπείῳ μου οὔσας ἐφεῦρον, ἐκ προσαγωγῆς δὲ φιλοθέων μυριοπλάσια τούτων συνήγαγον χρήματα· ἃ τοῦ Χριστοῦ ὄντ γινώσκων, Χριστῷ καὶ δοῦναι προεθυμήθην, ᾧπερ νῦν καὶ τὴν ψυχὴν παραδίδωμι. Ταῦτα οὕτως

[10] Matth. x, 25.

ὁ μέγας τοῦ Θεοῦ ἄνθρωπος διαθέμενος, εἰς χεῖρας A Θεοῦ ζῶντος τὸ πνεῦμα παρέθετο

ΟΕ'. Θαῦμα δὲ γίνεται περὶ τὴν αὐτοῦ ταφὴν, οὐδενὸς τῶν πώποτε θαυματουργηθέντων δεύτερον. Κατὰ γὰρ τὸν εὐκτήριον οἶκον τοῦ θαυματουργοῦ ἔν τινι σοφῷ δύο σώματα ἐπισκόπων κρυπτούσῃ κατατίθεσθαι μέλλοντος, ἦν ἰδεῖν τὰ νεκρὰ ταυτὶ σώματα, ὥσπερ ἐμψυχωμένα σέβας τῷ μακαρίῳ σώματι νέμοντα. Ἐκστάντα γὰρ ἀπ' ἀλλήλων, μέσον αὐτὸ παραδέχονται· καὶ τοῦτο μὲν περὶ τὴν ταφὴν γενόμενον, πολλαῖς ὄψεσιν ἑωράθη· ἕτερον δὲ οὐκ ἔλαττον τούτου προϊὼν ὁ λόγος δηλώσει.

mentùm sui fecisset ille magnus homo Dei, deposuit spiritum in manus Dei viventis.

LXXV. In ejus autem sepultura fit miraculum, quod nulli cedit ex iis, quæ unquam facta sunt mirabilia. Nam cum esset deponendus in æde oratoria admirabilium operum effectoris Tychonis, in quadam capsa, in qua erant condita duo corpora episcoporum; videre licebat hæc mortua corpora veluti animata tribuere cultum beato corpori. Nam a se invicem sejuncta, id medium accipiunt. Et hoc quidem, quod evenit in ejus sepultura, visum est multorum oculis : alterum autem eo non minus, procedens declarabit oratio.

CAPUT XIV.

Miracula post ejus mortem facta.

ΟϚ'. Γύναιον γάρ τι τῆς ἐνεγκαμένης τὸν πατριάρ- B χην πολίχνης ὁρμώμενον, ἐπεὶ ἔμαθεν ἤδη μέλλειν αὐτὸν πρὸς Κύριον ἐκδημεῖν, μέγα τι καὶ βαρὺ ἁμάρτημα ἑαυτῇ συνειδυῖα, προστρέχει τῷ μακαρίῳ θερμοῖς δάκρυσι τῶν αὐτοῦ ποδῶν ἁπτομένη, διὰ προσευχῆς ἐκείνου λύσιν ᾐτεῖτο τοῦ ἡμαρτήματος. Ὁ δὲ, Εἰ πιστεύεις, ἔφη, ὅτι σοι διὰ τῆς ἐμῆς προσευχῆς τὸ ἁμάρτημα λύεται, ἐξομολογήσασθαί σοι δεῖ πάντως αὐτό. Ἐπεὶ δὲ μὴ δύνασθαι τοῦτο τῶν χειλέων προενεγκεῖν ἔλεγε, διὰ γραφῆς αὐτὸ δηλοῦν προετρέπετο· ὡς δὲ καὶ πρὸς αὐτὸ δυσανασχετοῦσαν ἔβλεπε, γραφῆναι κελεύει ἐν τῇ σφραγῖδι ταύτης ἀσφαλισθῆναι, καὶ οὕτως αὐτῷ τὸ γραμματεῖον ἐγχειρισθῆναι. Οὕτως οὖν γενομένου καὶ εἰς τὰς αὐτοῦ χεῖρας διασεσημασμένου πιστευθέντος τοῦ γραμματείου, ἐδεῖτο ἡ γυνὴ ὅρκοις αὐτὸν ἀσφαλιζομένη, C μηδενὶ μηδέν τι τῶν ἐγκειμένων εἰς γνῶσιν ἐλθεῖν.

LXXVI. Quædam enim mulier orta in oppidulo, quod tulerat patriarcham, postquam rescivit eum jam esse migraturum ad Dominum, magni et gravis peccati sibi conscia accurrit ad beatum : et calidis lacrymis profusis, ejus pedes tangens, petebat illius peccati absolutionem. Ille autem : si credis, inquit, meis precibus te esse ab hoc peccato absolvendam, oportet omnino te id prius confiteri. Cum autem dixisset se non posse id labris proferre, jussit id scriptis significare. Cum vero videret eam id ægre ferre, jubet ut ipsa id scribat, et suo ipsius sigillo muniat, et sic ei tradat schedulam. Cum sic ergo factum esset et in ejus manus tradita fuisset obsignata schedula, rogabat mulier eum obtestans, ut nihil eorum, quæ inerant, veniret ad cujusquam cognitionem.

ΟΖ'. Πέντε τὸ ἀπὸ τοῦδε παρῆλθον ἡμέραι, καὶ ὁ μέγας τὸν βίον ἀπολιπὼν, πρὸς τὰς τῶν δικαίων ἐξεδήμει σκηνὰς, οὐδὲ περὶ τούτου τὸ παράπαν πρός τινα εἰρηκώς. Ἐπεὶ δὲ ἡ γυνὴ, κατὰ θείαν ἴσως οἰκονομίαν, οὐκ ἔτυχε παροῦσα τῆς ἡμέρας καθ' ἣν οὗτος τοῦ βίου ἀφίστατο, κατὰ τὴν τῆς ταφῆς παραγενομένη, καὶ ὑποπτεύσασα μήποτε τὸ πιστευθὲν γραμματεῖον ἀμεληθὲν, καὶ τῷ ἐπισκοπείῳ καταλειφθὲν, οὕτως κατάφωρον γένηται τοῖς πᾶσι, μικροῦ καὶ ἔκφρων τῇ λύπῃ γέγονε, πίστει δὲ θερμοτάτῃ πάλιν ἑαυτὴν ἀνακτησαμένη, ὡς εἶχε τάχους τὴν ἐκείνου καταλαμβάνει σορόν· καὶ ὥσπερ ζῶντος αὐτοῦ κατεβόα· Τί τοῦτο πεποίηκας, ὦ θεσπέσιε, ἐπ' ἐμοὶ, λέγουσα, τῇ ἁμαρτωλῷ, καὶ νῦν αἰσχύνη καὶ ὄνειδος τῷ παντὶ D ἔσομαι; Ὃ γὰρ οὐδὲ σοὶ ἐκκαλύψαι διὰ τὴν ὑπερβολὴν τοῦ σφάλματος ἠδυνάμην, τοῦτο τοῖς πᾶσι δῆλον προκείσεται. Εἴθε μηδαμῶς σοι περὶ τούτου μηδὲ ἐντυχεῖν διενοήθην· οἰομένη γὰρ διὰ σοῦ τὴν μέλλουσαν δίκην διαφυγεῖν, τούτου τε διήμαρτον, καὶ τὴν ἐντεῦθεν αἰσχύνην προσεκτησάμην. Ἀλλὰ γὰρ οὐκ ἀποστήσομαί σου τοῦ τάφου, οὔτε μὴν ὅλως ἔνθεν ἐξαναστήσομαι, οὐδ' ἐνοχλοῦσά σοι παύσομαι, ἄχρι γοῦν καὶ πληροφορίαν περὶ τῶν αἰτηθέντων λήψομαι· πέπεισμαι γὰρ ὡς οὐ τέθνηκας, ἀλλ' ἐν Θεῷ ζῇς, καὶ παρ' αὐτῷ ὅσα δὴ καὶ βούλει διανύειν δύνασαι.

LXXVII. Quinque dies abhinc præterierant : et magnus ille excedens e vita, migravit ad justorum tabernacula, cum nihil de ea re cuiquam dixisset omnino. Cum autem mulier, divina quadam forte providentia, non adfuisset illo die, quo excessit e vita, ea accedens ad sepulturam, et dubitans ne forte quæ ejus fidei commissa fuerat schedula, neglecta et in episcopatu relicta deprehenderetur ab omnibus, dolore affecta, a se propemodum discesserat: sed cum fide ardentissima se rursus collegisset, quam maxima potuit celeritate venit ad illius capsam; et tanquam eo vivo, clamabat: Quid hoc fecisti, o vir divine, mihi peccatrici, ut nunc afficiar ab omnibus probro et dedecore? Quod enim ne tibi quidem potui aperire propter lapsum insignem, hoc erit omnibus manifestum. Utinam ne cogitassem quidem te de hac re convenire. Existimans enim per te pœnas futuras effugere, et hoc non sum assecuta, et quod ex eo oritur, dedecus mihi conciliavi. Sed enim non recedam a tuo sepulcro, neque omnino hinc surgam, neque cessabo te interpellare, nisi de iis, quæ peiivi, me feceris certiorem. Persuasum enim habeo te non esse mortuum, sed in Deo vivere, et te apud eum posse, quæ vis facere.

LXXVIII. Hæc dicens, et alia his similia, tribus diebus et totidem noctibus venerandæ ejus capsæ assedit, et (o Dei miracula!) ultima nocte egreditur e capsa vir ille admirabilis simul cum iis, qui cum eo jacebant, episcopis (ejusmodi enim erat id, quod apparebat), et ei dixit : Quousque, o mulier, clamans es iis qui hic sunt molesta? Nostra enim vestimenta jam tuæ humectarunt lacrymæ, fluentes instar fluvii. Cum hæc dixisset, tradit ei schedulam, sicut erat, ab illa obsignatam. Deinde, Agnoscisne hanc, dixit, o mulier? Accipe ergo, et jam solvens vide Dei opera admirabilia. Cum illa autem surrexisset, et ad se rediisset, vidit quidem rursus sanctos suam capsam ingressos, habens vero schedulam in manibus, illæso manente signaculo. Quod quidem cum solvisset, priorem quidem scripturam invenit deletam, alienam autem videt positam subscriptionem, quæ sic habebat : Propter Joannem servum meum deletum est tuum magnum peccatum. Declarabit autem id quoque, quod de eo dicendum est, quanta esset viri virtus, et quantam beatitudinem ex ea sit assecutus.

LXXIX. Nam vir quidam, nomine Sabinus, temperanter admodum et e virtute vivens, monasticam et a negotiis remotam vitam exercens Alexandriæ, hora qua beatus decessit Joannes, putabat exsistens in ecstasi se eum videre egressum ex episcopatu cum universo clero, habentem in manu lampadem, et iter ad regem ingredientem, viro quodam splendidissimo, habitu cubiculario, eum accersente; et puella quadam speciosissima, ut diceret etiam ipsum solem ei primas partes cedere in pulchritudine, cui erat caput oleæ corona redimitum, et aliquando quidem eum præcedente, aliquando autem manum quoque tangente, simul incedente. Cum autem diem adnotasset is, qui viderat (erat vero memoria Menæ magni martyris), tunc autem venissent quidam e Cypro, ab ipsis accepit, quod illo ipso die, quo hæc visa sunt, inclytus Joannes excessit ex hoc mundo.

LXXX. Vir quidam alius Alexandrinus, qui erat ipse quoque ex iis, qui sunt pietate insignes, vidit ea ipsa nocte examen pauperum et multitudinem orphanorum et viduarum, quæ numero non poterat comprehendi, habentem in manibus ramos olivarum, et præcedentem patriarcham euntem ad synaxim. Sufficiunt hæc testimonia maximæ magni Joannis ad Deum fiduciæ. Quod autem est maximum, et caret omni dubitatione : celebrabantur anniversaria magni et admirabilium operum effectoris Tychonis: deinde cum perageretur de more hymnodia, et simul esset congregata populi multitudo, Deus admirabilium, volens apertum reddere, quantam fuerit apud eum gloriam consecutus is, qui fuerat ejus benignitatis, quoad ejus fieri poterat, æmulator, Joannes, inquam, qui cognomen accepit a misericordia; voluit ut ex ejus divinis reliquiis copiosa scaturirent unguenta, emittentia

ΟΗ'. Ταῦτα καὶ ἄλλα τούτων πλείονα λέγουσα, τρισὶν ἡμέραις καὶ ἴσαις νυξὶ τῇ τιμίᾳ τούτου σορῷ προσήδρευε, καὶ (ὢ τῶν τοῦ τεραστίων!) ἔξεισι τῇ τελευταίᾳ νυκτὶ τῆς σοροῦ ὁ θαυμάσιος, ἅμα τοῖς συγκειμένοις αὐτῷ δυσὶν ἐπισκόποις (τοιοῦτον γὰρ ἦν τὸ φαινόμενον), καὶ πρὸς αὐτὴν, Μέχρι τινος, ὦ γύναι, καταβοῶσα, φησὶ, δι' ὄχλου τοῖς ἐνταῦθα γίνῃ, Διαβρόχους γὰρ ἤδη τὰς ἡμετέρας στολὰς τὰ σὰ κατέστησε δάκρυα, ἴσα καὶ ποταμοῖς ἀποῤῥέοντα. Ταῦτα εἰπὼν ἐγχειρίζει τὸ γραμματεῖον αὐτῇ ὥσπερ ἦν ὑπ' ἐκείνης ἐσφραγισμένον· εἶτα, Ἐπιγινώσκεις, εἶπεν, ὦ γύναι, τουτί; Λάβε τοιγαροῦν, καὶ λύσασα Θεοῦ θεῖα ἔργα παράδοξα. Διαναστᾶσα γοῦν ἐκείνη καὶ ἀνανήψασα, τοὺς μὲν ἁγίους εἰσελθόντας αὖθις εἰς τὴν αὐτῶν θήκην ὁρᾷ· τὸ δὲ γραμματεῖον ἐν χερσὶν ἔχουσα τῆς σφραγῖδος ἀπαθοῦς μενούσης. Ὅπερ δὴ λύσασα τὴν μὲν προτέραν ἀπαληλιμμένην εὗρε γραφὴν, ξένην δὲ ὑπογραφὴν κειμένην ὁρᾷ ἔχουσαν οὕτως· Διὰ Ἰωάννην τὸν δοῦλόν μου ἐξήλειπταί σου τὸ μέγα ἁμάρτημα. Δηλώσει δὲ καὶ τὸ ἐπ' αὐτῷ λεχθησόμενον, ὅση τε ἡ τοῦ ἀνδρὸς ἀρετὴ, καὶ οἵας ἔτυχε τῆς ἐκεῖθεν μακαριότητος.

ΟΘ'. Ἀνὴρ γάρ τις τοὔνομα Σαβῖνος, ἐγκρατῶς ὅτι μάλιστα ζῶν καὶ φιλαρέτως, τὸν ἀσκητικὸν καὶ ἀπράγμονα μετιὼν ἐν Ἀλεξανδρείᾳ βίον, κατὰ τὴν ὥραν τῆς τοῦ μάκαρος τελευτῆς, ὁρᾷν αὐτὸν ᾤετο ἐν ἐκστάσει γενόμενος, τοῦ ἐπισκοπείου σὺν ἅμα κλήρῳ παντὶ ἐξελθόντα, λαμπάδα τε μετὰ χεῖρας ἔχοντα, καὶ τὴν πορείαν ὡς τὸν βασιλέα ποιούμενον, ἀνδρὸς αὐτὸν λαμπροτάτου κατὰ σχῆμα κουβικουλαρίου μετακαλεσαμένου, κόρης τέ τινος σφόδρα τὴν ὥραν περικαλλοῦς, ὡς καὶ αὐτὸν φάναι τὸν ἥλιον τῶν πρωτείων αὐτῇ τοῦ κάλλους παραχωρεῖν, ἐλαίας στεφάνῳ τὴν κεφαλὴν ἐστεμμένης, καὶ ποτὲ μὲν προοδευούσης αὐτοῦ, ποτὲ δὲ καὶ τῆς χειρὸς ἁπτομένης καὶ συμπορευομένης. Τὴν ἡμέραν οὖν ὁ ἑωρακὼς ἐπισημηνάμενος (ἡ μνήμη δὲ ἦν Μηνᾶ τοῦ μεγαλομάρτυρος), ἐπεί τινες ἔτυχον τότε τῆς Κύπρου ἐληλυθότες, ἔμαθεν παρ' αὐτῶν ὡς κατ' αὐτὴν ἐκείνην τὴν ἡμέραν, ὅτε ταῦτα ὡράθη, καὶ τὸν ἀοίδιμον Ἰωάννην ἔκδημον γενέσθαι τῶν ἐγκοσμίων.

Π'. Ἕτερός τις ἀνὴρ Ἀλεξανδρεὺς, καὶ αὐτὸς τῶν ἐπ' εὐσεβείᾳ περιβοήτων, ἑώρα κατὰ τὴν αὐτὴν νύκτα σμῆνος πενήτων, πλῆθός τε ὀρφανῶν καὶ χηρῶν οὐδὲ ἀριθμῷ λαμβανόμενον, κλάδους ἐν χερσὶν ἔχοντας ἐλαιῶν, καὶ τοῦ πατριάρχου πρὸς τὴν σύναξιν ἀπιόντος δῆθεν αὐτοὺς προπορευομένους. Ἱκανὰ ταῦτα μαρτύρια τῆς μεγίστης τοῦ μεγάλου πρὸς Θεὸν παῤῥησίας. Τὸ δέ γε μεῖζον καὶ ἀναμφίβολον, παννυχὶς ἐτελεῖτο λαμπρὰ τῆς διετοῦς μνήμης τοῦ μεγάλου καὶ θαυματουργοῦ Τύχωνος· εἶτα τῆς ἐξ ἔθους ἐπιτελουμένης ὑμνῳδίας καὶ τῆς τοῦ λαοῦ πληθύος ἐπὶ τὸ αὐτὸ συνηγμένης, ὁ τῶν θαυμασίων Θεὸς ἐπίδηλον θέσθαι βουλόμενος, οἵας ἔτυχε τῆς παρ' αὐτοῦ δόξης ὁ τῆς αὐτοῦ φιλανθρωπίας κατά γε τὸ δυνατὸν ζηλωτὴς, ὁ τοῦ ἐλέους, φημὶ, ἐπώνυμος Ἰωάννης, εὐδόκησε τοῦ θείου αὐτοῦ λειψάνου μύρα δαψιλῆ βλύσαι, εὐωδίαν ἰάσεων ἀποπέμποντα· ὧν οἱ παρατυχόντες κατατρυφήσαντες,

κοινῇ τὸν Θεὸν τὸν οὕτω τοὺς δοξάζοντας αὐτὸν πολλῷ τῷ πλείονι δοξάζοντα εὐψαρίστοις ἐδόξασαν χείλεσιν. Ὧ καὶ ἡμᾶς τὴν προσήκουσαν προσοιστέον εὐχαριστίαν, δοξάζοντας Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, τὴν μίαν ἐν τρισὶ θεότητα τε καὶ δύναμιν, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A suaveolentem odorem curationum. Quibus fruentem qui in ea inciderant, communiter Deum, qui sic eos qui ipsum glorificant longe amplius glorificat, gratis labris glorificarunt. Cui nos quoque oportet quam convenit offerre glorificationem glorificantes Patrem, et Filium, et Spiritum sanctum unam in tribus divinitatem et potentiam, nunc et semper et in sæcula sæculorum. Amen.

DE SANCTO BABYLA

EPISCOPO ANTIOCHENO

ET URBANO, PRILIDIANO, EPOLONIO, PUERIS, EJUS DISCIPULIS.

(Sæculo III, Januarii 24 *Acta SS Bolland.* ad hanc diem (*a*).

Celeberrimum S. Babylæ episcopi nomen, præsertim post triumphatam Apostatæ Juliani impietatem indictumque Daphniticis oraculis silentium. Diversis diebus, ut passim multorum, ascriptum est Fastis : Græcis pridie Nonas Septembris, Romanis IX Kal. Februarii. An alter martyrio, translationi alter dicatus sit, ambigi potest : aut duone fuerint Babylæ antistites. Quid utroque die Martyrologia de Babyla prædicent, quem *Babyllam* quoque, *Babyllum*, *Babilam*, et *Bobillum* appellant, dicamus. Vetus Romanum a Rosweydo editum : « Antiochiæ S. Babylæ episcopi. » Ms. S. Hieronymi : « Antiochiæ Babilæ episcopi cum tribus parvulis. » Paria in multis excusis ac manu exaratis leguntur. Usuardus : « Apud Antiochiam natalis S. Babylæ episcopi, qui persecutione Decii, posteaquam frequenter passionibus suis ac cruciatibus glorificaverat Dominum, gloriosæ vitæ finem est sortitus in vinculis. Referuntur etiam passi cum eo tres parvuli, id est, Urbanus, Prilidanus et Epolonius. » Eadem fere Martyrologium Romanum, Bellinus, Viola SS. MS. Florium, Cenisius aliique, Ado, Beda vulgatus, Molanus in addit. ad Usuardum, ad elogium ex Usuardo jam recitatum, adjiciunt ex Ruffino haud pauca de triumphali e Daphne transvectione. Attingit eam breviter Notkerus et Canisius. Agunt de eo quoque Maurolycus, Rabanus, Wandalbertus, ac cæteri Latini. Et colitur in quibusdam ecclesiis officio trium lectionum, in aliis omnino solemni, ut Mediolani : alibi cum officio de S. Timotheo fit de eo commemoratio.

Græci IV Septembris eum celebrant. Ita Anthologion a Clemente VIII approbatum: « Sacri Martyris Babylæ episcopi Antiochiæ: qui Numerianum imperatorem, in ecclesiam; cui ipse præerat, ingredi volentem repulit, quod filium regis Persarum, obsidem sibi datum, trucidasset. Quapropter catenis ferreis vinctus circumductus ad pompam est Babylas, cumque tribus pueris plexus capite. » Eadem habet Menologium ab Henrico Canisio editum, Menæa, Cythereus.

(2) Triplicem Vitam ediderunt Bollandiani, eam tantum damus quam composuit vel descripsit Metaphrastes noster. EDIT. PATR.

ΑΘΛΗΣΙΣ

ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΒΑΒΥΛΑ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΝΤΙΟΧΕΙΑΣ.

—

CERTAMEN

SACROSANCTI MARTYRIS BABYLÆ

ARCHIEPISCOPI ANTIOCHIÆ.

(Græcus textus nunc primum prodit ex codice Regio Parisiensi n. 1607 notato, sæculi XIII.)

—

I. Cum Numerianus sceptra Romanorum accepisset a parentibus, fuisset autem hæres illorum impietatis, movebatur grave et immane bellum adversus Christianos. Omnia enim ætas, et genus omne eorum, qui pietatem delegerant, acerbis tormentis et gravi morte interibant. Impius ergo Numerianus Antiochiæ aliquando versans, quæ est ad Daphnen, ne abstinuit quidem a sacro templo Christianorum, sed etiam adversus id struit quemdam dolum. Et cum dæmonibus de more sacrificasset, et cædem fecisset maxime nefariam (1), infante illo regis filio, quem a patre pro pacis pignore acceperat, crudelissime occiso, pergebat ad ecclesiam, et Dei templum conabatur profanare per suum introitum. Nam hoc quoque existimabat esse non parvum cultum deorum, si ab eo profanarentur et contaminarentur sancta Christianorum. Divinus autem Babylas eo tempore, quo hic actus adornabatur, curam gerens sacri gregis Antiocheni, et sedem administrans episcopalem, cum diu ante, quid animo agitaret et meditaretur tyrannus, et quod accessurus erat, et quonam modo, intellexisset; cumque in templo congregata universa piorum multitudine, satis eos incitasset, ut opem ferrent Dei legibus, in quas exercebatur tyrannis, precibusque et supplicationibus Dei invocasset auxilium, magno et forti animo stat ante portas templi. Et cum perrupisset supercillium eorum qui præcedebant, et fastum eorum, qui gloriose et superbe incedebant satellitum, inquam, et stipatorum, sceleratum illum accedentem increpavit, et (2) dexteram ejus pectori admovit; et sic retardavit ejus impetum in ecclesiam, et illum a sacris repulit ambitibus. Loquenti autem libertatem admiratus Numerianus, et illius famam præterea reveritus, quæ erat magna et in

A Α'. Νουμεριανοῦ τὰ Ῥωμαίων σκῆπτρα παρὰ πατέρων ἐκδεξαμένου, κληρονόμου δὲ καὶ τῆς ἐκείνων ἀσεβείας γεγενημένου, βαρὺς ὁ κατὰ Χριστιανῶν πόλεμος ἐκινεῖτο, καὶ σφοδρὸν ἔπνει καὶ ἀγριώτατον. Πᾶσά τε γὰρ ἡλικία καὶ γένος ἅπαν τῶν εὐσέβειαν ἑλομένων βασάνοις πικραῖς καὶ θανάτῳ χαλεπῷ διεφθείροντο. Ὁ τοίνυν ἀσεβέστατός Νουμεριανὸς, ἐν Ἀντιοχείᾳ τῇ πρὸς Δάφνην ποτὲ διατρίβων, οὐδὲ τοῦ ἱεροῦ τῶν Χριστιανῶν τεμένους ἀπέσχετο, ἀλλά τινα καὶ κατ' αὐτοῦ δόλον ὑφαίνει. Καὶ δαίμοσιν, ὥσπερ ἔθος αὐτῷ, θύσας, και πάντων ἐναγέστατον ἐργασάμενος φόνον, τὸ παιδίον ἐκεῖνο τὸ βασιλικὸν, ὃ παρὰ τοῦ πατρὸς ἀσφαλὲς ἐνέχυρον τῆς εἰρήνης εἰλήφει, ἀπηνέστατα κατασφάξας, πρὸς τὴν ἐκκλησίαν ἠπείγετο, καὶ βεβηλῶσαι τὸ τοῦ Θεοῦ τέμενος διὰ τῆς B οἰκείας πρὸς τὰ ἔνδον ἐπεχείρει παρόδου. Θεραπείαν γὰρ ᾔδει καὶ τοῦτο δαιμόνων οὐ μικρὰν, εἰ βεβηλωθῇ παρ' αὐτοῦ καὶ χρανθείη τὰ τῶν Χριστιανῶν ἅγια. Βαβύλας δὲ ὁ θεῖος, κατὰ τὸν καιρὸν ἐκεῖνον καθ' ὃν τὸ δρᾶμα συνεσκευάζετο, τῆς ἱερᾶς τῶν Ἀντιοχέων ποίμνης ἐπιμελούμενος, καὶ τὸν τοῦ ἐπισκόπου θρόνον διέπων, τὴν ἐπίνοιαν ἐκείνην ἐκ πολλοῦ καὶ τὴν μελέτην, καὶ ὅτε ὁ τύραννος ἐπισταίη, καὶ ὅπως μαθὼν, συναθροίσας τὸ εὐσεβὲς ἅπαν κατὰ τὸν ναὸν πλήρωμα, καὶ τούτους ἀμῦναι τοῖς τοῦ Θεοῦ νόμοις τυραννουμένοις ἱκανῶς παραθήξας, καὶ δεήσεσι τὸ θεῖον καὶ προσευχαῖς εἰς συμμαχίαν καλέσας, ἀνδρειότατα πρὸ τῶν τοῦ ναοῦ πυλῶν ἵσταται, καὶ διακόψας τὴν ὀφρὺν τῶν προηγουμένων, τῶν σοβούντων τὸν τῦφον, τοὺς δορυφόρους, τοὺς ὑπασπιστὰς, ἐπετίμησε τῷ μιαρῷ ἐκείνῳ C προσιόντι, καὶ τὴν δεξιὰν εἰς τὸ στῆθος ἀπήρεισε, καὶ οὕτως αὐτὸν τῆς εἰς τὴν ἐκκλησίαν ὁρμῆς ἀνέστειλε, καὶ τῶν ἱερῶν ἀπώσατο περιβόλων. Τὴν παῤῥησίαν τοίνυν καταπλαγεὶς Νουμεριανὸς, πρὸς δὲ καὶ τὴν τοῦ ἀνδρὸς φήμην εὐλα-

(1) Pluribus hujus filii regis necem describit S. Chrysostomus homilia contra gentiles.

(2) Chrysostomus : «Dexteram impactam in pectus firmavit ira turgidum ac cæde fervens, » etc.

σηθεὶς (πολὺς γὰρ ἦν ταύτην), ἐκεῖνος δι' ἁπάντων A ἐχώρει· τῆς πονηρᾶς τέως ἀπέσχετο τόλμης, εἴτε στάσιν τινὰ πρὸς τοῦ ὄχλου γενήσεσθαι ὑπιδόμενος (καὶ γὰρ πολὺ πλῆθος ἐκεῖ συνεληλύθεισαν τῶν πιστῶν), εἴτε δὴ καὶ ἄλλως αὐτῷ βουλευθὲν, χαλεπῶς μέντοι καὶ βαρέως, σιγῇ δὲ ὅμως τὴν ὕβριν ἐνεγκὼν, ἀναστρέφειν κελεύει πρὸς τὰ βασίλεια.

Β'. Τῇ δὲ ἑξῆς τὸν ἀρχιερέα παραστησάμενος, τὴν τοῦ ναοῦ κώλυσιν ὡς φανερὰν ὕβριν αὐτῷ ἐνεκάλει, καὶ, Τίνι θαῤῥῶν, ἔλεγεν, ὦ πάντων ἀθλιώτατε σὺ, τῆς εἰς τὸν ναὸν εἰσόδου τὸ ἐμὸν κράτος ἐτόλμησας ἐπισχεῖν; ἢ ἀγνοεῖς ὅσον ἐστὶν κακὸν ἡ εἰς βασιλέα ὕβρις καὶ παρονία; Ὁ δὲ, Τῶν ἐπὶ γῆς μὲν οὐδενὶ, φησὶ, τῷ ἐν οὐρανοῖς δὲ πεποιθὼς βασιλεῖ, ὅς με καὶ ποιμένα τῶν αὐτοῦ προβάτων ἔθετο, καὶ πρὸς τὴν τοῦ λύκου καθεύδειν ἔφοδον οὐκ ἐᾷ· οὐκ εἰς βασιλέα γε B μὴν ὕβρισα (αὔθαδες γὰρ ὡς ἀληθῶς τοῦτο καὶ οὐ πόῤῥω μανίας), ἀλλ' εἰς τὰ ἅγια ἐνυβρίσαι πειραθέντα ἐπέσχον. Ὥστε καὶ χάριν οὔ τι μικρὰν εἰδέναι μοι δίκαιος ἂν εἴης, ὅτι σε τοιούτου διεκώλυσα ἐγχειρήματος, ὑφ' οὗ πρὸς ἔσχατον ἂν κατηνέχθης βάραθρον ἀπωλείας εἰς αὐτὸν ἁμαρτὼν, οὗ τὸ ἐκπεσεῖν θανάτου παντὸς χαλεπώτερον. Καὶ ὁ Νουμεριανὸς, Δέον, φησὶ, ἐπὶ τοῖς φθάσασι μεταμελεῖσθαι, ἀλλὰ σύγε μακροτέρας ἡμῖν καταχέεις τὰς λοιδορίας. Καὶ ὁ μάρτυς ὑπολαβὼν, Οὐκ ἔξεστι μὲν ἡμῖν τάγε ἄλλα, ἔφη, ἀνθρώπων οὐδενὶ λοιδορεῖσθαι, οὔκουν οὐδὲ σοὶ λοιδορούμεθα· πῶς γὰρ Θεοῦ πλάσμα ὄντι, καὶ τῇ αὐτοῦ εἰκόνι τετιμημένῳ; Εἰ δὲ περὶ Θεὸν ὁ κίνδυνος.....

omnem partem pervadebat; an audaci tunc cœpto destitit, sive suspicatus futuram quamdam a populo seditionem (illuc enim convenerat magna multitudo fidelium), sive aliquo alio a se capto consilio, æque quidem et graviter, sed silentio tamen ferens contumeliam, et reversus est in regiam.

II. Die autem sequenti cum ad se producendum curasset pontificem, quod se a templo prohibuisset, tanquam manifesta affectus contumelia, eum est criminatus; et, Quonam, inquit, fretus, o tu omnium miserrime, ausus es meam retinere potentiam, ne in templum ingrederer? Nescis quantum sit malum probro et contumelia afficere imperatorem? Ille autem, Nullo quidem, inquit, eorum qui sunt in terra, sed fretus Rege qui est in cœlis, qui me etiam fecit pastorem suarum ovium, neque me dormire sinit, cum lupus irruit, imperatorem non affeci contumelia (esset enim hoc insolentiæ et propemodum insaniæ), sed cum vellet sancta afficere contumelia, continui. Quamobrem deberes mihi non parvam hoc nomine agere gratiam, quod talem tuum conatum prohibuerim, ex quo deturbatus esses in extremum barathrum interitus, cum in eum peccasses a quo excidere est quavis morte gravius. Numerianus autem: Cum te, inquit, oporteret pœnitere eorum quæ præcesserunt, tu nos prolixioribus aspergis maledictis. Martyr autem excipiens: Nobis, inquit, non licet alioqui ullum hominem appetere maledictis: nec ergo te maledictis appetimus. Quomodo enim, cum sis Dei figmentum, et ejus honoratus imagine? Sed si de Deo agatur....

Γ'. Καὶ ὁ Νουμεριανὸς, ἐπικόψας αὐτῷ τὴν συν- C έπειαν, Ἀλλὰ χαίρειν εἰπὼν, ἔφη, τῇ πολλῇ ταύτῃ τῶν λόγων ἰσχύϊ, εἴ γε δὴ καὶ διαφυγεῖν βούλοιο τὴν ἐπὶ τῷ ἐγκλήματι δίκην, τοῖς μεγίστοις θῦσον θεοῖς. Καὶ ὁ μάρτυς πρότερον πρὸς τὴν ἔγκλησιν ἀπολογησάμενος, καὶ φήσας ὑπὲρ τοῦ ποιμνίου πάντα μετὰ προθυμίας αἱρεῖσθαι παθεῖν, ἔπειτα διαλαβὼν, Οὐ δυνατὸν, ἔλεγεν, ὦ βασιλεῦ, τοῦ ὄντως ἀποστάντα Θεοῦ ψευδωνύμοις προσέχειν θεοῖς, οἷς καὶ ὀνομάσαι μόνον αἰσχύνη τοῖς εὐσεβεῖν βουλομένοις. Ὁ δὲ, Τὰ πρότερά σοι καὶ πάλιν ἐρῶ, φησί· τοὺς μακροὺς λήρους ἐάσας, θῦσον τοῖς θεοῖς· εἰ δ' οὖν, ἀλλὰ κακόν σε κακῶς τὸ ἐμὸν ἀπολέσει κράτος. Καὶ ὁ Βαβύλας· Ἐμοὶ δι' εὐχῆς ἦν ὥστε καὶ σὲ τῆς περικεχυμένης σοι ταύτης ἀνενεγκεῖν ἀχλύος, εἴπερ κἂν τὰς μακρὰς ἐκείνας καὶ ἀθανάτους τιμωρίας διέδρας. Ἀλλὰ σὺ D καὶ ἄλλους ἐπὶ ταύτην παρακαλεῖς, μείζονα ἑαυτῷ τὴν ἠπειλημένην ἀνάπτων γέενναν· Θεοῦ γὰρ ζῶντος διαφυγεῖν χεῖρας ἀμήχανον. Τὸ δὲ καὶ ἁλῶναι ταύταις ἡλίκον, ὁ ἅπαξ ἐμπεσὼν εἴσεται.

Z'. Ἐπεὶ οὖν ἀσμένως τόν τε λόγον ἐδέξαντο, καὶ ἀκολουθεῖν ἐπηγγείλαντο, λαβὼν αὐτὰς, εἰς Μύλασσαν τὴν πόλιν καταίρει, οἰκήματά τε αὐταῖς εὖ ἔχοντα πρὸς ἡσυχίαν, πλησίον τοῦ ἱεροῦ δίδωσι· ἔνθα καὶ οἶκον εὐκτήριον Ξένη Στεφάνῳ τῷ πρωτομάρτυρι ἀνιστᾷ. Ἐντὸς δὲ ὀλίγου χρόνου καὶ παρθένων συνίστησι μοναστήριον, τῶν ἱερῶν τοῦ Παύλου φροντίδων καὶ αὐτὸ ἀναρτήσασα. Οὐδενὶ μέντοι παρ' ὅλην αὐτῆς τὴν ζωὴν γνώριμον ὑπῆρξε, τίς τε ἦν, καὶ πόθεν, καὶ δι' ἣν αἰτίαν τῶν οἰκείων ἀναχωρήσοι, καὶ πῶς δὴ καλοῖτο· ἀλλὰ Ξένη πρὸς πάντας ἔφασκεν ὀνομάζεσθαι, καὶ τοῦτο αὐτῇ ὄνομα εἶναι κύριον, ἔλεγέ τε, καὶ λέγουσα ἔπειθε. Καὶ Παῦλος δὲ ὁ μακάριος, τοῖς ἐρωτῶσιν ἐκ τῆς Κῶ τῆς νήσου λέγων αὐτὰς ἀγαγεῖν, οὐκ ἄπιστα λέγειν οὐδὲ ψευδῆ ἐνομίζετο. Ὅθεν δὴ καὶ τὸ μοναστήριον αὐταῖς τῶν Κῴων ἐλέγετο εἶναι, ἀκολουθοῦντος δηλαδὴ τοῦ ὀνόματος τῇ τῶν πολλῶν δόξῃ καὶ τοῖς φημιζομένοις. Κυρίλλου δὲ τοῦ τῆς πόλεως τὴν ἐπισκοπὴν ἐπιτετραμμένου τηνικαῦτα τὸν βίον ἀπολιπόντος, τῇ πόλει κοινῶς ἐψηρίζετο τὸν τοῦ Κυρίλλου θρόνον τὸν Παῦλον ἀντιλαβεῖν· ὃ δὴ καὶ τέλος εὐθὺς εἶχε, καὶ τὴν χειροτονίαν οὗτος ἐδέχετο.

VII. Cum eæ autem id, quod dixerat, lubenter accepissent, et se eum esse secuturas significassent, iis acceptis, solvit in Mylassam civitatem, datque eis habitacula ad quietem accommodata prope templum: quo in loco domum quoque oratoriam excitat Hospita Stephano protomartyri. Intra breve autem tempus constituit etiam monasterium virginum, id quoque sacræ Pauli curæ committens. Toto vero tempore ejus vitæ nemo cognovit, quænam esset, nec cujas, et propter quamnam causam a suis recessisset, et quomodo vocaretur: sed dicebat omnibus, se vocari Hospitam: dicebat hoc sibi esse nomen proprium, et dicendo persuadebat. Porro autem beatus quoque Paulus dicens interrogantibus se adduxisse illas ex Co insula, nec incredibilia nec falsa videbatur dicere. Quocirca earum quoque monasterium dicebatur esse Coorum, sequente scilicet nomine multorum opinionem, et ea quæ fama jactabantur Cum autem Cyrillus, cui fuerat commissus civitatis episcopatus, tunc e vita excessisset, communi civitatis suffragio decernitur, ut in Cyrilli sede Paulus succedat: quod quidem et statim finem accepit, et is fuit ordinatus.

H'. Ἀμέλει καὶ πρόεδρος οὗτος Μυλάσσης ἀναδειχθεὶς, πείθει καὶ τὴν Ξένην τὸν ἱερατικὸν βαθμὸν ἀναβῆναι, καὶ χειροτονεῖ ταύτην διάκονον. Ἥτις ἐπεὶ τὴν τῆς διακονίας ἐπιστεύθη τιμὴν (ἀξίως μὲν, ἀκουσίως δὲ), οὐκ ἔστιν εἰπεῖν ὅσοις πόνοις τὸ σῶμα παρέδωκε, καὶ μάλιστα τρυφῇ πάσῃ τὸ πρότερον καὶ εὐπαθείᾳ συνειθισμένον· καινόν τινα ὄντως καὶ ξένον ἡ Ξένη βιώσασα βίον, καὶ οἷον ἄϋλον καὶ ἀσώματον, ὡς καὶ αὐτοὺς δαίμονας πόῤῥωθεν ὑποφρίσσειν τὴν ἀποτομίαν τῆς ἀγωγῆς, καὶ μηδὲ πλησιάσειν ὅλως ἐκείνῃ τολμᾷν. Ἥ γε λύουσα μὲν πολλάκις τὸ πάνυ σύντονον καὶ τραχὺ τῆς ἀσκήσεως, οὐκ ἐντὸς δύο καὶ τριῶν ἤσθιεν ἡμερῶν. Ὅτε δὲ ἀγώνων ἥπτετο, καὶ ἀκριβείας, ὡς εἰκὸς, εἴχετο, καὶ εἰς ἑπτὰ παρέτεινεν ἄσιτος, νόμοις μαχομένη φύσεως, διὰ τὸν νόμον τοῦ πνεύματος. Πλὴν ἀλλὰ καὶ οὕτως ὀψὲ καὶ μόλις εἰς τροφὴν κατιοῦσα, καὶ πρὸς τὸ σῶμα διὰ τὸν σύνδεσμον βλέψασα, οἴνου μὲν καὶ ἐλαίου, λαχάνου τε, φημὶ, καὶ ὀσπρίου καὶ παντὸς, ὡς εἰπεῖν, ὃ διὰ πυρὸς ἔχει τὴν χρῆσιν, ὅλως ἀπείχετο, πρὸς δὲ καὶ ὅσα φέρουσιν ὧραι πάντων ὁμοίως ἄγευστος ἦν· ἄρτῳ δὲ μόνῳ τὴν χρείαν ἐπλήρου, καὶ τοῦτον οὐχ ἁπλῶς καὶ ἀπόνως προσιεμένη, ἀλλ' αὐτοῖς δάκρυσι βρέχουσα, τῇ σποδῷ τε τοῦ θυμιατηρίου προσμάσσουσα· ὡς μηδὲ τὸ ἐσθίειν, ὃ κοινῇ τοῖς φιλοπόνοις ἐστὶ μετρία παράκλησις, ἄπονον αὐτῇ εἶναι, καὶ κακοπαθείας ἐλεύθερον.

VIII. Jam vero is creatus Mylassenus antistes, Hospitæ quoque persuadet, ut ad sacrum gradum ascendat, et eam ordinat diaconissam. Quæ quidem postquam fuit ejus fidei mandatus honor diaconatus, quem merebatur quidem, invita tamen accepit: dici non potest, quantis corpus tradiderit laboribus et maxime quod erat assuetum deliciis et lautitiis omnibus, quamdam vere novam et alienam vitam sectata et plane externam, et veluti materiæ expertem et incorpoream: adeo ut austeram ejus vitam vel procul horrerent dæmones, et nec auderent ad eam omnino accedere. Quæ quidem cum sæpe solveret intensam et asperam exercitationem, non intra duorum aut trium dierum spatium comedebat. Quando autem ad certamina accurate et exacte aggrediebatur, etiam ad septem usque dies permanebat jejuna, pugnans cum naturæ legibus propter legem spiritus. Quinetiam cum sic quoque vix tandem accederet ad cibum capiendum, et ad corpus propter vinculum intueretur, a vino quidem et oleo, et ab oleribus et leguminibus, et a quolibet, ut semel dicam, quo igni admoto utimur, omnino abstinebat Porro autem nullum quoque fructum omnino gustabat, sed solo pane satisfaciebat necessitati naturæ: et nec eum adeo leviter et citra laborem admittebat, sed eum lacrymis irrigabat, et thuribuli cinere aspergebat [2], ut nec ipsum quidem vesci, quod communiter laboriosis solet esse mediocris consolatio, ei esset citra laborem, et liberum a mali perpessione.

Θ'. Καὶ οὗτος τρόπος τῇ Ξένῃ τροφῆς, παρ' ὅλην αὐτῆς τὴν ζωὴν, ὡς καὶ αὐτὴν μετὰ Δαβὶδ τοῦ θείου, σποδὸν ὡσεὶ ἄρτον φαγεῖν, καὶ κιρνᾷν τὸ πόμα μετὰ κλαυθμοῦ. Ταῦτα δὲ ποιοῦσα, καὶ οὕτως ἄρτον ὀδύνης ἐσθίουσα, ἵνα καὶ αὖθις τὰ τοῦ Δαβὶδ φθέγξω-

IX. Fuit autem Hospitæ hic se nutriendi modus per totam suam vitam, adeo ut ipsa cum divino Davide cinerem tanquam panem comederet, et potum cum fletu misceret [3]. Hæc autem faciens, et sic panem doloris comedens (ut rursus dicam, quæ di-

[2] Psal. CI, 10. [3] ibid.

vinus David) etiamsi alias ex sororibus, eas tamen duas, quæ ei assidebant, et fugæ fuerant sociæ, latere non potuit : clam enim aspiciebant, quæ ab ea fiebant, ita ut ipsæ videntes, non viderentur : imo vero non solum videbant, sed etiam pro viribus studebant imitari. Cum autem tam parce et nonnisi necessitate compulsa aleretur, num fortasse somno aliter utebatur, et sic vim consolabatur corporis, idque multa laborans inedia, et veluti concidens, sustentabat et recreabat ? Nequaquam. Sed tam toleranter quidem jejunabat, ut vel hoc solum sufficeret ad dissolvendum robur corporis, etsi nihil esset aliud, quod eam affligeret. Plus autem vigilabat, quam jejunabat, et sic carnem affligebat, tota manu ferens opem spiritui. Id vero ex hoc est evidens, quod cum se, ut solebat, dederet orationi, sole jam occidente non prius quam venirent sorores ad cantanda matutina cantica, solvebat orationem : sed nonnunquam deprehendebatur ab eis tollens manus. Aliquando autem cum vespere humi inclinasset genua, tota nox eam sic tenebat jacentem et deflentem, et Deum vehementer orantem : et quod est omnium maxime admirandum, cum illa sic se in vita exerceret, tanta erat ejus humilitas, ut nullus ex iis, qui se gerunt improbissime, posset ea, qua ipsa erat, esse moderatione.

X. Et ut alia omittam, quæ afferrent molestiam propter multitudinem, ea quidem certe, quæ sunt ejus maxime propria et longe apertissima indicia, tradam piis animis, nempe insignem mansuetudinem et quod nemini unquam visa sit irata : charitatem, quæ sorores summo complectebatur amore, et earum curam gerebat : inanis gloriæ magnum odium, indumentorum, quæ vel idiotæ conveniret, utilitatem, et cui nullius æquari posset, frugalitatem: tales enim erant egregiæ illius virginis vestes, quales vel ex iis, qui in foro mendicant, dedignatus esset aliquis videri gestare: cordis summam tranquillitatem et serenitatem, quæ ad profundum usque adeo processerat, et eam acceperat qualitatem, ut ex externo habitu esset evidens. Postremo id, quod erat præferendum cæteris, quod esset semper cogitabunda et attenta, et plane ejusmodi, ut non gaudio diffunderetur. Ex quo hoc consequebatur, ut nunquam viderentur ejus oculi inanes lacrymis, sed semper parturirent aliquid, non secus ac fontes, ex quibus aqua semper scaturit.

XI. Porro autem cum ea esset e vita excessura, erat quidem dies festus beati Ephraim, non quem aluit Syria, sed qui erat civitati notus et familiaris : qui, inquam, præclare rexit sedem Mylassenorum. Episcopus autem Paulus cum toto populo civitatis, ierat ad vicum Leucen. Illic enim erat et templum, et divini Ephraim erant sacræ repositæ reliquiæ, et festum celebrabatur splendide. Illa vero cum ad se omnes sorores accersiisset, his verbis apud eas cœpit uti, quæ magnam habebant moderationem, et una cum moderatione conjunctum amorem in so-

A μαι, εἰ καὶ τὰς ἄλλας τῶν ἀδελφῶν, ἀλλὰ τὰς δύο ταύτης παρέδρους καὶ τῆς φυγῆς κοινωνοὺς λανθάνειν οὐκ εἶχε. Καὶ γὰρ ἦσαν κρυφίως τὰ ὑπ' αὐτῆς γινόμενα βλέπουσαι, καὶ οὕτως ὥστε ὁρώσας αὐτὰς μὴ ὁρᾶσθαι, μᾶλλον δὲ οὐχ ὁρῶσαι μόνον, ἀλλὰ καὶ ζηλοῦν κατὰ τὸ δυνατὸν αὐταῖς σπεύδουσαι. Οὕτω δὲ τροφῆς ἔχουσα λίαν ἐνδεῶς καὶ ἠναγκασμένως, ἆρα μὴ τῷ ὕπνῳ ἄλλως ἐχρῆτο, καὶ οὕτω τὴν βίαν παρεμυθεῖτο τοῦ σώματος, καὶ ὑπὸ πολλῆς ἀσιτίας κάμνον αὐτὸ καὶ οἱονεὶ καταπῖπτον ὑπήρειδέ τε καὶ ἀνελάμβανεν; Οὐ μὲν οὖν, ἀλλὰ καὶ ἐνήστευε μὲν οὕτω καρτερῶς, ὥστε τοῦτο μόνον ἀρκοῦν εἶναι τὸν τόνον ὑπολεύειν τοῦ σώματος, καὶ εἰ μηδὲν ἕτερον ἦν τὸ συντεῖνον εἰς κακοπάθειαν· ἠγρύπνει δὲ μᾶλλων ἢ ἐνήστευε, καὶ οὕτω κατεπόνει τὴν σάρκα B ὅλῃ χειρὶ βοηθοῦσα τῷ πνεύματι· καὶ τοῦτο δῆλον ἐστιν ἐξ ὧν τῇ εὐχῇ συνήθως ἑαυτὴν ἐπιτρέπουσα, ἡλίου πρὸς δυσμὰς ὄντος, οὐ πρότερον ἢ τὰς ἀδελφὰς συνελθεῖν περὶ τὰς τοῦ ὄρθρου ᾠδὰς ἔλυε τὴν εὐχήν· ἀλλ' οὕτως ὑπ' αὐτῶν ἔστιν ὅτε κατελαμβάνετο ἠρμένη τὰς χεῖρας. Ἄλλοτε δὲ εἰς ἑσπέραν τῇ γῇ τὰ γόνατα δοῦσαν ἡ ὅλη νὺξ αὐτὴν εἶχε κειμένην οὕτω καὶ κλαίουσαν, καὶ Θεῷ θερμῶς εὐχομένην· καὶ ὃ πάντων θαυμάζειν ἄξιον, ὅτι τοιοῦτον ἐκείνη βίον ἀσκοῦσα τοιοῦτον εἶχε τὸ φρόνημα ταπεινὸν, ὡς μηδένα φημὶ τῶν τὰ πονηρότατα δρώντων ἐπίσης αὐτῇ δύνασθαι μετριοφρονεῖν.

Ι'. Καὶ ἵνα τἄλλα παρῶ, ὅσα καὶ τὴν ἀκοὴν ἐνοχλήσει διὰ τὸ πλῆθος, ἀλλὰ τά γε ἰδιαίτατα ταύτης καὶ, ὡς ἂν εἴποις, σαφῆ γνωρίσματα ταῖς φιλοθέοις C παραδώσω ψυχαῖς· τὸ καθ' ὑπερβολὴν πρᾶον, καὶ τὸ μηδέποτε μηδενὶ φανερὰν γενέσθαι ὀργιζομένην, τὸ τῆς ἀγάπης φιλάδελφόν τε καὶ κηδεμονικὸν, τὸ πρὸς κενοδοξίαν κομιδῇ μισοπόνηρον, τὸ τῶν ἐνδυμάτων δεινῶς ἰδιωτικὸν, καὶ ὃ μηδενὸς ἄλλου ἦν, πρὸς εὐτέλειαν ἐξισούμενον (τοιαῦτα γὰρ τὰ τῆς εὐγενοῦς ἐκείνης ἐσθήματα, οἷα ἂν καὶ τῶν ἐπὶ τῆς ἀγορᾶς ἐπαιτούντων ἀπηξίωσέ τις ὀφθῆναι φορῶν)· τὸ τῆς καρδίας ἐσχάτως νήνεμόν τε καὶ γαληνὸν, οὕτω χωρῆσαν εἰς βάθος καὶ ποιωθὲν, ὡς καὶ δῆλον ἀπὸ τῆς ἔξω γίνεσθαι καταστάσεως - ἐπὶ πᾶσιν ὃ καὶ τετάχθαι πρὸ πάντων ἄξιον, τὸ σύννουν αὐτῆς καὶ προσεκτικὸν καὶ ἀκριβῶς ἀδιάχυτον· ἐξ οὗπερ ἀκολουθοῦν εἶχε, τὸ μηδέποτε ταύτης τοὺς ὀφθαλμοὺς δακρύων ὁρᾶσθαι κενοὺς, ἀλλ' ὠδίνειν ἀεὶ, κατὰ τὰς D ἀεὶ βλυζούσας τῶν ὑδάτων πηγάς.

ΙΑ'. Ταύτης οὖν τὸν βίον μελλούσης ἀπολιπεῖν, ἑορτὴ μὲν ἦν τοῦ μακαρίου Ἐφραὶμ, οὐχ ὃν ἡ Σύρων ἔθρεψε γῆ, ἀλλὰ γνωρίμου καὶ συνήθους τῇ πόλει, τοῦ τὸν θρόνον, φημὶ, τῶν Μυλασσέων περιφανῶς κοσμήσαντος. Ὁ μέντοι ἐπίσκοπος Παῦλος σὺν ἅμα παντὶ τῷ πλήθει τῆς πόλεως, ἐπὶ τὴν Λευκὴν κώμην ἀπῄει· ἐκεῖ γὰρ καὶ ὁ ναὸς ἦν, καὶ τοῦ θείου Ἐφραὶμ ἱερὸν ἀπέκειτο λείψανον, καὶ τὰ τῆς ἑορτῆς πάνυ λαμπρῶς ἐτελεῖτο. Ἡ δὲ πάσας αὐτῇ τὰς ἀδελφὰς μετακλήτους ποιησαμένη, λόγων ἤρχετο πρὸς αὐτὰς τοιῶνδε, πολὺ τὸ μέτριον ἐχόντων, καὶ

τῷ μετρίῳ συγκεκραμένον καὶ τὸ φιλάδελφον. Κυ- A ρίαι μου καὶ ἀδελφαὶ, λέγουσα, ἐγὼ μὲν τὴν πολλὴν ὑμῶν περὶ ἐμὲ κηδεμονίαν ἀκριβῶς λίαν ἐπίσταμαι, καὶ ὅπως ξένης καὶ πλανήτιδος οὔσης ἀντελάβεσθέ μου τῆς ἀσθενείας, καὶ εἴσω τῶν ὑμετέρων ἔθεσθε σπλάγχνων, καὶ φιλανθρώπως ἡμᾶς ᾠκειώσασθε· ἀλλὰ καὶ τανῦν ὑμῶν δέομαι, ναὶ σφόδρα δέομαι, μηδὲ ἀπιούσης λήθῃ τὸ ἐμὸν δοῦναι, ἀλλὰ καὶ πολλῷ μᾶλλον αὐξῆσαι τὸ φίλτρον, καὶ τὴν ἐμὴν μνήμην ἀνάγραπτον ταῖς ὑμῶν ὁσίαις ἐγχαράξαι ψυχαῖς, καὶ ἡνίκα δ' ἂν καὶ Θεῷ προσέρχησθε, καὶ χεῖρας ὁσίας αἴρητε πρὸς αὐτὸν, καὶ ἐμοῦ τῆς εὐτελοῦς (καὶ τί γὰρ ἄλλο ἢ δούλης ὑμῶν; εἴητε μεμνημέναι. Οὕτως ἐγὼ ζῶσα καὶ ἀθάνατος ἔσομαι, καὶ μετὰ τέλος εἴ τις αἴσθησις διαφερόντως ἡσθήσομαι. Νῦν γὰρ, ὡς ὁρᾷν ἔχω, τέλος ἔχει τὰ καθ' ἡμᾶς, καί με τις B ὀδύνη συνέχει, καὶ φόβος ἄῤῥητος διασείει μου τὴν καρδίαν, μή μοι γένωνται ἐμποδὼν αἱ πολλαὶ ἁμαρτίαι μου, καὶ τῆς πρὸς Θεὸν ἀπείρξωσι τρίβου. Ἀλλ' εὕροιμι τὰς ὑμῶν ἱερὰς εὐχὰς ὁδηγοὺς ἀγαθὰς, καὶ τὴν ὁδόν μοι ταύτην εὐμαριζούσας. Κἀκεῖνο δὲ πάλιν οὐ μετρίως θράττει μου τὴν ψυχὴν, ὅτι καὶ Παύλου τοῦ κοινοῦ πατέρος ἀπολέλειμμαι, καὶ οὐδὲ αὐτὸς ἄρτι τυγχάνει παρὼν ὑπερευχόμενός μου τῆς ἀποδημίας, καὶ ἀγαθῶν ἐλπίδων οὐκ ἔρημα τὰ ἐκεῖ μοι θήσων· ἀλλ' ὑμεῖς γε ἐλθόντι εἴπατε, καὶ ἀνθ' ἡμῶν ἐπιμελῶς πάνυ δεήθητε, μὴ ἐπιλαθέσθαι μου τῆς Ξένης, ἣν αὐτὸς κατὰ τὸν Χριστοῦ λόγον συνήγαγε, καὶ πρὸς ταύτην ἤγαγε τὴν ὁδόν.

ΙΒ'. Ταῦτα αὐτῆς λεγούσης, ἀστακτὶ τὸ δάκρυον πάσαις ἀπέῤῥει τῶν ὀφθαλμῶν λύπῃ τε ἀποῤῥήτῳ C τὴν ψυχὴν ἐσπαράττοντο, καὶ ἀθυμίᾳ συνείχοντο, καὶ οἱονεὶ κοινῆς μητρὸς καὶ φιλόπαιδος ἀπιούσης, κύκλῳ περιιστάμεναι τὴν ὀρφανίαν ὠδύροντο· πολλῷ δὲ πλέον τῶν δύο θεραπαινίδων αὐτῆς, ἃς καὶ τῆς φυγῆς εἶχε καὶ τῆς ἐν τῇ ξένῃ διαγωγῆς κοινωνοὺς, τὸ πάθος ἥπτετο. Πολλοῦ γοῦν, ὡς εἰκὸς, κλαυθμοῦ καὶ οἰμωγῆς καὶ ταράχου συγκινηθέντος, εἰς οἶκτον καὶ αὐτὴ καὶ δάκρυα θερμὰ κατηνέχθη· πλὴν ἀλλὰ θᾶττον αὐτή τε τε ἀνήνεγκε, κἀκείναις παρῄνει τῶν ὀδυρμῶν ἀφεμένας ἑαυτὰς εὐτρεπίζειν, καὶ τοῦτο μᾶλλον σκοπεῖν, Ὅπως μὴ ἐν τῷ τέλει, φησὶν, ἄξια δακρύων ᾖ τὰ ἡμέτερα. Δεῖ γὰρ τὰς φρονίμους τῶν παρθένων ζηλῶσαι, καὶ τὰς λαμπάδας ἀνάψαι, καὶ τοῦτο θέσθαι διὰ φροντίδος, ὥστε δὴ καὶ ἔλαιον ἐν τοῖς ἀγγείοις λαβεῖν. Ἐμέμνητο δὲ καὶ θείων, ῥημάτων, ὅτι Μὴ βραδύνει Κύριος· ἥξει D γὰρ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης. Ἐπεὶ δὲ καὶ μετὰ τὴν παραίνεσιν ἔτι μᾶλλον αὐτὰς εἶχε τὸ πένθος, καὶ τῆς κλίνης λίαν περιπαθῶς εἴχοντο, καὶ οὐδὲ μικρὸν ἀποστῆναι ταύτης ἠνείχοντο· αὕτη καὶ χεῖρας καὶ ὄμματα πρὸς οὐρανὸν ἄρασα, καὶ τοῖς τῶν ὀφθαλμῶν δάκρυσι τὴν ἔνδον διάθεσιν τῆς ψυχῆς ἀπαγγέλλουσα, Ὁ Θεὸς, ἔφη, ὁ πάντα μοι μέχρι τοῦ νῦν φιλανθρωπότατα γεγονὼς, καὶ πατὴρ, καὶ μήτηρ, καὶ τροφὸς, καὶ πατρὶς, τὸ μόνον καὶ ἡδὺ τῆς ξένης ἐμοῦ παραμύθιον, αὐτός με

4 Matth. xxv, 4.

A rores: Dominæ meæ, dicens, et sorores, ego quidem magnam, quam mei gessistis, curam recte scio, et quemadmodum cum essem externa et errans, meam suscepistis imbecillitatem, et intra vestra viscera posueritis, meque benigne vobis effecistis familiarem, Sed nunc mihi vobis est opus, valde, inquam, et opus, ut nec cum recessero, me mandetis oblivioni: sed multo magis amorem augeatis, et mei memoriam in vestris sanctis animis descriptam et impressam conservetis: et quando ad Deum accedetis, et sanctas manus ad ipsum tolletis, meæ quoque humilis et abjectæ, et quid aliud, nisi vestræ ancillæ? sitis memores. Sic ego ero viva et immortalis, et post finem si ullus est sensus, valde lætabor. Nunc eum quantum possum videre, B mihi finis imminet, et quædam premit molestia, et inexplicabilis metus cor meum agitat, ne sint mihi impedimento multa mea peccata, et arceant ab ea, quæ ad Deum tendit, via: sed inveniam sacras vestras preces bonas duces, et hanc mihi viam reddentes facilem et expeditam. Porro autem illud quoque meum non parum conturbat animum, quod et a Paulo absum communi nostro patre, qui precatus esset pro meo decessu, et effecisset, ut non bona spe defecta illuc proficiscerer. Sed vos id ei cum venerit dicite, et pro nobis vehementer orate, ne mei obliviscatur Hospitæ, quam ipse cenvenienter Christi dicto collegit, et in hanc viam deduxit.

XII Hæc cum ea diceret, omnibus lacrymæ profluebant ex oculis, et dolore, qui dici non potest, earum C cruciabatur animus, et gravi mœrore affligebantur, et utpote communi et filiorum amantissima matre recedente, in orbem circumsistentes, deflebant orbitatem: multo autem magis duas ancillas, quas et fugæ et vitæ, quæ in externa regione acta est, habuit socias, attigit motus animi. Cum itaque multus, ut par est, fletus luctusque et tumultus esset excitatus, ei quoque earum miserenti calidæ decidebant lacrymæ. Cæterum et ipsa cito ad se rediit, et illas est exhortata, ut relictis fletibus, seipsas componerent et hoc potius considerarent, ne in fine ipsæ essent dignæ, quæ defleantur. Oportet enim, inquit, vos prudentes imitari virgines[4], et accendere lampades, et hoc curare, ut in vestris vasis accipiatis oleum. Porro autem divinorum quoque verborum meminit, quod D Non tardat Dominus; veniet enim dies Domini sicut fur. Cum vero post admonitionem lugere magis pergerent, et lecto hærerent valde miserabiliter, et nec minimum quidem ab eo discedere sustinerent, ipsa cum et manus et oculos ad cœlum sustulisset, et oculorum lacrymis internam animi significasset affectionem, Deus, inquit, qui in hodiernum usque diem omnia mihi fuisti benignissime, pater et mater et nutrix, et patria, solum et jucundum mei hospitæ solatium, ipse quoque, Domine, dignare me mane suscipere in supernam

patriam, tuam civitatem Jerusalem. Memento autem harum quoque omnium, quæ mihi secundum spiritum conjunctæ sunt, ut sorores, et conserva eas superiores omnibus maligni dæmonis insidiis. Harum quoque duarum mihi præcipue conservarum memento tu, qui bonus es, et quomodo in hac, quæ est ad tempus, vita, et fugæ, et laborum, et aliorum, quæ in externa regione feruntur, malorum fuere sociæ, et a me perpetuo mansere inseparabiles: ita ut nos quoque illic simus inseparabiles, et beata tua vita fruamur concede.

XIII. Hæc cum præcata esset, rogavit sorores, ut eam parum dimitterent Quod quidem cum factum esset, et illæ essent egressæ, e lecto descendit Hospita, et venit ad oratorium. Deinde inclusa, cum genu flexisset in terram, intense orabat, duabus ancillis extrinsecus eam contemplantibus. Cum ea ergo diutissime produceret orationem, vident repente lætam et claram lucem domum circumfulsisse : et cum suavem, qui dici non potest, sensissent oderem, cui nulla possunt conferri, quæ sunt in terra, aromata, statim fores aperiunt : et cum simul irruissent (o divinam Providentiam!), inveniunt Hospitam feliciter obdormisse, et ad quem desiderabat Christum esse profectam hora sexta diei Sabbati. Egressæ ergo cum flentes et vociferantes sorores convocassent, eam circumstabant, et omnes simul plangebant. Deus autem volens desuper ostendere, cujusmodi lux celabatur in occasu hujus vitæ, maximo signo eam honorat post mortem. Cum enim eam jam reliquisset anima meridie, esselque aer serenus, et sol resplenderet clarissime, in cœlo apparet veluti quædam corona, quæ stellis circulum circumscribebat : in medio autem coronæ cernitur crux, quæ ipsa quoque erat stellis lucidis figurata. Cum ergo miraculum sic evasisset manifestum omnibus, episcopus Paulus, qui in Leuce vico adhuc agebat, cum hoc præter spem spectaculum suis acciperet oculis, divino Spiritu motus, iis, qui congregati erant, dixit : Domina Hospita dormiit, et hoc est ejus signum coronæ et crucis.

XIV. Postquam autem ab eo fuit peractum sacri mysterii ministerium, magno studio illinc recedit: una vero cum eo ivit reliquus quoque populus. Deinde cum ingressi essent civitatem, vident episcopum nihil esse omnino falsum sua prædictione, sed eadem hora Hospitam a rebus mundanis vere fuisse externam, qua illud signum apparuit, et hic vir divino Spiritu afflatus, de ea est hæc locutus. Cum toto ergo populo concurrebant omnes viri et mulieres, cum magna vociferatione et admiratione dicentes: Gloria tibi, Christe, gloria, qui noluisti talem thesaurum in terra latere. Gloria tibi, omnium Opifex, quod parvam nostram et in hodiernum usque diem obscuram civitatem, tam illustrem reddideris, et dedisti, ut posset de tali gloriari thesauro Et sic quidem omnes communiter, multo

καὶ νῦν εἰς τὴν ἄνω πατρίδα τὴν πόλιν τὴν σὴν Ἱερουσαλὴμ παραμβάνειν. Δέσποτα, καταξίωσον· μνήσθητι δὲ καὶ τούτων πασῶν, αἳ κατὰ πνεῦμά μοι ἀδελφικῶς συνηρμόσθησαν, καὶ ἀνωτέρας αὐτὰς πάσης ἐνέδρας τοῦ πονηροῦ διατήρησον· καὶ τούτων δέ μου τῶν δύο τῶν κατεξαίρετον ὁμοδούλων, ὁ ἀγαθὸς, μνήσθητι, καὶ ὥσπερ ἐν τῇ προσκαίρῳ ταυτῃ ζωῇ καὶ φυγῆς ἐμοὶ καὶ πόνων καὶ τῶν ἄλλων τῶν ἐν τῇ ξένῃ κακῶν ἐκοινώνησαν, καὶ ἀχώριστοί μου μέχρι τέλους διέμειναν, οὕτω κἀκεῖθεν ἡμᾶς ἀχωρίστους εἶναι, καὶ τῆς παρὰ σοὶ μακαρίας ἀπολαύειν ζωῆς καταξίωσον.

ΙΓ'. Ταῦτα προσευξαμένη, μικρὸν ἐφεῖναι αὐτῇ τὰς ἀδελφὰς ἠξίου· οὗπερ δὴ γενομένου, κἀκείνων ἐξελθουσῶν, τῆς κλίνης ἡ Ξένη διαναστᾶσα τῷ εὐκτηρίῳ προσέρχεται· εἶτα ἐγκλεισαμένη καὶ γόνυ δοῦσα τῇ γῇ, συντεταμένῳ προσηύχετο, τῶν δύο θεραπαινίδων ἔξωθεν φιλοπόνως αὐτὴν παραθεωμένων. Τῆς εὐχῆς οὖν ἐπὶ πλεῖστον αὐτῇ παρατεινομένης, ἀθρόον ὁρῶσι φῶς τὸν οἶκον περιλάμψαν φαιδρόν· ἀῤῥήτου τέ τινος αἰσθόμεναι εὐωδίας, οὐδενὶ τῶν ἐπὶ γῆς ἀρωμάτων εἰκαζομένης, τὰς πύλας εὐθὺς ἀνοίγουσι καὶ συνεισπεσοῦσαι (ὢ θείας οἰκονομίας !), τὴν μακαρίαν ὁρῶσι Ξένην μακαρίως ὑπνώσασαν, καὶ τὴν πρὸς ὃν ἐπεπόθησε Χριστὸν στειλαμένην, ἕκτης ὥρας καθ' ἡμέρας Σάββατον ἱσταμένης. Εἰξῆλθον οὖν, καὶ τὰς ἀδελφὰς ἐν κλαυθμῷ καὶ βοῇ συγκαλέσασει, περιίσταντό τε αὐτὴν, καὶ ἅμα πάσαις ἐκόπτοντο. Ὁ μέντοι Θεὸς δεῖξαι πᾶσι βουλόμενος ἄνωθεν, οἷον φῶς ἐν ταῖς τοῦ βίου τοῦδε δυσμαῖς ἐκρύπτετο, μεγίστῃ ταύτην μετὰ τέλος θεοσημίᾳ τιμᾷ. Ἤδη γὰρ ἀπολιπούσης αὐτὴν τῆς ψυχῆς μεσούσης ἡμέρας, αἰθίας τε ούσης, καὶ τοῦ ἡλίου φαιδρότατα λάμποντος, στέφανος οἷος ἐν τῷ οὐρανῷ διαφαίνεται, δι' ἀστέρων τὸν κύκλον περιγραφόμενος, ἐν τῷ μέσῳ δὲ τοῦ στεφάνου σταυρὸς καθωρᾶτο λαμπροῖς ἄστρασι καὶ οὗτος σχηματιζόμενος. Τοῦ θαύματος οὖν οὕτως ἅπασι γενομένου καταφανοῦς, ὁ ἐπίσκοπος Παῦλος ἔτι περὶ τὴν Λευκὴν κώμην διάγων, καὶ τὸ παράδοξον τοῦτο θέαμα ὀφθαλμοῖς ἰδίοις παραλαμβάνων, γείῳ Πνεύματι κινηθεὶς, Ἡ κυρία Ξένη, πρὸς τοὺς συνειλεγμένοὺς ἔφη, κεκοίμηται, καὶ ταύτης ἄρα τὸ σημεῖον τοῦ στεφάνου τοῦτο καὶ τοῦ σταυροῦ.

ΙΔ'. Ἐπεὶ δὲ καὶ τέλος αὐτῷ τὰ τῆς ἱερᾶς εἶχε μυσταγωγίας, κατὰ σπουδὴν ἐκεῖθεν ἀνῄει· συνανῄει δὲ αὐτῷ καὶ ὁ λοιπὸς ἅπας ὄχλος· εἶτα καὶ τῆς πόλεως ἔνδον γενόμενοι, θεωροῦσιν οὐδὲν ὅλως διαμαρτόντα τὸν ἐπίσκοπον τῆς προῤῥήσεως, ἀλλὰ κατ' αὐτὴν τὴν ὥραν τὴν Ξένην ξάνην ὄντως γενομένην τῶν ἐγκοσμίων, καθ' ἣν ἤδη καὶ τὸ σημεῖον ἐφάνη, καὶ ὁ πνευματοφόρος οὗτος ἀνὴρ τὴ περὶ αὐτῆς ἀνεφθέγξατο. Συνέτρεχον οὖν παμπληθεὶ πάντες, ἄνδρες δηλαδὴ καὶ γυναῖκες, σὺν πολλῇ τῇ βοῇ καὶ τῷ θαύματι, Δόξα σοι, Χριστὲ, λέγοντες, δόξα τῷ μὴ λαθεῖν ἐπὶ γῆς τοσοῦτον εὐδοκήσαντι θησαυρόν· δόξα σόι, πάντων Δημιουργὲ, ὅτι καὶ Μύλασσαν τὴν μικρὴν ἡμῶν καὶ μέχρι καὶ νῦν ἄδοξον πόλιν, οὕτω περιφανῆ τέθεικας, καὶ τοιούτῳ δέδωκας σεμνύνεσθαι κειμηλίῳ. Καὶ οὕτω μὲν κοινῶς ἅπαντες·

πολλῷ δὲ μᾶλλον τὰ πλήθη τῶν γυναικῶν, ἅμα μὲν A τῷ θερμοτέρῳ τινηθέντα τῆς φύσεως, ἅμα δὲ καὶ τῷ τὴν ὁμογενῆ βλέπειν οὕτω θαυμαστὴν ἐκθέκτως ἑαυτῶν ἔχουσαι, μεθ' ὁρμῆς οἵας τῷ ἀρχιερεῖ προσῆεσαν, Μὴ κρύψῃς ἡμῶν τὴν τῆς πόλεως, λέγουσαι, δόξαν, μὴ καλύψῃς τὸν ἔπαινον, τὸν μαργαρίτην μὴ καταχώσῃς· κοινὴν ταύτης τὴν προπομπὴν ποιησώμεθα, δημοσίᾳ τὸν λύχνον βαστάσωμεν· ἰδέτωσαν πάντες ὡς οὐκ ἀπόβλητα δὴ τὰ γυναικῶν, ὡς οὐκ ἄτιμα· ἰδέτωσαν οἵου δοῦλαι τυγχάνομεν βασιλέως· ἰδέτωσαν Ἕλληνες, Ἰουδαῖοι, καὶ ἐντροπῇ τὰ πρόσωπα καλυψάσθωσαν· γνώτωσαν τίς ὁ σταυρωθεὶς ὑπ' αὐτῶν, καὶ κοψάσθωσαν. Αἱ μὲν οὖν γυναῖκες οὕτως.

ΙΕ'. Ὁ δέ γε ἐπίσκοπος τῇ κλίνῃ τε προσελθὼν καὶ αὐχένα κλίνας, μεθ' ὅσης ἂν εἴποις τοῦ αἰδοῦς B καὶ τῆς εὐλαβείας τῷ σώματι προσεκύνει· πρὸς δὲ καὶ ὁ λοιπὸς τῶν ἱερέων χορὸς καὶ κλῆρος ἅπας τῇ κειμένῃ τὴν ἴσην προσῆγον τιμήν· καὶ οὕτω τὴν κλίνην διαβαστάσαντες ὑπὸ πολλῷ τῷ φωτὶ τῶν λαμπάδων καὶ τοῖς ἀρώμασι διὰ μέσης ἦγον τῆς πόλεως. Ὁ δὲ τῶν ἀστέρων ἐκείνων στέφανος, καὶ σὺν αὐτῷ δήπου καὶ ὁ σταυρὸς, φερομένης μὲν τῆς κλίνης, καὶ αὐτὸς εἵπετο· ἱσταμένης δὲ, δῆλος ἦν ἑστηκὼς, καὶ μονονουχὶ τὴν κλίνην παραδεικνὺς καὶ φθεγγόμενος, ὅτι διὰ ταύτην ἐκεῖνος, καὶ ὑπ' αὐτῇ ὁδηγῷ τὴν ἰδίαν κίνησίν τε καὶ στάσιν οὗτος ποιεῖ. Ὁ δὲ λόγος τοῦ θαύματος καὶ τοὺς ἔξω σπουδῇ περιῄει, καὶ πάντες συνέτρεχον εὐθὺς θεασόμενοι, ὡς μικροῦ C τὴν πόλιν στενοχωρεῖσθαι τοῖς πλήθεσι. Πᾶσαν οὖν οὕτως ἐκείνην τὴν νύκτα διαγρυπνήσαντες, ἥτις καὶ κυρία τῶν ἡμερῶν ἦν, πολλὰς ἐθεῶντο καὶ ἰάσεις ὁμοῦ τελουμένας. Πᾶς γὰρ ὅστις ἢ χρονίᾳ νόσῳ, ἢ πάθει ἀνηκέστῳ κεκράτητο, οὐ πόνων ἐδεήθη πολλῶν, οὐ χρημάτων, οὐ χρόνου τε καὶ διατριβῆς, ἀλλὰ προσεγγίσαι μόνον τῇ κλίνῃ καὶ ἅψασθαι· καὶ ἡ ἀφὴ παντὸς ἦν εὐθὺς ἀπαλλαγὴ τοῦ πιέζοντος.

ΙϚ'. Ἡμέρας οὖν ἤδη διαλαμψάσης, καὶ τρίτης ἑστώσης ὥρας, ἐπὶ τὸν τόπον κατέλαβον, ὃς Συκίνιον μὲν καλεῖται, πρὸς τῷ νοτίῳ δὲ τῆς πόλεως διάκειται μέρει, ἔνθα δὴ καὶ ἡ Ξένη ταφῆς τυχεῖν ἐπισκήψασα ἦν, θάπτουσι ταύτην, νόμῳ μὲν θανάτου τῇ γῇ κρυπτομένην, λόγῳ δὲ ἀρετῆς πανταχόσε κηρυττομένην. Ἐθεωρεῖτο δὲ αὖθις ὅ τε κύκλος D καὶ ὁ σταυρὸς τὰ ὅμοια δρῶν, συνοδεύων τε τῇ κλίνῃ, καὶ ἱσταμένης ἱστάμενος· ἅμα δὲ τῷ κρυβῆναι τῇ γῇ ταύτην, καὶ αὐτὸς κρυβεὶς, καὶ μηκέτι δῆλος μηδενὶ γενόμενος. Οὕτως οὖν ἐκεῖ ταύτην καταθέντες, καὶ ὥσπερ εἰκὸς ἦν, μυρίσαντες τὰς ἐπικειμένας τῷ λειψάνῳ σινδόνας, περιμάχητον αὐτοῖς ἐποίουν τὸ χρῆμα, ὁ ἐπίσκοπος δηλαδὴ καὶ οἱ προεστῶτες· καὶ ὥσπερ τινὰ κλῆρον εἰς ἀλλήλους διανειμάμενοι, παθῶν ἅμα καὶ νοσημάτων καὶ παντὸς ἑτέρου λυποῦντος ἀπαλλαγὴν ἔχειν δι' ἐκείνων ἐπίστευον, καὶ τῶν ἐλπίδων οὐ διεψεύσθησαν. Ἀλλὰ μὴν καὶ ὁ τόπος πλήρης ἰάσεων, ὃς τὸ ἱερὸν ταύτης κρύπτειν ηὐμοίρησε σῶμα, θησαυρὸν ἀκένωτόν τε καὶ ἀδαπάνητον. Οὐ πολὺς ὁ μεταξὺ χρόνος, καὶ αἱ πισταὶ ταύτης

A autem magis multitudo mulierum, quæ simul quidem motæ et calore naturæ, et quod eam, quæ erat ejusdem sexus, viderent adeo admirabilem, non potentes se continere, magno impetu accedunt ad pontificem : Ne nos, dicentes, celaveris laudem nostræ civitatis, margaritam ne infoderis, hanc communiter deducamus : lucernam feramus publice. Videant omnes non esse rejiciendas feminas, ut quæ non sunt infames. Videant cujus regis sumus ancillæ. Videant gentiles, videant Judæi, et vultus suos tegant præ pudore : cognoscant quisnam sit ab eis crucifixus, et plangant. Atque sic quidem feminæ

XV. Episcopus autem cum ad lectum accessisset, B et cum quanta dici potest reverentia, cervicem inclinasset, corpus adoravit. Quin etiam sacerdotum reliquus chorus et universus clerus eumdem jacenti exhibebant honorem. Sicque lectum ferentes, multis comitantibus lampadibus et suave olentibus aromatibus, per mediam duxerunt civitatem. Illarum vero stellarum corona, et quæ cum ea erat crux, cum lectus quidem ferebatur, ipsa quoque sequebatur : cum stabat autem, stans quoque aperte cernebatur: et propemodum lectum ostendens, et loquens quod illa sit propter ipsum, et eo duce et stet, et moveatur. Fama vero miraculi cito pervenit ad exteros, omnesque protinus id visuri concurrebant : ut civitas esset propemodum nimis C angusta civitati. Cum totam ergo illam noctem sic vigilassent (erat autem dies Dominicus), cernebant sic quoque multas fieri curationes. Quicunque enim vel morbo diuturno erat detentus, vel immedicabili aliqua affectione, non multis opus habebat laboribus, non pecuniis, non tempore et mora : sed satis erat solummodo ad lectum accedere et tangere : eratque contactus protinus liberatio a quolibet, quod premebat.

XVI. Cum autem jam dies illuxisset, et esset hora tertia, ubi pervenerunt ad locum, qui vocatur quidem Sycinium: situs vero est ad partem australem civitatis, quo quidem in loco mandarat Hospita, ut sepeliretur : eam sepeliunt, ut quæ lege quidem mortis humi sit condita, virtutis autem ratione ubi- D que prædicetur. Cernebatur autem rursus et circulus et crux facere similia, nempe et ingredi cum lecto : et cum staret, consistere : simul ac vero is fuit terra absconsus, ipse quoque latuisse, et non apparuisse amplius. Cum eam ergo sic deposuissent, et ut par erat, unxissent lintea, quæ erant imposita reliquiis, ejusmodi esse duxerunt, ut pro eis depugnarent, episcopus scilicet et ii, qui aderant; et cum veluti quamdam hæreditatem ea inter se divisissent, a morbis et affectionibus, et a quolibet alio, quod ægre esset, liberationem per illa se habere credebant, neque spe falsi fuere. Quinetiam locus quoque erat plenus curationum, cui obtigit, ut sacrum ejus corpus conderet, thesaurum qui exinaniri non potest et consumi. Non multum in-

tercessit temporis, et fideles ejus ancillæ, aut Dei potius gratæ servæ, e vita excedunt, et ad pedes dominæ sepeliuntur, ex veritate magis ostendi volentes, quam ex eo, quod erat humilitatis legibus dispensatum : et ut per propinquitatem simul cerneretur amor et benevolentia, et servitus rursus et subjectio per ordinem.

XVII. Ex quibus cum quæ primo erat mortua, de sua fuga nihil aperuisset, quoniam secunda quoque erat paulo post moritura, sorores eam sacramento quam maxime horrendo adjurantes, efficiunt ut nihil celet ex iis, quæ facta fuerant, et statim omnia vere narravit : undenam venerit sancta, et quibusnam claris orta sit parentibus, et quænam ei fuerit causa erroris et fugæ, nempe Dei amor inexpugnabilis, propter quem et maximos labores et immodicam sustinuerunt afflictionem : et quodnam esset ejus nomen proprium, nempe Eusebia, ita enim nominabatur a divino baptismate. Imposito autem nomine, maluit illa vocari Hospita, propterea quod a rebus mundanis esset plane hospes et aliena : et etiam ut magis lateret, cui latere gratum erat.

XVIII. Paucis vero post diebus beatissimus quoque Paulus emigrat gloriose, qui fuit revera bonus pastor, suamque vitam post mortem comprobavit miraculis, et cum aliis eo quoque dives est Mylassa civitas. Templum vero Andreæ apostoli ejus corpus tanquam sacrum suscipit. Sunt vero nec ii Mylassæ ornamentum, turres quæ rumpi nequeunt, thesauri sine sumptu, et bonorum omnium suppeditatores : in gloriam Patris, et Filii, et sancti Spiritus, nunc et semper, et in sæcula sæculorum. Amen.

A θεράπαιναι, ἢ τοῦ Θεοῦ μᾶλλον εὐάρεσται δοῦλαι, τὸν βίον ἀπολιμπάνουσι, καὶ πρὸς τοῖς ποσὶ θάπτονται τῆς δεσποίνης, ἑλόμεναι μᾶλλον ἀπὸ τῆς ἀληθείας, ἢ ἀπὸ τοῦ νόμοις ταπεινώσεως οἰκονομηθέντος δείκνυσθαι, καὶ ἵν' ἐν αὐτῷ καὶ τὰ τῆς εὐνοίας καὶ τὰ τῆς στοργῆς, διὰ τῆς ἐγγύτητος, καὶ τὰ τῆς δουλείας πάλιν καὶ τῆς ὑποταγῆς διὰ τῆς τάξεως ὑποφαίνηται.

ΙΖ'. Ὧν τῆς πρώτης θανούσης οὐδὲν περὶ τῆς ἑαυτῶν φυγῆς ἀποκαλυψάσης, ἐπεὶ καὶ ἡ δευτέρα μετὰ μικρὸν ἔμελλεν ἀποθνήσκειν, ὅρκοις ὡς ἔνι μάλιστα φρικτοῖς αἱ ἀδελφαὶ ταύτην καταλαβοῦσαι, μηδὲν τῶν γενομένων ἀποκρύψαι παρασκευάζουσι, καὶ εὐθὺς πάντα ἐκείνη διηγόρευε φιλαλήθως · ὅθεν B τε ὥρμητο ἡ ἁγία, καὶ ὁποίοις ἐχρήσατο πατράσιν ἐπισήμοις, τίς τε ὁ τῆς πλάνης αὐτῇ καὶ τῆς φυγῆς λόγος, ὅτι Θεου ἄμαχος ἔρως, δι' ὃν καὶ πόνους ὑπερφυεῖς, καὶ τὴν ἄμετρον ἠνέσχοντο κακοπάθειαν, καὶ τί τὸ κυρίως αὐτῆς ὄνομα, ὅτι Εὐσεβία · τοῦτο γὰρ ἀπὸ τοῦ θείου βαπτίσματος ὠνομάζετο · τὸ δὲ καλεῖσθαι Ξένη ἐπιθετικῶς ἐκείνη, φερωνύμως δὲ μᾶλλον εἰπεῖν, διὰ τὸ ξενωθῆναι τῶν τοῦ κόσμου, προείλετο, καὶ ἵνα καὶ λάθῃ μᾶλλον, ἡ τὸ λαθεῖν ἀγαπήσασα.

ΙΗ'. Ὀλίγαις δὲ ὕστερον ἡμέραις, καὶ ὁ μακαριώτατος Παῦλος εὐκλεῶς μετανίσταται, ποιμὴν ἀγαθὸς τῷ ὄντι γενόμενος, καὶ θαύμασι τὸν ἑαυτοῦ βίον μετὰ θάνατον πιστωσάμενος, καὶ πλουτεῖ μετὰ C τῶν ἄλλων καὶ αὐτὸν ἡ Μύλασσα πόλις, καί τὸ τοῦ ἀποστόλου ἱερὸν Ἀνδρέου τὸν τούτου νεκρὸν ὡς ἱερὸν ὑποδέχεται, καὶ νῦν εἰσι τῇ Μυλάσσῃ κόσμος, πύργοι ἄῤῥηκτοι, ἀδάπανοι θησαυροὶ, καὶ πάντων ἀγαθῶν χορηγοὶ, εἰς δόξαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

D. S. ANANIA

APOSTOLO DAMASCI ET MARTYRE.

Sæculum I. — *Acta sanctorum Bolland.* ad diem 25 Januarii.)

—

1. Sancti apostoli Ananiæ martyrium in nullis Latinorum cusis manuve exaratis codicibus reperimus: inter Metaphrastæ lucubrationes exstat Latio donatum a Gentiano Herveto, editum a Lipomano tomo VI, De Vitis sanctorum I Octobris, quo die et illud collocavit in suo opere Surius. Nos antiquum Græcum ms. exemplar nacti, Latine ex eo vertimus, contulimusque cum Herveti interpretatione.

2. Martyrium peregisse in iis Actis traditur primo Octobris; quo eum celebrant Græci, ut omnia eorum Menologia, Menæa, Anthologion, aliique rituales Fasti indicant. Auctorum compendium ita refertur in Menologio Henrici Canisii: Commemoratio sancti apostoli Ananiæ, unius ex LXX. Hic cum esset discipulus apostolorum, ab illis factus est episcopus Damasci, qui B. Paulum apostolorum, divina revelatione admonitus, baptizavit. Cum igitur multos in urbe Damasco et Eleutheropoli sanaret, et ad Christi fidem converteret, Licinio præsidi assistens, et Christum verum Deum esse professus aridis nervis cæditur, laniatur, atque extra urbem eductus, jussu præsidis lapidatus est, et martyrii corona donatus. » Menæa aliquanto etiam fusius: «Sancti apostoli Ananiæ Damascenus erat patria sanctus apostolus Ananias, qui Paulum jussu divino, baptismate tinxit; episcopus ejusdem civitatis. Multis igitur Damasci miraculis sanitatum effectis, multisque Eleutheropoli ad Christum adductis, ab Luciano præside nervis bubulis cæditur; lacerantur ei latera, et facibus ustulantur; demumque urbe ejectus, lapidibus obruitur, itaque martyrium finit, et ad æterna tabernacula emigrat.» Eadem habent Maximus Cythenæus et Anthologion ab Clemente VIII approbatum.

2. Latini eodem, quo S. Pauli conversionem, die colunt S. Ananiam Martyrologium vetus Romanum a Rosweyde editum: « VIII Kal Febr. Conversio S Pauli. Apud Damascum S. Ananiæ, qui ipsum Paulum baptizavit. » Eadem fere habent Beda, Usuardus, Ado, Notkerus, aliaque et scripta manu et typis vulgata Martyrologia: e quibus omnibus tam Græcis quam Latinis hoc concinnatum elogium in Martyrologio moderno Romano: « XXV Januarii, apud Damascum natalis S. Ananiæ, qui eumdem apostolum (de Pauli conversione egerat) baptizavit. Hic cum Damasci, et Eleutheropoli, alibique Evangelium prædicasset, sub Licinio judice nervis cæsus et laniatus, demum lapidibus oppressus, martyrium consummavit. »

ΜΑΡΤΥΡΙΟΝ

ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΕΝΔΟΞΟΥ ΑΡΟΣΤΟΛΟΥ ΑΝΑΝΙΟΥ.

—

MARTYRIUM

SANCTI ET GLORIOSI APOSTOLI ANANIÆ.

(Græce nunc primum prodit ex cod. ms. Reg. Paris. n. 1546, sæculi XIII, quem ex altero supplevimus ubi bibliopegi cultellus scripturam eraserat. EDIT. PATR.)

—

Α'. Λουκιανοῦ τοῦ δυσσεβοῦς κατὰ τὰ τῆς ἑῴας A μέρη ἐν Βεθαγαυρῇ [*al.* — ετ] τῆς Ἐλευθεροπόλεως,

I. Cum impius Lucianus (1) ad partes Orientis in Betagauren (2), Eleutheropoleos, ab iis qui non

(1) Græce, Λουκιανὸς in Actis, Menæis, Anthologio, et apud Cythereum. At Menologium et Martyrologium Romanum, *Licinius.* Mendum irrepsisse Martyrologio putat Bivarius, reponendumque Lucilii Bassi nomen; ita namque dextri Chronicon habere an. Chr. 70, n. 3. « Peregrinatio ad loca sancta illi pœniæ ex aliis locis orbis terrarum, a multis quidem et diversis facta: et peregrinatio ad S. Ananiam, passum sub Licilio Basso Judææ procuratore 25 Januarii, Hispanis insuper regionibus celebris habetur. »

(2) Ita ms. Græcum : Ἐν Βηθαγαυρῇ τῆς

minus idolorum vesaniam quam imperii sceptra susceperant, missus esset, acerrima facta Christianorum inquisitio est. Hic ergo Lucianus pro tyrannico sedens tribunali, vel ante opera ipsa verbis animi furorem spirabat, mala, ut ita dicam, fabricans Christianis : litteræque et edicta per omnem provinciam frequentia mittebantur, ut nolentes dæmoniis sacrificare, confitentesque Jesum Christum Dominum nostrum verum Deum, atque ejus sacra sectantes, non solum acerbissimis subjicerentur suppliciis, et per ignem, et feras, ac mare, aliaque cruciatuum genera mortem subirent, sed et sacra eorum corpora domestico sepulcro carerent, forasque raptarentur canibus ac feris pabulum futura.

II. Ananias igitur, cœlestium mysteriorum interpres, Deique apostolus, unus et ipse de septuaginta Christi discipulis (3), divina quadam virtute et inaspectabili claritate, Antiochia, ubi primum Christianorum cœpit nomine celebrari gens nostra, Damascum (4) venit, ut nec ipsa veritatis esset seminum expers, nec pietatis fructuum infecunda.

III. Interea autem Paulus magis magisque adversus apostolorum chorum rabiem parturiens, intolerabiles in eos minas jactans, atque incredibili quodam adversus eos accensus odio, rogavit principem sacerdotum, ut litteras mitteret ad eas synagogas quæ isthic erant, ut qui recusassent Christianorum religionem deserere, eos vinctos sub custodia Hierosolymam vel invitos pertraheret. Ei vero rei omnia sapienter administrans Providentia intervenit, quæ etiam eminus præstruere occasiones solet, quando ita successurum quid videt, ut inde boni quidpiam enascatur. Ibat igitur Damascum Paulus : cumque jam urbi appropinquaret, lumen cœleste oculis suis circumfusum videt, soloque prostratus his se verbis compellari audit : Saule, Saule, quid me persequeris? Et, Consurgens, inquit, pete civitatem, ubi dicetur tibi quid te oporteat facere. Cumque surrexisset,

παρὰ τῶν τηνικαῦτα τῆς εἰδωλικῆς μανίας οὐδὲν ἧττον ἢ τῶν σκήπτρων ἐπιλημμένων ἀπεσταλμένου, τὰ Χριστιανῶν διὰ πολλῆς μάλιστα τῆς ἐρεύνης ἐγίνετο [*al.* ἐγένετο]. Οὗτος οὖν Λουκιανὸς, ἐπὶ τυραννικοῦ βήματος καθεσθεὶς, καὶ πρὸ τῶν ἔργων τοῖς λόγοις ἔπνει, πολλοῖς κατὰ Χριστιανοῖς, ὡς εἰπεῖν, τεκταινόμενος· γράμματά τε καὶ προθέματα κατὰ πάσης ἐφοίτα τῆς ὑπηκόου, τοὺς μὴ βουλομένους μὲν θύειν τοῖς δαιμονίοις, ὁμολογοῦντας δὲ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, Θεὸν ἀληθινὸν καὶ αὐτῷ προσανέχοντας, μὴ μόνον πικροτάταις τιμωρίαις καθυποβάλλεσθαι, καὶ τὸν διὰ πυρὸς, [*deest* καὶ θηρῶν.] καὶ θαλάσσης, καὶ πάσης ἄλλης τῶν κακῶν ἰδέας, ὑφίστασθαι θάνατον, ἀλλὰ καὶ πρὸς ἀλλοπαθὴν τὰ ἱερὰ τούτων σώματα ῥίπτεσθαι, κυσὶ καὶ θηρίοις εἰς βορὰν προκείμενα, καὶ μηδὲ ἐπὶ τῆς οἰκίας [*l.* οἰκείας] ἀξιοῦσθαι ταφῆς.

Β'. Ἀνανίας τοίνυν ὁ θεηγόρος τοῦ Κυρίου ἀπόστολος, τῶν ἑβδομήκοντα καὶ οὗτος μαθητῶν ὢν, θείᾳ τινὶ δυνάμει καὶ ἀοράτῳ τῇ ἐμφανείᾳ, ἐκ τῆς Ἀντιόχου, ἔνθα καὶ πρῶτον ἄνθρωπος τὴν τοῦ Χριστιανοῦ κλῆσιν πεπλούτηκεν, ἐπὶ Δαμασκὸν ἧκεν, ὅπως μηδὲ αὐτὴ τῶν τῆς ἀληθείας σπερμάτων ἄδεκτος εἴη, μηδὲ τῶν τῆς εὐσεβείας καρπῶν ἄγονος.

Γ'. Ἐν τούτῳ δὲ ἄρα καὶ Παῦλος ἐπὶ πλέον τὴν κατὰ τοῦ χοροῦ τῶν μαθητῶν λύσσαν ὠδίνων, τήν τε πρὸς αὐτοὺς ἀπειλὴν ἀφόρητος ἦν, καὶ δὴ καὶ πολλῷ τῷ κατ' αὐτῶν μάλιστα φόνῳ φερόμενος, ἠξίου τὸν ἀρχιερέα ἐπιστολὰς πέμπειν πρὸς τὰς ἐκεῖ συναγωγὰς, ὥστε τοὺς μετιέναι τὰ τῶν Χριστιανῶν ἀπεληλεγμένους, ὑπὸ δεσμοῖς καὶ φρουρᾷ τὴν ἐπὶ τὴν Ἱερουσαλὴμ καὶ ἄκοντας ἄγεσθαι. Τὸ δὲ ἄρα σοφῶς οἰκονομοῦσαν εἶχε τὴν Πρόνοιαν, ἥτις δὴ καὶ πόῤῥωθεν τὰς ἀφορμὰς καταβάλλεται, ἡνίκα καὶ πρὸς ἀγαθόν τι φέρειν οἶδε τὸ ἐκβησόμενον. Προσῄει μὲν οὖν ὁ Παῦλος τῇ Δαμασκῷ, καὶ ὡς μόνον τῇ πόλει προσέβαλλε, φῶς οὐράνιον κατὰ τῶν ὀμμάτων ἧκον ὁρᾷ· καὶ τῷ ἐδάφει ἐπιπεσὼν, « Σαοὺλ, Σαοὺλ, τί με διώκεις; » ἀκούει· καὶ, Ἀναστὰς, φησὶ, τὴν πόλιν κατάλαβε, καὶ ὅ τι δέον ποιεῖν, λαληθήσεταί σοι. Ἀνέῳκτο μὲν οὖν ἀναστάντι τὰ ὄμματα· οὐδένα δὲ εἶχεν ὁρᾷν. Ἀλλ' ὁ μὲν

Ἐλευθεροπόλεως. Hervetus, « Bethagabre Eleutheropolis. » Monologium et Martyrologium Romanum, « Eleutheropolis. » Est Βαιτογαβρὰ, Bætogabra, » Ptolemæo lib. V Geographiæ, cap. 16, et Tabula 4 Asiæ, inter « urbes Judææ ab occasu Jordanis fluvii. » Eadem forte quæ Eusebio de nominibus locorum divinæ Scripturæ, « Bethalaim, vicus uno milliari distans Eleutheropoli descendentibus Gazam. » Qui S. Hieronymo lib De locis Hebraicis « Bethagla » dicitur. Eleutheropolis, autem meminit sæpe S. Hieronymus, et videtur urbs fuisse in Judæa ad Philistæorum vergens regionem; perperam cum Chebrone a nonnullis confusa, ut pluribus docet Bonfrerius noster in cap. IX Judicum v. 21 qui ob nullam ejus in Scriptura repertam mentionem, judicavit Christi et apostolorum temporibus non exstitisse, sed postmodum ante S. Hieronymi tempora fuisse ædificatam. Verum obstat horum Actorum S. Ananiæ locus, nisi « Bethagaure, » sive « Bætogabra, » aut « Bethagla » a recentiore scriptore fuerit « Eleutheropoleos » appellata, (quod ei urbi esset propinqua) quo a duobus aliis locis « Bethagla » dictis distingueretur. Eorum meminit idem Hieronymus in voce « Areaatad. » ita scribens : « Areaatad locus trans Jordanem, in quo planxerunt quondam Jacob, tertio ab Hiericho lapide, duobus millibus a Jordane, qui nunc vocatur Bethagla, quod interpretatur *locus gyri*, eo quod ibi more plangentium circumierint in funere Jacob. » Gen L De eo agitur Josue XV et XVIII « Est denique alia villa Bethagla maritima in octavo a Gaza milliario, » ut Hieronymus ibidem addit.

(3) Idem docent liber de LXX discipulis, qui Dorotheo vulgo tribuitur, Petrus de Natalibus, Maurolycus, Canisius.

(4) Baronius anno Chr. XXXV. cum de discipulis Christi post S. Stephani lapidationem dispersis egisset, addit n. 5 : « Hac ipsa dispersione Ananias discipulus profectus Damascum collegit Ecclesiam.

τὴν Δαμασκὸν χειραγωγούμενος εἴσεισι. Τῷ Ἀνανίᾳ A δὲ, Παρὰ τὴν [Εὐθεῖαν πορεύθητι, φησὶ, ῥύμην, ὁ Κύριος, καὶ τῷ Ταρσεῖ Σαύλῳ τὰς χεῖρας περιθεὶς [*f.* ἐπιθ.], ἄφελε τὴν νεφέλην τῶν ὀφθαλμῶν. Σκεῦος γὰρ καὶ οὗτος ἔσται μοι ἐκλογῆς καὶ βαστάσει τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν τε καὶ βασιλέων καὶ υἱῶν Ἰσραήλ. Ἥκει τοιγαροῦν ὁ θεῖος οὗτος Ἀνανίας κατὰ τὸ εἰρημένον αὐτῷ παρὰ Κυρίου, καὶ Σαύλῳ τὴν του ὁρᾷν δύναμιν ἀποδίδωσι· οὐ γὰρ δεῖ τὰ κατὰ μέρος ἄρτι διεξιέναι, παρὸν ἀπὸ τῶν Πράξεων ταῦτα τῷ βουλομένῳ μαθεῖν. Ὁ δὲ πρός τε τὴν εὐσέβειαν αὐτὸς μετατίθεται, καὶ τὴν κλῆσιν τῷ τρόπῳ συμμετατίθεται, εἰς οὐρανόν τε ἄνεισι τρίτον, καὶ τῷ εὐαγγελικῷ κηρύγματι τὴν οἰκουμένην περίεισι· τοσοῦτος τὸς εἰς Χριστὸν γενόμενος ἔρωτα, ὅσος τὴν κατὰ Χριστιανῶν λύσ- B σαν τὸ πρὶν ἐνομίζετο, ῥώμην τε φύσεως καὶ ψυχῆς μέγεθος δι' ἀμφοτέρων ἐπιδειξάμενος.

Δ'. Οὕτω μὲν οὖν Ἀνανίας καὶ Παῦλον πρὸς τὴν ἀληθῆ χειραγωγήσας ζωὴν, διπλῇ τε φωτίσας καὶ μετὰ τοῦ ὁρωμένου τούτου φωτὸς, καὶ τὸ νοητὸν ὡς χρὴ βλέπειν παρασκευάσας, ἀνὰ τὴν Βηθαγαυρὴ κηρύσσων ἐφοίτα τὸ Εὐαγγέλιον, καὶ ὥσπερ τινὶ λογικῇ σαγήνῃ τῇ περὶ Θεοῦ καὶ θείᾳ διδασκαλίᾳ, οἷς ἂν ἐντύχοι, πάντας ἐφεῖλκε [*al.* εἷλκε] πρὸς τὴν ἐπίγνωσιν.

Ε'. Ἐν τούτῳ δὲ ὢν συλλαμβάνεται παρὰ τῶν οἷς ἔργον θηρεύειν Χριστιανοὺς, καὶ τῷ τοῦ σκότους υἱῷ Λουκιανῷ τῷ ἡγεμόνι προσάγεται. Ὁ δὲ ἐπὶ πανδήμου μὲν εὐθὺς τοῦ θεάτρου προκάθηται, διὰ πολλοῦ δὲ θαύματος τὸν ἄνδρα ποιεῖται, κάλλος τε ὁρῶν οἷον τῇ ὄψει ἐπιφαινόμενον, καὶ τὰ τοῦ ἤθους εὖ κεκρα- C μένα, καὶ γλῶτταν πολλαῖς ταῖς χάρισι βρύουσαν. Ταῦτα ἰδὼν, ἐπὶ προσωπεῖον χρηστότητος καταφεύγει, καὶ τὴν ἐπιείκειαν ὑποκρίνεται, πολλὴν εἴσω τὴν ἀγριότητα κατακρύπτων· πρὸς τὸ ἱλαρόν τε τὸ φθέγμα μεταβαλὼν, Πείσθητί μοι, φησὶν Ἀνανία, τὰ χρηστὰ συμβουλεύοντι, καὶ τοῖς ἡμετέροις θεοῖς συνθέμενος. Ἄρνησαι δ' ὃν κηρύσσεις ἐσταυρωμένον, μηδὲ τὸ τῆς ὥρας οὕτως ἀξιοθέατον ἀνάλωμα γίνεσθαι βασάνων [*al.* βασ. γενέσθαι] παρασκευάσῃς. Ὁ δὲ, Θεὸν ἀληθινὸν, εἴρηκε, προσκυνῶ, αὐτῷ τε προσανέχομαι [*al.* προσανέχω], καὶ αὐτὸν μόνον ὁρῶ, καὶ οὐδὲν ἂν ἐκείνου μοι γένοιτο ἥδιον, οὗ καὶ διάκονος ἐγὼ, πρός τε τὴν τοῦ Παύλου ἐπίγνωσιν, καὶ τὴν τῶν ὀφθαλμῶν ἀνάβλεψιν, οἶδα γεγενημένος· ὃς Σαῦλος μὲν τὸ πρὶν ὠνομάζετο, Παῦλος δὲ παρὰ D Κυρίου τὰ νῦν μετωνόμασται, ἅτε καταπαύσας τοῦ τῆς ἀγνοίας σάλου, καὶ τῷ βεβαίῳ καὶ μόνῳ λιμένι, τῇ τοῦ ἐμοῦ Χριστοῦ πίστει, προσπελάσας δι' ἐπιγνώσεως.

ϛ'. Καὶ ὁ ἡγεμὼν, Ἐοικάς μοι, φησὶ, τῷ μεγέθει πεποιθὼς καὶ τῇ ῥώμῃ τοῦ σώματος, καὶ κατ' αὐτῶν ἆραι τὴν ὀφρὺν τῶν κολάσεων. Ὅθεν δὴ καὶ τὸ συνετὸν εἰς ἀσυνεσίαν σοι περιέστη, καὶ τὸ περιὸν

apertis oculis neminem videre poterat: verum manu ductus Damascum ingreditur. Ananiæ autem præcipit Deus: Vade, inquit, in vicum Rectum, ac Paulo Tarsensi manibus impositis, ab oculis ejus caliginem depelle. Nam et ipse mihi vas electionis erit, probabitque nomen meum coram gentibus et regibus et filiis Israel. Venit igitur divinus Ananias, sicut ei dictum erat a Domino, et Paulo videndi facultatem restituit. Nihil vero attinet minutatim singula persequi, cum in promptu sit ex Actibus ea, si quis voluerit, cognoscere. Ille autem et ad pietatem convertitur, et (5) nomen simul mutat cum moribus, ascenditque in tertium cœlum, atque Evangelium prædicans orbem circuit terrarum, tantus amore erga Christum effectus, quantus rabie adversus Christianos prius existimabatur, utroque et robur naturæ et animi magnitudinem ostendens.

IV. Sic ergo Ananias cum Paulum ad veram perduxisset vitam, dupliciterque illuminasset, et cum hac quæ oculis cernitur luce, ad eam quoque, quæ intelligentia percipitur, ut oportet intuendam præparasset, ibat per Bethagauren prædicans Evangelium, et veluti rationali quadam sagena, divina scilicet doctrina, in quos inciderat omnes ad Dei cognitionem pertrahebat.

V. Cum in his versaretur, comprehenditur ab iis quorum munus erat venari Christianos, atque ad filium tenebrarum Lucianum præsidem perducitur. Ille vero mox in publico theatro præsidet: virum autem plurimum admiratur, emicantem cernens eximiam aspectus venustatem, et singularem morum compositionem, ac linguam multis gratiis fluentem. Hæc cernens larvam benignitatis induit, ac mansuetudinem simulat, multam intus occultans feritatem, et sermone ad hilaritatem composito: Crede mihi, inquit, Anania, utilia suadenti, et diis nostris assensus, repudia quem prædicas crucifixum: neque efficias ut forma hæc aspectu longe pulcherrima suppliciis consumatur. Ille autem: Deum verum, inquit, adoro, ipsi adhæreo, ipsum solum specto, neque eo mihi quidquam esse dulcius potest: cujus ego et ad Pauli mentem veritatis cognitione imbuendam, et visum oculis ejus restituendum minister effectus sum: qui Saulus quidem prius dicebatur, Paulus vero a Domino mutato nomine appellatus est, ut qui superata ignorantiæ jactatione (6), ad firmum ac solum portum, Jesu mei fidem, per agnitionem accesserit.

VI. Videris, inquit judex, magnitudine ac robore corporis fretus, adversus ipsa supplicia tollere supercilium. Quare et sapientia tibi in dementiam conversa est, et abundanti prudentiæ, ut video,

(5) De nomine « Sauli et Pauli » multa habet Thomas Massutius noster in Vita S. Pauli lib. I, cap. 1.

(6) Σάλος commotionem, tumultum, ac maris jactationem significat. Eo auctor alludit, quasi inde Sauli ductum sit nomen. At παῦσις, quies est, παύειν quiescere.

levitas successit. Hæc audiens magister veritatis, oculis et manibus statim in cœlum sublatis: Domine Jesu Christe, inquit, Deus virtutum, nunquam me suis cassibus implicet inimicus. Sed et mihi pro te pati liceat, et coronis tuis ornari, et choro conjungi tuorum discipulorum, ut mihi, sicut et Paulo, salus contingat. In his ille orans pers stabat: sed mox precationem plagæ, nudo terro inflictæ, exceperunt. Ad hæc præcones succlamabant: Præsidi obtempera, et potentibus diis sacrifica. Ananias vero labia quidem movebat, sine voce tamen orationem sursum mittebat ad Deum.

A τῆς φρονήσεως, κουφότης, ὁρῶ, διεδέξατο. Τούτων ἀκούσας ὁ τῆς ἀληθείας διδάσκαλος, ὄμματα καὶ χεῖρας εὐθὺς εἰς οὐρανοὺς ἄρας, Κύριε Ἰησοῦ Χριστὲ, φησὶν, ὁ Θεὸς τῶν δυνάμεων, μή με τοῖς ἑαυτοῦ δικτύοις συλλάβῃ [*al.* συλλάβοι] ποτὲ ὁ ἐχθρὸς, ἀλλά μοι καὶ παθεῖν γένοιτο διὰ σὲ, καὶ στεφάνοις κοσμηθῆναι τοῖς παρὰ σοῦ, τῷ κύκλῳ τὰ συναφθῆναι τῶν σῶν μαθητῶν, καὶ γενέσθαι μοι κατὰ Παῦλον τὴν σωτηρίαν. Ἐκεῖνος μὲν οὖν οὕτως διευχόμενος ἐτέλει [*cl.* εὐχόμενος διετέλει.] Ἀλλὰ τὴν εὐχὴν μάστιγες κατὰ γυμνῶν τῶν νώτων εὐθὺς διεδέχοντο, πρὸς δὲ καὶ κήρυκες. Τῷ ἡγεμόνι πείσθητι, ἐπεβόων, καὶ τοῖς κρατοῦσι θῦσον θεοῖς, Ἀνανίᾳ δὲ τὰ μὲν χείλη, ὑπεκινεῖτο, ἀλαλήτως δὲ ἡ εὐχὴ πρὸς Θεὸν ἀνεπέμπετο.

VII. Ita tormentis minisque superior est factus, ac prius carnifices ab inferendis, quam ipse a tolerandis verberibus fatigati destitere. Ergo a tormentis discipulus simul et martyr relaxatur, rursus vero ad blanditias vulpes (præsidem dico) convertitur. Sed nunc saltem, inquiebat discipulo, ad te redi, et tuæ parce animæ, tuæque pulchritudinis miserere, quæ alioqui perit. Nam majora te manent supplicia, ipsos juro deos. Ille autem multo Christi amore cor inflammatus, fortiter acriterque insultans respondit, non modo se nunquam sacrificaturum esse dæmonibus, sed curaturum ut quoscunque posset ad Christi fidem converteret. Deinde et in ipsum præsidem linguæ nervos intendit, acrioribusque eum verbis incessit: Non erubescis, inquit, o vere infelix, ac pudoris foveam ingrederis, nunc quidem flagris sæviens, nunc blanditiis subrepens et tanquam delicatum quempiam puerulum mollibus nos verbis demulces?

Ζ'. Ὡς οὖν καὶ βασάνων κρείττων καὶ ἀπειλῶν ἦν, καὶ ἀπειπεῖν τοὺς πλήττοντας πρότερον ἐνομίζετο, ἢ πρὸς τὰς πληγὰς ἀπαγορεῦσαι τὸν πάσχοντα, B τῆς βασάνου μὲν ὁ μαθητὴς ὁμοῦ καὶ μάρτυς ἀφίεται· τὰ δὲ τῆς θωπείας καὶ αὖθις ἡ ἀλώπηξ (τὸν ἡγεμόνα φημὶ) μετέρχεται. Ἀλλὰ κἂν γοῦν ἄρτι γενοῦ σεαυτοῦ, τῷ μαθητῇ λέγων, τῆς τε σῆς φεῖσαι ψυχῆς, τὰ τε τῆς σῆς οἴκτειρον ὥρας ἐλεεινῶς ἀπολλύμενα, ἐπεί σε καὶ πικρότεραι κολάσεις ἐκδέξονται, αὐτοὺς ὄμνυμι τοὺς θεούς. Ὁ δὲ πολλῷ τὴν καρδίαν τῷ περὶ Χριστὸν ζέσας ἔρωτι, γενναῖον ἡμείψατο καὶ θερμότερον, οὐ μόνον οὐδέποτε ἂν αὐτὸς θῦσαι τοῖς δαίμοσιν, ἀλλὰ καὶ πάντας, οὓς ἂν δύναιτο, συντίθεσθαι τῇ τοῦ Χριστοῦ πίστει παρασκευάσαι. Ἐντεῦθεν εἰς τὸν ἡγεμόνα ἕλκει νευρὰν, καὶ πικροτέροις αὐτὸν βάλλει τοῖς ῥήμασιν. Οὐκ ἐγκαλύπτῃ, λέγων, ἀληθῶς ἄθλιε, καὶ τῷ τῆς αἰσχύνης βόθρῳ ἐγκαταδύῃ, νῦν μὲν μαστίζων, νῦν δὲ τὴν κολακείαν ὑποδυόμενος, καὶ ὥσπερ ἁπαλόν τινα τὴν φρένα παῖδα καὶ νήπιον μαλακοῖς ἡμᾶς τοῖς ῥήμασι C περισαίνων;

VIII. His incitatus judex, nudatum martyris corpus jubet ferreis unguibus laniari, dein et lampadibus ustulari, ut dum paulatim corpus eliquaretur, ita diuturniores dolores ad cor affluerent. Sed ferreos ungues, perinde ac eos illius quispiam pateretur, contemnebat martyr: ignis quoque ille cessabat, neque ignis esse credebatur: ipsum vero cor tyranni quadam ratione pervadebat, magisque ad insaniam concitabat; et: Quousque, inquit, jussis imperatorum non obtemperabis, et quos ipsi deos colunt, non honorabis? At ille: Cur me, ait, eadem et de iisdem loqui sæpius cogis, tanquam eorum qui in chorea ludunt, sermonis cursum circumagentem? Scias igitur, scias et credas, non solum fore ut nulla re frangar, non cruciatu, non donis, non blanditiis, non minis, neque alia re ulla, sed ut eos etiam, qui jam sunt superati, aut sponte in errorem inciderunt, acerbe defleam, et te præ cæteris deplorem, qui non solum tibi ipsi sis exitii causa, sed et alios plures, partim inducas, partim cogas invitos impietatem complecti. Nescis quod quæ a vobis coluntur, æs sunt, ligna, ac lapides, quibus ut materia utens homo, ipse Dei figmentum, ista efformat? Quomodo ergo potest non ab-

Η'. Θυμὸς εἷλεν ἐπὶ τούτοις τὸν δικαστὴν, καὶ γυμνωθὲν κελεύει τὸ σῶμα τοῦ μάρτυρος ὄνυξι σιδηροῖς διαξαίνεσθαι, πρὸς δὲ καὶ λαμπάσι πυρὸς καταχαίεσθαι, ὡς ἂν κατὰ βραχὺ τηκομένου τοῦ σώματος, ἐπιμονώτερα τὰ τῶν ἀλγηδόνων οὕτως εἰς τὴν καρδίαν εἰσρέωσιν. Ἀλλὰ τὰ μὲν τῶν σιδηρῶν ὀνύχων οἷά τινος ἑτέρου, τῷ μάρτυρι, πάσχοντες, ἐνομίζετο· τὸ δὲ πῦρ ἐκείνῳ μὲν ἀπελώφει, καὶ οὐχ ὡς πῦρ ἐλογίζετο, κατὰ δὲ τῆς τοῦ τυράννου καρδίας ἐχώρει τρόπον τινὰ, καὶ πρὸς μανίαν μᾶλλον ἠρέθιζε. Καὶ, Μέχρι τίνος, ἔλεγε, τοῖς τῶν βασιλέων προστάγμασιν οὐχ ὑπείξεις, καὶ οὓς αὐτοὶ σέβονται θεοὺς, καὶ αὐτὸς τιμήσεις; Ὁ C δέ· Τί με τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν φθέγγεσθαι πολλάκις καταναγκάζεις, ὥσπερ ἐν χορείᾳ παιζόντων, τὸν τοῦ λόγου δρόμον ἑλίττοντα; Ἴσθι τοιγαροῦν, ἴσθι καὶ πέπεισο, ὡς οὐ μόνον οὐκ ἄν τινι χειρωθείην τῶν ἁπάντων ἐγὼ, οὐ ποιναῖς, οὐ δωρεαῖς, οὐ θωπείαις, οὐκ ἀπειλαῖς, οὐδὲ ἑνὶ ἑτέρῳ· ἀλλ' ὅτι καὶ τοὺς ἤδη κεχθττημένους, ἢ καὶ αὐθαιρέτως τῇ πλάνῃ περιπεσόντας, πικρῶς ὀλοφύρομαι, καὶ σὲ μᾶλλον πρὸ τῶν ἄλλων θρηνῶ, μὴ μόνον ἀπωλείας αἴτιον σεαυτὸν [*f.* σεαυτῷ] γενόμενον, ἀλλὰ καὶ πολλοὺς ἑτέρους, τοὺς μὲν ἐπαγόμενον, τοὺς δὲ καὶ

ἄκοντας αἱρεῖσθαι τὴν ἀσέβειαν βιαζόμενον. Οὐκ A οἶσθα, ὅτι τὰ παρ' ὑμῶν σεβόμενα χαλκός εἰσι, καὶ ξύλα, καὶ λίθοι, οἷσπερ ὡς ὕλῃ χρώμενος τὸ τοῦ Θεοῦ πλάσμα ὁ ἄνθρωπος ταῦτα δημιουργεῖ; Πῶς οὖν οὐκ ἄτοπον ὑπὸ τοῦ δημιουργοῦ προσκυνεῖσθαι τὸ δημιούργημα; ἢ τίς ἄν ποτε φρενὸς ὑγιοῦς ἄνθρωπος τῷ τῶν ἑαυτοῦ χειρῶν ἔργῳ σέβας ἀπονείμι, καὶ τὰ ἀγαθὰ παρ' αὐτοῦ αἰτήσαιτο;

Θ'. Τούτοις τὸ τῆς ἀπωλείας ἀνδράποδον ἐπιχολώτερος γεγονὼς, ἐπεὶ τέλεον ἀπεῖπε, διὰ λόγων πρὸς τὸν ἀθλητὴν ἀγωνίζεσθαι, λίθοις αὐτὸν βάλλειν ὁ λίθος ἔξω τοῦ ἄστεως τοῖς παρεστῶσιν ἐκέλευεν. Ὁ δὲ καὶ τοιαῦτα μέλλων παθεῖν, ἀντὶ τῶν λίθων τὴν γλῶτταν ἐπαφῆκε τοῖς μὴ οὖσι θεοῖς, Θεοὶ, λέγων, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. Ἐν δὲ τῷ προστεταγμένῳ τόπῳ γενόμενος, καὶ τοῖς λίθοις καταχωννύμενος, τὰς χεῖρας ἀνατείνας εἰς οὐρανὸν, Ὁ Βασιλεὺς τῶν βασιλευόντων, ἔφη, καὶ Κύριος τῶν κυριευόντων, B ὡς εὐπρόσδεκτόν μου δέξαι θυσίαν τὴν διὰ τῶν λίθων ταύτην τελείωσιν. Ταύτην εὐθὺς τὴν εὐχὴν οἱ ἐκ Θεοῦ στέφανοι καὶ ἡ τῆς ἀεὶ μενούσης βασιλείας κλῆσις, ὡς τὸ εἰκὸς, διεδέξαντο, πρώτην τότε τοῦ Ὀκτωβρίου μηνὸς ἄγοντος.

Ι'. Τὸ δὲ μαρτυρικὸν σῶμα, καὶ φιλαλήθως μακάριον, τῶν αὐτοῦ φιλομαρτύρων τινὲς, μετὰ τὸ τοὺς δημίους οἴκαδε ἀναστρέψαι, λαμπρῶς τε ἀνελόμενοι, καὶ λαμπρότατα περιβαλόντες, ἐν τῇ Δαμασκηνῶν κατάγεται τὸν πατρῷον αὐτοῦ κλῆρον κατέθεσαν, εἰς δόξαν Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος, τῆς μιᾶς καὶ ἀχωρίστου Τριάδος· ᾗ πρέπει τιμὴ, κράτος, μεγαλοπρέπεια, νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A surdum videri, ut opus ipse suum adoret opifex, aut quisnam homo sanæ mentis operi manuum suarum cultum exhibeat, aut bona ab eo petat?

IX. His servus perditionis magis efferatus, cum non valeret verbis adversus athletam decertare, lapidibus obrui, ipsemet lapis, eum extra urbem ab astantibus jubet. Is vero qui talia erat passurus, pro lapidibus linguam misit in eos qui non sunt dii, dicens: Dii qui cœlum et terram non condiderunt, pereant. Cum vero ad locum constitutum pervenisset, ac jam lapidibus obrueretur, manibus in cœlum elevatis; O Rex regum, inquit, et Domine dominantium, suscipe hoc acB ceptabile sacrificium, meam hanc per lapides consummationem. Continuo preces oblata a Deo corona, atque ad regnum æternum evocatio, ut par erat, est consecuta, primo die mensis Octobris.

X. Corpus vero martyris vere beatum, quidam martyrum amantes, postquam lictores domum essent reversi, magnifice sustulerunt, et splendidissime involutum in regione Damascenorum, in paterna ejus hæreditate deposuerunt (7) ad gloriam Patris, Filii et Spiritus sancti, unius et individuæ Trinitatis, cui convenit honor, imperium, majestas et magnificentia, nunc et in sæcula sæculorum. Amen.

(7) Quaresmius lib. VII, peregrin. 6, cap. 4, ait tradi a Syris, S. Ananiæ corpus sepultum esse, aut certe translatum, ad nobilem ecclesiam, in quam mutata est domus Judæ, primum S. Pauli hospiC tium, ubi ab Anania illuminatus est. De qua Judæ domo, et fonte in quo S. Paulus est baptizatus, agit Christophorus Radzivilius in Hierosolymitana Peregrinatione, epistola 2.

DE SANCTIS CONJUGIBUS

XENOPHONTE ET MARIA

EORUMQUE SANCTIS FILIIS

ARCADIO ET JOANNE.

Sæculum V. — *Acta sanctorum Bolland.* ad diem 26 Januarii.)

Xenophontem, ac Mariam illius conjugem, eorumque liberos Arcadium et Joannem, senatoria dignitate amplissimisque possessionibus abdicatis, monasticam vitam Hierosolymis pari animorum ardore professos, venerantur Græci hoc die officio ecclesiastico. Ita namque Anthologion a Clemente VIII approbatum : « Eodem mense, die 26, sancti Patris nostri Xenophontis et sociorum. Sanctus hic Xenophon Constantinopoli erat, externarum opum copia affluens, at multo etiam interna erga Deum religione clarior, qui cum duos filios suos Arcadium et Joannem, Berytum urbem in Phœnice sitam, ad juris leguinque disciplinam et scientiam consequendam, missos, naufragium fecisse intellexisset, ad eos conquirendos una cum uxore profectus est domo tandemque Hierosolymis eos reperit, monachico habitu indutos : ubi et ipse ac conjux solitariam amplexi vitam, eousque ambo in stadio virtutis proverti sunt, ut eorum quoque filii, ut miracula etiam patrarent. Perseverarunt autem omnes in Dei servitio, ac tandem ad eum emigrarunt. »

II. Eadem habet Maximus Cythereus, ac Menæa, sed hæc multis præterea antiphonis eos celebrant. Referuntur quoque in Græco Menologio. E Latinis Galesinius ad hunc diem ista scribit : « In Græcia S. Xenophontis confessoris. His excellenti in Deum pietate, ergaque pauperes benignitate incredibili, Hierosolymam profectus monasticæ vitæ instituta suscepit : in eaque vivendi ratione ita se excoluit, ut Dei gratia ac domo multis mirabiliter gestis rebus, ac'aque sanctissime vita abierit ad Dominum. » In notis accepisse se hæc e monumentis Græcis scribit : at mirum est eum Mariæ ac filiorum non meminisse. Eadem ex Galesinio recitat Canisius in posteriori editione. Molanus in addit. ad Usuardum : « Die 26, sancti Patris Xenophontis, et comitatus ipsius. »

III. Idem porro Anthologion S. Januarii ista habet: «Eodem mense, die octavo, S. Xenophontis et sociorum, et S. Marciani presbyteri, etc. » Quo die Philippus Ferrarius in generali Catalogo sanctorum : « Constantinopoli S. Xenophontis confessoris. » Menæa 6 Martii Arcadium referunt, filiumne Xenophontis an alium, nobis incompertum; ista solum habent: Eodem die, sancti Patris nostri Arcadii.

« Lumbos qui sub intelligentiam cadunt, virtutibus præcinctus,
« Egregio ornatus cingulo, Arcadi, ad cœlum curris »

IV. Vitam S. Xenophontis et sociorum, a Simeone Metaphraste, aut alio quopiam vetustiore auctore, conscriptam, acceperat Rosweydus e codice Græco bibliothecæ Christianissimi regis. Eam Latine vertit Ortho Zylius noster, hactenus nunquam luci datam.

M. Qua ætate vixerit S. Xenophon, ex Nicephoro Callisto liquet. Is l. XIV, c. 52, cum de magno Euthymio egisset, de quo nos 20 Januarii, de Xena, sive Eusebia, de qua 24 Jan., de Eudocia Augusta, e aliis qui quinto sæculo, sanctitatis opinione illustres exstitere, ista adnectit : « Præterea celeberrimus ille Xenophon iisdem temporibus floruit, qui prius senatorii ordinis fuerat, non minus externis opibus, quam internis animi dotibus conspicuus. Miseaat is Berytum, quæ Pœnices urbs est, disciplinæ et lequm discendarum gratia, Arcadium et Joannem filios suos. Cum autem ii naufragium in mari passi essent, ad eos perquirendos una cum conjuge profectus est. Porro ubi eos Hierosolymis monasticum institutum omnes complexos invenit, ipse quoque, et cum eo conjux, tranquillioris vitæ habitum induunt. Ad eam vero omnes virtutem pervenere, ut et faciendorum miraculorum gratiam a Deo consecuti sint. Cumque acceptam Deo vitam egissent, ad eum tandem emigrarunt. »

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΞΕΝΟΦΩΝΤΟΣ

ΚΑΙ ΤΩΝ ΑΓΙΟΥ ΤΕΚΝΩΝ ΙΩΑΝΝΟΥ ΚΑΙ ΑΡΚΑΔΙΟΥ.

—

VITA ET CONVERSATIO

SANCTI XENOPHONTIS

ET

FILIORUM EJUS JOANNIS ET ARCADII.

(Textus Græcus, hactenus nunquam luci datus prodit ex cod. Reg. Paris. n. 1456. EDIT. PATR.)

—

CAPUT I.

Xenophontis patria, conjux, liberi.

I. Xenophon, admirandus ille, ex ea civitate oriendus est, quæ reliquas tum pulchritudine, tum magnitudine, tum situ cæterisque rebus superat, et Constantino Magno, primo inter Christianos imperatore (qui veræ fidei professione æque religiosissima confirmatione clarissimus fuit), tanquam conditore suo gloriatur. Quod igitur inter civitates illa civitas, hoc ipsum Xenophon inter viros fuit; ætatis flore eximius, virtute prorsus eminens, senatoria dignitate conspicuus, neque primis gloriæ insignibus ulli secundus. Sed et maximis affluebat divitiis, earumque rerum copia, quæ, ut Jobus loquitur [1], bonæ videntur. Quare non abs re cum illo dicere potuit : «Fluunt viæ meæ butyro, et montes mei fluunt lacte.»

II. Verum quantum opibus eminebat, tantum cogitatione demittebatur, majore virtutum opulentia deorsum vergens. Non solum enim Xenophon illa splendoris ornamenta, sed multo magis virtutum similitudinem cum Jobo sibi communem ostendit; eumdem praterea referens tum tentationibus, tum consolatione, tum tentationum victoria, quam a summa Dei bonitate, propitiicque divini oculi in tales virtutum cultores respectu, consecutus fuit. Itaque divinus hic vir beatitudinem suam non facultatibus aut amplitudine metiebatur, neque (qua erat sapientia) ex vanitate sibi gloriolam con-

A A'. Ξενοφῶν ὁ θαυμάσιος, ἔφυ μὲν ἐκ ταύτης τῶν πόλεων, ἣ πασῶν τῶν ἄλλων κάλλει τε καὶ μεγέθει, καὶ θέσει, καὶ τοῖς ἄλλοις κρατεῖ, ἧς οἰκιστὴς ὁ πρῶτος ἐν Χριστιανοῖς βασιλεὺς Κωνσταντῖνος ὁ Μέγας, ὁ τῆς εὐσεβοῦς πίστεως ὁμολογητὴς ἅμα καὶ βεβαιωτὴς εὐσεβέστατος. Ὅπερ οὖν ἡ πόλις ἐν πόλεσι, τοῦτο καὶ Ξενοφῶν ἐν ἀνδράσι· πρῶτος ἐν ὥρᾳ βίου, καὶ τὴν ἀρετὴν ἀπαράμιλλος, ὃς τῆς συγκλήτου βουλῆς ὑπάρχων, καὶ τῶν τὰ πρῶτα φερόντων εἰς δόξαν οὐδενὸς δεύτερος, ἔτι καὶ πλούτῳ πολὺς ἦν, καὶ κατὰ τὸν θεῖον Ἰὼβ τοῖς δοκοῦσι τούτοις ἀγαθοῖς εὐθηνούμενος, ὡς καὶ αὐτὸν εὐκαίρως μετ' ἐκείνου λέγειν, ὅτι «Χέονταί μου αἱ ὁδοὶ βουτύρῳ, τὰ δὲ ὄρη μου χέονται γάλακτι.»

B B'. Ἀλλ' ὅσῳ πλούτῳ λαμπρὸς ἦν, τοσούτῳ δὴ τῷ φρονήματι ταπεινὸς, καὶ πλούτῳ βρίθων τῆς ἀρετῆς μείζονι. Δέδεικτο γὰρ Ξενοφῶν οὐ τῇ λαμπρότητι μόνον τῶν κατὰ κόσμον Ἰὼβ, ἀλλὰ καὶ πολλῷ πλέον [τῇ] τῆς ἀρετῆς ὁμοιότητι, προσθήσω δ' ὅτι καὶ τοῖς πειρασμοῖς, καὶ τῇ παρακλήσει καὶ λύσει τῶν πειρασμῶν· ὅπερ ἐστὶ τῆς πολλῆς ἀγαθότητος τοῦ Θεοῦ, καὶ τῶν εὐμενὲς βλεπόντων ὀφθαλμῶν ἐκείνου πρὸς τοὺς οὕτω δι' ἀρετὴν πάσχοντας. Ὁ τοίνυν θεῖος οὗτος ἀνὴρ, οὐ τοῦ πλούτου καὶ τῆς περιφανείας μακάριον ἑαυτὸν ἡγεῖτο, οὐδὲ καύχημα ἴδιον ὁ σοφὸς ἐποιεῖτο τὴν ματαιότητα, μᾶλλον μὲν

[1] Job. XXIX, 6.

flabat, verum hisce rebus addictos esse miserrimos, et mentis inopia laborare judicabat. Credebat enim in eo summam suæ felicitatis consistere, si sciret atque cognosceret Dominum, si eum timeret, sique adhæreret præceptis ejus. Atque hinc, ut divinus David est auctor, majorem gloriam atque divitias habuit in domo sua[2] Hinc enim idem David existimat, hæc sæpenumero Dominum timentibus reddi a potentissima maximeque liberali optimi Numinis manu.

III. Cæterum legitima illi conjux fuit, Maria nomine, claris parentibus nata, marito vitæ ac morum vere consors. Ex hac duo illi nati sunt filii, Joannes atque Arcadius, quorum summam curam habuit, ut ad eos non corporis tantum bona, sed etiam virtutis doctrinæque luculenta perveniret hæreditas : quæ et possessoribus opes servat, et facit ut has ipsi potius possideant, quam ab iis male possideantur: neve aut illiberaliter eas contineant aut improvide expendant. In utroque enim par inest turpido, si sine rationis ac temporis modo, aut largiter effluant, ubi non decet, aut parce tenuiterque stringantur, cum, quod Paulus dilaudans beatissimum prædicat, in benedictionibus seminandum fuerit[2*]. Quamobrem liberos doctrina omni Xenophon implet, sive ea, quæ linguam elegantiis Græcanicis excolit, sive altera, quæ secundum Deum est, philosophia ; qua partim mores exornantur, partim animus ad Numinis amorem extollitur Postquam vero etiam legum scientia eos imbui voluit, ad Berytum urbem, quæ hac tempestate viris legum peritissimis florebat maxime, haud gravate dimisit. Qua in re sese patrem vere filios amantem prodidit, satius ducens, filiorum conspectu tantisper carere, quam illos seriarum utiliumque rerum perceptione fraudare.

οὖν καὶ τοὺς οὕτως ἔχοντας ἀθλίους ἔκρινε καὶ λίαν ἐπιδεεῖς τὴν διάνοιαν· ἀλλ' ἐν τούτῳ Ξενοφῶν ἐνόμιζεν ἑαυτὸν μακαρισμοῦ ἄξιον, ἐν τῷ συνιέναι καὶ γινώσκειν τὸν Κύριον, καὶ αὐτὸν φοβεῖσθαι, καὶ τῶν ἐντολῶν αὐτοῦ περιέχεσθαι. Καὶ διὰ τοῦτο μᾶλλον δόξαν ἔσχε καὶ πλοῦτον, ὥς φησιν ὁ θεῖος Δαβίδ, ἐν τῷ οἴκῳ αὐτοῦ. Βούλεται γὰρ οὗτος ἀντιδίδοσθαι, καὶ ταῦτα πολλάκις, τοῖς φοβουμένοις τὸν Κύριον παρὰ τῆς πολλὰ καὶ δυναμένης καὶ δωρουμένης τοῦ ἀγαθοῦ δεξιᾶς Θεοῦ.

Γ'. Συνάπτεται δὲ αὐτῷ καὶ νόμῳ γάμου γυνὴ τῶν εὖ γεγονότων (Μαρία ταύτῃ τὸ ὄνομα), ἣ καὶ βίου καὶ τρόπου κοινωνὸς αὐτῷ γίνεται, καὶ δύο παῖδας τῷ μακαρίῳ γεννᾷ· ὧν τὸν μὲν Ἰωάννην, Ἀρκάδιον δὲ τὸν ἕτερον, ὀνομάσας, πολλὴν εἶχε καὶ ἀμφοτέρων πρόνοιαν, ὥστε μὴ τῆς οὐσίας μόνον τῆς πατρικῆς, ἀλλὰ καὶ τῆς ἀρετῆς, καὶ τῆς παιδείας κληρονόμους αὐτοὺς ἀποδεῖξαι, ἣ καὶ τὸν πλοῦτον οἶδε σώζειν τοῖς κεκτημένοις, καὶ ποιεῖν ἔχειν αὐτὸν μᾶλλον ἢ ὑπ' ἐκείνου κακῶς ἔχεσθαι, καὶ ἢ συνέχειν δουλοπρεπέστερον, ἢ ἀναλίσκειν ἐπισφαλέστερον. Ἀμφότερα γὰρ ἴσην ἔχει τὴν ἀτοπίαν, λόγου καὶ καιροῦ λειπόμενα, καὶ τὸ δαψιλῶς ῥέειν ἔνθα μὴ δεῖ, καὶ τὸ φειδωλὸν εἶναι καὶ μικρολόγον ἔνθα τὸ σπείρειν ἐπ' εὐλογίαις, ὅ φησι Παῦλος, μακάριον καὶ ἐπαινετόν. Διὰ τοῦτο καὶ πάσης αὐτοὺς παιδείας πληροῖ, ὅση τε τῆς Ἑλληνικῆς φιλοκαλίας ἐστὶ τὴν γλῶτταν ἀσκοῦσα, καὶ ὅση τῆς κατὰ Θεὸν φιλοσοφίας τά τε ἤθη κοσμοῦσα, καὶ τὴν ψυχὴν πρὸς φιλοθεΐαν ἀνάγουσα. Ἐπεὶ δὲ καὶ νόμον αὐτοὺς ἠβούλετο γνῶσιν ἔχειν, πρὸς πόλιν Βηρυτὸν ἐκπέμπει (ἐκείνη γὰρ τότε τοῖς πολλὴν ἔχουσι περὶ τῶν νόμων μελέτην ἀνδράσιν ἤνθει) πατρὸς ὄντως φιλόπαιδος ἐπιδείξας ἔργον, υἱῶν ὁμιλίας ὑπομεῖναι στέρησιν αὐτὸς ἀνασχόμενος, ἢ ἐκείνους ἀποστερῆσαί τινος τῶν σπουδαίων καὶ ὠφελίμων.

CAPUT II.

Æger filios accersit, instruit : divina ope curatur.

IV. His itaque studiis cum gnaviter incumberent filii, in morbum gravissimum parens incidit. Ac morbus quidem mortem minabatur, sed filiorum absentia morte gravior erat, cum vehementer metueret, ne jucundissimo eorumdem conspectu, ac desideratissima dulcissimorum pignorum consuetudine frustratus ex hac vita raperetur. Igitur et celeriter advocantur, et citissime advolant, de ideriorum alis sublevati, viæque longitudinem ardore mentium contrahentes. Non tantum enim amabantur, sed et non minus amabant, neque solum a natura, verum etiam a virtute, quam desideriis mutuis alerent, huic incitabantur; sic ut vere filii essent, qui tum in parentem summo amore ferrentur, tum vicissim a parente plurimum diligerentur. Quare ubi in dulcissimos filiorum vultus conjicere oculos parenti licuit, confestim morbo levari cœpit, et a præsentis voluptatis magnitudine

Δ'. Ἔτι δὲ περὶ τὴν τοιαύτην ἄσκησιν τῶν παίδων ἀσχολουμένων, ὁ πατὴρ νόσῳ περιπίπτει δεινῇ· καὶ ἡ μὲν νόσος ἠπείλει θάνατον, ἡ δὲ τῶν παίδων στέρησις καὶ θανάτου πλέον ἐλύπει, μὴ οὕτω φθάσας ἀθέατος ἀπέλθοι καὶ ἀνομίλητος φιλτάτων ὄψεων ὁμιλίας ποθεινοτάτης. Διὰ τοῦτο καὶ μετακαλεῖται τάχιον, καὶ αὐτοὶ παρῆσαν οὐκ εἰς μακράν, πόθου πτεροῖς κουφιζόμενοι, καὶ τὸ πολὺ τῆς ὁδοῦ βραχὺ τῇ θέρμῃ τῆς ψυχῆς ποιούμενοι. Οὐ γὰρ ἐφιλοῦντο μόνον, ἀλλὰ καὶ οὐδὲν ἧττον ἐφίλουν, οὐ τὸ πᾶν ἔχοντες ἁπλῶς ἐκ τῆς φύσεως, ἀλλὰ καὶ ἀφορμὰς εἰς πόθον ἀλλήλοις ἀπὸ τῆς ἀρετῆς νέμοντες, ὡς εἶναι τούτους φιλοπάτορας υἱοὺς πατρὸς σὺν ἀληθείᾳ φιλόπαιδος. Ἰδὼν δὲ τοὺς παῖδας, καὶ πρὸς γλυκεῖαν ὄψιν ὄμματα προσβαλὼν, ῥᾷων εὐθὺς γίνεται, καὶ κουφοτέρας ὥσπερ τῆς νόσου διὰ τὴν παροῦσαν ἡδονὴν αἰσθάνεται. Λύει γὰρ πολλάκις εὐφροσύνης ὑπερβολὴ νόσον σώματος, ὥσπερ καὶ μὴ

[2] Psal. CXI, 3. [2*] Cor. IX, 6.

οὖσαν ἐκκαλεῖται μέγεθος ἀθυμίας. Περιλαβὼν οὖν τοὺς παῖδας καὶ ὅλος αὐτοῖς ἐκ περιχαρείας περιχυθεὶς, καὶ ἅμα μὲν ἡδονῆς πληρούμενος τῷ τοὺς φιλτάτους ἰδεῖν, ἅμα δὲ καὶ εἰς λύπην τῇ στερήσει τούτων διὰ τῆς τοῦ θανάτου μνήμης ἐπανιὼν, πολλοῖς ἦν καὶ παντοδαποῖς τοῖς πάθεσι μεριζόμενος· τοῦτο μὲν ἀγαλλιῶν, τουτο δὲ καὶ περιαλγῶν καὶ κατηφείας μεστὸς γινόμενος, νῦν μὲν ὑφ' ἡδονῆς ἀσπαζόμενος, νῦν δὲ δακρύων τὰς παρειὰς πληρούμενος, ἄρτι φωνὰς εὐχαριστηρίους προπέμπων Θεῷ, ἄρτι τῆς ἀνθρωπίνης καταστενάζων φύσεως.

Ε'. Εἶτα καὶ λόγων ἥπτετο πρὸς αὐτοὺς, καταρτίζειν ἔτι πρὸς ἀρετὴν βουλόμενος, αἰσχύνης ἄξιον εἶναι ὑπολαμβάνων, εἰ φθαρτῶν μὲν πραγμάτων μέλλων αὐτῷ κληρονόμους τοὺς παῖδας καταλιπεῖν, μὴ πολλῷ δὲ μελήσει πλέον τὰς ἐντολὰς αὐτοῦ καὶ τὰς παραινέσεις κλῆρον αὐτοῖς ἀφεῖναι παρὰ πολὺ τιμιώτερον καὶ λυσιτελέστερον. Ἐμοὶ μὲν οὖν, ἔλεγε, τέκνα, ὁ ἀνθρώπινος ἴσως βίος πρὸς τέλος ἤδη χωρεῖ· εἰ βούλεσθε δὲ πατρὶ χάριτας ἀποδοῦναι (βούλεσθε δὲ, οἶδα, πολὺ τὸ πρὸς ἡμᾶς φίλτρον ἔχοντες), ταύτην ἐμοὶ ἀπόδοτε πασῶν χαρίτων προτιμωμένην· ἥ δέ ἐστι, τὸ θελήμασιν ὑμᾶς ἀκολουθῆσαι Θεοῦ, καθ' ὃ καὶ ἤδη ἀκολουθοῦντες ἐστε, καὶ ὀπίσω τῶν ἐντολῶν αὐτοῦ καὶ τῶν θελημάτων πορεύεσθαι. Ὃ βούλομαι λέγειν, οὐ διὰ τῦφον ἐρῶ, ἀλλὰ ἐπαγαγέσθαι πλέον ὑμᾶς γλιχόμενος. Εἰ γὰρ βουληθῆτε καθάπερ ὑποδείγματι χρῆσθαι τῷ ἐμῷ βίῳ, καὶ πρὸς αὐτὸν ἀφορῶντες, ὥσπερ εἰς εἰκόνα δὴ καὶ ἀρχέτυπον, οὕτω τὰ καθ' ἑαυτοὺς ῥυθμίζειν, ἴσως οὐ πολλῶν ἄλλων δεήσεσθε διδασκάλων· ἄλλως τε δὲ, καὶ τὸ παράδειγμα ἐγγὺς ἕξετε, καὶ μᾶλλον αὐτῷ ποιηθήσεσθε· εὐμαθέστεραι γὰρ τῶν οἰκείων διδασκαλίαι, λόγῳ τε καὶ πράξει γινόμεναι, καὶ πολλῷ πλέον τῶν ἄλλων τὸ πιθανὸν ἔχουσαι. Οἴδατε γὰρ οἵα μοι πρὸς πάντας ἀναστροφὴ γέγονε, καὶ ὅπως ἐκ πάντων, οὐκ ἀγάπης μόνον, ἀλλὰ καὶ τιμῆς ἐτύγχανον ἀπολαύων, οὐκ ἀλαζονείας χάριν καὶ τύφου ἕνεκεν, ἀλλ' ἐπιεικείας καὶ τρόπων χρηστότητος. Οὐκ ἐξύβρισα πρός τινα οὐδαμῶς, οὐ λοίδορον ἀφῆκα γλῶσσαν, οὐκ ἐφηλάμην ταπεινοτέρῳ τινὶ, οὐ λάθρα κατελάλησα τοῦ πλησίον, σκανδάλου οὐδενὶ κατέστην αἴτιος, τῷ θυμῷ κατὰ τῶν ὑπηκόων οὐδ' ὅλως ἐφῆκα, ἔχθραν ἢ ὀργὴν κρύπτειν εἰς καρδίαν οὐκ ἠνεσχόμην, ὥσπερ δὲ τῇ γλώσσῃ οὕτω καὶ τοῖς ὀφθαλμοῖς φυλακὴν ἐθέμην· οὔτε γὰρ προσέσχον ἀλλοτρίῳ κάλλει, οὔτε γυναικὶ προσῆλθον πλὴν τῆς ὑμετέρας μητρὸς, καὶ ταύτῃ μέχρι τοῦ τεκεῖν τοὺς φιλτάτους ὑμᾶς, εἶτα συνθήκας ἀλλήλοις πρὸς ἁγνείαν ἐθέμεθα. Καὶ τούτων δὲ τὴν μίμησιν, εἴ γε βούλεσθε, ἀρκούντως ἀπὸ τῶν ἐμῶν ἕξετε, ὀρφανοῖς προσέχειν, χηρῶν προΐστασθαι, νόσῳ πιεζομένους ἐπισκέπτεσθαι, ἀδικουμένους ἐκ χειρὸς στερεωτέρων ῥύεσθαι, μητρὶ σέβας, ἱερεῦσι νέμειν τιμὴν, μοναχοὺς, καὶ μάλιστα τοὺς ἐν ἐρημίαις, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς πάσης. ἀξιοῦν προνοίας· οὐ μὴν ἀλλὰ καὶ περὶ τοὺς δούλους ἐπιεικῶς ἔχειν καὶ φιλανθρώπως, διὰ

mali fugam sentire. Sæpe enim ut vis gaudii corporis morbum expellit, ita mœroris acerbitas infirmitatem absentem advocat. Amplexatus igitur liberos, ac totus iis ex lætitiæ abundantia circumfusus, et simul ex dilectissimorum conspectu gaudii plenus simul in tristitiam ex eorum privatione mortisque memoria relabens, in multiplices variosque affectus distrahebatur; hinc quidem exsultans, inde autem dolens, mœstitiaque perfusus: nunc lacrymis genas inundans, nunc gratulabundus Deo, nunc humanæ naturæ cogitatione ingemiscens.

V Deinceps et verba facere cœpit, quibus eos ad virtutem componeret; indignum ratus, si obnoxiam corruptioni illis hæreditatem relinqueret, et non omni cura præcepta ac monitiones tam pretio, quam utilitate terrenis rebus longe superiores, ad eosdem patrimonii loco transmitteret: Mea quidem, inquit, vita, liberi, jam ad metam spectat: quod si vobis ali[q]uam parenti gratiam referre cordi est (de quo vestri in me amoris ardor dubitare non sinit), hoc unum mihi, quod cæteris omnibus præferam, reponite, ut divinæ voluntati, quemadmodum facitis, obsequamini, vitamque ex præscripto ejusdem instituatis. Quod porro dicturus sum, id haudquaquam ab inani gloriatione, sed a summo vos incitandi desiderio, profectum accipite. Si enim vita mea tanquam exemplo uti libuerit, conjectisque in eamdem oculis vos ad eam velut quoddam specimen atque imaginem conformare, fortassis alius vobis magister non erit opus: cum et exemplar vobis domi futurum sit, et sic facilius in vobis suam sit formam expressurum. Nam doctrina domestica, qua sermone, qua opere expressa, et ad docendum accommodatior, et ad persuadendum efficacior est, quam externa. Cæterum nostis, quæ mea fuerit cum omnibus agendi ratio, quæ undique non amorem modo, sed venerationem quoque mihi conciliavit, ex modestia nostra morumque benignitate, non ex ostentatione, aut vanæ laudis aucupio prognatam. Nunquam san[e] cu[i]quam insolenter injurius fui, linguam a calumniis abstinui, abjectis non insultavi, non furtim res proximorum diripui, nulli offendiculi causam dedi, in subditorum neminem iracundiæ frena laxavi, inimicitias et iras in pectore latere non sivi, æque linguæ et oculis custodiam imposui, in alienam pulchritudinem non intendi, ad mulierem non accessi, præterquam ad matrem vestram; qua donec vos mihi clarissimos peperit, usus sum, castimonia deinceps ex pacto mutuo servata. Sed et in hisce imitari nos abunde potestis, si volueritis pupillos curare, tutari viduas, morbis oneratos visitare, oppressos injuria a potentiorum manu vindicare, matri reverentiam, sacerdotibus honorem tribuere, monachis, ac præsertim iis qui in solitudinibus, montibus ac speluncis et in cavernis terræ degunt, omni sollicitudine providere: ad hæc servos mansuete et clementer habere, propter eum qui pro nobis secun-

dum ineffabilis benignitatis leges servi formam indutus est. Juniores igitur servi tanquam filii curandi sunt, seniores atque ætate provecti libertate donandi; ac ne tum quidem curæ vestræ expertes esse debent, vestrum usque dum vivere desinant, alimenta ipsis suppeditanda. Insuper amicis estote fidi, inimicis benevoli, nulli malum reddentes. Hac vivendi ratione et propitium vobis Numen habebitis, et longitudine dierum saturabimini.

VI. His auditis, filii lacrymis perfusi, tantum acerbitatis ex imminente intolerabili parentis sibi charissimi morte sensere, quantum ferre vix possent, et ore, et oculis et toto corporis habitu ne ipsos desereret, sed vitam potius a Deo longiorem peteret, obsecrabant. Perspexerant enim quo ille esset apud Deum loco, quem sincera probitas tot factis testata commendaret. Quod si impetrarent, tum demum aiebant perpetuo sibi mandata divina cordi fore. At Xenophon altum ex imo pectore suspirium ducens, Ex quo, inquit, hic me morbus lecto affixum tenet, non alio spectarunt preces meæ: quin hac ipsa nocte utrorumque votis Deus annuit. Divino enim oraculo compertum habeo, me jussu Dei nunc in vita mansurum. Quo intellecto filii præ lætitiæ magnitudine se continere non poterant, perinde ac si non patris vita prorogata, sed mors ipsorum decreto quodam abrogata esset. Ubi vero, superata vi morbi, perfecta sanitate pater frui cœpit, haudquaquam insomniis delusus, denuo filios Berytum, ad litterarii cursus cœptum stadium conficiendum, reverti jussit: Vos, inquiens, abite filii, ac studia cordi habetote; ego interim de matrimonio vestro sollicitus ero, et quam brevissime reduces, cum idoneis vos uxoribus conjungam. Hæc locutus, navigio impositos dimittit.

A τὸν ὑπὲρ ἡμῶν, νόμοις ἀφάτου φιλανθρωπίας, δούλου μορφὴν ἐνδυσάμενον· καὶ τῶν μὲν νέων ὡς ἰδίων προνοεῖν τέκνων, τοὺς γηραίους δὲ καὶ προβεβηκότας ἐλευθερίας μὴν ἀξιοῦν, πλὴν μηδὲ οὕτως ἀπολύειν προνοίας, ἀλλ' ἄχρι τέλους τὰ τῆς τροφῆς αὐτοῖς χορηγεῖν· φίλοις εἶναι πιστούς, ἐχθροῖς εὐμενεῖς, κακοῦ δὲ ἀνταποδοτικοὺς οὐδενί. Οὕτω βιοῦντες ἵλεών τε τὸ Θεῖον ἐφ' ὑμᾶς ἕξετε, καὶ μακρότητος ἡμερῶν ἀπολαύσεσθε.

ς'. Τούτων οἱ παῖδες ἀκούσαντες, δάκρυά τε θερμὰ τῶν ὀφθαλμῶν καταχέαντες, καὶ τὴν τοῦ πατρὸς στέρησιν φορητὴν αὐτοῖς εἶναι λέγοντες οὐδαμῶς, ἠξίουν καὶ χείλεσι, καὶ ὀφθαλμοῖς, καὶ τοῖς σχήμασι μὴ ἐγκαταλιπεῖν αὐτούς, ἀλλ' αἰτῆσαι
B παρὰ Θεοῦ καὶ ἔτι τὴν ἐν τῷ βίῳ ζωήν. Καὶ γὰρ ᾔδεσαν οἷα τῷ πατρὶ πρὸς Θεὸν ἡ διὰ τῶν ἔργων τῶν ἀγαθῶν οἰκείωσις. Οὕτω γάρ, ἔλεγον, καὶ τελειωτὰς ἡμᾶς ὀφθῆναι παρασκευάσεις τῶν σῶν ἐντολῶν. Ἐκεῖνος οὖν μέγα τι καὶ βύθιον ἀπὸ τῆς ψυχῆς στενάξας. Ἀφ' οὗ, εἶπεν, ἡ κλίνη με αὕτη ἔσχε τῇ νόσῳ κάτοχον, τοῦτο μοι δέησις πρὸς Θεόν, καὶ τῇ νυκτὶ ταύτῃ ἀμφοτέροις ὑμῖν ἐπινεύει τὴν αἴτησιν. Τοῦτο γὰρ εἶδον σαφῶς δι' ἀποκαλύψεως κελευσθεὶς ἔτι περιεῖναι τῷ βίῳ. Ἤκουσαν οἱ παῖδες, καὶ καθεκτοὶ οὐδ' ὅλως ὑφ' ἡδονῆς ἦσαν, ὥσπερ οὐ τοῦ πατρὸς εἰσέτι ζῆν μέλλοντος, ἀλλ' αὐτῶν μηδέποτε θανεῖν ὡρισμένων. Ἐπεὶ δὲ καὶ τῆς νόσου κρείττων ἦν ὁ πατήρ, καὶ ὑγείας ἀπέλαβε [f. ἀπέλαυε] καθαρᾶς, οὐδὲν αὐτὸν ψευσαμένων τῶν
C ὀνειράτων, ἐπέτρεπεν αὖθις τοὺς παῖδας τὴν εἰς Βηρυτὸν ὁδεύειν, ὥστε τοῖς ἠργμένοις ἤδη τῶν μαθημάτων ἐπιθεῖναι πέρας, Ὑμεῖς μέν, ἄπιτε, ὦ παῖδες, εἰπών, καὶ τούτου ὑμῖν τοῦ ἔργου μελήσει· ἐμοὶ δὲ περὶ γάμων ὑμετέρων ἡ φροντὶς ἔσται, καὶ ὅπως θᾶττον ἐπανελθόντας γυναιξὶν ἡμᾶς συνάψω ταῖς προσηκούσαις. Ἔφη, καὶ εἰς πλοῖον αὐτοὺς ἐμβαλὼν ἀπέπεμπεν.

CAPUT III.

Filii ad studia revertentes, naufragium patiuntur.

VII. Atque nunc quidem ad ea quæ dicturus sum, intendendus est animus, cum sese jam prodat jucundissima narrationis pars, quæ simul divinæ providentiæ ac bonitatis multiplicatem, simul admirandam propositi nobis argumenti seriem ostendit. Secunda igitur navigatione aliquantisper usi sunt fratres, leni vento provecti: inde turbo repente in navem incumbere, magnique ac teterrimi fluctus excitari, et præter morem mugire salum, tum immensi aquarum montes irruere, navigioque exitium minari; cum interea demissis festinanter velis nautæ in incertum agerentur. At juvenes (animadverte, obsecro, radicis bonæ surculos bonos) cæterorum immemores, illico se vertebant ad Deum, nimirum unicum verumque præsidium. Cujus opem cum implorarent, non opera sua, sed paternum bene agendi studium commemorabant, satis gnari hac se ratione citius exauditum iri. Recor-

Ζ'. Ἀλλὰ προσέχειν ἤδη τοῖς ῥηθησομένοις ἐπιμελῶς δεῖ· ἔνθεν γὰρ προκύπτον ὁρῶ τοῦ λόγου τὸ χαριέστατον, ὁμοῦ μὲν καὶ τὸ ποικίλον τῆς τοῦ Θεοῦ προνοίας καὶ χρηστότητος ὑπεμφαῖνον, ὁμοῦ δὲ καὶ τῶν προκειμένων ἡμῖν εἰς διήγησιν τὴν θαυ-
D μασίαν οἰκονομίαν. Εἶχε μὲν τοὺς παῖδας ὁ πλοῦς καλῶς μέχρι τινὸς καὶ πράῳ τῷ πνεύματι φερομένους· εἶτα λαίλαψ ἀθρόον τῇ νηὶ προσπεσοῦσα, κλύδωνός τε μεγίστου καὶ χαλεποῦ γενομένου, καὶ τῆς θαλάσσης μὲν ἐξαίσιόν τι καὶ φρικῶδες μυκησαμένης, τῶν κυμάτων δὲ δεινῶς ἐπεγειρομένων, καὶ καλύπτειν ἤδη τὴν ναῦν ἀπειλούντων, οἱ μὲν ναῦται σπουδῇ τὰ ἱστία καθέντες ἐφέροντο· οἱ παῖδες δὲ (καὶ ὅρα ῥίζης ἀγαθῆς ἀγαθὰ βλαστήματα), πάντων ἀπογνόντες τῶν ἄλλων, πρὸς Θεὸν εὐθὺς ἔβλεψαν τὴν μόνην ἀληθινὴν βοήθειαν, αὐτόν τε καλοῦντες εἰς προστασίαν, οὐκ οἰκείων ἔργων, ἀλλὰ πατρικῆς ὑπεμίμνησκον ἀγαθοεργίας, καὶ οὕτω

μᾶλλον δυσωπεῖν ἔγνωσαν, Μνήσθητι, λέγοντες, A ἔργων πατέρων ἡμῶν, Δέσποτα, καὶ δι' αὐτοὺς μὴ ἐάσῃς ἐν ἡμίσει ἡμερῶν ἡμῶν εἰς βάθη τῆς θαλάσσης ἡμᾶς καταβῆναι, μηδὲ καταποντισάτω ἡμᾶς καταιγὶς ὕδατος. Μνήσθητι σῶν οἰκτιρμῶν, μνήσθητι χρηστότητος ἀνεικάστου· βλέψον ἐκ ναοῦ ἁγίου σου, ἐκ φρικτοῦ κατοικητηρίου τῆς σῆς ἀφράστου μεγαλειότητος, καὶ ἴδε πῶς ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως δεόμεθά σου τῆς ἀηττήτου χειρός· καὶ μὴ παραδώσῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου ἐξελοῦ ἡμᾶς, εἰς δόξαν τῆς μεγαλωσύνης σου· οὐδὲ γὰρ οἱ νεκροὶ αἰνέσουσί σε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδην, ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομέν σου τὸ φοβερὸν ὄνομα. Καὶ τοιαύτη μὲν τῶν ἱερῶν B παίδων ἡ πρὸς τὸν Θεὸν δέησις, παισὶν ἑτέροις πολλῷ πρότερον δεηθεῖσιν ὁμοίως ἔχουσα. οὐκ ἐκ πυρὸς κατ' ἐκείνους, ἀλλ' ἐξ ὕδατος σωθῆναι θερμῶς δεομένων.

Η'. Ἐπεὶ δὲ ὁ κλύδων οὐδὲ κατὰ μικρὸν ἐσπένδετο, Θεοῦ κρίμασιν οἷς αὐτὸς οἶδε τὰ ἐκείνων θαυμασίως οἰκονομοῦντος, καὶ ὁ κίνδυνος ὅσον οὔπω προσδόκιμος ἦν, οἱ ναῦται μὲν εὐτρεπίσαντες ἤδη τὴν ἐφολκίδα, πρὸς αὐτὴν ἥλαντο, καὶ ἔνθα ἂν αὐτοὺς ἦγε τὸ πνεῦμα δόντες ἑαυτοὺς ἤγοντο. Οἱ δὲ παῖδες, ἐπεὶ τῆς ἄνωθεν ἀπεγνώκεισαν βοηθείας, καὶ ἄπρακτον αὐτοῖς γένεσθαι τὴν εὐχὴν ᾤοντο, ἀγνοοῦντες βαθυτέρας λόγους οἰκονομίας, καὶ τὸ ἄβυσσον εἶναι πολλὴν τὰ τοῦ Θεοῦ κρίματα, ὥσπερ ἐν ὀφθαλμοῖς ἤδη τὸν πικρὸν θάνατον ὁρῶντες, ὅλοι τοῦ πάθους C ἐγένοντο· καὶ ἀλλήλους περιλαβόντες, καὶ χερσὶ χεῖρας καὶ πόδας ποσὶ συμπλέξαντες, ὄμμασί τε ὄμματα, καὶ στόμα στόματι περιθέντες, ἀσπασμοῖς τε πυκνοῖς τὸ πάθος παρεμυθοῦντο, καὶ δακρύων πηγαῖς ἀλλήλους κατέκλυζον, καὶ τὴν μακρὰν ὥσπερ στέρησιν ἀπωδύροντο. Εἶτα δεινόν τι καὶ γοερὸν ἀνοιμώξαντες, βοῇ τε τὸ πάθος σημαίνοντες τῆς ψυχῆς, καὶ οἷον πικρότερον καὶ αὐτοῦ θανάτου τὸν χωρισμὸν λογιζόμενοι, Χαῖρε, φίλη πατρὸς ὄψις, χαῖρε, μητρὸς, ἔλεγον, συγγενῶν φίλων ἡδονή, χαῖρε· οὐκ ἔτι ἀλλήλοις εἰς θέαν ἥξομεν, οὐκ ἔτι τὰς παρ' ἀλλήλων εὐφροσύνας ἕξομεν. Φεῦ! ἀδελφὲ φίλτατε, φεῦ! ὄψις ἡδίστη, φεῦ, ὅπως ὀδυνηρῶς διασπώμεθα! Τί ποτε ἄρα ἦσαν αἱ γονέων εὐχαί; τί αἱ πρὸς τοὺς πένητας εὐποιίαι, αἱ πρὸς τοὺς φιλαρέτους ἄνδρας D καὶ μοναχοὺς θεραπεῖαι; Οὐδενὸς τούτων οὐδεμία πρὸς Θεὸν ἀνέβη εὐχή; ἢ ἀνέβη μὲν, ἰσχυροτέρα δὲ ταύτης ἡ τῶν ἡμετέρων ἁμαρτιῶν ὤφθη δύναμις; Φεῦ, ὅπως πατέρα θρηνοῦντες πρὸ μικροῦ θνήσκοντα, ἐμέλλομεν μᾶλλον αὐτοὶ πατρὶ καὶ μητρὶ γενέσθαι δακρύων πρόφασις, θρῆνος οὐκ ἔχων πέρας, πένθος ὅλῳ βίῳ παρατεινόμενον! Ἀπολήψῃ, πάτερ, τοὺς παῖδας, ὡς ἤλπισας, πλήρεις μαθημάτων, πλήρεις παιδείας, ὤμοι δὲ [ὧν μηδὲ] θανόντων κόνιν ἕξεις ἰδεῖν. Γάμους τῶν υἱῶν ὄψει, πάτερ, ὡς εἶχες νοῦν, καὶ τὸν ὑμέναιον ᾀδόμενον ἐπ' αὐτοῖς ἀκού-

A dare, inquiunt, Domine, opera parentum nostrorum, ac propter eos ne siveris nos in dimidio dierum nostrorum demergi in profundum maris, neque absorbeat nos tempestas aquæ. Memento miserationum, memento incomparabilis benignitatis. Respice de templo sancto tuo, ex tremendo habitaculo ineffabilis magnitudinis tuæ, ac vide quemadmodum animo contrito et spiritu humilitatis imploramus invictam manum tuam. Ne tradas nos in mortem, propter nomen tuum, sed fac nobiscum secundum clementiam tuam, et secundum multitudinem misericordiæ tuæ eripe nos ad gloriam majestatis tuæ. Neque enim mortui laudabunt te, neque omnes descendentes in infernum; sed nos qui vivimus, benedicemus tre- B mendum nomen tuum. Hæc erat sanctorum juvenum ad Deum precatio, aliorum antiquissimorum juvenum orationi simillima, non ex ignibus, ut illi [3], sed ex aquis ferventer eripi postulans.

VIII. Postquam vero procella ne tum quidem dedit inducias (Dei utique judicio, quibus ipse nosset modis mirabiliter eorum cursum gubernantis), et periculum pristino majus incubuit, tum nautæ in scapham jam paratam desiliunt, et quocunque ventus impelleret, ferebantur. Verum fratres a cœlesti jam ope abjecti, irritasque se preces fudisse rati, cum gubernationis abditæ rationes ac judicia Dei abyssum esse multum ignorarent, acerbissimam oculis mortem intuentes, dolore toti conster- C nabantur. Igitur invicem complexi, et manus manibus, pedibus pedes implicantes, oculos quoque oculis, et oribus ora componentes, nunc frequenti valedictione affectus suos prodebant, nunc lacrymarum fontibus invicem inundabant, et longissimam illam disjunctionem lamentabantur. Hinc acerbissime ingemiscentes, et clamore sensum animi indicantes, ipsaque morte amariorem quodammodo securam mox absentiam ducentes, Vale, inquiebant, jucundissime patris aspectus; vale mater; amantissimorum cognatorum dulcedo, vale: non amplius vobis occurremus, non amplius communibus fruemur lætitiis. Heu! amantissime frater. Heu! mi ocule. Heu! tam luctuose divellimur. Quorsum ergo illæ parentum preces? quorsum illa D in egentes liberalitas? illa in monachos ac virtutum studiosos observantia? Nulliusne horum, nec una quidem ad Deum ascendit oratio? An ascendit quidem, sed fortiorem sese invenit peccatorum nostrorum potentiam? Eheu! quomodo, qui patrem nuper moribundum lugebamus, nunc ipsi potius patri matrique plorandi argumentum futuri sumus? O luctum termino carentem! o dolorem toti vitæ æqualem! Scilicet pater, (quæ erat spes tua) supererunt tibi liberi, sepulcri tui supplementum; et qui curis de nostri educatione plenus eras, ne mortuorum quidem cineres intueberis. Scilicet, pater, quod animo

[3] Dan. III.

volvebas, filiorum nuptias videbis, et hymenæos in A eorum gratiam decantandos audies; quos. eheu! ne defunctos quidem conspicabere, aut ultimo vale impertieris. Luctuosum est sane parentibus præmorientes cernere filios; verum ne hoc quidem vobis reliquit invidia; neque senio confectis dabitur liberorum corpora sepulturæ mandare. O Rex ac Domine universorum, cujusmodi nobis mortem nunc decrevisti! quam si per tua nobis judicia non licet effugere, saltem conjungere liceat. Una ambos procella operiat, una maris bellua sit utriusque sepulcrum.

σεις, οὓς οὐδὲ τεθνηκότας, αἶ, αἶ! θεάσῃ, οὐδ' ἀσπάσῃ τὰ τελευταῖα. Δεινὸν γονεῦσι παῖδας προοιχομένους ὁρᾷν· ὑμῖν δὲ οὐδὲ τοῦτο δίδωσιν ὁ φθόνος, οὐδὲ ἕξετε νῦν οἱ γηραιοὶ παίδων ὑμετέρων θάψαι σώματα. Ὦ δέσποτα πάντων καὶ βασιλεῦ, οἷον ἡμῶν ἤδη κατεψηφίσω τὸν θάνατον, ὃν, εἰ μὴ παρελθεῖν ἡμᾶς ἄρτι κέκρικας, ἀλλ' ὁμοῦ τοῦτον εὐδόκησον ὑπελθεῖν. Ἓν ἀμφοτέρους κῦμα καλυψάτω, ἓν θηρίον θαλάττης τάφος ἀμφοτέρων γενέσθω.

IX Hæ juvenum lamentationes erant. At nave jam usquequaque disrupta, alter tabula, alter alio fragmine arrepto pelago se commiserunt, necessitatis quidem legibus obsequentes, sed divino nutu mirandum sane in modum conservati. Sic B enim jactatos tandem Tyrus excepit; ac Joannem quidem locus dictus Malmephetan, Arcadium vero Tetrapyrgia. Ast alter alterius salutis ignarus, non tam suo lætabatur eventu, quam fraterno dolebat.

Θ'. Καὶ τοιοῦτοι μὲν οἱ τῶν παίδων λόγοι. Τῆς δὲ νηὸς ἤδη καθόλου περιῤῥαγείσης, ἑκάτερος αὐτῶν, ὁ μὲν σανίδος, ὁ δὲ ἄλλου τῶν ξύλων λαβόμενος, τῷ πελάγει ἑαυτοὺς ἐπίτρεψαν, νόμοις μὲν ἀνάγκης ἑπόμενοι, νεύμασι δὲ θείοις σωζόμενοι παραδόξως. Ἐκδέχεται τοιγαροῦν ἡ Τύρος οὕτω φερομένους αὐτούς, τὸν μὲν Ἰωάννην τόπος ὃς ἐλέγετο Μαλμεφεθὰν, ἡ Τετραπυργία δὲ τὸν Ἀρκάδιον· πλὴν ἑκάτερος θατέρου τὴν σωτηρίαν οὐκ εἰδὼς, οὐ μᾶλλον ἔχαιρεν ἐπὶ τῷ ἰδίῳ, ὅσον ἐπὶ τῷ τοῦ ἀδελφοῦ ἠνιᾶτο.

CAPUT IV.

Ambo seorsim monasticam vitam complectuntur.

X Porro Joannes multa animo reputare cœpit, tum quo appulsus esset, tum quo se verteret secum expendens. Hæc cogitandi mens bona a paterno utique semine ortum ducens, injecta fuit. Commemini enim, aiebat, patrem meum judicare solitum, vitæ solitariæ ad felicitatem deesse nihil. Et fortassis hæc est voluntas Dei, ut potius ipsi inserviam in paupertate et abjectione (quæ C certæ sunt ad ejus obsequium viæ), quam ut inter opes atque fallacias vitam exigam; quæ lata nimirum est via et ad interitum ducens. Atque hæc, credo, est causa cur potentem ejus manum implorans irritas fuderim preces, neque tempestas tranquillitate mutata sit. Nam cum sit optimus, persæpe supplicantes negligere novit ob animarum bonum, atque ea maxime præbere petentibus, unde manifestum animis emolumentum exsistat. Quocirca monasterium mihi adeundum, animæque consulendum est, et ante omnia placendum Deo, qui non maritima solum procella, sed magis etiam vitæ hujus fluctibus ereptum, inexplicabili ratione me in salutis adduxit viam. Atque hæc animo volutans in preces dat D sese, quibus et servari postulabat Arcadium, et, quod caput erat, in eamdem vitæ rationem pertrahi, quæ tum corpori ejus, tum animæ salutem afferret.

Ι'. Ὁ τοίνυν Ἰωάννης πολλοὺς ἀνελίττων λογισμοὺς ἦν, ὅποι τε ἀφίξεται σκοπῶν, καὶ πῶς ἄρα τὰ καθ' ἑαυτὸν διαθείη. Οὕτω δὲ διαμελετῶντα νοῦς ἀγαθὸς εἰσῄει, ἐκ πατρικῶν σπερμάτων ἔχων τὰς ἀφορμάς. Ὁ γὰρ πατὴρ, ἔλεγεν, ὁ ἐμὸς ἀεὶ τὸν μονήρη βίον μακαρισμοῦ ἠξίου, καὶ τάχα βούλημα τῷ Θεῷ, δουλεῦσαί με μᾶλλον αὐτῷ, πτωχεύειν ἅμα καὶ ταπείνωσιν ὑπελθόντα (ὁδοὶ γὰρ ἀπλανεῖς αὗται πρὸς ἐκείνου φέρουσαι θεραπείαν), ἢ ἐν πλούτῳ καὶ ἀπάτῃ τὸν βίον διενεγκεῖν, ὁ τῆς πλατείας ἐστὶ καὶ ὁδηγούσης πρὸς τὴν ἀπώλειαν· καὶ ταύτῃ αἰτία μὴ ἀκουσθῆναί με τῆς μεγάλης ἐκείνου χειρὸς δεόμενον, μήτε τὴν ζάλην εἰς γαλήνην μεταβαλεῖν. Ἀγαθὸς γὰρ ὤν, οἶδε πολλάκις καὶ παρορᾷν εὐχομένους, ἐπ' ἀγαθῷ τῆς ψυχῆς, καὶ ἐκεῖνα μᾶλλον αἰτουμένοις παρέχειν, ὅσα καὶ πρὸς αὐτὴν ἄντικρυς παρεκπέμπει τὸ κέρδος. Δεῖ οὖν με μοναστηρίῳ προσελθεῖν, καὶ ψυχῆς φροντίσαι, καὶ αὐτοῦ δὴ τούτου, ὅπως Θεῷ εὐάρεστος ἔσομαι, ὃς οὐ κλύδωνος μόνου τοῦ θαλαττίου, ἀλλὰ καὶ πολλῷ μᾶλλον τοῦ βιωτικοῦ κλύδωνος σώσας ἡμᾶς λόγοις ἀῤῥήτοις, εἰς ὁδὸν ἤγαγε σωτηρίας. Οὕτω σκοπήσας καὶ διανοηθεὶς, εὐχῇ δίδωσιν ἑαυτόν· ἠβούλετο δὲ ἡ εὐχὴ σωθῆναί τε καὶ τὸν ἀδελφὸν Ἀρκάδιον, καὶ τὴν ἴσην αὐτῷ ἑλέσθαι τοῦ βίου διαγωγὴν, ὅπερ ὡς ἐν κεφαλαίῳ ἦν, ἵνα μὴ κατὰ σῶμα μόνον εἴη, ἀλλὰ πολλῷ μᾶλλον καὶ κατὰ ψυχὴν σωζόμενος.

XI. Confert se igitur ad quoddam regionis illius monasterium, ubi cum janitor eum vidisset, benigne excipit, nudo vestem largitur, parique hilaritate ac benevolentia mensæ adhibet: Deo interim Joanni ad se viam bellissime sternente. Remota deinde mensa, monachus colloquium exorsus: Unde, inquit, frater, huc accessisti? Cui ille jam generis, et opum, et splendoris atque amplitudinis oblitus,

ΙΑ'. Πρόσεισι τοιγαροῦν ἑνὶ τῶν κατὰ τόνδε τὸν τόπον μοναστηρίων· καὶ ὁ ἐπὶ τῶν πυλῶν τεταγμένος ὡς εἶδεν αὐτὸν, εὐμενῶς τε εἶδε, καὶ εὐθὺς εἰσεδέξατο, ἱμάτιόν τε δίδωσι (γυμνὸς γὰρ ἦν), καὶ τραπέζης αὐτῷ κοινωνεῖ λίαν ἱλαρῶς καὶ προθύμως, τοῦ Θεοῦ δὲ ταῦτα καλῶς τῷ Ἰωάννῃ διατιθέντος τὴν πρὸς αὐτὸν φέρουσαν [f. add. ἑλομένῳ]. Ἔπειτα μετὰ τὸ φαγεῖν, καὶ ὁμιλίας ὁ μοναχὸς ἀπτόμενος,

Πόθεν εἶ, ἀδελφέ; λέγει. Ὁ δὲ, οὐχ εὐγενείας, οὐ πλούτου, οὐκ ἄλλου του τῶν ἐπισήμων καὶ περιφανῶν μνησθεὶς, ὥσπερ ἤδη τὸ μετριοφρονεῖν κατορθώσας, ἀπὸ τῶν εὐτελεστέρων ἑαυτὸν βούλεται παριστᾷν, Ἄνθρωπός εἰμι, λέγων, ξένος καὶ ταπεινὸς, ναυαγίῳ δὲ περιληφθεὶς, εὐμενεῖ τε τῷ Θεῷ χρησάμενος, καὶ ταῖς εὐχαῖς ταῖς ὑμετέραις διασωθεὶς ἀπερρίφην ἐνταῦθα. Τούτων ἀκούσας ὁ μοναχὸς προστιθεῖ· Τίς δέ σοι τὸ μετὰ ταῦτα σκοπός; Καὶ ὁ Ἰωάννης. Εἰ καὶ Θεὸς [*f.* Θεῷ], ἔφη, τοῦτο δοκοῦν, καὶ μὴ ἀπάγει με τῆς προθέσεως τὸ ἀνάξιον, μοναχὸς γενέσθαι βούλομαι. Ἐπῄνεσε τὸν λόγον ἀκούσας ὁ πυλωρὸς, καὶ τὸν Ἰωάννην ἐμακάρισε τῆς ἐπιθυμίας. Ὁ δὲ, ἀλλὰ δυνατόν μοι, ἔφη, ἐνταῦθα τέλος ἐπιθεῖναι μου τῇ προθέσει; Καὶ ὁ μοναχός· Προσαγγεῖλαί με δεῖ τῷ προεστῶτι, καὶ ὅπερ ἂν αὐτὸς ἐπιτρέψειε, τοῦτό σε ποιῆσαι, καὶ πέρας ἀγαθὸν τῷ πράγματι ἀπαντήσει. Προσήγγειλε τῷ κατηγουμένῳ ὁ μοναχός, μετακαλεῖται ὁ Ἰωάννης, καὶ εἰς ὄψιν αὐτῷ ἔρχεται, ἡδονῆς τε αὐτῷ γίνεται πρόξενος ὅσης διὰ τὴν ἐπιφαινομένην τῷ προσώπῳ χάριν ἐκ τοῦ κάλλους τῶν ἀρετῶν. Ἀκούει πλεῖστα ὁ Ἰωάννης τῶν εἰς ὠφέλειαν ψυχῆς συντεινόντων, εἶτα κατηχεῖται τὰ τῆς μοναχικῆς ἀκριβείας, κείρεται τὴν κόμην, συναποκείρεται πᾶν εἴ τι κοσμικόν τε καὶ πρόσγειον, τὰ τῶν μοναχῶν περιβάλλεται μετὰ τῶν ἄλλων καὶ τοὺς συνᾴδοντας τῷ ἐπαγγέλματι τῆς περιβολῆς λογισμούς.

modestiamque satis edoctus, ac pro sordido se gerens. Sum, inquit, hospes atque abjectus, qui naufragio jactatus, Deoque usus propitio, ac vestris precationibus servatus, huc deveni. Quibus auditis addit monachus: Quem autem post hæc finem spectas? Tum Joannes: Si Deo, inquit, visum fuerit, meque tanto proposito mea non excludit indignitas, monachus fieri vehementer desidero. Ea re intellecta janitor collaudat juvenem, ac tam sancto desiderio beatissimum esse confirmat. Anne igitur, inquit Joannes, hoc loco voti compos fieri potero? Respondit monachus, votum præsidi exponendum, quodque is decreverit exsequendum esse, atque ita rem exitu bono conclusum iri. Tum monachus superiori fert nuntium. Joannes accersitur, et in conspectum præsidis venit; cui magnæ sane voluptati fuit intueri virtutum splendorem in Joannis vultu elucentem. Plurima hic edocetur Joannes ad maximam animi utilitatem spectantia: tum de monastica sedulitate instruitur, tondentur crines, atque una si quid superest et profanum vel terrenum abraditur, neque tantummodo tunc monachorum habitum, sed et cogitationes cum professione vestium congruentes induit.

ΙΒ'. Καὶ ἦν οὕτω νηστείαις, καὶ ἀγρυπνίαις, καὶ προσευχαῖς διακαρτερῶν, τὰ μὲν ἄλλα εὔθυμος, μόνῃ δὲ τῇ περὶ τὸν ἀδελφὸν φροντίδι κατώδυνος τὴν ψυχήν· ᾤετο γὰρ αὐτὸν τοῖς ὕδασι δεινῶς ἐναποθανεῖν. Ἐλάνθανε δὲ τὸν γενναῖον, ὡς ὁ ἐκείνου Θεὸς, καὶ Ἀρκαδίου πάντως ἦν· ἀμφοτέροις γὰρ ἔμελεν ἀρέσκειν Θεῷ, διὸ καὶ ἀμφοτέρων Θεὸς ἐκήδετο. Τούτου τοιγαροῦν τῇ χάριτι καὶ ὁ θεῖος διασωθεὶς Ἀρκάδιος, καὶ γῇ τῆς Τετραπυργίας ἀποδοθεὶς, ὥσπερ ἔφημεν, χάριν ὡμολόγει Θεῷ τῷ σώσαντι. Ἐδεῖτο δὲ καὶ αὐτὸς περὶ τοῦ ἀδελφοῦ τῆς αὐτῆς τυχεῖν δεξιᾶς ὁδηγοῦ τε καὶ φύλακος, καὶ τοῦτον ἰδεῖν ὀφθαλμοῖς πρὶν ἢ τὸν βίον ὑπεξελθεῖν· ἀδελφοὶ γὰρ ἦσαν οὐ τὰ σώματα μόνον, ἀλλὰ καὶ τὰς ψυχάς. Μετὰ δὲ τὴν εὐχὴν, ἄπεισιν εἰς κώμην τινὰ (ὢ Θεοῦ κριμάτων!) ἄρτου δεόμενος καὶ εἰς χεῖρας ἑτέρων βλέπων, οὗπερ ἀτεχνῶς οἱ πατέρες πολλῶν δεομένων γαστέρας ἔπλησαν. Λαβὼν οὖν, καὶ φαγὼν, καὶ ἰσχύσας, ὕπνῳ προσέσχεν. Ὁ δὲ ὕπνος ὄναρ αὐτῷ εἶχεν, ἐπιφανέντα τὸν ἀδελφὸν, καὶ, Τί δὲ δι' ἐμὲ θρηνεῖς, ἀδελφὲ, λέγοντα, ὃς ἐν Χριστῷ ζῶ; Τοῦτο γοῦν ἀληθὲς πιστεύσας, μηδὲν τὸ μετὰ ταῦτα λυποῦ. Ἐπεὶ τοίνυν ἀνῆκε αὐτὸν ὁ ὕπνος, συνεὶς τὸ φανὲν, χαρᾶς ἐπληροῦτο καὶ τῷ Θεῷ χάριν διωμολόγει.

XII. Cumque hac ratione jejuniis, vigiliis et precationi constanter sese adduceret, cætera quidem erat acri animo, excepto quod unica de fratre sollicitudine non mediocriter angeretur, quem miserrime undis immortuum crederet. Non considerabat enim generosus juvenis, suum Deum etiam Arcadii prorsus esse. Cum enim uterque Deo placiturus esset, singularem utriusque curam egit Deus. Hujus enim favere divinus quoque Arcadius letho ereptus, et in regionem, uti diximus, Tetrapyrgiæ appulsus, inibi servatori Deo gratulabatur. Neque minus ille pro fratre deprecabatur, tum ut pari manu, duce et custode agatur, tum ut oculis eumdem ante mortem conspicere liceat. Animis enim, non modo corporibus fratres erant. Absoluta precatione mox in vicum quemdam se confert, atque (o judicia Dei!) cujus parentes multorum esurientium ventres plane exsaturabant, ille panem supplex alienasque manus respiciens deposcebat, eoque sumpto corroboratus in summum incidit. Vix soporem libaverat, cum assistens illi Joannes, Quid me luges, frater, inquit, in Christo viventem? De quo quo nequaquam dubius, dolorem imposterum ex animo ejice. Post hæc evigilans Arcadius, probata visi fide, lætitiis exsultat, Deoque grates, ut par erat, exsolvit.

ΙΓ'. Εἶτα σκοπῶν ἦν καθ' ἑαυτὸν καὶ λογισμοὺς στρέφων, περὶ τοῦ τί δεῖ ποιεῖν· ἀντετίθει γὰρ οὕτως· Ἀπελεύσομαι πρὸς τοὺς τεκόντας; ἀλλὰ λύπης μᾶλλον αὐτοῖς αἴτιος ἔσομαι μόνος ὀφθείς. Ἀλλὰ πρὸς τὴν τῶν μαθημάτων ἀνάληψιν κατὰ τὴν τοῦ πατρὸς ἐντολὴν πορεύσομαι; ἀλλ' ἀβουλήτως καὶ ἀηδῶς προσείξω τῇ διδαχῇ, τοῦ ἀδελφοῦ στερη-

XIII. Inde animum cogitantis anxiæ occupant curæ, quid tandem sibi agendum videretur. Sic itaque secum contendebat: An ad parentes revertar, quibus ubi solum me viderint, summum mœrorem injiciam? An studiorum cursum repetam, quod decreverat pater? Sed animus fratre orbatus, invitus ac fastidiosus ad doctrinam ac-

cedet. Quo me vertam igitur? Parenti semper monastica vita tum commendatione dignissima, tum felicitatis plenissima esse visa est. Hanc arripiam; neque quidquam a paterna sententia votoque alienum fecero. His dictis, viam Hierosolyma tendentem ingreditur. Quo ut pervenit, obitis sacratioribus locis lustratisque propemodum omnibus monasteriis, inter eundem in quemdam ex magnis illis senem incidit, haud obscura virtutis insignia qua incessu, qua habitu, qua decenti oculorum compositione prædentem. Ad quem cum lætus accurrisset, dicta illi salute: Deprecare, inquit, pro me Deum: gravissima enim tristitia prorsus exanimor. Cui senex: Bono sis animo: nam pater, et mater, et frater tuus vivunt. Cæteri quoque eamdem tecum tempestatem passi, servati sunt omnes: sed et qui vobiscum fuerunt famuli tanto exempli periculo, monastico habitu, quemadmodum et germanus tuus, exornati sunt: Exaudivit autem Deus supplicationes tuas, eosque omnes antequam vita excedas, tuis oculis intueberis. Quæ cum præstantissimus Arcadius audiisset, amplexus regulam, et sedulo eam tenuit, et alacriter exsecutus est.

A θεῖς. Τί οὖν ποιήσαιμι; Τῷ πατρί μου ἀεὶ ὁ τῶν μοναχῶν βίος ἐπαινετὸς ἐδόκει, καὶ μακαρισμοῦ ἄξιος· τοῦτον ἑλέσθαι με δεῖ, καὶ οὐκ ἂν διαμάρτοιμι πατρικῆς γνώμης καὶ τῶν εὐχῶν. Οὕτως εἰπών, ὁδοῦ τῆς πρὸς τὰ Ἱεροσόλυμα εἴχετο. Γενόμενος δὲ ἐκεῖσε, καὶ τοὺς ἁγίους διελθὼν τόπους ἔπειτα καὶ τοῖς μοναστηρίοις σχεδὸν ἅπασι προσιών, ἐν ὅσῳ ταῦτα μετῄει, συναντᾷ γέροντί τινι τῶν μεγάλων, οὐκ ἀσαφῆ τῆς ἀρετῆς σύμβολα ἐκ τοῦ βαδίσματός τε καὶ καταστήματος, καὶ τῶν ὀφθαλμῶν δυναμένῳ παρέχειν· ᾧ προσδραμὼν ἡδέως καὶ ἀσπασάμενος, Εὖξαι ὑπὲρ ἐμοῦ, λέγει· πολλῇ γὰρ ἀνίᾳ βάλλομαι τὴν ψυχήν. Ἀλλὰ μὴ ἀθύμει, ὁ γέρων φησί· καὶ γὰρ καὶ ὁ πατήρ, καὶ ἡ μήτηρ, καὶ ὁ ἀδελφὸς ὁ σὸς ζῶσιν· ἀλλὰ καὶ πάντες οἱ μετὰ σοῦ B τῷ δεινῷ κλύδωνι περισχεθέντες ἐσώθησαν, καὶ οἱ μεθ' ὑμῶν δὲ ὄντες παῖδες ἀπαθεῖς τε κακοῦ διέμειναν, καὶ τῷ τῶν μοναχῶν σχήματι ὥσπερ δὴ καὶ ὁ ἀδελφός σου κατεκοσμήθησαν. Ἐπήκοος δὲ σου γέγονε καὶ Θεὸς τῆς εὐχῆς, καὶ μέλλεις αὐτοὺς, πρὶν ἢ τὸν βίον ὑπεξελθεῖν, ὄψεσθαι. Ἤκουσε τὰ θαύματα ταῦτα ὁ θεῖος Ἀρκάδιος (Θεοῦ δὲ καὶ τοῦτο πάντως ἦν), καὶ τὸν κανόνα παραλαβών, εἴχετο σπουδαίως, καὶ προθύμως αὐτὸν ἤνυε.

CAPUT V.

Naufragium filiorum intelligunt parentes, et forti animo ferunt.

XIV. Duobus vero elapsis temporibus (intendite nunc animos, ut quemadmodum tristium auditione doluimus, ita lætiora tractantes mœrorem voluptate solvamus, post duo igitur tempora, eorum pater, omnium quæ filiis accidissent ignarus, cum litteris domesticum mittit. Permagno enim tenebatur desiderio intelligendi, quid tandem causæ esset cur tandiu optatissimis charissimorum litteris frustraretur. Qui missus erat, ubi Berytum attigit, facile comperit, dominos suos in urbem non revertisse. Quare suspicatus Athenas profectos esse, etiam eo se frustra contulit. Verum inde discedens cum apud hospitium quoddam diversaretur, ibi in quemdiam conservum suum inter monachos receptum incidit: ad quem post mutuam notitiam accedens, Ubi, inquit, locorum est uterque dominus noster? Ad quæ alter ingemiscens, lacrymisque vultum perfusus: Eheu! ait, quam funesta ex me auditurus es! Miserrime domini nostri pelago hausti sunt. Ego solus, uti credo, evasi, ac salutem periculo acerbiorem nactus, solitariam vitam elegi, hac vivendi ratione me mortuo, quam vivo, similiorem fore existimans. Neque vero me recte facturum credidi, si ad patrem ipsorum dominum nostrum redirem malus nuntius, infaustum spectaculum, odiosa et merito inamabilis vita, luctuosæ naufragii reliquiæ. Quocirca nunc Hierosolymam cogito, et ad sacra loca proficiscor.

ΙΔ'. Χρόνων δὲ ἤδη δύο παρῳχηκότων (ἀλλὰ προσ- C έχειν ἐνταῦθα μάλιστα δεῖ, ἵν' ὥσπερ τὰ λυπηρὰ μαθόντες ἠλγήσαμεν, οὕτω καὶ τοῖς χαριεστέροις προσέχοντες, εὐφροσύνῃ τὰ σκυθρωπὰ λύσωμεν). ἐπεὶ τοίνυν δύο χρόνοι παρῆλθον, ὁ πατὴρ αὐτοῦ παντάπασιν οὐκ εἰδὼς, οἷα δὴ τοῖς ἐκείνου παισὶ συνέβη, ἑνὶ τῶν οἰκετῶν αὐτοῦ γράμματα ἐγχειρίσας ἐκπέμπει, γνῶναι διψῶν τί ποτ' ἂν εἴη τοσοῦτον χρόνον γράμματα αὐτὸν μὴ δέξασθαι παρὰ τῶν φιλτάτων. Ἤδη δὲ τῷ ἀπεσταλμένῳ τὴν Βηρυτὸν φθάσαντι διεγνώσθη, τοὺς αὐτοῦ κυρίους πρὸς τὴν πόλιν μὴ ἀπαντῆσαι. Ὑπολαβὼν οὖν πρὸς Ἀθήνας αὐτοὺς χωρῆσαι, τῆς αὐτῆς εἴχετο καὶ ἐκεῖνος. Ἀπιὼν δὲ καταλύει πρός τινι πανδοχείῳ, ἐν ᾧ βλέπει ἕνα τῶν ὁμοδούλων αὐτοῦ κατὰ μοναχοὺς περιεσταλμένον· ᾧ προσελθών, καὶ γνῶσιν δοὺς καὶ λαβών, D Ποῦ, φησίν, οἱ ἀμφοῖν ἡμῶν κύριοι; Ἐστέναξεν ἐκεῖνος ἀκούσας, καὶ δακρύων τὰς ὄψεις ὑποπλησθείς, Φεῦ, εἶπεν, οἷα ταῖς σαῖς ἀκοαῖς ἐρεῖν βούλομαι! ἐν τῇ θαλάσσῃ γὰρ οἱ ἡμῶν κύριοι ἐλεεινῶς ἀπολώλασιν. Ἐγὼ δὲ μόνος, ὥς γε οἶμαι, διασωθεὶς, σωτηρίαν, οἴ μοι! κινδύνου λυπηροτέραν τὸν μονήρη βίον μετελθεῖν εἱλόμην, θανεῖν ὥσπερ καὶ αὐτὸς διὰ τῆσδε τῆς ἀγωγῆς προκρίνας ἢ ζῆν· οὐδὲ γὰρ ἔκρινα συμφέρον εἶναι πρὸς τὸν δεσπότην ἡμῶν τὸν αὐτῶν πατέρα ἐπανελθεῖν, ἄγγελος πονηρὸς, ὄψις δυστυχὴς, ζωὴ μισουμένη καὶ δικαίως ἐπίφθονος, ναυαγίας ὀδυνηρὸν λείψανον. Νῦν οὖν ἐπὶ τὰ Ἱεροσόλυμα τὴν πορείαν ποιοῦμαι, καὶ πρὸς τοῖς ἁγίοις πορεύομαι τόποις.

ΙΕ'. Ἐκεῖνος ἀκούσας, καὶ ὅλος γεγονὼς τοῦ πάθους, πλήττει μὲν ἀμφοτέραις τὸ στῆθος, δεινὸν δὲ ἀνακλαυσάμενος, καὶ τῶν κυρίων ἐπιμνησθεὶς, οἰκέτου χρηστοῦ καὶ εὐγνώμονος ἠφίει φωνὴν, Οἴ μοι! κύριοί μου, λέγων, τί τὰ γεγονότα ταῦτα; τίς ἡ πικρὰ καὶ δύσφημος περὶ ὑμῶν ἀκοή; ποία γλῶττα τῷ ὑμετέρῳ πατρὶ τὸν ὑμῶν οἴκτιστον ἀπαγγελεῖ θάνατον; τίνες ὀφθαλμοὶ τὴν αὐτοῦ θλῖψιν καὶ τὴν τῆς μητρὸς ὑμῶν ὄψονται; τίς ἴδοι πικρὰν ἐκείνων κατήφειαν; τίς ἔνδυμα σκοτεινὸν, δάκρυα θερμὰ τῶν ὀφθαλμῶν ἀποῤῥέοντα, κόνιν κατὰ κεφαλῆς χεομένην, πολιὰν ἀθλίως ὑβριζομένην; Οὕτω περιπαθῶς ἀνακλαύσας, ἠβούλετο μὲν ἄλλην τραπέσθαι, καὶ μὴ πρὸς τοὺς δεσπότας ἐπανελθεῖν, μηδὲ ἄγγελος αὐτοῖς γενέσθαι τοιαύτης ἀπευκτῆς ἀγγελίας. Τῶν παρόντων δὲ μᾶλλον ὑποστρέψαι παραινούντων, B ἀλλὰ καὶ αὐτὸς συνεὶς, ὡς τὰ γεγονότα μὲν ἅπαξ γέγονε, καὶ ἀμήχανον ταῦτα μεταβαλεῖν, αὐτὸν δὲ παρήκοον ὀφθῆναι δεσποτικῆς ἐντολῆς, πρὸς τῷ μηδὲ τῷ πράγματι δύνασθαι βοηθεῖν, καὶ θεομισῆ καὶ ἀπάνθρωπον, ἄλλως δὲ καὶ δείσας, μὴ καὶ δεσποτικὴ ἀρᾷ φθάσας ὑποπεσεῖν, ἐξώλειαν ἑαυτῷ ἀνοήτως περιποιήσοι, ἐπανήει πρὸς τοὺς δεσπότας.

ΙϚ'. Φθάσας δὲ τὸν οἶκον καὶ εἰσελθὼν, σύννους καὶ σκυθρωπὸς ἐκάθητο, κρύπτειν μὲν ὡς δυνατὸν ἦν τὸ πρᾶγμα βουλόμενος, καὶ μηδὲν πρὸς οὐδένα περὶ ὧν μάθοι φθεγξάμενος, τρανότερον δὲ γλώττης τῇ κατηφείᾳ τῆς ὄψεως (ποῦ γὰρ ἠδύνατο κρείττων εἶναι τοιούτου κακοῦ;) σκυθρωπὰ ὄντα τὰ ἐγνωσμένα δηλῶν. Ἐκ τούτου λόγος διέῤῥει πρὸς τοὺς ὁμοδούλους, C καὶ ὑπεψιθυρίζοντο ῥήματα πονηρὰ ἃ λαθεῖν πάντως τὴν τοῦ οἴκου κυρίαν ἀμήχανον ἦν. Μετακαλεσαμένη οὖν τὸν ἀπεσταλμένον, Πῶς ἔχει τὰ τέκνα ἡμῶν; ἤρετο. Ὁ δὲ, Καλῶς, εἶπεν. Τῆς δὲ τὰ γράμματα ἀπαιτούσης, ἐκεῖνος ἀπολέσθαι κατὰ τὴν ὁδὸν ἔφασκεν. Ἐπάταξεν αὐτὴν ἡ καρδία, καὶ ὑποψίας μεστὴ γέγονε, καὶ τὰ σπλάγχνα δεινῶς ἐστρέφετο. Ὅρκοις τοιγαροῦν τὸν παῖδα περιήει φρικτοῖς, ἦ μὴν τὸ ἀληθὲς ἐξειπεῖν. Ὁ δὲ, βαρὺ λίαν καὶ πεπονθὸς στενάξας, δακρύων τε πληρωθεὶς, Οἴ μοι! ἔφη, κυρία ἐμὴ, ὅτι τοὺς παῖδας τοὺς σοὺς, τοὺς ἐμοὺς δεσπότας, τοὺς φωστῆρας, φεῦ! τοὺς καλοὺς, ὄψει τὸ λοιπὸν οὐδαμῶς, ἔργον ἤδη θαλάσσης γεγενημένους. Ταῦτα δ' ἐκείνη ἀκούσασα, μαλακὸν οὐδὲν πέπονθεν οὐδ' ἀγεννὲς οὐδὲ γυναικεῖον, ἀλλ' D οἱονεὶ δεῖξαι βουλομένη, ὅτι παίδων τοιούτων μήτηρ ἦν ἀληθὴς, ηὐχαρίστει φανερῶς τῷ Θεῷ· καὶ σιωπὴν πᾶσαν τῷ παιδὶ παραγγείλασα, αὐτοῖς ἐχρῆτο τοῖς τοῦ Ἰὼβ ῥήμασι, μετὰ τῆς αὐτῆς διανοίας· « Ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλετο· ὡς τῷ Κυρίῳ ἔδοξεν, οὕτω δὴ καὶ ἐγένετο. »

ΙΖ'. Ἑσπέρας δὲ ἤδη γενομένης, τοῦ θείου Ξενοφῶντος μετὰ τῆς συνήθους λαμπρότητος καὶ δορυφορίας ἀπὸ τῶν βασιλείων ἐπανελθόντος, τραπέζης τε ἤδη παρατεθείσης (εἰώθει γὰρ ἅπαξ τῆς ἡμέρας ἐν ἑσπέρᾳ τροφῆς ἅπτεσθαι), ὠδίνε μὲν ἡ γυνὴ τὰ

A XV. His ille auditis se totum mœrori tradens feriebat pectus utraque manu, editoque lugubri clamore, ob redintegratam dominorum memoriam, in hanc boni gratique servi vocem erupit: Heu mihi! domini mei quam tristia vobis evenerunt! quam amara, quam infausta de vobis audio! quæ lingua parenti vestro miserandam vestram necem annuntiabit? qui oculi tum ipsius, tum matris vestræ consternationem sustinebunt aspicere? quis amarissimam eorum mœstitiam videre poterit? quis atram vestem? quis calidas lacrymas per ora manantes? quis cineres aspersos capitibus et canos infelicissime sordidatos? Ubi hisce lamentationibus plus satis indulsit inducere in animum non potuit, ut ad dominos tam diræ cladis nuntius reverteretur. B Verum audito eorum, qui forte aderant, consilio, reditum suadente, cum et ipse consideraret quæ semel facta essent infecta fieri non posse, seque herilis imperii detractatorem visum iri, quodque Deo hominibusque ingrata foret, neque in re utique desperata fructuosa hæc tergiversatio, qua et domini imprecationem incurrere, et perniciem sibi impudenter conflare verebatur, ad dominos suos reditum suscepit.

XVI. Ut ergo pervenit domum, atque ingressus est, cogitabundus mœrensque sedebat, rem pro viribus occultans, neque quidquam de iis quæ compererat cuiquam enuntians; verumtamen longe manifestius vultus mœstitia, quam lingua (qui enim tanto malo non vinceretur?) quæ cognorat, injucunda esse, demonstrans. C Hinc sermones domesticorum exorti sunt, inter se sinistre murmurantium, qui heram penitus latere non poterant. Hæc igitur, advocato qui missus fuerat, ut valeant liberi, sciscitatur. Respondet belle eos habere: et cum litteras illa posceret, eas in via periisse adjicit. Tum cor matri palpitare, omnia suspicionum plena esse, ac visceribus graviter commoveri. Ergo formidabili jurejurando famulum adigit, ut veritatem ne celet. Quo ille vehementer commotus, ductis alte suspiriis, lacrymisque jam totus madens, Me miserum, inquit, domina, filios tuos, dominos meos eheu! pulcherrima illa lumina, deinceps haud unquam aspicies, jam mari haustos atque absumptos. Sic ille. Cujus narratio tantum abest ut D matrem ad aliquid molle, indignum, aut muliebre præ se ferendum induxerit, ut potius ostenderit, se germanam ejusmodi filiorum matrem esse, silentiumque famulo imperarit, Deo gratias referens, his Jobi verbis in eamdem sententiam usa: Dominus dedit, Dominus abstulit: sicut Domino placuit, ita factum est [4].

XVII. Interim vesper advenerat, quando divinus Xenophon consueto splendore ac satellitio stipatus e regia domum revertit. Ubi mensa jam strata, (nam semel duntaxat per diem sub vesperam sumebat cibum) afflicta nuntio mulier, communicandæ

4 Job. I, 21.

cum marito tantæ animi ægritudini intenta, quoad posset levissimum maximeque tolerabilem illi dolorem satagebat inurere. Injecta igitur de reditu famuli mentione, ille super his gloriam tribuens Deo : Ubi, inquit, est redux famulus? Cum reddidisset uxor, forte morbo eum ex itineris molest a teneri : At litteræ saltem, inquit, afferantur. Subjecit mulier, nunc temporis reficiendum cibo corpus, cras litteras non defuturas, ipsumque mentium coram, quæ dicenda haberet, expositurum. Eratque sane anxia, ne verbis divinum Xenophontem (qui ut litteræ redderentur, urgebat) circumvenire voluisse videretur. Nunc enim, inquiebat ille, exhibeantur mihi litteræ, filiorum statum plane cognoscere cupienti, cras autem, ut tu ais, ex ore famuli cætera discemus.

B XVIII. Maria hac viri sagacitate se deprehensam sentiens, totisque visceribus commota, compressa voce penitus nihil dicebat, solis lacrymis abunde proloquens. Quo animadverso admirandus Xenophon : An male, inquit, habent liberi nostri? Tum illa: Primoribus utique digitis attingis calamitatem nostram, quodque haudquaquam expetis, sponte imminuis Utinam enim male haberent, ut vel sic aliquid nobis spei relinqueretur ! nunc autem tui illi heu ! quondam liberi in mari vitam amiserunt. His auditis Xenophon facile ostendit, generosi animi probationem calamitates esse. Cum enim dixisset, Sit nomen Domini benedictum in sæcula, ad consolationem deinde uxoris, quæ et ipsa non insipienter aut abjecte, sed ut tam pii viri consortem decuit, se gerebat, conversus, Ne lugeas, inquit, non patietur enim Deus tanta clade nos obrui, C aut mœrore tam acerbo gravari caniciem meam, cum ne unicum quidem ejus mandatum contemptim transgressus sim. Vigilandum igitur nobis hac nocte ejusque benignitas ac misericordia imploranda. Sic futurum est, ut vivantne an defuncti sint liberi nobis aperiat. Hac ratione quod divinus olim Jeremias pronuntiavit, in illo impletum est: « Benedictus vir qui confidit in Domino, et erit Dominus fiducia ejus : et erit quasi lignum quod transplantatur super aquas; » et paulo post · « In tempore siccitatis non erit sollicitum, nec aliquando desinet facere fructum [5]. »

A τῆς ἀγγελίας, καὶ κοινωνὸν τὸν ἄνδρα τῶν τῆς ψυχῆς καυτήρων ἐζήτει λαβεῖν · ἠβούλετο δὲ, ὡς οἷόν τε, κούφην αὐτῷ καὶ μετρίαν τὴν λύπην παρασκευάσαι. Λέγει τοιγαροῦν αὐτῷ καὶ ὑπομιμνήσκει περὶ τῆς τοῦ παιδὸς ἐπανόδου. Ὁ δὲ πρὸς τοῦτο δόξαν ἐδίδου Θεῷ, καὶ, Ποῦ, φησὶν, οὗτος; Νόσος, εἶπεν, αὐτὸν ἐκ τῆς κατὰ τὴν ὁδὸν τάχα συνέχει ταλαιπωρίας. Κἀκεῖνος, Ἀλλ' ἐνεχθήτω, ἔφη, τὰ γράμματα. Ἡ δὲ, Μεταληπτέον ἡμῖν ἄρτου τό γε νῦν ἔχον, ἕωθεν δὲ καὶ τοῖς γράμμασιν ἐντεύξῃ · ἀκούσῃ δὲ, καὶ ὧν ὁ παῖς ἔχει σοι διὰ στόματος ἐξειπεῖν. Ὑφεώρει παρακρούσασθαι λόγοις τὸν θεῖον Ξενοφῶντα ἡ βοηθός. Ἐνέκειτο γὰρ ἀπαιτῶν τὰ γράμματα, καὶ, Νῦν μὲν, λέγων, ἐνεχθήτω μοι, ταῦτα γνῶναι βουλομένῳ, πῶς ἔχει μοι τὰ τῶν παίδων, αὔριον δὲ, ὡς σὺ ἔφης, τῶν διὰ γλώττης ἀκούσομαι.

ΙΗ'. Ἡ δὲ καὶ τῇ συνέσει τοῦ ἀνδρὸς συλλαβομένη, καὶ τῶν σπλάγχνων ἡττωμένη δεινῶς, γλώττης μὲν καὶ ἔτι ἐγκρατὴς ἦν, καὶ εἰπεῖν ὅλως οὐδὲν, ἐφθέγξατο δὲ τοῖς δάκρυσι. Συνεὶς οὖν ὁ θαυμάσιος Ξενοφῶν, Ἀσθενοῦσιν, ἔφη, τὰ τέκνα ἡμῶν; Ἡ δὲ, Ἄκροις, εἶπε, τὸ τοῦ λόγου, δακτύλοις ἅπτῃ τῆς συμφορᾶς, καὶ ὃ μὴ βούλει, σμικρύνεις ἑκών · εἴθε γὰρ ἠσθένουν, ἵν' οὕτω καὶ ἐλπὶς ὑπελείπετο Νῦν δὲ οἱ παῖδές οἱ σοὶ, φεῦ ! ἐν τῇ θαλάσσῃ ἀπώλοντο. Ἤκουσεν ἐκεῖνος, καὶ ἀτεχνῶς ἔδειξεν, ὅτι ψυχῆς γενναίας αἱ συμφοραὶ βάσανος. Εἴη γὰρ τὸ ὄνομα Κυρίου εὐλογημένον εἰς τοὺς αἰῶνας. Ἔπειτα καὶ τὴν γυναῖκα παρακαλεῖν ἐπειρᾶτο, μηδὲν αὐτὴν ἀφιλοσόφως καὶ ἀγεννῶς ἔχουσαν, καὶ ἀνδρὸς οὕτω θεοφιλοῦς ἀναξίως, Μὴ λυποῦ, λέγων οὐ γὰρ ἐάσει Θεὸς τοιαύτῃ περιπεσεῖν ἡμᾶς συμφορᾷ, οὐδὲ πικρῶς οὕτω λυπῆσαι τὴν ἐμὴν ἀνάξεται πολιάν · ἐπεὶ μηδεμίαν αὐτοῦ τῶν ἐντολῶν, ὥς γε οἶμαι, ἀμελῶν παρῆλθον, πλὴν ἀγρυπνητέον τήνδε τὴν νύκτα, καὶ τὴν αὐτοῦ χρηστότητα καὶ τοὺς οἰκτιρμοὺς ἐξιλεωτέον · κἀκεῖνος περὶ τῶν παίδων, εἴτε τεθνήκασιν, εἴτε μὴν ἐν τοῖς ζῶσίν εἰσι, δῆλον ποιήσει. Οὕτως ἀκριβῶς ἐπ' αὐτῷ τὸ τοῦ θείου Ἱερεμίου πέρας εἰλήφει, « Εὐλογημένος, εἰπόντος, ὁ ἄνθρωπος ὁ πεποιθὼς ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ · καὶ ἔσται ὡς ξύλον εὐθηνοῦν παρ' ὕδατα. » Καὶ μετ' ὀλίγον αὖθις · « Ἐν ἐνιαυτῷ ἀβροχίας οὐ φοβηθήσεται, καὶ οὐ διαλείπει ποιῶν καρπόν. »

CAPUT VI.

Hierosolymis filios quærunt : filii invicem agnoscunt.

D XIX. Tota igitur nocte precando rogandoque Deum traducta, albescente jam cœlo, victisque sopore luminibus, non ad consuetum cubile se recipiunt, corpora humi sternentes. Simul ac somnus obrepsit, utrique visi sibi sunt præsentes filios intueri Christo adstantes Ac Joannes quidem throno residens, sceptroque ornatus insignem pretiosis gemmis coronam gerebat : Arcadius vero et ipse

ΙΘ'. Εὐχομένοις οὖν παρ' ὅλην τὴν νύκτα καὶ τοῦ Θεοῦ δεομένοις, ἐπείπερ ἤδη περὶ αὐγὰς ἦν ἡ ἡμέρα καὶ πρὸς ὕπνον αὐτοῖς ἡττῶντο οἱ ὀφθαλμοὶ, οὐκ ἔτι λοιπὸν πρὸς τὴν συνήθη στρωμνήν τε καὶ κλίνην ἔβλεψαν, ἀλλ' ἀντὶ ταύτης ὑπηρέτει τὸ ἔδαφος. Ἅμα γοῦν ὕπνου ἐγεύοντο, καὶ ὤφθησαν ἀμφοτέροις οἱ παῖδες ὑπ' ὄψιν περιστάμενοι τῷ Χριστῷ · ὁ μὲν Ἰωάννης στέφανον πολυτελῆ λίθων τιμίων καὶ θρό-

[5] Jerem. XVII, 7.

νον ἔχων, καὶ σκήπτρου ἐχόμενος· ὁ δὲ Ἀρκάδιος, A στέφανον καὶ αὐτὸς ἀναδεδεμένος ἐκ ποικίλων ἄστρων καὶ λαμπροτάτων, σταυρόν τε τῇ δεξιᾷ κατέχων, καὶ κλίνην ἔχων εἰς ἀνάπαυσιν καὶ στρωμνήν.

Κ'. Ἐκ τούτου συνιέντες τοὺς παῖδας αὐτῶν τιμῆς μεγάλης ἠξιῶσθαι παρὰ Θεῷ, καὶ τοῦτο δὲ διδαχθέντες παρὰ τῆς χάριτος, ἐν Ἱεροσολύμοις αὐτοὺς εἶναι, τἄλλα πάντα μικρὰ θέμενοι, καὶ χρυσίον λαβόντες συχνὸν εὐλογίας χάριν καὶ παρακλήσεως τῶν χρείαν ἐχόντων, ὁδοῦ τῆς ἐπ' αὐτὰ φερούσης εἴχοντο. Ἐπεὶ δὲ καὶ κατέλαβον, τοὺς ἁγίους περιελθόντες τόπους, καὶ τοῦτο μὲν προσευχῇ, τοῦτο δὲ καὶ διανομῇ χρυσίου συνεργὸν τὸ θεῖον τοῦ προκειμένου κτησάμενοι, ἔπειτα καὶ τὰ μοναστήρια διελθόντες, οὐδαμοῦ τοῦ ποθουμένου ἐτύγχανον, οὔτε μὴν τοὺς παῖδας τοὺς ἑαυτῶν εἶχον ἰδεῖν. Ἐντεῦθεν ὁ πόθος B αὐτοῖς θερμότερος ἀνεφλέγετο, τῇ παρατάσει τοῦ χρόνου κρυφίως ὑποτρεφόμενος. Οἷον γὰρ τὸ ἰδεῖν ἐν ζῶσι τέκνα τὰ οὕτω φίλτατα, οὕτως ἀπελπισθέντα, καὶ παρὰ Θεῷ τοιαύτης τυχόντα τῆς οἰκειώσεως;

ΚΑ'. Ἑνὶ δὲ συναντῶσι τῶν οἰκετῶν, οἳ καὶ συναπόδημοι τοῖς ἐκείνων παισὶ ἐτύγχανον, μοναχικὰ περιβεβλημένῳ, ὃν καὶ ἀπὸ τῆς μορφῆς ἀναγνόντες, καὶ μὴ δοῦλον νῦν, ἀλλ' ὁμόδουλον ἑαυτῶν, ἢ καὶ τιμιώτερον εἶναι κρίναντες, τοῦτο μὲν τῷ σχήματι τῆς περιβολῆς, τοῦτο δὲ καὶ τῷ περιόντι τῆς αὐτῶν μετριοφροσύνης, γόνυ κλίναντες, προσκύνησιν αὐτῷ εὐλαβῶς προσῆγον. Τοῦ δὲ βαρυνομένου τῇ τῆς τιμῆς ἀμετρίᾳ, Οὐ σοὶ τοῦτο, ὁ θεῖος ἀπεκρίνατο Ξενοφῶν, ἀλλὰ τῷ σχήματι τῷ σῷ καὶ τῷ καὶ τῇ δι' αὐτοῦ C σφραγῖδι τῆς πρὸς Θεὸν οἰκειώσεως.

ΚΒ'. Ἐπεὶ δὲ καὶ πυνθανόμενοι περὶ τῶν παίδων, οὐδὲν πλέον εἶχον μαθεῖν, ὅτι μὴ τὰ ἐν θαλάσσῃ μόνα συμβάντα (ὅπως γὰρ αὐτοὶ διεσώθησαν, ᾔδει ἐκεῖνος οὐδοτιοῦν), οὐ παρὰ τοῦτο ῥᾳθυμότεροι γεγόνασιν, οὐδὲ ὄκνῳ τὸν πόθον ἤμβλυναν, ἀλλ' ἔτι μᾶλλον τῇ περὶ τοὺς παῖδας ἐπιθυμίᾳ τὰ σπλάγχνα διακαιόμενοι, ἐρεύνης εἴχοντο. Δόξαν οὖν αὐτοῖς, καὶ περὶ τὰ τοῦ Ἰορδάνου μέρη ἐφοίτων, ἅμα μὲν περὶ τῶν υἱῶν ἐκζητοῦντες, ἅμα δὲ καὶ τὴν χεῖρα δαψιλῶς ῥέουσαν τοῖς δεομένοις προτείνοντες. Ἀπιόντες δὲ συναντῶσιν ἐκείνῳ τῷ θαυμαστῷ γέροντι, ὃς καὶ τὸν Ἀρκάδιον ἀποκείρας καὶ τὰ τῶν μοναχῶν αὐτῷ περιβαλὼν ἦν. Τούτῳ προσελθόντες, καὶ ποδῶν ἐκείνου τῶν ἱερῶν ἁψάμενοι, ἐδέοντο εὐχῆς αὐτοὺς D ἀξιῶσαι τῆς πρὸς Θεόν. Ἐπεὶ οὖν ὁ γέρων εὐπρόθυμον ἑαυτὸν εἰς τοῦτο παρέσχε καὶ ἤδη ηὔξατο, πρὸς ὄνομα τούτους ἐκάλει (ὢ χάριτος θείας!) προστιθεὶς καὶ τὴν ἐν χερσὶν ὑπόθεσιν, μάλα διορατικῶς καὶ θεοφορήτως. Δεῖ δὲ οὕτως, ὥσπερ ἐλέχθησαν, ἰδιωτικώτερον αὐτὰ παραθέσθαι. Τίς ἠνάγκασε, λέγων, τὸν κῦριν Ξενοφῶντα καὶ τὴν κυρὰν Μαρίαν τὰ Ἱεροσόλυμα κατιδεῖν; Οὐδεὶς ἕτερος πάντως, ὅτι μὴ ἡ τῶν τέκνων στοργή. Μὴ οὖν ἀθυμεῖτε· ζῶσι γὰρ, ζῶσιν ὑμῶν ἀληθῶς τὰ τέκνα, ὥσπερ δὴ καὶ Θεὸς ἡμῖν ἐφανέρωσεν. Ἀλλ' ὑπάγετε καὶ τὰς εὐχὰς ὑμῶν ἀπόδοτε τῷ Θεῷ, ἐργάται τοῦ ἀμπελῶνος αὐτοῦ· ἐπανιόντες δὲ, τοὺς παῖδας ὑμῶν

diademate plurimis ac splendissimis stellis fulgente redimitus, dextraque crecem præferens, prope constratum ad quietem lectulum visebatur.

XX. Ex quibus cum filios in magno apud Deum honore versari intelligerent, cumque divino munere eos Hierosolymis degere satis perspicerent, res cæteras ceu minores aspernati, sumptaque, quanta ad solatium et levamen inopum opus esset, pecunia, in viam eo ferentem se dederunt. Quo ut perventum est, circumeuntes loca sacra, simul precibus, simul largitioni operam dantes, auro velut cœptorum divinitus operum adjutore præclare utebantur. Inde ad monasteria digressi, nusquam quod desiderabant consecuti, optatissimo natorum conspectu frustrabantur. Unde et desiderii fervor, mora temporis occulte nutritus, vehementius exardescebat. Quid enim desiderabilius, quam liberos tam charos, tamque extra spem videndi positos, tantaque a Deo benignitate servatos, adhuc superstites intueri?

XXI. Post hæc in quemdam ex famulis, qui cum filiis foras profectus, sed nunc habitu monastico indutus erat, incidentes, eum ex forma cognitum, jamque non ut servum, sed ut conservum, aut ut digniorem etiam tractantes, tum sacræ vestis veneratione, tum modestia sua maxima impulsi, in genua abjecti, religiosa adoratione prosequuntur. Quem honoris excessum cum ille non ferret, Non tibi, inquit divinus Xenophon, sed vestitui tuo, ac divinæ familiaritatis sigillo, quod habitus iste impressit, hæc deferuntur.

XXII. Tum de liberis sciscitati, nihil præter ea quæ in mari acciderant, assequuntur. Nam de salute ipsorum nihil huic compertum erat. Quibus illi haudquaquam segniores effecti, desiderio ignaviam excutiente, ipsisque visceribus magis ac magis natorum amore flagrantibus, vestigandi porro diligentiam intenderunt. Itaque visum iis fuit, regionem Jordanis adeundam esse, ubi simul liberos quæritarent, simul manentem largiter dexteram egentibus aperirent. Eo cum abiissent obvium habuere admirandum illum senem, qui Arcadium totonderat, monachorumque amictu induerat. Ad hunc accedentes, contactis sacris ejus pedibus, obsecrant, ut suarum apud Deum precationum participes faciat. Annuit mox benevole senior, Deumque precatus, suis eos compellat nominibus, atque (o divini muneris gratiam!) ipsam ob quam venerant causam, divini luminis perspicientia et visione cognitam, haud cunctanter exponit. Sed ipsa propemodum, quibus usus est verba, juvat particulatim afferre: Quidnam, inquit, ad invisendam Hierosolymam dominum Xenophontem ac dominam Mariam impulit? non aliud profecto, quam liberorum amor. Bono igitur animo estote. Vivunt enim, vivunt omnino filii vestri, quod et divinitus vobis revelatum est. Ite igitur, Deumque precamini, operarii vineæ ejus. Reversi natos vide-

bitis. Hæc effatus, multamque illis salutem impertiens, abiit, eorum pectoribus maxima voluptate perfusis. Jamque brevi se desideratissimorum conspectu fruituros certa tenebant fide, quam satis astrueret tam definita de rebus ad ipsos spectantibus pronuntiatio.

XXIII. Cæterum senex ad sanctam Christi Anastasim progressus, haud procul Golgotha consedit humi. Et ecce Joannes precaturus procedit, qui viso sene eum veneratus, atque elucente virtutum ejus specie motus, adorationem prompte exhibet, incognito quidem homini, non tamen ipse, uti dicemus, incognitus. Admirandus enim senex mox jussum consurgere, benedictionemque impertiens, ac suo eum nomine appellans, suavi blandaque voce: Ubinam, inquit, hactenus fuisti, domine Joannes? Ecce enim pater et mater tui, huc advenerunt, quærentes te. Sed et te quærendi fratris ergo venisse novi. Hæc divino prorsus instinctu a seniore prolata oratio, Joanni stuporem injecit; cumque longo jam fratris desiderio teneretur, arrepto confestim loquentis sermone: Ubi, inquit, ubi, obsecro, mi Pater, est germanus meus? Ubinam terrarum? Vivit igitur? o jucundissimam mihi vocem! o dulcem linguam! Audire quam mox discupio, ubi fratrem conspecturus sim. Nonne cor meum exarsisse animadvertis? meque velut seminecem ejus desiderio contabuisse? At senior: Hic apud me tantisper asside? et mox fratrem videbis.

XXIV. Neque longa fuit mora cum Arcadius adfuit, totus exsanguis ac tabidus, soloque motu et voce visæ adhuc superstitis faciens fidem. Tanta illi venerandæ sobriæque abstinentiæ fuerat cura. Ad senem igitur verecunde modesteque accedens, Ecce, inquit, mi Pater, jam tertius est annus, postquam agrum tuum nulla inspectione dignatus es, cum ipse interim plurimas spinas tribulosque protulerit. Reliquum est igitur, ut strenuam ei purgando operam naves. Cui senex: Nequaquam, ait, ita res habet; nam et quotidie eum inspexi, et multum de eo sollicitus fui: quare non spinas, opinor, aut tribulos protulit, sed uvas bonas, frumentumque maturum, quibus nimirum ipse Rex universorum delectatur.

XXV. Hæc proloculus vir divinus nondum eis suam fraternitatem aperuit, præsertim cum invicem tam ob mutationem habitus, quam ob summam corporum extenuationem haudquaquam agnoscerent; cumque alia quadam ratione eosdem in mutuam cognitionem statuisset adducere. Ad Joannem itaque se convertens, Unde, inquiebat, venisti? Ille vero cum tanta animi moderatione atque humilitate, quanta dici vix potest, eadem pene usus voce, qua a naufragio recenter servatus, cum ad monasterium primum accederet, usus fuerat: Homo, inquit, externus ac vilis sum, divinæ misericordiæ tuarumque precationum indigus. Tantus illi inerat modestiæ amor. Quare et in meliorem partem illum Scripturæ locum de eo pronuntiare

A ὄψεσθε. Οὕτως εἰπὼν, ἐκείνοις μὲν σωτηρίαν ἐπευξάμενος, ἀφῆκε, πολλὴν αὐτῶν εἰς τὴν καρδίαν καταχέας τὴν ἡδονήν. Τῷ γὰρ οὕτω διορατικώτατα περὶ αὐτῶν ἐξειπεῖν, πίστιν αὐτοῖς παρεῖχε καὶ περὶ τῶν υἱῶν, καὶ ὅτι μετὰ μικρὸν ὄψονται τοὺς φιλτάτους.

ΚΓ'. Αὐτὸς δὲ εἰς τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν ἀπελθὼν, ἐν γειτόνων τοῦ Γολγοθᾶ, ἐκάθισεν ἐπ' ἐδάφους. Καὶ ἰδοὺ, πρόσεισιν ὁ Ἰωάννης εὐξόμενος· ὃς ἐπεὶ ἴδοι τὸν γέροντα, αἰδεσθεὶς καὶ μόνον ἀπὸ τῆς ἐπιπρεπούσης αὐτῷ ἀρετῆς, προσκύνησιν εὐλαβῶς ἐδίδου, καίτοι ἀγνοῶν τὸν ἄνδρα, μὴ ἀγνοούμενος, ὥσπερ ἤδη καὶ ὁ λόγος δηλώσει. Ἀνίστη γὰρ αὐτὸν παραχρῆμα ὁ θαυμάσιος γέρων, εὐλογήσας τε καὶ καλέσας ἐκ τοῦ ὀνόματος ἠπίᾳ πάνυ B καὶ προσηνεῖ τῇ φωνῇ. Ποῦ, φησὶν ἦσθα τὸ μέχρι τούτου, κῦρι Ἰωάννη; Ἰδοὺ γὰρ ὅ τε πατὴρ καὶ ἡ μήτηρ σου τὰ ἐνταῦθα κατέλαβον ἐπιζητοῦντές σε· οἶδα δὲ ὅτι καὶ αὐτὸς σὺ τὸν ἀδελφὸν τὸν σὸν ἐκζητῶν ἐλήλυθας. Θάμβος εἰσῆλθε τὸν Ἰωάννην, οὕτω θεοπνεύστως εἰρηκότος τοῦ γέροντος· καὶ ἐπεὶ πολὺς αὐτὸν εἶχε πόθος τοῦ ἀδελφοῦ, ἁρπάσας τὸ λεχθὲν αὐτίκα, Καὶ ποῦ ἄρα, ποῦ, ἔφη, ἀδελφὸς, Πάτερ, ὁ ἐμὸς, ποῦ; ζῇ δὲ ὅλως; Ὢ ῥήματος ἡδίστου! ὢ γλυκείας γλώττης! ἀκούσω τὸ τάχος, ποῦ τὸν ἀδελφὸν ὄψομαι; ὁρᾷς, ὅπως ἐμπέπρησμαι τὴν καρδίαν, ὅπως ἐκτέτηκα καὶ ἡμιθνής εἰμι δι' αὐτόν; Καὶ ὁ γέρων, Καθέζου παρ' ἐμοὶ, ἔφη, καὶ ὄψει θᾶττον τὸν ἀδελφόν.

ΚΔ'. Ὀλίγον πάνυ τὸ μεταξὺ ἦν, καὶ πάρεισιν ὁ C Ἀρκάδιος, ὠχρὸς ἄγαν καὶ τακηρὸς, μόλις τὸ μὴ νεκρὸς εἶναι τοῖς κινήμασι μόνοις καὶ τῇ φωνῇ πιστούμενος· τοσοῦτον ἐγκρατείας ἐφρόντισε τῆς σώφρονος καὶ σεμνῆς. Προσελθὼν οὖν τῷ γέροντι λίαν εὐλαβῶς καὶ μετρίως, Ἰδοὺ, τρίτον ἔτος, φησὶ, ἐξ οὗ τὸν ἀγρὸν τὸν σὸν οὐδεμιᾶς, Πάτερ, ἐπισκοπῆς ἠξίωσας, καὶ αὐτὸς ἀκάνθας καὶ τριβόλους ἀνήνεγκε πλείστας. Λείπεται οὖν σε πολλὰ κοπιάσαι πρὸς τὴν αὐτοῦ κάθαρσιν. Οὐκ ἔγωγε, εἶπεν ὁ γέρων, ἀλλ' ἡμέραν ἑκάστην ἐπεσκεπτόμην αὐτὸν, καὶ πολλῆς ἠξίουν ἐπιμελείας, καὶ οἶμαι, ὡς οὔτε ἀκάνθας οὔτε μὴν τριβόλους ἀνῆκεν, ἀλλὰ σταφυλὴν καλὴν καὶ σῖτον ὥριμον, οἷς ἄρα καὶ ὁ Βασιλεὺς ἥδεται τῶν ἁπάντων.

ΚΕ'. Καὶ οὕτω μὲν ὁ θεῖος εἶπεν ἀνήρ· μὴ προσθεὶς δὲ δηλῶσαι τὴν ἀδελφότητα (ἠγνόησαν γὰρ ἀλλήλους D ἔκ τε τῆς μεταβολῆς τῶν ἐνδυμάτων καὶ τῆς πολλῆς τοῦ σώματος τήξεως), τρόπον ἕτερον ἠβούλετο τούτοις τὸν ἀναγνωρισμὸν ἐμβαλεῖν. Πόθεν τοιγαροῦν ὥρμησαι; τῷ Ἰωάννῃ φησί. Ὁ δὲ μετὰ πόσης ἂν εἴποις τῆς μετριοπαθείας καὶ ταπεινώσεως, τῇ αὐτῇ ἐχρῆτο φωνῇ, ᾗ καὶ πρότερον τὸ ναυάγιον ὑποστὰς καὶ διασωθεὶς τῇ μονῇ προσῆλθεν, Ἄνθρωπος εἰμι, λέγων, ξένος καὶ ταπεινὸς, ἐπιδεὴς ἐλέους Θεοῦ καὶ τῶν σῶν ἁγίων εὐχῶν· οὕτω διάπυρος ἐραστὴς ἦν τοῦ μετρίου· καὶ ἵνα τὸ τῆς θείας Γραφῆς εἴποιμι πρὸς τὸ χρηστότερον ἐκλαβὼν, « Γέγονεν αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, ἡ ταπείνωσις· » πρὸς ταῦτα ὁ γέρων, Ναὶ, φησίν· ἀλλ' εἰπὲ τό τε γένος τὸ σὸν

καὶ τὴν χώραν, καὶ τὴν ἀνατροφὴν, ἵνα καὶ οὕτω A Θεὸς δοξασθῇ. Ὁ τοίνυν Ἰωάννης λόγου ἀψάμενος, τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἐπῄει, καὶ τῇ διηγήσει γνωρίσματά τινα τῆς συγγενείας τῷ ἀδελφῷ παρεῖχε, συμμαρτυρούσης αὐτοῖς καὶ συμφθεγγομένης τῆς ὄψεως, εἰ καὶ τοὺς χαρακτῆρας ἀσαφεῖς εἶχεν ἐκ τῆς πολλῆς ἀμβλυνθέντας κακοπαθείας. Ὡς δὲ καὶ περὶ τὴν διήγησιν τοῦ τε πλοίου καὶ τοῦ κινδύνου κατέστη, καὶ ὅτι ἀδελφὸς αὐτῷ ἦν, οὗ καὶ πρὸς ὄνομα μνησθεὶς, ἐστέναξε καὶ δάκρυα κατέσταξε τοῦ προσώπου, μὴ ἐνεγκὼν ὁ Ἀρκάδιος τὴν τῆς φύσεως τυραννίδα, ἀναστὰς, καὶ τῷ γέροντι προσπεσὼν, Οὗτος, ἔλεγε, ὦ Πάτερ, ὁ ἐμὸς ἀδελφὸς Ἰωάννης, οὗτος ὁ φίλτατος, οὗτος ἐκεῖνος, ὁ τὴν αὐτήν μοι συμπλεύσας, καὶ τὸ αὐτὸ ναυάγιον ὑποστὰς, καὶ παραδόξως, ὡς ὁρᾷν ἔχοιμι, συνδιασωθεὶς, καὶ νῦν B ἐμοὶ παραδοξοτέρως ἐπιφανεὶς. Ὢ θείας οἰκονομίας! ὢ Θεοῦ κριμάτων ὑπερφυῶν! ὢ πάντα λόγον νικώσης Προνοίας! Καὶ ὁ γέρων, Κἀγὼ ᾔδειν, φησὶ, ἀλλὰ τούτου χάριν ἐπέσχον, ἵν' ἀλλήλους ὑμεῖς οἴκοθεν ἐπιγνῶτε. Καὶ οὕτω μὲν ὁ θεῖος ἀνήρ. Οἱ δὲ εἰς περιπλοκὰς ἐχώρουν, καὶ περιλαβόντες ἀλλήλους, καὶ τὰ ἀδελφὰ τοῦτο μὲν προσφθεγξάμενοι, τοῦτο δὲ καὶ περιπτυξάμενοι, εὐχήν τε παρὰ τοῦ θείου γέροντος αἰτησάμενοι, κοινὴν τὴν εὐχαριστίαν ἀπεδίδοσαν τῷ Θεῷ, οὐχ ἧττον τῆς τοῦ κινδύνου διαφυγῆς, ἢ τῆς ἀλλήλων θέας καὶ συναφείας, καὶ τούτου μᾶλλον τῆς διά του τοιοῦδε σχήματος, καὶ τοῦ βίου, πρὸς Θεὸν εἰσαγωγῆς τε καὶ οἰκειώσεως· ὥστε συμβαίνειν, πολλαπλῶς αὐτοὺς ἥδεσθαι, καὶ Θεῷ τὴν χάριν ὁμολογεῖν ὑπὲρ τῆς ἑαυτῶν, ὑπὲρ τῆς ἀλλήλων δηλαδὴ C σωτηρίας, ὑπὲρ τῆς εἰς ἓν πάλιν συναγωγῆς, ὑπὲρ τῆς εἰς τοιοῦτον βίον ἀναγωγῆς τε καὶ τελειώσεως. Ἀλλὰ τὰ μὲν ἐκείνων οὕτως.

possum: «Facta erat illi tanquam vestis qua induebatur humilitas [6].» Cui senex, Recte quidem, inquit. Sed et genus tuum, et patriam, et educationem, ut hinc quoque Deo gloriam tribuamus, expone. Tum Joannes sermonem adoriens, ab initio ad finem usque cuncta persequitur, atque inter narrandum fratri nonnulla cognationis indicia facit, quæ vultus ipsius velut testimonio aut viva quadam voce confirmabantur, etsi lineamenta ejusdem tot malorum perpessione hebetata ac propemodum exstincta viderentur. Verum ubi recensendo tum navigii tum periculi mentionem injecit, ac fratrem quem habuisset nominavit, tum enimvero Arcadius, naturæ violentiam ultra non ferens, erumpentibus suspiriis, lacrymis ora perfundens, surrexit, atque ad senioris pedes provolutus: Hic, inquit, mi Pater, est frater meus, charissimus Joannes, hic ipse qui suscepta mecum navigatione naufragium pertulit, velut miraculo, quemadmodum videre datur, conservatus, et nunc majore etiam miraculo mihi oblatus. O divinum plane consilium! o judicia Dei naturam vincentia! o providentiam nulla oratione aut ratione explicandam! Subjecit deinde senex: Neque vere me hæc fugiebant; verum idcirco silendum duxi, ut indiciis domesticis invicem agnosceretis. Sub hæc divini hominis verba illi in amplexus ruentes arctissime invicem stringebant, et nunc quidem fraterne colloquentes, nunc amplexum redintegrantes, nunc optimi senis precationem deposcentes, uno ore gratias Numini referebant, tum quod periculo tanto exempti essent, tum quod mutuo conspectui et conjunctioni restituti, tum maxime quod tali habitu vitaque dignati, ad tantam Dei tamque domesticam quodammodo familiaritatem pervenissent. Neque finis erat, aut communis lætitiæ, aut agendarum Deo gratiarum vel ob suam cujusque et fraternam salutem, vel ob novam ejusmodi congressionem, vel ob talis vitæ institutum cum tanta perfectione susceptum. Atque hac quidem ratione quæ ad illos pertinent sese habent.

CAPUT VII.

Parentes filios tandem agnoscunt: utrique sanctitate florent.

ΚϚ' Βούλεται δὲ καὶ Θεὸς καὶ ὁ λόγος ἤδη τοῖς D ἀδελφοῖς συνάψαι καὶ τοὺς γεννήτορας. Συνάπτονται δὲ οὕτως. Οὔπω γὰρ δύο παρῆλθον ἡμέραι, καὶ αὐτοὶ παρῆσαν, φιλοτίμῳ χειρὶ τὰς διανομὰς ποιούμενοι πρός τε τὸ ἅγιον τοῦ Κρανίου ὄρος καὶ τὸν ζωηφόρον τάφον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ἔπειτα ἐξιοῦσιν ὁ θεῖος ἐκεῖνος συναντᾷ γέρων, ὅς καὶ τοῦ ζῆν αὐτοῖς τοὺς παῖδας διεβεβαίωσε, καὶ ὅσον οὔπω θεατοὺς ἔσεσθαι. Τούτῳ γοῦν προσελθόντες, καὶ ἣν ἔδει δόντες τιμὴν, τέλος ᾔτουν τῆς ὑποσχέσεως, καὶ τὰ σφῶν τέκνα ἠξίουν ἰδεῖν. Ἡνίκα δὲ ταῦτα ἐλέγετο, οἱ γενναῖοι παῖδες ὄπισθεν ἦσαν τῷ γέροντι παρεστῶτες· ἀλλ' ἐπέσχεν αὐτοὺς ἐκεῖνος, μηδοτιοῦν εἰπεῖν ἐντειλάμενος, μήτε μὴν δήλους ἑαυτοὺς τοῖς

XXVI. Nunc autem, Deo et narratione eo ducentibus, etiam parentes cum fratribus conjunguntur. Id quod ita evenit. Vix enim duo effluxerant dies, cum et ipsi adsunt, munifica manu largitionem exercentes. Qui ubi ad sanctum Calvariæ montem atque ad vivificum Christi Dei nostri sepulcrum accesserunt, divinus ille senex eis occurrit, qui et antea de natorum vita certiores reddiderat, et jam tantum non adesse ac videri significaverat. Hunc ubi adierunt exhibita, uti par erat, veneratione, promissi fidem exigunt, filiorumque conspectum requirunt. Interea dum hi sermones habentur, generosi juvenes retro astabant seni, ejus jussione prohibiti, ne aut verbum facerent, aut aliqua ra-

[6] Coloss. III, 11.

A γεννήτορσι καταστῆσαι· παρ' ὃ καὶ διέμειναν αὐτοῖς ἄγνωστοι μηδὲν τῆς ὄψεως ὑποσημηνάσης, διὰ τὸ μαρανθῆναι τῇ ἀμέτρῳ κακοπαθείᾳ, ὡς καὶ ἤδη φθάσαντες ἐδηλώσαμεν. Πάντως δὲ οὐ σιτίων μόνον, ἀλλὰ καὶ γλώττης πολλῷ μᾶλλον ἐγκρατεῖς ἦσαν. Οὐδὲ γὰρ μέτριον ἦν, οὐδὲ κοῦφον, τὸ πατέρων αὐτοὺς εἰς ὄψιν ἐλθόντας μετὰ δριμυτάτην ἐπιθυμίαν, καὶ οὕτω μὲν αὐτοὺς ποθοῦντας, οὕτω δὲ ποθουμένους, ὑπομεῖναι τὴν σιωπὴν, καὶ μὴ μόνον μηδὲν φθέγξασθαι, ἀλλὰ μηδὲ δάκρυον ὑπ' ἀμέτρου περιχαρείας ἐξενεγκεῖν· ὃ καὶ τῆς βίας κρεῖττόν ἐστι φανερῶς τῆς πάντα νικώσης φύσεως.

ΚΖ'. Ἐπεὶ οὖν οἱ θαυμαστοὶ παῖδες, τοὺς ἑαυτῶν ἐπιγνόντες πατέρας, αὐτοὶ παρ' ἐκείνοις διέμειναν ἄγνωστοι, Ἄπιτε, φησὶ πρὸς αὐτοὺς ὁ γέρων μετὰ κεχαρισμένης καὶ γλώττης καὶ ψυχῆς, καλὴν ἡμῖν B ἑτοιμάσοντες τράπεζαν. Ἐλεύσομαι δὲ αὐτὸς μετὰ τῶν δύο μου μαθητῶν τῶνδε συμπαρακληθησόμενος ὑμῖν, καὶ τὸ λοιπὸν ἀπάξω παρὰ τὸν τόπον ὑμᾶς, ἐν ᾧ τοὺς φιλτάτους υἱοὺς ὄψεσθε. Ἥσθησαν ἐκεῖνοι τοῦτο ἀκούσαντες, οὐ μᾶλλον ἐπὶ τῷ ἐπαγγελθῆναι τοὺς παῖδας ἰδεῖν, ὅσον ἐπὶ τῷ ἀξίους κριθῆναι ἀνδρὸς ἑστιάτορας ὀφθῆναι τοιούτου. Ἑώρων γὰρ οὐκ εἰς τὸ γένος καὶ τὴν περιφάνειαν τὴν οἰκείαν, ἀλλ' εἰς τὴν ἐκείνου πρὸς Θεὸν οἰκείωσιν, πολλῷ τιμιωτέραν πλούτου καὶ εὐγενείας ἀρετὴν εἶναι νομίζοντες. Ἐκείνων τοιγαροῦν οἰχομένων, ὁ γέρων τοῖς παισὶν, Ἀπίωμεν, ἔφη, συνεστιασόμενοι τοῖς πατράσι τοῖς ὑμετέροις, ἐπεὶ μηδὲν ὑμεῖς βλαβήσεσθε παρὰ τοῦτο. Φημὶ γὰρ, ὅσους ἂν καὶ δι' ἀρετὴν ὑπέλθητε κόπους, τοῦ μέτρου τῶν πατέρων ὑμῶν C οὐδαμῶς ἐφίκοισθε· ὥστε οὐ βλάβη, ἀλλ' ὠφέλεια μᾶλλον ἐκ τοῦ ὁμιλεῖν τοιούτοις ἀκολουθεῖ. Τοῦτο εἰπὼν, αὖθις σιωπὴν αὐτοῖς παραγγέλλει, καὶ τὸ μηδὲν ὅλως πρὸς γνωρισμὸν παραφθέγξασθαι· αὐτοῖς τοῖς πράγμασι τὴν φανέρωσιν ἐπιτρέπων.

ΚΗ'. Ἐπεὶ δὲ καὶ ἀπελθόντες πρὸς τὸ φαγεῖν κατεκλίθησαν, ἠρώτων οἱ τῶν παίδων πατέρες, Πῶς, Πάτερ, λέγοντες, τὰ τέκνα ἡμῶν ἔχει; Ὁ δὲ, Καλῶς, ἔφη· ἀγὼν γὰρ αὐτοῖς σῶσαι τὴν ἑαυτῶν ψυχήν. Κἀκεῖνοι εὐχῇ τὸν τοῦ γέροντος λόγον εἰς πέρας ἐλθεῖν ἠξίωσαν. Εἶτα προσθεὶς ὁ θεσπέσιος Ξενοφῶν, Ὡς καλοί σου, ἔφη, Πάτερ, οἱ μαθηταὶ καὶ Θεῷ τὰν οὖν (1) διακείμενοι, καί μου κατάκρας χαίρει ἐπ' αὐτοῖς ἡ ψυχὴ, καὶ τὸν ὀφθαλμὸν ἥδομαι προσβάλλων αὐτοῖς. Εὖξαι τοιγαροῦν, θειότατε Πάτερ, D καὶ τοὺς υἱοὺς ἡμῶν ἀποβῆναι τοιούτους. Καὶ οὕτω μὲν ὁ θαυμάσιος Ξενοφῶν ἐν ἀγνοίᾳ τὰ ἑαυτοῦ ἐπαινῶν, καὶ ὅπερ ἤδη ἐν χερσὶν εἶχε, δι' εὐχῆς ἕξειν ποιούμενος. Ὁ μέντοι πολὺς τὴν σύνεσιν γέρων, Εἰπέ μοι, ἔφη, τέκνον (πρὸς τὸν Ἀρκάδιον ἀπιδὼν), ποίας μὲν πόλεως εἶ; ποίων δὲ γονέων; ποίας δὲ τῆς ἀνατροφῆς ἔτυχες; Πρὸς ταῦτα ὁ θεῖος Ἀρκάδιος, Ἐγὼ, ἔφη, Πάτερ, τοῦ Βυζαντίου μὲν ὥρμημαι· υἱὸς δέ εἰμι γονέων εὐγενῶν (ὡς τὸ ἀληθὲς βούλεται) καὶ περιφανῶν. Ὄνομα τῷ μὲν πατρὶ Ξενοφῶν, τῇ μητρὶ δὲ Μαρία, ὡραίαν μετὰ

tione se parentibus proderent. Quamobrem plane ipsis incogniti, ne vultibus quidem prodebantur, immodica, uti diximus, laborum asperitate consumptis. Non solum enim eorum quæ ad victum pertinent, sed multo etiam magis linguæ potentes erant. Et sane non levis neque mediocris virtutis erat, post vehementissimum desiderium, tam expetentes tamque expetitos in parentum conspectum venire, ac silentium servare, et non tantum a verbis, verum etiam a lacrymis in tam immensæ lætitiæ abundantia temperare. Quod violentiæ genus natura omnia superante potentius exstitit.

XXVII. Cum itaque admirandi juvenes parentibus jam cognitis adhuc essent incogniti, Abite, inquit senex læto animo linguaque, et bonam nobis mensam apparate: ego mox cum duobus discipulis meis vos consolaturus subsequar, et, quod reliquum est, ad locum ubi charissima pignora videatis deducam. Quibus illi auditis lætitia non mediocri perfusi sunt, non tantum quod filiorum ipsis conspectum polliceretur, sed quod tanti viri non indigni convivæ judicarentur. Neque enim suum aut genus aut splendorem respiciebant: sed ipsius cum Deo conjunctionem, virtutem utique divitiis ac nobilitate longe potiorem ducebant. Ipsis igitur Deum precantibus, senior filiis: Eamus, inquit, cum parentibus vestris pransuri, cum nihil inde vobis noxæ futurum sit. Sic enim sentio, quantoscunque ad consequendam virtutem labores subieritis, nequaquam tamen vos ad parentum vestrorum mensuram accessisse. Quamobrem non tam jactura vobis, quam utilitas ex eorum congressu obventura est. His dictis, rursum iis silentium præscribit, imo ab omni re quæ cognitionis ansa esse queat, ad ipsos parentibus indicandos, abstinere jubet.

XXVIII. Ubi autem ad sumendum cibum convenerunt, jam considentes rogare cœperunt, Ut habent, o Pater, filii nostri? Perbelle, ait senex. Namque hoc unum laborant, ut servent animas suas. Tum illi supplicant, ut rerum omnium quæ filiis accidissent tandem narrationem absolvat. Ac subdidit præstantissimus Xenophon: Quam egregii, Pater, sunt hi tui discipuli, quamque in Deum tota mente propensi? Eorum sane occursus cum animum meum summo perfundit gaudio, tum oculos jucundissima voluptate exhilarat. Quocirca Deum obsecra, divinissime Pater, ut et nostri liberi tales evadant. Ita admirandus Xenophon plane inscius laudat res suas, et quod in manibus erat, id votis omnibus expetebat. At sapientissimus senex Arcadium intuens, Age, inquit, fili, quæ tua sit patria, qui parentes, quæ educatio, nobis edissere. Cui divinus Arcadius: Equidem Byzantio huc adveni. Parentibus autem nobilibus, et ut dicam omnino quod res est, illustribus natus sum. Patri meo nomen erat Xenophon, matri Maria, in corpore ve-

(1) Sic codex. Scribendum τὸν νοῦν.

nusto parem mentem adeptæ. Frater mihi fuit Joannes nomine. Cætera deinceps enarrant, quemadmodum institutus fuerit, ut navigaverit, in quanto periculo versatus, quanto Dei beneficio servatus sit. Hæc illo narrante mox a parentibus agniti sunt, qui incredibilem animorum exsultationem et alacritatem, cordisque ardorem, velut impetum divinitus afflatum non ferentes, repente consurgunt, amplexantur liberos, eorumque cervicibus circumfusi, simul osculis, simul lacrymis immensum animorum stuporem excitabant, in has voces erumpentes; Ergone, Pater, hi sunt filii nostri? hi vere dilectissimi? hi ipsi a nobis tanto cum dolore quæsiti? Quid deinde? Uno ore laudem Numini et gratias tribuunt.

XXIX. Nec morati sunt parentes quin ardentissimis precibus sanctum virum obtestarentur, ut ipsos quoque sacrati illius habitus sigillo ornaret, quo cum filiis, licet impares, ejusdem tamen boni sectatores, non autem (quod Deus averteret) exsortes redderentur. Et persuasus eorum supplicatione senex (nam in re plane tam sancta quid resisteret?) eadem sua dextera vertices eorum totondit, initiavitque, atque eos dimittens præcipit, ut in posterum ab omni corporum communicatione temperarent, donec commune naturæ debitum persolverent.

XXX. Atque hujusmodi fuit optimi Numinis erga tam bonos parentes liberosque providentia, admirationis juxta, ac suavitatis plenissima. Adeo ut in illis impletum fuerit quod ab Isaia dictum: « Imponam Spiritum meum super semen tuum, et benedictiones meas super filios tuos. Et orientur, ut in medio aquæ fenum, et sicut salix super præterfluentem aquam [7]. » Hæc Isaias, loquente per ipsum Dei gratia; quæ, velut si ad ipsos dicerentur, convenienter sane in eosdem congruunt. Cujusmodi et istud: « Meus es tu, et si transieris aquam, tecum sum [8]. » Et hoc: « Auditam faciam salutem tuam, et sub umbra manus meæ protegam te [9]. » Filii autem ad ultimum vale parentibus dicto, spiritualem patrem libentius secuti, cum eo in desertum, se conferunt, beatumque ibi finem consequuntur, ante obitum divinis quoque muneribus dignati, ac tum aliis sancti Spiritus donis, tum vaticinandi facultate pollentes.

XXXI. Pater vero illorum præclarus evangelicæ disciplinæ assectator, dimissis venditisque bonis omnibus, ea egentibus distribuit, eumque in modum levissimis minimisque rebus universum sibi cœlorum regnum comparavit. Sed et servis omnibus domesticis libertate donatis, hac ratione in numerum filiorum cœlestis Patris referri studuit. Inde thori vitæque et ejusdem plane voti consortem venerandis quibusdam mulieribus virginibus-

A τοῦ σώματος ἐχούσῃ καὶ τὴν ψυχήν. Ἦν δέ μοι καὶ ἀδελφὸς ὄνομα Ἰωάννης. Ἔπειτα καθεξῆς λέγει τὰ τῆς παιδείας, τὰ τοῦ πλοῦ καὶ τὰ τοῦ κινδύνου, καὶ οἵας ὑπὸ Θεοῦ τετύχηκε σωτηρίας. Οὕτω δὲ διεξιόντος, οἱ γονεῖς ἐπιγνόντες αὐτοὺς, καὶ τὸ ἅλμα, καὶ τὴν ὁρμὴν, καὶ τὴν τῆς καρδίας μὴ ἐνεγκόντες πύρωσιν, ἐνθουσιῶσιν ὁμοίως εὐθὺς ἀνέστησαν, καὶ περιλαβόντες τοὺς παῖδας, καὶ τοῖς αὐτῶν περιφύντες τραχήλοις, τοῦτο μὲν φιλήμασι, τοῦτο δὲ δάκρυσι τὴν ἄμετρον ἐκείνην τῆς ψυχῆς ἔκστασιν παρεκάλουν, Οὗτοι εἰσι, Πάτερ, λέγοντες, οἱ ἡμῶν παῖδες. οὗτοι ἀληθῶς οἱ φίλτατοι, οἱ πολλὴν ἡμῖν τὴν περὶ αὐτῶν ζήτησιν παρασχόντες, οὗτοι. Τί τὸ μετὰ ταῦτα; Κοινὴ ἡ δόξα πρὸς Θεὸν καὶ εὐχαριστία.

B ΚΘ'. Εἶτα θερμοτάτη τῶν γεννητόρων δέησις πρὸς τὸν ἱερὸν ἄνδρα ἐκεῖνον, ὥστε τῇ σφραγῖδι καὶ αὐτοὺς σημανθῆναι τοῦ ἁγιοπρεποῦς σχήματος, καὶ φανῆναι, εἰ καὶ δευτέρους τῶν τέκνων, ἀλλ' οὖν τοῦ ἴσου καλοῦ μιμητὰς, καὶ μὴ παντάπασιν ἀμετόχους· ὅπερ ἀνάξιον. Πείθεται τούτοις ἀξιοῦσιν ὁ γέρων (καὶ πῶς γὰρ οὔ, θεοφιλοῦς ὄντος ἀτεχνῶς τοῦ πράγματος;), καὶ τῇ αὐτῇ δεξιᾷ κἀκείνους κείρας τε ἅμα καὶ τελειώσας, παραγγελίας ἀφίησι μηκέτι σωματικῶς ἀλλήλους ἰδεῖν, ἕως τὸ κοινὸν τῇ γενέσει χρέος ἑκάτερος αὐτῶν ἀποδῷη.

Λ'. Τοιαύτη χαριεστάτη καὶ θαυμαστὴ τῷ ὄντι οἰκονομία περὶ τοὺς χρηστοὺς καὶ πατέρας καὶ παῖδας παρὰ τοῦ ἀγαθοῦ Θεοῦ γέγονεν, ὡς πέρας ἐπ'
C αὐτοῖς λαβεῖν ὃ διὰ Ἡσαΐου αὐτὸς φθέγγεται, « Ἐπιθήσω, λέγων, τὸ Πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου, καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου, καὶ ἀνατελοῦσιν ὡς ἀναμέσον ὕδατος χόρτος, καὶ ὡς ἰτέα ἐπὶ πᾶν ῥέον ὕδωρ. » Καὶ ταῦτα δὲ Ἡσαΐου μὲν εἰσι καὶ τῆς δι' αὐτοῦ φθεγγομένης τοῦ Θεοῦ χάριτος, πολλὴν δὲ καὶ πρὸς αὐτοὺς λέγεσθαι τὴν οἰκειότητα φέροντα· οἷον τὸ, « Ἐμὸς εἶ σὺ, καὶ ἐὰν διαβαίνῃς δι' ὕδατος, μετὰ σοῦ εἰμι· » καὶ τὸ, « Ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου, καὶ ὑπὸ τὴν σκιὰν τῆς χειρός μου σκεπάσω σε. » Οἱ μὲν οὖν παῖδες τὰ τελευταῖα τοὺς γεννήτορας ἀσπασάμενοι, τῷ πνευματικῷ ἀναγεννήσαντι μᾶλλον εἵποντο, καὶ σὺν ἐκείνῳ τὴν ἔρημον εἰσελθόντες, ἐκεῖ τὸ μακάριον ὑπέρχονται τέλος, χαρισμάτων καὶ πρὸ τοῦ τέλους θείων ἀξιω-
D θέντες, προῤῥήσεών τε καὶ δωρεῶν ἄλλων τοῦ ἀγαθοῦ Πνεύματος.

ΛΑ'. Ὁ δέ γε πατὴρ αὐτῶν, πληρωτὴς ἀντικρὺς τοῦ Εὐαγγελίου δείκνυται· καὶ πέμψας καὶ τὰ ἑαυτοῦ πωλήσας ἅπαντα, καὶ πένησι διαδοὺς, καὶ οὕτως εὐτελῶν τε καὶ σμικρῶν βασιλείαν οὐρανῶν ὅλην ἑαυτῷ ὠνησάμενος, ἐλευθερίας τε ἅπαν αὐτοῦ τὸ οἰκετικὸν ἀξιώσας, δι' ὧν ἔσπευσεν εἰς υἱοὺς αὐτὸς ἐγγραφῆναι τοῦ οὐρανίου Πατρὸς, εἶτα καὶ τὴν σύνοικον αὐτῷ καὶ σύμβιον ἀληθῶς καὶ τὸ ἓν πνέουσαν γυναιξὶ σεμναῖς καὶ παρθένοις ἐντάττει, οὕτω σὺν

[7] Isa. XLIV, 3. [8] Isa. XLIII. 2, LII, 7. [9] Isa. LI, 16.

αὐτῇ θελήσας εἰς τὸν ἀεὶ χρόνον τῇ μιᾷ κεφαλῇ A πάντων Χριστῷ συναφθῆναι.

Λʹ. Ἥτις καὶ πολιτείαν μετελοῦσα λίαν ὑψηλὴν, καὶ ὀλίγοις βάσιμον, ἀῤῥαβῶνας ἔσχεν ἐντεῦθα τῆς πρὸς Θεὸν οἰκειώσεως καὶ τῆς ἐκδεξομένης αὐτὴν ἐκεῖθεν μακαριότητος, δαιμονῶντας ἰασαμένη, καὶ πολλῶν ἄλλων νοσημάτων εὐχῇ κρατήσασα. Ὁ δέ γε θεῖος τῷ ὄντι καὶ θαυμασιώτατος ἀνδρῶν Ξενοφῶν, τρίχινα ὑπενδὺς, πολλῇ τε περὶ τὴν δίαιταν εὐτελείᾳ χρησάμενος καὶ κακοπαθείᾳ, καὶ οἱονεὶ δίκας τὴν προλαβοῦσάν εἰσπραξάμενος πολυτέλειαν, τὴν πανέρημόν τε καταλαβὼν, κἀκεῖ τὸν ὑπόλοιπον τοῦ βίου χρόνον διενεγκὼν, προγνώσεών τε καὶ μυστηρίων καὶ μεγάλων χαρισμάτων ἀξιωθεὶς, πολιὸς τὴν τρίχα, νεαρὸς τὴν σπουδὴν, πρὸς τὰς ἐκεῖθεν μονὰς παραπέμπεται, ἄνθρωπος ἀληθῶς τοῦ Θεοῦ γενόμε- B νος, καὶ ὅλον οἶκον καθιερώσας αὐτῷ, σπουδῇ τε πάσῃ θεραπεύσας πανοικεσίᾳ κατ' ἀμφοτέρους τοὺς υἱοὺς μακάριος ἀποδειχθεὶς, τὸ καινότατόν τε καὶ χαλεπώτατον σωτηριῶδες ὑπόδειγμα γενόμενος πᾶσι τοῖς τὴν ἁλμυρὰν ἡμῖν τοῦ βίου πλέουσι θάλατταν καὶ σώζεσθαι βουλομένοις· ὃν εἰ μὴ θαυμάζειν μόνον, ἀλλὰ καὶ μιμεῖσθαι, σπουδάζομεν, μέτοχοι τῶν μενόντων αὐτὸν ἀγαθῶν ἐσόμεθα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ, κράτος, μεγαλοσύνη καὶ μεγαλοπρέπεια, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

que committit; sic cum ipsa Christo uni omnium capiti æternum connecti desiderans.

XXXII. Atque ille quidem sublimi plane paucisque accesso vitæ genere inito, etiam arrhas obtinuit seu maximæ hic cum Deo necessitudinis, sed manentis eam deinceps felicitatis, tum dæmonibus vexatos liberans tum alia multa infirmitatum genera precatione depellens. Divinus autem atque inter viros admiratione dignissimus Xenophon, detrita veste indutus, magnæque victus parcimoniæ, et asperitatum tolerantiæ sese dedens, perinde quasi pristinæ magnificentiæ a se pœnas exigeret, in desertissimum locum secessit, ubi peracta reliqua vita, vaticinationibus, arcanisque et maximis dotibus insignis, canus capite, diligentia juvenis, in mansiones illas receptus est : vir omnino Deo deditus, ut qui consecrata ipsi domo tota, omnique sedulitate eidem serviens cum universa familia utriusque vitæ felicitate conspicuus exstitit ; nimirum omnibus salsissimum vitæ hujus mare navigantibus, salutisque studiosis novissimum ac difficillimum, sed salutare exemplum effectus. Quem si non admirari duntaxat, verum etiam imitari studuerimus in eamdem cum ipso bonorum communionem veniemus, in Christo Jesu et Domino nostro, cui debetur omnis gloria, honor, virtus, majestas ac magnificentia, nunc et in sæcula sæculorum. Amen.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ.

—

VITA ET CONVERSATIO

S. P. N. JOANNIS ARCHIEPISCOPI CONSTANTINOPOLITANI,

QUI DICTUS EST CHRYSOSTOMUS

(Anno 380. Jan. 27.*)

(Græce apud Savilium Opp. Chrysostomi tom. VIII, Latine apud Surium.)

—

A Καὶ πάντων μὲν τῶν κατὰ Θεὸν πολιτευσαμένων ὁ βίος τοῖς εὐσεβέσιν ὠφελιμώτατος, οὐχ ὑπόδειγμα μόνον καὶ τύπος, ἀλλὰ καὶ παράκλησις ὑπάρχων πρὸς [γρ. εἰς] ἀρετήν. Ζήλου γάρ τι κέντρον ἐνίησιν ἀγαθοῦ καὶ διαθερμαίνει τὴν εὐσεβῆ ψυχὴν πρὸς τὴν μίμησιν· ὁ δέ γε τοῦ Χρυσοστόμου Πατρὸς καὶ μᾶλλον ἤπερ τῶν ἄλλων ἡδὺς μὲν ἀκοῦσαι, σωτήριος δὲ μιμήσασθαι καὶ ὠφέλιμος. Ἀνὴρ γὰρ ἐκεῖνος οὐ μόνον εἶχε γλῶτταν λυσιτελῆ τοῖς ἀκούουσιν, ἀλλὰ καὶ τὸν βίον πλέον τοῖς μιμουμένοις ἐπωφελῆ. Μᾶλλον δὲ, εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὥσπερ ἐκείνην ἔσχεν ἐν τῷ λέγειν ἀμίμητον· οὕτω δὴ καὶ τοῦτον ἀνέφικτον ἐν τῷ πράττειν. Πλὴν ἀλλὰ τὰ ἐκείνου καὶ διηγητέον πάντως, καὶ μιμητέον εἰς δύναμιν. Ἐπεὶ καὶ ζωγράφοις τὰ κάλλιστα τῶν ἀρχετύπων οὐ παροπτέα, καθότι μὴ ῥᾳδίαν ἔχει τὴν μίμησιν, B ἀλλ' ἐλπίδι τοῦ μόγις ποτὲ κατορθωθέντα περιβλέπτους ἀποδεῖξαι τοὺς μιμουμένους, περὶ [ἴσ. πρὸς] τὸν ζῆλον ἀνίστησιν. Ἐμοὶ δὲ μέσην ὁ λόγος ὥρμηται βαδίζειν, ὡς μήτε τὰ κατ' αὐτὸν πάντα διεξελθεῖν, μήτε τὰ καιριώτατα παριδεῖν· ἀλλ' ἐκεῖνα μὲν εἰπεῖν, ὅσα καὶ λεχθέντα μεγάλα τοὺς ἀκροατὰς ὠφελήσει, καὶ παροφθέντα τὰ μέγιστα ζημιώσει· τὰ δ' ἄλλα τοῖς ἄλλοις καταλιπεῖν.

Α'. Οὗτος τοιγαροῦν ὁ ἀληθὴς τοῦ Θεοῦ ἄνθρωπος καὶ γνήσιος μετὰ τὸν ὁμώνυμον [γρ. συνώνυμον] κήρυξ τῆς μετανοίας, ὁ γλῶτταν ἅμα καὶ φωνὴν καὶ στόμα καὶ πάντα χρυσοῦς, μᾶλλον δὲ καὶ πολλῷ τῷ μέσῳ τοῦ χρυσοῦ τιμιώτερος, ἐξ Ἀντιοχείας μὲν D

Omnium quidem eorum, qui se ex Deo gessere vita est piis utilissima: ut quæ sit non solum exemplar et forma, sed etiam adhortatio ad virtutem. Immittit enim stimulum bonæ æmulationis, et accendit piam animam ad imitationem. Vita autem patris nostri Chrysostomi, est auditu quidem aliis jucundior, ad imitandum autem salutaris et utilis. Nam ille quidem vir non solum habebat linguam conducibilem iis qui eam imitantur. Imo vero, si verum dicere oporteat, quomodo illam in dicendo habebat inimitabilem : ita etiam hanc, quam in agendo nemo potest assequi. Verum enim vero res illius sunt omnino narrandæ et imitandæ pro viribus. Nam pictoribus quoque non sunt despicienda pulcherrima exemplaria, quatenus non habent facilem imitationem : sed quod sperent fore, ut si ea tandem assecuti fuerint, clari et insignes reddantur : id imitatores excitat ad æmulationem : mihi autem oratio media quadam via est ingressura, ut nec quæcunque ab eo facta sunt, persequatur, neque prætermittat ea, quæ sunt præcipua. Nam illud quidem fere est ejusmodi, ut fieri non possit: hoc vero non est utile. Sed illa quidem dicat, quæ dicta, auditoribus plurimum afferent utilitatis : prætermissa autem : damni plurimum : alia vero relinquat aliis.

I. Hic ergo verus homo Dei, et germanus, si ullus alius, post eum, qui erat ejusdem nominis præco pœnitentiæ, qui lingua simul et voce et ore et in omnibus aureus, imo vero longe auro pretiosior, genus quidem ducebat ex Antiochia : Antiochia,

* Secundum Romanum Martyrologium, item Bedæ et Usuardi. Sed non est hic natalis ejus dies quem festo Exaltationis S. Crucis obiisse omnes, qui ejus res gestas conscribunt, testantur ; sed translationis, quando scilicet corpus ejus anno 438 a Comanis translatum est Constantinopolim. Vide Bar. in Martyrol. ad 27 Jan.

inquam, quæ sita est in Cœlesyria. Cum tam claram autem haberet patriam, nec parentes quidem habuit minus nobiles. Fuerunt enim ii quoque suscipiendi, et splendore vitæ paucis secundi. Erat enim pater dux exercitus, et qui multis abundabat opibus. Nomen autem patri (1) quidem erat Secundus, matri vero Anthusa. Qui primum quidem erant religione gentiles, et tenebantur profundis tenebris ignorantiæ, etiamsi, postquam eis natus esset filius et divino baptismate regeneratus, fuerunt ii quoque veritatis luce illuminati. Ex his ille ortus, cum esset adhuc puer ætate, nequaquam habuit puerile ingenium. Neque enim faciebat aliquid indecorum, neque erat occupatus in ludicris et lusibus: sed qualis procedens futura esset planta, ipsa omnino seipsam indicabat. Deinde divinum assequitur baptismum, corpore adhuc valde tenero et molli. Oportebat enim eum, cujus vita ad Christum inclinabat, non manere amplius Christi signaculo non signatum. Qui eum autem baptismo tinxit, fuit Meletius, qui optime administravit sedem Antiochenam, sede virtutis longe altior. Postea autem ejus quoque parentes divino tradit lavacro. Neque enim par erat, ut cum ad lucem gratiæ accessisset filius, qui ei causæ fuerant ut in lucem ederetur, non ejusdem, cujus filius, essent splendoris participes. Deinde grammatico traditus, ut primas disceret disciplinas, erat fax injecta in ignem: neque ullo omnino opus habebat stimulo, nec aliquo, qui eum esset incitaturus. Quanquam disciplina, et diuturna in uno loco mora, et assidere occupatum, sunt omnino juvenibus ingrata et injucunda, quomodo contra saltationes et translationes, cursusque et motiones sunt eis gratissima. Ille autem se totum dedebat disciplinis. Cum homo itaque ingenio simul concurrens studium, effecit ut brevi plurima disceret. Cum autem ab ineunte ætate tenuitatem amasset, et a fastu alienationem, erat superior omnibus blanditiis et rebus superfluis, neque comitum multitudinem secum ducens ad lutum litterarium neque equo vectus, iter ingredi sustinens Sed nec aliud quidquam delicatum aut splendidum, ut qui esset ex tanta domo ostentare contendens. Itaque cum parentes quidem valde instarent, et eam rem esse sibi probro ducerent, nec ii soli, sed etiam pædagogus et condiscipuli eadem facerent, et ei exprobrarent, quod esset nimis vilis et abjectus, multum aberat ut ille persuaderetur eorum verbis, et sibi congenitam et gratam repelleret moderationem. Quamobrem cum eum aliquando convenirent parentes, et causam rogarent, cur eis dedecori esse vellet tam tenuiter vivens, et instar cujusdam plebeii: ille revera sapiens, et lingua plane invictus, O cur mihi, inquit, frustra vultis exhibere negotium, perinde ac si nos primi vitæ tenuitatem et modera-

A εἷλκε τὸ γένος. Ἀντιοχείας, ἥτις κατὰ τὴν Κοίλην κεῖται Συρίαν. Οὕτω δὲ πατρίδος ἐπιφανῶς ἔχων, οὐδὲν ἧττον καὶ πατέρων εὐγενῶν ἔτυχεν. Ἀπόβλεπτοι γάρ καὶ αὐτοὶ, καὶ τῇ κατὰ τὸν βίον περιφανείᾳ μὴ πολλῶν δεύτεροι. Στρατηγὸς γὰρ αὐτῷ ὁ πατὴρ, καὶ μυρίῳ πλούτῳ καὶ βαθυτάτῳ κομῶν· ὄνομα δὲ τῷ μὲν τῶν γονέων Σεκοῦνδος, τῇ δὲ Ἀνθοῦσα· τὸ πρῶτον Ἕλληνες ὁμοῦ τῇ θρησκείᾳ [γρ. τὴν θρησκείαν], καὶ τῷ βαθεῖ σκότῳ τῆς ἀγνοίας κάτοχοι· εἰ καὶ μετὰ τὴν τοῦ παιδὸς γέννησιν, πρὸς δὲ καὶ τὴν τοῦ θείου βαπτίσματος ἀναγέννησιν, τῷ φωτὶ καὶ οὗτοι τῆς ἀληθείας περιελάμφθησαν. Ἐκ τούτων ἐκεῖνος προελθὼν, παῖς ὢν ἔτι τὴν ἡλικίαν, οὐ κατὰ παῖδας εἶχε τὸ φρόνημα. Οὔτε γὰρ ἔπραττέ τι τῶν ἀκόσμων, οὔτε πρὸς ἀθύρματα εἶχε καὶ παιδιάς· B ἀλλὰ τὸ φυτὸν εὐθὺς, ὁποῖον γένοιτο προϊὸν, αὐτὸ ἑαυτὸ παρεδήλου. Εἶτα τοῦ θείου καταξιοῦται βαπτίσματος ἐπὶ νέῳ πάνυ καὶ ἁπαλῷ σώματι. Ἔδει γὰρ τῷ βίῳ πρὸς Χριστὸν κλίνοντα μὴ ἐπὶ πολὺ τῆς κατὰ πνεῦμα λείπεσθαι τελειότητος. Μελέτιος δὲ ὁ βαπτίσας ἦν· ὃς τὸν θρόνον ἄριστα τῆς Ἀντιοχείας ἐκόσμει, παρὰ πολὺ τῷ θρόνῳ τῆς ἀρετῆς ὑψηλότερος. Ὕστερον δὲ καὶ τοὺς αὐτοῦ πατέρας τῷ θείῳ λουτρῷ δίδωσιν. Οὐδὲ γὰρ ἦν ἄξιον, τῷ φωτὶ τῆς χάριτος τοῦ παιδὸς προσελθόντος, τοὺς αἰτίους αὐτῷ τῆς εἰς φῶς προαγωγῆς γενομένους, μὴ τῆς ὁμοίας κοινωνῆσαι λαμπρότητος, ἔπειτα γραμματιστῇ τινι παραδοθεὶς, ὅλος τῶν μαθημάτων γίνεται. Φύσει δὲ δεξιᾷ σπουδὴ συνελθοῦσα, δι' ὀλίγου πλεῖστα ἐκμανθάνειν ἐποίει. Ἐκ παιδὸς μὲν οὖν ἔτι τὸ λιτὸν C φιλήσας καὶ ἄτυφον, πάσης ἀπείχετο βλακείας καὶ περιττότητος, οὔτε πλῆθος ἀκολούθων εἰς τὴν διατριβὴν ἐπαγόμενος, οὔτε ἵππῳ τὴν πορείαν ἀνύειν παραδεχόμενος, οὔτε ἄλλην ἁβρότητα καὶ κομψείαν, οἷα εἰκὸς τὸν τοιοῦτον, ἐπιδεικνύμενος, καίτοιγε τῶν γονέων σφοδρῶς ἐπικειμένων καὶ οἰκείων ὕβριν τοῦτο λογιζομένων, οὐκ αὐτῶν δὲ μόνον, ἀλλὰ καὶ παιδαγωγοῦ καὶ συμφοιτητῶν τὰ ὅμοια ποιούντων, καὶ τὴν πολλὴν ὀνειδιζόντων εὐτέλειαν. Ἐκείνῳ δὲ πολλοῦ ἔδει τοῖς τούτων λόγοις πεισθῆναι, καὶ τὴν ἡλικιῶτιν αὐτῷ καὶ φίλην ἀπώσασθαι μετριότητα. Ὥστε καὶ τῶν γονέων αὐτῷ ποτε κοινολογουμένων, καὶ τὴν αἰτίαν, δι' ἣν οὕτω δι' ὀνείδους αὐτοῖς εἶναι θέλοι πυνθανομένων, λιτῶς ἔχων πάνυ καὶ ἰδιωτικῶς, ὁ σοφὸς τῷ ὄντι καὶ τὴν γλῶτταν ἀήττητος, ὦ τί ποτε, εἶπε, πράγματά μοι βούλεσθε D παρέχειν διακενῆς; μὴ κρείττων ἐγὼ, φησὶ, τοῦ Δανιὴλ, ἢ τῶν τριῶν παίδων ἐκείνων, ὧν διὰ τὴν τῆς ψυχῆς συντριβὴν καὶ τὴν τοῦ πνεύματος μετριότητα, ὁ μὲν λεόντων ἐκτεθεὶς στόμασιν ἀπρόσιτος ἦν, οἱ δὲ καμίνῳ πυρὸς ἐκδοθέντες τοσοῦτον ἀπέσχον ὑπ' αὐτοῦ βλαβῆναι, ὥστε μικροῦ δεῖν καὶ ὡς ὑπηρέτῃ φαίνεσθαι τῷ πυρὶ χρωμένους, καὶ κατὰ τῶν περιεστηκότων ἐπαφιέναι σὺν οὐδενὶ τῷ κωλύοντι; οὐ μὴν δὲ ἀλλὰ καὶ πανταχοῦ τὴν θείαν

(1) Parentes. S. Joannis Chrysostomi matrem Publiam fuisse præter Theod. L. III, cap. 17, menologia etiam Græcorum affirmant; sed eorum sententia a Baronio ad annum 362 refellitur: nisi forte Publia Anthusa dicta sit. — De Joan. Chrys. genere et educatione, vide Niceph. c. 2, 3, lib. XIII; Theod. lib. V, c. 26. 27: Soz. lib. VIII, c. 2, 3; Socr. lib. VI, c. 3; Bar. ad an. 382.

εὑρίσκω γραφὴν τὸ ταπεινὸν τοῦτο καὶ παρ' ὑμῖν A δικασταῖς ἀπέπτυστον περὶ πολλοῦ ποιουμένην, καὶ ὡς οὐδέν τι ἄλλο τιμῶσαν· τὸ δὲ περιττὸν φιλότιμον ἐκ παντὸς διαβάλλουσαν, καὶ μικρῶν καὶ ἀθλίων ψυχῶν ἔρωτα μᾶλλον, οὐχὶ μεγάλων, οὐδὲ γενναίων αὐτὸ τιθεμένην. Ὥστε οὐκ ἀμαθῶς ἐγὼ τοῖς πλείονος τίθεμαι λόγου τουτὶ τὸ μέτριον· ἐπεὶ καὶ τοιούτοις εὐδοκεῖν μανθάνω τὸ θεῖον, καὶ χάριν μὲν παρέχον τοῖς ταπεινοῖς, τοῖς δ' ἐναντίως ἔχουσι καὶ μαχόμενον. Ταῦτα ἐκείνου λέγοντος, ἔκπληξις ἐλάμβανε τοὺς πατέρας [γρ. τεκόντας]. Ἠκολούθει δὲ πάντως καὶ ἡ ἀπὸ τῶν ῥημάτων ὠφέλεια· ὥστε μισθὸν αὐτοῖς τοιοῦτον διδόναι τῆς εἰς τὸν βίον προόδου, καὶ παρ' ἐκείνων ἁπλῶς τὸ εἶναι λαβόντα, τὸ εὖ εἶναι τούτους φιλοτίμως ἀμείβεσθαι. Μόλις δὲ τοῖς γονεῦσι πεισθεὶς ἠνέσχετο τὸ σὺν ἑνὶ τῶν B παίδων ἀπιέναι πρὸς τὴν διατριβήν. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ὁ μὲν πατὴρ ἀπήλλακται τῶν παρόντων· ἡ μήτηρ δὲ, καὶ προωρον ὥσπερ [ἴσ. ὥσπερ καὶ πρόωρον] ὑπομείνασα τὴν χηρείαν, καὶ ἐπὶ παιδὶ νέῳ τὸν βίον σαλεύουσα, μυρίαν εἶχε τὴν ἐπὶ τῶν πραγμάτων ἀνωμαλίαν, καὶ πολλὰ τὰ δυσχερῆ συνέπιπτε καθ' ἑκάστην, οἷα μόναι αἱ τοιαῦτα παθοῦσαι σαφῶς ἐπίστανται. Τούτων ἐκείνη βραχὺν ἔχουσα λόγον, δύο τῶν πάντων πλείονος ἠξίου μεριμνης· τὸ μηδενὸς μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν ἑτέρου προσέχειν ἔρωτι (καὶ γὰρ εἶχεν ἔτι τὴν ἡλικίαν ταῖς τοιαύταις πάγαις ἁλώσιμον), καὶ τὸ τὸν παῖδα οὕτω προαγαγεῖν [γρ. προσάγειν], ὡς μηδεμίαν ἑτέραν δείκνυσθαι τοιούτου μητέρα. Ἐπεὶ δὲ ἐκεῖνος γραμματικήν τε καὶ τὴν ἐγκύκλιον παίδευ- C σιν ἐκμαθὼν ἦν, εἶτα καὶ ῥητορικῆς καὶ φιλοσοφίας εἰς ἄκρον ἤλασε, τὴν μὲν ὡς ἄριστα Διβανίου παραλαβὼν (οὗ πολὺ τὸ εἰς ῥητορικὴν κλέος ἐστὶ), τὴν δὲ πάλιν Ἀνδραγαθίου φιλοπόνως ἀκροασάμενος, τί γίνεται;

tionem statuissemus colere, ægre ferentes? Deinde statim adducebatur in exemplum Daniel et tres pueri [1]. Ex quibus ille quidem, inquit, propter animæ contritionem et spiritus moderationem, ab ore leonum adiri non potuit, illi autem conjecti in fornacem ignis, tantum abfuit ut ab ipso vincerentur, ut etiam propemodum viderentur ministro igne utentes, et in inimicos, qui circumsistebant, eum absque ullo immitterent impedimento [2]. Alioqui autem ubique invenio divinam Scripturam, hanc, quæ apud vos, judices, habetur contemptui, humilitatem ubique magni facere, et ut nihil magis, commendare: fastum vero et honoris studium reprehendere: idque pusilli et abjecti esse potius animi, quam excelsi et magni, ducere. Quamobrem non ego ignoranter pluris facio hanc mediocritatem: Deum enim didici his delectari (solet enim simul cum externo habitu affici anima), et gratiam quidem præbere humilibus [3]: iis autem, qui contra se habent, adversari. Hæc illo dicente, parentes obstupuerunt. Consecuta est autem omnino, quæ a verbis, ut potius quæ a factis procedebat utilitas: adeo ut talem eis daret mercedem suæ in vitam productionis: et qui ab eis quidem solum acceperat, ut esset; ut bene esset, eis munifice redderet. Vix tandem autem a parentibus persuasus, in hoc eis paret, qui alioqui se in aliis præbebat obedientissimum, ut nequaquam quidem cum pluribus, sed uno ex famulis eum comitante, iret ad ludum litterarium. Non multum interjectum est temporis, et pater quidem excessit e vita præsenti: mater autem, ut quæ præmaturam subiisset viduitatem, et propter puerum adhuc teneræ ætatis, vitæ fluctibus agitata, multis et variis quotidie vexabatur casibus et molestiis, quas eæ solæ aperte sciunt, quæ illas sentiunt. Quorum quidem parvam illa ducens rationem, duo ex omnibus maxime curabat: nempe ut et post sui mariti decessum nullius amore caperetur (poterat enim ejus ætas adhuc capi his laqueis): et filium sic educeret (2), ut nulla alia ostenderetur mater talis filii. Postquam autem ille didicisset grammaticam et orbem disciplinarum, deinde etiam pervenit ad summum dicendi facultatis atque philosophiæ: ut qui illam quidem quam optime acceperit a Libanio cujus erat insignis fama in arte dicendi: hanc autem ab Andragathio diligenter adiverit. Quid fit?

Β'. Πόθος αὐτὸν πλείονος παιδείας καὶ εἰς Ἀθήνας ἀφικέσθαι παρασκευάζει· κἀκεῖ σοφιστῶν τε D καὶ φιλοσόφων τοῖς ἀρίστοις οὐ κατὰ πάρεργον συγγινόμενος, οὕτω καὶ νοῦν ἐπλούτισε, καὶ γλῶτταν εἰς ἄκρον ἤσκησεν, ὡς μηδενὶ ῥᾳδίως τοῦ ἴσου παραχωρεῖν. Ἐντεῦθεν ἐπίσημος ἐν βραχεῖ οὐκ Ἀθήναις μόνον, ἀλλὰ καὶ Ἑλλάδι τῇ πάσῃ γίνεται, καὶ τοσοῦτον, ὡς καὶ αὐτῷ δὴ τῷ ὑπάρχῳ τῆς τῶν Ἀθηνῶν πόλεως, τὸ κατ' ὄψιν μόνον ἐλθεῖν, πρᾶγμα λογισθῆναι σπουδῆς ἄξιον. Κατά τινα γοῦν καιρὸν ἐκκλησιάζοντα, καὶ τοὺς ἐπὶ δόξῃ καὶ λόγῳ τὰ πρῶτα φέροντας συγκαλοῦντα τῶν Ἀθηναίων, πόθος αὐτὸν λαμβάνει πλεῖστος μετακαλέσασθαι καὶ τὸν ἅγιον σὺν πολλῇ καὶ φιλοτίμῳ τῇ θεραπείᾳ, ὄχημά τε πέμψαντα, καὶ ἄλλη ὁπόση τίς ἐστι πρὸς τοῦτο δορυφορία.

II. Desiderium majoris eruditionis (in pluribus enim bonis assequendis laborabat cupiditate) efficit ut veniat Athenas, et illic simul versans cum præstantissimis rhetoribus et philosophis, sic et mentem locupletavit, et linguam summe exercuit, ut nulli facile concederet, ut esset cum eo conferendus. Hinc factum est, ut brevi esset insignis, non solum Athenis, sed etiam in universa Græcia: adeo ut ipsi quoque præfecto prætorio res videretur esse digna magno studio, vel solum venire in conspectum Athenarum. Cum ergo quodam tempore haberet concionem, et eos convocaret ex Atheniensibus, qui et gloria et dicendi facultate tenebant primas partes, ei curæ fuit, ut sanctum quoque officiose vocaret et honorifice: statimque missum fuit vehi-

[1] Dan. VI, 1 seqq. [2] Dan. III, 24 seqq. [3] Jac. IV, 10; I Petr. I, 6.

(2) f. educaret.

culum, et alius, qui ad hoc expedit, comitatus. Sed ille hæc tanquam supervacanea et inutilia et veluti inane itineris adjumentum repellens, solus viam est ingressus, suis utens pedibus, quod quidem sibi faciendum constituit is, qui est sanus, et non propter arrogantiam et vanam gloriam ea sustinet facere, quæ ægroti. Quamobrem magis stupentes ejus moderationem, et eam quæ apparebat constitutionem, ducentes esse imaginem animæ, quæ non apparebat, ipse primus prætorio præfectus et qui cum eo aderant, ei accedenti lubenter assurrexerunt, et eum aspexerunt oculis reverentia plenis et benevolentia. Deinde etiam vi attrahentes (resistebat enim propter vehementem amorem moderationis) primo loco eum dignati sunt, publiceque ornarunt eloquentiæ laudibus et aliis privilegiis. Fieri autem non poterat, ut toleranter hæc ferret invidia : nec sine dolore hæc aspicerent invidorum oculi. Nam cum vanam gloriam summe sibi vindicarent, existimabant illius honorem illorum honori detrahere. Quomodo accidit, ut tum quoque afficeretur Anthemius, qui non parvi quidem fuit nominis propter studium eloquentiæ, gentilis autem erat religione, et alioqui lingua profusus, et volens ei nimium indulgere : qui sancti laudibus non minus morsus, quam si ipse fuisset summa affectus contumelia, in eum vehementi spiritu invehebatur, et injustum vocabat id, quod factum fuerat, et dicebat esse nefarium, hospitem et advenam primos sic honores consequi : et maxime, aiebat, eum qui a nobis plurimum differt religione. Propter quæ primum invidiam ægre ferens præfectus, Quidnam, dixit, fuerit præter rationem, si vir, qui est et tali genere ortus, tantaque et doctrina et modestia præditus, fuerat indicatus a nobis honore dignus, cum etiam præter alia, ipsum honorem fugere, honorem acquirat apud eos, qui sapiunt et recte sciunt judicare? Deinde autem Joannes quoque placide ejus sermonem excipiens, Non oportebat, inquit, o Anthemi, eum qui sibi vindicat philosophiam, ita superari ab honore hominum, et eum persequi tanquam rem magnam et magna contentione appetendam, qui non solum nobis non prodesse, sed etiam plurimum potest lædere, quod attinet ad virtutem. Quid enim fuerit revera homo ex eo seipso melior? Quod vero dixisti me esse dissimili vobis religione, erubescerem, si viderer tacere, ducens hoc esse pudendum. Ego enim deos neque novi, nec me eos unquam esse adoraturum, professus fuerim ; absit ut adeo desipiam, et sit mihi lingua tam temeraria, Sed unus mihi Deus est Christus, qui cognoscitur in Patre et in Spiritu, qui et omnia ab initio produxit ex nihilo, et nunc ineffabili ea virtute continet, et annuos nobis fructus suppeditat, et manum aperiens, omne animal implet benedictione [4]. Sed non Christus, dixit interpellans Anthemius, producit hos fructus annuos, sed elementa mundi

A 'Αλλ' ἐκεῖνος ταῦτα, ὡς περιττὰ καὶ ἀνόνητα καὶ κενὸν οἷον πορείας ἐφόλκιον, διωσάμενος, μόνος εἴχετο τῆς ὁδοῦ, ποσὶ τοῖς ἑαυτου χρώμενος. Ὑφ' οὗ καὶ μᾶλλον αὐτὸν ἐκπλαγέντες τῆς μετριότητος, καὶ τὴν φαινομένην κατάστασιν εἰκόνα τῆς ἀφανοῦς ψυχῆς ποιησάμενοι, αὐτός τε πρῶτος [γρ. πρῶτον] ὁ ὕπαρχος, καὶ ὅσοι δὴ συμπαρῆσαν, καὶ ὑπανέστησαν προσιόντι, καὶ πρὸς βίαν ἐπισπασάμενοι, τῆς προεδρίας, ἠξίουν, δημοσίᾳ τε τοῖς ἐκ λόγων ἐπαίνοις καὶ ταῖς ἄλλαις ἐφιλοτιμοῦντο τιμαῖς. Ταῦτα δὲ πρῴως τὸν φθόνον οὐκ ἦν ἐνεγκεῖν, οὐδὲ τοῖς τῶν βασκάνων ἔμελλεν ὀφθαλμοῖς φορητὰ γενέσθαι καὶ ἄλυπα. Τῆς γὰρ κενῆς δόξης ἐσχάτως ἀντιποιούμενοι, τὴν πρὸς ἐκεῖνον τιμὴν τῆς ἑαυτῶν ὕφεσιν ἐνόμιζον εἶναι· καθάπερ δὴ καὶ 'Ανθεμίῳ τότε συνέβαινεν, ἀνδρὶ B τὴν μὲν θρησκείαν Ἕλληνι, καὶ διὰ μὲν τὴν περι τοὺς λόγους σπουδὴν ὀνόματος οὐ φαύλου τετυχηκότι, προπετεῖ δὲ ἄλλως ὄντι, καὶ τῇ γλώττῃ σφόδρα χαρίζεσθαι βουλομένῳ. Ὅς τοῖς πρὸς τὸν ἅγιον ἐπαίνοις οὐχ ἧττον δηχθεὶς, ἢ εἴπερ αὐτὸς ἐτύγχανε τὰ ἔσχατα ὑβρισθεὶς, πολὺς κατ' αὐτοῦ ἔπνει, ἄδικόν τε τὸ γεγενημένον ἀποκαλῶν, καὶ ὡς οὐ θεμιτὸν εἴη, τὸν ξένον οὕτω καὶ νέηλυν τῶν πρώτων ἀξιοῦσθαι τιμῶν, καὶ μάλιστα περὶ τὸ σέβας ἡμῖν παρα πολὺ, φησὶ, διαλλάττοντα. 'Εφ' οἷς καὶ πρῶτα τὸν ὕπαρχον, τί δε καὶ γέγονε παρὰ τὸν λόγον, εἰπεῖν, εἰ ἀνὴρ οὕτω μὲν γένους ἔχων καὶ παιδείας, οὕτω δὲ τῷ μετρίῳ προσέχων, ἄξιος παρ' ἡμῶν ἐκρίθη τιμῆς, ὅπου γε καὶ χωρὶς τῶν ἄλλων, αὐτὸ τὸ φεύγειν τιμὴν, τιμὴν οἶδε περιποιεῖσθαι τῷ μὴ ζητοῦντι ; ἔπειτα δὲ καὶ τὸν 'Ιωάννην πρᾴως τὸν λόγον ὑπολαβόντα, C οὐκ ἐχρῆν, ὦ 'Ανθέμιε, φάναι, φιλοσοφίας ἀντιποιούμενον τιμῆς οὕτω τὴν παρὰ ἀνθρώπων ἀμφισβητεῖν, καὶ ὡς μέγα τι ταύτην μεταδιώκειν καὶ περιμάχητον, οὐχ ὅπως μέγα καὶ ἀξιόλογον, ἀλλ' οὐδὲ μικρὸν ἡμᾶς εἰς τὸν τῆς ἀρετῆς λόγον ὠφελεῖν δυναμένην. Τί γὰρ παρὰ ταύτην ἄνθρωπος ἑαυτοῦ βελτίων τὸ πρὸς ἀλήθειαν ; ὅτι δέ με καὶ ἀνομοίως ὑμῖν ἔχειν περὶ τὸ σέβας εἰρήκατε, τοῦτο αὐτὸς οὐκ ἀρνήσομαι, πολλοῦ γε καὶ δεῖ· ἀλλὰ καὶ νῦν, εἴπερ ἄλλοτε, τῇ γλώττῃ χάριτας ἔξω, διακονῆσαι πρὸς ταῦτά μοι δυναμένῃ. Θεοὺς γὰρ οὔτε οἶδα, οὔτε ὁμολογήσαιμι μὴ οὕτω κακῶς ἐγὼ καὶ φρενῶν σχοίην καὶ γλώττης) ἀλλ' εἷς ἐμοὶ Θεὸς ὁ Χριστὸς ἐν Πατρὶ καὶ Πνεύματι γνωριζόμενος· ὃς πάντα τε παρήγαγεν ἐκ μὴ ὄντων, καὶ νῦν ἀποῤῥήτῳ σθένει D διακρατεῖ, καρπούς τε τοὺς ἐτησίους ἡμῖν χορηγει, καὶ ἀνοίγων αὐτοῦ τὴν χεῖρα, πᾶν ζῶον εὐδοκίας ἀποπληροι. 'Αλλ' οὐχ ὁ Χριστὸς, εἶπεν ἐγκόψας 'Ανθέμιος, τοὺς ἐτησίους τούτους προάγει καρποὺς, τὰ στοιχεῖα δὲ τοῦ κόσμου, φησὶ, καιροῖς ἰδίοις τῇ τῶν θεῶν προνοίᾳ τελεσφορεῖ. Ἅμα δὲ τῷ ταῦτα εἰπεῖν, πονηρῷ πνεύματι κατάσχετος γεγονὼς, καὶ τῇ γῇ, καθάπερ εἶχε, προσαῤῥαχθεὶς, ἔκειτο βρύχων καὶ διαστρέφων μὲν ὀφθαλμοὺς, ὀδόντας δὲ τετριγὼς, καὶ ἀφρὸν παραπτύων τοῦ στόματος. Ταῦτα τὸν ὕπαρχον δαὶ τοὺς συμπαρόντας θεασαμένους θαῦμά

4 Psal. CXLIV, 16.

τε εἰσῄει καὶ ἔκπληξις, καὶ θορύβου ἦσαν μεστοί· ἔπειτα τῷ μακαρίῳ προσχόντες ἱκέται γίνονται, καὶ ἀμύνειν ἀξιοῦσι τῷ πάθει. Ὁ δὲ, (καὶ τίς γὰρ ἐκείνου φιλανθρωπότερος;) ἅτε καὶ τοῦ φιλανθρώπου Χριστοῦ μιμητὴς, ᾤκτειρέ τε τῆς συμφορᾶς τὸν ἄνθρωπον, καὶ ὑπὲρ αὐτοῦ δεηθεὶς τοῦ μόνου βοηθεῖν δυναμένου, διπλῆν τῷ κειμένῳ παρέχει τὴν ἴασιν. Ἐπεὶ γὰρ οὗτος εἰς αἴσθησιν ἦλθεν, οἵ κακοῦ γέγονεν, οὐκ ἀποχρῶσαν αὐτοῦ τὴν θεραπείαν ἡγήσατο, ἀλλὰ καὶ τὴν αἰτίαν, δι' ἣν εἰς τοῦτο συμφορᾶς ὤλισθεν, ἐδεῖτο θεραπευθῆναι. Τὸν δὲ ἐπιδεῖξαί τε προθύμως καὶ συμβουλεῦσαι, τὸν ἱεράρχην τῆς πόλεως ὡς τάχιστα καταλαβεῖν, παρ' αὐτοῦ τε τὰ θεῖα κατηχηθῆναι μυστήρια, καὶ τοῦ τῆς παλιγγενεσίας ἀξιωθῆναι λουτροῦ, δι' οὗ καὶ τῶν ἀφανῶν αὐτῷ τῆς ψυχῆς μωλώπων ἴασις ἔσται, καὶ τῆς τοῦ δαίμονος ἐπηρείας ἀποτροπή. Οὔπερ ἐκεῖνος τῷ λόγῳ πεισθεὶς, τῇ ἐκκλησίᾳ προσέρχεται, καὶ τῷ Κυρίῳ πιστεύσας βαπτίζεται, καὶ πολλοῖς ὑπόδειγμα γίνεται τῆς εἰς Χριστὸν πίστεως. Φιλεῖ γάρ πως ἡ τῶν ἐπιφανῶν καὶ μεγάλων ἐπὶ τὸ κρεῖττον ἢ καὶ χεῖρον μεταβολὴ, πολλοῖς ἐπὶ τὸ ἴσον γίνεσθαι τῆς μεταθέσεως ἀφορμή. Ἐντεῦθεν ὁ μὲν τῶν Ἀθηνῶν ἐπίσκοπος, ἣν Ἰωάννης αὐτῷ περὶ τὴν Ἐκκλησίαν ἐπίδοσιν εἰργάσατο, θεασάμενος, πολὺς ἦν λόγοις ἅμα καὶ παραινέσεσι τοῦτο ὑποποιούμενος, καὶ διάδοχον ἑαυτοῦ (καὶ γὰρ ἦν ἤδη τὴν ἡλικίαν προήκων) ἑτοιμαζόμενος· ἄλλως δὲ ἡ τοῦ Θεοῦ πρόνοια τὰ κατ' αὐτὸν ὑπῆρχε ψηφιζομένη, πρὸς μείζονα πάντως καὶ ὑψηλοτέραν λυχνίαν τὸ μέγα ἐκεῖνο φῶς θήσειν μέλλουσα.

A suis temporibus producunt, deorum providentia. Nondum finem acceperat ejus sermo, cum a maligno spiritu possessus et terræ allisus, misere jacebat rugiens, lacrymarum et timoris simul causa iis qui aderant : pervertens quidem oculos, stridens autem dentibus, spumam vero ex ore turpissime exspuens. Hæc cum aspexisset præfectus et qui circa illum erant, eos subiit admiratio et stupor, et erant pleni tumultu. Deinde ad beatum Joannem accedentes, fiunt ei supplices, et rogant ut velit opem ferre affectioni. Ille autem (quis enim fuit illo benignior?) ut qui benigni Christi esset imitator, et calamitatis hominis est misertus, et cum pro eo rogasset eum, qui vel solus potest opem ferre, ei qui jacebat, duplicem affert curationem. Nam cum B iste liberatus a dæmone, sensisset in quanto malo esset versatus, arbitratus non sufficientem eam esse curationem, causam quoque, propter quam venerat ad tantam calamitatem, rogabat curari, ne eadem ei rursus evenirent. Ille autem (sciebat enim veri Dei ignorationem, ejus esse causam) consuluit, ut prompto et alacri animo quamprimum adiret pontificem civitatis, et rogaret ut in divinis catechesi ab eo initiaretur: et quo latentium animæ vibicum veniret curatio, et a dæmonibus, quos colebat, omnino liberaretur, assequeretur lavacrum regenerationis. Paret ejus dictis Anthemius, et cito accedit ad ecclesiam : et cum Domino credidisset, baptizatur, et fit multis exemplum, ut credant in Christum. Clarorum enim et magnorum virorum in C melius aut deterius mutatio, solet multis esse causa ad idem mutationis. Hinc factum est, ut Athenarum episcopus, cum aspexisset quantam ejus Ecclesiæ accessionem fecisset Joannes ille aureus, verbis et monitis crebro eum sibi insinuaret, et ut sibi esset successor (jam enim erat gravis ætate procuraret. Aliter autem Dei providentia de eo statuerat, in majori omnino ex excelsiori candelabro magnam illam lucem positura.

Γ'. Ἐπεὶ δὲ καὶ τῆς τῶν Ἀθηναίων παιδείας ἐπὶ πλεῖστον ἀπώνατο, σπλάγχνων αὖθις μητρικῶν καὶ πατρίδος ὑπεμιμνήσκετο, καὶ εἰς Ἀντιόχειαν πάλιν ἐξ Ἀθηνῶν ἐπανέρχεται. Εἶτα μικρὰ ταῦτα, καὶ λόγους καὶ πανηγύρεις, καὶ ὅσα φιλοτιμίας ἧπται τῆς περιττῆς ἡγησάμενος, τὸν ἀγγελικὸν, εἴτ' οὖν ἀσκητικὸν ἔκρινεν ἀλλάξασθαι βίον, συμβούλῳ πρὸς τοῦτο καὶ κοινωνῷ τοῦ σκοποῦ χρώμενος Βασιλείῳ, φίλῳ τινὶ καὶ συνήθει, καὶ τὸ ἓν ὁμοψύχως αὐτῷ καὶ ἀδελφικῶς πνεύσαντι. Οὐκ ἐκεῖνος οὗτος ὁ καὶ πατρίδα καὶ θρόνον τῆς τῶν Καππαδοκῶν τετιμηκὼς, ὡς οἴονται τινες ὑπὸ τῆς ὁμωνυμίας ἴσως πεπλανημένοι, εἴπερ ἱκανὸς αὐτὸς οὗτος ὁ χρυσοῦς τὴν γλῶτταν εἰς πίστιν ἀρκούντως ἐν τοῖς περὶ τῆς ἱερωσύνης ταῦτα δηλώσας. Τούτου μὲν γὰρ καὶ τὸν ἅπαντα χρόνον αὐτῷ παρηκολουθηκέναι λέγει, καὶ μαθημάτων ἅψασθαι τῶν αὐτῶν, καὶ διδασκάλοις τοῖς αὐτοῖς χρήσασθαι. Ὃ δὲ μάλιστα πάντων ἀπείργει μὴ τοῦτον εἶναι τὸν μέγαν, ὅτι αὐτὸν μὲν καὶ πατρίδος ὑποφαίνει τῆς αὐτῆς εἶναι, καί τὸ γένος ὁμότιμον [γρ. καὶ ὁμοτίμου τοῦ

III. Cum vero in Atheniensium doctrina plurimum profecisset, viscerum maternorum et patriæ rursus est recordatus, et rursus Athenis rediit Antiochiam. Deinde hæc parva esse putans, nempe orationes et conciones, et quæcunque ad supervacaneam pertinent ambitionem, angelicam seu monasticam vitam statuit suscipere, ad hoc consultore et instituti socio utens Basilio (3-4) quodam suo familiari, et qui erat unius animæ et fraterni cum eo spiritus. Non is autem erat ille, qui et patriam et sedem ornavit Cappadocum, ut quidam existimant, decepti a similitudine nominis. Siquidem ad finem hujus rei faciendam, hic ipse sufficit lingua aureus, qui satis illud ostendit in libris de D sacerdotio. Dicit enim eum esse ipsum secutum toto tempore, et easdem attigisse disciplinas, et eosdem habuisse præceptores. Quod autem maxime omnium prohibet, non hunc esse magnum illum Basilium, est, quod ipsum quidem ostendit ejusdem patriæ, fuisseque et genere pares et divitiis. Quomodo vero statues hæc esse magno et huic

(3-4) Qui hic fuerit Basilius incertum est ; *vide* Baron. tom. IV *Annal.* ad annum 382.

maximo communia, quæ sunt maxime diversa? Siquidem plurimum inter se differunt Antiochia et Cappadocia. Sunt autem multa quoque alia per quæ conjici potest, non esse hunc magnum Basilium, sed quemdam alium, ortum Antiochiæ. Cæterum ab hoc instituto tunc sapientem abducunt et civitas, et multo magis ad persuadendum efficacia ei temperans lacrymarum medicamenta. Nam civitas quidem, tanquam fœtum proprium et a se educatum, eum amplectitur, et eum perpetuo volebat retinere: ea enim valde movebatur suavitate orationum Joannis, quarum maximam partem consumebat in judiciis, assidue illuc ventitans, et partem defendens inferiorem et eum, qui habebatur contemptui, recreans. Mater autem, utpote mater, magis germane eum adiens, doloresque partus et lactationem ei in memoriam revocans, et mala viduitatis, et quæcunque poterant attrahere filium, ut matris misereretur, arcebat a proposito. Sed satius est, ut illi ipsi hanc relinquam narrationem. Neque enim omnino fas est, nec conveniens, ut cum ei liceat sua per se dicere, nos, illis relictis, ex nobis ipsis faciamus narrationem. Dicit enim ipse in libris De sacerdotio (5), innuens amicum, qui eum erat abducturus ad id, cujus studio tenebatur. Deinde matrem, quæ hoc resciverat, miserabiliter accessisse, et id prohibuisse. Sic autem habet: Postquam enim sensit consilium, quod a nobis capiebatur, me dextera accepto, et in domo ei attributa ad sedendum collocato prope lectum, in quo nos pepererat, emittebat fontes lacrymarum, et adjungebat verba lacrymis miserabiliora, sic apud nos lamentans: Mihi, inquit, o fili, virtute tui patris diu frui non licuit, cum Deo ita visum esset. Nam dolores in partu propter te acceptos, mors illius consecuta, tibi quidem orbitatem, mihi autem viduitatem attulit ante tempus, et mala viduitatis, quæ eæ solæ demum, quæ illa passæ sunt, scire aperte potuerint. Nulla enim oratio potuerit consequi tempestatem illam et fluctus illos, quos subit puella, e domo quidem paterna nuper egressa, et rerum imperita, et qui cohiberi non potest, repente luctu oppressa, et necesse habens majores suscipere sollicitudines, quam pro ætate et sexu. Oportet enim ut arbitror famulorum socordiam animadvertere et corrigere, et maleficia observare, cognatorum insidias propulsare, publicanorum injurias et inhumanitatem in exigendis vectigalibus magno et excelso animo ferre. Quod si relicto etiam infante decesserit, qui est mortuus, si sit quidem femina, magnam quidem sic quoque matri præbebit sollicitudinem, a sumptibus tamen et metu liberam. Filius autem eam quotidie implet timoribus innumerabilibus et pluribus sollicitudinibus. Mitto sumptum pecuniarum, quem necesse habet facere si eum educare cupit liberaliter. Nihil horum tamen mihi persuasit, ut secundum inirem

(5) Lib. II, cap. 2.

A γένους] καὶ κατὰ τὸ πλουτεῖν ἰσοστάσιον. Ποῦ δὲ ταῦτα θήσεις καὶ τῷ μεγάλῳ κοινὰ, μᾶλλον δὲ καὶ τῷ μεγίστῳ διαφορᾷ, εἴπερ δήπου καὶ Ἀντιόχεια πόλις καὶ Καππαδοκία διενηνόχασιν; ἔστι δέ γε καὶ ἄλλα πολλὰ δι' ὧν ἄν τις τεκμήραιτο μὴ τὸν μέγαν εἶναι τοῦτον Βασίλειον, ἀλλά τινα μᾶλλον ἐκ τῆς Ἀντιοχείας ὁρμώμενον. Ἀλλὰ τοῦ σκοποῦ τούτου τέως ἥ τε πόλις αὐτὸν ἀπάγουσι, καὶ μᾶλλον ἡ μήτηρ, δεινὰ πρὸς πειθὼ τὰ ἐκ τῶν δακρύων αὐτῷ κεράσασα φάρμακα. Ἡ μὲν γὰρ πόλις ὡς ἰδίου θρέμματος περιείχετο, καὶ διὰ παντὸς κατέχειν ἠβούλετο. Εἶχον γὰρ αὐτὴν ἰσχυρῶς αἱ τῶν ἐκείνου λόγων Σειρῆνες, εἰς (sic) τὸ πλεῖστον ἔνεμε τῷ δικαίῳ, τοῖς δικαστηρίοις ἐνδιατρίζων, καὶ τῷ καταδεεστέρῳ μέρει τιθέμενος. Ἡ δὲ μήτηρ, οἷα μήτηρ, γνη-
B σιώτερον αὐτῷ προσελθοῦσα, καὶ ὠδίνων ἅμα καὶ θηλῆς ὑπομνήσασα, καὶ τὰ ἐκ τῆς χηρείας κακὰ, καὶ πάντα ὅσα δυνατὸν ἦν υἱὸν ἑλκῦσαι τῇ μητρὶ πρὸς συμπάθειαν, ἀπεῖργε τοῦ προκειμένου· μᾶλλον δὲ αὐτῷ ἐκείνῳ λέγοντι περὶ τούτου παραχωρήσω τοῦ διηγήματος. Μανίαν γὰρ ἂν ἀληθῶς, οὐ τόλμαν ἠτιώμην δικαίως, εἰ, ἐν οἷς τὰ ἐκείνου δι' ἐκείνου λέγειν παρὸν, αὐτὸς ταῦτα καταλιπὼν, παρ' ἐμοῦ [γρ. ἐμαυτοῦ] τὴν διήγησιν ἐποιούμην. Φησὶ γὰρ οὕτως ἐν τοῖς περὶ ἱερωσύνης αὐτὸς, τὸν φίλον εἰσενεγκὼν, ἀπάξειν ἐπὶ τὸ σπουδαζόμενον μέλλοντα, εἶτα τὴν μητέρα μαθοῦσαν καὶ τοῦτο διακωλύσασαν· ἔχει δὲ οὕτως· Ἐπειδὴ γὰρ ᾔσθετο ταῦτα βουλευόμενον, λαβοῦσά με τῆς δεξιᾶς, εἰσήγαγεν εἰς τὸν ἀποτεταγμένον οἶκον αὐτῇ, καὶ καθίσασα
C πλησίον ἐπὶ τῆς εὐνῆς, ἧς ἡμᾶς ὤδινε, πηγὰς ἠφίει δακρύων, καὶ τῶν δακρύων ἐλεεινότερα προσετίθει ῥήματα, τοιαῦτα πρὸς ἡμᾶς ὀδυρομένη [γρ. ἀποδυρομένη]· Ἐγὼ, φησὶ, παιδίον, τῆς ἀρετῆς τοῦ πατρὸς [τοῦ] σοῦ οὐκ ἀφείθην ἀπολαῦσαι ἐπὶ πολύ· τῷ Θεῷ τοῦτο δοκοῦν. Τὰς γὰρ ὠδῖνας τὰς ἐπὶ σοὶ διαδεξάμενος ὁ θάνατος ἐκείνου, σοὶ μὲν ὀρφανίαν, ἐμοὶ χηρείαν ἐπέστησεν ἄωρον, καὶ τῆς χηρείας δεινὰ, ἃ μόναι αἱ παθοῦσαι δύναιντ' ἂν εἰδέναι σαφῶς. Λόγος γὰρ οὐδεὶς ἂν ἐφίκοιτο τοῦ χειμῶνος ἐκείνου καὶ τοῦ κλύδωνος, ὃν ὑφίσταται κόρη ἄρτι μὲν τῆς οἰκίας τῆς πατρῴας προελθοῦσα, καὶ πραγμάτων ἄπειρος οὖσα, ἐξαίφνης τε πένθει ἀσχέτῳ βαλλομένη καὶ ἀναγκαζομένη φροντίδων, καὶ τῆς ἡλικίας καὶ τῆς φύσεως ἀνέχεσθαι μειζόνων. Δεῖ γὰρ, οἶμαι, ῥᾳθυμίας οἰκετῶν ἐπιστρέ-
D φειν, καὶ κακουργίας παρατηρεῖν, συγγενῶν ἀποκρούεσθαι ἐπιβουλὰς, τῶν τὰ δημόσια εἰσπραττόντων [γρ. πραττόντων] τὰς ἐπηρείας, καὶ τὴν ἀπήνειαν ἐν ταῖς τῶν εἰσφορῶν καταβολαῖς γενναίως φέρειν. Ἐὰν δὲ καὶ παιδίον καταλιπὼν ὁ τεθνηκὼς ἀπέλθοι, θῆλυ μὲν ὂν, πολλὴν καὶ οὕτω παρέξει τῇ μητρὶ τὴν φροντίδα, ὅμως δὲ καὶ ἀναλωμάτων καὶ δέους ἀπηλλαγμένην· ὁ δὲ υἱὸς μυρίων αὐτὴν φόβων καθ' ἑκάστην ἐμπίπλησι τὴν ἡμέραν, καὶ πλειόνων φροντίδων. Τὴν γὰρ τῶν χρημάτων ἐῶ δαπάνην, ὅσην ὑπομένειν ἀναγκάζεται ἐλευθερίως αὐτὸν ἀναθρέψαι ἐπιθυμοῦσα. Ἀλλ' ὅμως οὐδέν με τούτων ἔπεισε δευτέροις ὁμιλῆ-

σαι γάμοις, οὐδ' ἕτερον ἐπεισαγαγεῖν νυμφίον τῇ τοῦ A πατρὸς οἰκίᾳ τοῦ σοῦ· ἀλλ' ἔμενον ἐν τῇ ζάλῃ καὶ τῷ θορύβῳ, καὶ τὴν σιδηρᾶν τῆς χηρείας οὐκ ἔφυγον κάμινον, πρῶτον μὲν ὑπὸ τῆς ἄνωθεν βοηθουμένη ῥοπῆς· ἔφερε δέ μοι παραμυθίαν οὐ μικρὰν τῶν δεινῶν, καὶ τὸ συνεχῶς εἰς τὴν σὴν ὄψιν ὁρᾷν, καὶ εἰκόνα μοι τοῦ τετελευτηκότος φυλάσσεσθαι ἔμψυχον, πρὸς ἐκεῖνον [γρ. ἐκείνην] ἀπηκριβωμένην καλῶς. Διὰ τοῦτο καὶ ἔτι νήπιος ὤν, καὶ μηδὲ φθέγγεσθαί πω μαθών, ὅτε μάλιστα τέρπουσι τοὺς τεκόντας οἱ παῖδες, πολλήν μοι παρεῖχες τὴν παράκλησιν. Καὶ μὴν οὐδὲ ἐκεῖνο ἂν ἔχοις αἰτιάσασθαι, ὅτι τὴν μὲν χηρείαν γενναίως ἠνέγκαμεν, τὴν δὲ οὐσίαν σοι τὴν πατρικὴν ἠλαττώσαμεν διὰ τὴν τῆς χηρείας ἀνάγκην, ὅπερ πολλοὺς τῶν ὀρφανίαν δυστυχησάντων οἶδα παθόντας ἐγώ. Καὶ γὰρ καὶ ταύτην ἀκεραίαν B ἐφύλαξα πᾶσαν, καὶ τῶν ὀφειλόντων εἰς εὐδοκίμησιν δαπανηθῆναι τὴν σὴν ἐνέλιπον οὐδὲν, ἐκ τῶν ἐμαυτῆς, καὶ ὧν ἦλθον οἴκοθεν ἔχουσα, δαπανῶσα χρημάτων. Καὶ μήτοι νομίσῃς ὀνειδίζουσάν με ταῦτα λέγειν νῦν, ἀλλ' ἀντὶ πάντων σε τούτων μίαν αἰτῶ χάριν, μή με δευτέρᾳ χηρείᾳ περιβαλεῖν, μηδὲ τὸ κοιμηθὲν ἤδη πένθος ἀνάψαι πάλιν, ἀλλὰ περίμεινον τὴν ἐμὴν τελευτήν. Ἴσως μετὰ μικρὸν ἀπελεύσομαι χρόνον. Τοὺς μὲν γὰρ νέους ἐλπὶς καὶ εἰς γῆρας ἥξειν μακρὸν, οἱ δὲ γεγηρακότες ἡμεῖς οὐδὲν ἕτερον ἢ τὸν θάνατον ἀναμένομεν. Ὅταν οὖν με τῇ γῇ παραδῷς καὶ τοῖς ὀστέοις τοῦ πατρὸς ἀναμίξῃς τοῦ σοῦ, στέλλου μακρὰς ἀποδημίας, καὶ πλέε θάλασσαν, ἣν ἂν ἐθέλῃς· τότε ὁ κωλύσων οὐδείς. Ἕως [δ'] ἂν ἐμπνέωμεν, ἀνάσχου τὴν μεθ' ἡμῶν οἴκησιν, μηδὲ προσκρούσῃς τῷ Θεῷ, μάτην καὶ εἰκῇ τοῖς τοιούτοις ἡμᾶς C περιβάλλων κακοῖς ἠδικηκότας οὐδέν. Εἰ μὲν γὰρ ἔχεις ἐγκαλεῖν, ὅτι σε εἰς βιωτικὰς περιέλκω φροντίδας, καὶ τῶν πραγμάτων ἀναγκάζω φροντίζειν τῶν ἐμῶν, μὴ τοὺς τῆς φύσεως νόμους, μὴ τὴν ἀνατροφὴν, μὴ τὴν συνήθειαν, μηδ' ἄλλο μηδὲν αἰδεσθεὶς, ὡς ἐπιβούλους φεῦγε καὶ πολεμίους. Εἰ δὲ πάντα πράττομεν, ὥστε πολλήν σοι παρασκευάσαι σχολὴν εἰς τὴν τοῦ βίου τούτου πορείαν, εἰ καὶ μηδὲν ἕτερον· οὗτος γοῦν κατεχέτω σε παρ' ἡμῶν [γρ. ἡμῖν] ὁ δεσμός. Κἂν γὰρ μυρίους σε λέγῃς φιλεῖν, οὐδ' εἷς σοι παρέξει τοσαύτης ἀπολαῦσαι ἐλευθερίας· ἐπειδὴ μηδὲ ἔτι τις, ὅτῳ μέλει τῆς σῆς εὐδοκιμήσεως ἐξίσης ἐμοί. Ταῦτα ἡ καλὴ διέξεισι γλῶττα· καὶ ὅπως Βασίλειος μὲν εἰς τὸν τῆς διακονίας ὑπήχθη ζυγὸν, καὶ αὐτὸν κοινωνὸν ἔχειν ἐλπίσας τῆς τάξεως· ὁ δὲ τὸν D βαθμὸν ὀκνήσας, καὶ ὑποσχέσει τοῦτον παρακρουσάμενος, ὡς καὶ αὐτὸς μέλλων τοῦ ἴσου μετέχειν, τότε μὲν ἐξίσταται τὴν χειροτονίαν. Χαρισάμενος τοιγαροῦν

matrimonium, neque alium sponsum introducerem in domum patris tui: sed mansi in tempestate et tumultu, et non effugi ferream fornacem viduitatis, primum quidem adjuta superno auxilio. Afferebat autem mihi non parvam malorum consolationem et quod tuum vultum viderem assidue, et mortui animatam servarem imaginem, ad illius effigiem accurate expressam. Propterea cum esses adhuc infans, et necdum loqui didicisses, quando parentes maxime delectant pueri, mihi magnam præbebas consolationem. Atqui nec illud mihi potueris objicere, quod viduitatem quidem fortiter tulerimus: patrias autem facultates tibi minuerimus propter necessitatem viduitatis: quod quidem scio accidisse multis, qui in orbitatem inciderant. Nam eas quoque universas reliqui integras, et quæ debebant expendi, ut vir bonus et probus evaderes, non cessavi ex meis, et quas domo attuli, expendere pecuniis. Nec existimes me hæc tibi nunc dicere exprobrantem; sed pro iis omnibus unam a te peto gratiam, ne me in secundam injicias viduitatem. Sed exspecta meum decessum. Fortasse brevi post tempore decedam. Nam spes quidem est, adolescentes esse ad longam venturos senectutem. Nos autem qui consenuimus, nihil aliud quam mortem exspectamus. Quando vero me terræ mandaveris, et cum ossibus patris tui miscueris, longas suscipe peregrinationes, et mare naviga quodcunque volueris: tunc nullus est prohibiturus. Quandiu autem spiramus, sustineas nobiscum habitare: neque Deum offendas, nos temere in tanta mala conjiciens, quæ te nulla affecimus injuria. Nam si me quidem potes criminari, quod te attraho in hujus vitæ sollicitudines, et cogo te rerum mearum curam gerere: non leges naturæ, non educationem, non familiaritatem, nec aliquid denique aliud reveritus, fuge tanquam hostes et insidiatores. Si autem omnia facimus, ut magnum tibi paremus otium ad hoc ut hoc vitæ iter ingrediaris, si nihil aliud, hoc saltem te nostrum retineat vinculum. Nam etsi dicas te amari ab innumerabilibus, nemo tibi præbebit, ut tanta fruaris libertate. Nomo enim, cui tua bona existimatio sit æque curæ atque est mihi. Hæc refert lingua illa egregia, et quemadmodum Basilius quidem subiit jugum diaconatus, sperans fore, ut eum haberet ejus ordinis socium: ille autem gradum dubitans suscipere, pulchre eum promisso impellit, tanquam ipse quoque jam futuris esset ejusdem particeps. Et tunc quidem recusat ordinationem, victus a sua in eam reverentia.

τῇ μητρὶ, καὶ ἄχων τὴν μέχρι τέλους παρέχων γηροκομίαν, ἐπειδὴ ἐκείνη τὸν βίον ἀπέλιπε, παραυτίκα οὗτος τὰ ὅσια ἐπ' αὐτῇ δράσας, τὴν τῶν γονέων ὅλην οὐσίαν περιττὴν οὖσαν, τριχῇ διαιρεῖ· καὶ πρῶτα μὲν πενήτων ἔνδειαν τῷ χρυσῷ θεραπεύει· ὅσαι δὲ τῶν ἐκκλησιῶν ἐτύγχανον σπανίζουσαι κειμηλίων, τὸν ἄργυρον αὐταῖς διανέμει· τῶν δὲ ἀκινήτων ὅτι περ ἦν, τῷ δημοσίῳ φέρων ἀποκληροῖ, τὴν ἀπραγμοσύνην ἑαυτῷ περιποιούμενος, καὶ ὄχλον παντὸς γοροδόγου διαδιδράσκων. Εἶτα καὶ τοὺς οἰκέτας τῆς δουλείας ἀνεὶς, καὶ τὰς πρὸς τὸ ζῆν ἀφορμὰς παρασχόμενος, τὰ κάλλιστον πάντων ἑαυτῷ συνετήρησε, τὸ μηδὲν ἔχειν, καὶ τὸ λυθῆναι παντὸς δεσμοῦ τῷ παρόντι κόσμῳ συνάπτοντος, καὶ Θεὸν ἀντὶ πάντων πλουτῆσαι, τὸ μακάριον ὄντως κτῆμα καὶ ἀναφαίρετον.

IV. Cum aliquanto autem post tempore vix suscepisset ordinem lectoris, non libros sacros legebat solummodo, sed etiam spiritu sapientiæ eos interpretabatur, et magna verbi luce et bono evidentiæ utebatur in expositione. Quamvis autem tanta esset gratia præditus, et universus populus penderet ab ejus lingua, ægre tamen ferens tumultus, qui erant in civitate, et vitans quidquid facit ad ostentationem, ut quid arceretur a desiderio, quod ab initio animo concipiebat, quod erat sub Deo vivere, et ei soli fieri manifestum, tristitia afficiebatur, angebatur, animo plurimi faciebat solitudinem, et tanquam illic absconsum inventurus thesaurum, ad eam festinabat. Cum hoc ergo animo versaret, opportuno tempore observato, jubens omnes valere cognatos, amicos, familiares, plausus civiles, ostentationes, quin etiam eorum, quibus fiebat injuria, defensiones: et nec viduitatem matris cogitans, nec sororis curam reputans, quæ juvenili corpore subierat jugum virginitatis, opusque habebat, ut ei diligenter provideretur: atque adeo ipsam quoque domum parum curans, relicta civitate, relictis omnibus, toto pede ad vitam quietam transfugit.

Deinde cum esset ætas adhuc juvenilis, etsi esset ei corpus natura male affectum et valetudinarium, se tradit monasteriis, in quibus vita agebatur accuratior et asperior, quam in aliis: et cum totam vestem exuisset cum sapientia carnis, aut ut verius dicam, illam prius exisset, induit amictum ex pilis contextum, corpus adhuc affligens, et veluti quamdam nubem attenuans, et lumini mentis præbens libertatem. Maximum autem ponebat studium in legendis libris divinarum Scripturarum. Quod quidem faciebat tam diligenter ut vim eorum, quæ in eis insunt, nihilominus in mente imprimeret: deinde manu propria et labore digitorum eas interpretaretur, ut dictum est: et quæ sunt comprehensu difficilia, aperta redderet studiosis: et quam sententiam ipse collegerat cum labore, præberet iis, qui volebant, accipiendam citra ullum laborem. Si ergo propriis laboribus panem præbere, conciliat mercedem, esurientes animas sic exsatiare, quantæ fuerit causa remunerationis? Sic ergo divinas Scripturas interpretans, deinde etiam eas exornat eo, quod ad mores pertinet: ut illud quidem esset ad mentis illum nationem, hoc autem ad morum curam gerendam: aut, si mavis, illo quidem illustraret solum divitias spiritus, quæ jacent in profundo: hoc vero etiam aperte deduceret, ut ejus essemus participes. In hac grata quiete et silentio componuntur ab eo libri de sacerdotio: in quibus quanta quidem sit dignitas sacerdotii, qualem autem esse oporteat eum, qui hoc est dignatus, accurate ostendit. Tunc etiam scribit orationem ad quamdam illustrem mulierem, quæ paulo ante viderat noctem viduitatis, et magno luctu gravabatur, eam leniter recreans, et ostendens viduitatem non esse rem vilem et abjectam: sed magnam et venerandam esse ejus dignitatem, eamque magnis laudibus esse di-

A Δ'. Μετὰ δὲ χρόνον τινα, τὴν ἀναγνώστου τάξιν καταδεξάμενος, οὐ μόνον ἁπλῶς ὑπῆρχε τὰς ἱερὰς ὑπαναγινώσκων βίβλους, ἀλλὰ καὶ πνεύματι σοφίας διερμηνεύων αὐτὰς, καὶ πολλῷ τῷ φωτὶ τοῦ λόγου περὶ τὴν ἐξήγησιν χρώμενος· καίπερ δὲ οὕτω χάριτας ἔχων, καὶ τὸν λαὸν ἅπαντα τῆς γλώττης ἀνηρτημένον, ἀλλὰ τοὺς ἐν πόλει δυσχεραίνων θορύβους, καὶ τὸ πρὸς ἐπίδειξιν ἅπαν περιϊστάμενος, καὶ ὥσπερ ἧς ἐξ ἀρχῆς ὤδινεν ἐπιθυμίας εἰργόμενος, ἥτις ἦν ὑπὸ Θεῷ ζῆν· καὶ τούτῳ μόνῳ καταφανῆ γίνεσθαι ἤσχαλλεν, ἐδυσφόρει, τὴν ἐρημίαν ἡγεῖτο τοῦ παντὸς ἀξίαν· καὶ ὥσπερ ἐκεῖ κεκρυμμένῳ τινὶ μέλλων περιτυχεῖν θησαυρῷ, πρὸς αὐτὴν ἔσπευδεν, οὕτως ἐπὶ νοῦν ἔχων, τὸν ἐπιτήδειον φυλάξας καιρὸν, πᾶσι χαίρειν φθεγξάμενος, οἰκείοις, συγγενέσι, B φίλοις, κρότοις πολιτικοῖς, ἐπιδείξεσι, πρὸς δὲ καὶ τῷ τοῖς ἀδικουμένοις συνηγορεῖν, καὶ μήτε μητρὸς χηρείαν εἰς νοῦν λαβὼν, μήτε μὴν προστασίαν ἀδελφῆς ὑπολογισάμενος νέας ἔτι κομιδῇ τυγχανούσης, τὸν τῆς παρθενίας τε ζυγὸν ἀναδεξαμένης, καὶ πολλῆς, ὡς εἰκὸς, προνοίας ἐπιδεοῦς οὔσης, μᾶλλον δὲ καὶ αὐτοῦ οἴκου τὴν ἐπιμέλειαν εἰς οὐδὲν θέμενος, ἀπολιπὼν τὴν πόλιν, πρὸς τὸν ἡσύχιον αὐτομολεῖ. Εἶτα τῆς ἡλικίας ἔτι νεαρᾶς οὔσης, καίτοι φύσει τοῦ σώματος πονήρως καὶ νοσερῶς ἔχοντος, τοῖς μοναστηρίοις τοῖς μᾶλλον τῶν ἄλλων ἀκριβείας ἐπειλημμένοις ἑαυτὸν δίδωσι, καὶ τὴν ἐσθῆτα πᾶσαν ἀποδὺς μετά γε τοῦ σαρκικοῦ φρονήματος, ἢ τἀληθέστερον εἰπεῖν, ἐκεῖνο προαποδὺς, τὰ ἐκ τριχίνων ὑφάσματα περιβάλλεται, τρύχων ἔτι τὸ σῶμα, καὶ οἷόν τι νέφος ἀπολεπτύνων, καὶ τῷ τοῦ C νοῦ φωτὶ παρέχων ἐλευτερίαν. Ἔργον δὲ αὐτῷ σπουδαιότατον, τῶν θείων Γραφῶν ἐπιέναι τὰς βίβλους οὕτως ἐμμελῶς, ὡς οὐδὲν ἧττον ἐγγράφειν τῇ διανοίᾳ τῶν ἐγκειμένων τὴν δύναμιν, καὶ οἰκείᾳ χειρὶ καὶ καμάτῳ δακτύλων διερμηνεύειν αὐτὰς, ὥσπερ εἴρηται, καὶ σαφῆ τὰ δύσληπτα τιθέναι τοῖς φιλολόγοις, ὅν τε αὐτὸς πόνῳ συνέλεξε νοῦν, τοῦτον ἀπόνως θηρᾶσθαι παρέχειν τοῖς βουλομένοις. Εἰ οὖν τὸ, πόνοις οἰκείοις ἄρτον διδόναι, μισθοῦ πρόξενον, τὸ ψυχὰς οὕτω τρέφειν, πόσης ἐστὶ δήπου παραίτιον μισθαποδοσίας; ταύτῃ γοῦν τὰς θείας διερμηνεύων Γραφὰς, καὶ τῷ ἠθικῷ πάλιν ἐπικοσμεῖ· ὡς τὸ μὲν εἶναι πρὸς φωτισμὸν διανοίας, τὸ δὲ πρὸς ἠθῶν ἐπιμέλειαν. Ἢ μᾶλλον οὕτω ποιεῖ· τῷ μὲν διαφωτίζει μόνον τὸν κεκρυμμένον πλοῦτον D τοῦ πνεύματος, τῷ δὲ, ὅπως ἂν καὶ μετάσχωμεν, σαφῶς ἐκδιδάσκει. Ἐν ταύτῃ τῇ φιλησύχῳ διαγωγῇ, καὶ οἱ περὶ τῆς ἱερωσύνης αὐτῷ συντάττονται λόγοι· ἐν οἷς ὅσον μὲν τὸ τῆς ἱερωσύνης ἀξίωμα, ὁποῖον δὲ δεῖ εἶναι τὸν ἱερωμένον, ἀκριβῶς δείκνυσι. Τότε καὶ πρός τινα τῶν περιφανῶν γυναικῶν λόγον συγγράφει, ἄρτι χηρείας ἰδοῦσαν νύκτα, καὶ πολλῷ τῷ πένθει ταύτης βαρυνομένην, ὁμαλῶς ἀνακτώμενος καὶ δεικνὺς, ὅτι μὴ πάνυ ἄδοξον καὶ ταπεινὸν ἡ χηρεία, ἀλλὰ καὶ μέγα καὶ σεμνὸν αὐτῆς τὸ ἀξίωμα, καὶ πολλῶν ἀξιοῦται τῶν ἐγκωμίων ἥ γε τὴν συνείδησιν φυλάξασα τῷ κατοιχομένῳ, καὶ μὴ δευτέροις γάμοις ἑαυτήν τε ἄτιμον θεῖσα, καὶ τῆς

πρὸς τὸν ἄνδρα στοργῆς καταψευσαμένη. Εἶτα καὶ A περὶ παρθενίας ἄλλως συντάττει βιβλίον, θεσπέσιόν τι τὸ κάλλος αὐτῆς καὶ ἄῤῥητον τὸν κόσμον ἀποδεικνύων. Καὶ Σταγειρίῳ δὲ λόγους συγγράφει φίλῳ μὲν ἀνδρὶ καὶ συνήθει, κατόχῳ δὲ γενομένῳ πονηρῷ πνεύματι. Τὸ δὲ βιβλίον προφάσιν μὲν ἐκεῖνον λαμβάνει, χωρεῖ δὲ διὰ πάσης φιλοσοφίας· καὶ ἔστι κοινὸν εὐχαριστίας καὶ ὑπομονῆς διδασκάλιον, τοσαύταις πιθανότησι καὶ ἀνάγκαις ῥητορικαῖς συγκεκροτημένον, ἢ μᾶλλον θείαις εἰπεῖν καὶ πνευματικαῖς χάρισιν, ὡς αὐτὸ τὸ, δαίμονι περιπεσεῖν, πείθειν ἀγαπητὸν ἡγεῖσθαι, καὶ ὠφελείας μεγίστης ὑπόθεσιν. Οὐ μὴν ἀλλὰ καὶ περὶ κατανύξεως δύο τότε αὐτῷ συντέθεινται λόγοι· ὧν ὁ μὲν εἰς Δημήτριον, ἕτερος δὲ εἰς Στελέχιον ἐπιγέγραπται, εἰς ἔσχατον ἀκριβείας τὸν φιλάρετον ἐκπονοῦντες, καὶ B δεινὸν μύωπα κατανύξεως ταῖς φιλοθέοις ἐνιέντες ψυχαῖς. Ἀλλὰ τούτους μὲν, ὥστε μὴ πίπτειν, μηδὲ ταῖς τοῦ πονηροῦ τέχναις ἁλώσιμον γίνεσθαι τὸν φιλόθεον· ἕτερον δὲ συντάττει πρὸς τὸν ἤδη πεσόντα, εἴτ' οὖν πληγέντα βέλει τῆς ἁμαρτίας (Θεόδωρος ὄνομα τῷ πεσόντι) ὥστε μὴ καταπεσεῖν, μηδ' ἀπογνῶναι τὴν σωτηρίαν, οἱονεὶ φιλάνθρωπον αὐτῷ χεῖρα τὸν λόγον προτείνων, καὶ κείμενον ἀνιστάς, καὶ μὴ συγχωρῶν ἐπιμεῖναι τῷ πτώματι. Ἀλλ' οὕτω μὲν διὰ τῶν λόγων ἐδίδασκε, πολὺ τὸ ὠφέλιμον μετὰ τοῦ ἡδέος ἐχόντων· πολλῷ δὲ μᾶλλον καὶ τὴν ἀπὸ τῶν ἔργων προσῆγε διδασκαλίαν, εὐχῇ μὲν προσκείμενος, καὶ ἀρετὴν ἅπασαν μετιὼν, ὥσπερ ἀρχέτυπον τοῖς ἄλλοις πρὸς αὐτὴν μέλλων ἔσεσθαι, ταπεινοφροσύνως δὲ οὕτως ἐπιμε- C λόμενος, ὥσπερ ἐν τούτῳ τὸ πρωτεῖον ἔχειν ἐθέλων τρόπον ἕτερον, ἐν τῷ μηδένα ἑαυτοῦ τιθέναι περὶ τὸ εὐτελὲς δεύτερον. Ἀπέταττε δὲ καὶ μέρος τι τῆς ἡμέρας ἑαυτῷ πρὸς ἐπίσκεψιν τῶν νοσούντων, οἴκοθεν μὲν ἐκείνοις πάντα παρέχων, ὅσα δύναμις, καὶ οὕτως αὐτοὺς ἀνακτᾶσθαι σπουδάζων· μάλιστα δὲ καὶ τὴν ἀπὸ τῶν λόγων προσφέρων παραμυθίαν, καὶ παντὶ τρόπῳ δεικνὺς τὸ φιλάνθρωπον. Τί δέ; μετριοφροσύνης μὲν οὐδενὶ τὸ πλέον ἐδίδου, ἀγνείας δὲ, ἢ ἐγκρατείας, ἢ ἄλλης τῶν ἀρετῶν ὁποίας, ἔστιν ᾧ τῶν ἁπάντων τοῦ πλείονος ὑπεξίστατο; καὶ τίς οὕτως ἔξω θεσμῶν ἢ φρενῶν, ὡς συνθέσθαι τῷ λεγομένῳ; πλὴν ἀλλ' οὕτω μὲν ἀρετὴ πᾶσα τῷ ἀνδρὶ κατώρθωτο κρεῖττον ἢ κατὰ μίμησιν· ταῦτα δὲ καὶ ὡς ἐξαίρετα τούτῳ νέμουσι, τὸ μήτε αὐτὸν ὀμωμοκέναι D μετὰ τὸ ἀποστῆναι κόσμου, μήθ' ἑτέρῳ τὸν ὅρκον ἐπαγαγεῖν, τὸ μὴ καταρεῖν τινος, τὸ μὴ ψεύσασθαι, τὸ μὴ ἐπαράσασθαι μηδενὶ, τὸ ἀστεῖα μήτε αὐτὸν φθέγξασθαι, μήτε ἄλλου λέγοντος ἀνασχέσθαι. Φασὶ δὲ αὐτὸν καὶ τοῦ ὕπνου κατὰ τὸν καιρὸν τῆς χρείας οὕτω τυγχάνειν. Σχοῖνος καθεῖτο ἄνωθεν τῶν ἄκρων ἐκδεδεμένη, ἐφ' ᾗ τάς τε χεῖρας καὶ τὴν ὑπήνην ὑπερείδων αὐτὸς, βραχείας τινὸς καὶ οὐ βεβαίας, ἀλλ' οἷον [γρ. οἷα] παρεψευσμένης τῆς καταφορᾶς μετελάμβανεν.

gnam, quæ suam in defunctum integram conservavit conscientiam, se secundis nuptiis non reddidit infamem, ut quæ benevolentiam mentita sit in maritum. Deinde etiam de virginitate scribit alium librum, divinam ejus ostendens pulchritudinem et magnum ejus ornamentum. Stagirio quoque scribit pulchras orationes et valde præclaras. Hic vir erat ei valde familiaris: fuerat autem possessus a maligno dæmone, qualia sunt Dei judicia. Liber vero illam quidem accipit scribendi occasionem: per universam autem procedit philosophiam: eum dixeris esse commune documentum virtutis grati animi et tolerantiæ, ut qui compositus sit tanta in dicendo probabilitate, tam multisque necessariis Rhetorum argumentis, aut, ut melius dicam, divinis et spiritalibus gratiis, adeo ut hoc ipsum quod inciderit in dæmonem, existimaretur non esse abominandum nec aversandum, ut quod fuerit argumentum maximæ utilitatis. Tunc etiam compositi sunt ab eo duo libri de compunctione: quorum unus quidem fuit inscriptus ad Demetrium, alter autem ad Stelechium: eum, qui est studiosus virtutis, accuratissime elaborantes, et acrem stimulum compunctionis piis immittentes animis. Sed hos quidem scripsit libros, ne caderent illi, ad quos scripti fuerant, neque maligni laqueis pius implicaretur, sed staret firmiter in bono proficiens. Alium autem scribit ad eum, qui, proh dolor, jam erat lapsus seu percussus telo peccati (ei vero, qui lapsus erat, nomen fuit Theodorus), ut non concideret, neque desperaret salutem, tanquam benignam manum ei porrigens orationem, et jacentem erigens, et non concedens, ut omnino permaneret in peccato. Sed sic quidem erat ejus per libros doctrina, cum voluptate magnam habens utilitatem. Multo autem magis ex factis adhibuit doctrinam, ut qui perpetuo quidem vacaret orationi, et omnem exerceret virtutem, ad eam futurus aliis tanquam exemplar. Humilitatem vero ita erat amplexus, tanquam in ea alio modo vellet primas partes obtinere in eo, quod nulli alii cederet extremum omnium. Partem quoque diei sibi deputabat ad visendos ægrotos, e domo quidem omnia illis præbens pro viribus, maxime autem consolationem eis afferens oratione et omnibus modis eis ostendens benignitatem. Quid autem? Modestia quidem, ut diximus, cedebat nemini: in castitate vero aut continentia aut alia virtute est ex omnibus aliquis, cui cederet? Et quis illum vel adeo non novit, vel nescit esse verax, ut ei quod dicitur, assentiatur (6)? Sed sic quidem ille se pulchre gessit in omni virtute, melius quam ut eum quis posset imitari. Porro autem hæc quoque illi tribuunt tanquam eximia, quod neque ipse unquam juraverit, postquam aufugit a mundo: neque ulli jusjurandum detulerit, nulli detraxerit, nunquam sit mentitus, nulli sit male precatus, faceta ac scurrilia neque ipse sit locutus, neque alium dicentem sustinuerit. Dicunt autem ipsum quoque medio-

(6) *al.* Quod dicitur, ut ei non ass.

crem somnum sumpsisse, cum esset opus : sic autem sumpsisse : funis ex alto demittebatur, alligatus extremis : cui et manibus et barba ipse innitens, quemdam medicum, neque firmum, sed imbecillum et ementitum somnium gustabat.

V. Cum sic vitam ageret, valde quidem studebat latere, et neminem habere, qui esset ejus conscius. Nulli enim eorum, qui mala fecerant, ut illi omnino curæ fuit latere. Hoc autem erat difficile, cum et virtus sic se habeat natura, ut eum, qui ipsam exercet, soleat facere manifestum : et Deus prætera velit cultorem suum glorificare. Itaque illum quoque sic in præsentia aperit. Vir quidam genere Syrus, nomine Hesychius, ætate quidem jam provectus, tempore autem fere quoque æqualem habebat exercitationem : qui ipse quoque erat unus ex illis, qui in sacro illo exercebantur monasterio : cujus vestigiis insistere cupiebat magnus ille Joannes, dum nondum esset virtute summus. Ei nocturnas preces Deo offerenti apparet quiddam divinum et fortius, quam ut id intueri humani possent oculi, quod et veretur lingua in medium adducere, et quod est auditu inprimis horribile. Sed est adhibendus animus. Etenim non minus metu, quam voluptate mixta est narratio. Viri quidam veste candidi, aspectu terribiles, e cœlo quidem visi sunt ad eum descendere: Joanni vero lingua aureo, qui ipse quoque noctu precabatur, venire in conspectum. Visi sunt autem, unus quidem librum, alter autem claves habere in manibus. Deinde Joannes nova illa eorum forma obstupefactus, timore fuit correptus, et se simul humi dejecit. Illi autem eum manu apprehendentes, erigunt et metu solvunt, et jubent eum esse bono animo. Cum vero rogasset magnus Joannes, quinam essent, qui cum tanti essent, ad eum venirent : sed ne timeas, illi dixerunt. Nos enim venimus ad te, missi a Christo. Sic dixerunt, et statim alter eorum manus porrigens, dicit: Hoc accipe. Id autem erat liber. Ego enim, inquit, sum Joannes, cui Dei sapientia pectus dimisit et permisit [5], ut super ipsum recumberem nihil veritus. Quæ tibi quoque per nos faciet Scripturas comprehensu faciles, et deducet ad illius cognitionem. Similiter autem alter quoque manum porrigens: Accipe, dicit, has claves. Me autem scias esse Petrum, cui eæ fuerant a Deo traditæ. Quem nunc quoque crede per me eadem te dignari gratia, adeo ut quæcunque ligaveris aut solveris super terram, ita etiam se habeant in cœlis. Ad hæc cum beatus ille erubesceret, et consternaretur animo, et tanta gratia se esse indicaret indignum, divini illi viri eum recreant et implent audacia. Deinde cum eum crucis figura obsignassent, et visi assent eum osculari, revolarunt in cœlos. Hæc cum vidisset vir ille insignis, diu mansit plenus metu et stupore, adeo ut cum monachi eum viderent sic affectum, et rogarent quænam esset causa, vix ea aperuerit, indicens eis silentium : et ut hæc celaretur Joannes ne demus enim, inquit, ei occasionem, ut hinc re-

A Ε'. Οὕτω μετιόντι τὸν βίον λαθεῖν μὲν αὐτῷ διαφερόντως ἦν ἡ σπουδὴ, καὶ μηδένα ἔχειν αὐτῷ τὸν συνειδότα. Οὐδενὶ γὰρ οὕτω τῶν τὰ πονηρὰ δρώντων, ὡς ἐκείνῳ πάντως ἐμέλησε τὸ λαθεῖν. Τοῦτο δὲ κομιδῆ δυσχερὲς, φύσει τε τῆς ἀρετῆς οὕτως ἐχούσης, καὶ τοῦ Θεοῦ δοξάζειν τὸν θεραπευτὴν βουλομένου. Δῆλον τοιγαροῦν ἐκεῖνον καὶ τέως τόνδε τὸν τρόπον ποιεῖ. Ἀνήρ τις τῷ γένει Σύρος, τὴν κλῆσιν Ἡσύχιος, τὴν ἡλικίαν προβεβηκὼς, σύγχρονον ὀλίγου τὴν ἄσκησιν ἔχων, εἷς καὶ αὐτὸς τῶν κατὰ τὴν ἱερὰν ἐκείνην μονὴν ἀσκουμένων, οὗ καὶ κατ' ἴχνος βαίνειν ὁ μέγας ἠγάπα, ἕως οὔπω τὴν ἀρετὴν ἄκρος ἦν. Τούτῳ δὴ νυκτὸς εἰς προσευχὴν ἱσταμένῳ φαίνεταί τι θεῖον καὶ ὀφθαλμῶν ὑψηλότερον· καὶ ὥσπερ εἰς μέσον αὐτὸ θεῖναι γλώττης ἐγὼν, οὕτω δὴ καὶ ἀκοῦσαι καινόν τι καὶ φρικωδέστατον. Ἀλλὰ B προσέχειν δέον τὸν νοῦν. Καὶ γὰρ οὐδὲν ἧττον τοῦ φόβου καὶ ἡδονῇ συγκέκραται τὸ διήγημα. Δύο τινὲς ἄνδρες λευκοὶ τὴν στολὴν, φοβεροὶ τὴν ὄψιν, οὐρανόθεν ἔδοξαν αὐτῷ κατελθεῖν, καὶ τῷ μεγάλῳ τούτῳ καὶ αὐτῷ προσεύχεσθαι φαινομένῳ κατὰ πρόσωπον προσελθεῖν· ὧν ὁ μὲν τόμον, ἕτερος δὲ κλεῖς κατέχειν ἐῴκει. Τὸν Ἰωάννην δὲ τὸ καινὸν αὐτῶν τοῦ εἴδους καταπλαγέντα, φόβῳ ληφθῆναι, καὶ παραχρῆμα σύντρομον ἑαυτὸν τῇ γῇ προσκαταβαλεῖν. Τοὺς δὲ τῶν χειρῶν ἐπιλαβομένους διαναστῆσαι, λύειν τε τὸν φόβον αὐτῷ, καὶ θαῤῥεῖν ἐγκελεύειν. Τῷ πυθομένῳ, τίνες ἂν εἶεν, οἵγε τηλικαύτης δόξης ἠξιωμένοι πρὸς αὐτὸν ἐληλύθασι, μὴ φοβοῦ, τούτους εἰπεῖν· οἱ δὲ, ἡμεῖς ἥκομέν σοι πεμφθέντες παρὰ Χριστοῦ. Εἶτα τὸν μὲν τὴν χεῖρα ἐκτείναντα τὸν τόμον C ἐπιδιδόναι, Δέξαι τουτὶ, λέγοντα, τὸ βιβλίον. Ἐγὼ γὰρ Ἰωάννης, ᾧπερ ἡ τοῦ Θεοῦ σοφία τὸ στῆθος ἀνῆκε, καὶ ἐπιπεσεῖν αὐτῷ παρεδέξατο· ἥτις δή σοι καὶ δι' ἡμῶν τὰ τῶν Γραφῶν εὔλυτα θήσει, καὶ χειραγωγήσει ταύτης πρὸς τὴν ἐπίγνωσιν· τὸν δ' ἄλλον καὶ αὐτὸν τὴν χεῖρα ὀρέγοντα, δέξαι, φάναι, τάσδε τὰς κλεῖς. Ἐμὲ δὲ Πέτρον ἴσθι, τὸν παρὰ Θεοῦ ταύτας ἐγχειρισθέντα, ὃν καὶ νῦν δι' ἐμοῦ πίστευε τῆς αὐτῆς σε χάριτος ἀξιοῦν· ὥστε ὅσα ἂν δήσῃς, ἢ λύσῃς ἐπὶ τῆς γῆς, δεδεμένα ταῦτα εἶναι, ἢ λελυμένα καὶ ἐν τοῖς οὐρανοῖς. Πρὸς ταῦτα δὲ τὸν μακάριον δυσωπούμενον, ὥσπερ καὶ ὑποπίπτοντα, καὶ ἀνάξιον, ἑαυτὸν κρίνοντα χάριτος τηλικαύτης, τοὺς θείους ἐκείνους ἄνδρας ἀναλαμβάνειν, καὶ D θάρσους αὐτὸν ἐμπιμπλᾷν. Εἶτα καὶ ἐπιχαράξαντας αὐτοῦ [ἴσ. αὐτῷ] τοῦ σταυροῦ τὸν τύπον, καὶ φιλῆσαι φανέντας, ἀναπτῆναι πάλιν εἰς οὐρανούς. Ταῦτα τὸν πολὺν ἐκεῖνον ἑωρακότα, μεστὸν φόβου καὶ καταπλήξεως ἐπὶ πλεῖστον διατελεῖν, ὡς καὶ τοὺς μοναχοὺς οὕτως ἔχοντα θεωμένους, καὶ τὴν αἰτίαν ἥτις εἴη διαπυνθανομένους, μόλις αὐτὴν ἐκκαλύψαι, σιωπὴν πολλὴν παραγγείλαντα, καὶ τοῦ ἀπόῤῥητα ταῦτα κεῖσθαι τῷ Ἰωάννῃ, μὴ καὶ πρόφασιν αὐτῷ

[5] Joan. XIII, 23.

δῶμεν, φήσαντα, τῆς ἐντεῦθεν ἀναχωρήσεως. Οἱ μὲν A οὖν ἐπὶ τοῖς λεχθεῖσιν ἐκπλαγέντες τὴν ἀκοὴν, τεκμηρίῳ τούτῳ καὶ περὶ τὸ λοιπὸν ἐχρῶντο τοῦ βίου, ὅτι παράδοξα πάντως ἔσται καὶ μεγαλεῖα διαπραττόμενος. Καὶ γέγονε μὲν ἀληθῶς, μυρία τοῦ Θεοῦ τοῦτον ἐπὶ τῶν ἔργων δοξάζοντος. Ἡμῖν δὲ ὀλίγα καὶ δι' ὀλίγων, ὁπόση δύναμις, ἐκ τούτων διηγητέον.

ϛʹ. Ἀνήρ τις Ἀντιοχεύς, τὸ γένος περιφανὴς, τὸν βίον πολυτελὴς, νόσῳ τινὶ περιαλγὴς τὸ ἡμικρανον ἐγεγόνει. Τοσούτη δὲ ἡ τοῦ πάθους ἀκμὴ καὶ οὕτω σύντονος, ὡς τὸν ὀφθαλμὸν ἐκστάντα τῆς ἕδρας τῇ τοῦ κακοῦ δυνάμει πᾶσιν ὁρᾶσθαι, πρᾶγμα δακρύων ἄξιον. Τοῦτον εἰς τὴν μονὴν ἀφικόμενον, ἐν ᾗ τὸν μέγαν διατελεῖν ἦν πολλὰ μὲν δεῖσθαι, πολλὰς δὲ πρὸς ἔλεον ἀφιέναι φωνὰς, τὴν θεραπείαν αἰτούμε- B νον· τὸν δὲ καὶ συμπαθῆσαι μὲν (πῶς γὰρ οὐ πάντων ὄντα φιλανθρωπότατον;) εἰρηκέναι δὲ μοχθηρῶν ἔργων εἶναι ταῦτα καὶ τῆς εἰς Χριστὸν ἀπιστίας ἐπίχειρα. Εἰ οὖν ὅλῃ τῇ ψυχῇ τούτῳ προσέλθοις, καὶ τῶν προτέρων ἀποσχόμενος ἐπιτηδευμάτων, ἀγωγὴν μετέλθῃς φίλην αὐτῷ καὶ ἀρέσκουσαν, οὐδὲν τὸ κωλύον ἔσται καὶ τὴν τοῦ λυποῦντος ἕψεσθαι θεραπείαν. Τοῦ δὲ καὶ πιστεύειν ὁμολογοῦντος, καὶ ἀμείνω θήσει τὸν βίον ὑπισχνουμένου, πρὸς δὲ καὶ τὰς ἁγίας ἐκείνας καταφιλοῦντος χεῖρας, καὶ τὸ ἱμάτιον τῷ ἀλγοῦντι μέρει προσάπτοντος, οὐχ ἡ κεφαλὴ μόνη τῆς ὀδύνης ἀπήλλακτο, ἀλλὰ καὶ ὁ τῇ βίᾳ ταύτης ἐκκρουσθεὶς ὀφθαλμὸς, ὥσπερ πρότερον κατὰ χώραν ἦν. Ἤρκει τοῦτο λεχθὲν, καὶ τῆς τοῦ ἁγίου πίστεως σύμβολον γενέσθαι σαφὲς, καὶ ἣν C οὗτος ἐπλούτει παρὰ τοῦ Θεοῦ, γνωρίσαι ῥοπήν.

Ζʹ. Ὁ δὲ λόγος καὶ ἕτερον ἐπὶ τούτῳ διελθεῖν βούλεται, οὐδὲν ἧττον τοῦ προλαβόντος τὸ σιωπᾶσθαι μὴ ἀνεχόμενον. Τὸ, κατὰ τὸν Ἀρχέλαον πάντως φημὶ, καὶ ἧς ἔτυχεν ἐκεῖνος θαυματουργίας· ὃς Ἀντιοχείας μὲν ἄρχων ἐτύγχανεν ὤν, καὶ τὰ πρῶτα φέρων τῆς πόλεως· ἔκ τινος δὲ αὐτῷ συμπτώματος ἀπορρήτου λέπρα τῷ μετώπῳ τις ἐπανθήσασα σφόδρα ἐλύπει, δι' αἰσχύνης τὸ πάθος τιθέμενον, καὶ σχεδὸν ἅπασα ἐκτρεπόμενον ὄψιν. Πολλὰ μὲν οὖν ἰατρῶν τέχνῃ βοηθῷ χρησάμενος, οὐδὲν ἀπώνατο πλέον, ἢ τῷ λίχνῳ παίζεσθαι τῶν ἐλπίδων, ἕως ἠλέγχθησαν. Ὀψὲ γοῦν καὶ μόλις τὸν ἅγιον εἰς νοῦν ἐκβαλλόμενος, καὶ θερμοτέρῳ πνεύματι πρὸς αὐτὸν D ἀφικόμενος, ποδῶν τε ἥπτετο τῶν ἁγίων, καὶ τὸ πάθος ἐδείκνυ, καὶ θεραπείαν τοῦ λυποῦντος ᾐτεῖτο λαβεῖν· τὸν δὲ καὶ ἐλεῆσαι τὴν συμφορὰν, καὶ ταῖς τοῦ δεηθέντος ἐπικαμφθῆναι φωναῖς. Εἶτα ὁμολογίαν αὐτὸν ἀπαιτῆσαι πονηρῶν εἰς τὸ ἑξῆς ἔργων ἀποτροπῆς, καὶ τῆς τῶν προημαρτημένων αὐτῷ διορθώσεως. Ὡς δὲ ἐκεῖνος πάντα ποιεῖν ἐπηγγέλλετο, καὶ τὴν θεραπείαν ἐπιμελῶς ἀντεπράττετο, λαβεῖν αὐτὸν παραχρῆμα κελεύει, καὶ ἐπ' ὀνόματι τοῦ Χριστοῦ λοῦσαι τῷ ὕδατι, ἀφ' οὗπερ ἔθος πίνειν τοὺς ἀδελφούς. Τούτου δὲ γενομένου, κάθαρσις αὐτῷ τῆς

cedat. Illi ergo his, quæ dicta sunt, obstupefacti, hic deinceps futuram ejus vitam conjiciebant, quod scilicet esset facturus magna et admirabilia. Et facta quidem sunt revera innumerabilia, Deo glorificante magnum illum in operibus. Nobis autem pauca et paucis sunt narrranda pro viribus.

VI. Vir quidam Antiochenus, illustris genere, vita splendidus et magnificus, morbo quodam magnum sentiebat dolorem in media parte cranii. Tanta autem erat vis morbi et adeo intensa, ut oculus sede esset emotus, ut qui vi mali non potuisset resistere: et ita videretur omnibus res lacrymabilis. Is cum venisset ad monasterium, in quo degebat magnus Joannes, multum quidem rogabat: multas autem emittebat voces ad movendam misericordiam, petens curationem. Is vero fuit quidem misertus. Quidni enim, cum esset omnium hominum clementissimus? Dixit autem, hæc esse præmia sceleratorum factorum, et in Christum incredulitatis. Si ergo, aiebat, toto animo ad eum accesseris, et deinde prioribus relictis studiis, vitæ rationem agressus fueris ei gratam et mundam, nihil erit quod obstet, quo minus sequatur curatio ejus, quod te cruciat. Cum is autem et se fateretur credere, et polliceretur vitam mutare in melius, et illius catissimas manus deoscularetur, et dolenti parti vestem admoveret, non solum fuit caput liberatum a dolore, sed etiam oculus, qui vi ab eo fuerat exturbatus, fuit loco priori restitutus. Satis erat hoc, quod dictum est, ut esset signum evidens fidei sancti, et ut significaret magnum gratiæ adjumentum, quod a Deo erat effatim consecutus.

VII. Vult autem oratio alterum quoque adjicere, nihilominus præcedente, quod nequaquam patitur mandari silentio. Cujusmodi enim fuerit id, quod Archelao acciderit, scitis utique, et quodnam in eum factum fuerit miraculum: qui erat quidem præses Antiochiæ, et obtinebat primas partes in civitate: arcano autem casu lepra quædam, quæ in ejus fronte effloruerat, eum magna afficiebat molestia, ut quæ eum pudore afficeret, et efficeret, ut omnium vitaret oculos. Cum itaque multum usus esset medicina, ut quæ posset ei opem ferre, nihil aliud fructus ex ea accepit, quam ut spe blanda illuderetur, donec constitit eam esse fallacem. Cum autem sanctus vix tandem ei venisset in mentem, et ad eum venisset ferventiori spiritu, tetigit sanctos illos pedes, et morbum ostendit, et petiit ut consequeretur curationem ejus, quod illum male habebat. Is autem et misertus calamitatis, ut qui esset clementissimus, et flexus fuit precantis vocibus. Deinde cum eo pactus est, ut a malis declinaret operibus de cætero, petens etiam, ut priora peccata corrigeret. Quod quidem cum esset pollicitus, præbuit ei curationem: dicens in nomine Christi lava te aqua, ubi fratres solent bibere. Quod cum factum

esset, fecit similiter atque Siloë [6], et consecuta est lepræ sanatio adeo pure, ut nec morbi quidem remaneret vestigium. Quanta Archelaum propter hoc incessit lætitia! Quantam perfudit gaudium! Quantas effecit hoc ut Deo ageret gratias! Quid non dico, quod est majus et perfectius? Quanti fuit ei studii causa, ut ad animæ aspiceret curationem! Sancti enim verbis adeo fuit captus, et adeo studuit revera exsequi id, quod ei promiserat, ut nihil differret, neque rei daret ullam moram temporis: sed iis, quæ habebat, statim distributis pauperibus, aliorum deinceps esse statueret versari in iis, quæ ad hanc vitam pertinent: et ejus sectari somnia, ex iis stulte illud: ipse autem veniens ad monasterium, in quo erat illius medicus, voluerit esse in numero illorum, qui illic exercebantur: et sub eo præceptore vitam eligens perfectissimam, illic usque ad finem studere placere Creatori. Hoc multos ex iis, qui erant illustres Antiochiæ, excitavit ad similem æmulationem, et adjunxit numero eorum, qui salvi fiunt: similiter enim Deo suas propter egentes dedicantes facultates, alii quidem relati sunt in numerum hujus sancti monasterii, quomodo etiam aiunt illum Theodorum, qui fuit unus ex valde illustribus: alii vero ventitabant ad alia, quæ in civitate erant monasteria. Omnes autem intuebantur ad vitam Joannis, tanquam unum exemplar. Nam etsi erant apud singulos, qui vita et ordine præstabant aliis, is tamen erat omnium primus eruditor et magister.

VIII. Verum enimvero vult oratio aliorum quoque meminisse ejus miraculorum, et ea non dari oblivioni, quæ revera non sunt digna quæ dentur. Nam vir quidam nomine Eucleus, cui invidia dæmonis excisus erat oculus, statuit, vitam suscipere monasticam in eo monasterio, in quo erat sanctus: cumque accessisset, et habitum mutasset et vitam, magnum Joannem attrahit ad misericordiam. Audit itaque illum sic ad verbum orantem, et magno fervore commiserationis sic animum inflammantem: Deus, o frater, tibi medebitur, et illuminabit tuos oculos et cordis et corporis. Simul cum hoc dicto concurrit etiam curatio, et illuminatus erat oculus, et eo utebatur similiter atque alio. Simpliciter et leniter a me narrantur miracula, dum ad orationis aspicio longitudinem, et nihil volo fuse ac prolixe persequi. Sed nullo opus est ornamento externo, et iis quæ ea possunt extollere, sed sufficiet eis sua pulchritudo et magnitudo. Quo circa sunt etiam mihi alia eodem modo narranda.

IX. Mulier quædam civis Antiochena, nomine Christina, profluvio sanguinis septem jam annos graviter laborabat. Cum ea ergo diu usa medicis, agnovisset eos vana spe ducere et mora inutili, vehitur a jumentis, et viro sequente, defertur ad

λέπρας ἐπηκολούθει, καὶ οὕτως ὡς μηδὲ σύμβολόν τι τοῦ πάθους τὸ παράπαν ὑπολελεῖφθαι. Πόση τὸν Ἀρχέλαον ἐπὶ τούτῳ χαρὰ περιέλαβε; πόσης εὐχαριστίας αὐτῷ τῆς πρὸς τὸν Θεὸν πρόξενον κατέστη; (τί μὴ λέγω τὸ μεῖζον καὶ τελεώτερον;) πόσης αἰτία τούτῳ πρὸς ψυχῆν θεραπείας ἡ σωματικὴ αὐτῇ γέγονεν ἴασις; καὶ γὰρ οὕτως ἥλω [γρ. ἑάλω τῶν] τοῦ ἁγίου λόγων καὶ παραινέσεων, καὶ οὕτως ἔσπουσεν ἀψευδεῖς αὐτῷ δεῖξαι τὰς ὑποσχέσεις, ὥστε οὐκ εἰς ἀναβολὰς, οὐδὲ χρόνον τινὰ δοῦναι τῷ πράγματι καὶ μελλήσεις, ἀλλὰ παραυτίκα τὰ ὄντα τοῖς δεομένοις καὶ πένησι διελόμενον, ἑτέρων εἶναι λογίσασθαι, τὸ περὶ τὸν βίον ἀνεστράφθαι φιλεῖν, καὶ τοῖς ὀνείροις τούτου προσκεῖσθαι, καὶ τῶν φθειρομένων ἀντέχεσθαι· αὐτὸν δὲ τὸ μοναστήριον, ὃ τὸν ἰατρὸν εἶχε, καταλαβόντα τούτου [ἴς. τοῦτο], μέρος ἑαυτὸν ποιῆσαι, καὶ τῶν ἐκεῖ καλῶς ἀσκουμένων καὶ βίον ἑλόμενον ὑπὸ παιδευτῇ τούτῳ καὶ καθηγεμόνι τὸν ἀκριβέστατον, ἐκεῖ μέχρι τέλους εὐαρεστῆσαι τῷ κτίσαντι. Τοῦτο πολλοὺς τῶν ἐν Ἀντιοχείᾳ περιφανῶν πρὸ τὸν ὅμοιον ἠρέθισε ζῆλον, καὶ τῷ μέρει τῶν σωζομένων συνέταξε. Παραπλησίως γὰρ τῷ Θεῷ τὴν οὐσίαν διὰ τῶν δεομένων ἀφοσιούμενοι, οἱ μὲν, τῷ τοῦ ἁγίου τούτῳ φροντιστηρίῳ συγκατελέγοντο (ὥσπερ δὴ καὶ Θεόδωρον ἐκεῖνόν φασιν, ἕνα τῶν σφόδρα ἐπιφανῶν φενόμενον), οἱ δὲ καὶ ἑτέροις προσεφοίτων μοναστηρίοις τοῖς ἀνὰ τὴν πόλιν κειμένοις· πάντες δὲ ὥσπερ εἰς ἀρχέτυπον ἓν, τὸν Ἰωάννου βίον ἀπέβλεπον. Καὶ γὰρ εἰ παρ' ἑκάστοις ἦσαν, οἳ καὶ βίῳ καὶ τάξει διέφερον, ἀλλὰ πάντων εἷς ἦν οὗτος ὁ πρῶτος καθηγητὴς καὶ διδάσκαλος.

Η'. Ἀλλὰ μεμνῆσθαι πάλιν ὁ λόγος καὶ τῶν ἄλλων αὐτοῦ βούλεται θαυμασίων, καὶ μὴ λήθῃ παραδιδόναι τὰ μὴ σιωπῆς ὄντως ἄξια. Ἀνὴρ γάρ τις Εὔκλεος τοὔνομα, φθόνῳ δαιμονίῳ τὸν ὀφθαλμὸν ἐκκοπεὶς, τὸν μονήρη βίον ἐν ᾧπερ ὁ μέγας οὗτος ὑπῆρχε σεμνείῳ μετελθεῖν εἵλετο. Καὶ προσελθὼν καὶ σχῆμα διαμείψας καὶ βίον, εἰς ἔλεον ἐπισπᾶται τὸν ἅγιον. Ἀκούει τοιγαροῦν οὕτως ἐκείνου προσευξαμένου, καὶ πολλῇ τῇ θέρμῃ τῆς συμπαθείας τὴν ψυχὴν ἐκπυρώσαντος. Ὁ Θεὸς, ἀδελφὲ, ἰάσηταί σε, καὶ φωτίσῃ τοὺς ὀφθαλμοὺς καὶ τῆς καρδίας σου καὶ τοῦ σώματος. Ἅμα δὲ τῷ λόγῳ καὶ καὶ ἡ θεραπεία συνέτρεχε, καὶ ὁ ὀφθαλμὸς ἐφωτίζετο, καὶ ἦν ἔχων τῷ ἑτέρῳ παραπλησίως. Ἁπλῆ μοι καὶ σχέδιος ἡ τῶν θαυμάτων διήγησις πρὸς τὸ μῆκος ἀφορῶντι τοῦ λόγου, καὶ μηδὲν ἐπεξεργάζεσθαι βουλομένῳ· πλὴν οὐδεμία χρεία χρεία τῆς ἔξωθεν εὐπρεπείας, καὶ τῶν ἐπαίρειν αὐτὰ δυναμένων, ἀλλὰ κάλλος αὐτοῖς καὶ μέγεθος τὸ ἴδιον ἀποχρήσει. Ὅθεν δὴ καὶ τἄλλα τρόπον μοι τὸν ἴσον διηγητέον.

Θ'. Γυνὴ πολῖτις Ἀντιοχείας, τοὔνομα Χριστίνα, Ταύτην αἱμοῤῥοίας πάθος καὶ εἰς ἕβδομον ἔτος χαλεπῶς ἔτρυχεν. Ὡς οὖν ἰατροῖς πολλὰ χρησαμένη, κενὴν ἐλπίδα νὰ ἐξ αὐτῶν ἔγνω καὶ ματαίαν τριβὴν, φόρτος γίνεται τοῖς ὑποζυγίοις, καὶ τοῦ ἀνδρὸς

[6] Joan. IX, 7.

συνόντος πρὸς τὴν ἁγίαν ταύτην μονὴν φέρεται, καὶ τῷ πυλῶνι προσπίπτει. Ὁ δὲ καὶ πρὸς τὸν ἅγιον εἰσελθὼν, καὶ τὴν αἰτίαν εἰπὼν τῆς ἀφίξεως, τὸ παρὰ τὸ δέον πράξειν ἐπιτιμᾶται, καὶ τὴν τοῦ συνοίσοντος ἄγνοιαν. Τί γὰρ, φησὶ, τὸν θεραπεύειν ταῦτα δυνάμενον παρελθὼν, ὁμοιοπαθεῖ προσῆλθες ἀνθρώπῳ, τὰ ὑπὲρ τὴν δύναμιν ἀπαιτῶν, πλὴν ἀλλὰ τῇ γυναικὶ λέξον· ὡς εἰ τὸ σκληρὸν τοῦτο καὶ ἀπαραχώρητον τοῦ τρόπου διωσαμένη, μετρίαν ἑαυτὴν καὶ φιλάνθρωπον ταῖς θεραπαίναις παράσχῃ, καὶ χεῖρα μὲν πλουσίαν διανοίξῃ τοῖς πένησι, προσευχῶν δὲ μνησθείη, καὶ ἐγκρατείας ἀντιποιήσαιτο, ταχεῖα καὶ ἡ τοῦ σώματος θεραπεία μετὰ τὴν τῆς ψυχῆς ἕψεται. Μανθάνει ταῦτα τὸ γύναιον, καὶ μηδὲν ἀτελὲς ἀφεῖναι τῶν ἐπιτεταγμένων δηλοῖ. Ὡς δὲ παρὰ τοῦ ἀνδρὸς ἤκουσε τὴν ἐπαγγελίαν ἐκεῖνος, Ἄπιτε, φησὶ, μετὰ εἰρήνης· τεθεράπευται γὰρ ἤδη παρὰ Χριστοῦ σοι τὸ γύναιον. Τοῦτο αὐτὸς ἀπελθὼν, καὶ ἐπὶ τῶν ἔργων οὕτως ἰδὼν, εὐθὺς ἅμα γυναικὶ τὴν μὲν γλῶτταν πρὸς εὐχαριστίαν τοῦ κτίσαντος, τοὺς δὲ πόδας πρὸς πορείαν ἐκίνει. Ἓν ἔτι τοῖς εἰρημένοις προσθεὶς, τῶν ἑτέρων πάλιν ἐν ἰδίῳ καιρῷ μνησθήσομαι.

Ι'. Λέων μεγέθει μέγιστος, καὶ τὴν ἀλκὴν ἀνυπόστατος, φοβερώτατός τε ὀφθῆναι καὶ ἐπιθέσθαι δεινότατος, κατ' ἐκεῖνο καιροῦ τοῖς περὶ Ἀντιόχειαν ἐκώμαζε τόποις. Οὗτος γεωργοῖς μὲν πονηρὸς γείτων, ὁδίταις δὲ χαλεπὸν θέαμα καὶ συνάντημα ἦν. Καὶ γὰρ ἀθρόον τούτοις ἐπιτιθέμενος πλείστους τε ἀνῄρει καὶ παρέπεμπε τῇ γαστρί. Καὶ ἦν τὸ πρᾶγμα φοβερὸν καὶ ἀμήχανον. Καί ποτε πρὸς αὐτὸν πολλὴ καὶ ἀκμάζουσα τῶν πλησιοχώρων ἐπιστρατεύσασα χεὶρ ἐπὶ κακῷ τῷ ἰδίῳ ἔγνω τὸ τολμηρὸν ἐπιδειξάσα. Καὶ γὰρ ἐξαίφνης πάντων καταδραμὼν, οὓς μὲν καὶ μόνῳ τῷ βρυχήματι κατασείσας φυγάδας ἔδειξεν, οὓς δὲ καὶ διαλαφύξας τῷ στόματι δεῖπνον ἔθετο, τινὰς δὲ καὶ διασπαράξας τοῖς ὄνυξιν ἐλεεινοὺς εἰργάσατο. Καὶ τί γὰρ ἄλλο, ἢ λέοντος τραυματίας; ἐντεῦθεν τί συνέβαινεν; ἀφίεσθαι μὲν τὰς ἀρούρας ὑπὸ τῶν γεωργῶν ἀνεπιμελήτους, ἐκτρέπεσθαι δὲ τοὺς ὁδοιποροῦντας εἰς τόπους ἀβάτους διὰ τὸ τοῦ θηρὸς ἀνυπόστατον. Ὡς δὲ εἰς ἔσχατον ἀπορίας ἐλθόντες, μόλις ποτὲ τὸν τοῦ Θεοῦ ἄνθρωπον εἰς νοῦν ἔλαβον, παμπληθεῖς πρὸς αὐτὸν ἀφικόμενοι, τά τε κακὰ τὰ ἐκ τοῦ λέοντος διηγοῦντο, καὶ παρ' αὐτοῦ λύσιν ᾐτοῦντο τῆς συμφορᾶς. Ὁ δὲ πρότερον εἰς ὀλιγοπιστίαν αὐτοὺς ὀνειδίσας, καὶ τοῦ ἄμαχον αὐτοῖς ὀφθῆναι τὸν θῆρα, δεσποτικῶν ἐντολῶν ὀλιγωρίαν αἰτιασάμενος, Ὑμεῖς μὲν, ἔφη, πάντες ὁμοῦ [Ἴσ. λείπει ἐν] τῷ ναῷ συνελθόντες ἐξιλεοῦσθε τὸ θεῖον· τοῦτον δὲ, ὅνπερ ὑμῖν δίδωμι (σταυρὸς δὲ τὸ διδόμενον ἦν) ἐπὶ τὰς τοῦ λέοντος στήσατε διεξόδους· καὶ φόβος μὲν πᾶς ἀπέστω, τελεία δὲ πίστις ἔστω, καὶ ταχέως Ὑμῖν γνώριμος ἡ τοῦ ἐμοῦ Χριστοῦ δύναμις ἔσται. Τοῦτον ἐκεῖνοι τὸν σταυρὸν λαβόντες, καὶ τὰ ἐπιτεταγμένα ποιήσαντες, ὡς τὴν ἐπιοῦσαν ἐκεῖ γεγόνασιν (ὦ Δέσποτα καὶ Θεὲ πάντων, καὶ παραδόξων ἔργων ἀκατάληπτε ποιητὰ), νεκρὸν ὁρῶσι τὴν θῆρα πρὸς αὐτῇ βάσει

A hoc sanctum monasterium, et projicitur in vestibulo. Ille autem ad sanctum ingressus, cum dixisset causam adventus, a sancto reprehenditur, quod non fecerit ut erat consentaneum, et quod ignoraret id, quod erat sibi futurum conducibile. Cur enim, inquit, eo præterito, qui hæc potest curare, accessisti ad virum, qui est obnoxius iisdem affectionibus, ab eo postulans ea, quæ facere non est in ejus potestate? Sed tamen hæc dic uxori: Si asperis et pervicacibus his moribus ejectis, te moderatam et benignam ancillis præbueris: et manum quidem largam et divitem pauperibus aperueris, precationemque et continentiam oblivioni non mandaris, animæ curationem cito consequetur curatio corporis. Accipit hæc mulier, et significat se nihil omissuram eorum, quæ jusserat. B Postquam audivit ille a marito uxoris promissionem: Abite, inquit, jam enim curata fuit a Christo uxor tua. Hoc cum ipse abiens, revera ita esse vidisset, statim cum uxore linguam quidem movit ad gratiarum actionem, pedes autem ad iter. Cum unum iis, quæ dicta sunt, adjecero, aliorum rursus suo tempore faciam mentionem.

X. Leo magnitudine maximus, et cujus vires sustineri non poterant, et qui erat visu maxime terribilis, et ad invadendum acerrimus, illo tempore versabatur in locis, quæ sunt circa Alexandriam. Is erat agricolis quidem malus vicinus, viatoribus autem grave spectaculum et occursu formidabile. Magno enim impetu in eos irrumpens, plurimos C occidebat, et simul in ventrem transmittebat: eratque ex æquo et damno perniciosissimus, et ad eum de medio tollendum difficillimus: et cum magna et vivida manus eorum, qui prope habitabant, in ipsum invasisset, agnovit se suo malo hoc esse ausam. Celerrime enim in omnes incurrens, alios quidem solo rugitu loco motos, vertit in fugam: alios autem ore discerptos exedit: aliorum vero cum corpus dilacerasset unguibus, reddidit miserabiles. Quid enim aliud, nisi sauciatos a leone? Hinc quid accidebat? Neglectos quidem agros relinqui ab agricolis: ad loca autem invia divertere viatores, propterea quod bestia sustineri non posset. Postquam autem jam ad extremam redacti dubitationem, vix tandem recordati fuerunt homines Dei, frequentissima multitudine ad ipsum venientes, D narrabant ipsa mala quibus leo eos affecerat, et ab ipso petebant, ut eos solveret hac calamitate. Ille vero cum paucam fidem eis prius exprobrasset, et quod eis visa esset bestia inexpugnabilis, causatus esset contemptionem divinorum præceptorum: Vobis quidem, inquit, omnibus est Deus placandus, in templum simul convenientibus: id autem, quod de vobis (erat vero crux) ponendum est in iis locis, per quæ transit leo: et absit quidem omnis metus: sit autem perfecta fides, et haud ita multo post manifesta vobis quoque erit mei Christi virtus. Cum hanc illi crucem accepissent, et sicut eis fuerat imperatum fecissent, et die sequenti illuc ve-

nissent, o Domine et Deus omnium, et admirabilium operum effector ineffabilis, belluam vident jacentem mortuam ad ipsam basim Crucis. Sed missis in præsentia quidem miraculis, transeamus ad orationis seriem. Cum ille ergo beatus sic quatuor annos vixisset in hoc monasterio, partim quidem iis, quæ dicebat, partim autem et magis, iis quæ faciebat, inducens ad virtutem, evasit clarus et omni ex parte celebratus, omnibusque et linguis et auribus magnam afferebat voluptatem: aliis quidem dicere, aliis vero ea quæ dicebantur attendere ex æquo amantibus. Cum hæc illi non modo grata non essent, sed ea etiam ægre ferret, (non minus enim, quam ex Deo vivere, studebat sic vivendo latere, ut antea diximus) rursus constituit aufugere, et se oculis hominum subducere. Cum itaque clanculum aufugisset, et seorsum vivere statuisset, totos duos transegit annos, vivens solitarie, et soli Deo apparens. Non erat ei lucerna, non lectus, non mensa, neque aliquid hujusmodi, quod faciat ad ministerium corporis. Solum autem erat ei parum panis, quod præbebatur ab aliquo ex vicinis: algori vero et æstui, et omnibus injuriis aeris erat expositus, et cum eis contendebat. Quoniam autem oportebat ipsum quoque, cum esset homo, ostendi esse obnoxium naturæ infirmitatibus, quid sit, et quomodo res illius dispensantur, et qualibus sæpe solet Dei sapientia uti occasionibus, alia per alia contexens et varians, facileque et magno artificio dispensans? In imo ventre accipit sensum doloris, et ejus renum solvuntur vires, ut qui fuisset superatus a nimiis frigoribus. Compulsus ergo ab hac necessitate, vel potius deductus ab eo, quo ducebatur, spiritu, ut esset multis causa salutis, ad Ecclesiam præter spem venit ejus luminare: et cum omnibus quidem, præcipue autem magno Meletio fuisset causa magnæ lætitiæ, et ab eo fuisset jucundissime acceptus et recreatus, deinde etiam ab eo accipit ordinem diaconi. Cum autem in hoc gradu pulcherrime, ut Deo gratum erat, totos quinque annos se gessisset, tam ejus orationibus, quas propter summam ingenii copiam habebat ex tempore, quam iis per otium componebat, et meditatione majori elaborabat aurea lingua, imbris instar effundens, pulchre rigabat faciem Ecclesiæ.

XI. Cum postea autem Meletius venisset ad episcoporum synodum, quæ congregata fuerat Constantinopoli, ut eos quidem deponeret, qui cum Spiritu sancto pugnabant non in Spiritu Dei: Gregorium autem illum theologum in sede collocaret: et illic quæ sunt caduca et ad tempus permutasset manentibus, hic vere aureus, simul quidem vitans omnem excellentiam et bonum amplectens silentii et quietis, revertitur in primum monasterium. Sed cum illinc rursus recessisset: revertitur Antiochiam, non migrans temere, nec sine Dei numine, ut alius duce utens sua ratione. Sed Deum eum movente et vocante, modo quodam diviniore et præstantiori ratione. Magno enim Flaviano, qui Meletio paulo ante in sede successerat, Deo in aurora canenti sacros hymnos, apparens angelus in

A τοῦ σταυροῦ κείμενον. Οὕτω τοιγαροῦν ὁ μακάριος εἰς τέταρτον ἔτος τῇ μονῇ ἐκείνῃ διαβιοὺς, καὶ τὰ μὲν οἷς ἔλεγε, τὰ δὲ καὶ μᾶλλον οἷς ἔπραττε πρὸς τὴν ἀρετὴν ἐπαγόμενος, περιφανὴς κατέστη καὶ περιβόητος, καὶ ἦν ἡδὺ πᾶσιν ἐντρύφημα καὶ γλώσσαις καὶ ἀκοαῖς, τῶν μὲν λέγειν, τῶν δὲ προσέχειν τοῖς λεγομένοις ἐπίσης φιλούντων. Πρὸς ταῦτα ἐκεῖνος οὐχ ὅπως ἡδέως, ἀλλὰ καὶ λίαν ἀηδῶς ἔχων καὶ βαρυνόμενος, καὶ τὸ λανθάνειν ἐκ παντὸς τρόπου διανοούμενος, δρασμὸν ἕτερον πάλιν, καὶ τὸ ἐκ μέσου [γρ. μέσων] ἑαυτὸν θεῖναι καὶ ἀφανῆ διεσκέψατο. Καὶ τοίνυν λάθρα διαφυγὼν, καὶ καταμόνας γενόμενος παρ' ὅλους δύο διῆγεν ἐνιαυτοὺς, ζῶν οὕτως ἐρημικῶς, καὶ τῷ Θεῷ μόνῳ φαινόμενος. Οὐ λύχνος ἦν αὐτῷ, οὐ κλίνη, οὐ τράπεζα, οὐδέ τι
B τοιοῦτο τῶν πρὸς ὑπηρεσίαν τοῦ σώματος. Ἄρτος δὲ μόνος, καὶ αὐτὸς βραχύτατος πρός τινος τῶν ἐκγειτόνων ποριζόμενος· ψύχει δὲ, καὶ καύσωνι, καὶ πάσαις ταῖς ἐκ τοῦ ἀέρος ταλαιπωρίαις ἐτέλει διαμιλλώμενος. Ἐπεὶ δὲ ἔδει καὶ αὐτὸν ἄνθρωπον ὄντα, καὶ ταῖς ἀσθενείαις τῆς φύσεως ὑποκείμενον ἐλεγχθῆναι, τί γίνεται; καὶ πῶς τὰ κατ' ἐκεῖνον οἰκονομεῖται; καὶ οἵαις ἡ τοῦ Θεοῦ σοφία πολλάκις ταῖς ἀφορμαῖς κέχρηται, ἕτερα δι' ἑτέρων πλέκουσα καὶ ποικίλλουσα, καὶ εὐμηχάνως οἰκονομοῦσα; τὰ ὑπογάστρια πλήττεται, καὶ τὰς δυνάμεις διαλύεται τῶν νεφρῶν, ταῖς τῶν πάγων ὑπερβολαῖς ἡττηθείς. Ὑπὸ ταύτης συνωθούμενος [γρ. οὖν ὠθούμ.] τῆς ἀνάγκης, μᾶλλον δὲ παρὰ τοῦ ἄγοντος αὐτὸν πνεύματος ὁδηγούμενος πολλοῖς ὑπόθεσις σωτηρίας γενέσθαι, τὴν Ἐκκλησίαν παρ' ἐλπίδα καταλαμβάνει· καὶ πᾶσι μὲν, ἐξαιρέτως δὲ
C τῷ μεγάλῳ Μελετίῳ, πολλῆς ἡδονῆς καταστὰς αἴτιος, καὶ ὑποδειχθεὶς ὡς ἥδιστα πρὸς αὐτοῦ καὶ παρακληθεὶς, εἶτα καὶ τὴν τοῦ διακόνου χειροτονίαν ὑπ' αὐτοῦ καταδέχεται. Τούτῳ δὲ τῷ βαθμῷ κάλλιστα, καὶ ὡς Θεῷ φίλον, ἐπὶ πέντε τοῖς ὅλοις ἔτεσιν ἐνευδοκιμήσας, καὶ λόγοις οἷς τε ἐσχεδίαζε, καὶ οἷς κατὰ σχολὴν συνετίθει καὶ μελέτης ἠξίου πλείονος ἐκ τῆς χρυσῆς ὑετίζων γλώττης, καλῶς τὸ τῆς Ἐκκλησίας ἤρδευε πρόσωπον.

D ΙΑ'. Μελετίου δὲ μετὰ ταῦτα πρὸς τὴν ἐν τῇ Κωνσταντινουπόλει τῶν ἐπισκόπων σύνοδον ἐκφοιτήσαντος, ἐφ' ᾧ καθελεῖν μὲν τοὺς τῷ ἁγίῳ Πνεύματι μαχομένους, Γρηγορίου δὲ τὴν θεολόγον ἐγκαθιδρύσαι φωνὴν, κἀκεῖ τῶν προσκαίρων ἀλλαξαμένου τὰ μένοντα, ὁ χρυσοῦς οὗτος ἅμα μὲν τὸ ὑπερέχον ἅπαν ὑπεξιστάμενος, ἅμα δὲ καὶ τοῦ καλοῦ τῆς ἡσυχίας ἀντιποιούμενος, εἰς τὴν πρώτην αὖθις ἐπαναστρέφει μονήν. Ἀλλὰ πάλιν ἐκεῖθεν ἀπαναστὰς εἰς Ἀντιόχειαν ἐπανέρχεται, οὐχ ἁπλῶς οὕτως, οὐδὲ ἀθεεὶ τὴν μετάβασιν ποιησάμενος, ὥσπερ ἂν ἕτερος λογισμοῖς ἰδίοις ἀκολουθῶν, ἀλλὰ Θεοῦ κινήσαντος αὐτὸν καὶ καλέσαντος τρόπῳ τινὶ θειοτέρῳ καὶ λόγῳ [ἴσ. λόγου] κρείττονι. Ἄρτι γὰρ Φλαβιανῷ τῷ μεγάλῳ τὸν Μελετίου διαδεξαμένῳ θρόνον, Θεῷ περὶ τὴν ἕω τοὺς ἱεροὺς προσφέροντι

ὕμνους ἄγγελος ἐπιστὰς, ἐπὶ τὸ μοναστήριον, ὃ τὸν A Ἰωάννην εἶχεν, ὅτι τάχιστα ἀφικέσθαι διεκελεύετο, καὶ τοῦτον ἐπὶ τὴν ἐκκλησίαν τε ἀγαγεῖν, καὶ ἱερέα τελειῶσαι, σκεῦος αὐτῷ ἐκλογῆς κατὰ Παῦλον ἐσόμενον, καὶ τῷ λόγῳ μέλλοντα τὴν οἰκουμένην περιλαβεῖν, κατὰ τὸν αὐτὸν δὲ καιρὸν ἡ ὁμοία τῷ Ἰωάννῃ παρίσταται ὄψις. Ἄγγελος γὰρ κἀκείνῳ προσευχομένῳ σὺν πολλῇ τῇ δόξῃ καὶ τῇ αὐγῇ παραστὰς, ἕπεσθαι πρὸς τὴν ἐκκλησίαν Φλαβιανῷ, καὶ τὴν τοῦ πρεσβυτέρου καταδέξασθαι χειροτονίαν προστάττει. Τὸν δὲ τὴν ὀπτασίαν θεϊκὴν μὲν εἶναι μὴ ἀγνοήσαντα, διευλαβούμενον δὲ ἄλλως καὶ ὀκνοῦντα πρὸς τὸ ἐπίταγμα, ἀκοῦσαι λέγεται θειοτέρας φωνῆς· Ἃ ὁ Θεὸς βούλεται, τίς ἱκανὸς ἔσται διασκεδάσαι; οὕτω χρηματισθεὶς ὁ μακάριος, καὶ λογισάμενος εὐγνώμονος εἶναι θεράποντος, B Δεσπότου γνώμῃ μὴ ἀντιλέγειν, προσκαλεῖται τοὺς μοναχοὺς, καὶ ὅπως αὐτῶν μέλλοι διαχωρίζεσθαι καταγγέλλει. Τοὺς δὲ λύπῃ καὶ ἀθυμίᾳ συνεχομένους λόγοις τε παρεκάλει, καὶ τρόπον τινὰ θεραπεύων, μάλιστα δὲ καὶ τοῦ χρησίμου τούτοις ἐπιμελούμενος, δύο τῶν πάντων ἐκλεξάμενος, οἳ βίῳ τε καὶ λόγῳ τῶν ἄλλων προεῖχον, τὴν προστασίαν τῶν ἀδελφῶν ἐπιτρέπει. Ἐν ᾧ δὲ ταῦτα ἐγίνετο, Φλαβιανὸς ἐπιστὰς, καὶ τῷ μακαρίῳ μεθ' ἡδονῆς συγγενόμενος, Ἐκ πολλοῦ μὲν, ἔφη, τῆς σῆς ἐτύγχανον ἐπιθυμῶν ὁμιλίας, σοφώτατε ἀνθρώπων καὶ τιμιώτατε, εἰργόμην δὲ εἰς τὴν σήμερον ἐκκλησιαστικαῖς προσέχων φροντίσι· νῦν δὲ (δόξαν οὕτω Θεῷ) πρὸς σὲ ἀφίγμεθα. Εἶτα καὶ δήλην αὐτῷ τὴν θείαν ὄψιν πεποιηκότος, ἐπείπερ ἔγνωστο τῷ μεγάλῳ, Θεοῦ νεύματι C τὸ παράπαν μὴ ἀντιλέγειν, ἄλλως τε τῆς θείας ὄψεως δι' ἀμφοτέρων βεβαιωθείσης, ἀξιοῖ τὸν ἀρχιερέα, τὴν ἱερὰν μυσταγωγίαν αὐτὸν ἐκεῖνον κατ' αὐτὴν ἐκτελέσαι τὴν ἡμέραν, ἐφ' ᾧ τῶν ἁγιασμάτων ἅπαντας μετασχεῖν, καὶ τοὺς τὴν φροντίδα διαδεξαμένους τῶν ἀδελφῶν τῆς παρ' αὐτοῦ εὐλογίας ἐπιτυχεῖν. Μετὰ δὲ ταῦτά φησιν, ὅπῃ τῷ Θεῷ φίλον, προθύμως ἔχειν ἀκολουθεῖν. Ἐγένετο ταῦτα· καὶ τῇ ἑξῆς τῷ ἱεράρχῃ μέλλοντος συναποδημεῖν, γίνεταί τι πρᾶγμα δακρύων ὡς ἀληθῶς ἄξιον. (Μνήμης ἀξιούμενον καὶ ζημία ταῖς φιλανθρωποτέραις ψυχαῖς καὶ συμπάσχειν ἐν τοῖς τοιούτοις ἐπισταμέναις.] Περιστάντες γὰρ αὐτὸν ἅπας ὁ τῶν μοναζόντων χορὸς, ὥσπερ τῷ ἐκείνῳ συνεῖναι ζῶντες, καὶ τῇ διαιρέσει μέλλοντες συναφαιρεῖσθαι καὶ τὰς ψυχὰς, D τί μὴ πρὸς οἶκτον ἔλεγον; ποίαν θρήνων ὑπερβολὴν ἀπελίμπανον, περιέψων αὐτὸν, περιέβαλλον, ἑαυτοὺς τοῖς τούτου μέλεσι συμπαρέβαλλον. Παραφρονεῖν αὐτοὺς ἐποίει τὸ πάθος ἐνὸν, ἡγοῦντο συνάψειν αὐτῷ καὶ τὰ σώματα, τὴν ὑποστροφὴν ἀπηγόρευον, τὴν μονὴν, ὡς μηκέτι δυνατὸν ὄμμασιν ὀφθῆναι τοῖς ἑαυτῶν, ἀπεδίδρασκον. Ὡς δὲ μόλις ποτὲ τῇ τομῇ τοῦ λόγου, καὶ τοῦτο μὲν τοῦ μεγάλου, τοῦτο δὲ τοῦ ἀρχιερέως παραινοῦντος καὶ δριμυτέραν που καὶ τὴν ἐπιτίμησιν ἐπιφέροντος, ἀπ' αὐτοῦ διερράγησαν, οἱ μὲν ἄκοντες ἐπανήρχοντο πυκνῶς αὐτοῖς

monasterium, in quo erat Joannes, jussit ire quam citissime et eum ducere ad ecclesiam et consecrare sacerdotem, futurum ei vas electionis quomodo Paulus [7], et verbo comprehensurum universum orbem terræ Eadem autem hora ad Joannem quoque venit similis visio. Nam illi quoque oranti astans angelus cum magna gloria et splendore, jubet aperte Flavianum sequi ad Ecclesiam, et accipere ordinem presbyteratus. Ille autem cum non ignorasset quidem visionem esse divinam, revereretur autem alioqui et dubitaret facere, quod ei fuerat imperatum propter moderationem, dicitur vocem audivisse diviniorem: Quæ Deus statuit, quis poterit vitare? Cum sic responsum accepisset beatus, et simul intellexisset esse grati et prudentis famuli, non repugnare Domini voluntati, accersit monachos: et cum eis dixisset se esse abscessurum, affert eis dolorem, qui non potest verbis exprimi: Postquam autem eos verbis satis est consolatus, de eo quoque, quod erat illis utile futurum, sollicitus, electis duobus ex omnibus, qui erant et vita et sermone reliquorum omnium præstantissimi, fratrum curam eis committit. Interim autem, dum fierent, accedens Flavianus, cum maxima voluptate beatum allocutus: Diu quidem, inquit, desideravi te convenire, o vir sapientissime et in primis venerande: non licuit autem usque in hodiernum diem, cum vacarem curis ecclesiasticis. Nunc vero cum Deo ita visum sit, ad te venimus carissimam animam. Deinde cum ei etiam divinam aperuisset visionem, quoniam statuerat magnus Joannes sicut diximus, Dei nutui omnino non repugnare, et maxime cum divina visio per utrumque fuisset confirmata, rogat illum ipsum pontificem, ut illo ipso die sacrum peragat mysterium, ut sint omnes participes sanctificatorum, et ii, qui fratrum curam susceperunt, consequantur illius benedictionem. Post hæc autem, inquit, quo Deo visum est, sequar ipse quoque prompto et alacri animo. Facta sunt hæc, et cum sequenti die esset abiturus simul cum pontifice, fit res lacrymabilis piis animis, si vel solum audiatur. Eum circumsistens universus chorus monachorum perinde ac si eo, quod ille simul cum eis esset, viverent, et divisione simul quoque essent eis auferendæ animæ, qui ad movendam misericordiam non dicebant et faciebant? Quam non vel summam edebant lamentationem? Eum demulcebant, amplectebantur, se membris illius implicabant. Desipere eos faciebat animi perturbatio: existimabant se, cum liceret, vel ipsa esse corpora conjuncturos, reditu sibi interdicebant, fugiebant monasterium, tanquam fieri non posset, ut amplius suis aspiceretur oculis. Cum autem secante oratione partim quidem magni Joannis, partim autem pontificis admonentis, et aliquando etiam acerbius increpantis, sunt ab eo avulsi, alii quidem inviti redierunt,

7 Act. IX, 1-22.

crebro ad eum se ipsorum convertentibus oculis, et pedum iter interrumpentibus, quod divisio esset involuntaria : alii cum magno Joanne iter ingressi sunt, recta contendentes ad ecclesiam. Omnes autem undique confluebant et currebant, ut ei fierent obviam. Non minus ad ipsum Antiochia, quam prius[8] ad Baptistam in Jordanem Israel. Cum autem eum ordinaturi essent (7), ut Deus jusserat, et dies adesset præstitutus, aderat quidem omnis cœtus fidelium, et simul etiam aderat universus Chorus pontificum. Cum ad aram vero sacram accessissent., et quidem, ut fas exigit, caput Pontifici submisisset: ipsi autem ejus manus fuissent impositæ, miraculum quoddam hic quoque facit Deus, et ostendit eum qui initiabatur, esse dignum, et ex sua sententia illum dignatum fuisse sacerdotio. B Columba enim et colore alba, et specie valde pulchra, templum superius convolans, illico descendit et insidet capiti ejus, qui ordinabatur. Supervacaneum esset omnino immorari in interpretandis iis quæ sunt manifesta. Cui enim non est manifestum, hoc esse signum sancti Spiritus?

XII. Cum itaque copiose ad eum affluxisset spiritus sapientiæ, licebat quidem videre frequentiores congregationes, et populum ad eum audiendum convenientem : ejus autem linguam, quæ movebatur assidue, et orationis fluento inundabat. Quo tempore cum sermonem extolleret altius, quam ut id vulgi ingenium caperet, mulier quædam, quæ prompto quidem et alacri animo concurrerat, eorum autem, quæ dicebantur altitudinem assequi non C poterat, ne dubitavit quidem ejus orationem aperte reprehendere, et eam vocare infrugiferam, propterea quod non adepta esset id, quod desiderabat. Hoc cum ad aures illius pervenisset, efficit ut intellectu faciliorem et apertiorem componeret orationem. Tunc autem quidam ex iis, qui tenebantur amore eloquentiæ, valde delectati melle illius linguæ, considerantes illius orationes esse et utiles et veras, sensisque divinis plenas, clarasque et apertas, et cum quanta gratia et quanto dicendi flumine, quantoque artificio et quam pulchra compositione proferrentur, alii quidem eum os Dei et Christi : alii autem, quod magis invaluit, eum Chrysostomum vocabant, id est os aureum. Post hæc Flavianus quidem, arbitrans fore, ut eum post se haberet antistitem Ecclesiæ Antiochenæ, eum ad hoc D inducebat, et rerum curam ei volebat tradere. Cum autem turba sollicitudinum, et in ejusmodi rebus distrahi animum, ei minime esset gratum, id quidem lubenter repulit : soli vero doctrinæ et infirmorum visitationi vacandum esse censuit. Quo quidem factum est, ut Christi, quod omnia potest, nomine, ab infirmitate multos liberavit. Eum enim rursus insignem voluit reddere spiritus. Satius autem fuerit iterum paucorum meminisse, sicut sum pollicitus.

A τῶν ὀφθαλμῶν ἐπιστρεφομένων καὶ τὴν πορείαν τοῖς ποσὶν ἐγκοπτόντων, αἱ δὲ περὶ τὸν μέγαν τῆς ὁδοῦ εἴχοντο, εὐθὺ τῆς ἐκκλησίας ἐλαύνοντες. Συνέῤῥεον δὲ πανδημεὶ πάντες, καὶ πρὸς τὴν ὑπάντησιν ἔθεον οὐχ ἧττον ἐπ' αὐτὸν Ἀντιόχεια, ἢ ἐπὶ τὸν Βαπτιστὴν πρότερον εἰς τὸν Ἰορδάνην ὁ Ἰσραήλ. Ἐπεὶ δὲ καὶ χειροτονεῖν αὐτὸν ἔμελλον, ὡς τὸ θεῖον ἐπίταγμα, καὶ ἡ κυρία παρῆν, πᾶσα μὲν τῶν πιστῶν ὁμήγυρις, πᾶς δὲ ὁ τῶν ἀρχιερέων χορὸς συμπαρῆν. Ὡς δὲ καὶ τῷ ἱερῷ προσῆλθον [γρ. προσῆλθε] θυσιαστηρίῳ, καὶ αὐτὸς μὲν, ὡς θέμις, ὑπέσχε τῷ ἱεράρχῃ τὴν κεφαλὴν, τούτου δὲ αἱ χεῖρες αὐτῇ ἐπετίθεντο, θαυματουργεῖ τι κἀνταῦθα Θεὸς, καὶ δεικνύει τὸν τελειούμενον ἄξιόν τε ὑπάρχοντα, καὶ κατὰ τοῦ δοκοῦν αὐτῷ τῆς ἱερωσύνης καταξιούμενον. Περιστερὰ γὰρ λευ- B κὴ καὶ τὸ εἶδος σφόδρα καλὴ, ἄνω τὸν ναὸν περιϊπταμένη κάτεισι παραχρῆμα, καὶ τῇ τοῦ χειροτονουμένου ἐπικάθηται κεφαλῇ. Πάντως οὐ χρὴ περιττοὺς εἶναι τὰ δῆλα διερμηνεύοντας. Τίνι γὰρ οὐ σαφὲς, ὅτι τοῦ θείου Πνεύματος τοῦτο σύμβολον ἦν;

ΙΒʹ. Ὅθεν γοῦν καὶ τοῦ τῆς σοφίας πνεύματος δαψιλέστερον αὐτῷ προσρυέντος, πυκνοτέρας μὲν ἦν ὁρᾷν τὰς συνάξεις καὶ τὸν λαὸν συνιόντα πρὸς τὴν ἀκρόασιν, συνεχέστερον δὲ αὐτῷ κινουμένην τὴν γλῶτταν καὶ τῷ τῶν λόγων ῥεύματι πελαγίζουσαν. Ὅτε καὶ μεῖζον ἢ κατὰ τὴν πολλῶν διάνοιαν τὸν λόγον ἐπαίροντος, γυνὴ προθύμως μὲν συνδραμοῦσα, τοῦ ὕψους δὲ τῶν λεγομένων ἐκπίπτουσα, φανερῶς C ἐμέμφετο τῷ λόγῳ, καὶ ἀνωφελῆ τοῦτον ἀπεκάλει καὶ ἄκαρπον. Τοῦτο ἐκείνων εἰς ὦτα ἐλθὸν, πρὸς τὸ μᾶλλον σαφὲς καὶ εὐσύνοπτον τὸν λόγον συντάττειν παρασκευάζει. Τότε δὴ καὶ τῶν φιλολόγων τινὲς τῷ μέλιτι τῆς ἐκείνου γλώττης διαφερόντως ἡδόμενοι, καὶ τοὺς λόγους ὡς μὲν ἐπωφελεῖς, ὡς δὲ ἀληθεῖς, ὡς δὲ νοημάτων θείων πλήρεις κατανοοῦντες, καὶ ὅπως μὲν σαφηνείας, ὅπως δὲ μεθόδου καὶ τέχνης, ὅπως δὲ χάριτος ἔχουσι καὶ εὐροίας, οἵου δὲ ῥυθμοῦ καὶ συνθήκης, οἱ μὲν, Θεοῦ τε καὶ Χριστοῦ στόμα, οἱ δὲ (ὃ καὶ μᾶλλον κρατεῖν ἴσχυσε) Χρυσόστομον αὐτὸν ἀπεκάλουν. Μετὰ δὲ ταῦτα, Φλαβιανὸς μὲν πρόεδρον αὐτὸν τῆς Ἀντιοχέων Ἐκκλησίας καὶ διάδοχον αὐτοῦ καταλιμπάνειν οἰόμενος, ἐνῆγε πρὸς τοῦτο, καὶ τὴν τῶν πραγμάτων αὐτῷ οἰκονομίαν ἐγχειρίζειν ἠβούλετο. Τῷ δὲ φροντίδων ὄχλος καὶ τὸ D πρὸς τὰ τοιαῦτα περισπᾶσθαι τὸν νοῦν παντάπασιν ἄφιλον ὂν, τοῦτο μὲν καὶ ἡδέως ἀπώσατο· μόνῃ δὲ τῇ διδασκαλίᾳ, καὶ τῇ τῶν ἀσθενῶν ἐπισκέψει σχολάζειν ἔκρινεν, ἐξ ὧν καὶ πολλοὺς τῷ πάντα δυναμένῳ Χριστοῦ ὀνόματι, τῆς ἀσθενείας ἀπήλλαττε. Καὶ γὰρ ἐπιφανῆ τοῦτον καὶ αὖθις τὸ πνεῦμα καθίστη καὶ δοξάζειν ἠβούλετο. Οὐδὲν δὲ οἷον καὶ ὀλίγα παραθεῖναι τῷ λόγῳ πρὸς δοξολογίαν τοῦ δυναμώσαντος.

[8] Luc. III, 2.

(7) Presbyter ordinatur anno 386, ut notat Bar. Utrum vero a Flaviano vel ab Evagrio Paulini successore, discrepant auctores. Vide Baron. tom. IV *Annal* ad an. 386.

ΙΓ'. Γυναίῳ τινὶ τῶν ἐν Ἀντιοχείᾳ περιφανῶν, A Εὐκλία τοὔνομα· ταύτῃ δὲ υἱὸς ἀγαπητὸς ἦν, ὃς πυρετῷ καυσώδει ληφθεὶς τελευτᾷν ἐκινδύνευε. Μιμεῖται τοιγαροῦν τὴν Χαναναίαν ἡ μήτηρ, καὶ τῷ μακαρίῳ προσελθοῦσα, καὶ φωνὰς ἐκείνῃ παραπλησίως προσάγουσα ἐλέους τυχεῖν, οὐκ ἐπὶ θυγατρὶ, ἀλλ' ἐφ' υἱῷ πατρεκάλει. Πλὴν ἀλλὰ προσέχειν δεῖ, τὸν νοῦν, καὶ σκοπεῖν ὅπως εἶχε γνώμης, μετὰ τοῦ σώματος θεραπεύειν καὶ τὰς ψυχὰς μᾶλλον δὲ καὶ πρὸ τούτων ἐκείνας· ἐπεὶ καὶ τοῦ πάσχειν κακῶς τὰ σώματα, ταύτας αἰτίας ηὕρισκε. Καὶ τοῦτο μὲν διὰ τῶν φθασάντων δῆλον γέγονε, δηλώσει δὲ καὶ αὖθις ὁ λόγος. Ὡς γὰρ ἐκθύμως ἄγαν καὶ περιπαθῶς ἡ γυνὴ πρὸς τὴν ἱκετηρίαν ἐτείνετο (καὶ γὰρ εἶχε πολλὰς πρὸς τὸ θρηνεῖν ἀφορμὰς, ἐπὶ τέσσαρσι τοῖς ἤδη τετελευτηκόσιν υἱοῖς, κατ' αὐτὸν θνήσκειν ὁρᾷν B μέλλουσα) ἐκεῖνος ὑπὸ τοῦ συνοικοῦντος αὐτῷ πνεύματος τὰ ἐγκρυφῆ κατιδὼν, καὶ γνοὺς ὡς αἱ τῶν πατέρων ἁμαρτίαι τοῖς παισὶ τὸν θάνατον ἐμνηστεύσαντο, ταύτας εἰς τὸ φανερὸν αἰτιασάμενος, Καὶ τοῦτον, εἶπε, τὸν πέμπτον, εἰ μὴ μετάνοια ὑμᾶς εἰσέλθῃ τῶν πεπραγμένων, νεκρὸν παραπόδας ὄψεσθε. Ἐπεὶ δὲ οἱ γονεῖς τούτων ἀκούοντες γνησίαν ἐπηγγέλλοντο τὴν μετάνοιαν καὶ αὐτὸν πρὸς συμπάθειαν παρεκάλουν, ἐλεήσας, ἐκεῖνος τὴν συμφορὰν, ὕδωρ προσαχθῆναι κελεύει· ὃ τρὶς μὲν ἐπ' ὀνόματι τῆς ἁγίας Τριάδος σφραγίσας. τρὶς δὲ αὐτῷ τὸν νοσοῦντα διαῤῥαντίσας, ὑγιᾶ τῇ γεγεννηκυίᾳ παρέσχεν. Οὗτοι μὲν οὖν ὥσπερ ἀντιθεραπεύειν βουληθέντες, ἱκανῷ χρυσίῳ τὸν ἅγιον ἐδωροῦντο· τῷδε οὐδὲ μικρόν τι τῶν διδομένων προσιτὸν γέγονεν, εἰρηκότι, C μὴ τὴν τοῦ Θεοῦ δωρεὰν χρημάτων ὤνιον ποιεῖν βούλεσθαι· Ἀλλ' εἴπερ ὑμῖν, φησὶ, φίλον φανερὸν ποιῆσαι ὅτι τῷ Θεῷ χάριτας ὁμολογεῖν ἔγνωτε τῆς ἰάσεως, ἀληθῆ δείξατε τὴν ὑπόσχεσιν, καὶ πάσης μὲν πονηρίας ἀφέμενοι, πάσης δὲ πράξεως ἀγαθῆς ἐπιλαβόμενοι, οὕτως εἰσοίσετε τῷ ἠλεηκότι τὴν ἀμοιβὴν ἀξιόχρεω. Καὶ τοῦτο μὲν τοιοῦτον· τὸ δὲ νῦν ῥηθήσεσθαι μέλλον, παρ' οὐδὲν ἧττον καὶ πρὸς ψυχῆς ὠφέλειαν ἐπιτήδειον, καὶ τὴν τοῦ ἁγίου χάριν, ὁπόση παραστῆσαι δυνάμενον.

XIII. Illustri cuidam mulieri Antiochiæ nomen erat Euclia. Ei vero erat dilectus filius, qui ardenti febre laborabat, et veniebat in mortis periculum. Quid igitur? Mater imitatur Chananæam [8], et non minus quam filius, suis inflammata visceribus, accedit ad beatum, emittens voces illi similes: et non similiter ut illa in filia, sed in filio miserabiliter rogans ut consequeretur misericordiam. Sed oportet animum attendere et considerare, quemadmodum egregio illi viro erat animus animas etiam curare, illasque multo magis, quoniam ut male paterentur corpora, has inveniebat causas. Et hoc quidem jam evasit manifestum per ea, quæ præcesserunt: a nobis autem rursus quoque ostendetur. Videntur enim pueri parentes fuisse in vita agenda socordes et negligentes. Cum enim concitate et insane admodum terretur mulier ad supplicandum (habebat enim maximam lamentandi occasionem, ut quæ post quatuor filios jam mortuos, ipsum quoque visura esse mori), ille cum spiritu in eo habitante vidisset ea, quæ latebant, et cognovisset, quod peccata parentum filiis mortem conciliaverant, cum ea publice accusasset: Hunc quoque, inquit, quintum, nisi eorum, quæ fecistis, vos subierit pœnitentia, videbitis e vestigio mortuum et examinem. Cum autem parentes his auditis veram et sinceram promisissent pœnitentiam, et quæ facile moveri poterat, animam incitasset ad misericordiam, ille misertus calamitatis, aquam jubet afferri. Quam cum ter quidem signasset in nomine sanctæ Trinitatis, et ter ea aspersisset illum, qui ægrotabat, sanum et a morbo liberum reddidit ei, quæ genuerat. Atque ii quidem, ut qui vellent referre gratias ei qui curaverat, magna vi auri sanctum donabant. Cum autem dixisset, se ne minimum quidem velle accipere eorum, quæ dabantur, dicens se nolle Dei donum pecuniis venale proponere: Sed si, inquit illis, vobis curæ sit, manifestum reddere quod Deo vere agitis gratias pro curatione, ostendite esse veram promissionem, et relicta omni improbitate, bona opera exercete: si ei, qui vestri est misertus, referetis gratiam. Sed quidem hoc est hujusmodi. Quod autem nunc est dicendum nihilo est eo minus et ad animæ utilitatem, et ostendendam gratiam, quæ in magno Joanne habitabat.

ΙΔ'. Κατ' ἐκεῖνο καιροῦ ὁ τῆς πόλεως ἄρχων τὰ D Μαρκίωνος δόγματα νοσῶν ἦν, καὶ τοῖς ἐκείνου συνηγορῶν σπουδασταῖς, καὶ μυρίαν ἐντεῦθεν τῷ ὀρθοδόξῳ μέρει παρέχων τὴν βλάβην, τούτου τὴν γαμετὴν ὁ ἀποῤῥήτως ταῦτα ποικίλλων, καὶ φιλανθρώπως οἰκονομούμενος νόσῳ δυσεντερίας ἀφῆκε περιπεσεῖν. Ἡ δὲ ἥττων τοῦ κακοῦ γενομένη, πᾶσαν μὲν ἰατρείας ἀπήλεγξε τέχνην· πάντες δὲ οἱ τὰ ἴσα φρονοῦντες εἰς προσευχὴν συγκαλούμενοι, βελτίω διετίθουν οὐδέν. Μόλις γοῦν τῆς Ἰωάννου χάριτος εἰς μνήμην ἐλθόντες, καὶ τοῦτο κατὰ νοῦν θέμενοι, ὡς εἰ δι' αὐτοῦ γένοιτο τοῦ νοσήματος λύσις, συναποσχέσθαι καὶ τῆς κατὰ τὸ δόγμα νόσου χαλεπωτέρας, οὕτως ἑαυτοὺς πείσαντες κλινήρη τὴν

XIV. Qui illo tempore erat præses civitatis, laborabat morbo dogmatum Marcionis, et favebat illius sectatoribus: et ideo parti orthodoxæ erat causa malorum innumerabilium. Hujus uxorem iis, qui arcane et benigne hæc variat, dimisit laborare morbo torminis intestinorum. Illa autem a malo superata omnem quidem refellit medicinæ artem: omnes vero, qui eadem sentiebant, vocati ad orationem, non eam melius affecerunt, imo vero deterius, mali tempus ei producentes vana spe curationis. Vix tandem autem Joannis gratiæ recordati, cum hoc apud se statuissent, quod si per ipsum fieret a morbo liberatio, simul etiam desisterent a morbo dogmatis, qui est longe gravior; cum sic

8 Matth. xv, 22.

sibi persuasissent, in lecto decumbentem afferunt A mulierem, et eam statuunt pro foribus templi, desiderantes invenire Flavianum et beatum vultum Joannis. Sancti ergo ad eos egrediuntur. Neque enim par esse neque honestum censebant, ut eis templum pateret quorum anima non patebat dogmatibus pietatis. Primus autem eis dixit verus ille homo Dei, beata, inquam, illa et suavis lingua: Quid vos movit, ut statueritis venire ad templum Christianorum, qui Christum quidem adversamini: Marcionem autem plurimi facitis, et habetis in magno honore? Quod quidem plane satis ostendit, quod illius cultores convocaveritis ad morbi aut alicujus molestiæ liberationem, et quod cum illi precati essent, non assecuti sitis curationem: quod quidem vobis accidit præter exspectationem. Discedite ergo ab hoc sacro templo, B quoniam nec voc poteritis omnino Christum tentare: ne hoc stulte putetis. Illi autem dicebant se parentum errore esse captos et usque in hodiernum diem fuisse superatos a mala consuetudine. Sed per Christum, aiebant, vos rogamus, miseremini pœnitentium. Sic enim cum eo, quod corpus recte afficietis, efficietis etiam, ut sana sit anima. Sciatis enim fore, ut nos nequaquam amplius abstineamus a communione vestra, quæ est ex vera pietate. His flexus magnus Joannes, jussit aquam afferri: cui cum divinum signaculum injecisset pontifex (sic enim illi ei persuasit), mulieri infudit in Christi nomine. Quod quidem cum factum esset, quæ in lecto decumbebat, statim surrexit sana, et cum marito et civibus una voce unanimes Christum magnificabant. Deinde etiam ad sanctorum genua procidentes, petierunt C veniam prioris ignorantiæ, et domum redierunt: et cum multas quidem pecunias egenis distribuissent, triginta vero libras auri, partim quidem ad sumptum peregrinorum, partim autem ægrotorum, partim vero egentium xenodochio tradidissent, et ab illo tempore a Marcionistarum communione omnino abstinuissent, insaniam et amentiam res illorum vocantes, Christi sacrosanctæ assidebant Ecclesiæ. Cum autem illi omni adhibito studio, et omni, ut dicitur, rudente moto, nihil omnino perfecissent, et desperassent fieri posse, ut ipsi ad eos redirent, præstigiatorem et Magum Joannem appellabant, et pluribus aliis contumelis, civitatem obeuntes, cum afficiebant. Ille vero tantum abfuit, ut vel minimum curaret contumelias, ut eis po- D tius similiter atque Dominus gloriaretur. Alioqui autem divinitus immissam calamitatem ad eos mox esse venturam ille prædixit. Paucis enim post diebus, cum magnus terræmotus fuisset Antiochiæ, ipsa domus, quæ Marcionistarum susceperat congregationem, corruens, et domus quoque plurimæ cum iis, qui eadem sentiebant, labefactatæ, perdiderunt quamdam incredibilem eorum multitudinem, et quod est maxime admirabile, et quod aperte ostendebat eam divinitus immissam fuisset calamitatem, cum tanta periisset multitudo eorum, qui male sentiebant, nullus ex iis, qui recte sen-

γυναῖκα κομισθεῖσαν πρὸ τῶν τοῦ ἱεροῦ παριστῶσι πυλῶν, αὐτοῦ τε Φλαβιανοῦ καὶ τῆς Ἰωάννου τυχεῖν ἐπιθυμοῦντες ὄψεως. Ἐξίασι τοιγαροῦν πρὸς αὐτοὺς οἱ ἅγιοι. Οὐδὲ γὰρ ἄξιον ἔκριναν βάσιμον αὐτοῖς γενέσθαι τὸ ἱερὸν, ἄβατον ἔτι τῇ εὐσεβείᾳ τὴν ψυχὴν ἔχουσι. Καὶ πρῶτος πρὸς αὐτοὺς ὁ ἀληθὴς τοῦ Θεοῦ ἄνθρωπος, ἡ μακαρία γλῶσσα καὶ μελιχρὰ καὶ σωτήριος, Τί παθόντες, ἔφη, τῷ τῶν Χριστιανῶν ναῷ προσεληλύθατε, οἱ τὰ Χριστοῦ μὲν ἐκτρεπόμενοι, τὰ Μαρκίωνος δὲ καὶ σφόδρα διὰ τιμῆς ἔχοντες; Οἷς μεγα καὶ τὸ τοὺς ἐκείνου θεραπευτὰς εἰς ἐπικουρίαν συγκαλεῖν καὶ ἀπαλλαγὴν τοῦ νοσήματος. Ἀπόστητε τοίνυν τοῦ ἱεροῦ ναοῦ. Οὐδὲ γὰρ ἐκπειράσαι Χριστὸν ὑμεῖς δυνήσεσθε· μὴ τοῦτο πονηρῶς οἴεσθε. Τοὺς δὲ γονικῇ, φάναι, κεχειρῶσθαι τῇ πλάνῃ, καὶ συνηθείας πονηρᾶς ἡττᾶσθαι τὸ μέχρι τῆς σήμερον· ἀλλὰ πρὸς τοῦ Χριστοῦ δεόμεθα, οἰκτείρατε μεταμελομένους. Οὕτω γὰρ μετὰ τοῦ εὖ σῶμα ποιῆσαι, καὶ τὴν ψυχὴν ὑγιάσατε. Καὶ γὰρ οὐκέτι τῆς κατὰ τὴν εὐσέβειαν ὑμῶν κοινωνίας ἀποστήσεσθαι διαβεβαιούμεθα. Τούτοις ἐπικαμφθέντα τὸν μέγαν, ὕδωρ προσενεχθῆναι κελεῦσαι, τοῦτο δὲ σφραγίσαι τὸν ἱεράρχην (οὕτω τοῦ Ἰωάννου πείσαννος) καὶ ἐπὶ τῷ τοῦ Χριστοῦ ὀνόματι καταχεθῆναι [γρ. κατασχεσθῆναι] τῆς γυναικός. Οὗπερ δὴ γενομένου, ἡ κλινοπετὴς εὐθὺς ἀνίστατο ὑγιὴς, καὶ ἅμα σὺν ἀνδρὶ καὶ πολίταις μιᾷ φωνῇ τὸν Χριστὸν ἐμεγάλυνεν. Εἶτα καὶ πρὸς γόνυ πίπτοντες τοὺς ἁγίους συγγνώμην τῆς προτέρας ᾔτουν ἀγνοίας [γρ, ἀνοίας], και οὕτω χαίροντες ἐπανῄεσαν, πολλὰ μὲν τῶν χρημάτων τοῖς ἐν χρείᾳ διανειμάμενοι, τριάκοντα δὲ λιτρῶν χρυσίον ἐπὶ δαπάνῃ, τοῦτο μὲν ξένων, τοῦτο δὲ νοσούντων καὶ μενομένων τῷ ξενοδοχείῳ παρασχόμενοι. Ἐξ ἐκείνου δὲ παντάπασι καὶ τῆς τῶν Μαρκιωνιστῶν ἀποσχόμενοι κοινωνίας, τῇ τοῦ Χριστοῦ προσήδρευον Ἐκκλησίᾳ. Ὡς δὲ πολλὴν ἐκεῖνοι τὴν σπουδὴν εἰσενέγκαντες, καὶ ὥσπερ ὁ λόγος, πάντα κάλων κινήσαντες, τὴν εἰς τὰ πρώην αὐτῶν [γρ. τούτων] ὑποστροφὴν ἀπέγνωσαν, μάγον τε ἀπεκάλουν τὸν Ἰωάννην, καὶ ἄλλα πλεῖστα, τὴν πόλιν περιϊόντες, εἰς αὐτὸν ὕβριζον. Ὁ δὲ τοσοῦτον ἀπέσχε τοῦ καὶ πρὸς ὀλίγον ἐπιστραφῆναι τῶν ὕβρεων, ὅτι καὶ σεμνύνεσθαι μᾶλλον ἐπ' αὐταῖς εἶχε, τῷ πρὸς τὸν Δεσπότην ὁμοίῳ· ἄλλως τε δὲ καὶ θεόπεμπτον αὐτοῖς συμφορὰν, ὅσον οὔπω, καταλαβεῖν μέλλουσαν, ἐκεῖνος προεῖπεν. Ὀλίγαις γὰρ ὕστερον ἡμέραις σεισμοῦ μεγάλου τὴν Ἀντιόχου κινήσαντος, αὐτός τε ὁ οἶκος, ὃς τὴν τῶν Μαρκιωνιστῶν συναγωγὴν ἐδέχετο, συμπεσὼν, καὶ οἰκίαι πλεῖσται τοῖς τὰ αὐτὰ φρονοῦσιν ἐπικατασεισθεῖσαι. ἄπιστόν τι πλῆθος αὐτῶν ἀπώλεσαν. Καὶ τὸ θαυμασιώτατον, καὶ ὃ φανερὰν δεικνύει θεήλατον εἶναι τὴν συμφορὰν, ὅτι τοσούτου πλήθους τῶν κακοδόξων ἀπολωλότος, οὐδεὶς τῶν ὀρθὰ φρονούντων αὐτοῖς συναπώλετο. Τοῦτο γενόμενον καὶ τοὺς εὐσεβοῦντας ἐπέῤῥωσε, καὶ τῶν κακῶς φρονούντων συχνοὺς διωρθώσατο. Καὶ ἦν ἰδεῖν κατὰ τὴν ἅπασαν χώραν τῆς πόλεως εὐκτηρίους μὲν οἴκους Θεῷ ἀνεγειρομένους· εἴ που δὲ ναός εἰδω-

λικὸς καταλέλειπτο, καθῃρεῖτο καὶ εἰς γῆν ἐδαφί- A ζετο· ἄνδρας δὲ φιλοσοφίας καὶ ἀρετῆς ἐπιμελομένους καὶ πολλῇ τῇ συνέσει κεκοσμημένους, ὑπὸ τῆς τοῦ μεγάλου τούτου προνοίας εἰς τὴν τῶν πολλῶν σωτηρίαν ἐκπεμπομένους. Μαρτύριον ἀψευδὲς, τὰ κατὰ τὸ Ἀμμανὸν ὄρος τηνικαῦτα γεγενημένα ἔνθα τοὺς κατοικοῦντας οὐδὲν πλέον ἔχειν εἰς ἀγριότητα τοὺς θῆρας καταλιπόντας. εἰς τοσαύτην ἐκεῖνος ἤγαγεν ἡμερότητά τε καὶ θεοσέβειαν, ὡς ἀμελῆσαι μὲν τῆς πατροπαραδότου θρησκείας (πράγματος ἰσχυροῦ σφόδρα, καὶ ἀλόγως τοὺς πολλοὺς ὡς οὐκ ἄλλου τινὸς χειρουμένου), σὺν πολλῇ δὲ τῇ προθυμίᾳ πρὸς τὸ τῆς ἀληθείας φέγγος αὐτομολῆσαι· καὶ μὴ μέχρι τούτου στῆναι, ἀλλὰ καὶ πολλοὺς ἐξ αὐτῶν φιλοτιμότερον τῇ εὐσεβείᾳ χρωμένους ἄνδρας τε καὶ γυναῖκας, τοὺς μὲν τὸν τῶν μοναχῶν, τοὺς δὲ τὸν B τῶν παρθένων ζυγὸν ὑπελθεῖν. Τὰ δὲ περὶ τὸ Κάσιον ὄρος καὶ τὸν ἐκεῖσε τῶν Ἑλλήνων ναὸν τῷ ἀνδρὶ πραχθέντα, τίς οὕτω βάσκανος ἢ ῥᾴθυμος, ὡς ὑπομεῖναι παραλιπεῖν; ἔνθα τοσαύτης πλάνης τὸ πρότερον οὔσης, καὶ πλήθους μὲν ἀριθμοῦ κρείττονος, ὅσαι ὧραι φοιτῶντος, μυρίων δὲ ζώων σφαγῆς γινομένης εἰς τὴν τῶν δαιμόνων (φεῦ!) θεραπείαν, πάντα ἐκεῖνα ᾤχετο καὶ ἀπέσβη τῷ ζήλῳ τῆς μεγάλης ταύτης καὶ θεοκινήτου ψυχῆς. Οὐδὲ ταῦτα λήθης ἄξια τὰ πρὸς τῇ ἀκρωρείᾳ τῆς πόλεως τοῦ τῆς Ἀφροδίτης γεγενημένα ναοῦ καὶ ὅτι μὴ μόνον ἐκεῖνον καθαιρεθῆναι διὰ σπουδῆς ἔθετο, ἀλλὰ καὶ ἄνδρας ἁγίους ἐγκατοικισθῆναι τῷ τόπῳ φοβεροὺς τοῖς ἐκεῖσε παραδυομένοις ὑπάρχοντας δαίμοσιν, ὡς μακρὰν μὲν ἐκείνους ἀπελαθῆναι, καθάπερ τινὸς ὅπλου φοι- C κτοῦ τῆς τῶν ἀνδρῶν εὐχῆς αὐτοῖς ἐπισειομένης· ἀνθρώπους δὲ τοὺς περιοικοῦντας οὐ τῆς αὐτῶν μόνον ἀπαλλαγῆναι λύμης, ἀλλὰ καὶ πλείστης ἀπολαύειν τῆς ὠφελείας τοῖς συνοικοῦσι μοναχοῖς ὁμιλοῦντας. Ἔργον τῆς ἐκείνου σπουδῆς, καὶ ἡ ἐν τῇ ἄκρᾳ τοῦ Βήλου λεγομένου βεβήλου ναοῦ καθαίρεσις, καὶ ὁ μέχρις ἐδάφους ἀφανισμὸς, ἔχει καὶ ἡ τῶν Σελευκέων περιοικὶς τοιούτοις ἐγκαυχήσασθαι τοῦ ἀνδρὸς κατορθώμασιν· ἐπεὶ καὶ εἰδωλικῶν ναῶν καθαιρέσεις, ἱερῶν τε θείων οἰκοδομὰς, καὶ οἰκισμοὺς ἀνδρῶν φιλαρέτων, καὶ ταύτῃ γεγενημένας εὑρήσεις. Τίς γὰρ τὸν ζῆλον κατὰ μέρος ἐξείποι τῆς ἀποστολικῆς ἐκείνης καὶ μεμεριμνημένης ψυχῆς; ἵνα γοῦν μὴ πρὸς ἀμετρίαν ἡμῖν ὁ λόγος παραταθείη, τἆλλα πάντα τὰ ἐν τῷ πρεσβυτερίῳ τούτῳ κατωρθωμένα παραλιπὼν, ἐπὶ τὸν τῆς ἐπισκοπῆς βαδιεῖται χρόνον. D

tiebant, simul cum iis periit. Hoc cum ita factum esset, et pios corroboravit, et correxit multos ex iis qui male sentiebant: et licebat videre in universa regione civitatis, domos quidem oratorias Deo excitari, templa autem simulacrorum, si quod remanserat, dirui funditus et in terram dejici: viros autem, qui philosophiæ curam gerebant et virtutis magnaque ornati erant intelligentia et acumine ingenii, a magni hujus viri providentia emitti ad multorum salutem. Certum autem ejus, quod dicimus testimonium sunt ea, quæ facta sunt in monte Ammano: ubi eos qui habitabant, qui erant impii et immansueti, et nihil differebant a bestiarum immanitate, ille ad tantam mansuetudinem deduxit et pietatem, ut a patribus quidem datam neglexerint religionem, rem valde difficilem, et quæ, si ulla re alia, multos vincit absque ratione: prompto autem et alacri animo transfugerint ad lucem veritatis: et nec hactenus steterint, sed etiam multi ex iis pietate usi munificentius, viri, inquam, et mulieres, illi quidem monachorum, hæ virginum jugum subierint. Qui autem in Casio monte et in templo, quod illic erat, gentilium ab illo viro facta sunt, quis est adeo invidus aut negligens aut deses, ut id sustineat prætermittere? Quo in loco cum tantus error prius esset diffusus, et multitudo quidem assidue veniret innumerabilis, fieret autem immensum animalium sacrificium propter cultum, pro dolor! dæmonum perierunt illa omnia et exstincta sunt zelo illius magnæ et quæ a Deo movebatur animæ. Neque hæc sunt digna, quæ mandentur silentio, quæ facta sunt in fastigio civitatis, in templo Veneris: et quod non solum studuerit, ut id dirueretur, sed etiam ut in eo loco viri sancti habitarent, terribiles iis, qui eo subibant, dæmonibus: adeo ut illi quidem procul expulsi fuerint tanquam armis quibusdam terribilibus intentis eorum virorum precibus: homines autem, qui circumcirca habitabant, non solum a læsione illorum liberarentur, sed etiam maximam acciperent utilitatem, cum possent versari cum monachis, qui perfecti erant in Dei timore. Illius mentis et studii etiam est opus, quæ fuit in arce Beli, qui dicitur, profani templi destructio, et ad solum usque demolitio. Potest etiam quæ circa Seleuciam habitat regio, gloriari præclaris factis illius viri. Nam simulacrorum templa illic diruta, et divinas ædes exstructas, et viros virtutis studiosos illic ad habitandum collocatos invenies. Quis enim zelum singulatim enuntiaverit illius apostolicæ et sollicitæ animæ? Ne ergo in immensum nobis crescat oratio, reliquis omnibus prætermissis, quæ recte gesta sunt in hoc presbyteratu, ea procedet ad tempus episcopatus.

ΙΕ'. Οὐ πολὺς γὰρ ᾤχετο χρόνος, καὶ Νεκτάριος μὲν ὁ τῆς Κωνσταντίνου πρόεδρος πρὸς Κύριον ἐξεδήμησεν, εὐθὺς δὲ ὁ τοῦ θρόνου ἄξιος ἐπεζητεῖτο. Ἄλλων οὖν ἄλλοις, ὥσπερ ἔθος ἐν τοῖς τοιούτοις, τὰ πρωτεῖα νεμόντων, καὶ τῶν μὲν φιλίᾳ, τῶν δὲ

XV. Non multum enim intercessit temporis, et Nectarius quidem præsul Constantinopolis, migravit ad Dominum (8). Protinus autem querebatur quispiam, qui esset dignus ea sede. Cum alii ergo aliis, ut fieri solet in ejusmodi rebus primas partes t

(8) Nectarius præsul obiit anno 367, consulibus Cæsario et Attico, 5 Kal. Octob., ut ex Socrat. lib. VI, c. 2 notat Bar. De Nectarii morte, et Joannis creatione, vide Niceph. cap 2 lib. XIII; Theod. l. V, c. 26; Soz. lib. VIII, c. 2, 3; Soc. lib. VI, c. Bar. an. 397.

buerent (fit enim in iis maxima ex parte examinatio, non ex virtute eorum, qui asciscuntur, sed ex eorum, qui sunt potentes, in eos benevolentia, quæ vel est pura ac sincera, vel accessit muneribus): oporteret autem sanctum Spiritum vincere, et eum præfici, qui ad hoc ipsum erat ab eo prædestinatus, et superari omnes a Joannis virtute et eloquentia, et ei primum locum cedere in ecclesia: et alioqui ejus fama plenæ essent omnes aures, adeo ut etiam bona illius auditione accepisset imperator: is vero erat Arcadius; cum hæc ita se haberent, tandem cum et qui Ecclesiam regebant, et qui rempublicam administrabant, cum imperatore in unam convenissent sententiam, mittuntur litteræ ad Flavianum pontificem Antiochiæ: quæ simul quidem et Nectarii mortem ei significabant, et aureum Joannem, quod terram et mare continet miraculum, atque adeo ipsum etiam cœlum tangit, ad ipsum accersebant. Pontificem autem, cum in manus sumpsisset epistolam, et eam perlegisset aiunt tradidisse Joanni; cum vero, cum legisset, multum quidem ingenuisse propter ea, quæ scripta fuerant: et multas etiam lacrymas emisisse ex oculis propter contritionem spiritus, dicentem se esse indignum, et qui longe abesset, ut tanta rectionis cura debeat ei committi. Nam parvæ navi, aiebat, non est tutum magnum onus imponere. Cum sic diceret, eum consolabatur Flavianus, et apte eri gebat, verbis, pro medicamentis, spargens ejus animi ægritudinem. Civitas autem postquam sensit hoc damnum (damnum enim non ferendum judicabat unusquisque Joannis privationem), id ægre et intoleranter ferebant. Deinde etiam tanquam violentum aliquid tyrannicum passuri, et aliis cessuri ea, quæ ad ipsos pertinebant, clamabant adversus eum qui misit: Quid vero? adeone est infelix Constantinopolis, jactantes, adeone expers virorum bonorum? Ad tantamne virtutis inopiam venit urbs maxime regia? Estne adeo inops in iis, quæ sunt principalia, quam oportebat in omnibus superare, ut a nobis opus habeat eo, qui sit illorum præfuturus Ecclesiæ? Sed nos nec tam stulti, nec tam negligentes, nec tantopere erimus proditores, ut eis nostro bono tam facile cedamus. Caput prius nobis auferent, quam illum a volentibus nobis sint accepturi. Hæc dicentes, deinde etiam suum consilium confirmant jurejurando, non permittere iis qui missi fuerant: sed esse potius paratos ad patiendum, si quid essent facturi. Cum itaque episcopus habuisset concionem, et verba fecisset apta ad persuadendum, ut efficeret, ne populus contradiceret, illis ea erant inanis strepitus, et vana aurium molestia. Quid enim dicendo posset persuadere, cum eos lingua esset privaturus: lingua, quæ tam pulchre quidem canebat, et cujus cantus erat adeo utilis et salutaris? Quam non audire, damnum est non mediocre, sed vel ad ipsam usque pervadens animam. Deinde eum qui missi fuerant, pararent vim afferre et trahere Joannem, ipse ingressus,

A δυναστείᾳ τὸ θαῤῥεῖν ἐχόντων, ἔστι δὲ ὧν καὶ χρυσίῳ τὴν τῆς ἀρχιερωσύνης ψῆφον ὠνίον ποιουμένων. ἐπεὶ ἔδει τὸ ἅγιον Πνεῦμα νικᾶν καὶ τὸν εἰς αὐτὸ τοῦτο πρωρισμένον ὑπ' τὐτοῦ προχειρίζεσθαι, τῆς Ἰωάννου τε, φημὶ, ἀρετῆς καὶ γλώττης ἡττηθῆναι πάντας, καὶ τῶν πρεσβείων αὐτῷ τῆς ἐκκλησίας παραχωρῆσαι, ἤδη καὶ τῇ κατ αὐτὸν φήμῃ πάσης ἀκοῆς ὑποπιμπλαμένης, ὡς μηδὲ αὐτὸν ἀνήκοον μεῖναι τὸν κρατοῦντα τῶν ἐκείνου καλῶν (Ἀρκάδιος οὗτος ἦν), ἐπεὶ ταῦτο οὕτως εἶχε, τέλος τῶν τῆς Ἐκκλησίας καὶ τῆς πολιτείας ἀγόντων εἰς μίαν γνώμην τῷ βασιλεῖ συνελθόντων, γράμματα πρὸς τὸν ἱεράρχν Ἀντιοχείας Φλαβιανὸν πέμπονται, ὁμοῦ μὲν τὸν Νεκταρίου γνωρίζοντα θάνατον, ὁμοῦ δὲ καὶ τὸν χρυσοῦν Ἰωάννην, τὸ γῆν καὶ B θάλατταν περιέχον θαῦμα, καὶ αὐτοῦ δὲ, φημὶ, παραψαῦον τοῦ οὐρανοῦ, πρὸς τοῦτο μετακαλούμενα. Εἰς χεῖρας οὖν τὴν ἐπιστολὴν τὸν ἀρχιερέα δεξάμενον καὶ πετελθόντα, ἐγχειρίσαι φασὶ καὶ τῷ ἁγίῳ. τὸν δὲ ἀναγνόντα πολλὰ μὲν ἐπιστενάξαι τοῖς γεγραμμένοις, πολλὰ δὲ καὶ δάκρυα τῇ τοῦ πνεύματος συντριβῇ τῶν ὀφθαλμῶν ἀποστάξαι, ἀνάξιον ἑαυτὸν εἶναι λέγοντα, καὶ ὅτι, Πολλοῦ δέω μεγάλης οὕτως ἀρχῆς ὑποστῆναι βάρος· ἐπεὶ καὶ νηῒ μικρᾷ φόρτον μείζονα πιστεύειν οὐκ ἀσφαλές. Τὸν γε Φλαβιανὸν ἀνακτᾶσθαί τε αὐτὸν καὶ ἀνέγειν ἐπιδεξίως, λόγους ἀντὶ φαρμάκων τῇ ἀθυμίᾳ τῆς ψυχῆς ἐπιπάττοντα. Ἡ μέντοι πόλις ὡς ᾔσθοντο τῆς κοινῆς ζημίας ταύτης καὶ συμφορᾶς (ζημίον γὰρ ἕκαστος οὐχ ὅπως καὶ φορητὴν τὴν Ἰωάννου στέρησιν ἐλογίζοντο), C βαρέως εἶχον καὶ λίαν περιπαθῶς. Εἶτα καὶ ὡς βίαιόν τι καὶ τυραννικὸν ὑποστῆναι μέλλοντες, καὶ ὧν προσῆκεν αὐτοῖς ἐκστῆναι, κατεβόων τοῦ πέμψαντος· Τί δαί; οὕτω δυστυχὴς ἡ Κωνσταντίνου λέγοντες, οὕτως ἄμοιρος τοῦ φοβουμένου τὸν Κύριον, εἰς τοσαύτην ἧκε τῆς ἀρετῆς σπάνιν ἡ βασιλικωτάτη τῶν πόλεων, οὕτως ἄπορος ἐν τοῖς καιρίοις, ἣν ἔδει διὰ πάντων κρατεῖν, ὡς παρ' ἡμῶν δεῖσθαι τοῦ τῆς Ἐκκλησίας αὐτῇ προστησομένου; Ἀλλὰ γὰρ οὐχ οὕτως ἀνοήτως ἡμεῖς ἕξομεν, οὐχ οὕτω ῥᾳθύμως καὶ προδοτικῶς, ὡς ῥᾷον αὐτοῖς ὑπεῖξαι τοῦ ἡμετέρου καλοῦ. Τὴν κεφαλὴν πρότερον ἀφαιρήσονται, ἢ ἐκεῖνον παρ' ἑκόντων ἡμῶν λήψονται. Τοιαῦτα δή τινα εἰρηκότες, ἔπειτα καὶ ὅρκοις ἀλλήλων τὰς ψυχὰς ἐμπεδοῦσι, μὴ ἐφεῖναι τοῖς ἀπεσταλμένοις, ἀλλ' ἕτοιμοι εἶναι πρὸς τὸ παθεῖν μᾶλλον, εἴ τι ἂν D καὶ δρᾷν μέλλωσι. Τοῦ τοίνυν ἐπισκόπου ἐκκλησιάσαντος, καὶ τῇ περὶ τούτου δημηγορίᾳ ἑαυτὸν ἐφέντος, ὥστε πεῖσαι τὸ πλῆθος μὴ ἀντιλέγειν ἐκείνοις, ψόφος ἦν ἀργὸς ταῦτα, καὶ ματαία τῶν ὤτων ὄχλησις. Τί γὰρ καὶ λέγων ἠδύνατο πείθειν, ἐπεὶ γλώττης ἀποστερεῖν αὐτοὺς ἔμελλε, γλώττης οὕτω μὲν καλὸν ᾀδούσης, οὕτω δὲ ὠφέλιμον καὶ σωτήριον, ἧς τὸ μὴ ἀκούειν, ζημία δεινὴ, καὶ εἰς αὐτὴν ἥκουσα τὴν ψυχήν; Εἶτα τῶν ἀπεσταλμένων καὶ βίαν προσθεῖναι, καὶ ταύτῃ τὸν Ἰωάννην ἑλκύσαι προθυμουμένων αὐτὸς εἴσω γενόμενος, καὶ ὅσον πρόκριτον ἐκπέμψας τῆς πόλεως, ἠξίου τὸ πλῆθος μηδὲν νεώτερον φρονῆσαι, μηδὲ πράγμασιν ὅλως θερμοτέροις

A ἐπιχειρῆσαι, βεβαιῶν ὡς οὐχ ἑκὼν ἑαυτὸν προήσεται τοῖς ἀπάξειν ἀπεσταλμένοις. Μόλις γοῦν οὕτω τὴν πολλὴν αὐτοῖς ὁρμὴν ἵστησιν. Οὐδὲ γὰρ εἰς ἅπαν ἀνείθησαν τῶν φροντίδων, ἀλλ' ἐν τῷ μέρει καὶ φυλακὴν ἐποιοῦντο, δεδοικότες μήπως τις καὶ προδοσία περὶ τοῦτον συνενεχθῇ. Ταῦτα καὶ τῷ βασιλεῖ δῆλα δι' ἐπιστολῆς γίνονται, καὶ οἱ ἀπεσταλμένοι τὴν τῶν Ἀντιοχέων ἔνστασιν ὑφειμένον ἔχουσαν οὐδὲν, ἐβεβαίουν. Πλέον οὖν αὐτῷ τε καὶ τοῖς τῆς πόλεως οἱ πρὸς Ἰωάννην ἔρωτες ἐξεκαύθησαν. Καὶ γὰρ εἴωθεν ἀμελεῖσθαι μὲν τὸ ῥᾳδίως χειρούμενον, τὸ δὲ διατριβὴν καὶ πόνον ἐφ' ἑαυτὸ [ἴσ. ἑαυτῷ] παρέχον, ὑποκνίζει τὸν πόθον. Σκεψάμενος τοίνυν πῶς ἂν αὐτῷ γένοιτο τοῦ τε σπουδαζομένου μὴ διαμαρτεῖν, καὶ μηδένα κίνδυνον τῷ πράγματι συμπεσεῖν, τῷ κόμητι Ἀντιοχείας γράφει δι' ἀποῤῥή- B των. Καὶ αὐτὸς ἔξω τῆς πόλεως τὸν Ἰωάννην μεταπεμψάμενος, ὡς ἀναγκαίων χάριν αὐτῷ κοινολογησόμενος, ἡμιόνοις εὐθὺς καίτοι σφόδρα διατεινόμενον ἐπιβιβάσας, καὶ οὕτω τὴν πόλιν λαθὼν τοῖς ἀπεσταλμένοις αὐτὸν ἐπιτρέψας ἐκπέμπει.

ιϛ'. Ὅτε γοῦν ὁ ἀληθὴς ἄνθρωπος τοῦ Θεοῦ πλησίον τῆς βασιλευούσης γένοιτο, πρώτην ταύτην εἰσόδιον βασιλικῇ γνώμῃ τιμᾶται τιμήν. Πᾶν ὅσον περιφανὲς οὐ τῆς Ἐκκλησίας μόνον, ἀλλὰ καὶ τῶν ἐν τέλει ἓξ μιλίοις προσελθόντες τῆς πόλεως, φιλοφρόνως ἐδεξιοῦντο λαμπραῖς ὑπαντήσεσι καὶ τιμαῖς. Οὕτω καὶ τοῖς, ἀφ' ὧν ἀπέστη, θερμὸν ἐνέτηξε πόθον, καὶ ἄῤῥητον αὐτοῖς ἦν τὸ τῆς ζημίας ἐπίπονον, καὶ C τοῖς, παρ' οὓς ἐπέστη, πολλὴν ἐνέσταξεν ἡδονὴν, καὶ ἕρμαιον τι αὐτοῖς ἔδοξε θεῖον καὶ κέρδος ἀπερινόητον. Ἀμφότερα δὲ ἦν τῆς πολυτρόπου τοῦ Θεοῦ σοφίας, καὶ τῆς πάντα καὶ νοῦν καὶ λόγον νικώσης χρηστότητος, ἵνα καὶ τὴν αὐτοῦ ἀρετὴν, ὅπως ἐστὶ πᾶσιν ἐπέραστός τε καὶ περιμάχητος, δείξῃ, καὶ μισθοῦ πρόξενον ἑκατέροις αὐτὸν καταστήσῃ. Καὶ γὰρ ἀμφότεροι φιλίως πρὸς τὸ καλὸν ἔχοντες ἐγνωρίσθησαν, οἱ μὲν τῷ μετὰ λύπης ἀποβαλεῖν, οἱ δὲ τῷ μεθ' ἡδονῆς ὑποδέξασθαι. Ἐπεὶ δὲ καὶ εἰσέλθοι, καὶ μικρόν τι τὸ μεταξὺ διελθὸν, ἡ κυρία τῆς χειροτονίας παρῆν, παρῆσαν μὲν καὶ οἱ τῆς ἐπαρχίας ἐπίσκοποι, παρῆν δὲ καὶ ὁ τῆς Ἀλεξανδρείας Θεόφιλος πρῶτος τῶν ἄλλων ἐπισπεύσας τῇ τελεσιουργίᾳ τοῦ μάκαρος. D Ἕκτην μὲν οὖν ὁ Φεβρουάριος εἶχε πρὸς τῇ εἰκάδι, ὑπῆν δὲ εἰκάζειν ὅτι συνηδομένου τότε καὶ τοῦ τῶν ἁγίων χοροῦ, καὶ μηδὲ ἀγγέλων τῆς θείας ταύτης ἑορτῆς ἀπολειπομένων, ὁ ἐπὶ γῆς ἄγγελος τῷ ἱερατικῷ τελειοῦται χρίσματι, καὶ τῷ τῆς Ἐκκλησίας ὕψει στηρίζεται ὁ διαφανὴς ἀστὴρ καὶ ὑπέρλαμπρος, καὶ φωτὶ χαριεστέρῳ τὰς τῶν ἀνθρώπων περιλάμπων ψυχάς· ὃς καὶ βίον εἶχε τῷ λόγῳ σύμφωνον, καὶ λόγον τοιούτου βίου προσήκοντα καθαρότητι. Ὧ τὸ πείθειν οὕτω ῥᾴδιον, ὡς οὐδενὶ ἄλλῳ τὸ λέγειν ἁπλῶς· οὐ πραεῖα μὲν ἡ φωνὴ,

emissis iis, qui erant præcipui civitatis, rogabat plebem, ne quid novi moliretur, neque res aggrederetur nimis acriter et inconsiderate, affirmans se non sua sponte se traditurum iis, qui missi fuerant. Cum sic dixisset, vix magnum repressit eorum impetum. Neque enim se cura omnino liberarunt: sed etiam per vices custodiam adhibebant ne aliqua in eum fieret proditio. Hæc imperatori significantur litteris, et qui missi fuerant, affirmabant Antiochenorum constantiam se nihil remittere. Ei ergo et civibus vehementius accensus fuit amor in Joannem. Solet enim negligi, quod facile capitur; quod autem aliquam moram affert et dilationem, provocat desiderium. Cum ergo apud se considerasset, quemadmodum posset et id quod desiderabat assequi, nec ideo res esset in ullum ventura periculum, scribit per arcana ad comitem Antiochiæ. Ipse autem cum Joannem accersivisset extra civitatem, tanquam de quibusdam rebus necessariis cum eo communicaturus, eum licet valde reluctantem et repugnantem mulis, quos habebat paratos, imposuit, et sic nullo omnino animum advertente, ipsum iis qui missi fuerant, traditum emittit.

XVI. Cum ergo ille verus homo Dei, toto illo confecto itinere, jam esset prope urbem regiam, hoc primum honore afficitur in ingressu voluntate imperatoris: quidquid erat clarum et illustre, non solum in Ecclesia, sed etiam ex magistratibus, sex milliaria progressum extra civitatem, ridentibus oculis et læto vultu significantes animæ lætitiam, ei fiunt obviam, et eum splendidissimis afficiunt honoribus. Sic et iis, a quibus discessit, ardens immisit desiderium illa desiderabilis et maximi facienda anima: et iis, ad quos accessit, maximam attulit voluptatem. Erant autem utraque multiplicis Dei sapientiæ et benignitatis, quæ omnem intelligentiam vincit et orationem, ut et illius ostenderet virtutem, et quam sit amabilis, et efficeret ut ipse utrisque mercedem conciliaret. Ambos enim honesti amore teneri fuit cognitum: illos quidem, quod cum dolore dimiserint, hos autem, quod cum lætitia exceperint. Cum vero esset ingressus, et intercessisset parvum spatium temporis, aderat dies consecrationis: et cum adessent quidem episcopi provinciæ, adesset autem etiam Theophilus Alexandriæ (9), qui primus ex aliis festinavit, ut interesset beati Joannis consecrationi: et esset quidem Februarii dies vicesimus sextus· liceret autem conjicere, quod cum simul lætaretur chorus sanctorum, ne angeli quidem abessent ab hoc divino festo, qui erat in terra angelus, sacro chrismate consecratur, et in excelso loco ecclesiæ collocatur, qui erat revera stella lucidissima, et jucundiori luce hominum illustrabat animas: qui et habebat vitam orationi convenientem, et orationem, quæ decebat talem vitæ puritatem: cui persuadere non minus

(9) Anno 398 metropolitanis astantibus episcopis, suæ provinciæ consecratur. Theophil. Alexandriæ episcopus non volentem, sed coactum Chrysostomum designasse episcop. ex Socrat. lib. VI, c. 2, Sozom. lib. VIII, cap. 2, memorat Baronius, tom. V. *Annal.* ad ann. 397.

erat facile, quam cuivis alii solummodo dicere. Cujus vox quidem erat lenis, lenis autem congressio: oratio vero, quæ adeo placide et jucunde fluebat in animam, et tam benigne eam attingebat, ut nullum esset ejusmodi medicamentum corporis, quod cum juvaret plurimum, nihil afferret in utendo molestiæ: quomodo illa absque ullo morsu maximam afferebat utilitatem. Deinde die sequenti ipse imperator, et quicunque erant in civitate honorati et aliis superiores, ad beatum virum accedentes (hoc enim omnino volebant), ejus preces et benedictionem jucundissime sunt consecuti. Deinde ille, cum is laudabilis, qui prius, eum invasisset metus et esset summus imitator Jesu humilitatis, injecta oratione sic dixit: Terribilis mihi visa est, o imperator, terribilis, et major quam ut meæ vires ferre possent, insignis dignitas hujus pontificatus: quod me etiam reddebat timidum cunctantem ad ejus susceptionem: quod et ad meam intuerer abjectionem, et ad magnitudinem ejus, quod meæ fidei committebatur. Quo est enim dignitas sublimior, eo magis opus habet iis, qui sunt excelsi viribus, et qui confidere possunt in ministerio. Cum autem nos etsi indignos et abjectos, iis quibus scit rationibus, is cujus judicia sunt abyssus multa [10], ab hanc deduxit speculam, et ratione præditi sui gregis pastorem constituit, rogo, o imperator, per eam spem, quam omnes habemus (neque enim mihi tutum fuerit deinceps silere, neque quod meum est solum spectando, mercenarium esse, et non pastorem); rogo ergo, ut principaliter quidem vos Dei verbis aurem præbentes attentam, super fundamentum fidei, aurum et argentum et lapides pretiosos, bonas, inquam, actiones, ædificetis. Si qui autem præoccupati fuerunt, aut, quod absit, sint præoccupandi humanis delictis, ea sunt pœnitentia et studio expurganda. Ad eam sit nobis pulchrum exemplum magnus ille David [11], qui cum in peccatum ut homo incidisset, et ab homine fuisset reprehensus, non ut homo solummodo, neque similiter ac vulgus se gessit gratissima illa anima, neque contumelia reprehensionem pauperis rex repulit, sed magna moderatione et animi contritione ipsam tulit reprehensionem, et cum se peccasse non esset inficiatus, citius quam fecerat, consecutus fuit remissionem. Atqui labi quidem est facile: surgere autem, et in statum priorem restitui, est operosum ac difficile. Adeo erat mitis, adeo moderatus: tam magnum fructum fuit consecutus ex divina humilitate. Et nos ergo, qui ineffabilibus Dei rationibus ideo ad vos venimus, ut voluntatem ejus testificemur, hoc primum verbum a Christo et divino ejus Præcursore accipientes, vobis annuntiamus et suademus: « Pœnitentiam agite: prope est enim regnum cœlorum [12]. » Hæc autem non dubitabo vobis assidue revocare in memoriam: vobis autem timendum est, ne, si fueritis contemptores Dei testimoniorum, ab

A πραεῖα δὴ ἡ ἔντευξις, ὁ δὲ λόγος οὕτως ὁμαλῶς, καὶ ἡδέως ῥέων εἰς τὴν ψυχὴν, καὶ οὕτως ἠπίως αὐτῆς ἁπτόμενος, ὥστε μηδὲν τοιοῦτον εἶναι φάρμακον σώματος, ὃ τὰ μέγιστα ὠφελοῦν οὐδὲν λυπεῖ τῇ προσψαύσει, ὡς ἐκεῖνος μεγάλην τε καὶ πολλὴν ἀδήκτως ἐμποιεῖ τὴν ὠφέλειαν. Εἶτα τὴν ὑστεραίαν βασιλεὺς αὐτὸς, καὶ τῆς πολιτείας ὅσον ἔντιμον καὶ τοὺς πολλοὺς ὑπερβεβηκὸς, προσελθόντες τῷ μακαρίῳ (τοῦτο γὰρ ἐκ παντὸς ἠξίουν) τῶν παρ' αὐτοῦ εὐχῶν ἥδιστα καὶ τῆς εὐλογίας ἀπέλαυον. Εἶθ' οὕτω λόγον ἐμβαλὼν ἐκεῖνος, ὡς ὑπὸ τῆς αὐτῆς δειλίας ἐχόμενος τῆς ἐπαινετῆς, ἧς καὶ πρότερον, καὶ μιμητὴς τελῶν τῆς Ἰησοῦ ταπεινώσεως, Φοβερόν μοι, εἶπεν, ὦ βασιλεῦ, καὶ μεῖζον ἢ κατ' ἐμὴν δύναμιν, τῆς ἱεραρχίας ταύτης τῆς ὑπερφυοῦς τὸ ἀξίωμα, ὃ B με καὶ δειλὸν ἐποίει καὶ πρὸς τὴν αἵρεσιν διαμέλλοντα τῷ πρός τε τὴν ἐμὴν ἐσχατιὰν ἀφορᾷν καὶ τὴν τοῦ πιστευομένου μεγαλειότητα. Ὅσῳ γὰρ τὸ ὑψηλὸν, τοσούτῳ καὶ τῶν εἰς δύναμιν ὑψηλῶν δεῖται πρὸς τὴν ὑπηρεσίαν. Ἐπεὶ δὲ καὶ ἀναξίους ὄντας καὶ χαμαὶ κειμένους ἡμᾶς, οἷς ἐπίσταται λόγοις, οὗ τὰ κρίματα ἄβυσσος πολλὴ, εἰς ταύτην ἤγαγε περιωπὴν, καὶ ποιμένα τῆς λογικῆς αὐτοῦ κατέστησε ποίμνης, δέομαι, βασιλεῦ, πρὸς αὐτῶν ἐλπίδων, ὧν πάντες ἐχόμεθα (οὐδὲ γὰρ ἀκίνδυνόν μοι τὸ ἀπὸ τοῦδε σιγᾷν, οὐδὲ τὸ ἐμαυτοῦ μόνον ὁρῶντα μισθωτὸν εἶναι, καὶ οὐ ποιμένα) δέομαι τοιγαροῦν προηγουμένως μὲν τοῖς τοῦ Θεοῦ λόγοις οὖς εὐσύνετον ὑποσχόντας ὑμᾶς, ἐπὶ τῷ θεμελίῳ τῆς πίστεως χρυσὸν καὶ ἄργυρον καὶ λίθους τιμίους, τὰς ἀγαθὰς, C φημὶ, πράξεις οἰκοδομεῖν. Εἰ δή τινες προειλήφθησαν, ἢ καὶ προληφθεῖεν (ὅπερ ἀπεύχομαι) παραπτώμασιν ἀνθρωπίνοις, τῇ μετανοίᾳ ταῦτα καθαρτέον. Καλὸν ὑπόδειγμα πρὸς αὐτὴν ὁ μέγας ἡμῖν ἔστω Δαβὶδ, ὃς ἁμαρτήματι ἁλοὺς, οἷα ἄνθρωπος, ὑπ' ἀνθρώπου τε τὸν ἔλεγχον ὑποστὰς, οὐ κατ' ἄνθρωπον ἁπλῶς, οὐδὲ τοῖς πολλοῖς ὁμοίως ἡ χαριεστάτη διετέθη ψυχή. Οὔτε γὰρ βαρέως ἤνεγκε πρὸς αὐτὸν, οὐδὲ ὕβρει τὴν μέμψιν ὁ βασιλεὺς τοῦ πένητος διεκρούσατο, ἀλλ' ἐν πολλῷ τῷ μετρίῳ καὶ τῇ τῆς ψυχῆς συντριβῇ αὐτόν τε τὸν ἔλεγχον ἤνεγκε, καὶ πλημμελῆσαι μὴ ἀρνηθεὶς, θᾶττον, ἢ δρᾶσαι, τοῦ ἀφεθῆναι τετύχηκε· καίτοι τὸ μὲν ὀλισθῆσαι ῥᾴδιον, τὸ δὲ ἀναστῆναι, καὶ εἰς τὴν προτέραν στῆναι κατάστασιν, ἐργῶδες καὶ χαλεπόν. Οὕτω πρᾶος ἦν, οὕτω μέτριος, οὕτω μεγάλα πάνυ τῆς θείας ἀπώνατο ταπει- D νώσεως. Καὶ ἡμεῖς τοίνυν οἱ κατὰ τοὺς ἀῤῥήτους τοῦ Θεοῦ λόγους εἰς τοῦτο ὑμῖν ἥκοντες, ὥστε τὸ αὐτοῦ διαμαρτύρεσθαι θέλημα, τοῦτο πρῶτον ῥῆμα παρὰ Χριστοῦ καὶ τοῦ θείου λαβόντες Προδρόμου, εὐαγγελιζόμεθά τε καὶ παραινοῦμεν ὑμῖν· Μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. Ταῦτα δὲ συνεχῶς ἡμᾶς μὲν ὑπομιμνήσκειν οὐκ ὀκνητέον, ὑμῖν δὲ ἀσφαλὲς τὸ φοβεῖσθαι, μὴ καταφρονηταὶ τῶν μαρτυρίων τοῦ Θεοῦ γενόμενοι, ὑπόδικοι αὐτῷ ληφθείητε ἐν ἡμέρᾳ ἐπισκοπῆς. Οὐ γὰρ ἡμέτερόν τι, οὐδὲ ἀπὸ τῆς ἡμετέρας κοιλίας, εἴτ' οὖν διανοίας

10 Psal. xxxv, 7. [11] II Reg. vi et xii. [12] Matth. ii, 3.

ἀπαγγέλλουμεν, ἀλλ' ὅσα τοῦ θείου νάματος τῆς A Θεοπνεύστου Γραφῆς ἠρυσάμεθα, ταῦτα δὲ οὐδένα ὑποστελλόμενοι, οὐδὲ ἡμέρας, τοῦτο δὴ τὸ τοῦ ἱερωτάτου Δαβίδ, φοβούμενοι, φθεγγόμεθα πρὸς ὑμᾶς. Συνιέντες μὲν οὖν ὑμεῖς καὶ οὖς φιλήκοον τῷ λόγῳ τῆς διδαχῆς ὑπέχοντες, ἑαυτοῖς μὲν σωτηρίας, χαρᾶς δὲ τοῖς ἐν οὐρανῷ ἀγγέλοις, πολλῆς δὲ καὶ τῷ ἐμῷ πνεύματι εὐφροσύνης, αἴτιοι ἔσεσθε. Εἰ δὲ καὶ τῶν ἐμῶν εἴητε καταῤῥᾳθυμοῦντες λόγων, καὶ ἄβατα τῇ διδαχῇ τα τῆς καρδίας ὦτα τιθέντες (ὅπερ ἀπείη) ἀνιαθήσεται μὲν τὸ Πνεῦμα τὸ ἅγιον, ἀνιαθήσεται δὲ καὶ τὸ ἐμὸν πνεῦμα· τὸ δὲ λειπόμενον, λυπηρὸν μὲν εἰπεῖν, φιλαληθὲς δὲ, ἐμὲ μὲν εἰς ὄχλον ὑμῖν εἶναι, ἢ τό γε τρανέστερον, εἰς κρῖμα ὑμέτερον, ὑμᾶς δὲ μοι εἰς ἄλγημα (φεῦ!) καὶ πένθος ψυχῆς ἄφατον καὶ ἀνίατον.

eo rei reprehendamini in die visitationis. Nihil enim nostrum, neque ex nostro ventre seu cogitatione annuntiabimus, sed quæ hausimus ex divino fluente Scripturæ divinitus inspiratæ. Hæc autem, neminem reverentes, neque dies, ut hoc dicam divini Davidis [13], timentes, ad vos loquemur. Si vos ergo intelligatis, et aures attentas verbo doctrinæ præbeatis, vobis quidem ipsis salutis, gaudii vero, qui sunt in cœlis, magnæ autem meo quoque spiritui causæ eritis lætitiæ. Sin autem mea verba neglexeritis, et doctrinæ non patuerint aures cordis vestri, quod absit, molestia quidem afficietur Spiritus sanctus, molestia afficietur meus quoque spiritus. Quod autem restat, auditu quidem est molestum, sed tamen est verum, nempe me B quidem futurum vobis ad conturbationem, aut, ut mihi, proh dolor! ad luctum et animæ dolorem apertius dicam, ad condemnationem: vos vero ineffabilem et immedicabilem.

ΙΖ'. Πρὸς ταῦτα τὸν βασιλέα καὶ τοὺς περὶ αὐτὸν ἡσθέντας, καὶ τῷ μαρτυρίῳ τῆς συνειδήσεως, ὅτι καλῶς εἶχε τὰ λεχθέντα, περιχαρμένους ὑπάρχοντας, πολλὴν ὁμολογεῖν τῷ Θεῷ χάριν, ὡς ὑπὸ πατρὶ τοιούτῳ καὶ παιδευνῇ τὸ λογικὸν αὐτοῦ ηὐδόκησε ποιμαίνεσθαι ποίμνιον. Ἔτι δὲ τοῦ ἁγίου τὴν ἡδίστην συνείροντος διδαχὴν, καὶ τῇ χρυσῇ γλώττῃ καὶ μουσικῇ καλόν τι καὶ ᾠδικὸν τερετίζοντος, τοῦ Θεοῦ δοξάζειν τὸν αὐτοῦ θεράποντα βουλομένου, ἀνήρ τις ἀθρόον ἀκαθάρτῳ δαίμονι κάτοχος εἰς μέσον τῆς ἐκκλησίας ἑαυτὸν εἰσωθεῖ, ἀφρόν τε τοῦ στόματος ἀποῤῥέων, καὶ τὴν γλῶτταν, ὡς ἄκοσμον ἰδεῖν, καθιείς. Πάντων οὖν δεομένων τῆς ἁγίας ἐκείνης ψυχῆς ἴασιν τοῦ πάσχοντος ὑπερεύξασθαι, αὐτὸς ἐγγυτέρῳ γενέσθαι τοῦτον εἰπὼν, φιλανθρώπως τε C προσχὼν ὁ φιλάνθρωπος, καὶ τῇ χειρὶ σφραγίσας τὸ ὄνομά τε τῆς ἁγίας ἐπειπὼν Τριάδος, τῷ πονηρῷ δαίμονι ἐξελθεῖν ἐγκελεύεται· καὶ εὐθὺς συνεπόμενον ἦν ἰδεῖν τῷ λόγῳ τὸ ἔργον, καὶ τὸν ἄνθρωπον ἐν ἀκαρεῖ χρόνου τῆς ἀνηκέστου ταύτης ἀπαλλαγέντα κακώσεως. Εἶτα διαναστήσας αὐτὸν ὁ μέγας, σχολάζειν τε τῇ ἐκκλησίᾳ παρῄνει καὶ τῇ θείᾳ τῶν ἁγιασμάτων κοινωνίᾳ, νηστείαις τε προσέχειν καὶ προσευχαῖς. Καὶ οὕτω, φησὶ, ποιῶν οὐκέτι τῷ ἐχθρῷ ληπτὸς ἔσῃ, οὐδὲ ταῖς αὐτοῦ πάγαις ἁλώσιμος. Ἐντεῦθεν ἄρχεται τῆς κατὰ ψυχὴν ἰατρείας ὁ τῇ τέχνῃ ταύτῃ τοὺς ἄλλους πολλῷ τῷ μέσῳ παρενεγκών. Τὸν δὲ λόγον κιρνῶν μέλιτι καὶ τοῖς ἠπιωτέροις φαρμάκοις, ὡς ἤδη φθάσαντες ἔφημεν, εἴπου τι καὶ τοῦ πικροῦ καὶ στύφοντος κατὰ χρείαν τοῦ D ἀῤῥωστήματος ἐμβάλοι, ἐνταῦθα τῆς τέχνης αὐτῷ τὸ περιὸν καὶ σοφώτατον, ὅτι καὶ δάκνων οὕτω πολλάκις καὶ τομὴν ἐμποιῶν ὁ λόγος καὶ διακαίων τὰ μὴ φαινόμενα, οὐχ ὅπως λυπηρὸς οὐ γίνεται τῷ νοσοῦντι καὶ δυσπαράδεκτος, ἀλλὰ καὶ ἡδύς ἐστι μᾶλλον ἀκοῦσαι καὶ μελιχρὸς, καὶ θέλκτρον ταῖς ἀκοαῖς ἄμαχον.

XVII. His læti imperator, et qui cum eo erant, et testimonio conscientiæ credentes, quod quæ dicta fuerant, recta se habebant, Deo magnas agebant gratias, quod a tali patre et pastore ei placuisset passi suum gregem rationis participem. Sancto autem adhuc suavissimam contexente doctrinam, aureaque ac musica lingua canente pulchre ac modulate, Deo volente ipsum glorificare, vir quidam repente possessus a maligno spiritu, seipsum intrudit in mediam ecclesiam, spumam ore emittens, et lingua adeo, ut visu esset tetrum, demittens. Omnibus ergo rogantibus sanctam illam animam, ut misereretur calamitatis, et ut oraret pro curatione ejus, qui patiebatur, ipse cum jussisset propius accedere, et benigne appropinquans vir benignus, manu eum obsignasset, et effatus esset nomen sanctæ Trinitatis, malignum dæmonem jubet egredi. Protinus autem licuit videre factum consequi orationem, et hominem momento temporis fuisse liberatum a tam gravi afflictione. Deinde cum magnus eum fecisset surgere, admonuit ut vacaret ecclesiæ, et sanctificatorum divinæ communioni, et operam daret jejuniis et orationibus. Si enim, inquit, sic feceris, non te amplius capere poterit inimicus, neque ejus irretieris laqueis. Hinc animæ incipit curationem, qui hac arte alios longe antecellebat. Melle autem miscens orationem, et mitioribus medicamentis, ut jam ante diximus, si quid aliquando injecisset amari et pungentis, quod morbi usus ita postularet, tunc ostendebat quantum esset artis peritus. Nam sic sæpe mordens et incidens oratio, et urens ea, quæ non apparent, non modo non fit molesta ei, qui ægrotat, sed etiam auditu potius jucunda et suavis, auresque deliniens et demulcens.

ΙΗ'. Πρῶτον τοίνυν, κατὰ τῶν προφάσει συγγενείας τὰς συνεισάκτους παρεισαγόντων, τὴν εὐθη-

XVIII. Primum ergo adversus eos, qui prætextu cognationis mulieres introducebant, acutam et

[13] Psal. XLVIII, 6.

musicam movet linguam, et ostendit eos longe gravius peccare, quam eos, qui aperte exercent quæ sunt flagitiosa: quandoquidem illi quidem soli et per se sunt impudici, et suam corrumpunt animam : hi autem, qui in clero versantur, totum corpus corrumpunt Ecclesiæ, verberantes, ut dicit Paulus [14], eorum conscientiam, et se præbentes commune monimentum intemperantiæ. Sed vel absque his, quantum illi damnum afferant cohabitatione harum quæ introducuntur, mulierum, recte sciet, qui eam orationem legerit ut oportet. Deinde adversus injustam plura habendi cupiditatem, et eos qui gravem manum immittunt alienis, et effundunt in dolia, ut dicitur, inexplebilia, gravius invehitur : plane majorem curam gerens eorum qui faciunt injuriam, quam eorum qui patiuntur : quandoquidem illis quidem damnum affertur in aliquo eorum quæ intereunt: ipsis autem, qui faciunt injuriam, in anima quæ est puniendi immortaliter. Deinceps vitam reprehendit prodigorum, qui in mensis, in ædificiis, in tali fastu, et in talibus deliciis gloriantur, et ut vulgo dicitur, seipsos melle aspergunt. Nunc accusat superbiam, nunc vanam gloriam insectatur: nunc expellit calumniam, tanquam dignam quæ vituperetur. Vaniloquium rursus tollit de medio pro viribus. Perjurium adeo prohibet, ut non solum jurare, etiamsi vere, dimiserit absque reprehensione, sed etiam adversus id multas easque præclaras habuerit orationes, ita elaboratas, ut mistæ essent vero et probabili : et ita studuerit id de medio auferre, tanquam manifestam in Deum contumeliam, et omnibus ineffabilis et venerandi nominis coinquinationem.

XIX. Quomodo enim præstantissimus et diligentissimus quispiam agricola, qui vult de virtute seminare orationes, statuit prius oportere exscindere radices vitii et semina maligni, et nihil dimittere eorum, quæ possent omnino lædere aut offendere. Deinde cum terra sic fuerit complanata et mansuefacta, quod quidem est humanarum animarum, virtutis et philosophiæ deponere semina. Post hæc de eleemosyna orationes, tanquam imbres aliquos opportunos effundit in animas hominum, et usque adeo colit benignitatem, ut multorum quidem dexteram promptam reddiderit et alacrem ad succurrendum pauperibus, quæ prius erat parca et illiberalis, ne dicam avida et rapiendi aliena : et alios quidem effecerit esse munificos et sua lubenter communicantes, ex pleno, ut dicitur, in inane utrisque effundentes manibus : alios autem præferre nihil habere, et cum omnes suas divitias pauperibus magnifice pieque divisissent, vitam monasticam et separatam eligere. Ex quo omnia habere alio modo ad eos rediit, ut qui Deo pro omnibus iis ditati fuerint, a quo dependebat tota spes eorum vitæ, et ad quem

[14] I Cor. VIII, 12.

A κτόν τε καὶ μουσικὴν γλῶτταν κινεῖ, καὶ δείκνυσιν αὐτοὺς πολλῷ χαλεπώτερον πλημμελοῦντας τῶν αὐτοῖς ἔργοις μετιόντων τὰ φαῦλα · ὅσον ἐκεῖνοι μὲν μόνοι καὶ καθ' ἑαυτοὺς ἀσελγαίνουσι καὶ ψυχὴν λυμαίνονται τὴν ἰδίαν, οἱ δὲ μεταξὺ τοῦ κλήρου τὰς διατριβὰς ἔχοντες, ὅλον ὑποφθείρουσι τὸ σῶμα τῆς Ἐκκλησίας, τύπτοντες αὐτῶν τὴν συνείδησιν, κατὰ τὸν θεῖον εἰπεῖν Ἀπόστολον, καὶ κοινὸν ὄντες ἀκολασίας ὑπόμνημα. Ἀλλὰ καὶ χωρὶς τούτων, ὅσην αὐτοὶ προστρίβονται βλάβην, ἐκ τοῦδε τοῦ τῶν συνεισάκτων συνοικισμοῦ, ὁ τὸν λόγον ἐκεῖνον μετιὼν ἀκριβῶς εἴσεται. Εἶτα κατὰ τῆς πλεονεξίας, καὶ τῶν χεῖρα βαρεῖαν τοῖς ἀλλοτρίοις ἐπιβαλλόντων, καὶ εἰς τοὺς ἀπλήστους (ὃ δὴ λέγεται) πίθους ἀντλούντων, ἐμβριθέστερον ἀγωνίζεται, τῶν ἀδικούντων B μᾶλλον κηδόμενος, ἢ τῶν ἀδικουμένων · ὅσον ἐκείνοις μὲν περὶ ἕν τι τῶν φθειρομένων ἡ βλάβη, αὐτοῖς δὲ τοῖς τὴν ἀδικίαν ἐργαζομένοις περὶ ψυχὴν τὴν ἀθάνατα κολασθησομένην. Ἐφεξῆς τὸν τῶν ἀσώτων διαβάλλει βίον, τοὺς περὶ τὰς τραπέζας φημὶ, τοὺς περὶ τὰς οἰκοδομὰς, τοὺς περὶ τὴν τοιαύτην ὕβριν καὶ μαλακίαν ἐγκαλλωπιζομένους, καὶ τὸ ᾀδόμενον, μέλιτι καταπάττοντας ἑαυτούς. Νῦν ἀλαζονείας κατηγορεῖ, νῦν τῆς κενῆς κατατρέχει δόξης, ἄρτι διαβολὴν ὡς διαβολῆς ἀξίαν ἀποσοβεῖ, ἀργολογίαν εἰς δύναμιν ἀναιρεῖ, ἐπιορκίαν οὕτως ἀπείργει, ὡς μηδὲ τὸ ἁπλῶς ὀμνύναι καὶ φιλαλήθως ἀνεπιτίμητον παρεῖν · ἀλλὰ πολλοὺς κατ' αὐτοῦ καὶ καλοὺς διακελαδῆσαι λόγους ἐν μίξει τοῦ ἀληθοῦς τε καὶ πιθανοῦ μεμουσουργημένους, καὶ οὕτως ἀνελεῖν σπουδάσαι, C ὡς φανερὰν εἰς Θεὸν ὕβριν, καὶ τοῦ φοβεροῦ πᾶσιν ὀνόματος καὶ φρικτοῦ κοίνωσιν.

ΙΘʹ. Ὡς γὰρ ἄριστός τις καὶ φιλοπονώτατος γεωργὸς τοὺς περὶ ἀρετῆς βουλόμενος κατασπεῖραι λόγους, ἔγνω πρότερον δεῖν τὰς τῆς κακίας ῥίζας καὶ τὰ τοῦ πονηροῦ σπέρματα ἀνελεῖν, εἶθ' οὕτως ὁμαλῶς αὐτῷ καὶ ἡμέρως τῆς γῆς ἐχούσης, ὅπερ ἐστὶ τῶν ἀνθρωπίνων ψυχῶν, τὰ τῆς ἀρετῆς καὶ φιλοσοφίας καταθέσθαι φυτά. Μετὰ ταῦτα γοῦν τοὺς περὶ ἐλεημοσύνης λόγους, οἷα τινας ὑετοὺς εὐκαίρους τῶν ἀνθρωπίνων καταχέει ψυχῶν, καὶ γεωργεῖ τὸ φιλόπτωχον εἰς τοσοῦτον, ὡς πολλοῖς μὲν τὴν δεξιὰν ὀργῶσαν θεῖναι, μὴ θερμοτάτην τοῖς πένησι, τὴν προτοῦ μικρολόγον οὖσαν καὶ φειδωλὸν (ἵνα μὴ λέγω καὶ λιχνοτέραν πρὸς τὸ λαβεῖν D τὰ ἀλλότρια) καὶ τοὺς μὲν μεγαλοψύχους εἶναι παρασκευάσαι καὶ κοινωνικοὺς, ἐκ τῆς πληρεστέρας, ὅ φασιν, εἰς τὴν κενοτέραν ἀμφοτέραις ἀντλοῦντας · ἐνίοτε δὲ τὸ μηδὲν ἔχειν προτιμῆσαι, καὶ τοῦ πλούτου παντὸς τοῖς πένησι φιλοτίμως παραχωρήσαντας τὸν μονήρη βίον ἀνθελέσθαι καὶ ἰδιάζοντα, ἐξ οὗ τὸ πάντα ἔχειν αὐτοῖς περιγέγονε Θεὸν ἀντὶ πάντων πεπλουτηκόσιν, οὗ τὰς τῆς ζωῆς ἐλπίδας ἀνήρτησαν, καὶ πρὸς ὃν μόνον ἔγνωσαν ἀφορᾷν, ἀφ' οὗ πλούτῳ προσέχειν, καὶ

πᾶσι τοῖς ὑλικοῖς ἀπείπαντο. Ταπεινοφροσύνην δὲ καὶ τὸ μέτριον οὕτως ἦρε, καὶ τοσαύτην ἔδειξεν αὐτῆς τὴν ὑπεροχὴν, ὡς μηδεμίαν ἄλλην τῶν ἀρετῶν αὐτῇ παραβάλλεσθαι, ἀλλὰ καὶ μητέρα καὶ φύλακα τῶν ἄλλων εἶναι πασῶν· οὐ μὴν ἀλλὰ καὶ χωρὶς ἐκείνης ἁπάσας οὐδὲν ἐχέγγυον σώζειν, οὐδ' ἀσφαλὲς ἀλλὰ πόνον (φεῦ) εἶναι μάταιον καὶ κενόν Σωφροσύνην δὲ καὶ παρθενίαν τις οὕτω τετίμηκεν, ἢ πρὸς ταύτην ἠρέθισεν, ὡς μικροῦ καὶ κρείττω καὶ ὑψηλοτέραν αὐτὴν δεῖξαι, ἢ ὥστε καὶ βάσιμον εἶναι φύσει τῇ ἀνθρωπίνῃ, καὶ ὑπὲρ αὐτὸν κεῖσθαι τὸν νόμον, ἐν τάξει τε φιλοτιμίας εἶναι μᾶλλον, ἢ ἐντολῆς; Ἀγάπην δὲ τὴν βασιλικωτάτην τῶν ἀρετῶν τίς πλέον ἠγάπησεν ἢ ἐξύμνησεν, ὡς ἐπ' ἀμφιβόλῳ κεῖσθαι, πότερα τοὺς ἐπαίνους πλείους ὑπάρχειν, ἢ τοὺς πρὸς αὐτὴν ἔρωτας; Τίς γὰρ οὕτως αὐτόχρημα λίθος, καὶ τὴν καρδίαν ἀκίνητος, ὡς εἰπεῖν, ἢ ἀτίθασσος, ὡς μὴ τοὺς ὑπὲρ αὐτῆς λόγους ἀκούων ἤπιος τε καὶ ἱλαρὸς τὴν ψυχὴν γενέσθαι, καὶ πρὸς τὴν τοῦ πλησίον διαθερμανθῆναι φιλίαν, τῆς Παύλου τε ψυχῆς ἐκμαγεῖον εἶναι νομίσαι τὴν ἐκείνου ψυχήν; Εἰ δὲ καὶ τὴν τῶν ἐκεῖθεν ἀγαθῶν ἔκπτωσιν ὁ Παῦλος κατηύξατο ἑαυτοῦ, καὶ φανερὸς γέγονε τοῦτο μᾶλλον αἱρούμενος, ἢ τοὺς ἐξ Ἰσραὴλ ἀπίστους ἔξω τῆς τοῦ Χριστοῦ κεῖσθαι μερίδος, καὶ τὴν καρδίαν ἐν τοῖς τῶν ἄλλων ἐπυροῦτο σκανδάλοις, ἀλλὰ καὶ αὐτὸς οὐδὲν ἧττον πέφλεκτο τὰ σπλάγχνα τῇ περὶ τὸν πλησίον στοργῇ, καὶ τῆς τῶν πιστῶν περιεκέκαυτο σωτηρίας, εἰ τῷ πιστεύειν ἄξιος αὐτὸς ἐκεῖνος, οὑτωσὶ λέγων ἐν τῷ ἠθικῷ τῆς ἐν ταῖς Πράξεσι τεσσαρακοστῆς τετάρτης ὁμιλίας· Ἐβουλόμην, εἰ οἷόν τε, ὄψει αὐτῇ τὴν ἀγάπην, ἣν περὶ ὑμᾶς ἔχω, ἐπιδείξασθαι. Οὐδὲν γὰρ ἐμοὶ ποθεινότερον ὑμῶν, οὐδὲ τοῦτο τὸ φῶς. Μυριάκις γὰρ ηὐξάμην, καὶ τὰ ἑξῆς.

A solum dilexerunt intueri : ex quo factum est, ut cor divitiis non apponerent, neque omnibus rebus materialibus. Humilitatem autem et moderationem adeo extulit, et tantam ejus esse ostendit in humili excellentiam, ut nulla alia virtus possit cum ea conferri, sed ea sit mater et custos aliarum omnium : imo vero sine qua aliæ nihil habent, quod sit certum et fide dignum : sed sint, proh dolor, vanus quidam labor et inanis. Temperantiam autem et vere pulchram virginitatem quis sic vel amavit, vel alios qui sunt honestiores, magnique et excelsi animi, ad ejus insignem incitavit pulchritudinem, ut eam propemodum ostenderit esse majorem et sublimiorem, quam ut ad eam possit humana natura pervenire, et superare ipsam le-

B gem : liberalitatisque et magnificentiæ potius locum tenere, quam præcepti? Charitatem vero, quæ est omnium virtutum maxime regia, quis illo magis amavit aut laudavit, ut dubitetur majorne fuerit laudatio, an ejus in eam amor? Quis est enim adeo plane lapis aut ferro in corde frigidior, ut audiens ejus de illa orationes, non fiat mitis et hilaris, et ad dilectionem proximi excitetur, et non Pauli expressam effigiem putet esse illius animam? Quod si Paulus optavit [15], ut vel a bonis quæ illic sunt, excideret : et aperte ostendit, se hoc magis velle, quam eos qui sunt ex Israel, esse extra partem Christi: et ei cor omnino urebatur aliorum offensionibus : ipse quoque Joannes nihilominus inflammabatur amore in proximum, et fratrum

C salutis ardebat desiderio, si illi ipsi est credendum, in morali 24 in Actus homilia sic dicenti: Vellem, si fieri posset, vestris oculis ostendere, quam in vos habeo charitatem. Nihil est enim mihi vobis jucundius et desiderabilius, ne hæc ipsa quidem lux. Millies enim optarem ipse esse cæcus, si per hoc liceret vestras animas convertere. Adeo ipsa luce mihi est vestra salus jucundior. Quid enim me juvant solares radii, quando, quæ propter vos accipitur, animi ægritudo oculis meis magnas offundit tenebras? Lux enim tunc est bona, quando apparet in lætitia. Animam enim, quæ mœrore est affecta, videtur etiam molestia afficere. Quod autem non mentiar, absit quidem, ut unquam faciam periculum. Sed si quando contigerit ex vobis peccare aliquem, accedite ad me dormientem: si non sum similis paralyticis: si non iis qui a se discesserunt: et ut dicam cum propheta [16]: «Et lumen oculorum meorum, et ipsum non est mecum : » et nisi judicaret quispiam, me esse supra modum ambitiosum et laudis cupidum, videres me quotidie fontes lacrymarum emittentem : horum autem est mihi conscia domuncula et solitudo. Credite enim mihi, spem quidem abjeci meæ salutis : dum vero vestra defleo, nunquam est mihi otium mea mala deflendi. Adeo mihi omnia vos estis. Si sensero vos proficere, præ gaudio mea mala non sentio. Si videro non proficere, præ animi ægritudine rursus mea dimitto : ut qui lætus sim vestris bonis, etsi mala habeam innumerabilia: tristis autem propter vestra mala, etiamsi innumerabilia sint mihi recte facta. Quænam enim nobis est spes, si vos non proficiatis? Quænam autem tristitia, si vos recte geratis? In altum extolli videor, quando aliquid boni de vobis audivero. Implete gaudium meum: liceat vobis salutem asse-

D qui, me autem propter vos reddere rationem : vobis dari salutem, me vero accusari, quod meum munus non impleverim. Non enim curo, ut per me salvi sitis, sed ut solum salvi sitis, quacunque ratione. Hoc solum in votum contuli, quod vestrum profectum desidero, quod vos amo, quod vos complector, quod vos estis mihi omnia, et pater, et mater, et fratres, et filii : et si liceret cor nostrum rumpere, et vobis omnibus ostendere, videretis in magna latitudine intus esse et uxores et filios et maritos. Ejusmodi enim est virtus charitatis, facitque animam vel cœlo ipso latiorem.

15 Rom. ix, 3; II Cor. i, 6. 16 Psal. xxxvii, 11.

XX. Hæc autem non solum faciebat in urbe regia, neque eos solos exercebat ad virtutem, sed per omnem terram extendebatur, et illi curæ erant omnes ecclesiæ, ejusque curæ unus finis erant terræ termini. Joanni enim curæ non erant mensæ et epulæ, agrosque possidere, et crumenas replere, et si quid est aliud, quorum studio vulgus tenetur, sed hoc erat ei cura, quæ exstingui non poterat, et ossium tinea œstrumque, quod ejus cor subibat, perpetuum ejus bellum adversus hostem nostrum, et ut suis ad nos orationibus, et frequentibus admonitionibus arceret ejus insidias, et insultus prohiberet, et quantum quidem ad ipsum spectaret, nullum sineret ex vocatis, non ex iis, qui tunc erant, non ex iis, qui postea, excidere a sorte electorum, et esse partis sinistræ. Propter hæc sermones perpetuo habebat et docebat, et nunquam cessabat diserta illa et modulata lingua nostras incantare animas. Propterea sunt pulchræ illæ verborum Sirenes, innumerabilium illud mare bonorum, animarum lautissimæ, quæ consumi minime possunt, epulæ, panis angelorum, mensæ totius orbis. Quod si ii, qui alimentorum sensilium curam gesserunt, quæ possunt longo tempore sufficere egentibus, quæ appellare solent Gerontocomia, ipsi exsistimant se opus fecisse laude dignum, et ita reputantur ab aliis: qui hoc diuturnum et permanens nutrimentum, suavissimas, inquam, orationes, assidue suppeditabat, ut non solum cum esset superstes, sed etiam cum sursum esset translatus, sitientes impleret animas, et inevitabilia per ipsas solveret vincula, et a manu tyranni captivas liberaret animas, et iis, qui salvi fiebant magnam afferret accessionem: qui hæc abunde præbebat et liberaliter et in universum tempus hoc donum extendebat, quamnam potuerit assequi linguam, quæ ei dignam contexat laudationem? Imo vero quasnam et quot linguas? Sed tali quidem anima et lingua ne ipse quidem est dignus mundus, ut dicam cum divino Paulo [17]. Quod autem non ii soli, qui habitabant Constantinopolim, illi essent curæ, sed omnes fere, quos sol intuetur, hinc potes intelligere. Cum intellexisset Phœniciam simulacris adhuc et dæmonibus et sceleratis templis esse deditam, regiam manum habens adjutricem, et magnam aliam manum, cui persuaserat, ut in id quod oportebat impenderent, secum ducens, exsecranda quidem illa templa humi evertit: eorum autem loco sacras ædes excitat, et immittit monachos, qui ferventem zelum quodammodo spirabant, et fidem tenebant optime et accuratissime. Præterea cum audiisset Celtas implicatos esse laqueis arianismi, ille adversus improbitatem contra sic machinatur: presbyteros simul et diaconos, et eos, qui divinos libros legunt, qui similem quidem et cognatam habebant linguam, sana autem erant fide, accipiens, et eos veluti quemdam, ut aiunt, magnetem

A K′. Ταῦτα δὲ οὐκ ἐν μόνῃ τῇ βασιλίδι τῶν πόλεων ὑπῆρχε ποιῶν, οὐδὲ τούτους μόνους ἤσκει πρὸς ἀρετήν, ἀλλὰ καὶ πανταχοῦ γῆς ἐξετείνετο, καὶ τῶν ἐκκλησιῶν ἔμελλε τούτῳ πασῶν, καὶ ὅρος ἦν αὐτῷ τῆς φροντίδος, τὰ τῆς γῆς περατα. Οὐδὲν γὰρ ἐκείνῳ μέλον τράπεζαι καὶ φιλοτησίαι, καὶ ἀγρῶν κτήσεις, καὶ βαλαντίων ἀδρότητες, καὶ εἴ τι ἕτερον, τῶν τοῖς πολλοῖς ἐκθύμως σπουδαζομένων, ἀλλὰ τοῦτο ἦν αὐτῷ τὸ διὰ πάσης ἀγόμενον τῆς φροντίδος, καὶ ὀστέων σὴς, καὶ μύωψ εἰς καρδίαν παραδυόμενος, καὶ φλογμὸς ἄσβεστος, ὑφ' οὗ νύκτα καὶ μεθ' ἡμέραν ἐπίμπρατο τὴν ψυχὴν, ὁ πρὸς τὸν τοῦ ἐχθροῦ καθ' ἡμῶν πόλεμον ἄπαυστος αὐτοῦ πόλεμος, καὶ ἵνα τοῖς πρὸς ἡμᾶς λόγοις καὶ ταῖς πυκναῖς παραινέσεσιν εἴργειν αὐτῷ τὰς ἐπιβουλὰς ἔχῃ, καὶ
B διωθῆναι τὴν ἔφοδον, καὶ, τό γε εἰς αὐτὸν ἧκον, μηδένα τῶν κλητῶν μὴ τῶν τότε, μὴ τῶν εἰς ὕστερον, ἔξω τοῦ τῶν ἐκλεκτῶν κλήρου ἐάσῃ πεσεῖν, καὶ τῆς ἀριστερᾶς γενέσθαι μερίδος. Διὰ ταῦτα αἱ συνεχεῖς αὐτῷ ὁμιλίαι καὶ διδαχαὶ, καὶ τὸ μηδέποτε λήγειν τὴν εὔλαλον ἐκείνην γλῶτταν καὶ ᾠδικὴν τῶν ἡμετέρων ψυχῶν κατᾴδουσαν. Διὰ ταῦτα αἱ πολλαὶ τῶν λόγων Σειρῆνες, ὁ τῶν ἀγαθῶν σωρὸς, ἡ τῶν θησαυρῶν θάλασσα, αἱ τῶν ψυχῶν ἀδάπανοι πανδαισίαι, ὁ τῶν ἀγγέλων ἄρτος, αἱ οἰκουμενικαὶ τράπεζαι. Εἰ δὲ καὶ οἱ τροφῶν πρόνοιαν αἰσθητῶν, τῶν ἐπὶ πολὺ τοῦ χρόνου διαρκεῖν δυναμένων ἐνδεέσι καὶ πενομένοις, ἐν σπουδῇ θέμενοι, ἃ δὴ καὶ γηροκομεῖα καλεῖν ἔθος, ἀξιέπαινον ἔργον καὶ ἐλπίδων ἀγαθῶν ἔμπλεων πεποιηκότες εἰσίν· ὁ τὴν τροφὴν ταύτην
C τὴν διαρκῆ καὶ ἀδάπανον, τοὺς λόγους φημὶ τοὺς ἡδίστους, ἑκάστοτε χορηγῶν, τὴν ἄψευστον ἀμβροσίαν, τὸ ἀληθὲς νέκταρ, οἷς ψυχαὶ πεινῶσαι διαπαντὸς τρέφονται καὶ κατάρδονται, καὶ γῇ οὖσαι καὶ ξηρὰ καὶ ἄνικμος, καρποφόροι Θεῷ διὰ μετανοίας καθίστανται, ὁ ταύτης τοιγαροῦν τῆς τροφῆς πρύτανις, ὁ μὴ περιὼν μόνον, ἀλλὰ καὶ νῦν μετὰ τέλος πολλοὺς τῶν πεφορτισμένων ἀνιεὶς, καὶ τραύματα ψυχῶν θεραπεύων, καὶ λύων αἰχμαλώτους τῆς τυραννούσης χειρὸς, καὶ πολλὴν προσθήκην τοῖς σωζομένοις διδοὺς, ἡ ταῦτα διηνεκῶς ἀνύουσα γλῶττα, τίνος ἂν τύχοι γλώττης ἄξιον αὐτῇ πλεκούσης τὸν ἔπαινον; μᾶλλον δὲ ποίων ἄρα καὶ πόσων γλωσσῶν; ἀλλ' οὕτω μὲν τῆς τοιᾶσδε καὶ ψυχῆς καὶ γλώσσης οὐδ' αὐτὸς ἄξιος ὁ κόσμος, κατὰ τὸν θεῖον εἰπεῖν
D Ἀπόστολον. Ὅτι δὲ οὐχ οἱ τὴν Κωνσταντίνου μόνον οἰκοῦντες ἐκείνῳ φροντὶς, ἀλλὰ σχεδὸν πάντες, οὓς ὁ ἥλιος ἐφορᾷ· τὴν Φοινίκην μαθὼν εἰδώλοις ἔτι καὶ δαίμοσι καὶ μιαροῖς ναοῖς προσανέχουσαν, ἐπίκουρον τὴν βασιλικὴν δύναμιν προσλαβὼν, καὶ χεῖρα συχνὴν ἣν αὐτὸς ἔπεισεν ἀναλίσκειν, εἰς δέον συνεφαπτομένην λαβὼν, τοὺς μὲν μιαροὺς ἐκείνους ναοὺς εἰς ἔδαφος καταβάλλει, ἱεροὺς δὲ ἀντανίστησι, καὶ μοναχοὺς ἐπιπέμπει θερμὸν τῷ ζήλῳ πνέοντας, καὶ τὴν πίστιν ἄριστα διηκριβωμένους. Πρὸς δὲ καὶ Κελτοὺς ἀκούσας τῆς Ἀρειανικῆς εἴσω θήρας κειμένους, οὕτως ἀντιτεχνᾶται τῇ πονηρίᾳ, πρεσβυτέρους

[17] Hebr. II, 38.

ἅμα καὶ διακόνους καὶ τοὺς τὰ θείας ὑπαναγινώσκοντας βίβλους, τὰ μὲν τῆς γλώττης ὁμοίως καὶ συγγενῶς ἔχοντας, ὑγιαίνοντας δὲ τὴν πίστιν λαβὼν, καὶ αὐτοὺς συμμεμίχθαι τούτοις παρασκευάσας, ἀστείως οὕτω καὶ τεχνικῶς πρὸς τὴν ὑγιᾶ πίστιν αὐτοὺς ἐπάγεται. Ὡς δὲ [Ἴσ. Ὃς δὲ] καὶ Σκυθῶν ἄλλο γένος μαθὼν, οἳ παρὰ τὰς τοῦ Ἴστρου ῥοὰς οἰκοῦντές εἰσι, διψῆν μὲν τοῦ τῆς εὐσεβείας νάματος, τοῦ δὲ ποτίσοντος ἀπορεῖν, γνώριμα Λεοντίῳ ταῦτα τῷ τῆς Ἀγκύρας ἐπισκόπῳ ποιεῖ. Καὶ ἐπεὶ ἐκεῖνος ἀνδρῶν εὐπορῶν ἦν τῶν πρὸς ταῦτα ἐπιτηδείων, τοιούτους ἐκεῖθεν λαβὼν, καὶ οἷς ἔφημεν ἐπιπέμψας Σκύθαις, ὁδηγεῖ πρὸς ἀλήθειαν. Πρὸς τούτοις τὴν Μαρκίωνος αἵρεσιν εἴς τινας τῶν τῆς Ἀνατολῆς κωμῶν μαθὼν ὑφέρπουσαν, καὶ συχνοὺς ὑποκλέπτουσαν, οὐκ ἀνεκτῶς ἔσχεν, οὐδ' ἀναβολαῖς καὶ χρόνοις ἐπέτρεψε τὸ γιγνόμενον, ἀλλ' εὐθὺς βασιλικῇ δυνάμει καὶ τῇ παρ' ἑαυτοῦ χρησάμενος αὐθεντίᾳ, γράμμασί τε πρὸς τοῦτο τοὺς ἐκ γειτόνων ἐπισκόπους διαναστήσας, ὥς τινα φθορὰν καὶ νόσον οὐ τὰ μέτρια λυμαίνεσθαι δυναμένην, μακρὰν γενέσθαι τῆς Ἐκκλησίας παρασκευάζει. Ἀλλ' ὅπως μὲν αὐτῷ κατὰ Παῦλον ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν ἦν, μετρίως ἤδη δεδήλωται.

ΚΑ'. Δεῖ δὲ καὶ τῶν ἄλλων ἐπιμνησθῆναι, οἷς ἐκεῖνος, τῆς γλώττης αὐτῷ σιωπὴν ἐχούσης, ἠσχόλητο, καὶ οἵων ἔργων καὶ οἰκονομιῶν ἥπτετο. Τὰ τῆς Ἐκκλησίας ἐπισκεψάμενος ἀναλώματα, καὶ εὑρὼν οὐκ εἰς δέον πάμπολλα δαπανώμενα, ταύτην μὲν, ὥς τινα φορὰν ἄλογον, ἵστησι τὴν δαπάνην· μετοχετεύει δὲ πρὸς θεοφιλῆ τῷ ὄντι καὶ φιλάνθρωπον ἀφορμήν· καὶ νοσοκομεῖα τοῖς ξένοις ὁ τῷ Θεῷ ἐγγίζων οἰκοδομήσας, ἐκεῖ τὰ περιττὰ ῥέειν παρασκευάζει, πρεσβυτέρους τε ἐπιτάξας, καὶ αὐτοὺς τῶν ἄγαν εὐλαβῶν καὶ ἀζύγων, ἀλλὰ καὶ ἰατρῶν τοὺς δοκιμωτάτους εἰς τὴν τῶν ἀσθενῶν ἐπιμέλειαν. Ἕτερον ἔργον αὐτῷ καὶ φροντὶς ἥκιστα μετρία, τὸ τῶν χηρῶν τάγμα. Ἅσπερ δὴ κατιδὼν οὐ τεταγμένως, ἀλλὰ πλημμελῶς ἐχούσας, διαιρεῖ μὲν καλῶς, οἰκονομεῖ δὲ καὶ τὸ περὶ αὐτὰς φιλοθέως. Τούτων γὰρ ὅσαι καὶ φρεσὶν ἦσαν καὶ ἡλικίᾳ νεάζουσαι, καὶ διὰ τοῦτο καὶ πρὸς ἡδονὰς εὐπερίτρεπτοι, δευτέρῳ χρήσασθαι γάμῳ κελεύει, βέλτιον ἡγησάμενος τὸ ἐν τῷ ἀσφαλεῖ ταπεινότερον τοῦ μὴ χωρὶς φόβων ὑψηλοτέρου. Ταῖς μέντοι τὸν βίον σπουδαιοτέραις, καὶ ὅσαι τῶν ἄλλων ἀφηλικέστεραι καὶ μὴ ἔλαττον ἢ ἑξήκοντα ἔτη γεγονυῖαι, ταύταις δὴ νηστείαις μὲν σχολάζειν καὶ προσευχαῖς παραινεῖ, λουτρῶν δὲ ἀπέχεσθαι καὶ πότων, καὶ τῆς κατὰ τὴν ἐσθῆτα πολυτελείας. Οὐδὲ τοῦτο ἀκόσμητον καὶ τῆς κατὰ λόγον οἰκονομίας ἔρημον καταλείπει, ἀνδράσι λέγω καὶ γυναιξὶ τὰς εἰς τὴν ἱερὰν σύναξιν ἀπαντήσεις, ἀλλὰ διαιρεῖ κἀνταῦθα καλῶς, καὶ τοὺς μὲν νυκτὸς ὅτι πλείστους κελεύει φοιτᾷν, τὰς δὲ νυκτὸς μὲν οἰκουρεῖν, ἡμέρας δὲ κατὰ πολὺ τὸ πρόθυμον ἀπαντᾷν. Οὕτω ποιῶν καὶ ἔργοις ἑαυτὸν καὶ φροντίσι τοιαύταις ἐνασχολῶν, ἔσπευδε κατὰ

18 II Cor. II, 28.

iis, qui se non recte habebant, admiscens, sic illos quoque comiter attrahit ad pietatem. Cum autem aliud quoque genus Scytharum, qui habitabant ad fluenta Danubii, accepisset, sitire quidem fluentum pietatis, opus vero habere eo, qui esset potaturus, hæc significat Leontio Ancyræ episcopo : et quoniam ille opus habebat viris ad hæc idoneis, cum tales illinc accepisset, et ad eos, quos diximus, Scythas, veluti quasdam stellas misisset ad occidentales, dedūcit ad veritatem. Præter hæc cum Marcionis hæresim rescivisset serpere in quosdam vicos Orientis, et multos corrumpere, non tulit toleranter, neque dilationibus et temporibus protraxit correctionem, sed statim simul quidem regia potentia, simul autem sua quoque usus auctoritate, et litteris ad hoc simul vicinos excitans episcopos, tanquam morbum aliquem pestiferum, qui poterat non mediocre importare detrimentum, efficit abesse procul ab Ecclesia. Sed quemadmodum ille quidem, sicut divinus Paulus [18], erat sollicitus de omnibus Ecclesiis, sicut a nobis mediocriter, ita etiam vere fuit ostensum.

XXI. Oportet autem aliorum quoque meminisse, in quibus ille, lingua ejus tacente, erat occupatus, et quænam aggrediebatur opera. Cum considerasset impensas Ecclesiæ, et invenisset earum plurimas nequaquam consumi in ea, quæ oportebat, eum quidem sistit sumptum, tanquam modum quempiam inconsideratum, et traducit ad usum vere pium et humanum : et cum peregrinis ædificasset nosocomia is, qui Deo appropinquabat, effecit ut illuc etiam affluerent, quæ sunt necessaria : eis presbyteros præficiens valde pios et conjugii expertes, et medicos quoque probatissimos ad curam gerendam ægrotorum. Erat autem hoc quoque ejus opus et cura non mediocris, nempe ordo viduarum. Nam cum eas vidisset præclarus non recte et ordine, sed prave se gerere, pulchre quidem dividit, non minus autem pie dispensat et administrat id, quod ad eas pertinebat. Quæcunque enim ex iis erant ætate juvenes, et ideo propensæ ad voluptates, jubet secundis uti nuptiis : melius esse arbitratus id, quod est in tuto, humile, quam sublime, quod non est sine metu. Iis autem, quæ erant vitæ melioris, et ætatis aliis provectioris, ut quæ non essent natæ minus quam sexaginta annos, eis suadet ut vacent jejuniis et precibus: abstineant autem a lavacris et maxime conviviis, et a sumptuosis vestibus. Habes, studiose auditor, aliud quoque, cujus studio tenebatur, quod non est vile nec mediocre : nempe ad sacram synaxim adventum virorum et mulierum. Nam nec hoc quoque relinquit inordinatum, nec in periculum adductum, nec defectum dispensatione, quæ fit ex ratione. Sed hic quoque pulchre et tuto distribuit pro viribus : et viros

quidem jubet noctu simul ventitare et in multitudine, ut voluerint : mulieres vero noctu quidem servare domum : interdiu autem, venire prompto et alacri animo. Sic faciens, et in talibus versans operibus et sollicitudinibus, studebat, sicut Paulus esse omnibus sine offensione [19], et sicut ille omnibus sine sumptu præbebat Evangelium [20] : sic autem ipse quoque nullo ex iis quæ erant Ecclesiæ, et quibus secure licebat omnibus episcopis, nullo modo est usus, ut qui nunquam aspexerit ad delicias et recreationes. Quomodo enim, qui vix solum attingebat nutrimentum, convivia autem et compotationes ita fugiebat, sicut prius diximus, ut cum nullo vesci induceret in animum? Quamobrem? Satius enim fuerit dicere causam : visum est enim hoc multis asperum et ingratum, et affine reprehensioni. Primum quidem, quod cum ab ineunte ætate assuevisset jejunio, idque esset ei veluti coalitum et usitatum, a vinoque et quovis alio, quod est ventri gratum, omnino abstinuisset, adeo ut solo hordei succo viveret et carne superior, cibique et potus expers propemodum videretur : cum ille stomachum hac aspera et quæ nihil hilare habebat, vivendi ratione valde corrupisset, et effecisset ut ad nullum aliud sumendum nutrimentum esset idoneus, ægre poterat aliquid admittere ex iis, quæ aliis sunt grata. Et idoneo non lubenter aspiciebat aliquid, quod esset gratum gutturi et cum voluptate sumeretur. Atque hæc quidem est una causa, cur fugeret mensas, et cum aliis non iniret convivia. Deinde etiam, quod cum apud se judicasset, quod si induxisset in animum, ut communiter vesceretur cum iis, qui vel amicitia antecellunt aut dignitate, necesse habebit id etiam facere cum aliis. Nam quomodo conservari potuerit, ut nulli sit offensioni, neque cuiquam afferat molestiam? Sicque res ad multos transiens, non solum illi futura esset laboriosa et molesta, ut qui non esset versatus in rebus hujusmodi, sed etiam interruptura esset necessario et ea, quibus ipse vacare consueverat, orationem, inquam, et meditationem et rerum honestarum doctrinam : quibus adeo erat deditus, ut hoc sæpe parvum negligeret nutrimentum : tantum aberat, ut posset vacare mensis et aliis inutilibus et supervacaneis. Quamobrem satis apte poterat dicere illud Apostolicum: « Non licet nobis, relicto verbo Dei ministrare mensis [21] » Alioqui autem si visum ei esset hoc facere, necesse erat omnino, ut duorum alterum eveniret: nempe ut aut consueto alimento relicto, cogeretur vesci crassioribus et iis, quibus vescebantur convivæ : quod quidem non modo ei non conveniebat, sed nec omnino id facere poterat, cum male, ut diximus, esset ei affectus stomachus : aut si hoc fugeret, et tenui victu uteretur, iis qui convivabantur, gratis videretur et molestus : et quid aliud existimaretur, quam hoc facere superbiæ

A Παῦλον ἀπρόσκοπος εἶναι πᾶσι. Καὶ ὥσπερ ἐκεῖνος ἀδάπανον ἐτίθει τὸ Εὐαγγέλιον, οὕτω δὴ καὶ αὐτὸς οὐδενὶ ἐκέχρητο τῶν τῆς Ἐκκλησίας, ὅσα γε προσήκει τοῖς ἐπισκόποις πόθεν, ὅς γε καὶ αὐτῆς μόλις φάναι τροφῆς ἥπτετο· συμπόσια δὲ καὶ φιλοτησίας οὕτω παρεῖδε, καὶ βιωτικωτέρας ἔκρινε ταύτας φιλοτιμίας, ὡς μηδὲ συσσιτεῖν ἀνέχεσθαι μηδενί. Διὰ τί; Οὐδὲ γὰρ χεῖρον ἀπολογήσασθαι, ἐπεὶ καὶ πολλοῖς σκληρὸν καὶ ἄφιλον ἔδοξε τοῦτο, καὶ τοῦ ψέγειν ἐγγύς. Πρῶτα μὲν ὅτι ἐκ νέου τῷ νηστεύειν συνεθισθείς, καὶ σύντροφον αὐτῷ καὶ φίλον, εἴπερ τις ἕτερος, ποιησάμενος, οἴνου τε καὶ παντὸς ἑτέρου τοῦ γαστρὶ κεχαρισμένου παμπληθὲς ἀποσχόμενος εἰς τοσοῦτον, ὡς χυλῷ καὶ μόνῳ κριθῆς καθ' ἑαυτὸν ἀποζῆν, κρείττων τε σαρκὸς ὁρᾶσθαι καὶ σχεδὸν B ἤσιτος τε καὶ ἄτροφος εἶναι, καί ὅσον ἐκ τούτου μηδὲ ζῆν πιστευόμενος, εἰς τί καταλήγει; τῇ σκληρᾷ ταύτῃ καὶ οὐδὲν ἱλαρὸν ἐχούσῃ καὶ φιλάνθρωπον ἀγωγῇ τὸν στόμαχον διαφθείρας, χαλεπὸς ἦν προσέσθαι τι τῶν ἀσυνήθων καὶ στερεῶν· καὶ διὰ τοῦτο ἀηδῶς ἑώρα πρὸς πᾶν ὅ τι χαρίεν ἐστι τῷ λαιμῷ, καὶ τὴν ὄρεξιν ἐκκαλεῖται. Αὕτη μὲν οὖν αἰτία μία τοῦ μὴ στέργειν αὐτὸν τὸ ὁμόσιτον. Ἔπειτα κρίνας καθ' ἑαυτὸν ἦν, ὡς εἴγε τισὶν ἀνάσχοιτο τῶν ἢ φιλίᾳ διαφερόντων, ἢ ἀξιώμασι, κοινῆς μετέχειν τραπέζης, ἀνάγκην ἕξει καὶ πρὸς ἑτέρους τοῦτο ποιεῖν. Ἐπεὶ πῶς ἂν μένοι καθαρὸν αὐτῷ τὸ ἀπροσωπόληπτόν τε καὶ ἀσκανδάλιστον; Καὶ οὕτως εἰς πολλοὺς τὸ πρᾶγμα διαβαῖνον, οὐ μόνον ἔγκοπον ἐκείνῳ ἔσται καὶ ὀχληρὸν ἀμελετήτῳ πάνυ C τοιούτων ὄντι περισπασμῶν, ἀλλὰ καὶ περικοπὴν παρέξει τοῖς ἀναγκαίοις, καὶ οἷς αὐτὸς εἴωθε σχολάζειν, προσευχῇ λέγω καὶ προσοχῇ, καὶ τῇ τῶν καλῶν διδαχῇ· ὧν οὕτως ἐγίνετο, ὡς καὶ αὐτῆς πολλάκις τῆς μικρᾶς ἐκείνης τροφῆς κατολιγωρεῖν, οὐχ ὅτι καὶ τραπέζαις ἔχειν διδόναι σχολὴν, καὶ τοιούτοις ἀνονήτοις καὶ περιττοῖς, ἐφ' οἷς οὐδὲν ἦν ἀπᾷδον αὐτὸν λέγειν τὸ ἀποστολικὸν ἐκεῖνό φημι· «Ὅτι οὐκ ἐξὸν ἡμῖν καταλιπόντας τὸν λόγον τοῦ Θεοῦ, τραπέζαις διακονεῖν.» Ἄλλως τε δὲ, κἂν ἔδοξεν αὐτῷ τοῦτο ποιεῖν, ἀνάγκη τῶν δύο πάντως συμβαίνειν θάτερον, ἢ ἀφάμενον τῆς συνήθους τροφῆς, ἀναγκάζεσθαι μετέχειν τῶν παχυτέρων, καὶ ὧν ὁ καιρὸς ἐδίδου τοὺς ὁμοσίτους μεταλαμβάνειν (ὅπερ οὐχ ὅπως αὐτῷ συμφέρον, ἀλλὰ καὶ ὅλως ἀδύνατον τοῦ D στομάχου, καθάπερ ἔφην, διεφθορότος καὶ πονήρως ἤδη διακειμένου), ἢ τοῦτο φεύγοντα, καὶ τῆς λεπτῆς ἐχόμενον καὶ μηδὲ πτηνοῖς ἀρκούσης τροφῆς, ἄχαιρον τοῖς συνεστιωμένοις ὑπειλῆφθαι καὶ φορτικὸν, καὶ τὸ ὅλον τύφου καὶ κενῆς δόξης πρᾶγμα διαπραττόμενον. Ἔργον μὲν οὖν αὐτῷ σπουδαιότατον, καὶ ὥσπερ δή φασι, καὶ ἀσχολίας ὑπέρτερον, τὸ τῇ προσευχῇ προσανέχεσθαι καὶ προσοχῇ, καὶ τοῖς εἰς Θεὸν αἴνοις. Πλὴν οὐδὲ τῶν κοινῶν ἠμέλει συνάξεων, καὶ ὅσα δὴ τὸν καιρὸν ἔχει τεταγμένον, οἷον νυκτερινῆς καὶ ὀρθρίου καὶ τῆς καθ' ἑσπέραν δοξολογίας, ἀλλὰ καὶ τὸ φθάσαι τοὺς ἄλλους τῆς νυκτὸς ἀναστάντα, καὶ

[19] I Cor. x, 32. [20] I Cor. ix, 13. [21] Act. vi, 2.

τὰς τοῦ ναοῦ πύλας πρῶτον ὑπανοῖξαι, Ἰωάννου A φιλοτιμήματα. Ἦν δὲ ὁ γενναῖος οὐ συνιέναι μόνον ὀξύτατος τὰ μὴ τοῖς πολλοῖς ἔνδηλα τῶν Γραφῶν, εὐστόχως τε καταστοχάσασθαι τῆς τοῦ λέγοντος διανοίας (καὶ τοῦτο δὴ τὸ τοῦ Σαλομῶντος, Ῥήσεις γνῶναι σοφῶν καὶ αἰνίγματα), ἀλλὰ καὶ ἑρμηνεῦσαι τὸ νοητὸν εὔληπτα καὶ διαφωτίσαι, καὶ τὸ τοῦ λόγου δῆλον αὐτῷ καὶ τυφλῷ θέσθαι, τῶν ἐκ τοῦ παντὸς αἰῶνος εὐγλωττότατός τε καὶ ἱκανώτατος. Τούτῳ πόθος μὲν ἦν καὶ πρὸς πάντας τοὺς σοφούς τε καὶ μακαρίους ἄνδρας, προφήτας φημὶ καὶ ἀποστόλους, καὶ ὅσοις δὴ διὰ πνεύματος ὁ λόγος προήχθη, ἀμέλει καὶ ὅσαι ὧραι τῶν βιβλίων αὐτῶν εἴχετο, καὶ τοῖς ῥήμασιν ἐνετρύφα, (τῷ γὰρ ὁμοίῳ, φασί, τὸ ὅμοιον). Παύλῳ δὲ τῷ κήρυκι καὶ προσετετήκει, καὶ ἱμέροις τισὶν ἀποῤῥήτοις αὐτῷ συνήπτετο, καὶ λόγοις τοῖς B ἐκείνου διέζη. Καὶ δῆλός ἐστι πολλαχῇ τῶν λόγων αὐτοῦ μεμνημένος, καὶ τοῦτο τροφὴν ἡδεῖαν ποιούμενος, καὶ τῆς ἐν αὐτῷ φλογὸς παραμύθιον. Ὅθεν καὶ κατὰ τοὺς δριμεῖς ἐραστὰς καὶ πάνυ διακαῶς ἔχοντας, καὶ ἡττῆσθαι τούτου ὁμολογεῖ καὶ δυσαποσπάστως ἔχειν· καὶ ὡς ἀλλαχοῦ μὲν αὐτῷ ἡ ὁρμὴ τοῦ λόγου, τούτου δὲ εἰς μνήμην ἐλθόντι, καθάπερ ὑπό τινων ἁλῶναι δεσμῶν, καὶ ἐπὶ πολὺ συνεῖναι φιλεῖν, καὶ μὴ ῥᾳδίως ἀπαλλαγῆναι δύνασθαι. Οὕτω πολὺς αὐτῷ καὶ ἀπόῤῥητος ὁ πρὸς Παῦλον πόθος, ὥστε ἁρμοζόντως εἰπεῖν, τοῦτο εἶναι Ἰωάννῃ Παῦλον, ὅπερ Παύλῳ Χριστὸς ἐτύγχανε, μᾶλλον δὲ καὶ Ἰωάννῃ κατὰ Παῦλον Χριστός· ἐπεὶ καὶ τοσοῦτοι κἀκείνου διὰ Χριστὸν οἱ πρὸς Παῦλον ἔρωτες.

causa et vanæ gloriæ? Sed de his quidem satis: oratio autem deinceps reliqua ordine persequatur. Maximum ergo in hoc ponebat studium, ut assidue versaretur in oratione et meditatione, et rerum honestarum doctrina et Dei laudatione. Sed neque communes negligebat congregationes, et ea, quæ tempus habent constitutum, utpote nocturnam, et matutinam, et quæ fit vespere, glorificationem. Quinetiam contendebat Joannes noctu procedens alios prævenire, et templi portas primum aperire. Hæc autem cujusmodi? Erat enim egregius Joannes acutissimus, non solum ad intelligendas Scripturas, quæ a vulgo non possunt comprehendi, et ad dicti conjiciendam germane sententiam ingeniosissimus, et ut dicit Salomon [22], ad cognoscenda dicta sapientum et ænigmata, sed etiam ad id, quod intellexerat, facile interpretandum et illustrandum, et ut dicitur, ad id vel cæco aperte ostendendum, eorum, qui fuerunt ex omni sæculo, facundissimus et maxime idoneus. Ejus quidem erat magnus amor in omnes, qui cum eo, quod pii fuerunt ex Deo, etiam vitam egerunt: prophetas, inquam, et apostolos, et quibus oratio per spiritum promanavit: in eorum certe libris versabatur assidue, et in eorum verbis maximam capiebat voluptatem. Simile enim, ut aiunt, simili delectatur. Paulo autem præconi totus adhærescebat, et ineffabili quodam desiderio erat conjunctus, et vivebat illius sermonibus. Nam aperte multis in locis verborum ejus meminit, idque magnas ducit esse delicias et internæ flammæ consolationem. Propter quam causam ille quoque similiter atque ii qui amant insane, et sunt valde inflammati, fatetur se ab eo esse superatum, et non posse ab eo divelli, et alicubi quidem in ipso impetu orationis, cum ille ei venisset in mentem, captus fuit veluti a quibusdam vinculis, et plurimum cum eo morari magnifacit, et non facile potest ab eo discedere. Tam magnus et tam ineffabilis fuit ejus amor in Paulum, ut qui sic dicit, vere dicat hoc Joanni esse Paulum, quod Paulo fuit Christus: imo vero Joanni quoque fuit Christus sicut Paulo. Nam tantus quoque illius propter Christum fuit amor in Paulum.

ΚΒ'. Τούτου ταῖς ἐπιστολαῖς ἐντυγχάνοντα τὸν C μέγαν τοῦτον Ἰωάννην φημί, καὶ μελέτην αὐτὰς ἐμμελῆ καὶ τροφὴν ἡδίστην ποιούμενον, ἀλλὰ καί, ὡς οἷόν τε, δι' αὐτῶν, οἷος τὴν ψυχὴν ὁ Παῦλος, καταμαθεῖν γλιχόμενον ἔρως εἰσῆλθε τοῦ καὶ τὸν νοῦν ἐκφράσαι τὸν ἐν αὐταῖς, καὶ τὸ κάλλος καὶ βάθος, ὅπερ εἰσέτι τοῖς πολλοῖς ἄδηλον ἦν, ἐκκαλύψαι. Ἔργου τοιγαροῦν ἁψάμενος, καὶ πρὸς λέξιν ταύτας διερμηνεύων, ἐνδοιάζων πως καὶ ἀναδυόμενος καθ' ἑαυτὸν ἦν· καὶ τοῦτο δὲ πάντως ὑπὸ τοῦ σφόδρα φιλεῖν καὶ ἀρέσκειν ἀτεχνῶς βούλεσθαι. Τὸ δὲ ἀμφισβητούμενον οὕτως [ἴσ. τοῦτο] ἦν, εἰ τῷ Παύλῳ κατὰ γνώμην ὁ πόνος, εἰ καλῶς ἐφικνούμενός ἐστι τῆς αὐτοῦ διανοίας, καὶ μὴ πόῤῥω τῆς ἀληθείας βάλλων καὶ τοῦ σκοποῦ. Τοῦτο κατὰ νοῦν στρέφοντι καὶ διαποροῦντι, μάλα τε τοῦ Θεοῦ δεομένῳ διασαφῆσαι αὐτῷ D τὸ ἀμφιβαλλόμενον· οὐκ εἰς μακρὰν ἐπιλύεται τὸ ζητούμενον· καὶ ἡ λύσις καθαρά, καὶ μηδὲν ἔχουσα δυσμαθὲς ἢ ἀμφίδοξον, ὁ δὲ τρόπος θαυμαστὸς οἷος. Καὶ γὰρ τῆς τοῦ Θεοῦ σοφίας ἐστὶ καὶ τῶν ὁδῶν

XXII. Cum ejus autem Epistolas legeret hic magnus Joannes, et in earum convenienti meditatione magnum studium poneret, quinetiam quoad ejus fieri posset, qualis esset animus Pauli, scire cuperet, eum subiit desiderium earum explicandi intelligentiam, et efficiendi, ut perveniri posset ad ejus profundum, quod a multis nondum recte cognoscebatur. Rem itaque aggressus, et illas ad verbum interpretans, apud se quodammodo dubitabat et differebat. Id autem ex eo oriebatur, quod illum valde diligeret, et ei vellet omnino placere. Id vero, de quo dubitabat, erat, num Paulo gratus esset ejus labor; an recte assequeretur mentem ejus, quem diligebat, et num longe a veritate abesset et a scopo. Hoc cum in mente versaret et dubitaret, et Deum valde rogaret, ut id, de quo dubitabat, ei notum fieret, non diu abfuit solutio. Modus autem qualis? Est enim revera Deo dignus et illius sapientia. Sed est attendendum. Habet enim varium quiddam et admirabile. Vir quidam, qui magistratum gesserat

[22] Prov. I, 6.

et erat mundi splendore insignis, invido oculo conspectus et per calumniam delatus ad imperatorem (o acerbam invidiam et inimici improbitatem), a regia simul et honore expellitur. Cum autem vidisset se magna laborare inopia ejus, qui esset opem laturus, intelligens se esse infelicem et dominum habere adversum, et se ideo nemini curæ futurum, quoniam amicos nihil esse dicit tragœdia, si sit infelix quispiam, præterquam beatæ illi animæ, et quæ hujusmodi casuum moveri solet misericordia : et nulli alii similiter atque illi, libere loqui apud imperatorem, neque largiri mores, nec ipsam dignitatem: petit per aliquem intermedium, venire in beati conspectum. Quod cum rescivisset, noctu permisit ut veniret, utpote quod interdiu non futurum esset tutum alloqui. Jussit autem Dei cultori Proclo, qui erat ad hoc constitutus, ut cum venisset, ad eum facilem illi præberet aditum (10). Sed enim rursus est attendendum, afferet enim oratio voluptatem simul cum admiratione.

XXIII. Cum enim ille venisset et esset portas ingressus, vadit Proclus annuntiatum. Cum autem jam accessisset ad cubiculum, in quo labori magnus vacabat Joannes, et attentus erat interpretationi, ostio statim admovens oculos, et ut licebat per foramen aspiciens, videt Joannem, qui pergebat quidem scribere, et in eo erat diligenter occupatus, virum autem quemdam, capite calvum, qualis est Elisæi effigies, cui densa quidem erat promissa barba super humeros sensim cum beato congredi, et cum illo loqui in aurem. Hæc cum vidisset Proclus, existimabat aliquem, se non sentiente, esse ingressum, et ipsum esse, qui cum sancto loquebatur. Cum itaque illi significasset id quod fuerat suspicatus, rogabat ut exspectaret. Cum autem multum intercessisset temporis, et is, cujus præstolabatur exitum, nondum adesset, rursus vadit Proclus, eum urgente homine, ut si vidisset cessare colloquium, statim annuntiaret. Cum vero ille rursus per foramen aspiciens, vidisset esse attentam et seriam collocutionem, importunum et impudens esse arbitratus interpellare orationem, revertens dubitabat quisnam esset qui loquebatur, et quonam modo esset ingressus, cum non fuisset ei prius annuntiatum. Cum autem parum substitisset, vadit rursus, et cum rursus vidisset tam diligentem et tam seriam collocutionem, lignum vero jam pulsatum vocaret ad congregationem, accedens ad hominem, dixit eum de cætero non posse ipsum convenire usque ad finem matutinæ glorificationis : et protinus eum emittit, jubens eum redire postridie. Venit itaque homo ille, et Proclus statim vadit nihil cunctatus, et eadem rursus vidit, nihil cessante illa collocutione. Propterea ergo non ausus illum adhuc admonere, revertitur, tristis tristi vero apparens, et qui hoc nomine merito esset accusandus, quod homini, qui in mala talia inciderat, et tam grave tem-

A ἄξιος. Ἀνήρ τις τῶν ἐν τέλει καὶ τῇ κατὰ κόσμον περιφανείᾳ διάσημος ὑπό του βασκάνῳ θεαθεὶς ὀφθαλμῷ, καὶ εἰς βασιλέα διαβληθεὶς, (φεῦ τοῦ πικροῦ φθόνου καὶ τῆς του ἐχθροῦ μοχθηρίας!) τῶν βασιλείων ἅμα καὶ τῆς τιμῆς ἀπελαύνεται. Ὡς δὲ καὶ πολλὴν ἑώρα τοῦ βοηθήσοντος ἐρημίαν, συνεὶς ὅτι δυστυχῶν οὕτω καὶ ἀντίξουν τὸν καιρὸν ἔχων, οὐδενὶ ἑτέρῳ φροντίδος ὀφθείη ἄξιος, ὅτι μὴ τῇ μακαρίᾳ ἐκείνῃ ψυχῇ καὶ συμπάσχειν τοῖς τοιούτοις προθυμουμένῃ, καὶ ὡς οὐκ ἄλλῳ τὸ πρὸς βασιλέα παῤῥησιάσασθαι οὔθ' ὁ τρόπος, οὔτ' αὐτὸ τὸ ἀξίωμα δίδωσιν ὡς ἐκείνῳ, αἰτεῖται διὰ μέσου τινὸς τῷ μακαρίῳ πρὸς ὄψιν ἐλθεῖν. Τὸν δὲ μαθόντα νυκτὸς ἐπιτρέψαι τὴν ἄφιξιν, ὡς τῆς ἡμέρας οὐκ ἀσφαλῆ τὴν ὁμιλίαν αὐτῷ θησομένης· ἐπιτρέψαι δὲ καὶ τῷ θεραπευτῇ Πρόκλῳ B εἰς τουτο αὐτῷ [ἴσ. αὐτὸ] τεταγμένῳ, ἐπειδὰν ὁ ἀνὴρ ἀφίκοιτο, εὔθετον αὐτῷ διαθέσθαι τὴν πρὸς αὐτὸν εἴσοδον. Ἀλλὰ προσεκτέον τοῖς λεγομένοις· ἱκανὸς γὰρ ὁ λόγος ἡδονὴν ἐνθεῖναι ταῖς ἀκοαῖς μετὰ θαύματος.

ΚΓ'. Ὡς γὰρ ἐκεῖνος ἀφίκετο καὶ εἴσω θυρῶν ἦν, ὁ Πρόκλος ἄπεισι προσαγγεῖλαι. Καὶ κοιτῶνι δὲ προσελθὼν, ἔνθα σχολάζων ὁ μέγας πόνου εἴχετο, καὶ τῇ ἑρμηνείᾳ προσκεκυφὼς ἦν, ἐν χρῷ θυρῶν τε τὸν ὀφθαλμὸν προσπελάσας καὶ δι' ὀπῆς, ὡς ἐγχωροῦν ἦν διαβλέψας, ὁρᾷ τὸν Ἰωάννην ἐχόμενον μὲν τοῦ γράφειν, καὶ αὐτῷ προσπονούμενον· ἄνδρα δέ τινα φαλακρὸν, οἷον αἱ εἰκόνες τὸν Ἐλισσαῖον ἔχουσι, πλατὺ τὸ γένειον καθειμένον ἐπὶ τῶν ὤμων ἠρέμα τῷ μακαρίῳ προσμίξαντα, καὶ πρὸς οὖς ἐκείνῳ C διαλεγόμενον. Ταῦτα ἰδόντα τὸν Πρόκλον, ἔξωθεν τινα οἰηθῆναι παρὰ τὴν αὐτοῦ αἴσθησιν προσελθεῖν, καὶ αὐτὸν εἶναι τὸν τῷ ἁγίῳ διομιλούμενον. Γνωρίσας τοιγαροῦν ὃ ὑπείληφε, τῷ ἀνδρὶ προσμένειν κελεύει. Ὡς δὲ πολὺ τὸ μεταξὺ ἦν, καὶ ὁ προσδοκώμενος ἐξελθεῖν οὔπω παρῆν, ἄπεισι πάλιν ὁ Πρόκλος, τοῦ ἀνθρώπου πρὸς τοῦτο διαναγκάσαντος, εἰ τὴν ὁμιλίαν παυομένην ἴδοι, προσαγγεῖλαι τῷ μακαρίῳ. Ὡς δὲ καὶ αὖθις διὰ τῆς ὀπῆς εἰσβλέψας ἑώρα προσεκτικὴν εἰσέτι καὶ διεγρηγορυῖαν τὴν ἔντευξιν, ἄκαιρον εἶναι καὶ ἰταμὸν ἡγησάμενος οὕτως ἔχοντα διακόψαι τὸν λόγον, ἐπανιὼν αὖθις διηπορεῖτο τίς τε εἴη ὁ λέγων, καὶ πῶς εἰσέλθοι, μὴ αὐτῷ πρότερον ἀγγελθέν. Βραχὺ τοίνυν ἐπισχὼν ἄπεισι πάλιν, καὶ ὁμοίως ἰδὼν ἀτενῆ καὶ ἔτι γινομένην τὴν ὁμιλίαν, ἐπεὶ καὶ τὸ ξύλον ἤδη κρουσθὲν εἰς τὴν σύναξιν παρεκάλει, προσελθὼν τῷ D ἀνθρώπῳ, ἀνομίλητα τοῦ λοιποῦ τὰ πρὸς αὐτὸν εἶναι λέγει μέχρι τέλους τῆς τοῦ ὄρθρου δοξολογίας, καὶ εὐθὺς ἐκπέμπει διακελευσάμενος εἰς τὴν ὑστεραίαν ἐπανελθεῖν. Ἧκε τοιγαροῦν ὁ ἄνθρωπος, καὶ ὁ Πρόκλος μελλήσας οὐδὲν ἄπεισι, καὶ τὰ αὐτὰ πάλιν ὁρᾷ, μηδὲν ὑπενδούσης τῆς ὁμιλίας. Διὰ ταῦτα οὖν καὶ ἔτι τὴν ὑπόμνησιν μὴ θαῤῥήσας, ἐπάνεισι λυπηρῷ λυπηρὸς τῷ ἀνδρὶ φανεὶς, καὶ ἐγκαλεῖσθαι νομισθεὶς δίκαιος, ὅτι ἀνθρώπῳ ἀνθρωπίνοις ἐμπεσόντι κακοῖς, καὶ καιροῦ βαρύτητι χρησαμένῳ μὴ χρηστὸς φαίνοιτο, μηδὲ τὰ δυνατὰ συναιρόμενος, ἀλλ' ἑτέροις

(10) Vide de hac historia Damascenum *De imag.* orat. I : Leonem August. et cæteros.

χαρίζεται μᾶλλον, τὴν εἰς τὸν μέγαν εἴσοδον αὐτὸν A ταῖς ἀναβολαῖς κατατρίβων. Ἐκείνου δὲ διαβεβαιοῦντος οὐδὲν εἶναι τοιοῦτον, ἀλλὰ παρὰ πᾶσαν αὐτοῦ αἴσθησίν τε καὶ γνῶσιν τοῦτο συμβαίνειν, ὡς ἤδη πολὺ μὲν τῆς νυκτὸς ἤνυστο, μηδὲν δὲ ἡ ἔντευξις ὑπελλάττοντο, πάλιν τὸ ξύλον κρουσθὲν, λύπης (φεῦ!) καὶ βαρυθυμίας μεστὸν τὸν ἄνθρωπον ἀποπέμπει, οὐ μὴν ὥστε καὶ ἀπογνῶναι τὴν εἰσαῦθις ἐπάνοδον. Τῷ δὲ Πρόκλῳ θαυμάζειν μὲν ἀτεχνῶς ἐπῄει· ἐγκαλεῖν δὲ παρῆν οὐδενί. ἑαυτῷ δὲ μέμφεσθαι μᾶλλον, ὡς παρὰ τὴν αὐτοῦ ἀμέλειαν τοῦτο συμβαῖνον. Διὰ ταῦτα καὶ συνθήκας ἑαυτῷ τίθησι πάνυ βεβαίας μὴ προσέσθαι τροφὴν, μὴ ὕπνῳ εἶξαι, μὴ βραχὺ τῶν θυρῶν ἀποστῆναι, ἕως αὐτῷ γένοιτο ἢ τῷ ἀνθρώπῳ πρώτην θέσθαι τὴν εἴσοδον, ἢ μαθεῖν τίς εἴη ὁ καὶ ταῖς προλαβούσαις τὴν εἰσαγωγὴν ὑποκλέψας· ὡς δὲ οὕτω B περὶ θυρῶν ἦν ὄμμασί γε καὶ ὠσὶν ἑστῶσι καὶ ὅλῳ προσέχων τῷ νῷ, τρίτη μὲν αὕτη νὺξ ἦν, καὶ ὁ ἄνθρωπος ἤδη παρῆν. Εὐθὺς οὖν ὁ Πρόκλος ἀπαντήσας, Θάρσει, ἔφη· ἀκριβὴς γὰρ ἐγώ σοι τὰ νῦν φύλαξ, καὶ οὐδεὶς εἰς δεῦρο πρὸς τὸν μέγαν εἰσέλθοι, ἀλλὰ πρῶτός τε καὶ μόνος αὐτὸς εἰσελεύσῃ, καὶ κατὰ σχολὴν ἐντεύξῃ, καθὼς σοι βούλημα. Τοῦτο εἰπὼν ἄπεισι διὰ τάχους, καὶ τῇ ὀπῇ τὸν ὀφθαλμὸν προσβαλὼν, καὶ πάλιν ὅμοια τοῖς προτέροις ἰδὼν, τὸν μὲν τὸ στόμα θατέρᾳ τῶν ἀκοῶν παραβάλλοντα, καὶ ὡς ἀπόῤῥητά τινα διαψιθυρίζοντα, τὸν δὲ χάρτην μεταχειρίζοντα καὶ ἐοικότα γράφειν τὰ εἰσηγούμενα, συνῆκεν ὁ Πρόκλος οὐκ ἀθεεὶ τήνδε τὴν ὄψιν γίνεσθαι, οὔτε μὴν εἶναι ἀνθρώπειόν τι τὸ φαινόμενον, ἀλλὰ θεῖόν τι χρῆμα καὶ κρεῖττον ἢ κατ' ἄνθρωπον. C Ἐπιστραφεὶς τοίνυν, Ἄπιθι, τῷ ἀνθρώπῳ φησὶ, καὶ καθ' ἑαυτὸν μένε τοῦ Θεοῦ δεόμενος. Εἰκὸς γάρ σου καὶ ἀβούλητον αὐτῷ τὴν εἴσοδον εἶναι, καὶ παρὰ τοῦτο κωλύεσθαι. Ἐπεὶ βέβαιον κείσθω σοι τοῦτο καὶ ἀναμφίλογον, μηδένα [ἴσ. μηδενὸς] τῶν περικειμένων σῶμα, ἀλλὰ θειοτέραν τινὰ καὶ ὑπὲρ ἡμᾶς εἶναι τὴν ὁμιλίαν. Ἔχει γὰρ καὶ αὖθις ὁμοίως, ὡς αἱ προλαβοῦσαι δύο νύκτες μοι ἔδειξαν. Καὶ ὁ μὲν οὕτως ἀπῄει λύπῃ δεινῇ κάτοχος καὶ ἀπορίας κατάπλεως. Ἡμέρας δὲ ἤδη γενομένης, μνήμη τὸν μακάριον ὑπελθοῦσα μετακαλέσασθαι τὸν Πρόκλον ποιεῖ· Καὶ ποῦ, φησὶν, ὁ πρὸ τῆσδε τῆς τρίτης ὡς ἡμᾶς ἐλθεῖν ἀξιώσας, καὶ τοῦτο παρ' ἡμῶν λαβὼν κατὰ θέλησιν; Ὁ δὲ τρίτον, ἔφη, τῶν τριῶν ἐφεξῆς νυκτῶν παρεγένετο, καὶ παρέτεινε προσμένων εἰς ὄρθρον. Ἀλλ' ἐπεὶ ἔτυχεν ἕτερον ὁμιλεῖν σοι, αὔθαδες D ἐνομίσθη προσελθόντας ἐγκοπὴν δοῦναι τῷ λόγῳ. Τὸν δὲ θαυμάσαντα, Καὶ τίς, φάναι, ὁ προσελθὼν νυκτός μοι καὶ ὁμιλήσας; Εἶτα τὸν Πρόκλον, τούτῳ ἐοικὼς, εἰπεῖν, ὁ προσομιλῶν σοι, δείξαντα ἐπὶ τῆς εἰκόνος τὸν Παῦλον, ἥτις τῷ Ἰωάννῃ πρὸ ὀφθαλμῶν ἵστατο, καὶ ἣν συνεχῶς εἰώθει προσβλέπειν· ὃς καὶ διεφαίνετο καθημένῳ σοι, φησὶ, καὶ τῇ Γραφῇ προσκειμένῳ ἠρέμα τοῖς ὤμοις ἐπικλινόμενος, καὶ πρὸς τὸ οὖς ὁμιλῶν (ὡς δὲ ἐμὲ οἴεσθαι) καὶ αὐτὸς ἐκεῖνος ταῖς ἀληθείαις ἐστίν. Ἔγνω τοιγαροῦν ὁ μέγας ἐπήκοον αὐτοῦ γενέσθαι τὸ Θεῖον, ἐφ' οἷς ἐζήτει μαθεῖν, εἰ κατὰ νοῦν τῷ Ἀποστόλῳ τῶν ἐπιστολῶν ἡ ἐξ-

pus erat perpessus, non se benignum præbuisset, neque quam poterat opem ferre, ei tulisset: sed aliis potius ad magnum Joannem præbens aditum, dilationibus eum sic protelaret. Proclo autem affirmante, nihil esse hujusmodi: sed se non sentiente nec sciente hoc accidisse, cum jam magna pars noctis esset transacta, nequaquam autem minueretur illa collocutio, lignum rursus pulsatum, plenum dolore et animi ægritudine amandat hominem, non tamen ita, ut futuri reditus spem abjiceret. Proclo vero admirari quidem, ut par erat, veniebat in mentem, sed neminem habebat, quem reprehenderet: sed de se potius querebatur, ut qui sua negligentia hoc putaret accidere. Quamobrem apud se omnino constituit, non cibum sumere, non somno ne nimium quidem cedere, neque a foribus omnino discedere, donec vel ipse primus homini daret aditum: ut saltem sciret, quisnam is sit, qui præcedentibus diebus clanculum fuit ingressus. Cum autem arrectis oculis et auribus staret pro foribus, et totum animum adhiberet, hæc quidem erat nox tertia, et homo jam aderat. Statim ergo Proclus ei factus obviam: Esto, inquit, bono animo: ego enim modo tibi fui custos diligens, neque ullus hucusque ad magnum ingressus fuit, sed tibi primo et soli ad eum erit ingrediendum, et eum per otium convenies, quantum voles. Hoc cum dixisset, accedit quamprimum, et cum foramini oculum admovisset, et vidisset similia prioribus, illum quidem os admoventem alteri ex auribus, et tanquam arcanum quodpiam ei communicantem et submurmurantem: hunc autem chartam habentem in manibus, et qui videbatur scriptis mandare ea, quæ dictabantur, intellexit Proclus non sine Dei numine hanc fieri visionem, neque humanum quidpiam esse, quod apparebat, sed rem divinam et quæ sit supra hominem. Conversus ergo, homini dixit: Abi, et mane apud te, Deum rogans. Consentaneum enim est eum nolle, ut tu ingrediaris, et te ideo prohiberi. Hoc enim pro certo habeas, nullius omnino ex iis qui sunt corporati, sed diviniorem quamdam et quæ est supra nos, esse sermonicationem. Habet enim rursus se similiter, sicut duæ præcedentes nocte jam mihi ostenderunt. Et ille quidem sic abiit, gravi dolore oppressus, et plenus dubitatione. Cum autem jam esset dies (neque enim sivit ille bonus conturbatum animum sic manere absque consolatione) recordatus sanctus, jubet accersiri Proclum, et, Ubi est ille, inquit, qui tribus ante diebus ad nos cupiebat accedere? Quod quidem a nobis haud gravate impetravit. Ille autem, Ter, inquit, tribus deinceps noctibus accessit, et permansit usque ad matutinum. Sed quoniam alius tecum loquebatur, existimavimus futurum esse nimiæ arrogantiæ, si accedentes interrumperemus tuam collocutionem. Is autem admiratus, Et quis, inquit, noctu ad nos accesserit, et quis nos convenerit? Deinde Proclus, Est quidem, inquit, omnino mihi ignotus: qui autem te alloquebatur, inquit, erat

huic similis, ostendens Pauli imaginem, quæ perpetuo stabat ante Joannem, et quam solebat assidue intueri: qui etiam videbatur tibi sedenti et scriptioni incumbenti sensim in humeros inclinare, et tecum loqui in aurem. Ut autem ego opinor, erat ille ipse revera. Cognovit itaque magnus Joannes se a Deo fuisse exauditum de iis, quæ cupiebat scire, an Paulo grata esset Epistolarum expositio: et ideo ostendisse illum ipsum Paulum, qui cum eo versabatur, et ei tanquam discipulo opem ferebat in oratione: imo vero, qui nihil amplius afferebat, nisi quod iis, quæ dicebantur, solum servientem porrigebat dexteram. Cum sic sibi persuasisset Joannes, jussit quidem Proclum parum recedere. Ille autem inclusus, procedit in genua, et lacrymis plenos habens oculos, Deo magnas egit gratias, quod solvisset ea, quæ erant dubia. Deinde jussit Proclo, ne eum negligeret, qui petierat ut eum conveniret, sed juberet, ut nocte sequenti accederet. Dicit enim nihil tale amplius ab eo visum iri. Is autem vocatus accessit, et rogavit de iis, quæ erant proposita. Deinde Joannes nihil differens (quomodo enim, qui in talibus erat igni ardore similis?) imperatori quidem de eo significat: et ille quidem statim cessit: hic autem fuit revocatus, et priorem honorem rursus fuit assecutus. Aureus vero Joannes prompto et alacri animo repletus ex eo, quod illam divinam excepisset visionem, et tanquam discipulus in magistro haberet fiduciam, cum quæ restabant sacrarum illius Epistolarum, ad finem deduxisset et explicasset, dat Ecclesiæ divitias, quæ nunquam consummuntur.

ἥγησις· καὶ διὰ τοῦτο δεῖξαι αὐτὸν ἐκεῖνον συνόντα τὸν Παῦλον, καὶ τοῦ λόγου καθάπερ δὴ καὶ μαθητῇ συναιρόμενον, καὶ τὸ ὅλον τοιαύτην γίνεσθαι τὴν ἐξήγησιν, οἵαν εἶναι τῷ Ἀποστόλῳ δοκοῦν, αὐτὸν οὐδὲν συνεισφέροντα πλέον, ὅτι μὴ μόνον ὑπηρετοῦσαν τὴν δεξιὰν παρέχοντα. Οὕτω πιστωθέντα τὸν Ἰωάννην κελεῦσαι τὸν Πρόκλον ἀποστῆναι μικρόν· ἐκεῖνον δὲ ἐγκλεισάμενον πρὸς γόνυ πεσεῖν, καὶ δακρύων ὑπόπλεω τοὺς ὀφθαλμοὺς θέμενον, πολλὴν τῷ Θεῷ χάριν τῆς τῶν ἀμφιβόλων ἐπιλύσεως καθομολογεῖν. Εἶθ' οὕτως ἐπιτρέψαι τῷ Πρόκλῳ, κατὰ τὴν ἐπιοῦσαν νύκτα τὸν ἄνθρωπον ἀγαγεῖν. Μηδὲν γὰρ ἔτι φησὶ τοιοῦτον ὀφθήσεσθαι, καὶ τὸν κληθέντα προσελθεῖν, καὶ ἀξιῶσαι περὶ τῶν προκειμένων· εἶτα τὸν Ἰωάννην οὐδὲν ὑπερθέμενον (πῶς γὰρ, ὃς ἐν τοῖς τοσούτοις πυρὶ τὴν θερμότητα ἐοικὼς ἦν;) τῷ βασιλεῖ γνωρίσαι περὶ αὐτοῦ· καὶ τὸν μὲν εὐθὺς εἶξαι, τὸν δὲ ἀνακληθῆναι, καὶ τῆς προτέρας αὖθις ἀξιωθῆναι τιμῆς. Ὁ μέντοι χρυσοῦς Ἰωάννης ὁρμῆς τε καὶ προθυμίας ἐκ τοῦ μαθεῖν περὶ τῆς θειοτέρας ἐκείνης ὄψεως ὑποπλησθεὶς, καὶ οἷα δὴ μαθητὴς τῷ διδασκάλῳ ἐπιθαῤῥήσας, τὰ ἐλλείποντα τῶν ἐπιστολῶν εἰς πέρας ἐνεγκὼν καὶ διασαφήσας, πλοῦτον δωρεῖται τῇ Ἐκκλησίᾳ μηδέποτε δαπανώμενον.

XXIV. Hæc ergo insignis et clara stella Ecclesiæ, et doctor accuratus, virtutis accensus zelo pro Ecclesia, et arguens sacerdotes, qui inique se gerebant: qui etiam eos, qui non admittebant correctionem, a sacris arcens vestibulis, et non solis verbis castigans, sed etiam canonibus ecclesiasticis in tempore puniens improbitatem, visus est aliquando gravis, qui erat valde mitis et clemens. Quid enim si mel quoque mordet vulnera, in quibus inest ulcus? Visus est autem iis, qui erant omnino immedicabiles, et quorum curatio erat omnino desperata. Nam quis aut curandarum animarum peritior, aut in medicamentis, quæ pertinent ad curationem, nempe in oratione et in modis administrationis ac dispensationis, mitior ac benignior, sicut etiam jam antea ostendimus? Cæterum quamdiu circa solum quidem clerum consistebat reprehensio, et erat intra Ecclesiam, quæ videbatur, gravitas, non erat nimius dolor, nec in eum erat odium agreste et furiosum, sed remissum et tolerabile, nec procedebat extra labra concepta molestia. Cum autem in multos quoque, qui gerebant magistratus, processisset reprehensio (oportebat enim propter splendorem personarum, et quod et se et alios posset valde lædere, ut non esset remissa improbitas, tanquam impetus aquæ facile fluentis, et quæ fertur per plana, eam ejus verbis tanquam propugnaculis interrumpi: ne si esset absque ullo metu et libere se jactaret, fuse per omnia procederet, et multos induceret ad æmulationem propter libertatem eorum, quæ perpetrabantur). Cum sic faceret, et studeret,

ΚΔʹ. Οὗτος τοιγαροῦν περιφανὴς τῆς Ἐκκλησίας ἀστὴρ, καὶ τῆς ἀρετῆς διδάσκαλος ἀκριβὴς, ζήλῳ ὑπὲρ τῆς Ἐκκλησίας πυρούμενος, ἱερεῖς τε διελέγχων παρανομοῦντας, ἀλλὰ καὶ τὴν διόρθωσιν μὴ προσιεμένους τῶν ἱερῶν ἀπείργων προθύρων, οὐ λόγῳ τε μόνον παιδεύων, ἀλλὰ καὶ κανόσιν ἐκκλησιαστικοῖς ἐν καιρῷ κολάζων τὴν μοχθηρίαν, ἔδοξέ ποτε καὶ βαρὺς ὁ λίαν ἐπιεικής τε καὶ ἡμερώτατος. Καὶ τί γὰρ, εἰ καὶ τὸ μέλι δάκνειν οἶδε τὰ ἕλκος ἔχοντα τραύματα; Ἔδοξε δὲ τοῖς ἀνίατα πάντως νοσοῦσι καὶ τὴν θεραπείαν ἀπεγνωσμένοις. Ἐπεὶ τίς οὕτως ἢ τὸ ἰατρεύειν ψυχὰς ἐμπειρότατος, ἢ τὰ πρὸς τὴν ἰατρείαν φάρμακα, τὸν λόγον δηλονότι καὶ τοὺς τῆς οἰκονομίας τρόπους, ἐμμελέστατός τε καὶ ἠπιώτατος, ὥσπερ ἤδη καὶ προλαβὼν ὁ λόγος ἐδήλωσε; Πλὴν ἀλλ' ἕως μὲν περὶ τὸν κλῆρον οἱ ἔλεγχοι, καὶ εἴσω τῆς Ἐκκλησίας ἡ δοκοῦσα βαρύτης, οὐ πολὺ τὸ ἄχθος ἦν, οὐδὲ τὸ πρὸς αὐτὸν μῖσος ἄγριον ἤδη καὶ μανικὸν, ἀλλὰ φορητὸν καὶ ἐνδόσιμον, καὶ οὐ πόῤῥω χειλέων προβαῖνον τὸ δυσχερές. Ἐπεὶ δὲ καὶ κατὰ πολλῶν τῶν ἐ, τέλει προήνεγκε τοὺς ἐλέγχους (ἔδει γὰρ διὰ τὸ τῶν προσώπων ἐπιφανὲς, καὶ τὸ μεγάλα βλάπτειν ἑαυτούς τε καὶ ἑτέρους δύνασθαι, ὥστε μὴ ἀδεᾶ καὶ ἄνετον εἶναι τὴν μοχθηρίαν, οἷα ῥύμην ὕδατος εὐπετῶς ῥέοντος καὶ διὰ λείου τοῦ παντὸς φερομένου, ἀλλὰ ἀνακεκόφθαι τοῖς αὐτοῦ λόγοις ὥσπερ ἐρύμασιν ἵνα μὴ τῷ ἄτρεστος εἶναι καὶ πεπαῤῥησιασμένη, χύδην διὰ πάντων χωρῇ, καὶ πολλοὺς ἐπάγηται πρὸς τὸν ζῆλον διὰ τὴν τῶν τολμωμένων ἐλευθερίαν). Ἐπεὶ οὖν οὕτως ἐποίει καὶ διορθοῦν αὐτοῖς ἔσπευδε τὸν βίον κακῶς καὶ ἀναγώ-

γως ἔχοντα, τοῦτο μὲν ἁρπαγαῖς καὶ πλεονεξίαις, A τοῦτο δὲ καὶ ἄλλοις πάθεσιν ἀνηκέστοις οὐκέτι φορητὸς ἦν, ἀλλὰ βαρὺς τὴν γλῶτταν καὶ δηκτικὸς καὶ φανερῶς δυσχρηστος, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὸ τῶν ἐλεγχομένων κακόηθες· συνήρατο δὲ καί τις αἰτία τοῖς μάτην αὐτῷ δι' ἔχθρας γίνεσθαι βουλομένοις.

ΚΕ'. Εὐτρόπιος γὰρ ὁ τοῦ βασιλικοῦ τότε κοιτῶνος προεστηκὼς, ἐπ' ἐξουσίας χρήσασθαι τῷ θυμῷ κατά τινων προσκεκρουκότων μὲν αὐτῷ, τῇ Ἐκκλησίᾳ δὲ προσπεφευγότων βουλόμενος, νόμον τὸ ἑαυτοῦ πάθος ποιεῖ, καὶ πείθει βασιλέα νομοθετῆσαι μὴ ἐξεῖναί τισι τῶν αἰτίαν ἐχόντων προσφεύγειν τῇ Ἐκκλησίᾳ, ἢ προσφεύγοντας ἐξεῖναι κατὰ πᾶσαν ἄδειαν αὐτοὺς B ἐξωθεῖν. Ταῦτα ἐκεῖνος σπουδάζων ἠγνόει, καθ' ἑαυτοῦ τὴν μάχαιραν ἀκονῶν, καὶ ἑαυτῷ νομοθετῶν τὸ ἀσύγγνωστον, πηγήν τε ἀποφράττων καὶ λιμένα κλείων, ὧν μᾶλλον τῶν ἄλλων αὐτὸς δεήσεται. Ἡ γὰρ θεία δίκη, καίτοι μέλλειν ὡς τὰ πολλὰ πεφυκυῖα καὶ βραδέως ἐπιέναι τοῖς ἁμαρτάνουσιν, ἀλλὰ τούτῳ γε καλῶς ποιοῦσα κατὰ πόδας ἐπέστη. Καὶ γὰρ ἐκεῖνος μετ' οὐ πολὺ τὸ μέσον, προσκρούσας τῷ βασιλεῖ μόνην ἔγνω τὴν ἐκκλησίαν βοήθειαν, καὶ προσφυγὼν ἐκεῖσε καὶ ταύτης ὡς ἱερᾶς ἀγκύρας ἐπιλαβόμενος, παρ' αὐτῆς ὁ ἄφρων ἐζήτει τὴν σωτηρίαν, ἣν ἑτέρους ὁμοίως ἔχοντας ἐκώλυε σώζειν. Τίς ἄρα νοῦν ἔχων καὶ καιρὸν χρηστότητος καὶ δικαιοσύνης εἰδὼς, ἐλέους αὐτὸν ἄξιον ἔκρινεν ἄν; οὐκοῦν οὐδὲ ὁ μέγας τοῦ Θεοῦ ἄνθρωπος, καὶ εἰδὼς C νέμειν τε ἔλεον ἐφ' οἷς δεῖ, καὶ οἶκτον ἐπέχειν ὅτε δεῖ, καὶ ἀναβάλλεσθαι τὴν συμπάθειαν. Ἤδει γὰρ εἰς τοῦτο φέρειν καὶ τὸ τοῦ θείου, φημὶ, Ἡσαΐου, τὸ εἰς σταθμοὺς καὶ μέτρα κεῖσθαι παρὰ Θεῷ τὸν ἔλεον. Αὐτοῦ τοιγαροῦν πρὸς τῷ θυσιαστηρίῳ κειμένου, καὶ μόνον οὐκ ἐκθανεῖν ὑπὸ τοῦ φόβου μέλλοντος, οὗτος ζηλώσας ὑπὲρ τῆς Ἐκκλησίας, ἣν ἑώρα πάντως ὑπὸ τῶν ἐκείνου νόμων ἐξυβρισμένην, τοῦ καιροῦ πρὸς τοῦτο καλοῦντος, ἀναβὰς ἐπ' ὀκριβάντος, ὥστε πᾶσι γενέσθαι καταφανὴς, ἤλεγχέ τε αὐτὸν ἐπικαίρως, καὶ λαμβάνειν ἀπόπειραν τοῦ καλῶς ἔχοντός ἐκέλευε νόμου. Τί τοῦτο ποιῶν ὁ σοφώτατος; ἅμα μὲν τὴν τοῦ Θεοῦ δικαιοσύνην καὶ τοὺς τῆς Προνοίας νόμους ἐπαίρων, ἅμα δὲ καὶ τοῖς σφόδρα τολμηροῖς ὑποτεμνόμενος τὴν αὐθάδειαν, εἰς καιρόν τε κἀκεῖνον ὑπομιμνήσκων, ὅσον ἐστὶ τοῖς ἀνθρώ- D ποις χρήσιμον τὸ φιλάνθρωπον. Ταῦτα τοῖς οὐ καλοῖς λογισταῖς, οὐδὲ τὸ ἐκείνου πνεῦμα γινώσκουσιν ἔξω τοῦ καιροῦ πίπτειν ἐδόκει, καὶ φορτικὸς ἐνομίζετο, καὶ εἰς ἀσπλαγχνίαν ὁ πάντων φιλανθρωπότατος διεβάλλετο· τὸ δὲ ἦν ὅλως φιλανθρωπία, καὶ ζῆλος ὑπὲρ αὐτῆς καιριώτατος, ἵνα εἰδῶσιν οἱ σκληροὶ παντάπασι καὶ ὠμόθυμοι, ἄνθρωποι ὄντες καὶ ἀνθρωπίνης ἡττώμενοι ἀσθενείας, καὶ ἐπεὶ τὸ

ut ii vitam suam corrigerent, quæ male et nequiter se habebat: partim quidem rapina et avaritia, partim autem aliis quoque affectionibus et vitiis maximis, non erat amplius tolerabilis: sed lingua acerbus et mordax, et plane non ferendus non sua natura (quomodo enim, qui vel melle erat dulcior?) sed ex morbo et malignitate eorum, qui reprehendebantur. Porro autem quædam etiam causa opem tulit iis, qui temere volebant ei esse inimici.

XXV. Eutropius enim, qui tunc præerat cubiculo imperatoris, volens suo arbitratu iram exercere in quosdam, qui eum quidem offendebant, ad ecclesiam autem confugerant, pro lege habet suam animi perturbationem: et imperatori persuadet, ut legem ferat, non licere ulli reo confugere ad ecclesiam: aut si confugiant, licere eos secure expellere. Hæc ille studens statuere, ignorabat se gladium in se ipsum acuere, et legem ferre de venia ei non danda et portum claudere, quo ipse magis opus erat habiturus, quam alii. Divina enim justitia, etsi magna ex parte soleat differre, sequens leges benignitatis, et quod quærat pœnitentiam: at in hoc quidem certe recte faciens, eum invasit evestigio. Etenim ille non multo interjecto tempore cum offendisset imperatorem, solam ecclesiam, quam affecerat injuria, agnovit auxilium, et ad eam confugiens (11), et tanquam sacram ancoram apprehendens, ab ea quærebat salutem, quam ipse stulte servare prohibuerat. Quis ergo sanæ mentis et sciens benignitatis tempus et justitiæ, eum judicaverit dignum misericordia, qui, ut dicitur, captus erat suis pennis, et bos ex se præbebat flagellum? Nec ergo ille magnus homo Dei, qui et sciebat misericordiam tribuere ubi oportet, et sustinere quando oportet, et differre commiserationem. Sciebat enim eo aperte spectare illud divini Isaiæ [25]: In stateris et mensuris sitam esse apud Deum justitiam. Cum is ergo jaceret ad aram, et timore prope esset moriturus, hic vir divinus zelo motus pro Ecclesia, quam omnino videbat fuisse affectam contumelia ab illius legibus, ad id vocante occasione, conscendens suggestum, ut esset omnibus manifestus, eum opportune arguit, et jussit præclare suæ legis facere periculum. Cur autem hoc faciebat vir sapientissimus? Simul quidem, ut extolleret Dei justitiam et leges Providentiæ, et audacium hominum frangeret arrogantiam, et ut illum in tempore admoneret quantum hominibus bonum sit clementia. Hæc non bonis ratiocinatoribus, et qui ejus spiritum non noverant, videbantur extra tempus cecidisse: et importunus, proh dolor, existimabatur, qui erat mitissimus: et accusabatur sævitiæ, qui erat omnium humanissimus. Id autem erat omnino humanitas, et pro ea zelus vel opportunissimus, ut cognoscerent, qui erant omnino duri et crudeli animo, se homines,

25 Isa. XXVIII, 17.

(11) Eutropium ad ecclesiam paulo post Paschatis dies, anno 399, confugisse memorat Baronius tom. V *Annal.*

vel ab humana victi infirmitate: et cum in fratrum A delictis ignorarint benignitatem, eam discerent in suis: et cum didicissent, quidquid est humanum et immisericors, et benigni misericordes fierent per pœnitentiam. Sic ergo paulatim in nonnullorum animis non recte in eum versabatur odium. Sed de hac re quidem et de exilio, quod omnem superat injustitiam, exspectate paululum. Nunc autem, quæ id præcesserunt, et quæ nec sunt quidem prætermittenda, mandet auribus oratio.

XXVI. Sanctum virum eo tempore res quædam afficiebat molestia, et igne zeli implebat ejus animam. Etenim permissum erat Arianis intra civitatem habere conciliabulum : quod quidem fuerat multis causa, ut eodem, quo ipsi, laborarent morbo malæ opinionis. Opportunum itaque tempus nactus, B quando imperator venit ad sacrum, festo eum ad id vocante (erat autem dies Epiphaniorum (12) : Dic mihi, inquit, o imperator: si quis huic pulchræ et pretiosæ (ostendens coronam, quam habebat in capite) quosdam abjectos et obscuros lapides inseruisset, videturne tibi hoc esse tolerandum, et non tanquam universa per illos afficeretur contumelia, ægre tulisses? Cum is autem veritati sermonis annuisset : Quid vero, inquit, non existimas universorum Regem irasci, si in pia civitate, et quæ omnino recte se habet, pars, quæ male sentit, sinatur habitare, cum oporteat vel ab ipsis exigere, ut convertantur : vel si perseverent, protinus expellere? Hæc cum audiisset imperator, non distulit, nec est cunctatus: sed primos eorum statim accer- C siit, et ex eis scire voluit, an in animum inducerent a fugienda desistere opinione, minatus exsilium et bonorum suorum privationem iis, qui non parerent. Cum autem vidisset eos esse immedicabiles, minas deduxit ad effectum, et jussit eos expelli e civitate. Hoc effecit, ut multi errorem dediscentes, se rectæ adjungerent opinioni, quod nollent corporis sustinere afflictionem, animæ vitium ejicientes: et quod laboriosum fugerent exsilium, se improbi potius dogmatis laudabili exsilio condemnantes, et utraque recte fugientes. Quicunque autem fuerunt omnino incurabiles, ii perpetuo damnati exsilio, versabantur extra regiam civitatem, suæ animæ morbo se oblectantes, et eum deponere, non autem habere miserabiliter erubescentes. Deinde cum D tempus aliquod effluxisset ab iis qui intra aulam imperatoris eadem sentiebant (13), latenter congregati, sic eis paulatim aperta dicendi libertate, ausi sunt illi in quibusdam diebus insignibus, in quibus solent cœtus convenire, ipsi quoque ingredi civitatem et cogi in porticibus, et libere quædam antiphona ipsi canere cantica, composita convenienter eorum opinioni ; et quod quævis pia auris abhorruerit, paulatim processerunt eo impudentiæ, ut etiam orthodoxis psallentibus exprobrarent ho-

A χρηστὸν ἐν τοῖς τῶν ἀδελφῶν ἠγνόησαν παραπτώμασιν, ἐν τοῖς ἑαυτῶν μάθωσι, καὶ ποθήσωσι, καὶ χρηστοὶ γένωνται διὰ μετανοίας. Οὕτως οὖν κατ' ὀλίγον ψυχαῖς τισιν οὐ καλαῖς τὸ πρὸς αὐτὸν ἐστρέφετο μῖσος. Ἀλλὰ τὰ μὲν περὶ τούτου καὶ τῆς ἀδικίαν πᾶσαν ὑπερβαλλούσης ὑπερορίας, πρὸς ὀλίγον ἀναμεινάτω· νῦν δὲ τὰ φθάσαντα ταύτην, καὶ ὅσα μηδὲ παρελθεῖν ἄξιον, ὁ λόγος νεμέτω ταῖς ἀκοαῖς.

ΚϚ'. Ἐλύπει τὸν ἅγιον πρᾶγμα τοῦ τότε καιροῦ, καὶ πυρὶ ζήλου τὴν αὐτοῦ ψυχὴν ἐνεπίμπρα. Καὶ γὰρ εἴσω τῆς πόλεως τότε τὰ συνέδρια τοῖς Ἀρειανοῖς ἦν· ὅπερ πολλοῖς αἴτιον κατέστη τῶν ἁπλουστέρων, τοῦ τὴν αὐτὴν ἐκείνοις νοσῆσαι κακοδοξίαν. B Καιροῦ τοίνυν ἐπιτηδείου τυχὼν, ἡνίκα ὁ βασιλεὺς τῷ ἱερῷ προσῆλθε, τῆς ἑορτῆς εἰς τοῦτο καλούσης (ἦν δὲ ἡ τῶν Ἐπιφανίων ἡμέρα), Εἰπέ μοι, ἔφη, ὦ βασιλεῦ, εἴ τις τῷ καλῷ τούτῳ καὶ πολυτίμῳ, δείξας τὸν ἐπὶ τῆς κεφαλῆς στέφανον, λίθους τινὰς ἀζήλους καὶ ἀμαυροὺς ἔτυχε παρενείρας, ἆρά σοι ἀνεκτὸν ἔδοξε, καὶ οὐχ ὡς τοῦ παντὸς δήπου δι' ἐκείνων ὑβριζομένου χαλεπῶς ἤνεγκας; τοῦ δὲ τῷ ἀληθεῖ τοῦ λόγου συγκατανεύσαντος, Τί δὲ, φησὶν, οὐχὶ καὶ τῷ βασιλεῖ τῶν ὅλων δι' ὀργῆς εἶναι δοκεῖς, εἴπερ ἐν εὐσεβεῖ πόλει, καὶ διὰ πάντων ἐχούσῃ καλῶς, κακοδόξων ὅμιλος ἀνίεται κατοικεῖν, δέον ἢ τὴν ἐπιστροφὴν αὐτοὺς ἀπαιτεῖν, ἢ ἐμμένοντας ὡς τάχιστα ἀπελαύνειν; Τούτων ἀκούσας ὁ βασιλεὺς, τοὺς πρώτους αὐτῶν μεταπέμπεται, πεῖραν ληψόC μενος, εἰ ἀποστῆναι τῆς φευκτῆς πείθονται [γρ. πείθωνται] δόξης, ὑπερορίαν ἀπειλήσας τοῖς ἀπειθοῦσι καὶ τὴν τῶν ὄντων στέρησιν. Ὡς δὲ ἑώρα μηδὲν μεταπειθομένους, τῆς πόλεως ἀπελαθῆναι κελεύει. Καὶ οὕτω πολλοὶ τὴν πλάνην ἐξομοσάμενοι, τῇ ὀρθῇ προσέθεντο δόξῃ· ὅσοι δὲ μὴ ἦσαν τὴν κακίαν ἰάσιμοι, οὗτοι τὴν ὑπερορίαν κατακριθέντες, ἔξω που τῆς βασιλίδος διέτριβον πόλεως. Εἶτα χρόνου τινὸς διαῤῥεύσαντος, ὑπὸ τῶν εἴσω τῶν βασιλείων αὐλῶν τὰ ἴσα νοσούντων κατὰ τὸ λεληθὸς συγκροτούμενοι, ἀλλά γε καὶ παῤῥησίας αὐτοῖς κατὰ μικρὸν ὑπανοιγομένης, ἐθάρσησαν ἔν τισι τῶν ἐπισήμων ἡμερῶν, ἐν αἷς εἰώθασι γίνεσθαι συνάξεις, καὶ αὐτοὶ τὴν πόλιν εἰσιέναι, καὶ περὶ τὰς στοὰς ἀθροίζεσθαι, ᾠδάς τε τινας ἀντιφώνους ᾄδειν, καθὼς εἶχον δόξης, D συντεθειμένας. Εἰς τοῦτο δὲ ἀναιδείας προῆλθον, ὡς καὶ τοῖς ὀρθοδόξοις ψάλλοντας ὀνειδίζειν τὸ ὁμοούσιον, καὶ εἰς ᾠδὴν αὐτὸ θέσθαι, Ποῦ ποτέ εἰσι, λέγοντας, οἱ τὰ τρία μίαν εἶναι πρεσβεύοντες δύναμιν; ταῦτα τὸν μέγαν ἀκούσαντα πολλῷ πλέον ὁ τῆς εὐσεβείας ἀνέφλεγε ζῆλος. Ἐδεδοίκει γὰρ μὴ τὸ κακὸν παῤῥησίας οὕτω κατὰ μικρὸν ἀπολαῦον ἐντρέψειέ τινας τῶν ἀφελεστέρων, καὶ τὴν ὀρθὴν πίστιν ἀπώμοτον αὐτοῖς θέμενον ἐπαγάγηται πρὸς τὴν πλάνην. Ἀλλ' ἀντισοφίζεται ἡ ἀρετὴ τῇ κακίᾳ, καὶ ἀντιφώνους ᾠδὰς καὶ αὐτὸς συνθεὶς, καὶ τῷ λαῷ

(12) Hæc contigisse autumat Baronius post exortam orthodoxos inter et Arianos controversiam.

(13) *Vide* Niceph. cap. 8, lib. XIII; Socrat. lib VI, cap. 8; Sozom. lib VIII, cap. 8; Baron. an. 400.

δεδωκὼς περὶ τὸ ἑωθινὸν ᾄδειν, οὕτω τὰς τῶν αἱρετικῶν ἠμαύρου κενοφωνίας. Τί τὸ ἐντεῦθεν; φθόνος ἀνῆπτο τοῖς αἱρετικοῖς, καὶ θυμὸς ἄγριος, ἐξ οὗ ἔρις, ἐκ δὲ τῆς μάχη, καὶ πρὸς ταύταις πληγαί, εἶτα ἐπιβουλαί, καὶ τέλος ἐξ ἑκατέρων θάνατοι· ὥστε καὶ ἕνα τῶν τῆς βασιλίδος εὐνούχων, Βρίσων αὐτῷ ὄνομα, τοῖς ὑμνῳδοῖς συναιρόμενον, λίθῳ πληγῆναι τὸ μέτωπον· ὅπερ ὡς βασιλέα διαδραμὸν αἴτιον τοῖς αἱρετικοῖς κατέστη τοῦ παύσασθαι δημοσίᾳ τοὺς ὕμνους ποιεῖν. Οὐδὲν δὲ οἷον καὶ περὶ τῶν ἀντιφώνων τῶνδε διαλαβεῖν ᾠδῶν, τίς ἄρα καὶ ἦρξεν αὐταῖς τῆς εὑρέσεως. Ἰγνάτιόν γάρ φασι τὸν θεοφόρον καὶ μάρτυρα πρῶτον Ἀντιοχεῦσι τοῦτο παραδοῦναι, ὄψει ἐκεῖνον θειοτέρᾳ παραλαβόντα, καὶ ἀγγέλους ἀντιψάλλοντας ἀλλήλοις ἑωρακότα καὶ ταύτῃ τὸν ὕμνον τῇ σεπτῇ Τριάδι προσφέροντας.

A mousion, et id execrandi in cantico ponerent: Ubi sunt, dicentes, qui tria unam defendunt esse virtutem? Hæc cum audiisset ille magnus, eum pietatis zelus magis incendit. Verebatur enim ne malum, sic rursus loquendi libertatem assecutum, esset aliis causa exitii. Machinatur itaque virtus contra vitium, et cum ipse antiphona composuisset cantica, et dedisset populis canenda in matutino, effecit ut sic evanescerent inanes voces hæreticorum. Quid deinde consequitur? Fuit accensa hæreticis invidia et ira agrestis, ex qualis orta est: ex ea autem pugnæ, et præter eas plagæ; deinde insidiæ, et postremo cædes ex utrisque, adeo ut unus quoque ex eunuchis imperatricis, nomine Bryson, favens B cantoribus orthodoxis, in fronte fuerit percussus lapide. Quod quidem cum pervenisset ad aures imperatoris, vetuit hæreticis, ne amplius hymnos publice facerent. Satius autem fuerit de antiphonis quoque canticis dicere, quisnam fuerit auctor eorum inventionis. Dicunt enim divinum et martyrem Ignatium hoc tradidisse primum Antiochenis non domi suæ et a se inventum, sed diviniori quadam visione, ut ille cum Deo magnam habebat familiaritatem, acceptum: ut qui viderit angelos sic inter se contra psallentes et hymnum offerentes adorandæ Trinitati.

ΚΖ'. Καὶ τοῦτο δὲ τῶν περὶ Ἰωάννου ἱστορημένων ἥκιστα παριδεῖν ἄξιον. Λέγεται γάρ, καὶ πολλῶν στόμασιν ᾄδεται, ὁσάκις ἂν τὸν θεῖον ἄρτον ἱερουργῶν ἀναφέροι, ἔνθουν ὅλον γινόμενον, συμβόλοις τισὶ τὸ τοῦ Θεοῦ ἅγιον Πνεῦμα ἐπὶ τὰ προκείμενα δῶρα καταβαῖνον ὁρᾷν. Ἑνὸς γοῦν ποτε τῶν παρισταμένων αὐτῷ λειτουργῶν γυναίῳ τινὶ τῶν διακυπτουσῶν ἄνωθεν προσέχοντος τὸν ὀφθαλμὸν καὶ περιέργως αὐτὴν προσβλέποντος, διακρουσθῆναι μὲν οὕτω τὴν θεωρίαν τοῦ πνεύματος· ἐκεῖνον δὲ μὴ ἀγνοῆσαι, ἀλλὰ τὸν μὲν λειτουργὸν αὐτίκα μετακινῆσαι τῆς στάσεως, αὐτὸν δὲ τῆς συνήθους ὄψεως μὴ διαμαρτεῖν· εἶτα πρόνοιαν καὶ τοῦ μέλλοντος θέμενον, παραπετάσμασιν ἐπιτρέψαι τὰ ὑπερῷα διατειχίζεσθαι.

XXVII. Porro autem ex iis, quæ de Joanne traduntur, hoc minime est prætermittendum. Dicitur enim et multorum sermone celebratur, quod cum divinum panem consecrans extolleret, totus a Deo afflatus, (quid autem horum est incredibile in tam sancta anima?) quibusdam signis videbat Dei Spiritum ad dona proposita descendere. Cum autem unus ex ministris, qui ei assistebant, in C quamdam mulierem ex iis, quæ desuper solebant despicere, (o tuam omnia pervadentem, o maligne, improbitatem) oculum conjecisset, et eam curiose aspiceret, sic quidem magno Joanni fuit depulsa visio sancti Spiritus. Ille autem non ignoravit, sed ministrum quidem statim movit e sua statione: ipse vero consueta visione ne sic quidem est frustratus. Deinde futuri quoque curam gerens, jussit velis superiora muniri tabulata (14).

ΚΗ'. Ποῦ δὲ καὶ τοῦτο παριδεῖν δίκαιον, ἓν μὲν τῶν περὶ αὐτοῦ λεγομένων ὄν, ἱκανῶς δὲ ἔχον ψυχῇ χαρίσασθαι φιλοθέῳ, καὶ πρὸς ὕμνον αὐτὴν διαθερμάναι τοῦ κτίσαντος; Ἔχει δὲ οὕτως· Ἀνήρ τις κατ' ἐκεῖνο καιροῦ, αὐτός τε ὁμόφρων Μακεδονίῳ τῷ αἱρετικῷ ἦν, καὶ τὴν γυναῖκα τὰ αὐτὰ ἐκείνῳ δοξάζουσαν εἶχε. Τοῦτον ὁ μέγας ἐντέχνως περιελθών, θήραμα τῆς αὐτοῦ γλώττης ποιεῖται, καὶ τῇ τῶν πιστῶν προστίθησιν Ἐκκλησίᾳ. Εἶτα ἐκεῖνος πάλιν πείθειν τὴν σύνοικον ἐπειρᾶτο. Ἡ δὲ γυνή, ἅτε δὲ γυνή, καὶ τοῖς ψεύδεσι μᾶλλον, ἢ τῇ ἀληθείᾳ προσέχουσα, ἔλεγε μὲν τῷ ἀνδρὶ συμφρονεῖν, καὶ τὰ τῶν ὀρθοδόξων ὑπεκρίνετο πρεσβεύειν, τὴν δὲ καρδίαν οὐκ εἶχε συμφθεγγομένην τοῖς φαινομένοις. Λαμβάνει τοίνυν μίαν ἀπό τινος τῶν πνευματομάχων ἄρτου μερίδα, καὶ ταύτην κατὰ τὸ λεληθὸς τῇ παιδίσκῃ πιστεύσασα, τῷ τῶν πιστῶν ἱερῷ σὺν τῷ ἀνδρὶ πρόσεισι, μετασχεῖν τῶν ἁγιασμάτων προσποι-

XXVIII. Quomodo autem justum fuerit hoc quoque præterire, quod est quidem unum ex iis, quæ de eo dicuntur, piæ vero animæ potest esse valde D gratum, et eam accendere ad hymnum Creatoris? Sic autem habet: Vir erat quidam ille tempore, qui ipse quoque idem sentiebat cum Macedonistis, et habebat uxorem, quæ eamdem, quam ipse, habebat opinionem. Eum magnus Joannes sapienter et artificiose aggressus, sua lingua ceperat et adjunxerat Ecclesiæ fidelium. Deinde ille rursus conabatur persuadere ejus uxori, ut eamdem teneret sententiam. Mulier autem, ut quæ esset mulier, et attenderet magis falsum, quam veritatem, dicebat se quidem eadem sentire quæ maritus, et ea, quæ orthodoxi similiter atque ille, tenere; cor autem minime habebat idem loquens, quod lingua: nolens sicut prius cum marito errori, ita veritati postremo communicare. Cum itaque a quodam ex Pneuma-

(14) Ὑπερῷα, superiora tabulata, in quibus sunt mulieres in ecclesia separatæ a viris.

tomachis panis partem accepisset, eam quidem la- A tenter credit ancillæ fidei : ad fidelium autem sacrum accedit cum marito, præ se ferens se participem fore sanctificatorum. Deinde cum panem divinum accepisset, eum quidem rursus latenter tradit ancillæ : ejus vero loco accepit eum, quem habuerat ab hæreticis. Postquam autem eum ori admovit, (o stupendum miraculum, o quam aperta et expressa fuit imago mentis eorum, qui dederant) vidit eum mutatum in naturam lapidis. Atque ipsa quidem cum enuntiasset id, quod factum fuerat, et credidisset, ipsa quoque fit e numero piorum. Lapis autem reponitur in quadam domo ex iis, quæ sacra servant.

ουμένη. Ἔπειτα τὸν θεῖον ἄρτον λαβοῦσα, τοῦτον μὲν ἐν τῷ ἀφανεῖ πάλιν τῇ παιδίσκῃ δίδωσιν, ἀντιλαμβάνει δὲ τὸν ἐκ τῶν αἱρετικῶν. Ὡς δὲ τοῦτον τῷ στόματι προσῆγεν (ὢ τοῦ φρικτοῦ θαύματος!) εἰς λίθου φύσιν ἑώρα μεταβαλόντα. Αὕτη μὲν οὖν ἐξειποῦσα τὸ γεγονὸς καὶ πιστεύσασα, τῆς μερίδος τῶν πιστῶν σὺν τῷ ἀνδρὶ γίνεται. Ὁ δὲ λίθος ἔν τινι τῶν τὰ ἱερὰ τηρούντων ἀποτίθεται οἴκων.

XXIX. Aggreditur nunc oratio res Gainæ, quemadmodum se habeant, tradere auribus fidelium : qui erat quidem genere Gallus, nihilominus autem mente quoque Barbarus. Cum esset vero Romanis B subjectus, et relatus in numerum exercitus, et deinde paulatim progrediens, majores gradus esset assecutus, postremo creatur etiam dux exercitus Romanorum, tam equestrium, inquam, copiarum quam pedestrium. Is cum acriter defenderet opinionem Arianorum, ausus est ab imperatore petere unum templum iis, qui erant ejusdem cujus ipse opinionis, ex iis templis, quæ erant in civitate. Arcadius ergo protinus (ille enim tunc tenebat sceptra imperii Romanorum), Dei homine accersito, rogabat ut petitio ejus exaudiretur, ejus virtutem illi revocans in memoriam, et tacite significans tyrannidem, quam ipsum videbat affectare: ut sic, aiebat, Barbari mansuescat animus. Et sic quidem imperator. Ille autem lingua plane aureus, statim ostendit C se etiam habere aures, quæ linguæ nihil cederent, et quæ possent judicare, quibusnam orationibus parere oporteat, et quibus non. Statim ergo renuit, divini metus non oblitus et ejus, quam habebat, dignitatis: et dicit se non esse permissurum, quodcunque acciderit. Quomodo enim sustinuerit, qui non et a mente et a pietate procul discesserit, ut qui ingrediuntur rectum tramitem veritatis, et Christum defendunt, esse unum venerandæ illius Trinitatis, amandentur extra sacra vestibula : ii autem, qui se magnifice jactantem et audacem linguam in eum movent, ii, inquam (o profanos pedes) intra domum illius introducantur? Sed si quid eum vereris, o imperator, cum tu mihi eum deduxeris in conspectum, omnem curam depone, ea solum quæ di- D cuntur auscultans. Ego enim cum eo disserens persuadebo, ne ille velit ea a te petere, quæ non est fas omnino præbere. Lætatus est his auditis imperator, et die sequenti, cum simul etiam adesset vir divinus, accedit quoque Gainas, ipse quidem sicut heri et nudiustertius petens ab imperatore unam ex sacris domibus: Joannes autem dixit, non licere imperatori audere aliquid in rebus ecclesiasticis, si velit omnino esse pius. Quid vero, non mihi quoque, inquit Barbarus una ædes oratoria permittetur ad precandum? Nullum est templum, inquit magnus Joannes, quod non tibi pateat : nec est quisquam te prohibiturus, si velis orare. Sed sum, inquit, alterius sectæ : et ideo volo seorsum cum

ΚΘ'. Ὀργᾷ δὲ ὁ λόγος καὶ τὰ κατὰ τὸν Γαϊνᾶν ἤδη παραθεῖναι ταῖς ἀκοαῖς· ὃς Κελτὸς μὲν ἦν τὸ γένος, οὐδὲν δὲ ἧττον καὶ τὴν γνώμην βάρβαρος. Ὑπὸ Ῥωμαίοις δὲ γινόμενος, καὶ τῷ καταλόγῳ τοῦ στρατοῦ συναριθμηθεὶς, εἶτα ταῖς κατὰ μικρὸν προόδοις μειζόνων ἐπιτυγχάνων βαθμῶν, τέλος καὶ στρατηγὸς τῆς ἱππικῆς τε καὶ πεζῆς τῶν Ῥωμαίων χειροτονεῖται δυνάμεως. Οὗτος τῆς Ἀρείου δόξης ἐκθύμως ἀντιποιούμενος, ἐθάῤῥησε παρὰ βασιλέως ἕνα τῶν εἴσω τῆς πόλεως τοῖς ὁμοδόξοις αἰτῆσαι ναῶν. Ἀρκάδιος οὖν αὐτίκα (καὶ γὰρ οὗτος διεῖπε τότε τὴν βασιλείαν) τὸν τοῦ Θεοῦ μεταπεμψάμενος ἄνθρωπον ἠξίου πρὸς τὴν αἴτησιν ἐπινεῦσαι, ἀνδρείας τε τῆς ἐκείνου ὑπομιμνήσκων, καὶ ἣν ἑώρα τυραννίδα ὑπὸ τούτου μελετωμένην διανιξάμενος, ὥστε τῇ θεραπείᾳ ταύτῃ, φησὶ, τοὺς τοῦ βαρβάρου τιθασσευθῆναι θυμούς. Ὁ δὲ πάντα ἄριστος ἐκεῖνος ἀνὴρ οὐδὲν τούτῳ [ἴσ. οὐδ' ἐν τούτῳ] τοῦ θείου φόβου καὶ οὗπερ εἶχεν ἐκλαθόμενος ἀξιώματος, Οὐ, φησὶν, εἴ τι δ' ἂν καὶ γένοιτο, τοιούτῳ δὴ παραχωρῆσαι τολμήματι. Πῶς γάρ τις ἂν ἀνάσχοιτο φρενῶν καὶ εὐσεβείας μὴ πόῤῥω κείμενος, τοὺς μὲν τὸν τῆς ἀληθείας λόγον ὀρθοτομοῦντας, καὶ τὸν Χριστὸν ἕνα τῆς σεπτῆς Τριάδος εἶναι ὁμολογοῦντας ἔξω βαλεῖν, τοὺς δὲ βλάσφημον γλῶτταν καὶ τολμηρὰν κατ' αὐτοῦ κινοῦντας εἰς τὸν οἶκον (φεῦ!) τὸν ἐκείνου εἰσαγαγεῖν; ἀλλ' εἴ τι καὶ τὸν ἄνδρα ὑποπτήσσεις, ὦ βασιλεῦ, ἐμοὶ τοῦτον κατ' ὄψιν παραγαγὼν, αὐτὸς ἀμέλει ἀκροατὴς μόνον τῶν λεγομένων γινόμενος. Ἐγὼ γὰρ πείσω διαλεχθεὶς, μὴ τοιαῦτα ἐπιζητεῖν βούλεσθαι, ἃ μηδ' ὅλως θέμις ἐστὶ παρασχεῖν. Ἥσθη τούτων ἀκούσας ὁ βασιλεὺς, καὶ τὴν ἐπιοῦσαν ἅμα καὶ τοῦ θείου παρόντος ἀνδρὸς καὶ Γαϊνᾶς πρόσεισιν· αὐτὸς μὲν, ὡς χθὲς καὶ πρώην, ἕνα τῶν ἱερῶν οἴκων ἐκ βασιλέως αἰτούμενος· Ἰωάννης δὲ μὴ ἐξεῖναι τῷ βασιλεῖ, ἔφη, ἐκκλησιαστικῶν πραγμάτων κατατολμᾷν, εὐσεβεῖν ὅλως προαιρουμένῳ. Τί δὲ οὐχὶ καὶ ἐμοὶ, φάναι τὸν βάρβαρον, τῶν εὐκτηρίων εἷς εἰς προσευχὴν ἀνεθήσεται; Ἅπας σοι ναὸς ἠνέῳκται, εἶπεν ὁ μέγας, καὶ οὐδεὶς ὁ κωλύσων προσεύχεσθαι βουλομένῳ. Ἀλλὰ συμμορίας, εἰπεῖν ἐκεῖνον, ἑτέρας ἐγὼ, καὶ διὰ τοῦτο συνεκκλησιάζειν αὐτῇ κατὰ μόνας αἰτῶ. Αἰτῶ δὲ πάντως αἴτησιν οὐ μεμπτὴν, οὐδεὶς ὑπακοὴν ἀπροφάσιστον, πολέμοις ὅσοις καθ' ἑκάστην παραβαλλόμενος, καὶ τῆς ἐμαυτοῦ ψυχῆς καὶ τῶν κινδύνων τὸ τῆς πολιτείας λυσιτελὲς ἀλλαττόμενος. Ἀλλ' ἔχεις, ὦ βέλτιστε, φάναι τὸν ἅγιον, οὐμενοῦν ἐλάττους τῶν πόνων τὰς ἀντιδόσεις, εἴπερ

δὴ καὶ στρατηγὸς εἶ, καὶ τιμῆς τῆς τῶν ὑπάτων ἠξιωμένος. Οὐδὲν δὲ ἄτοπον καὶ τοῦτο σκοπεῖν, οὗ μὲν ἀδοξίας ἦσθα πρότερον, οὗ νῦν δόξης, καὶ οἷα μὲν ἡ προτοῦ πενία, οἷος δὲ οὕπερ νῦν ἀπολαύεις πλοῦτος. Τοῦτο σε χρὴ ἐνθυμούμενον εὖ νοεῖν, καὶ μηδὲν περὶ τὴν οὕτω τιμήσασαν βασιλείαν ἀγνωμονεῖν. Πρὸς ταῦτα τὸν Γαϊνᾶν οὐδὲν καίριον ἀντειπεῖν ἔχοντα, προκρῖναι τὴν σιωπήν· θαυμάσαι δὲ καὶ βασιλέα καὶ τοὺς περὶ αὐτὸν, ὡς ἐν ὀλίγῳ τὸ πολύῤῥημον τῆς βαρβαρικῆς πεφίμωτο προπετείας. Χρόνου δὲ ἐν τῷ μεταξὺ διελθόντος, ἣν ὁ Γαϊνᾶς ἐκ πολλοῦ ὤδινε τυραννίδα εἰς μέσον ἐξενεγκὼν, τὰ πρὸς Θρᾴκην τε καὶ Μακεδονίαν περιῄει κατατρέχων χωρία, καὶ ὅλῳ ποδὶ ληϊζόμενος. Μηδενὸς δὲ μήτε πόλεμον ἄρασθαι πρὸς αὐτὸν, μήτε πρεσβείαν διακηρυκεύσασθαι θαῤῥοῦντος, ἡ γενναία ἐκείνη ψυχὴ καὶ τῷ θείῳ πεπραγμένη φόβῳ, μηδὲν ὑπολογισαμένη, μήτε τὴν πρὸ τοῦ διαφορὰν, μήτ' ἄλλο τῶν, ὅσα θράττειν οἶδε καὶ πτοεῖν ἀνθρώπου ψυχὴν, αἱρεῖται τὴν πρὸς αὐτὸν ἄφιξιν, ἄνθρωπος ἡσυχίᾳ τοσαύτῃ σύντροφος, καὶ μηδὲν τοιοῦτον ἰδὼν κινδυνῶδες, ἢ ἄγριόν τι καὶ μανικόν. Ἔξεισι μὲν οὖν εἰς αὐτὸν μάλα προθύμως τὴν ὑπὲρ πάντων πρεσβείαν ποιησόμενος. Ὡς δὲ ἤδη πλησίον ἦν (ἐπορεύετο δὲ κάτω νεύων, ἐν ἤθει μὲν προσεκτικῷ καὶ κοσμίῳ, βαδίσματι δὲ σχολαίῳ καὶ γαληνῷ, σαφῆ τῆς ἀρετῆς ἴχνη τῇ ὄψει διασημαίνων), ὁ βάρβαρος αὐτὸν θεασάμενος εὐθύς τε τοῦ θυμοῦ ὑφῆκε καὶ ἥμερον ἔβλεψε, τοῦ οἰδήματος αὐτῷ τῆς ψυχῆς συσταλέντος. Ἱκανὴ γάρ σώφρων ὄψις καὶ κοσμία κατάστασις ὀφθαλμόν τε ἄγριον ἱλεώσασθαι, καὶ αἰδῶ καὶ σέβας εἰς τὴν ψυχὴν ἐμβαλεῖν. Αὐτὸν δὲ καὶ δέος εἰσῆλθεν ὑπομνησθέντα παῤῥησίας ἐκείνης καὶ γλώττης, ἣν εὖ ἐκεῖνος μᾶλλον ἔστρεφε κατ' αὐτοῦ, ἢ αὐτὸς ἐκίνει τὸ δόρυ πρὸς πολεμίους. Διὰ ταῦτα γοῦν καὶ προσυπήντα καὶ προσέπιπτε, καὶ τῆς αὐτοῦ λαβόμενος δεξιᾶς, τοῖς ὀφθαλμοῖς αὐτὴν ὡς ἁγιάσουσαν ἐπετίθει. Πρὸς δὲ καὶ τοὺς παῖδας πρὸ τῶν ποδῶν αὐτοῦ τῶν ἁγίων πίπτειν ἐποίει. Εἶτα λόγων καὶ παραινέσεως ἡδυτάτης ἀκούσας πείθεται ῥᾳδίως, καὶ τὴν ἔχθραν λύσας, ὑπόσπονδος, ὥσπερ πρῶτον, Ῥωμαίοις καὶ φίλος γίνεται. Οὕτω πολλάκις αἰδέσιμος ὄψις, καὶ λόγων εὐκαιρία καὶ σύνεσις, ἃ μὴ πολέμων ἔπαυσε βία, ῥᾳδίως ἤνυσε καὶ κατώρθωσεν. Ἀλλὰ νῦν μὲν οὕτω τῆς Ἰωάννου ἡττηθεὶς ἀρετῆς καὶ γλώττης, τὰ ὅπλα καταθεὶς, εἰρήνην ἔσχε πρὸς βασιλέα· μετ' οὐ πολὺ δὲ κακοηθείας τῆς προτέρας ὑπομνησθεὶς, καὶ φυγὰς διὰ Θρᾴκης γενόμενος, τῷ Ῥωμαϊκῷ στρατῷ περιπίπτει, καὶ οὕτως ἅμα τοῖς ἄλλοις στασιασταῖς ἀπόλλυται. Ἀλλὰ τὰ μὲν κατὰ Γαϊνᾶν οὕτω, καὶ ταῦτα δὲ τῶν πολλῶν ὀλίγα.

A ea versari in Ecclesia. Non est mea petitio reprehendenda, et quæ non justam habeat occasionem, cum belli pericula quotidie adeam, et reipublicæ utilitatem vitæ meæ præferam. Sed habes, o optime, inquit sanctus, laborum non minores remunerationes; siquidem es dux exercitus, et consularem honorem es assecutus. Satius autem fuerit hoc quoque considerare, quam antea quidem esses obscurus et ignobilis, quantus vero sit nunc tuus splendor et quanta gloria: et quanta quidem esset antea paupertas, quantis autem nunc abundes divitiis. Hoc te cogitantem, oportet esse benevolum, et non esse ingratum in imperium, quod te sic honoravit, et non ab eo petere quæ non licet. Cum ad hæc nihil haberet Gainas, quod apte responderet, præ-
B tulit silentium: ut qui pulchre reipsa didicisset, se in virum incidisse, qui non minus posset versare linguam, quam ipse gladium. Admiratus est autem imperator et qui aderant, quod tam paucis barbaricæ temeritatis refrenata fuisset loquacitas. Cum autem aliquantum effluxisset temporis, Gainas quam jam diu parturiebat tyrannidem, aperte edens in lucem, in Thracia et Macedonia faciebat incursiones eas populares et prædas ex eis agens. Adversus quem cum nemo auderet nec bellum fortiter suscipere, nec apud eum fungi legatione, generosa illa anima et divino metu armata, neque timens priorem illius cum ipso contentionem, neque quidquam eorum, quæ solent animum frangere et perterrere, ad eum statuit proficisci: homo in summa quiete
C educatus, et qui nullum unquam tale viderat periculum nec talem perturbationem. Atque egreditur quidem valde alacri animo, ipse legatione functurus pro omnibus. Cum vero jam accederet, ambularet autem terram intuens, gestu quidem gravi et honesto, incessu vero tardo et tranquillo, manifesta virtutis vestigia in vultu significans, Barbarus hoc aspiciens, non amplius erat Barbarus: sed statim et iram remisit, et placide aspexit, tumore animi ei quodammodo compresso tam moderato et tranquillo spectaculo. Quinetiam eum quoque invasit timor, recordatum illius dicendi libertatis, et qui perterreri minime potest spiritus, et verborum quæ vires habent ex veritate, et quæ valde possunt animum sauciare. Propterea ergo ei processit obviam et ad pedes procidit: et assumens ejus dexteram,
D imponebat oculis tanquam sanctificaturam. Præterea autem filios quoque fecit procidere ante sanctos ejus pedes. Deinde cum verba et valde suavem audiisset admonitionem, facile persuadetur: et sublatis inimicitiis, fit Romanis, sicut prius, fœderatus et amicus. Ita sæpenumero venerandus vultus, et opportunitas et prudentia orationis, quæ vis belli non potuit, facile effecerunt, et visa est plus potuisse oratio, quam gladius. Sed nunc quidem sic victus a virtute et lingua Joannis, depositis armis, pacem est amplexus. Non multo post autem illa valde dulcia et aurea verba, erant, ut cum divina Scriptura dicam, inaures aureæ in aure porci, et Æthiops quidem non mutavit pellem [24], et felis crocoti oblita, persecuta est ea quæ consueverat: et ipse quoque priorem complectens improbitatem, rursus cum aliis obibat Thraciam,

[24] Prov. XI, 22; Jerem. XIII, 23.

res novas moliens : donec in Romanorum exercitum incidit cum aliis seditiosis : et sic malus ille male perit. Sed res quidem Gainæ sic se habuerunt ; et hæc quidem diximus pauca ex multis, quantum satis fuerit ad significandam ejus perversitatem, et magni illius viri virtutem.

XXX. Similiter autem pro ecclesiasticis quoque regulis studium, et quem pro ipsis habebat zelum, singulatim quidem nemo potest explicare. Sed tamen hoc quoque paucis, quoad ejus fieri potest, conabimur ostendere, tanquam universam aquam fontis per modicum fluentum. Cum enim Constantinopoli Asiani episcopi numero viginti duo cum hoc magno pontifice considerent [Ann. 400], repente uno sabbatorum episcopus quidam Valentinopolis, nomine Eusebius, ex odio ad illum accedens, porrexit libellos Synodo, qui erant adversus Antoninum, qui tunc Ephesinam sedem administrabat. Deinde etiam maximo sacramento adigit magnum Christi pontificem, ea quæ data fuerant, non leviter et in transitu tractaturum, sed ad examinationem quamprimum deducturum. Septem autem capitibus comprehensa erat tota accusatio. Sic autem habebat : Sacris vasis pretiosis transmutatis, eorum materia unum esse ad vasa, quæ ejus et filii sui fuerunt nuncupata. Marmor rursus accepisse ex aditu baptisterii, et audaci manu et mente in balneo suo deposuisse. Columnas, quæ longo ante tempore intra templum fuerant repositæ, in suo collocasse triclinio. Suum filium cædis reum, non divina nec humana reveritum, eum sua nimia auctoritate conservare adhuc immotum in diaconatu. Prædia, inquit, a Basilina, quæ erat mater Juliani abominandi imperatoris, Ecclesiæ consecrata vendidisse, et pretium sibi usurpasse. Cum uxori sua sponte prius renuntiasset, cum ea rursus coivisse, et ex ea filios suscepisse. His omnibus malis accedebat hæc coronis, quod, tanquam sit licitum et permissum, auro vendat episcoporum ordinationes, adeo ut majores fiant, qui plus præbent pecuniæ. Ad hæc homo Dei placide admodum et tranquille : Frater, inquit, Eusebi, iis, quæ propter animi dolorem fiunt, accusationibus maxima ex parte non sunt faciles probationes. Mittamus ergo in scriptis accusare Antoninum, cum doloris causas possimus curare facilius. Cum is autem repente verbis uteretur acrioribus, et impudentissime affirmaret, se nulla animi perturbatione motum, sed veritate omnia accusare, dat beatus Joannes locum iræ, arbitratus inimicitias esse causam accusationis : et cum Paulum Heracleæ episcopum (videbatur enim is bene velle Antonino) rogasset, ut inter utrumque pacem conciliaret, surgens ingressus est in templum : tempus enim vocabat celebrandi divini mysterii. Sed hæc ne minimum quidem placebant Eusebio, neque cessabat ab inimicitiis : sed vehementer invehebatur in Antoninum, et magno in eum ferebatur impetu. Incertum autem, quomodo fuisset in eum motus, et quonam animi motu fuisset incitatus. Itaque accedens, alterum magno Joanni tradit libellum cujus erat eadem cum priori sententia. Præterea autem rursus quoque horrendis adigit

A Λ΄. Τίς δὲ τὴν ὑπὲρ τῶν ἐκκλησιαστικῶν κανόνων σπουδὴν καὶ ὃν ὑπὲρ αὐτῶν εἶχε ζῆλον, κατὰ μέρος φράσοι ; πλὴν ἀλλὰ καὶ ταύτην δι᾽ ὀλίγων τινῶν ἀποδεῖξαι, ὡς οἷόν τε, πειρασόμεθα, ὥσπερ δὴ διὰ μικρῶν ναμάτων ὅλον ὕδωρ πηγῆς. Κατὰ γὰρ τὴν Κωνσταντίνου τοῦ μεγάλου πόλιν Ἀσιανῶν ἐπισκόπων δύο καὶ εἴκοσι τὸν ἀριθμὸν ὄντων, ἀρχιερεῖ τούτῳ τῷ μεγάλῳ συνεδρευόντων, ἄφνω μιᾶς τῶν σαββάτων Εὐσέβιός τις Οὐαλεντινουπόλεως ἐπίσκοπος παρελθὼν εἰς μέσους, λιβέλλους ἐπιδίδωσι τῇ συνόδῳ. Κατὰ Ἀντωνίνου δὲ ἦσαν οὗτοι τοῦ τῆς Ἐφέσου τὸν θρόνον διέποντος. Εἶτα καὶ ὅρκῳ τὸν Χριστοῦ μέγαν ἀρχιερέα μεγίστῳ καταλαμβάνει τὰ δοθέντα ταῦτα μὴ παριδεῖν, ἀλλ᾽ ὅτι τάχιστα πρὸς ἐξέτασιν ἐνεγκεῖν. Ἐν ἑπτὰ δὲ κεφαλαίοις τούτοις
B τὸ πᾶν συνείληπτο τῆς κατηγορίας· εἶχε δὲ οὕτω· Κειμήλια ἱερὰ μετασκευασάμενος, τῇ αὐτῶν ὕλῃ σκεύη ποιήσειεν αὐτῷ τε καὶ τῷ υἱῷ κατωνομασμένα. Μαρμάρους αὖθις τῆς εἰσόδου τῆς κολυμβήθρας λαβών, τολμηρᾷ χειρὶ τῷ ἑαυτοῦ κατέθηκε βαλανείῳ. Κίονας εἴσω τοῦ ἱεροῦ, πολὺς ἐξ οὗ χρόνος, ἀποκειμένους, τῷ αὐτοῦ ἔλεγεν ὑποστῆσαι τρικλίνῳ. Τὸν υἱὸν τὸν ἑαυτοῦ φόνου φεύγοντα, οὐ θεῖα, οὐκ ἀνθρώπινα δείσας, κατὰ πολλὴν οὗτος τὴν τόλμαν ἀκίνητον ἐν τῇ διακονίᾳ εἰσέτι διατηρεῖ. Χωρία, φησὶν, ὑπὸ Βασιλίνης τῆς μητρὸς Ἰουλιανοῦ τοῦ ἀπευκτότατα βασιλεύσαντος καθιερωθέντα τῇ Ἐκκλησίᾳ, πωλήσας οὗτος ἐξιδιώσατο τὰς τιμάς. Τῇ γαμετῇ κατὰ γνώμην ἀποταξάμενος πρότερον, πάλιν αὐτῇ συνέλθοι, καὶ παίδων πατὴρ ἐξ αὐτῆς γένοιτο. Ἡ ἐπὶ
C τούτοις πᾶσι τοῖς κακοῖς κορωνὶς, ὅτι ὡς νόμῳ χρῆται καὶ δόγματι, χρυσίου τὰς τῶν ἐπισκόπων χειροτονίας πωλεῖν, τῶν μειζόνων (φεῦ !) γινομένων τῶν πλείονα παρεχόντων. Πρὸς ταῦτα τὸν τοῦ Θεοῦ ἄνθρωπον πράως πως ἂν εἴποις καὶ γαληνῶς, Ἀδελφὲ, φάναι, Εὐσέβιε, ταῖς διὰ λύπην κατηγορίαις αἱ ἀποδείξεις οὐκ εὐχερεῖς. Χρὴ οὖν ἀποστῆναι τοῦ ἐγγράφως κατηγορεῖν Ἀντωνίνου, τὰς τῆς λύπης αἰτίας ῥᾷον ἰᾶσθαι δυναμένων ἡμῶν. Τοῦ δὲ λόγοις θερμοτέροις χρωμένου, καὶ ἰταμώτατα διατεινομένου, μηδὲν κατὰ πάθος, ἀλλὰ πρὸς ἀλήθειαν πάντα κατηγορεῖν δίδωσι τόπον ὁ μακάριος τῇ ὀργῇ, ἀπέχθειαν εἶναι δόξας τῆς κατηγορίας τὴν πρόφασιν, καὶ Παῦλον τὸν Ἡρακλείας ἐπίσκοπον (ἐδόκει γὰρ οὗτος φιλίως ἔχειν πρὸς Ἀντωνῖνον) τὰ πρὸς εἰρήνην ἐπ᾽ ἀμφοτέρους διαπρεσβεύσασθαι
D ἀξιώσας, ἀναστὰς εἰς τὸ ἱερὸν εἴσεισιν. Ἐκάλει γὰρ ὁ καιρὸς τῆς μυσταγωγίας. Ἀλλ᾽ οὐκ ἦν ταῦτα καὶ Εὐσεβίῳ ἀρέσκοντα, οὐδ᾽ ἔληγεν ἔχθρας, ἀλλὰ πολὺς ἦν κατὰ Ἀντωνίνου φερόμενος, καὶ ὁρμῆς ἀσχέτου καὶ φορᾶς ἔμπλεως· ἄδηλον μέντοι, ὅπως δὴ κατ᾽ αὐτοῦ κεκίνητο, καὶ τίνι πάθει τὴν ψυχὴν ὑπεκκνισμένος. Παρελθὼν οὖν, καὶ ἕτερον τῷ μεγάλῳ προτείνει βιβλίον, τὰ αὐτὰ δυνάμενον τῷ προτέρῳ, καὶ ὅρκοις πάλιν καταλαμβάνει φρικτοῖς, καὶ αὐτὴν συνείρας τῶν βασιλέων τὴν σωτηρίαν, μὴ παριδεῖν

vir et vita dicendi facultate unus ex præstantissimis, et præterea ab ipso quoque magno Athanasio relatus in numerum presbyterorum. Atque ipse quidem, tanquam ab Isidoro extrema affectus injuria, et ut ab illo convictus, propterea quod ostendisset veritatem, Petrum quidem præter rationem expellit e sacerdotio non propter aliam causam, nisi propter inimicitias. Deinde etiam quærebat occasionem, per quam suæ improbitatis tropæum ipsum quoque erigeret Isidorum. Quod etiam facit paulo post, aliunde ad iram incitatus (18). Hinc autem fuit commotus. Isidoro dantur mille aurei a Theodote, que fuit uxor Theodori præfecti prætorio. Ea vero mandavit Isidoro, ut pauperibus, quæ erant Alexandriæ mulieribus emeret indumenta. Hoc Theophilo non communicatum, in eum peperit iram minime tolerandam. Causa autem erat, Ne si ille, inquit, acceperit, consumat in lapides, ut solet, et in ædificia. Cum autem interrogatus Isidorus confessus esset, et dixisset se id fecisse, quod volebat quæ dederat, tunc quidem nequaquam ostendit se fuisse iratum, sed sub Plutonis, ut aiunt, galea celat iram, in cordis penetralibus pontifex fovens æmulationem. Paulo post autem eam aperit, et gravissimam machinatus calumniam (sciebat enim ille sicut prius diximus, optime dolos struere et machinari insidias), cum illam mandasset litteris, et ordinem deinde sacratum vocasset ad concionem, ipso præsente, in quem erat ordinata calumnia: Hanc, dixit, o Isidore, ostendens schedulam quam habebat in manibus, ante decem et octo annos contra te mihi traditam, quoniam in aliis occupatus, victus fui ab oblivione: nunc rursus propter alia forte perscrutans, inveni. Agebat autem tunc Isidorus annum vitæ octogesimum, vir qui exercitatione et laboribus longis jam consenuerat, et ipsum habebat vultum nuntium virtutis, et qui eorum, qui videbant, animis poterat magnam afferre reverentiam. Cum ergo, postquam hoc sic dixisset, peteret ut protinus de objecto crimine causam diceret (id autem erat sodomiticæ libidinis), Isidorus statim placide, et ut se dignum erat: Esto, inquit, chartam tunc datam latuisse: quomodo non rursus processit is, qui dedit? attamen si ne tunc quidem aderat, at nunc adsit: et ostendens quisnam ipse sit, dicat in nos. Cum ergo nihil haberet, quo posset calumnia videri fide digna, qui facit? Quodam adolescente corrupto pecuniis, cum pulchre instruit ad sycophantiam. Deinde ille abiens, rem matri communicat. Illa autem partim quidem Deum timens, partim autem suspectum quoque habens, quod erat in præsentia, judicium, ne forte manifestum redderet id, quod erat compositum, Isidoro significat: et quod quindecim aureos accepisset

A 'Αθανασίου τε μεγάλου τῷ πρεσβυτερείῳ κατειλεγμένον, αὐτὸς ὥσπερ ὑπὸ 'Ισιδώρου τὰ ἔσχατα ὑβρισθεὶς, καὶ ὡς ἂν ὑπ' ἐκείνου ἐληλεγμένος, χαλεπῶς ἐνεγκὼν διὰ τὴν τῆς ἀληθείας δήλωσιν, πρῶτα μὲν τὸν Πέτρον ἀλόγως ἀπείργει τῆς ἱερατείας· ἔπειτα καιρὸν ἐζήτει καὶ ἀφορμὰς δι' ὧν ἔργον τῆς αὐτοῦ κακονοίας καὶ τρόπαιον θείη καὶ αὐτὸν δηλαδὴ τὸν 'Ισίδωρον, ὅπερ δὴ καὶ ποιεῖ μικρὸν ὕστερον παροξυνθεὶς καὶ ἄλλοθεν εἰς ὀργήν. Μαθὼν γὰρ ὡς 'Ισίδωρος χιλίους χρυσοῦς παρὰ Θεοδότης λάβοι (ἀδελφὴ δὲ αὕτη Θεοδώρου, φημὶ, τοῦ ὑπάρχου), ἐπιτραπείη τε παρ' αὐτῆς τὰς ἐν 'Αλεξανδρείᾳ πενομένας δι' αὐτῶν ἀμφιάσαι μηδὲν Θεοφίλῳ κοινωσάμενος περὶ τούτου, Ἵνα μὴ λαβὼν, φησὶν, ἀναλώσειεν, ὥσπερ εἴωθεν, εἰς τοὺς λίθους καὶ τὰς οἰκοδομάς· B ἐπεὶ οὗτος ἐρωτηθεὶς ὡμολόγησε, καὶ κατὰ νοῦν ἔφη τελέσαι τῇ δεδωκυίᾳ, τότε μὲν ὀργισθεὶς οὐκ ᾠήθη δεῖν δῆλος γενέσθαι, ἀλλ' ἐν ἀποῤῥήτῳ τὴν ὀργὴν ἔθαλπε. Μετ' ὀλίγον δὲ ταύτην ἐκκαλύπτει καὶ διαβολὴν μελετήσας (οἷος ἐκεῖνος πλάττειν τὰ τοιαῦτα) χαλεπωτάτην, καὶ γράμμασι ταύτην ἐνθεὶς· εἶτα τὸ ἱερατεῖον ἐκκλησιάσας, καὶ αὐτοῦ παροντος 'Ισιδώρου, Τοῦτο, εἶπεν, 'Ισίδωρε, δείξας μετὰ χεῖρας τὸ γραμματεῖον, δέκα πρότερον καὶ ὀκτὼ χρόνους κατὰ σοῦ μοι ἐπιδοθὲν, ἐπεὶ ἑτέροις ἐνασχολούμενος ἔτυχον, πρὸς λήθην ἐλθὸν, νῦν πάλιν κατὰ χρείαν ἑτέρων διερευνώμενος εὕρηκα. Ὃν δὲ τῷ 'Ισιδώρῳ τότε ὀγδοηκοστὸν ἔτος ὁ βίος, ἀνὴρ τοῖς μακροῖς πόνοις καὶ τῇ ἀσκήσει καταγεγηρακὼς, τὴν ὄψιν τε αὐτὴν ἔχων τῆς ἀρετῆς ἄγγελον, καὶ οἵαν C αἰδῶ πολλὴν τοῖς ὁρῶσιν ἐνθεῖναι. 'Επεὶ οὖν οὕτως εἰπὼν καὶ ἀπολογίαν ἀπῄτει πρὸς τὸ ἐπίκλημα (τοῦτο δὲ τῆς Σοδομιτῶν ἦν ἀσελγείας), ὁ 'Ισίδωρος πράως εὐθὺς, καὶ ὡς ἂν εἴποις, ἑαυτοῦ ἀξίως, Ἔστω, φησὶ, τὸν χάρτην τότε δοθέντα διαπεσεῖν πως· οὐχὶ πάλιν προσῆλθεν ὁ δεδωκώς; Εἰ δὲ μὴ τότε, φαίης, παρῆν, ἀλλὰ νῦν παρίτω καὶ ἑαυτὸν, ὅστις εἴη, δείξας λεγέτω τὰ καθ' ἡμῶν. Ὡς δ' οὖν οὐδὲν ἦν αὐτῷ τῆς κατηγορίας ἐχέγγυον, τί κακουργεῖ; Χρήμασί τινα διαφθείρας τῶν νέων ἀλείφει πρὸς τὴν συκοφαντίαν· εἶτα ἐκεῖνος ἀπελθὼν τῇ μητρὶ κοινοῦται. Ἡ δὲ τοῦτο μὲν καὶ Θεὸν δείσασα, τοῦτο δὲ καὶ τὸ παρὸν κριτήριον ὑποπτεύσασα, μήποτε καὶ δῆλον ἀποφήνῃ τὸ δρᾶμα, παρελθοῦσα γνωρίζει τὴν σύληψιν τῷ 'Ισιδώρῳ, καὶ ὡς πέντε πρὸς τοῖς δέκα χρυσοῦς εἴη ὁ υἱὸς αὐτῆς εἰληφὼς, οὓς δεδωκέναι αὐτῷ τὴν D ἀδελφὴν ἔφη Θεοφίλου μισθὸν ἔχειν τῆς κατ' ἐκείνου συκοφαντίας. Ταῦτα 'Ισίδωρος μὲν ἀκούσας σιωπὴν εἵλετο, Θεῷ μόνῳ τὰ κατ' αὐτὸν ἐπιτρέπων. Ὁ δὲ Θεὸς οὕτως αὐτῷ κρίνας ἀσφαλέστερον εἶναι, εἰς τὸν θεῖον ναὸν παρελθὼν προσφεύγει τῷ θυσιαστηρίῳ. 'Επεὶ δὲ ταύτῃ μᾶλλον διηπορεῖτο, Θεόφιλος ἀποκηρύττει, φεῦ! ἐπὶ κούφῃ τοιαύτῃ διαβολῇ καὶ οὐδὲν ἐχούσῃ σαφὲς, τὸν 'Ισίδωρον καὶ τῆς 'Εκκλησίας ἀπείργει. Τῷ δὲ καθάπερ ἕρμαιον τουτὶ δόξαν καὶ

(18) Historiam hanc a Palladio. Sozomeno et Socrate Origenistarum fautoribus assertam, ab hujus auctore, et aliis eorum fidem, secutis acceptam, mendacii convincit Baronius, et occasione Origenis errorum, Anastasii pontif. Rom. et concilii Alexandrini sententiis damnatorum, in criminationis Theophili conversam ait. (Vide Bar. tom. V *Annal.*, ad an. 400.)

κατὰ γνώμην γενόμενον, οὐδεμίαν τῷ χρόνῳ δόντι A τριβὴν, τὸ τῆς Νιτρίας ἐπῆλθε καταλαβεῖν ὄρος, ἵνα καὶ πρότερον ἐκ νέου τὸν καλὸν τῆς ἀσκήσεως διήνυσε βίον. Ἐκεῖ οὖν καὶ αὖθις συχνάζων κατὰ μόνας ἦν τῷ Θεῷ συγγινόμενος. Πλὴν οὐδὲ οὕτως ἔμελλε τὰς Θεοφίλου πάγας διαφυγεῖν, μᾶλλον δὲ τοῦ πάντων ἐχθροῦ τε καὶ πολεμίου· ὃς καὶ Ἰσιδώρῳ ἐπῆγε πράγματα βασκαίνων τῆς ἀρετῆς, καὶ Θεόφιλον τῷ Θεῷ προσκρούειν ἐποίει, κατὰ τῶν τῷ Θεῷ προσκειμένων ὁπλίζων. Κεκίνητο γὰρ κατ' ἐκεῖνο καιροῦ ζήτησις ἐν τοῖς κατὰ τὴν Αἴγυπτον μοναστηρίοις. Βούλεται δὲ ὁ λόγος ἄνωθεν ἡμῖν τὸ πρᾶγμα δηλῶσαι.

ejus filius : quos ei dicebat dedisse sororem Theophili, mercedem comparatæ in illum sycophantiæ. Hæc cum audiisset quidem Isidorus, egit silentium, soli Deo relinquens universum : ut qui laudes quidem celare potius dedicisset, non autem vituperationes. Adolescens vero ratus sic sibi rem in tuto magis futuram, in divinum templum accedens, confugit ad altare. Cum autem sic magis in dubium veniret Theophilus, abdicat, proh dolor, ob tam levem calumniam, Isidorum, et arcet ab ecclesia. Deinde ille cum hoc pro lucro habuisset, et ex ejus successisset sententia, dans nullam rei dilationem, venit ei in mentem ad montem Nitriæ proficisci, ubi prius ob ineunte ætate egerat pulchram vitam exercitationis. Illic ergo rursus vacabat, cum Deo solo congrediens. Sed ne sic quidem ei concedebatur esse extra teli jactum, neque erat evitaturus Theophili laqueos, vel potius communis omnium hostis, qui hæc mala Isidoro intulerat, ejus virtuti invidens : et Theophilo auctor fuit, ut Deum offenderet, illum oppugnans per ea, quæ se efferebant. Tunc enim mota erat quætio in monasteriis, quæ erant in Ægypto (19). Vult autem oratio nobis rem paulo altius repetitam declarare.

ΛΕ'. Ἡ δὲ ζήτησις, τῶν μὲν σῶμα εἶναι τὸ Θεῖον B λεγόντων, σχῆμά τε καὶ πρόσωπον ἀνθρώπου περικείμενον καὶ μορφὴν, ὅσοι τῶν παχυτέρων ἢ ἀμαθεστέρων ὑπῆρχον· τῶν δὲ ὅλως ἀσώματον αὐτὸ τιθεμένων καὶ πάσης ἐμφερείας καὶ μορφῆς ἀνθρώπων ἀπηλλαγμένον· τῶν λογιωτέρων δὲ τοῦτο καὶ ὀξυτέρων. Ταύτην τοιγαροῦν τῆς μερίδος καὶ Θεόφιλος ὢν, τοὺς ἀνθρωπόμορφον εἶναι τὸ Θεῖον λέγοντας φανερῶς ἀπεκήρυττεν. Ὅπερ οἱ τῶν ἐν Αἰγύπτῳ μοναχῶν ἀλογώτεροι μαθόντες, τοῦ Θεοφίλου κατεστασίαζον, καὶ ὥς τινα βλάσφημον, καὶ δόξης οὐχ ὑγιῶς ἔχοντα ἔμελλον ἀναιρεῖν· τὸν δὲ δι' ἐπινοίας τὸ παραστὰν μετελθόντα, Οὕτω με τεθεᾶσθαι ὑμᾶς, ἔφη [ἴσ. φάναι], ὡς πρόσωπον Θεοῦ. Τοῦτο ἐκείνους ἀκούσαντας στῆναι μὲν τῆς ἀτάκτου καὶ φονώδους ὁρμῆς· πρὸς αὐτὸν δὲ, Εἰ γνησίως, εἰπεῖν, τὰ ἴσα ἡμῖν φρονεῖν C ἔχεις, ἕν ἐστί σοι τὸ λειπόμενον, ἀναθέματι τὰ Ὠριγένους παραδοῦναι βιβλία, δι' ὧν ἐκεῖνος τὸ σῶμά τε εἶναι τὸ Θεῖον καὶ ἐοικὸς ἀνθρώπῳ πρόσωπον ἔχειν ἀνατρέπειν πειρᾶται. Πρὸς ταῦτα τὸν Θεόφιλον, Τί δὲ, φάναι, τὸ κωλῦον ἐμὲ τοῦτο δρᾷν, καὶ μάλα γε διὰ μίσους Ὠριγένην ἔχοντα; Ταῦτα εἰπόντα καὶ ἐπαγγειλαμένον, χαλᾶσαι τοῖς μοναχοῖς τὴν ὀργήν. Οὕτως ἐκεῖνος ἦν ἐπαμφοτερίζων, καὶ πρὸς ἑκάτερα νεύων, καὶ τοῖς καιροῖς ἁρμοζόμενος· δέον ἐπίσκοπον ὄντα, καὶ λαοῦ ψυχὰς ἐπιτετραμμένον, καλῶς διελεῖν καὶ τὸν λόγον ὀρθοτομῆσαι τῆς ἀληθείας, καὶ λῦσαι τὴν στάσιν, ἀμφοτέροις διδάξαντα πατρικῶς, ἀλλ' οὐχὶ τεχνικῶς παραπείσαντα, αὐτὸ μὲν καθ' ἑαυτὸ Θεῖον εἰπεῖν ἀσώματον εἶναι καὶ ἀσχημάτιστον, σῶμα δὲ καὶ πρόσωπον καὶ μορφὴν ἀνθρωπείαν D τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον λαβόντα, καὶ μετὰ τὸν ὑπὲρ ἡμῶν θάνατον ἐν ὁμοίῳ σχήματι τῆς ἀνθρωπίνης σαρκὸς ἀναστάντα, οὕτω καὶ εἰς οὐρανοὺς

XXXV. Quæstio autem erat, cum alii quidem corpus Deum esse dicerent (20), planeque indutum figura et persona et forma hominis, ii scilicet, qui erant paulo rudiores et crassiores : alii vero eum omnino ponerent incorporeum, ab omnique similitudine et forma hominum liberum, hoc autem dicebant, qui erant doctiores, et acutioris ingenii. In hac vero sententia cum esset Theophilus, eos, qui Deum dicebant humanæ formæ similem, non leviter, sed admodum vehementer abdicabat. Quod quidem cum compertum habuissent, qui erant in Ægypto monachi, minus participes rationis, id in eos immisit tumultum, et illum de medio tollere, ut qui esset blasphemus, et non sanæ opinionis, putabant esse maximum Dei cultum. Ille autem callido invento, rem quæ aderat, aggrediens : Sic ego, inquit, vos intueor, tanquam Dei faciem. Hoc cum illi audiissent, represserunt quidem protinus illum cædis impetum : ei autem dixerunt : Si eadem, quæ nos, germane sentis, unum tibi solum deest, nempe ut libros Origenis subjicias anathemati, qui maxime Deum esse corpus et faciem habere homini similem, ne sinunt quidem in aures cadere. Ad hæc Theophilus : Quid (21) autem, inquit, prohibet, quo minus hæc faciam, qui ab Origene maxime dissideo, et cum eo acriter bellum gero? Hæc cum dixisset, et esset pollicitus, iram sedavit monachorum. Sic ille semper anceps, et facile ad utrumque annuens, et se temporibus accommodans, cum oporteret eum, ut qui esset episcopus, et qui commissæ erant animæ populi, non uti figmento et scena ad decipiendum, et sic illos relinquere ægrotantes : sed quam fieri posset optime distinguere, et verbum veritatis recte admi-

(19) Isidorum hunc Origenistarum antesignanum, ut eum S. Hieronym. vocat, non ob has hic prætextas causas, sed ob hæresin merito a Theophilo abdicatum, docet Baron. loco citato.

(20) Hos Anthropomorphitas vocabant, — Origenistis familiare fuisse Anthropomorphitarum hæresin catholicis impingere, docet Bar. tom. V *Annal.* an. 400 : quare non mirum si et Theophilo eos prosequente hanc impingant calumniam.

(21) *Vide* Niceph. l. VIII, c. 10 t 17 ; Soc. l. VI, c. 7 ; Soc. l. VIII, c. 11 ; Bar. loco citato.

nistrare, et utrique parti componere seditionem, paterne docentem, sed non artificiose diversum persuadentem: dicere ipsum quidem per se Deum esse incorporeum et figuræ expertem : corpus autem et faciem et formam humanam unigenitum Dei verbum accepisse, arcanis rationibus suæ benignitatis. Deinde cum etiam rursus surrexisset post mortem pro nobis susceptam, in simili scilicet figura carnis humanæ, sic in cœlum esse assumptum. Hoc enim esse summæ unionis et ineffabilis in suum figmentum benevolentiæ : et sic manere sedentem ad dexteram Patris. Nondum evasit manifestum, quod dictum est : sed alia luce adhuc indiget oratio ad aperte declarandum id, quod est propositum.

A ἀνειλῆφθαι, καὶ μένειν ἐν δεξιᾷ τοῦ Πατρὸς καθήμενον. Οὔπω δῆλον κατέστη τὸ εἰρημένον, ἀλλ' ἔτι δεῖται καὶ ἑτέρων ὁ λόγος πρὸς τὴν σαφῆ τοῦ προκειμένου δήλωσιν.

XXXVI. Erant quatuor monachi fratres corporibus, fratres animis, monachorum omnium, qui erant in Ægypto, et doctrina et vita longe excellentissimi. Eis erant nomina, Dioscorus et Ammonius, Eusebiusque et alius Euthymius: quos etiam Longos vocabant ob staturæ forte proceritatem. Hi non solum ab Alexandrinis plurimi fiebant ob mores et vitæ probitatem : sed Theophilo quoque erant chari, et in magno apud eum pretio habebantur, et eos amabat æque ac suos oculos, et in medio cordis sui habitabant. Hæc autem ita se habebant, quandiu fuit ille Deo amicus, adeo ut persuasum Dioscorum (vix enim attrahit honorem virtus) constituerit episcopum Hermopolis, Ammonium autem et Euthymium honorarit sacerdotio, et eis tradiderit Ecclesiæ administrationem, et fecerit œconomos. Cur non dico, quod ejus in ipsos maximam significat benevolentiam ? Elegit eos, qui cum ipso habitarent et essent toto tempore vitæ ei convictores, ut eos nec a corporis, nec ab animæ oculis pateretur discedere. Sed hæc quidem, quandiu Theophilus erat, ut diximus, vere Theophilus, id est, pius ac religiosus. Cum autem vidissent declinasse ad avaritiam et magna ex parte aurum magis amare quam Deum, et ut pararet pecunias, acerrimum ponere studium, tanquam noxiam recusantes cohabitationem (solet enim vitium mutare facillime), elegerunt solitudinem, et illic ubi prius, versari.

ΛϚʹ. Μοναχοὶ τέσσαρες ἦσαν ἀδελφοὶ τὰ σώματα ἀδελφοὶ τὰς ψυχὰς, τῶν κατ' Αἴγυπτον μοναχῶν πάντων λόγῳ τε καὶ βίῳ παρὰ πολὺ διαφέροντες· ὀνόματα τούτοις, Διόσκορος, καὶ Ἀμμώνιος, Εὐσέβιός τε, καὶ ὁ λοιπὸς Εὐθύμιος· οὓς δὴ καὶ Μα- B κροὺς διὰ τὸ τῆς ἡλικίας εὔμηκες ἴσως ἐκάλουν. Οὗτοι γοῦν οὐκ Ἀλεξανδρεῦσι μόνοις περὶ πλείονος ἦσαν, ἀλλὰ καὶ αὐτῷ Θεοφίλῳ χρῆμά τι περισπούδαστον ἐλογίζοντο, καὶ ἐφίλει τούτους ἴσα καὶ ὀφθαλμοῖς, καὶ τῆς καρδίας ᾤκουν αὐτῷ τὸ μεσαίτατον. Ταῦτα δὲ οὕτως ἦν, ἕως ἐκεῖνος δήπου Θεόφιλος ἦν· ὥστε καὶ Διόσκορον πείσαντα μόγις ἐπίσκοπον Ἑρμουπόλεως καταστῆσαι, Ἀμμώνιον δὲ καὶ Εὐθύμιον ἱερωσύνῃ τε τιμῆσαι καὶ τὴν οἰκονομίαν ἐγχειρίσαι τῆς Ἐκκλησίας, ἑλέσθαι τε συνοίκους ἔχειν διὰ παντὸς, ὡς μήτε τῶν σωματικῶν αὐτοὺς ἀφίστασθαι, μήτε τῶν τῆς ψυχῆς ὀφθαλμῶν. Ἀλλὰ ταῦτα, ὥσπερ ἔφημεν, ἕως θεόφιλος ἦν, ἢ μᾶλλον φιλόθεος εἰπεῖν, ὁ Θεόφιλος. Ἐπεὶ δὲ κλίναντα πρὸς φιλαργυρίαν εἶδον, καὶ φιλοχρύσως μᾶλλον, ἢ C φιλοθέως ἔχοντα, θερμήν τε τιθέμενον περὶ τὸ χρηματίζεσθαι τὴν σπουδὴν, ὡς ἐπιβλαβῆ τὴν ὁμιλίαν παραιτησάμενοι (ῥᾴστη γὰρ καὶ ταχεῖα μεταβαλεῖν ἡ κακία), τὴν ἐρημίαν εἵλοντο καὶ τὰς προτέρας διατριβάς.

XXXVII. Hanc ille disjunctionis causam cum intellexisset esse sui condemnationem, valde ægre tulit, ipsosque manibus et pedibus, ut dicitur, cœpit molestia afficere : primum quidem illos criminans apud Anthropomorphianos, dicebat eos convenire cum Origene (22-23), et eamdem quam ille tenere opinionem, et decernere Deum esse incorporeum: et ideo dicit oportere eos tanquam male sentientes, et quid aliud quam hæreticos, expelli. Deinde finitimis quoque jussit episcopis, nonnullos monachos, qui eadem quæ ipsi sentiebant, et in ima habitabant solitudine, cum non prius significasset, cur hæc et quidnam fecerant, e monte quamprimum deturbari præcipites. Monachi ergo illi fratres venientes Alexandriam, convenerunt Theophilum, et causam rogarunt, propter quam eos ille sic condemnasset. Ille autem protinus (24)

ΛΖʹ. Τοῦτο ἐκεῖνος μαθὼν ὅτι καταγνόντες αὐτοῦ διεπράξαντο, σφόδρα τε ἐχαλέπηνε, καὶ χειρὶ αὐτοὺς καὶ ποσὶ, τὸ τοῦ λόγου, βλάπτειν ἐπειρᾶτο, καὶ πρῶτα μὲν πρὸς τοὺς Ἀνθρωπομορφιανοὺς ἐκείνους διαβάλλων, συνῳδὰ τῷ Ὠριγένει καὶ αὐτοὺς φρονεῖν ἔλεγε, καὶ ἀσώματον δογματίζειν τὸ Θεῖον. Καὶ διὰ ταῦτα δεῖ τούτους, φησὶν, ὡς αἱρετικοὺς ἀπελαύνεσθαι. D Ἔπειτα καὶ τοῖς ὁμόροις τῶν ἐπισκόπων διεκελεύετο ἐνίους τῶν τὰ ἴσα φρονούντων μοναχῶν, καὶ τῆς ἐνδοτέρας ἐρήμου ὄντας, ἐπὶ κεφαλὴν τοῦ ὄρους καταβαλεῖν, οὐκ ἐπαγαγὼν τὴν αἰτίαν, οὗ χάριν ταῦτα κελεύοι. Τοὺς οὖν μοναχοὺς εἰς Ἀλεξάνδρειαν ἀφικομένους ἐντυχεῖν τε τῷ Θεοφίλῳ, καὶ τὴν αἰτίαν ἐρέσθαι δι' ἣν αὐτῶν τὰ τοιαῦτα κατακρίνειν βούλεται. Τὸν δὲ ὀργῆς τοὺς ὀφθαλμοὺς ὑποπλήσαντα καὶ αὐτόχρημα πῦρ βλέψαντα, τῷ θυμῷ τε ὅλως ἐφιέντα (καὶ γὰρ ἦν ὁρμητίας φύσει, καὶ χειρῶν ὡς

(22-23) Longos hosce monachos erroribus Origenis studuisse, auctoritate S. Hieronymi et aliorum, docet Baron. loco citato; quare et hos pie justeque indignationem Theophili meruisse.

(24) Hæc et sequentia ex Palladio Origenista desumpta, calumniarum suspicione in Theophilum non

μάλιστα ἀκρατής), τὸν Ἀμμωνίου τράχηλον αὐτοχειρίᾳ τῷ ὠμοφόρῳ περιβαλεῖν· εἶτα πυγμῶν ἐμπλῆσαι τὰς σιαγόνας, Ἀναθεμάτισον, ἐπᾴδοντα, Ὠριγένην. Ἦν δὲ ὁ μὲν Ὠριγένης, καὶ τὸ τὰ ἐκείνου φρονεῖν, ἐπείσακτος ἀφορμή· ἡ δὲ ἀληθὴς αἰτία ἡ πρὸς ἐκεῖνον ἀντικρὺς καὶ τοὺς ἀδελφοὺς ἀπέχθεια. Οὕτω τὰ ἔσχατα ὁ πάντολμος ἐξυβρίσας εἰς τοὺς πολλῆς αἰδοῦς τε καὶ τιμῆς ἀξίους, ἀπέπεμπε μετ' αἰσχύνης. Εἶτα τοὺς ἐκ γειτόνων ἐπισκόπους οὐδὲν δέον μετακαλούμενος, μήτε παροῦσι τοῖς ὁσίοις ἐκείνοις, μήτε μὴν ἀπολογουμένοις δογμάτων παραφθορὰν αἰτιασάμενος, αὐτούς τε ἅμα καὶ τὸν θεῖον Ἰσίδωρον ἀναθεματίσας ἀποκηρύττει. Καὶ οὐδὲ μέχρι τούτου τῆς ὁρμῆς ἵσταται, ἀλλ' ἀνθρωπάριά τινα φαῦλα κομιδῆ καὶ ἀνώνυμα πέντε τὸν ἀριθμὸν, ἄλλον ἀλλαχόθεν ὅπως ἔτυχε συμφορήσας, καὶ τὸν μὲν πόλεως ἀπορίᾳ ἐν κωμυδρίῳ τινὶ χειροτονήσας ἐπίσκοπον, ἐφ' ᾧ μηδὲ ἐπισκοπῆς ὄνομα τὸ προτοῦ τέθειτο, τὸν δὲ πρεσβύτερον, τοὺς ἄλλους δὲ διακόνους, λιβέλλους αὐτοῖς ἐγχειρίζει κατὰ τῶν θείων τούτων ἀνδρῶν συγκειμένους, οὓς ἐκεῖνος (ὦ θεία δίκη, καὶ Θεοῦ πάντα βλέποντες ὀφθαλμοί!) κατὰ τὸ λανθάνον συνέταξε, καὶ παραγγέλλει δοθῆναί οἱ τούτους ἐκκλησιάζοντι.

ira plenus et instar ignis micantibus oculis (natura enim subito movebatur impetu, nec poterat ullo modo suis manibus temperare) Ammonii collum pallio comprehendit: deinde etiam suis pugnis ejus maxillas contundens, acclamat: Anathemati subjice Originem. Erat autem Origenes quidem plane Patroclus: et eadem quæ ille sentire, quæsitus prætextus. Vera autem causa aperte erat in illum et fratres odium. Sic extrema contumelia affectos, viros magnos honore dignos et reverentia, dimisit cum dedecore. Deinde vicinis, cum nihil opus esset, accersitis episcopis, illos sanctos, cum nec adessent, nec suam causam defenderent, quod pravum et corruptum dogma tenerent criminatus, ipsos simul et divinum Isidorum datos anathemati abdicat. Erat autem non extreme malum, neque sic, ut non esset piæ et religiosæ animæ, si hactenus repressisset impetum. Illi vero minime; sed cum quosdam abjectos et nullius nominis homunculos quinque numero, alium aliunde ex tenebris et angulis quomodocunque coegisset, et alium quidem ex his, propter defectum civitatis in viculo constituisset episcopum, in quo ne prius quidem erat nomen episcopatus: alium autem presbyterum, alios vero diaconos, eis tradit libellos adversus divinos hos viros compositos: quos ille (o divina justitia et Dei omnia intuentes oculi!) latenter composuit: jubens eos sibi dari, quando concionabatur.

ΛΗ'. Λαβὼν οὖν τοὺς λιβέλλους, ὧν ἐκεῖνος πατὴρ ἦν, καὶ προσελθὼν καὶ τῷ Αὐγουσταλίῳ περὶ αὐτῶν κοινωσάμενος, στρατιωτικὴν αἰτεῖται παρ' αὐτοῦ χεῖρα, ἐφ' ᾧ τοὺς ὁσίους ἄνδρας ἀπελάσαι τῆς Αἰγύπτου πάσης, ὡς κακοδόξους. Καὶ λαμβάνει μὲν ὡς πεντακοσίους, προσθεὶς δὲ καὶ αὐτὸς πλῆθος ἕτερον, ἰταμοὺς ἄνδρας καὶ νεωτερίσαι δεινοὺς, εἶτα καὶ οἴνῳ τὰς ὁρμὰς αὐτῶν ἐπιθήξας νυκτὸς ἐπιστρατεύει τοῖς μοναχοῖς, τρόπαιον στῆσαι φιλονεικῶν, οὐκ οἴδαμεν εἰ ἑτέρῳ τινὶ προσῆκον, ἀρχιερεῖ μέντοι συμβαῖνον οὐδὲ βραχύ. Ἄλλως τε δὲ, κἂν παρ' οὐδὲν ἕτερον, ἀλλὰ τοῦ ἰδίου καλοῦ ἕνεκεν ἀποσχέσθαι ἔδει πράγματος ἐπιμώμου. Ἢ γὰρ τὴν προλαβοῦσαν πρὸς τοὺς ἄνδρας φιλίαν εὐκολίαν εἴποις φρενῶν ἐγκρίνουσαν πρὸ βασάνου, ἢ τὸ μετὰ ταῦτα μῖσος ἔκδηλον μοχθηρίαν, ᾧ καὶ μᾶλλον θετέον. Φανερὰ γὰρ καὶ ἡ τῶν ἀνδρῶν ἀρετὴ, καὶ ἡ τοῦ μισήσαντος κακοήθεια. Πρῶτα μὲν οὖν Διόσκορον ἀπελαύνει τοῦ θρόνου, διά τινων οἰκετῶν αὐτοῦ Αἰθιόπων πρὸς βίαν ἑλκόμενον. Ἔπειτα δὲ καὶ τῆς αὐτοῦ Ἐκκλησίας ἀφαιρεῖται τὴν παροικίαν, σκυλεύει τε τὸ ὄρος, καὶ τὰς οἰκίας τῶν μοναχῶν ληΐζεται, τοὺς τρεῖς ἐκείνους ἐπιμελέστατα ἀνιχνεύων τοὺς περὶ τὸν Ἀμμώνιον, ἀμώμους, φημὶ, τοὺς τὸ πᾶν ἀδελφούς. Οὐκ ἔχων δὲ ἐφευρεῖν (καὶ γὰρ ἦσαν εἰς φρέαρ αὐτοὺς καθέντες), ἀπορήσας ὁ ἀγεννὴς τῶν ἀνδρῶν ἐπὶ τὴν ὕλην ἐτράπετο, καὶ τὴν ὀργὴν αὐτῆς καταχέει, τὰς οἰκίας αὐτῶν, καὶ ὅ τι τῶν σκευῶν ὑπῆρχεν (ἦσαν δὲ καὶ

XXXVIII. Acceptis ergo libellis, quorum ille erat pater, cum processisset, et Augustali eos communicasset, ab eo petit manum militarem, ut sanctos viros, ut qui malam tenerent opinionem, procul a tota Ægypto expelleret: et accipit quidem ad quingentos. Cum autem ipse quoque manum non parvam adjecisset, viros audaces et ad novandum aliquid egregios, et deinde etiam eorum impetûs dato vino incitasset, vir ipse acerrimus et cujus impetus non poterat cohiberi, noctu ducit exercitum in monachos, contendens erigere tropæum, quod quidem nescio an ulli alii, qui esset quidem pontifex, vel minimum conveniret. Alioqui autem si nulla alia de causa, et suæ quidem certe honestatis gratia a re tam vituperanda debebat abstinere. Aut enim præcedentem, quæ ei cum viris intercessit, amicitiam, dixeris esse animi levitatem, quæ eligit ante probationem: aut quod postea exortum est odium, evidentem improbitatem, cui est etiam hoc magis ascribendum: est enim virtus eorum manifesta, et ejus qui illos oderat malignitas. Atque primum quidem Dioscorum expellit e sede per quosdam suos famulos Æthiopes. Oportebat enim illum uti talibus ministris. Deinde etiam tyrannice et per vim ei aufert suæ ecclesiæ diœcesim, et montem spoliat, tanquam imperator quispiam electus et præfectus bello gerendo contra monachos: et eorum domos diripit, tres illos miser diligenter

carent. Quantum autem is Origenistis faverit, consule ipsius Lausiaca, ubi totus versatur in laude Isidori ac consodalium monachorum. *Vide* **Baron. loco citato.**

perscrutans, Ammonium, inquam, cum aliis, quos ne Momus quidem reprehendisset, et qui erant omni ex parte fratres. Cum autem non posset omnino invenire (se enim ipsos in puteum demiserant), viros non assecutus vir pusilli et abjecti animi, se protinus convertit ad materiam : et tanquam insaniæ nimiam ostentans abundantiam, in eam effudit iram, domos illorum et omnem supellectilem (erant autem nonnulli quoque libri studiosorum) omnia simul igni mandans.

A βίβλοι τινὲς τῶν σπουδαίων), ἅπαντα τῷ πυρὶ χαρισάμενος.

XXXIX. Accidit huic improbo imperatori aliud quoque facinus, quod omnino quidem illi satis congruit, nec est eo indignum : est autem dignum non paucis lacrymis. Infans enim, qui incidit, et sacra quædam signa sacramentorum, ea quoque ab igne consumuntur. Cum vix tandem ab ira cessavisset, revertitur Alexandriam pontifex cum talibus victoriis. Illi autem vix tandem securi a metu liberi, nudi exeunt e puteo pudenda solum succincti linteis: et obibant simul Alexandriam fugitivi, prædam quam non potuerat assequi Theophilus et illius B insania, miserabile iis, qui videbant, spectaculum, etiamsi virtute erant induti splendide, et ab illa pulchre ornati. Eos cum agnovissent Alexandrini, zelo et ira statim repleti, ut sunt acres et vehementes, lampades in manus sumentes, et Theophilum ubicunque eum esse putabant, publice circumsistentes, nonnulli quidem cœperunt incendere, alii autem bona diripere. Cum vero jam ad sacra vasa essent venturi, præses timens periculum, accessit eos leniens, et humanitate eorum iram volens sedare. Illi autem magis efferebantur, Theophilum tanquam venatici quidam canes naribus indagantes, et ultricem in eum manum cupientes immittere. Atque præsidi quidem suadebat metus eum jam tradere, propter concitatam illam eorum, qui C ipsum quærebant, incursionem. Sed ille cum solis pedibus sibi quæsiisset salutem, in quodam loco secreto se infodit, timidus repente apparens, qui tanta erat audacia, et mus modo picem gustans. Deinde cum præses accepisset monachos, et eos induisset vestibus (sic enim studebat populum sedare, sicut diximus, et impetus eorum reprimere), ostendebat præsentes. Cum autem nihil proficeret, timens ne ipse fieret iræ tropæum, et lueret pœnas furoris in Theophilum, accedens jurat Theophilum nequaquam ei ostendisse causam, cur eos viros quæreret; sed dixisse, quod essent corrupti in religione, et quod non satis ducerent, si ipsi soli ægrotarent ; sed alios etiam conarentur inducere ad suam communionem. Si enim scivissem, inquit, D quod animo agitabat, non modo non præbuissem milites, sed nec illum ipsum quidem sivissem egredi. Cum sic dixisset, vix tandem eis persuasit ut recederent. Postea autem Theophilus, cum et ipsum præsidem, et quidquid erat clarum et illustre in civitate (erat enim res pecuniaria eis in magnas adducta angustias) donis explesset ad satietatem, in suam sedem, quod utinam non factum esset, restituitur. Atque alii quidem ex his sanctis viris alibi sunt dispersi: Dioscorus autem, et plures alii ex melioribus, non solum ex monachis, sed etiam ex sacerdotibus, eum secuti, accedunt ad

ΛΘ'. Συμβαίνει τι καὶ ἄλλο τῷ πονηρῷ στρατηγῷ τούτῳ τετολμημένον δακρύων ὄντως πλειόνων ἄξιον. Καὶ παιδίον γὰρ προστυχὸν, καὶ ἱερά τινα σύμβολα τῶν μυστηρίων καὶ αὐτὰ παρανάλωμα τοῦ πυρὸς γίνεται. Οὕτως αὐτῷ μόλις τῶν θυμῶν ληξάντων, ἐπάνεισι πρὸς τὴν Ἀλεξάνδρειαν μετά γε τῆς τοιαύτης ὁ ἀρχιερεὺς νίκης καὶ τῶν κατὰ τῶν μοναχῶν, οἴμοι ! τροπαίων. Αὐτοὶ δὲ τυχόντες ἀδείας ἐξίασι γυμνοὶ τοῦ φρέατος, μόναις ὀθόναις διαζωσάμενοι τὴν αἰδῶ, καὶ περιῄεσαν οὕτω τὴν Ἀλεξάνδρειαν B (ἐλεεινὴ τοῖς ὁρῶσιν ὄψις), εἰ καὶ τὴν ἀρετὴν ἦσαν φιλοτίμως ἠμφιεσμένοι, καὶ ὑπ' ἐκείνης καλῶς κοσμούμενοι. Τούτους ἐπιγνόντες Ἀλεξανδρεῖς ζήλου καὶ ὀργῆς ἔμπλεῳ καταστάντες εὐθὺς, οἷοι ἐκεῖνοι θερμοὶ καὶ δυσκάτοχοι τὰς ὁρμὰς, λαμπάδας ἔχοντες μετὰ χεῖρας, καὶ τὸν Θεόφιλον, ἔνθα δὴ καὶ ᾤοντο εἶναι, πανδημεὶ περιστάντες, εἰσὶ μὲν οἳ καὶ ἐμπρησμῶν ἤρχοντο, οἱ δὲ διαρπαγὴν τῶν ὄντων ἐποίουν. Ὡς δὲ καὶ περὶ τὰ ἱερὰ σκεύη χωρεῖν ἔμελλον, ὁ ἄρχων τὸν κίνδυνον ὑποπτήξας προσῄει, λόγων ἐπιεικείᾳ τιθασσεῦσαι βουλόμενος καὶ τὴν ὁρμὴν αὐτοῖς ἐπισχεῖν. Οἱ δὲ καὶ μᾶλλον ἠγρίαινον καὶ βοῆς καὶ θορύβου τὰ ἅπαντα ἐπλήρουν, τὸν Θεόφιλον οἷα δὴ θηρατικοὶ κύνες ῥινηλατοῦντες, ἆρξαι τε τιμωροῦ δεξιᾶς ἐπ' αὐτῷ γλιχόμενοι. Τῷ μὲν οὖν ἄρχοντι παρῄνει τὸ C δέος ἔκδοτον αὐτὸν ἤδη θέσθαι διὰ τὴν πολλὴν τῶν ζητούντων ἐπιδρομήν. Ἀλλ' ἐκεῖνος ποσὶ μόνοις τὸ σωθῆναι πιστεύσας, ἔν τινι τόπῳ τῶν ἀποῤῥήτων ἑαυτὸν κατορύττει, δειλὸς ἀθρόον ὁ γενναῖος καὶ τολμητίας ἀναφανεὶς, ἐπιχειρῆσαί τε πράγμασι θερμοτέροις ξυρὸς, καὶ εἴ τι ἄλλο τῶν ταχίστων καὶ τομῶν, γνωριζόμενος. Εἶτα τοὺς ἀσκητὰς ὁ ἄρχων λαβὼν, καὶ ἱμάτια περιθεὶς, εἰς τὸ πλῆθος ἐξῆγε, πρᾳότερον οὕτως αὐτὸ διαθεῖναι βουλόμενος. Ὡς δὲ μηδὲν ἤνυε, δείσας μὴ τρόπαιον αὐτὸς τοῦ θυμοῦ γένηται, καὶ τὴν εἰς Θεόφιλον ἐκτίσῃ μανίαν, ὄμνυσι παραστὰς μὴ δήλην αὐτῷ ποιῆσαι τὴν αἰτίαν Θεόφιλον, καθ' ἣν ἐπιζητοίη τοὺς ἄνδρας. Φάναι γὰρ πρὸς αὐτὸν, ὅτι διεφθαρμένως ἔχοιεν περὶ τὸ σέβας οἱ μοναχοὶ, καὶ ὡς οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέ- D ρους ἐφέλκονται πρὸς τὸ ὅμοιον. Εἰ γὰρ ᾔδειν, ἔφη, τὸ κατὰ νοῦν, οὐχ ὅπως ἂν στρατιώτας, ἀλλ' οὐδὲ αὐτὸν ἐκεῖνον παρέσχον ἂν ἐξελθεῖν. Οὕτως εἰπὼν ὀψὲ καὶ μόλις ἔπειθεν ἀποστῆναι. Ὕστερον μέντοι Θεόφιλος αὐτόν τε ἄρχοντα, καὶ πᾶν ὅ τι ἐπίσημον ἦν τῆς πόλεως, δώροις θεραπεύσας εἰς κόρον (καὶ γὰρ ἦν αὐτῷ δεξιὰ πλούτῳ βαρυνομένη), εἰς τὸν θρόνον ἀνασώζεται τὸν οἰκεῖον. Ἄλλοι μὲν οὖν τῶν ὁσίων τούτων ἀνδρῶν ἀλλαχοῦ διεσπάρησαν. Τοῖς δὲ περὶ Διόσκορον καὶ ἕτεροι πλείους τῶν σπουδαιοτέρων, φημὶ, μοναχῶν τε καὶ ἱερέων ἀκολουθήσαντες. Σιλβανῷ τῷ τῶν Ἱεροσολύμων ἐπισκόπῳ προσῆλθον. Πλὴν οὐδὲ οὕτως ἀνῆκεν αὐτοὺς ἠμερεῖν ἡ ταράχου

παντὸς πεπληρωμένη ψυχή. Ἀλλὰ Σιλβανῷ γράφων, A Οὐκ ἔδει, ἔλεγε, παρὰ τὸ ἐμοὶ δοκοῦν ὑποδεχθῆναι τοὺς φυγάδας. Συγγνωστὴ δὲ ἄγνοια. Πλὴν ἀλλὰ τὸ μετὰ ταῦτα δεῖ πάντως μήτε ἐκκλησιαστικοῦ αὐτοῖς τόπου, μήτε ἰδιωτικοῦ κοινωνεῖν. Οὕτως εἰς πᾶν ἀπορίας ἐλθόντες οἱ μοναχοὶ κατὰ πᾶσαν ἀνάγκην τόπον ἐκ τόπου συνεχῶς διαλλάττοντες, πρὸς τὴν Κωνσταντίνου φοιτῶσι· καὶ τῷ καλῷ τούτῳ προσελθόντες ποιμένι (τίνι γὰρ ἂν καὶ εἶχον ἑτέρῳ;), τῷ γλυκεῖ μὲν τὴν γλῶτταν, ἐλέῳ δὲ πολλῷ τὴν ψυχὴν ἱλαρυνομένῳ, ἐδέοντο βοηθεῖν αὐτοῖς πονηρῷ ἀνθρώπῳ περιπεσοῦσι, καὶ παρ' αὐτοῦ πλεῖστα ὅσα πεπονθόσι δεινά, καὶ τί γὰρ ἄλλο, φασίν, ἢ καὶ αὐτῆς ἄρτι φθονοῦντι καὶ τῆς ζωῆς; Τούτοις προσχὼν ὁ μακάριος, καὶ ἰδὼν ἄνδρας εἰς πεντήκοντα συναριθμουμένους, τὸ σχῆμα διακεκοσμημένους, τὸ B βλέμμα κεκολασμένους, τὴν ἔντευξιν ἀπαιδεύτους, ὑπὸ πολλῇ τῇ τήξει τῶν μελῶν ἀρετὴν ὅσην ἐμφαίνοντας ἐπικρυπτομένην, ἠλέησέ τε τῆς συμφορᾶς, καὶ παράκλησιν, ἣν εἶχε πρὸς τὸ παρὸν, παρεῖχεν αὐτοῖς, τὰ δάκρυα, καὶ τὸ δῆλον γίνεσθαι συναλγοῦντα τοῖς αὐτῶν πάθεσιν. Εἶτα μαθὼν ὡς εἶχε τὰ κατ' αὐτούς, ἐν τιμῇ μὲν ἦγε, καὶ μένειν ἐπέτρεψε τέως κατὰ τὸν καλούμενον Ἀναστασίας νεών· παρήγγειλε δὲ μηδενὶ τὴν αἰτίαν ἔκδηλον θέσθαι τῆς αὐτῶν παρουσίας, κοινωνίας γε μὴν οὐ μετέδωκε, μὴ δεῖν εἰρηκώς, ἄρχις ἂν Θεοφίλῳ περὶ αὐτῶν γράψειεν.

Sylvanum episcopum Hierosolymitanum. Sed ne sic quidem eos scivit quiescere illa omni tumultu plena semper anima, sed scribens ad Sylvanum: Non oportebat,inquit,omnino præter meam voluntatem meos excipi fugitivos. Ignorantiæ autem est ignoscendum,si deinceps isti non ecclesiastici, non privati loci fuerint omnino apud te participes.Sic cum animo omni ex parte dubii et perplexi essent monachi,necessario quo intercedebat itinere confecto,veniunt Constantinopolim:et ad bonum hunc(ad quem enim alium possent?) pastorem accedentes, qui erat lingua quidem dulcis,magna autem misericordia animam habebat exhilaratam,rogabant ut eis ferret auxilium,qui in malum virum inciderant, et ab eo ea passi sunt mala, quæ nullus fere homo ab homine: et,quid enim aliud,inquiunt,vel ipsam modo invidet vitam? Hæc cum attendisset vir beatus, et vidisset viros numero quinquaginta, vultu moderatos,sermone eruditos, magna membrorum maceratione latentem magnam ostendentes virtutem, misertus est eorum calamitatis. Quidni enim misereretur sic affectorum, qui erat humanissimus? Et quam domi habebat consolationem, ante omnia eis præbuit, lacrymas, et aperte ostendit, se ex eorum malis simul cum eis dolorem accipere. Deinde cum quemadmodum res eorum se haberent didicisset, eos quidem habuit in honore, et jussit eos in præsentia manere in templo, quod vocatur Anastasiæ: jussit autem eos linguam continere, et nemini causam aperire cur venissent: communione vero eos non impertiit, dicens non oportere, quousque de eis scripsisset ad Theophilum.

Μ'. Ἐπεὶ δὲ καὶ συνέβη τότε τῶν Θεοφίλου τινὰς C ἐν τῇ Κωνσταντίνου παρεῖναι, μεταπεμψάμενος ἠρώτα εἰ τοὺς νῦν προσελθόντας τούτους ἴσασι μοναχούς. Τοὺς δὲ καὶ γινώσκειν φάναι, καὶ τὰ χαλεπώτατα αὐτοὺς συνειδέναι παρὰ Θεοφίλου παθεῖν. Γράφει τοίνυν ὁ μέγας αὐτῷ, καὶ ἀξιοῖ λῦσαι τὴν ὀργὴν τοῖς ἀνδράσι, παραδοχῆς τε ἀξιῶσαι σκυθρωπὸν ἐχούσης οὐδέν. Ὁ δὲ ὑποκρίνεται μὲν ἀκοῦσαι, μετακαλεῖται δὲ τοὺς ἀγύρτας ἐκείνους, οἷς τὰ τῆς ἐπισκοπῆς καὶ τῆς ἱερωσύνης ἀναξίως ἐπίστευσε, καὶ λιβέλλους, οὓς ἐκεῖνος ἐπλάσατο κατὰ τῶν ἀνδρῶν, ἐγχειρίσας ἐκπέμπει πρὸς βασιλέα, αἵρεσιν αὐτῶν καὶ γοητείαν καταψευσάμενος, ὁ τὴν συνείδησιν διάτρυφος κομιδῇ καὶ κατεψευσμένος. Ἐπεὶ οὖν οἱ σπουδαῖοι οὗτοι καὶ θεοφιλεῖς ἄνδρες ἀνίατον εἶναι Θεόφιλον τὰ πρὸς αὐτοὺς ἔγνωσαν, ἐκεῖνο ποιεῖν διεσκέψαντο, ὅπερ ἡ βία συνεβούλευεν D αὐτοὺς δρᾶν, καὶ γράμματα προσελθόντες ἐγχειρίζουσι τῷ μεγάλῳ, ἐν οἷς πολλὰ τῶν οὐ καλῶν πράξεων Θεοφίλου ἐγκείμενα ἦν. Ὁ δὲ τούτοις μὲν καὶ αὖθις παρῄνει μηδὲν ἐκείνου κατηγορεῖν· αὐτῷ δὲ γράφει πάλιν, καὶ συγγνῶναι τοῖς ἀνδράσιν ὡς τάχιστα συμβουλεύει, νικωμένοις ἤδη καὶ ἐγγράφως αὐτοῦ κατειπεῖν ὡρμημένοις. Ὅπερ οὖν δοκεῖ σοι, φησίν, διὰ τάχεων γνώρισον, Ἀποστῆναι γὰρ ἥκιστα τοῦ σκοποῦ πείθονται. Οὕτω μὲν πως εἶχε τὰ γεγραμμένα. Τὸν δὲ εὐθὺς εἰσέδυ μανία, οὐκ ἐπ' ἐκείνους, ἀλλ' ἐπ' αὐτὸν μᾶλλον τὸν ἀμφοτέρων κη-

XL. Cum autem contigisset quosdam ex familia Theophili adesse Constantinopoli, eos accersitos interrogat,an cognoscant eos, qui nunc accessere, monachos. Illi autem dixerunt se et nosse, et se scire eos esse gravissima passos a Theophilo. Ad ipsum ergo scribit ille vir magnus, et rogat ut his viris irasci desinat eosque accipiat,et eorum conspectum admittat, qui nihil habet, quod ei afferat tristitiam.Ille autem simulat quidem se exaudiisse; sed cor ejus nequaquam consentiebat cum labiis. Accersit enim illos circulatores,quibus episcopatum et sacerdotium indigne crediderat: et eis traditis libellis,quos ipse adversus eos viros composuerat, mittit ad imperatorem, in eos ementitus hæresim et præstigias,qui erat ipse valde perversa et ementita conscientia.Cum ergo his viris bonis esset evidens,odium,quod in ipsos conceperat Theophilus, minime posse curari,illi præsentem necessitatem adhibentes in consilium, magno Joanni tradunt scripta in quibus sita erant multa Theophili facta minime honesta. Ille autem eos quidem rursus admonet,ut eum nihil accusent: ad ipsum vero scribit,consulens ut eis quamprimum ignoscat, ut qui jam vincantur et adversus eum dicere propositis scriptis sint incitati.Quod ergo tibi videtur,inquit, quamprimum significetur. Non possunt enim persuaderi, ut a scopo desistant. Atque sic quidem se habebant litteræ. Eum autem protinus invasit

furor, non in illos, sed in eum potius, qui curam gerebat utriusque. Ei enim dabat nimium reprehendendi studium, ut adversus omnes contenderet. Protinus autem scribit in hunc modum: Existimo te non ignorare, quæ decreta fuerunt a Patribus Niceæ, qui pronuntiarunt non oportere episcopum judicare extra terminos suæ diœcesis. Sin autem ignoras, inquit, disce, et abstine ab iis, quæ ad me pertinent. Nam si judicari oporteat, erit hoc apud Ægyptios, non apud te qui a nobis abes tam longo intervallo. Cum tam acerbe scriptæ essent litteræ, viri illi desperantes se posse a magno Joanne consequi auxilium, a re dubia et cujus exitum non poterant invenire, vincuntur: et a necessitate, qua nihil est fortius, ut aiunt, persuadentur, adversus Theophilum aut calumniatores, nihil quidem falsi, sicut ille, sed veros libellos componere. Eos autem accedentes, tradunt imperatori. Ab eo vero profertur sententia, calumniatorum quidem causæ cognitionem et examinationem esse præfectis mandandam; Theophilum autem (oportebat enim majori mandari judicium ejus, qui erat major vitio) vel invitum sisti, et hoc magno viro judice reddere rationem. Litteræ igitur imperatoriæ, aliæ quidem statim missæ sunt ad præsidem Alexandriæ, ut ad urbem regiam quamprimum mitteret Theophilum: aliæ autem ad episcopum Romanum, is erat Innocentius: præterea vero ad Honorium quoque, fratrem imperatoris: hortantes ut mitterentur episcopi et legati, qui dici solent τοποτηρηταί, id est, locum tenentes: ut quæreretur de Theophilo et de monachis Nitriæ. Atque calumniatores quidem a præfectis interrogati, quoniam fieri non poterat ut mendacium superaret veritatem, confessi sunt omnia esse Theophili: illiusque belluæ Ægyptiæ adversus innocentes figmenta et machinationes. Condemnantur itaque coerceri in carcere, donec ipse venerit. Thephilus autem cum eum vidisset, qui ad ipsum missus fuerat, cui etiam imperatum fuerat, ut vel invitum duceret, quoniam non bonam spem ei prænuntiabat judicium conscientiæ, neque veritatis poterat habere auxilium, quam adversus se ad bellum valde provocaverat, ut qui se maxime adjunxisset mendacio, ad thesauros aspexit et ad crumenas, quæ quidem sciebat delinire et incantare multorum animos, et quibus intelligebat magna ex parte prodere veritatem, et non solum persuaderi, sed etiam servos effici eos, qui lucrum existimant melius libertate. Cum magnis itaque muneribus et ipsius præsidis dexteram ipse placasset, ei permittebatur manere securissime. Videtur enim verum esse, quod vulgo dicitur, nullum malum facile perire. Ut autem bene in eum affecti essent, qui rerum potiebantur, procurans, congestis acervis Arabicorum aromatum et cæterorum, quæ erant rara et peregrina, se parat ad iter ineundum. Episcopi vero Romæ, ad quos scriptum fuerat ut venirent, cum essent parati, exspectabant ut mitterentur litteræ, quæ instarent ut venirent, ne si ante

A δόμενον. Ἀντιγράφει τε παραυτίκα, Δοκῶ μοι, λέγων, μὴ κεῖσθαί σοι ἐν ἀγνοίᾳ τὰ πρὸς τῶν ἐν Νικαίᾳ κανονισθέντα, μὴ δεῖν ἀποφηνάμενον ἐπίσκοπον ὑπερόρια δικάζειν. Εἰ δὲ καὶ ἀγνοεῖς, ἀλλὰ μαθὼν ἀπόσχου τῶν κατ' ἐμοῦ. Εἰ γὰρ καὶ δέοι κριθῆναι, παρ' Αἰγυπτίοις ἔσται τοῦτο, οὐ παρὰ σοὶ παμπληθὲς ἡμῶν ἀφεστῶτι. Οὕτω τοῦ γράμματος πικρῶς ἔχοντος, ἀπογνόντες οἱ ἄνδρες καὶ τὴν ἀπὸ τοῦ μεγάλου βοήθειαν, κατὰ τοῦ Θεοφίλου καὶ τῶν συκοφαντῶν τόμους συντάττουσι πολυστίχους, καὶ τῷ βασιλεῖ ἐγχειρίζουσιν. Ἔξεισιν οὖν ἐκεῖθεν ἀπόφασις, τὰ μὲν τῶν συκοφαντῶν τοῖς ὑπάρχοις ἐπιτραπῆναι, καὶ παρ' αὐτῶν γενέσθαι τὴν ἔρευναν· τὸν Θεόφιλον δὲ καὶ ἄκοντα παραστάντα, ὑπὸ δικαστῇ τῷ μεγάλῳ τούτῳ τοὺς λόγους ὑπέχειν. Γράμματα B τοίνυν βασιλικὰ τὰ μὲν τῷ ἄρχοντι τῆς Ἀλεξανδρείας εὐθὺς ἐπέμπετο, τὸν Θεόφιλον ὅτι τάχιστα πρὸς τὴν βασιλεύουσαν παραπέμψειν [ἴσ. παραπέμψαι·] τὰ δὲ καὶ τῷ ἐπισκόπῳ Ῥώμης Ἰννοκεντίῳ, πρὸς δὲ καὶ Ὀνορίῳ τῷ ἀδελφῷ τοῦ κρατοῦντος, ἐπισκόπους στέλλεσθαι προτρεπόμενα, καὶ οὕσπερ δὴ τοποτηρητὰς ὀνομάζουσιν, ἐφ' ᾧ τὰ Θεοφίλου καὶ τῶν τῆς Νιτρίος μοναχῶν εἰς ζήτησιν καταστῆναι. Οἱ μὲν οὖν συκοφάνται παρὰ των ὑπάρχων διερωτώμενοι, ἐπείπερ οὐκ ἐπὶ πολὺ τὸ ψεῦδος κρατῆσαι τῆς ἀληθείας, Θεοφίλου εἶναι πάντα διωμολόγησαν ἐκείνου τε κατὰ τῶν ἀθῴων πλάσματα καὶ τεχνάσματα. Ταύτῃ τοι καὶ τὴν ἐν δεσμωτηρίῳ κάθειρξιν ἄχρι καὶ τῆς αὐτοῦ κατακρίνονται παρουσίας· Θεόφιλος δὲ τὸν ὡς αὐτὸν ἐκπεμθέντα, καὶ ἄκοντα C τοῦτον ἄξειν κεκελευσμένον ἰδὼν, ἐπεὶ οὐδὲν ἕτερον εἶχε πράττειν, πρὸς τοὺς θησαυροὺς ἀπεῖδε καὶ τὰ βαλάντια, μειλίγματα ταῦτα γινώσκων ψυχῶν οὐ καλῶν, καὶ οἷαι δὴ τῶν πολλῶν ὑπάρχουσι, κέρδος ἐλευθερίας περὶ πλείονος ἄγουσαι. Λήμμασι τοιγαροῦν ἀρκοῦσιν αὐτοῦ τε καὶ ἄρχοντος τὴν δεξιὰν θεραπεύσας, κατὰ πολλὴν ἄδειαν ἐπιμένειν συνεχωρεῖτο. Ἔοικε γὰρ τὸ ᾀδόμενον ἀληθὲς εἶναι, τὸ μηδὲν [γρ. μηδένα] κακὸν ῥᾳδίως ἀπόλλυσθαι. Ὅπως δὲ αὐτῷ καλῶς ἕξει, καὶ τὰ τῶν κρατούντων πραγματευόμενος, σωροὺς τῶν Ἀραβικῶν ἀρωμάτων, καὶ ὅσα ἕτερα ξενίζοντά τε ἦν καὶ σπανίζοντα, ἐπιμελὲς ἔθετο συσκευάσασθαι. Οἱ μὲν οὖν ἐπίσκοποι τῆς Ῥώμης, ὅσοις ἀνελθεῖν ἐπετράπη, παράσκευοι γεγονότες περιέμενον γράμμα πεμφθήσεσθαι τὴν D ἄνοδον αὐτοῖς ἐπισπεῦδον, ὡς μὴ παρὰ τὸν προσήκοντα καιρὸν ἀνελθόντες ἐπὶ πολὺ τῇ ξένῃ ἐνδιατρίβοιεν· ἐπεὶ δὲ μὴ ἐπεμφθη, ἔμενον οὕτως ἐν τῷ ἐλπίζειν. Ἐν ὅσῳ δὲ συνέβαινε ταῦτα φήμη ψευδὴς τὰς ἀκοὰς ὑποκνίσασα Θεοφίλου εὐκόλους οὔσας καὶ πιστεύειν ἑτοιμοτάτας, ὡς εἴη Ἰωάννης τοὺς περὶ Διόσκορον εἰς κοινωνίαν παραδεξάμενος, εἰς λαμπρὰν αὐτὸν ἐξῆπτε μανίαν. Φαύλῳ γὰρ συνειδότι ῥᾳδίως ἀκοὴ πιστεύεται φαύλη, τῷ οἰκείῳ τρόπῳ καὶ τὰ τῶν ἄλλων εὐθὺν δοκιμάζοντι. Ἄνεισι τοιγαροῦν πρὸς τὴν Κωνσταντίνου Θεόφιλος, οὐ μᾶλλον διαλύσασθαι τὰ οἰκεῖα, ἢ ἑτέρους μώμους ἐπενεγκεῖν· τὸ δὲ ἦν ἀμύνασθαι μὲν τοὺς περὶ Διόσκορον, Ἰωάννην δὲ τοῦ θρόνου κατενεγκεῖν·

προφάσει μέντοι, ὡς τῶν Ὠριγένους βιβλίων ἀπόρ- A ῥησιν βούλεται θέσθαι, τοὺς ὑπ' αὐτὸν ἔγνω συμπαραλαβεῖν ἐπισκόπους. Εἶτα ἐν Κύπρῳ γενόμενος, τὸν θεοφιλῆ Ἐπιφάνιον, οὐ βίῳ μόνον, ἀλλὰ καὶ λόγοις ἐπιφανῶς ἔχοντα, τέχνῃ πρὸς φιλίαν ἐπάγεται, καίτοι γε τὸν πρὸ τοῦ χρόνον ἀπ' ἐναντίας αὐτῷ ἔχων, καὶ διαβάλλων ὡς τοῖς αἱρετικοῖς ὁμόφρονα. Μετ' αὐτοῦ τοίνυν καὶ τῶν κατὰ Κύπρον ἐπισκόπων τὰς συνόδους ποιούμενος ἀπηγόρευε τὴν ἀνάγνωσιν τῶν Ὠριγένους βιβλίων. Ἐπιφάνιος δὲ διὰ πολλὴν ἁπλότητα καὶ πονηρίας ἐλεύθερον ἦθος, τὴν εἴσω τοῦ φαινομένου σχήματος ὑποκαθημένην δεινότητα τῆς Θεοφίλου ψυχῆς οὐ καταπαθὼν, πείθεται πρὸς Ἰωάννην γράψαι τὸν θεῖον, ἀπέχεσθαι τῶν Ὠριγένους βιβλίων. Ἐκεῖνος δὲ καὶ τούτων, καὶ τῶν ἄλλων τῶν κατ' αὐτοῦ ῥᾳδιουργουμένων ὀλίγα φροντίζων, B ἑνὸς μόνου τῆς πρὸς Χριστὸν ἐλπίδος εὔχετο, μιᾷ τε φροντίδι διαπαντὸς ἤγετο, τί ἂν ποιῶν ἢ λέγων ἀρέσκων αὐτῷ φαίνοιτο, ἀλλ' ἵνα καὶ ὁ περὶ τὸ ἀγαθὸν ἐκείνου ζῆλος λαμπρότερον ἀναφανῇ, καὶ τῶν ἐχθραινόντων αὐτῷ ματαίως ἡ μοχθηρία φανερὰ καταστῇ, πρᾶγμά τι συμβαίνει ἀμφότερά τε ἀρκοῦν δηλῶσαι, καὶ ἀκοῆς ὑπάρχον τοῖς μισοπονήροις ἄξιον.

tempus venissent, in externa regione diu frustra sederent. Dum hæc autem fierent, falsa fama aures scalpens Theophili, quæ erant faciles ad credendum, quod Joannes Dioscorum admisisset ad communionem, eum ad insignem accendit insaniam. A mala enim conscientia omnino facile creditur malus rumor, ut quæ ex suis moribus aliorum quoque mores metiatur. Ascendit itaque Theophilus Constantinopolim, non tam ut suam componeret controversiam, quam ut alii inureret labem et reprehensionem. Id autem erat, ut ulcisceretur quidem Dioscorum, Joannem vero e sede deponeret. Verum enimvero hoc quidem prætextu, quod librorum Origenis propositurus esset interdictionem, statuit secum assumere episcopos, qui erant suæ diœcesis. Cum fuisset autem in Cypro, Deo charum Epiphanium, qui non solum vita, sed doctrina quoque erat clarus, arte inducit ad amicitiam, etsi antea ei esset invisus et male audiret, ut qui cum hæreticorum conveniret opinionibus : cum eo ergo et cum Cypri episcopis faciens concilia, prohibuit lectionem librorum Origenis. Epiphanius autem præ magna omnino simplicitate et moribus a malitia liberis, quæ intra eum, qui apparebat, habitum insidebat, Theophili astutiam non cognoscens, persuadetur ad insignem illum scribere Joannem, ut abstineat a libris Origenis. Ille autem non hæc solum, sed alia etiam, quæ adversus eum facile attendebantur, parum curans, ex uno uno solo pendebat pro omnibus, nempe a spe in Deum. Sed ut et illius zelus in res honestas appareret clarius, et eorum, qui in ipsum temere gerebant inimicitias, nota essat improbitas, quædam res accidit, quæ sufficit ad utrumque ostendendum : et valde grata erit auribus, quæ oderunt improbos.

ΜΑ'. Ἦν ἄνθρωπος ἐν τῇ βασιλίδι πόλει τῶν ἐπι- C φανῶν καὶ γνωρίμων, τὸν βίον θεοφιλὴς, τὴν πίστιν φιλευσεβὴς, τὴν κλῆσιν Θεόγνωστος. Οὗτος ἑνὶ τῶν Ἀρειανῶν εἰς φθόνον πεσὼν διαβάλλεται βασιλεῖ, καὶ γίνεται τῆς αὐτοῦ γλώττης ἆθλος οὐκ ἐπαινούμενος. Ὁ δὲ λόγος, ὡς εἴη αὐτόν τε καὶ βασιλίδα πικρῶς διαβάλλων. Ἐντεῦθεν τήν τε οὐσίαν δημεύεται πᾶσαν καὶ ὑπερορίαν ἐλεεινῶς κατακρίνεται. Ὁ μὲν οὖν πόλιν, ἣν κατεκρίθη, στελλόμενος (Θεσσαλονίκη δὲ ἦν) ἐγγὺς πρὸς τὴν μακροτάτην ἀπάγεται, τοῦ βίου τὸ πέρας παρὰ τὴν ὁδὸν δεξάμενος. Ἡ γυνὴ δὲ (καὶ τί γὰρ, εἰ μὴ λίθος ἦν, εἰ μὴ σίδηρος;) πρὸς ἐπίῤῥοιαν μυρίων ἀπειποῦσα κακῶν, στέρησιν ἀνδρὸς, στέρησιν τῶν ὄντων, ὑπερορίαν χαλεπήν τε καὶ ἀθεράπευτον, μίαν καὶ αὐτὴ παραψυχὴν τὴν πρὸς τὸν μέγαν ἔγνω καταφυγήν. Προσελθοῦσα οὖν, καὶ ὅπως ἔχοι D τὰ κατ' αὐτὴν ἀπαγγείλασα, φάρμακον αὐτὸν εὗρε θεῖον τῶν πικρῶν αὐτῆς ὀδυνῶν, οὐ λόγοις μόνον ἰώμενον τὴν ψυχὴν, ἀλλὰ καὶ ἔργοις τὴν ἔνδειαν θεραπεύοντα. Καὶ γὰρ ἀποχρῶν αὐτῇ σιτηρέσιον ἐκ τοῦ τῆς ἐκκλησίας ἀποτάττει ξενοδοχείου. Εἶτα καὶ καιρὸν ἐπιτήδειον περιέμενε, καθ' ὃν ὑπὲρ αὐτῆς ἐντύχοι τῷ βασιλεῖ. Ἀλλ' οἷα ἡ τοῦ φθόνου καταδρομὴ, καὶ αἱ χαλεπαὶ τοῦ βίου καὶ ἀνώμαλοι περιπέτειαι· οὔπω γὰρ ἐκείνη τῶν προλαβόντων ἀνα-

XLI. Vir quidam erat illustris in hac regia civitate, vita pius, fide religiosus, nomine Theognostos. Is cum cuidam Ariano exstitisset invisus (25), per calumniam accusatur (26) apud imperatorem, et fit eis linguæ certamen non laudabile. Accusatio autem erat, quod ipsum et imperatricem clanculum maledictis insectaretur, et lingua calumniatrice in eum uteretur. Hinc factum est, ut et universa ejus bona publicarentur, et miser damnaretur exsilio. Atque ille quidem cum proficisceretur ad civitatem, in quam fuerat relegatus (ea vero erat Thessalonica), jamque prope esset, adducitur ad eam, quæ est longissime remota, et a qua non licet expectare revocationem, suo vitæ fine accepto in itinere. Ejus autem uxor (quid enim aliud nisi esset lapis, nisi ferrum ?), afflicta et perdita concursu malorum innumerabilium, mariti privatione, privatione bonorum, tam gravi ejus, qui simul habitabat, exsilio, non a domo solum, sed etiam a vita separante, non poterat sedare luctum, nec unquam cessabat a lacrymis. Unum ergo ipsa quoque novit solatium, nempe ad magnum illum virum refugium: et cum accessisset, et quomodo res suæ se haberent renuntiasset, invenit ipsum divinum medicamentum dolorum suorum longe

(25) Gaium hunc vocat Leo Aug. in Vita Chrysost.

(26) Theognostus per calumniam damnatur; sed hæc longe antequam synodus contra Chrysostomum Constantinopoli colligeretur acta esse, docet Baron. tom. V *Annal.*

acerbissimorum, non verbis tantum medicans sed factis, ut oportebat, curans indigentiam. Quantum enim satis erat frumenti, ei tribuit ex xenodochio ecclesiæ. De cætero autem exspectabatur tempus, quo pro ipsa intercederet apud imperatorem. Sed quales sunt invidiæ insultus, vitæque iniqui et graves casus! Nam cum illa a prioribus malis nondum respirasset, rursus opprimitur pondere alterius calamitatis, adeo ut una quidem effunderetur, ut aiunt, altera vero influeret. Sic autem se habebat: Tempus erat vindemiæ. Eudoxia vero ipsa quoque egressa e civitate, ambulabat in quodam agro imperatoris: erat autem situs non procul a vinea viduæ. Cum autem botrum ex vinea viduæ sumpsisset imperatrix, eo usa est. Cum quidam autem dixisset vineam esse alienam: Sed ipsa quoque, inquit Eudoxia, jam relata est in numerum agrorum imperatoris, hæc enim in usu erat consuetudo longe improbissima (avaritiane, an exsecranda adulatio hanc induxerit incertum) ut quemcunque agrum imperator ascendisset, et de ejus fructu gustasset, is statim recenseretur inter agros imperatoris, agri vero dominus vel eum cum alio permutaret, vel justum pretium assequeretur. Cum ipsa quoque hanc attendisset consuetudinem, et maxime ejus moribus convenientem, et judicaret esse imperii proprium, facere injuriam, et non posse aliter ostendi quid ipsa posset, aufert agrum, simul etiam studens eam afficere molestia (acceperat enim ipsam ad beatam illam animam confugisse), et illum e sede deponendi quærens occasionem: sciebat enim, ipsum non esse toleraturum, si venisset ad ejus cognitionem, sed omni ratione ei opem esse laturum. Quid ergo consequitur? Ille quidem ab hac miserabili vidua miserabiliter ejulante inflammatus visceribus, scribit ad imperatricem, movens ad misericordiam, patrum pietatem revocans in memoriam et Dei timorem, terribilisque tribunalis cogitatione commovens ejus animam. Sed incurvum lignum nunquam feceris rectum, nec asperum herinacium unquam levem reddideris: nec effeceris, ut cancer rectus ingrediatur. Mala enim consuetudo, cum apprehenderit animam facilem ad improbitatem, facile imprimitur et inuritur, neque ullam audit omnino rationem: sed vix fieri potest ut deleatur, ut quæ tantum possit, quantum natura immutabilis. Ipsa ergo dura et gravi corde, et quid aliud, quam mala mulier? non solum nihil, non litteras, non ipsam ejus qui scripserat, reverita est omnino dignitatem: sed visa est magnam acerbitatem celare in animo. Fuit enim hoc evidens ex iis, quæ rescripsit, magnum Joannem vocans insolentem et linguæ intemperantis, et qui eum, quem par est, honorem ei minime tribuit: et qui ignorat eas, quæ sunt, leges: ex quibus dicebat hanc unam esse admirabilem et longe justissimam, quæ prodigioso quodam modo agrum, quem solum ingressi fuerint, imperatores eum protinus facit illorum, etiamsi is fuerit peregrinus et plane alienus.

A πνεύσασα σκυθρωπῶν, ἑτέρας συμφορᾶς πάλιν πιέζεται βάρει. Ἔχει δὲ οὕτω· Τρυγήτου καιρὸς ἦν· Εὐδοξία δὲ καὶ αὐτὴ τῆς πόλεως ἐκβᾶσα πρός τινα τῶν βασιλικῶν ἀγρῶν ἐτύγχανε διιοῦσα. Ἐκ γειτόνων δέ που καὶ τοῦ τῆς χήρας ἀμπελῶνος κειμένου, βότρυν ἐκεῖθεν ἡ βασιλὶς ἀραμένη ἐκέχρητο. Φαμένου δέ τινος ἀλλότριον εἶναι τὸν ἀμπελῶνα· Ἀλλὰ καὶ αὐτὸς, ἔφη, τοῖς βασιλικοῖς ἤδη συντέτακται. Ἔθος γὰρ τοιοῦτον ἐπικρατῆσαν ἦν ἀτεχνῶς πονηρότατον, πλεονεξίας τοῦτο ὢ καὶ κολακείας τῆς μιαρᾶς ὡς εἰκὸς ὑποτυπωσάσης, οὗ ἂν βασιλεὺς ἀγροῦ ἐπιβῇ, καὶ τοῦ καρποῦ γεύσηται, τοῖς βασιλικοῖς καὶ αὐτὸν συντετάχθαι, τὸν δὲ τοῦ ἀγροῦ κύριον ἢ ἑτέρῳ ἀμείβεσθαι, ἢ τῆς ἀξίας τυγχάνειν τιμῆς. Τούτῳ καὶ αὐτὴ τῷ ἔθει προσχοῦσα, καὶ οἷον ἰδιαίτατον B τοῦ ἄρχειν τὸ ἀδικεῖν κρίνουσα, καὶ ὅτι τὸ δύνασθαι αὐτῇ πάρεστιν ἄλλως δηλοῦσθαι μὴ δυναμένη, τὸν ἀγρὸν παραιρεῖται τῆς χήρας, ὁμοῦ τε ἐκείνην λυπεῖν ἐθέλουσα (μεμάθηκε γὰρ τῷ μακαρίῳ αὐτὴν προστεθῆναι) αὐτόν τε καθελεῖν τοῦ θρόνου πρόφασιν ἐκζητοῦσα. Ἤδει γὰρ ὡς οὐκ ἀνεκτὸν αὐτῷ γένοιτο πρὸς γνῶσιν ἐλθὸν, ἀλλὰ τὸν πάντα τρόπον ἕλοιτο βοηθεῖν. Τί οὖν τὸ ἐπὶ τούτοις, καὶ ποῖον ἄρα τῷ πράγματι πέρας ἀκολουθεῖ; Ὁ μὲν ὑπὸ τῆς ἐλεεινῆς ταύτης χήρας οἰκτρὸν ἐπικωκυούσης τὰ σπλάγχνα διακαιόμενος γράφει τῇ βασιλίδι, πρὸς ἔλεον ὅπως εἶχε παρακαλῶν, πατέρων τε εὐσεβείας ὑπομιμνήσκων καὶ φόβου Θεοῦ, καὶ τὴν ἔννοιαν αὐτῇ τοῦ φοβεροῦ βήματος ἐμβάλλων εἰς τὴν ψυχήν. Ἀλλὰ σκαμβὸν ξύλον οὐδέποτ' ὀρθὸν, οὐδὲ λεῖον ἂν θείης τὸν τραχὺν ἐχῖνον οὐδὲ βαδίζειν ὀρθὰ τὸν καρκῖνον παρασκευάσαις. Ἔθος γὰρ C πονηρὸν ψυχῆς ἐπιλαμβόμενον ῥᾳδίας καὶ θερμοτέρας εἰς μοχθηρίαν, ἐντυποῦται ταύτῃ καὶ οἷον ἐγκαίεται, καὶ οὐδενὶ λόγῳ κατήκοον γίνεται, ἀλλὰ σχεδὸν ἀνεξάλειπτόν ἐστιν, ἵνα καὶ φύσει δυνάμενον τῇ ἀμεταβλήτῳ. Αὕτη τοιγαροῦν ἡ σκληρά τε καὶ βαρυκάρδιος (καὶ τί γὰρ ἄλλο, ἢ γυνὴ πονηρά;) οὐ μόνον οὐκ ἐδυσωπήθη τὰ γράμματα, καὶ τοῦ στείλαντος τὸ ἀξίωμα, ἀλλὰ καὶ πολὺ τὸ πικρὸν ἐφάνη κατὰ ψυχὴν ἔχουσα (δῆλον γὰρ τοῦτο κατέστη τοῖς ἀντιγράφοις) ὑβριστὴν ἀποκαλοῦσα τὸν μέγαν, καὶ τὴν γλῶτταν ἀκόλαστον, καὶ μὴ τῆς προσηκούσης αὐτὴν ἀξιοῦντα τιμῆς, ἄγνοιάν τε τῶν κειμένων ἔχοντα νόμων, ὧν ἕνα καὶ τοῦτον ἔλεγεν εἶναι τὸν θαυμαστόν τε καὶ δικαιότατον· ὃς καὶ τεραστίῳ τρόπῳ τινὶ τῇ ἐπιβάσει τοῦ ἀγροῦ καὶ μόνῃ ἴδιον τῷ βουD λομένῳ ποιεῖ τὸν ἀλλότριον. Τούτοις ὁ τοῦ Θεοῦ ἄνθρωπος ἐντυχὼν, οὐκ ἐμβλύνθη τὴν προθυμίαν, οὕτως ἐκ τῆς πρώτης πείρας ἀποτυχὼν, οὐδὲ τὸ ἑαυτοῦ πράξειν ἐνόμισεν, ἢ προεφασίσατό τι, χρόνον ἐν τῷ μέσῳ καὶ ἀναβολὴν θέμενος (ὅπερ ἐν τοῖς τοιούτοις ἡμεῖς πάσχομεν, ἢ ὄκνῳ εἴκοντες, ἢ τοὺς καιροὺς δυσωπούμενοι), ἀλλὰ παντὸς ἀμελήσας τοῦ εἴργειν αὐτοῦ τὴν ὁρμὴν δυναμένου, ὡς ἂν ὅλῳ ποδὶ βοηθεῖν ἐθέλων, καὶ μηδὲν περιέναι μικρὸν ἢ μέγα τῶν ἑλκόντων εἰς ἔλεον, αὐτὸς ἐκεῖνος τῇ βασιλίδι πρόσεισι, καὶ πολλὰ εἰπὼν καὶ πάντα λίθον κινήσας, ἐπεὶ ταύτην ἑώρα μηδαμῶς εἴκουσαν, ἀλλὰ τὸ πονηρὸν ἔθος, ὡς ἄμαχόν τι, προβαλλομένην, ἐδεήθη

tim quidem vociferatur adversus imperatorem, partim autem Theophili quoque et multo magis arguit improbitatem. Multi enim etiam ex iis, qui erant ei infensi, jam mutati, dicebant fuisse sanctum temere accusatum, incorruptum testem habentes omnes conscientiam, apertamque et evidentem reverentes veritatem: tandem autem cum plus valuisset improbitas, imo vero cum justus Joannes hoc voluisset, ne aliquod oriretur periculum, ut solet accidere in talibus seditionibus, profundo vespere expellitur, sicut ipsam linguam auream licet audire in epistola ad Innocentium, quæ sic dicit: Quid enim multa opus est dicere? Non destitit omnia facere et moliri, donec nos cum multa potestate et auctoritate e civitate ejecit et ex ecclesia, et profundo vespere, attracto omni populo, tractus a magistratu civitatis, per mediam civitatem, et per vim deductus sum, in navem immissus, et noctu navigavi, quoniam invocabam synodum ad justam auditionem. Quis hæc audiverit sine lacrymis, etiamsi cor habuerit lapideum? Sed sic quidem expulsus, appellit ad os Ponti, quod vocant Sacrum. Deinde etiam transit Prænetum, aut ab iis potius, qui agebant, transmittitur. Bonus autem Theophilus, postquam evenit, ut ex animi sententia fierent quæ volebat, mittit etiam litteras ad Innocentium Romanum episcopum, ei significans Joannis depositionem. Qui cum legisset litteras, et in eis vidisset multam insidere perversitatem, ne voluit quidem respondere, ut qui eum magnæ temeritatis damnasset et arrogantiæ, quod et solus scripsisset, et quod non aperte scripsisset, quanam de causa et cum quibus eum deposuisset. Hinc causam Heraclidis, quem magnus ille Joannes Ephesi constituerat antistitem, tractans Theophilus, et ex eo illi beato tentans labem inurere, ipsum etiam judicavit non præsentem, dicens, quod aliquos injuste verberasset, et per medium forum vinctos catena circumduxisset. Civibus autem contra dicentibus, non oportere absentes judicari, volentibus vero Alexandrinis attendere accusatores Heraclidis, ex eo orta est seditio: ex seditione autem ventum est ad manus: ex eo vero ad vulnera, ea autem mors quoque est consecuta, quorum omnium Theophilus dictus est et fuit causa. Hæc summe irritarunt Byzantinos, et eum quærebant perdere, et in profundum maris mittere eum qui erat dignus: ille autem posquam sensit persequentes, fuga statim sibi consuluit, et penetralia subiit Ægypti. Quod autem neque prius perturbator jure Dioscoro irascebatur, neque veram et accuratam defendens pietatem erat infestus libris Origenis, sed hinc captabat occasionem deponendi Joannis, ostendit id, quod est postea consecutum. Nam simul atque perfecit quod studebat, cum monachis statim fœdus iniit; libros autem admisit (35), quos prius abdicarat synodice. Sed vult etiam reliqua persequi oratio.

αὐθεντίας πάσης τῆς τε πόλεως καὶ τῆς Ἐκκλησίας ἐξέβαλε· καὶ πρὸς ἑσπέραν βαθεῖαν, τοῦ δήμου παντὸς ἐπισυρομένου, ἑλκόμενος ὑπὸ τοῦ Κυριόσσου τῆς πόλεως ἐν μέσῃ τῇ πόλει, καὶ πρὸς βίαν συρόμενος κατηγόμην, καὶ εἰς πλοῖον ἐνεβαλόμην, καὶ διὰ νυκτὸς ἔπλεον, ἐπειδὴ σύνοδον πρὸς δικαίαν ἀκρόασιν ἐπεκαλούμην. Τίς ταῦτα ἀδακρυτὶ, κἂν λιθίνην ἔχῃ διάνοιαν, ἀκούσειεν; Ἀλλ' οὕτω μὲν αὐτὸς Ἐκβληθεὶς τῷ τοῦ Πόντου στόματι, ὃ καὶ Ἱερὸν καλοῦσι, προσίσχει. Εἶτα καὶ εἰς Πραίνετον διαβαίνει, ἢ ὑπὸ τῶν ἀγόντων μᾶλλον μεταβιβάζεται. Ὁ δὲ χρηστὸς Θεόφιλος, ἐπεὶ γέγονεν αὐτῷ τελέσαι τὰ κατὰ γνώμην, γράμματα καὶ πρὸς Ἰννοκέντιον τοῦτον τὸν Ῥώμης ἐπίσκοπον πέμπει, δήλην αὐτῷ καθιστὰς τὴν Ἰωάννου καθαίρεσιν· ὃς καὶ τοῖς γράμμασιν ἐντυχὼν, οὐδὲ ἀντιγράφειν ὅλως ἔκρινεν ἀξιοῦν, πολλὴν αὐτοῦ προπέτειαν καὶ τῦφον κατεγνωκὼς, ὅτι τε μόνος γράφοι, καὶ ὅτι μηδὲ δηλώσοι σαφῶς οὗ χάριν καθεῖλε, καὶ μετὰ τίνων. Ἐντεῦθεν τὰ κατὰ Ἡρακλείδην, ὃν ὁ μέγας Ἐφέσου πρόεδρον καταστήσας ἦν, ἀναψηλαφῶν ὁ Θεόφιλος, καὶ μῶμον ἐκ τούτου περιάψειν τῷ μακαρίῳ πειρώμενος, καὶ αὐτὸν ἔκρινε μὴ παρόντα, ὡς εἴη τινας ἀδίκως τυπτήσας, καὶ διὰ μέσης τῆς ἀγορᾶς περιενεγκὼν ἁλύσει δεσμίους. Ἀντιλεγόντων οὖν τῶν τῆς πόλεως μὴ δεῖν κατὰ ἀπόντων δικάζειν, Ἀλεξανδρέων δὲ ἀξιούντων τοῖς Ἡρακλείδου κατηγόροις προσέχειν, στάσις ἐκ τούτου φύεται· ἐκ δὲ τῆς, συμπλοκαὶ χειρῶν· ἐκ τούτων, τραύματα· τούτοις δὲ καὶ θάνατος ἠκολούθει· ὧν πάντων Θεόφιλος αἴτιος ἐλέγετο, καὶ ἦν. Ταῦτα Βυζαντίους ἠρέθισεν ἄκρως, καὶ διολέσαι αὐτὸν ἐζήτουν, καὶ βυθοῖς ἐκδοῦναι τοῖς θαλαττίοις. Ὁ δὲ τῶν διωκόντων ὡς ᾔσθετο, φυγὰς εὐθὺς ᾤχετο, καὶ τοὺς Αἰγυπτίους εἰσέδυ μυχούς. Ὅτι δὲ οὐδὲ πρότερον ὁ ταραχοποιὸς οὑτοσὶ θυμῷ δικαίῳ τοῖς περὶ Διόσκορον χολούμενος ἦν, οὔτε μὲν εὐσεβεῖ λογισμῷ ταῖς Ὠριγένους ἀπήχθετο βίβλοις, ἀλλ' ἀφορμὰς ἐντεῦθεν ἑαυτῷ πορίζων πρὸς τὴν τοῦ ἁγίου καθαίρεσιν, τὸ μετὰ ταῦτα δηλοῖ. Ὁμοῦ τε γὰρ τὸ σπουδαζόμενον αὐτῷ διήνυστο, καὶ παραχρῆμα τοῖς μοναχοῖς μὲν ἐσπένδετο, τὰς βίβλους δὲ παρεδέχετο, ἃς τέως συνοδικῶς ἀπεκήρυττεν. Ἀλλ' ὁ λόγος ἐπιέναι καὶ τὰ λοιπὰ βούλεται.

XLVI. Interim enim, dum hæc fierent, Deus terræmotu terrefecit civitatem, communesque eam agitabant conquassationes, et graves terrores imperatorio imminebant cubiculo: adeo ut populus tu-

ΜϚ'. Ἐν ὅσῳ γὰρ ἐπράττετο ταῦτα, νύκτωρ τὴν πόλιν ἔσεισεν ὁ Θεὸς, καὶ θραῦσις καὶ δείματά τινα τῷ βασιλικῷ συμπέπτωκε κοιτῶνι, ὡς καὶ θορύβου τὸ πλῆθος ὑποπλησθῆναι, καὶ μέγα βοῶντας ἀνακαλεῖ-

(35) Theophilum Origenis errores tantum, non omnes libros damnasse, ex Ecclesiæ catholicæ sententia, quæ ejus Commentarios ita legit, ut ab ejus erroribus esse cavendum admoneat, docet Baronius tom. V *Annal.* an. 403.

σθαι τὸν ἱερέα. Καὶ ὁ βασιλεὺς αὐτίκα κέντρῳ τινὶ λύπης τὴν καρδίαν πληγεὶς, μετάμελός τε γεγόνει, καὶ γράμμασι βασιλικοῖς τὴν Ἰωάννου ἀνάκλησιν ἐπισπεύδει. Πέμπει δὲ μετὰ τῶν γραμμάτων καὶ Βρίσωνα τὸν εὐνοῦχον, τηνικαῦτα τῇ βασιλίδι Εὐδοξίᾳ ὑπηρετούμενον· ὃς τὸν ἅγιον ἐν Πραινέτῳ καταλαβὼν ὑπὸ τῶν ἐγχειρισθέντων φρουρούμενον, ἐπανελθεῖν ἠξίου καὶ τῇ πόλει στῆσαι τὸν κίνδυνον. Μετ' αὐτὸν δὲ ἄλλοι, καὶ μετ' ἐκείνους ἕτεροι, καὶ πλήρης οὕτω τῶν πεμπομένων ὁ Βόσπορος. Ἐπεὶ οὖν ὑποστρέφειν αὐτὸν ἔγνωσαν ἡ πόλις (τρίτη δὲ ἦν ἐπὶ δεκάτῃ τῷ Νοεμβρίῳ), πῶς ἄν τις τῶν ἐξιόντων ἀριθμήσοι τὸ πλῆθος, πῶς ἐκφράσοι τὴν ἡδονήν; τῶν ποταμῶν γὰρ ἀτεχνῶς ἐμιμοῦντο τὰ ῥεύματα. Καὶ μεστὴ μὲν ἡ θάλαττα πορθμείων, μεστὴ δὲ ἤχων, μεστὴ δὲ ᾀσμάτων καὶ ὑμνῳδίας. Τοιαῦτα δύναται πόθος ψυχαῖς ἐντακεὶς ἀνδρὸς πολλήν τε ἀρετὴν ἔχοντος, καὶ ὠφελεῖν πλεῖστα δυναμένου, καὶ πατρικῶς στέργοντος. Τοῦτο τεκμήριον ἀκριβὲς ὑπῆρξεν ἧς ἀπέλαυον ἡδονῆς οἱ τῆς χρυσῆς ταύτης γλώττης ἐντρυφῶντες τοῖς ῥεύμασι. Τὸ γὰρ οὕτως αὐτὸν ἀπειληφότας ἡσθῆναι, σαφῶς ἐδήλου τὴν στέρησιν λύπης αἰτίαν αὐτοῖς καταστῆναι. Λύπη δὲ πολλὴ μετὰ στέρησιν, ἴσην εἶναι προϋπάρχουσαν ἡδονὴν μαρτυρεῖ. Ἐπεὶ τοίνυν ἐπανιὼν ἔγγιστά που τῆς πόλεως γίνεται, οὐ πρότερον εἰσελθεῖν ἠξίου, πρὶν ἂν μείζονι κριτηρίῳ τὰ κατ' ἐκεῖνον ἐπιτραπῇ. Ἀλλὰ τὸ πλῆθος ἤσχαλλε, καὶ τόλμης ἥπτετο, καὶ τοὺς κρατοῦντας ἐλοιδορεῖτο, ἕως ἅπαντες εἰς ταυτὸν συνελθόντες, καὶ τὰ μὲν δεήσει χρησάμενοι, τὰ δὲ καὶ προσβιασάμενοι, πείθουσι μόλις ἐπιβῆναι τῆς πόλεως. Ὡς δὲ καὶ τῷ θρόνῳ καθίζειν ἔμελλον, ἰσχυρῶς ἀντείχετο, πάλιν δεῖν, λέγων, τὰ ψηφισθέντα δοκιμασθῆναι πρότερον καθολικωτέρας τυχόντα ἐπικρίσεως. Ἀλλ' ὁ τοῦ λαοῦ κρείττων γίνεται πόθος (ἐγλίχοντο γὰρ τῆς μελιχρᾶς ἐπακοῦσαι γλώττης, ἧς συνήθως ἀπέλαυον), καὶ εἰς τὸν πατριαρχικὸν οὕτως ἀνάγουσι θρόνον. Ὁ δὲ πάντας τε ἡδέως εἶδε, καὶ ὥσπερ ἔθος, τὴν εἰρήνην αὐτοῖς ἐπηύξατο. Οὕτω μὲν ἡ Ἐκκλησία τὸν ἑαυτῆς νυμφίον ἀπολαβοῦσα, καὶ τὸ περιελθὸν αὐτῇ τέως σκυθρωπὸν λύσασα, ἤνθει καὶ ἔθαλλε ταῖς ποτίμοις αὐτῶν τῶν λόγων ἀρδευομένη πηγαῖς. Ἀλλ', ὦ φθόνε, κακὸν ἄμαχον! Σοὶ γὰρ ὅλως οὐκ ἦν ἠρεμεῖν, οὐδέ τινα κόρον ἔσχες τῶν κατ' αὐτοῦ προσβολῶν, ἕως, ἄγριε καὶ ἀτίθασσε, τέλεον αὐτὸν ἀπορρῆξαι, καὶ μακρὰν θεῖναι τῆς ποίμνης ἴσχυσας, αἲ, αἲ, τὸν καλὸν ποιμένα, καὶ ὀφθαλμοῖς ἀγρύπνοις αὐτῆς προϊστάμενον. Πλὴν ἀλλὰ τίνα τρόπον πάντα συνέβη, καὶ πόθεν ἡ ἀφορμὴ τῷ φθόνῳ τοῦ τοσοῦδε κακοῦ;

A multu impleretur, et magna voce clamans, revocaret sacerdotem. Quin etiam ipse quoque imperator vehementi stimulo tristitiæ in corde sauciatus, movetur pœnitentia, et litteris imperatoriis quamprimum magnum illum revocat. Brison autem erat, cui datæ fuerunt litteræ, unus ex eunuchis, qui ministrabant Eudoxiæ. Qui cum pervenisset ad sanctum, qui Præneti asservabatur in custodia, rogavit ut veniret et civitatem liberaret a periculo. Sed non ad Brisonem usque constitit ejus reditus studium et acceleratio : sed post ipsum alii, et post illos alii. Sicque fuit Bosphorus plenus eorum, qui mittebantur. Cum itaque eum redire agnovisset civitas (erat autem decimus tertius Novembris), quemadmodum enumerarit quispiam multitudinem eorum, qui exi-
B bant? Quomodo explicarit studium in egrediendo? Quomodo expresserit voluptatem? Plane enim imitabantur fluenta fluviorum, cum alii aliis agminatim succederent. Et erat quidem mare plenum navigiis, plenum autem sonitu canticisque et hymnis, qui Deo cum magna voluptate canebantur. Hoc potest insidens animæ viri desiderium, qui virtute quidem est ornatus, est autem sortitus populi administrationem, et eum amat paterne. Hoc est evidens argumentum voluptatis, qua tunc fruebantur, qui jucundis se explebant fluentis aureæ hujus linguæ. Quod enim, qui eum exceperunt, adeo sunt læti, id ostendebat privationem fuisse causam magni doloris. Magnus autem dolor, post privationem, testatur omnino fuisse parem antea voluptatem. Cum ergo re-
C vertens, esset proxime civitatem, nolebat prius ingredi, quam majori judicio res ejus committeretur: sed populus ægre ferebat, et ad audendum jam se parabat, et eos, qui rerum potiebantur, insectabatur maledictis, donec omnes in idem convenientes, et partim quidem utentes precibus, partim autem vim afferentes (audaciæ enim aliquid habet desiderium) vix tandem persuadent ascendere civitatem. Cum vero essent eum in sede collocaturi, ipse rursus resistit vehementius, dicens opotere ea, quæ prius sunt decreta, examinari, et omnino magis generale assequi judicium. Sed vicit populi judicium, quod erat fortius omnibus : et sic eum rursus in sedem reducunt patriarchalem. Ille autem et omnes lubenter aspexit, et, ut mos est, pacem eis est precatus. Et sic quidem Ecclesia cum
D suum sponsum accepisset, et quæ eam circumsistebat, tunc solvisset tristitiam, florebat et germinabat irrigata suavissimis verborum ejus fontibus. Sed, o invidia, malum invictum, malum, quod semper bonis insidiatur. Tibi enim omnino non licebat quiescere, neque ulla te cepit satietas continuorum insultuum, donec, o sæva et agrestis, eum valuisti omnino abrumpere et procul a grege removere, heu! heu! bonum pastorem, et qui vigilantibus oculis ei præerat. Sed quonam modo hæc evenerunt, et undenam rursus invidiæ tanti mali occasio?

ΜΖ'. Στήλη τις ἀργυρᾶ τῆς βασιλίδος ἐγγύς που τοῦ ἱεροῦ, ᾧ Σοφία ἐπώνυμον, ἐπὶ κίονος ἦν. Ἐν ταύτῃ συνήθως δημώδεις ἠθροίζοντο παιδιαί. Ὅπερ ὁ μέγας ὕβριν εἶναι τοῦ ναοῦ λογισάμενος, διὰ τὸ

XLVII. Statua quædam argentea imperatricis prope templum, cui cognomen est Sophia, erat super columnam. In ea de more fiebant ludi quidam publici. Quod quidem cum magnus ille recte

reputasset esse templi contumeliam (ad sacros enim, qui canebantur hymnos, confusæ et inordinatæ voces contra resonabant), sæpe autem adhortatus, non potuisset facere ut cessarent, linguam laxat in eos, qui hæc jubebant fieri. Itaque Eudoxia rursus ad se trahens ea quæ dicebantur, et existimans omnia ad se referri, graviori telo iræ sauciata, erat intolerabilis, nec poterat cohiberi, quantum efficere poterat, universum evertere aggrediens, et nihil aliud effectum reddere machinans, quam opportune eum ulcisci, qui visus fuerat eam afficere injuria (36). Rursus ergo statim congregabatur synodus (37), et litteræ mittebantur imperatoriæ, quæ et alios episcopos et eos, qui nuper accusatores fuerant, evocabant. Cum autem non esset eis honesta causa movendi ea, quorum jam fuerat accusatus, ars tamen non defuit malitiæ. Ad eum enim, qui in rebus ejusmodi erat ingeniosissimus, et ad hæc construenda solertissimus, nempe ad Theophilum, statuerunt scribere, ut vel veniret quamprimum, vel modum eis rursus suggereret, per quem possent adversus Joannis summam contendere veritatem. Ipse autem, ut qui quomodo fugisset esset memor, venire quidem ad eos recusavit, ut quod non esset sibi conducibile : mittit autem tres suis episcopis, eis dato canone ad accusationem (38), quem prius proposuerunt Ariani adversus validum Ecclesiæ propugnaculum, nempe Athanasium, qui dicit : Si quis episcopus aut presbyter juste aut etiam injuste depositus, per se redierit absque synodo Ecclesiæ, ei non detur amplius locus defensionis. Atque sic quidem is, cui nullus erat per improbitate, cochlear Ecclesiæ, Libyca plane fera, ex Ægypto Proteus, jussit eos dicere qui ab ipso missi fuerant, nihil aliud volens efficere, quam ut sic sua esset firma ac rata sententia, et ne viro egregio daretur locus diluendi calumnias, quæ ei objectæ fuerant. Sed ille non vulpinam, sed leoninam potius pellem induens, nempe veritatem, dicit nec se in judicio fuisse, neque accusationem audivisse, neque omnino habuisse tempus ad defensionem : ab imperatore autem fuisse expulsum, et ab illo rursus vel invitum introductum : alioqui autem se scire hunc canonem fuisse compositum ab Arianis : et quoniam non recte se habebat, a Sardicensi synodo fuisse abrogatum (39). Deinde cum simul cum Acacio et Antiocho et aliis calumniatoribus ex parte quoque Joannis decem ingressi fuissent ad imperatorem, et illi quidem affirmarent, dictum canonem esse firmum et validum, ut qui aperte factus esset ab orthodoxis : hi autem dicerent, eum esse et mentis et linguæ hæreticæ, et maligne ab eis esse inventum. Quamobrem sæpe ab Ecclesia injuste ex-

A τοῖς ἱεροῖς ὕμνοις ᾀδομένοις ἀτάκτους τε καὶ ἀσήμους ἀντηχεῖσθαι φωνάς, ἐπεὶ πολλὰ παραινέσας παύειν οὐκ εἶχε, παραχωρεῖ τῇ γλώττῃ κατὰ τῶν ταῦτα γενέσθαι κελευόντων. Ἡ τοίνυν Εὐδοξία πάλιν εἰς ἑαυτὴν ἕλκουσα τὰ λεγόμενα, καὶ πρὸς αὐτὴν ἀναφέρεσθαι τὸ πᾶν οἰομένη, βαρυτέρῳ τυπεῖσα τῷ θυμοῦ κέντρῳ ἀφόρητός τε καὶ ἀκάθεκτος ἦν, γῆν θάλασσαν μιγνῦσα, καὶ τὸ πᾶν στρέφουσα, οὐδὲν ἄλλο περαίνειν βουλομένη πρότερον, ἢ ἀμύνασθαι τὸν δόξαντα ὑβρικέναι. Εὐθὺς οὖν σύνοδος ἐκροτεῖτο πάλιν, καὶ βασιλικὰ πρὸς τούτῳ γράμματα διεπέμποντο, ἄλλους τε τῶν ἐπισκόπων, καὶ τοὺς πρώην κατηγόρους μετακαλούμενα. Ἐπεὶ δὲ οὐκ ἦν αὐτοῖς εὐπρόσωπος ἀφορμὴ τοῦ τὰ ἤδη κατηγορηθέντα κινεῖν, ὅμως οὐκ ἄσπορον κατέστη τοῖς πονηροῖς, B μαθεῖν ἐκ ἑτέρου σπουδάσασιν, ὃ γνῶναι παρ' ἑαυτῶν ἄπορον ἦν. Τί οὖν σκέπτονται, καὶ ποῖ φέρονται; Πρὸς τὸν σοφὸν τὰ τοιαῦτα καὶ πυριμώτατον κακουργεῖν γράφειν ἔγνωσαν, καὶ παρ' αὐτοῦ διδαχθῆναι τὴν τῶν ἀπορουμένων εὕρεσιν. Γράφουσιν οὖν Θεοφίλῳ ἢ ἀπαντῆσαι τὸ τάχος πάλιν, ἢ τρόπον αὐτοῖς ὑποθέσθαι, δι' οὗ ἂν δυνηθεῖεν πρὸς τὴν πολλὴν Ἰωάννου διαπαλαίειν ἀλήθειαν. Αὐτὸς οὖν συνειδὼς, ὅπως ἀπέδρα πρότερον, τὸ μὲν ἀπαντῆσαι, ἅτε μὴ λυσιτελοῦν αὐτῷ, παρῃτήσατο· τρεῖς δὲ τῶν ὑπ' αὐτὸν ἐπισκόπων ἐκπέμπει, κανόνα δοὺς εἰς κατηγορίαν, ὃν Ἀρειανοὶ πρότερον κατὰ τοῦ στεῤῥοῦ τῆς Ἐκκλησίας ἐρείσματος Ἀθανασίου προέτειναν, Εἴ τις ἐπίσκοπος, λέγοντα, ἢ πρεσβύτερος δικαίως ἢ καὶ ἀδίκως καθαιρεθεὶς, ἑαυτῷ ἐπανέλθοι συνόδου C δίχα τῇ Ἐκκλησίᾳ, τῷ τοιούτῳ μηκέτι δίδοσθαι χώραν ἀπολογίας. Οὕτω μὲν οὖν ὁ μηδενὶ τὴν πονηρίαν ἰσούμενος, ὁ τῆς Ἐκκλησίας δοίδυξ, τὸ Λιβυκὸν θηρίον, ὁ ἐξ Αἰγύπτου Πρωτεὺς, οὕτως ἐκεῖνος τοῖς ὑπ' αὐτοῦ πεμφθεισιν ἐπέτρεψε λέγειν, οὐδὲν ἕτερον, ἢ τὴν αὐτοῦ βουλόμενος ψῆφον κρατεῖν, καὶ μηδὲ χώραν δοθῆναι τῷ μακαρίῳ τὰς διαβολὰς ἀποδύσασθαι. Αὐτὸς δὲ μήτε δικάσασθαι ἔφη, μήτε γραφῆς ἀκοῦσαι, μήθ' ὅλως καιροῦ τυχεῖν εἰς ἀπολογίαν· ὑπὸ βασιλέως δὲ ἐξωσθῆναι, καὶ παρ' ἐκείνου πάλιν εἰσαχθῆναι, καὶ μὴ βουλόμενος· ἄλλως τε δὲ καὶ τὸν κανόνα τοῦτον ὑπ' Ἀρειανῶν οἶδα συντεθέντα, καὶ ὅτι μὴ καλῶς εἶχεν, ὑπὸ τῆς ἐν Σαρδικῇ συνόδου διαστραφέντα· εἶτα τοῖς περὶ Ἀκάκιον καὶ Ἀντίοχον, Σεβηριανόν τε καὶ Κυρῖνον, καὶ τοῦ μέρους Ἰωάννου δέκα συνεισελθόντων εἰς βασιλέα, καὶ τῶν μὲν D διατεινομένων τὸν ἤδη λεχθέντα συντηρεῖσθαι κανόνα, ὥς γε καὶ ὑπὸ ὀρθοδόξων συντεθειμένον, τῶν δὲ αἱρετικῆς αὐτὸν φρενὸς εἶναι λεγόντων, καὶ ὑπὸ τούτων κακούργως ἐξευρημένον, ἀνθ' ὧν πολλάκις τῆς Ἐκκλησίας ἀδίκως ἀπελαθεὶς Ἀθανάσιος, εἶτα καιροῦ τυγχάνων ἑαυτῷ ἐπεισῄει· καὶ ὅτιπερ Ἰωάννης οὐδὲ καθῄρηται πρότερον, ἀλλ' οὕτως ὑπὸ κό-

(36) Baronius justiorem commotionis causam Joannis contra Eudoxiam astruit, quod ejus simulacrum scilicet, non solum Constantinop. veneraretur sed per provincias etiam Ethnicorum instar circumferretur. Vide præd. Baron. ad an. 404.

(37) Anno 404. Iterum cogitur synodus contra virum Dei. Vide Niceph. lib. XIII, c. 17 ; Socr. lib. XI, c. 16 ; Sozom. lib. VIII, cap. 20, 21 ; Bar. ad an. 404.

(38) Erat hic canon concilii Antiocheni in Encæniis, ab Arianis celebrati, ut notat Bar.

(39) *Concil. Sardic.* c. 3.

μητος ἐξελαύνεται, καὶ οὐδὲ ἑαυτῷ ἐπεισῆλθεν, ἀλλὰ A τῷ σῷ κράτει, φησὶν, εἴξας, ὦ βασιλεῦ, μᾶλλον δὲ βιασθείς. Τέλος ὑπογραψάτωσαν, οἱ τῆς Ἰωάννου καὶ Θεοῦ μοίρας εἶπον, οὗτοι (τοὺς περὶ τὸν Ἀκάκιδν καὶ Ἀντίοχον λέγοντες) οἱ ὀρθοδόξων εἶναι τὸν κανόνα διατεινόμενοι τῆς αὐτῆς εἶναι πίστεως τοῖς ἐκτεθεικόσι, καὶ διαλύουσι τὸ ἀμφίβολον. Ἐπῄνεσεν ὁ βασιλεὺς τὸ εἰρημένον, ὡς καλῶς ἔχον, καὶ γίνεσθαι οὕτως ἐπέτρεπεν· οἱ δὲ ὑπέσχοντο μὲν ποιήσειν, ἀπέσχοντο δὲ τὸ μὴ ἀσφαλὲς τοῦ πράγματος ὑποπτεύσαντες.

pulsus Athanasius, deinde occasionem nactus, per se rediit: et quod Joannes ne prius quidem fuerit depositus, et neque per se rursus esset ingressus: sed tuo cedens imperio, aiebant, o imperator, imo vero per vim coactus. Postremo inscribantur (40), dicebant, ii qui sunt Joannis et Dei partis, et isti, Acacium dicentes et Antiochum, qui orthodoxum affirmant esse canonem; et fateantur se esse ejusdem fidei, cujus ii, qui ediderunt: et sic solvitur id, de quo dubitatur. Laudavit quod dictum fuerat imperator, ut quod recte se haberet, et sic jussit eos facere. Illi autem se facturos quidem sunt polliciti, præ se ferentes, se confidere: destiterunt vero, ut qui sint suspicati rem minime esse tutam.

ΜΗ'. Ἐν τούτοις τῶν πραγμάτων ὄντων, καὶ τοῦ B μὲν ὡς ἄριστα τὴν Ἐκκλησίαν διέποντος ἔτος ἐντελὲς μετὰ τὴν ἀνάκλησιν, τῶν δὲ τὰ ἑαυτῶν ποιούντων, καὶ τί μὴ κινούντων, ὥστε τὸν ἅγιον τοῦ θρόνου καταγαγεῖν, ἐπείπερ ἡ τοῦ Πάσχα παρέβαλλεν ἑορτὴ, τῶν συχνῶν ὀχλήσεων ἡ βασιλεὺς ἡττηθεὶς, δηλοῖ τῷ πατριάρχῃ τῆς Ἐκκλησίας ὑπεξελθεῖν, ὑπὸ συνόδων ἤδη δυεῖν καταψηφισθέντα. Πρὸς ταῦτα τοιγαροῦν ὁ μέγας, Εἴπατε τῷ βασιλεῖ, ἔφη. Ἐγὼ παρὰ τοῦ Θεοῦ καὶ Σωτῆρος τὴν Ἐκκλησίαν ἐπιτραπεὶς, ὑποχωρῆσαι ταύτης ἑκὼν δέδοικα. Εἰ δέ σοι τοῦτα κατὰ γνώμην, ὦ βασιλεῦ, ἀλλὰ βίᾳ με ταύτης ἔξωσον, ἵν' ἔχω τῆς οἱονεὶ λειποταξίας ἀπολογίαν, τὴν σε σὴν ἐξουσίαν, καὶ τὴν ἐμοῦ παρὰ γνώμην αὐτῆς κατάλειψιν. Πέμψαντες τοίνυν, τῆς μὲν λειτουργίας αὐτὸν ἀπέχεσθαι παραγγέλλουσι, τῷ ἐπι- C σκοπείῳ δὲ τὸ παρὸν ἐνδιατρίβειν παραχωροῦσι, δείσαντες, οἶμαι, μή τι πάλιν καὶ Θεὸς ἄνωθεν ἐπιδικάσῃ τῇ τόλμῃ, καὶ ἵν' ἐγγὺς αὐτὸν ἔχοντες διορθώσοιντο. Οὕτως οὖν ἰδιάζων μεταξὺ διῆγεν ὁ μέγας διαλέξεών τε καὶ τῶν καλῶν τῆς γλώττης ῥευμάτων εἰργόμενος. Ἐπεὶ δὲ καὶ ἡ τοῦ μεγάλου Σαββάτου ἡμέρα ἦν, ὁ βασιλεὺς τοὺς περὶ Ἀκάκιόν τε καὶ Ἀντίοχον μεταστειλάμενος, τί δέοι πράττειν ἠρώτα. Σκοπεῖτε γὰρ, ἔφη, καὶ εἰ καλῶς ἔχει τὰ παρ' ὑμῶν εἰσηγούμενα. Οἱ δὲ, Ἐπὶ τὴν κεφαλὴν ἡμῶν, εἶπον, ἡ Ἰωάννου καθαίρεσις, ἐοικότα τυχοῦσι, Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, εἰποῦσι, καὶ οὐ πολὺ πόῤῥω τῆς γνώμης αὐτῶν φθεγξάμενοι. Καὶ οὕτως ἐρήμην καταψηφίζονται τοῦ δικαίου, μήτε λόγου μεταδόντες, ἐφ' οἷς κατηγόρουν, μήτ' ἀπολογίαν D ἠντιανοῦν παρ' ἐκείνου δεξάμενοι. Ταῦτ' οὖν μαθόντες οἱ τῆς Ἰωάννου μερίδος, οἱ μὲν ἐπίσκοποι, λύπῃ καὶ δάκρυσι δόντες ἑαυτοὺς, ταῖς καταγωγαῖς ἡσύχαζον· ἱερεῖς δὲ καὶ ὅσοι τοῦ κλήρου ἔν τισι τῶν εὐκτηρίων οἴκων περὶ τὸν τόπον, ὃς Κωνσταντιαναὶ λέγεται, συναγόμενοι, μετὰ πολλοῦ τοῦ συνδεδραμηκότος πλήθους τῶν ἱερῶν ὕμνων καὶ τῆς συνήθους εἴχοντο δοξολογίας, βαπτίσματός τε θείου τοὺς προσιόντας ἠξίουν. Δείσαντες οἱ τοῦ πονηροῦ συνεδρίου, μὴ τῷ ἱερῷ προσβαλὼν, ὡς ἔθος, ὁ

XLVIII. Cum res ita se haberent, et ille quidem anno integro optime administraret Ecclesiam post revocationem: isti autem, quæ sibi erant propria, facerent: ea vero erant artes et imposturæ: et quid non moverent, ut Sanctum e sede deponerent, etiamsi non potuerint ejus spiritus dejicere? Cum adesset festus dies Paschæ, a multis molestiis, quas ei exhibuerunt isti, victus imperator, significat patriarchæ, ut excedat ex ecclesia, ut qui jam a duabus synodis sit condemnatus. Adhæc magnus ille Joannes: Ego, inquit, cui Deus et Servator Ecclesiam tradidit regendam, ab ea mea sponte vereor recedere. Sin autem hoc ita tibi videtur, o imperator, at me ex ea vi expelle, ut me possim omnino defendere, quod ordine vel vi deseruerim. Ad eum itaque mittentes prohibent quidem sacrificare: concedunt autem, ut in præsentia quidem versetur in episcopatu; timentes, ut opinor, ne Deus rursus desuper ferat sententiam in eorum audaciam, et ut prope eum habentes, Dei iram per ipsum reprimant. Sic ergo seorsum interim egit vir ille magnus, cessans a sermonibus et pulchris linguæ fluentis. Cum autem esset dies magni Sabbati (41), imperator fecit quod non recte se habebat, nec animi erat imperatorii. Accersitis Acacio et Antiocho, rogavit quidnam oporteret facere. Sed oportet, inquit, considerare, an Deo grata sint, quæ a vobis fiunt. Illi autem (quid enim erat eis Deus curæ?), In nostrum, inquiunt, redeat caput Joannis depositio: similia iis, qui dixerunt: « Sanguis ejus super nos 38, » et non procul ab eorum sententia, elocuti. Sic absentem condemnant virum justum, cum nec de iis, quorum accusabatur, dicendi potestatem ei permisissent, quod est commune omnibus, qui judicant sine ulla animi perturbatione: neque ab illo ullam accepissent defensionem. Cum hæc autem audivissent, qui erant a partibus Joannis, episcopi quidem se animi ægritudini dedentes et lacrymis, in angulis latebant et silentium agebant in habitaculis: sacerdotes autem et quicunque erant ex clero, congregabantur ad quasdam ædes

38 Matth. XXVII, 25.

(40) Elpidium Laodiceæ Syriæ episcopum fuisse, memorat ex Palladio Baron. qui hujus causæ decisionem perfacilem imperatori proposuerit.

(41) Nota, cum esset dies magni Sabbati, hoc est, Sabbatum sanctum.

oratorias (vocatur autem locus Constantianæ) et cum magna concurrisset multitudo, iis omnibus curæ erant sacri hymni et consueta glorificatio: præterea vero eos quoque, qui accedebant, divino dignabantur baptismo. Timentes ergo, qui erant improbi concilii, ne si in templum, ut solebat, venisset imperator, et vidisset id vacuum populo, hinc quidem sentiret populi in magnum Joannem benevolentiam, eorum autem, ut erat consentaneum, condemnaret invidiam: efficiunt ut quidem Lucius dux militum numeri gravis armaturæ, quem etiam fama erat esse gentilem religione, vadens convocaret populum ad ecclesiam, mansuetudine primum utens et persuasione, lege ut aiunt Bœotia; sin minus, vim etiam inferret, lanceam miscens cum caduceo. Ille autem cum statim cum iis, quos habebat, quadringentis vespere irruisset, illa fecit, quæ par erat eos solos pati, qui fecerant: dicere autem et explicare non nos oportet, sed id concedere illi linguæ omnium pulcherrimæ, et eam audire narrantem. Ipse enim sicut fortiter sustinuit, ita etiam vere narravit quod accidit. Scribens enim ad Innocentium, et quæ ausi fuerant, oratione persequens, eum autem antea diximus Romanum fuisse episcopum, sic rem tractavit: Quomodo quæ hic facta sunt deinceps, narraverim, quæ omnem superant tragœdiam? Quænam ea explicarit oratio? Quænam aures ea absque horrore acceperint? Nam cum nos eadem sicut prius proponeremus, repente multitudo militum in ipso magno Sabbato, die jam inclinante ad vesperam, in ecclesias irruens, universum clerum, qui erat nobiscum, expulit, armisque circumdedit; et mulieres, quæ se ad baptismum exuerant, ex ædibus oratoriis nudæ eo tempore evaserunt, metu gravis hujus irruptionis, ne eum quidem, quem decet mulieres, pudoris ornatum induere permissæ: multæ vero etiam acceptis vulneribus expulsæ sunt, et lavacra sanguine sunt impleta, et sacra fluenta sanguine evaserunt purpurea. Et nec hic quidem malum constitit: sed ingressi milites, ubi sancta erant reposita, quorum, sicut cognovimus, nonnulli non erant mysteriis initiati quæ intus erant, omnia viderunt, et sanctissimus Christi sanguis, ut in tanto tumultu, in prædictorum militum vestes fuit effusus (42), et tanquam in barbarica captivitate ausi sunt illa omnia, et populus ejectus fuit in solitudinem, et universus populi cœtus versabatur extra civitatem: et in tali festo ecclesiæ erant inanes populo, et plus quam quadraginta episcopi, qui nobiscum communicabant, cum populo et clero temere expulsi sunt, gemitusque et planctus erat in solitudinibus, et quælibet pars civitatis erat plena his calamitatibus. Nam propter insignem iniquitatem, non solum qui patiebantur, sed etiam qui nihil

βασιλεὺς, καὶ τοῦ λαοῦ κενωθὲν αὐτὸ θεασάμενος, αἴσθησιν μὲν ἐντεῦθεν λάβοι τῆς τοῦ λαοῦ πρὸς τὸν μέγαν εὐνοίας, αὐτῶν δὲ βασκανίαν εὐθὺς καταγνῷ, παρασκευάζουσι Λούκιόν τινα τοῦ ἀριθμοῦ τῶν ὁπλοφόρων ἡγούμενον, ὃν καὶ Ἕλληνα τὴν θρησκείαν ὁ τῶν πολλῶν εἶχε λόγος, ἀπελθόντα, τὸ πλῆθος εἰς τὴν ἐκκλησίαν μετακαλέσασθαι, ἐπιεικείᾳ τὸ πρῶτον καὶ πειθοῖ χρώμενον, εἰ δ' οὖν, ἀλλὰ καὶ βίαν ἐπαγαγεῖν. Ὁ δ' εὐθὺς πρὸς [ἴσ. σὺν] τετρακοσίοις, οἷς περὶ αὐτὸν εἶχεν, ἑσπέρας ἐπεισπεσὼν, ἐκεῖνα εἰργάσατο, ἃ ποθεῖν μὲν τοὺς δεδρακότας μόνους ἦν ἄξιον· εἰπεῖν δὲ καὶ διασαφῆσαι παραχωρεῖν ἡμᾶς προσῆκον τῇ καλλίστῃ γλώσσῃ, καὶ παρ' αὐτῆς ἀκούειν διηγουμένης. Αὐτὸς γὰρ ὥσπερ ὑπέστη γενναίως, οὕτω δὴ καὶ γενναιότατα διηγήσατο. Καὶ γὰρ ἐπιστέλλων Ἰννοκεντίῳ, καὶ τὰ τολμηθέντα δεξιῶν (Ῥώμης δὲ αὐτὸν ἐπίσκοπον ὁ λόγος φθάσας ἐδήλωσε), διέλαβεν οὕτω· Πῶς ἂν τὰ ἐνταῦθα διηγησαίμην λοιπὸν, πᾶσαν ὑπερβαίνοντα τραγῳδίαν; τίς αὐτὰ παραστήσειε λόγος; ποία χωρὶς φρίκης δέξεται ἀκοή; Ἡμῶν γὰρ ταῦτα, καθάπερ ἔμπροσθεν εἶπον, προτεινόντων, ἀθρόον στρατιωτῶν πλῆθος αὐτῷ τῷ μεγάλῳ Σαββάτῳ, πρὸς ἑσπέραν λοιπὸν τῆς ἡμέρας ἐπειγομένης, ταῖς ἐκκλησίαις ἐπεισελθόντες, τὸν κλῆρον ἅπαντα τὸν σὺν ἡμῖν πρὸς βίαν ἐξέβαλον, καὶ ὅπλοις τὸ βῆμα περιεστοίχιστο. Καὶ γυναῖκες τῶν εὐκτηρίων οἴκων, πρὸς τὸ βάπτισμα ἀποδυσάμεναι, κατ' αὐτὸν τὸν καιρὸν γυμναὶ ἔφυγον ἀπὸ τοῦ φόβου τῆς χαλεπῆς ταύτης ἐφόδου, οὐδὲ τὴν πρέπουσαν γυναιξὶν εὐσχημοσύνην συγχωρούμεναι περιθέσθαι. Πολλαὶ δὲ καὶ τραύματα δεξάμεναι ἐξεβάλλοντο, καὶ αἵματος αἱ κολυμβῆθραι ἐπληροῦντο, καὶ τὰ ἱερὰ ἀπὸ τῶν αἱμάτων ἐφοινίσσετο νάματα. Καὶ οὐδὲ ἐνταῦθα εἱστήκει τὸ δεινὸν, ἀλλ' ἔνθα τὰ ἅγια ἀπέκειτο, εἰσελθόντες οἱ στρατιῶται, ὧν ἔνιοι καθὼς ἐπέγνωμεν, καὶ ἀμύητοι ἦσαν, πάντα τε ἑώρων τὰ ἔνδον, καὶ τὸ ἁγιώτατον αἷμα τοῦ Χριστοῦ ὡς ἐν τοσούτῳ θορύβῳ εἰς τὰ τῶν προειρημένων στρατιωτῶν ἱμάτια ἐξεχεῖτο, καὶ ὡς ἐν αἰχμαλωσίᾳ βαρβαρικῇ, πάντα ἐτολμᾶτο· καὶ ὁ δῆμος πρὸς τὴν ἐρημίαν ἠλαύνετο, καὶ ἅπας ὁ λαὸς τῆς πόλεως ἔξω διέτριβε. Καὶ κεναὶ ἐν ἑορτῇ τοιαύτῃ τῶν λαῶν αἱ ἐκκλησίαι ἐγίνοντο, καὶ πλείους ἢ τεσσαράκοντα ἐπίσκοποι οἱ κοινωνοῦντες ἡμῖν μετὰ τοῦ λαοῦ καὶ τοῦ κλήρου εἰκῇ καὶ μάτην ἠλαύνοντο. Καὶ ὀλολυγαὶ καὶ οἰμωγαὶ τὰς οἰκίας κατὰ τὰς ἐρημίας καὶ κατὰ πᾶν τῆς πόλεως μέρος τῶν συμφορῶν ἐπλήρουν τούτων. Διὰ γὰρ τὴν ὑπερβολὴν τῆς παρανομίας, οὐχ οἱ πάσχοντες μόνον, ἀλλὰ καὶ οἱ μηδὲν τοιοῦτον ὑπομένοντες, συνήλγουν ἡμῖν, οὐχὶ ὁμόδοξοι μόνον, ἀλλὰ καὶ αἱρετικοὶ καὶ Ἰουδαῖοι καὶ Ἕλληνες. Ὡς τῆς πόλεως κατὰ κράτος ἁλούσης, οὕτως ἐν θορύβοις καὶ ταραχαῖς καὶ ὀλολυγαῖς ἅπαντα ἦν. Καὶ ταῦτα ἐτολμᾶτο παρὰ γνώμην τοῦ εὐσεβεστάτου βασιλέως, νυκτὸς καταλαβούσης, ἐπισκό-

(42) Nota hic contra hujus temporis hæreticos, qui negant asservandam sacratissimam Eucharistiam, quam non tantum sub specie panis, sed et vini asservatam, hæc Chrysostomi memorat epistola. Idem etiam S. Gregor. *Dial.* l. III, c. 36, astruit.

πων αὐτὰ κατασκευαζόντων, καὶ πολλαχοῦ στρατηγούντων, οἳ οὐκ ᾐσχύνοντο χαμπιθούκτωρας ἀντὶ διακόνων προηγουμένους ἔχοντες. Ἡμέρας δὲ γενομένης, πᾶσα ἡ πόλις ἔξω τῶν τειχῶν μετῳκίζετο, ὑπὸ δένδρα καὶ νάπας, καθάπερ πρόβατα διεσπαρμένα, τὴν ἑορτὴν ἐπιτελοῦντες. Ἀλλ' οὕτω μὲν ἡ χρυσῆ γλῶσσα. Τοιαῦτα δὲ κατὰ τὴν ἑορτὴν τοῦ Πάσχα οἱ καλοὶ ποιμένες καὶ ψυχῶν προστασίαν πεπιστευμένοι τῷ ἀναστάντι ἐκαρποφόρουν. Ἐντεῦθεν καὶ διατάγματα πανταχοῦ προτίθετο, τῆς Ἰωάννου διείργοντα κοινωνίας· ἃ τοσοῦτον ἐκράτει, ὡς τὴν ἐναντίαν μᾶλλον εἰληφότα παραγγελίαν, καὶ ταύτῃ πλέον τοὺς πολεμουμένους ῥωννύοντα, ὥσπερ δὴ τοῦ Θεοῦ τρόπος ἐν καιροῖς τοιούτοις οἰκονομουμένος. Καὶ γὰρ καὶ αἱ ἐκκλησίαι καὶ ὁ ἀριθμὸς ηὔξανε καθ' ἑκάστην τῶν ἐκείνῳ προστιθεμένων. Ἐν τούτοις οὖν τῆς Πεντηκοστῆς ἤδη καταλαβούσης, ἐπεὶ οὐκ ἦν ὅλως τῷ διαβόλῳ φορητὰ τὰ γενόμενα, προσελθόντες οἷς ἐκεῖνος ἐνέπνει, καὶ θεραπευτὰς εἶχε γνησίους, Σοὶ μὲν, τῷ βασιλεῖ ἔφησαν, ἐξουσία τῶν ἀνθρωπίνων παρὰ Θεοῦ ἀλλὰ τὰ τῶν ἐκκλησιῶν ἡμῖν ἐπιτέτραπται. Τοιγαρτοι μήτε ἱερέων ἱερώτερος, μήτε κανόνων ἀκριβέστερος εἶναι βουλόμενος, παραχώρει τῶν τοιούτων ἡμῖν. Ἔφημεν σοι καὶ πρότερον, βασιλεῦ, ἐπὶ τὴν κεφαλὴν εἴη τὴν ἡμετέραν ἡ Ἰωάννου καθαίρεσις. Μὴ τοίνυν φειδόμενος τοῦ ἑνὸς, τοὺς πάντας θέλε λυπεῖν. Τότε παῤῥησίᾳ πέμψας ὁ βασιλεὺς, Οἱ κατήγοροί σου, γνωρίζει τῷ πατριάρχῃ, τὸ κρῖμα τὸ σὸν, ὅπως ἂν ἔχοι, καὶ ἣν ἔθεντο ψῆφον τῆς καθαιρέσεως, κατὰ τῆς ἑαυτῶν ἕλκουσι κεφαλῆς. Τῷ Θεῷ τοίνυν τὰ κατὰ σαυτὸν ἐπιτρέψας, τῆς Ἐκκλησίας ἀπόστηθι. Τί τοῦτο, ἀνδρῶν εὐμεταβαλώτατε, καὶ βασιλέων τῷ κρατεῖν ἀγεννέστατε; πῶς ᾧ τοσαύτην εἰσήνεγκας τὴν σπουδὴν ἐκ τῆς Ἀντιοχέων μεταχαλούμενος, καὶ Χριστοῦ τὴν Ἐκκλησίαν πιστεύων, καὶ οὗ πεῖραν ὅσην ἔσχες τῆς ἀρετῆς, τοῦτον οὐ τῆς Ἐκκλησίας ἁπλῶς ἐκβέβληκας, ἀλλὰ καὶ ὑπερορίαν αὐτοῦ κατεδίκασας, ἄνδρα τὴν Χριστοῦ ζημιώσας ποίμνην, Οὗ, κατὰ τὸν μέγαν Παῦλον εἰπεῖν, οὐδὲ ὁ πᾶς κόσμος ἄξιος; Ἀλλὰ καὶ σὲ πάντως ἠπάτησεν Εὔα, ἡ δολιωτάτη, φημὶ, γυναικῶν, ἡ γνώμην καὶ γλῶτταν ὀφιώδης καὶ μοχθηρὰ, ὥσπερ δι' ἐκείνης ὁ ὄφις, οὕτως αὐτὴ διὰ τῶν οὐ καλῶν ποιμένων εἰς ὦτα τὰ σὰ λαλήσασα. Τούτων ὁ μέγας ἀκούσας, μηδὲν σκυθρωπὸν ἢ κατηφὲς μήτ' ἐν καρδίᾳ δεξάμενος, μήτ' ἐν ὄψει παρασημήνας, Δεῦτε, τοῖς περὶ αὐτὸν ἐπισκόποις ἔφη, τῷ ἀγγέλῳ τῆς Ἐκκλησίας ἤδη καὶ συνταξώμεθα. Εἶτα μετὰ τὴν καθήκουσαν προσευχὴν, πολλὰ περὶ τῆς ὀρθοδόξου διαμαρτύρεται πίστεως, καὶ ταύτης ἀμεταθέτως ἔχεσθαι παραινεῖ, ἔπειτα καὶ πάσας αὐτοῖς αἱρέσεις ἀπαγορεύει. Οὕτως ὁμιλίας ἔχοντι προσέρχεταί τις ἀγγέλλων τὸν θεομισῆ Λούκιον μετὰ τοῦ ὑπ' αὐτὸν στρατεύματος προσάγειν οὕτω παρεσκευασμένον, ὡς, εἴπερ ἀναβάλῃ τὴν ἔξοδον, καὶ βίαν ἐπενεγκεῖν, καὶ μεθ' ὕβρεως ἐξῶσαι τῆς Ἐκκλησίας. Κλονεῖται δὲ καί τὸ πλῆθος τὴν σὴν οὐχ οἷόν τε ὂν ὑπομεῖναι

A tale sustinebant, per consensum nobiscum dolorem accipiebant: non solum qui erant ejusdem opinionis, sed etiam hæretici, et Judæi, et gentiles: perinde ac si vi capta esset civitas, sic in tumultibus, perturbationibus et gemitibus erant omnia. Et hæc facta sunt præter sententiam pii imperatoris, noctu hæc comparantibus episcopis, et multis in locis exercentibus munus ducis exercitus, qui non erubescebant pro diaconis campi ductores habere præcedentes. Cum autem fuisset dies, tota civitas migravit extra mœnia, sub arboribus et nemoribus sicut dispersæ oves festum celebrantes. Sed sic quidem lingua illa aurea. Hæc autem in festo Paschæ egregii pastores et quibus animarum cura erat credita, obtulerunt ei, qui surrexerat. Hinc etiam in

B omnem partem missa sunt edicta, quæ prohibebant ab Joannis communione: quæ tantam vim habuerunt, perinde ac si præcepissent contrarium: et eos, qui oppugnabantur, magis sic confirmarunt: quem quidem modum solet tenere Deus in hujusmodi temporibus Ecclesiæ, certe et numerus crescebat assidue eorum, qui illi adjiciebantur. Interim autem dum jam venisset Pentecoste, quoniam fieri non poterat, ut occulto inimico hæc essent tolerabilia, accedentes ii, quos ille inspirabat, et a quibus ipse valde observabatur: Tibi quidem, dixerunt imperatori, rerum humanarum data est a Deo potestas, sed Ecclesiarum res sunt nobis commissæ. Itaque nec sacerdotibus sanctior, nec canonibus volens majorem habere auctoritatem, hæc

C relinque episcopis. Tibi quidem prius quoque diximus, o imperator, in nostrum redeat caput Joannis depositio. Vide ergo, ne unum sic complectens, omnes pergas afficere tristitia. Non amplius hæc sustinere poterat imperator, sed protinus aperte mittens, significat patriarchæ in hunc modum: Accusatores tui judicium tuum, quomodocunque se habeat, et quam depositionis tulerunt sententiam, trahunt in suum caput. Rem itaque tuam Deo committens, recede ab Ecclesia. Quid hoc, o virorum longe mutabilissime, et imperatorum in administrando imperio ignavissime, quomodo cui tantum adhibuisti studium, eum accersens Antiochia, et Christi ei credens Ecclesiam, cujus virtutis non parvum fecisti periculum, eum non solum ejecisti ex

D Ecclesia: sed eum etiam virum turpiter damnasti exsilio, Christi gregem damno afficiens: quo quidem viro, ut cum magno dicam Paulo, ne dignus quidem erat universus mundus [39]? Sed te quoque omnino cepit mulier. Eva rursus tuas aures, quæ sunt faciles, decepit miserabiliter: quomodo per illam serpens, ita ipsa per non bonos pastores cordis virus evomens. Hæc cum magnus ille audivisset, nullo mœrore aut tristitia, nec in corde affectus, nec vultu præ se ferens, sed virum ostendens in tentationibus, sicut in tempestate gubernatorem: Adeste, inquit suis episcopis, jam valere jubeamus

[39] Hebr. xi, 28.

angelum Ecclesiæ. Deinde post factas, quas conveniebat, preces, de fide orthodoxa multa testificatur, et hortatur, ut eam sequantur immutabiliter. Præterea vero eis quoque prohibet omnes hæreses. cum hæc autem verba faceret, accedit quidam, nuntians Deo invisum Lucium cum suo exercitu accedere ita paratum, ut si qua fiat in exitu dilatio, non sileat omnino nec mitigetur: sed manum quoque protinus afferat, et cum contumelia expellat

A στέρησιν. Ἐπιταχύναι τοιγαροῦν λυσιτελεῖ τὴν ἐξέλευσιν, μή ποτέ σου λίαν ἀντιποιούμενος ὁ λαὸς, καὶ εἰς χεῖρας τοῖς στρατιώταις ἔλθῃ, καί τι τῶν παραβόλων ἐργάσασθαι προαχθῇ. Τούτων ὁ μέγας ἀκούσας, δεξιὰν τισι τῶν ἐπισκόπων (οὐδὲ γὰρ ἐδίδου πᾶσιν ὁ καιρὸς) ἐμβαλὼν, καὶ τῷ φιλήματι μίξας δάκρυον διὰ τὴν τῶν συνήθων ζημίαν, εἶτα καὶ τοῖς λοιποῖς συνταξάμενος, ἐνταῦθά που παρηγγύα μένειν, Ἕως ἀπελθὼν, φησὶ, μικρὸν ἀνεθῶ.

ex Ecclesia. Porro autem commovetur quoque populus, qui ferre non potest sui privationem. Expedit ergo accelerare exitum, ne forte te nimium defendens populus, quod absit ut videamus, manus conserat cum militibus, et inducatur ut aliquid faciat nimis præceps et periculosum. Hæc cum magnus audisset Joannes, episcopisque aliquot porrecta dextera (neque enim, ut omnibus porrigeret, concedebat tempus), et osculo miserabiles miscuisset lacrymas, propterea quod separaretur a familiaribus, deinde etiam jussisset valere reliquos, præcepit ut tibi utique manerent, donec cum paululum abscessisset, reverteretur.

XLIX. Hæc cum dixisset, sacrum ingreditur baptisterium, et sanctam vocat Olympiadem: est autem omnino clara mulier vel solo nomine. Sed non fuerit fortasse deterius permittere orationi, ut se paululum recreet ejus bonorum deliciis. Ea cum et genere et divitiis et specie corporis et aliis hujusmodi valde resplenderet, cum viro quidem jungitur matrimonio, sed non amittit virginitatem: sed cum sic cum eo vixisset circa viginti menses, ille autem excessisset ex hominibus, etsi non ea esset ætate, cui pudori essent secundæ nuptiæ, pulchrum revera amplexa temperantiam, per totam vitam eam amare voluit: et licet imperator eam vocaret ad matrimonium suorum cognatorum, et eam magnis afficeret honoribus, illa omnibus relictis deliciis, ut quæ cum ingenuis nihil haberent commune, se oblectabat jejunio, non solum cibi, sed etiam somni, pulchre exercens corpus, et id studens habere opem ferens, non autem insidians ad virtutem: temperantiam ac pudicitiam complectens usque ad cogitationem, non solum usque ad contactum. Postquam autem omnium bonorum fuit domina, ea in usus sanctorum studuit effundere: fuitque diaconissa totius Ecclesiæ, propter insignem ejus pietatem et hospitalitatem. Eos enim maxime, qui virtutem exercebant, hospitio magnifice excipiebat, et quocunque poterat officio hilariter prosequebatur. Quæ etiam Theophilum tanquam Dei amicum observans, suam in eum ostendit magnificentiam, etiamsi ejus linguæ impudentiam et maledicentiam ne ipsa quidem omnino potuit effugere, data ei occasione, quod quos ille fuerat persecutus, Ammonium scilicet et Isidorum, viros Deo charos, exceperit (43). Atque omnium quidem, sicut dixi, virorum virtutis amantium magnam curam gerebat, et eis omnibus modis providebat: huic autem viro beato fuit etiam familiaris, quomodo Thecla Paulo, ab ejus lingua tota vita dependens. Quoniam vero cum ea aliæ quoque erant diaconissæ, Procula, et Pentadia, et Sylvana (44), quæ bonam partem ele-

B ΜΘ'. Οὕτως εἰπὼν, ἐπὶ τὸν ἱερὸν εἰσέρχεται βαπτιστῆρα, καὶ Ὀλυμπιάδα καλεῖ τὴν ὁσίαν. Δήλη δὲ ἡ γυνὴ πάντως πρὸς αὐτοῦ τοῦ ὀνόματος. Ὅμως οὐ χεῖρον ἐφεῖναι μικρὸν καὶ τῷ λόγῳ, καὶ παρατρυφῆσαι τῶν ταύτης καλῶν, ἢ ζημίαν ὑπομεῖναι τελείαν ἡδίστης οὕτω καὶ ψυχωφελοῦς διηγήσεως. Αὕτη γένει καὶ πλούτῳ καὶ ὥρᾳ σώματος, καὶ τοῖς ἄλλοις τοῖς ὁμοίως ἔχουσιν ἀτεχνῶς διαλάμψασα, ἀνδρὶ συνάπτεται μὲν, τὴν δὲ παρθενίαν οὐκ ἀποβάλλεται. Ἀλλ' οὕτως αὐτῷ περί που μῆνας εἴκοσι συμβιώσασα, ἐπεὶ ἐκεῖνος ἐξ ἀνθρώπων ἐγένετο, καίτοι τὴν ἡλικίαν οὐκ ἔχουσα τοὺς δευτέρους γάμους αἰσχυνομένην, αὐτὴ τὴν σωφροσύνην ἀσπασαμένη, στέργειν αὐτὴν εἵλετο διὰ βίου, καὶ ταῦτα τοῦ βασιλέως αὐτὴν εἰς συγγενεῖς ἕλκοντος γάμους, C νηστείαις δὲ μᾶλλον καὶ ἀγρυπνίαις, καὶ τοῖς ἄλλοις ἐντρυφῶσα τῶν ἐπιπόνων. Ὡς ἤδη καὶ τῆς οὐσίας πάσης κατέστη κυρία, ἐπὶ τὴν θεραπείαν αὐτὴν τῶν ἁγίων ἐκκενοῦν ἔγνω, διάκονός τε τῆς Ἐκκλησίας ἠξίωτο καταστῆναι πάσης, διὰ πολλὴν, ἣν εἶχε τῆς εὐλαβείας περιουσίαν, καὶ τὸ τῆς φιλοξενίας ἐπιφανέστατον. Ἦν γὰρ καὶ μάλιστα τοὺς ἀρετὴν μετιόντας ξενίζουσα φιλοτίμως, καὶ θεραπείαν, εἴ τις ἐστι, προσάγουσα, ἣ καὶ Θεοφίλῳ πολλάκις τὸ ἑαυτῆς μεγαλόψυχον ἐπεδείξατο· κἂν τῆς ἐκείνου γλώττης τὸ φιλολοίδορον οὐδὲ αὐτὴ ἔσχατον ἠδυνήθη φυγεῖν, πρόφασιν δοῦσα, τὸ τοὺς ὑπ' αὐτοῦ διωχθέντας, τοὺς περὶ Ἀμμώνιόν φημι καὶ Ἰσίδωρον, ἄνδρας θεοφιλεῖς ὑποδέξασθαι. Πάντων μὲν οὖν, ὥσπερ ἔφην, τῶν φιλαρέτων ἀνδρῶν θερμῶς ἐκήδετο, καὶ προ- D νοίας αὐτοὺς πάσης ἠξίου· τῷ δὲ μακαρίῳ τούτῳ καὶ συνήθης ἐγένετο, καθάπερ Θέκλα τῷ Παύλῳ, τῆς αὐτοῦ γλώττης ὅλῳ βίῳ ἑαυτὴν ἐξαρτήσασα. Ἐπεὶ δὲ αὐτῇ καὶ ἕτεραι διάκονοι συνῆσαν, Πρόκλη τε καὶ Πενταδία καὶ Σιλβανὴ, καὶ αὐτὰς τότε συγκαλέσας, Δεῦτε, ἔφη, θυγατέρες, πρόσχετέ μοι τὸν νοῦν. Τάχα γὰρ καὶ πρὸς τέλος ἤδη κλίνει τὰ κατ' ἐμὲ, καὶ οὐκέτι με κατὰ τὸν νῦν ὄψεσθε κόσμον. Ταύτην δὲ ὑμῶν δέομαι δέησιν τὴν ἐσχάτην, μηδὲν τῆς συνήθους περὶ τὸν τοῦ Θεοῦ ναὸν προσεδρείας

(43) De Ammonio et Isidoro Origenistis ab Olympia, inscie tamen susceptis, vide quæ superius dicta sunt.

(44) Al. *Salvinam*.

καὶ πίσεως καθυφεῖναι. Καὶ ἴσως ἐπὶ τὸν θρόνον A τοῦτον (τὸ γὰρ εἶναι τὴν Ἐκκλησίαν ἔρημον ἐπισκόπου πάντως οὐκ ἔσται), ὃς ἂν οὖν κατὰ τὴν πάντων συναίνεσιν ἐπ' αὐτὸν ἀναχθῇ, τούτῳ καθάπερ δὴ καὶ ἐμοὶ τὴν κεφαλὴν ὑμεῖς ὑποκλίνατε, καί μου τῆς ἀγάπης ἐν ταῖς προσευχαῖς μέμνησθε. Ἐπὶ τούτοις ἐπεὶ ἰσχυρῶς αὐτῶν ἡ λύπη καθίκετο, καὶ τοῖς δάκρυσι συνεχύθησαν, ἔλεγόν τε τὴν στέρησιν οὐ φορητὴν αὐταῖς εἶναι, καὶ τοῖς ποσὶ προσέκειντο τοῖς αὐτοῦ γοερὸν ὀλολύζουσαι, ἐκεῖνος ἵνα μὴ τῷ ὄχλῳ πρὸς αἴσθησιν τὸ πρᾶγμα πεσὸν θόρυβον ἐμβάλῃ, νεύει τῶν πρεσβυτέρων τινὶ μεταστῆσαι ταύτας, καὶ τὸ μὲν ὑποζύγιον, οὗ καὶ ἐπιβαίνειν εἰώθει (λαθεῖν γὰρ ἠβούλετο) πρὸς ταῖς δυτικαῖς πύλαις στῆναι κελεύει· αὐτὸς δὲ διὰ τῶν ἀνατολικῶν ἔξεισι, καὶ μετὰ ὀλίγων τινῶν πρὸς τὸν αἰγιαλὸν B καταχθεὶς, ἔπλεεν. Ἀλλ' οἷον ἄρα καὶ μνήμης ἄξιον εἰς ἔλεγχον τῆς τῶν μοχθηρῶν κακίας ὁ λόγος σπεύδων μικροῦ καὶ παρέδραμε; Τὸ γὰρ πονηρὸν ἐκεῖνο συνέδριον, ἐπεὶ ἔδει μετὰ τῶν ἄλλων ὧν ἐπῆγον τῷ ἁγίῳ κακῶν, μηδὲ φόνου αὐτοὺς ἀποσχέσθαι, ἀλλὰ καὶ τὸν διὰ ξίφους ὠδινῆσαι κατ' αὐτοῦ θάνατον, οἰκέτης τῶν τινος πρεσβυτέρων, Ἐλπίδιος ὄνομα, πεντήκοντα νομισμάτων ὑπ' ἐκείνων, φεῦ! τὴν δεξιὰν μισθωθεὶς, ἐπιβουλεύσειν ἔμελλε τῷ δικαίῳ, καὶ φωραθεὶς (οὐδὲ γὰρ ἀφῆκεν οἷς οἶδε λόγοις ἡ πάντων ἐπιτροπεύουσα Πρόνοια) ἐνίους τῶν κατασχόντων οἷς εἶχε ξίφεσι, τοὺς μὲν ἀνεῖλε, τοὺς δὲ καὶ χαλεπῶς ἔπληξεν. Ἀλλ' οὕτω μὲν ὁ μέγας ἔπλει, καὶ πρὸς τὴν ὑπερορίαν ἀπήγετο. Ἡδονὴ δὲ τὸ πλῆθος καὶ λύπη διεμερίζοντο· λύπη μὲν, τοὺς εὐσεβεῖς τε καὶ ὀρθοδόξους καὶ τοὺς χρυσοῦς ἐκείνου C λόγους ζημιωθέντας μετὰ τῆς σεμνῆς ὄψεως· ἡδονὴ δὲ Ἰουδαίους καὶ Ἕλληνας, οἷς καὶ εἰς ἑορτὴν τὸ πρᾶγμα κατέστη, τοὺς ἐλέγχους πάντως τῆς ἐκείνου γλώττης διαφυγοῦσιν, ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ ταῖς καρδίαις ἀφιεμένους· οἳ καὶ κατεμωκῶντο καὶ κατέπαιζον, καὶ πολὺν γέλωτα τῆς τῶν κρατούντων κατέχεον εὐηθείας, ὡς μικροῦ καὶ δι' οἴκτου τίθεσθαι τὴν τῶν Χριστιανῶν συμφοράν.

gerant convenienter divino Christi verbo, cum ipsas quoque tunc magnus ille convocasset: Adeste huc, inquit, filiæ, animum mihi adhibete. Res enim nostræ utique jam tendunt ad finem, nec me amplius videbitis in hoc mundo. Hanc autem a vobis extremam rogo petitionem, ut de vestra in Dei templum assiduitate et fide nihil remittatis, et quicunque hanc sedem ascenderit (fieri enim non poterit, ut Ecclesia omnino careat episcopo), ei vos sicut mihi capita inclinetis, et mei dilectionis in precibus memineritis. Post hæc cum eas dolor vehementer invasisset, et protinus fuissent confusæ lacrymis, et dicerent ejus privationem non futuram eis tolerabilem, et ejus pedes pensarent, ejulantes miserabiliter, ille, ne si populus id sensisset, afferret tumultum, annuit uni ex presbyteris, ut eas abduceret: et jumentum quidem, quod solebat ascendere (volebat enim latere), jussit statui ad portas Occidentales: ipse autem per portam Orientalem simul est egressus, et cum paucis ad littus deductus navigavit. Sed qualem rem, et quam dignam, quæ commemoretur ad plane arguendam improborum malitiam, festinans oratio propemodum prætermisit? Improbum enim illud concilium, cum oporteret cum aliis malis, quæ sancto intentabant, ne ipsos quidem a cæde abstinere, sed etiam inique gladio cædem in eum parturire, famulus cujusdam ex presbyteris, nomine Elpidius, quinquaginta nummis, proh dolor, ab illis conductus, erat viro justo paraturus insidias. Qui quidem deprehensus (neque enim quibus novit rationibus, sivit eum latere Dei providentia) nonnullos ex iis, qui eum comprehenderant, iis quos habuit ensibus interfecit: alios autem graviter vulneravit. Sed ille quidem magnus sic navigabat et abibat in exsilium, populus autem partim lætitia, partim dolore afficiebatur: dolore quidem pii, qui privati erant suavibus illius orationibus cum venerando aspectu: lætitia vero Judæi et gentiles, quibus hæc res dies erat festus, ut qui illius lingua reprehensiones omnino effugissent: reprehensiones, inquam, quæ tanquam tela in manu potentis, ut cum divino dicam Davide [40], in corda eorum immittebantur: qui et irridebant, et ludificabantur, et in principum stultitiam risum effundebant maximum, ut Christianorum calamitatis propemodum etiam misererentur.

Ν'. Ἐξαίφνης δὲ γίνεταί τι πρᾶγμα φοβερὸν καὶ D μέχρι τῆς ἀκοῆς ἐρχόμενον, τοῦ Θεοῦ πάντως οὕτως οἰκονομοῦντος, ὥσπερ τὸν σεισμὸν πρότερον, εἰς δόξαν μὲν τῶν αὐτοῦ θεραπόντων, φόβον δὲ καὶ συναίσθησιν τῶν σφόδρα τολμηρῶν καὶ θρασέων, μονονουχὶ μετὰ τοῦ Δαβὶδ κηρύττον· Οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς. Αὐτῆς γὰρ ἡμέρας, καθ' ἣν ὁ μέγας τῆς Ἐκκλησίας ἀστὴρ, οἷα πρός τινας δυσμὰς τὴν ὑπερορίαν ἐχώρει, πῦρ θεῖον ἐκ μέσου τοῦ θρόνου, ᾧ προσεδρεύων τὰς ἱερὰς ἐπήγαζε διδαχὰς, ὑπ' οὐδεμιᾶς χειρὸς ἀναφθὲν, διὰ τῶν ἱερῶν ἁλύσεων ἀνεῖρπεν εἰς ὕψος. Εἶτα τὴν στέγην διαφαγὸν, κατὰ τῶν νώτων τῶν σεπτῶν δωμάτων ἐχώρει. Ἐντεῦθεν ἄνεμος τὴν φλόγα παραλαβὼν,

L. Fit autem statim res quædam terribilis, si vel solum ad aures perveniat, Deo hæc providente, sicut etiam prius terræ motum, ad gloriam quidem suorum famulorum, metum autem et conscientiæ terrorem eorum, qui sunt audaces et temerarii, qui etiam propemodum emittebat vocem Davidis [41], « Qui exacerbant, ne extollantur in seipsis. » Eo enim die, quo magna illa stella Ecclesiæ, veluti ad quemdam occasum ibat in exsilium, ignis divinus ex illa sede, in qua assidens sacram effundebat doctrinam, a nulla manu accensus, per sacras catenas serpit in altum. Deinde cum tectum exedisset, processit per summam superficiem venerandarum ædium. Hinc cum vehemens ventus flammam inva-

40 Psal. LXXVI, 4. 41 Psal. LXV, 7.

sisset, eam in domum senatus evocat, quæ sita erat longo abhinc spatio. Erat autem res valde admirabilis, quemadmodum flamma tanquam animatum quidpiam, iis, quæ erant intermedia, pepercerit et ea transilierit: ne posset aliquis id, quod factum fuerat, ascribere vicinitati, et tam magnum opus et tam diuturnum, materia quidem pretiosissimum, pulchritudine autem speciosissimum, exustum trium horarum spatio, redactum sit in nihilum. Sic autem ignis serpens et in orbem depascens, soli rursus parcit domunculæ in qua servabantur vasa sacra. Quod quidem non absque Dei numine nec casu factum est: sed ne sycophantis præberet occasionem, ex sacrorum vasorum interitu, sancto viro inurendi calumniam. Quid ergo? cum hinc oporteret improbos tanquam percussum, ut aiunt, piscatorem sapere: illi male faciendi hinc majorem sumentes occasionem, pergebant ea persequi, quæ solebant: et multos quidem ex episcopis et sacerdotibus, multos autem ex aliis quoque, qui favebant partibus Joannis, vehementer puniebant, dicentes ab iis ignem fuisse injectum, dum vellent facere rem gratam patriarchæ. Sed persequatur oratio ea, quæ consequuntur, et quomodo se habuerit exsilium, singulatim declaret.

A ἐπί τὸν τῆς συγκλήτου γερουσίας οἶκον διὰ μακροῦ τοῦ μέσου κείμενον ἐκκαλεῖται, καθάπερ τινὰ ἔμψυχον τῶν μεταξὺ φεισαμένην, ὡς μὴ τῇ ἐγγύτητί τινα ἔχειν τὸ γεγονὸς ἐπιφράφειν· καὶ τριῶν ὡρῶν ἔργον τοιοῦτον μέγα καὶ πολυχρόνιον, ὕλῃ μὲν πολυτελέστατον, κάλλει δὲ ὡραιότατον, ἐκκαυθὲν εἰς ἅπαν, πρὸς τὸ μὴ ὂν ᾤχετο. Οὕτω δὲ παραθέον τὸ πῦρ καὶ τὰ κύκλῳ διανεμόμενον, μόνου τοῦ οἰκίσκου φείδεται πάλιν, ἐν ᾧ τῶν ἱερῶν σκευῶν ἐτηρεῖτο τὸ πλῆθος, οὐ τὸν χρυσὸν εὐλαβούμενον, οὐδὲ τὴν ἄλλην ὕλην, ὡς ἂν εἴποι τις, τὴν τιμίαν, ἀλλ' ἵνα μὴ τοῖς συκοφάνταις χώραν παράσχῃ διαβολῆς, καὶ ὑπόνοιαν ὑφαιρέσεως τῇ τῶν κειμηλίων ἀπωλείᾳ τῷ ἁγίῳ προστρίψωσι. Τί οὖν; δέον ἐντεῦθεν τοὺς πονηροὺς, ὡς ἁλιέα πληγέντα, φασὶ, νοῦν οἴσειν, οἱ δὲ καὶ πρόφα- B σιν τοῦτο ποιησάμενοι τοῦ κακῶς δρᾷν, πολλοὺς τῶν ἐπισκόπων, μᾶλλον καὶ ἱερέων καὶ τῶν ἄλλων τῶν τῆς Ἰωάννου μοίρας ἐκόλαζον, ὑπὸ τούτων λέγοντες ὑποβληθῆναι τὸ πῦρ τῷ πατριάρχῃ χαριζομένων.

LI. Sic ergo magnus homo Dei et fortissimus athleta veritatis, a sævis militibus ducebatur in quoddam desertum Armeniæ oppidulum nomine Cucusum (45), multis tunc et assidue Isauris id depopulantibus, et incursiones facientibus. Fuit autem hoc factum consulto, ut arbitror, ut cum aliis malis, inimicissimis quoque eorum manibus traderetur. Quæ vero ille in via passus sit, et cum quam multis decertans malis, nec sic quidem abjecerit curam Dei Ecclesiarum, quemnam alium aut jucundius, aut apertius, aut verius dicentem audiemus, quam illum? Hæc enim, in una epistola, quam ad suos scribit, tractat lingua illa aurea. Si enim carcerem habitatis, et catena vincti estis, et cum squalidis et sordidis inclusi estis, propterea quod non assentiamini eorum iniquitati, exsultate et lætemini, coronemini et choros ducite, quod hæc sint vobis occasio copiosarum mercedum. Nam nos quoque tabefacti et consumpti sumus: mortes passi sumus numerabiles. Hæc autem possunt melius renuntiare, qui vel brevi temporis momento nobiscum sunt versati: cum quibus ne potui quidem loqui, cum oppressus essem assiduis febribus. Quibus cum laborarem, et noctu et interdiu cogebar iter ingredi, et æstu obsessus, et vigilia perditus, et privatione necessariorum, et egestate eorum, qui mei curam gererent. Iis enim, qui metalla fodiunt, et carceres habitant, graviora passi sumus et patimur. Vix tandem autem perveni Cæsaream, tanquam qui venissem a tempestate in portum. Sed nec hic portus potuit recreare mala fluctuum, adeo nos omnino prius tempus confecerat. Sed tamen cum venissem Cæsaream, non parum respiravi, quod aquam bibi puram, quod panem sumpsi non olentem, nec durum, quod non amplius fui ablutus

ΝΑ'. Οὕτω μὲν οὖν ὁ μέγας τοῦ Θεοῦ ἄνθρωπος καὶ τῆς ἀληθείας ἀγωνιστὴς ἄμαχος, ὑπὸ στρατιωτῶν ἤγετο εἰς ἔρημόν τι τῆς Ἀρμενίας πολίχνιον (Κουκουσὸς ὄνομα), πολλῶν αὐτὸ τότε καὶ συνεχῶς Ἰσαύρων κατατρεχόντων. Ἐπίτηδες οἶμαι τοῦτο γενόμενον, ὡς μετὰ τῶν ἄλλων κακῶν καὶ χερσὶν αὐτὸν ταῖς ἐχθίσταις παραδοθῆναι. Ἃ δὴ κατὰ τὴν ὁδὸν ὑπέστη, καὶ ὅσοις δὴ καὶ ἡλίκοις παλαίων κακοῖς, οὐδ' οὕτως ἠμέλει τοῦ τὰς Ἐκκλησίας τοῦ Θεοῦ καλῶς ἔχειν, τίνος ἑτέρου λέγοντος, ἢ ἐκείνου, ἥδιον, ἢ σαφέστερον, ἢ ἀληθέ- C στερον, ἀκούοιμεν ἄν; καὶ ταῦτα γὰρ ἐν μιᾷ τῶν ἐπιστολῶν ἡ χρυσῆ γλῶττα πρὸς τοὺς τῆς αὐτοῦ μερίδος φησίν· Εἰ γὰρ καὶ δεσμωτήριον οἰκεῖτε, καὶ ἁλύσεσιν περίκεισθε, καὶ μετὰ τῶν αὐχμώντων καὶ ῥυπώντων ἐστὲ κατακεκλεισμένοι ἕνεκεν τοῦ μὴ συνθέσθαι τῇ τούτων παρανομίᾳ, ἀλλ' οὖν σκιρτᾶτε καὶ ἀγγαλλιᾶσθε, στεφανοῦσθε καὶ χορεύετε, ὅτι πολλῆς ἐμπορίας ὑμῖν ὑπόθεσις ταῦτα· ἐπεὶ καὶ ἡμεῖς, ἀνηλώθημεν, ἐδαπανήθημεν, μυρίοις ἀπεθάνομεν θανάτοις· καὶ ταῦτα ἴσασιν ἀκριβέστερον ἀναγγεῖλαι οἱ καὶ βραχεῖαν ῥοπὴν ἡμῖν συγγενόμενοι· πρὸς οὓς οὐδὲ διαλεχθῆναί τι ἐδυνήθεν, ὑπὸ τῶν συνεχῶν πυρετῶν καταβεβλημένος· οὓς ἔχων καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ ὁδοιπορεῖν ἠναγκαζόμην, καὶ θάλπει πολιορκούμενος, καὶ ὑπὸ ἀγρυπνίας διαφθειρόμενος, καὶ ὑπὸ τῆς τῶν ἐπιτη- D δείων ἐρημίας ἀπολλύμενος, καὶ τῆς τῶν προστησομένων ἀπορίας. Καὶ γὰρ τῶν τὰ μέταλλα ἐργαζομένων, καὶ τὰ δεσμωτήρια οἰκούντων, χαλεπώτερα καὶ πεπόνθαμεν καὶ πάσχομεν. Ὀψὲ δέ ποτε καὶ μόλις ἐπέτυχον τῆς Καισαρείας, ὥς ἀπὸ χειμῶνος εἰς λιμένα ἐλθών. ἀλλ' οὐδὲ ὁ λιμὴν οὗτος ἴσχυσεν ἀνακτήσασθαι τὰ ἀπὸ τοῦ κλυδωνίου κακά· οὕτω καθάπαξ ἡμᾶς ὁ ἔμπροσθεν χρόνος κατειργάσατο. Ἀλλ' ὅμως ἐλθὼν εἰς τὴν Καισάρειαν, οὐ μικρὸν ἀνέψυξα, ὅτι καὶ ὕδατος ἔπιον καθαροῦ, ὅτι καὶ ἄρ-

(45) Deportatur Cucusum, an. 404, ut notat Baron.

του οὐκ ὀδωδότος, οὐδὲ κατεσκληκότος μετέλαβον, A ὅτι οὐκέτι ἐν τοῖς κλάσμασι τῶν πίθων ἐλουόμην, ἀλλ' εὗρον βαλανεῖον οἷον δήποτε, ὅτι συγκεχώρημαι τέως τῇ κλίνῃ προσηλῶσθαι. Ἐνῆν καὶ πλείονα τούτων εἰπεῖν, ἀλλ' ἵνα μὴ σφόδρα λυπήσω, μέχρι τούτων ἵστημι ἐκεῖνο προστιθείς· ὅτι μὴ παύσητε ὀνειδίζοντες τοὺς ἀγαπῶντας ἡμᾶς. Τοσούτους γὰρ ἔχοντες ἐραστὰς, καὶ τοσαύτην δύναμιν περιβεβλημένους, οὐδὲ αὐτῶν τυγχάνομεν, ὧν τυγχάνουσιν οἱ κατάδικοι, ὥστε εἰς ἡμερώτερον καὶ ἐγγύτερόν που καταδικασθῆναι τόπον· ἀλλὰ καὶ τοῦ σώματος ἡμῖν ἀπαγορεύσαντος, καὶ του φόβου τῶν Ἰσαύρων πάντα πολιορκοῦντος, τῆς μικρᾶς ταύτης καὶ εὐτελοῦς οὐκ ἐπετύχομεν χάριτος. Δόξα τῷ Θεῷ καὶ διὰ τοῦτο· οὐ παυόμεθα γὰρ αὐτὸν ἐπὶ πᾶσι δοξάζοντες. Εἴη τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς B αἰῶνας. Ἴστε γὰρ σαφῶς ὡς πάντα θορύβων καὶ καὶ ταραχῆς πεπλήρωται, καὶ οὐχ ὑπὲρ Κωνσταντίνου πόλεως χρὴ μόνον παρακαλεῖν, ἀλλ' ὑπὲρ τῆς οἰκουμένης ἁπάσης. Ἐπειδήπερ ἐντεῦθεν ἀρξάμενον τὸ κακὸν, καθάπερ εἴρηται, τὰς Ἐκκλησίας πανταχοῦ γῆς λυμαίνεται. Ἑβδομήκοντα τοίνυν ἡμέρας ἀναλώσαντες κατὰ τὴν ὁδὸν, ὀψέ ποτε ἀπηντήκαμεν εἰς τὴν Κουκουσὸν, τὸ πάσης τῆς οἰκουμένης ἐρημότατον χωρίον· ὅθεν λογίζεσθαι τῇ θαυμασιότητι ὑμῶν ἔξεστιν, ὅσα καὶ ἡλίκα πεπόνθαμεν κακὰ, πυρετοῖς ἀφορήτοις παλαίοντες, καὶ φόβῳ Ἰσαυρικῷ πολιορκούμενοι. Καὶ ταῦτα λέγω οὐκ ἀξιῶν ἐνοχλῆσαί τινα, ὥστε ἡμᾶς μεταστῆσαι ἐντεῦθεν (τὸ γὰρ χαλεπώτατον διηνύσαμεν, τῆς ὁδοῦ τὴν ταλαιπωρίαν), ἀλλ' ὑμᾶς χάριν αἰτῶ, τὸ συνεχῶς C ἡμῖν γράφειν, καὶ ὑπὲρ τῶν Ἐκκλησιῶν φροντίζειν. Καὶ πάλιν δὲ οὕτω φησίν· Ἐπεὶ καὶ ἡμᾶς τρίτον ἔτος ἐν ἀξορίᾳ διατρίβοντας λιμῷ, λοιμῷ, πολέμοις, πολιορκίαις συνεχέσιν, ἐρημίᾳ ἀφάτῳ, θανάτῳ καθημερινῷ, μαχαίραις Ἰσαυρικαῖς, οὐχ ὡς ἔτυχε παρακαλεῖ καὶ παραμυθεῖται τὸ διαρκὲς καὶ μόνιμον ὑμῶν τῆς διαθέσεως, τῆς παῤῥησίας τὸ ἀκλινές· ὅθεν εἰ καὶ τοῦ ἐδάφους καὶ τῶν τειχῶν τῆς πόλεως ἐκβεβλήμεθα, τῆς δὲ κυρίως πόλεως οὐ μετῳκίσθημεν. Εἰ γὰρ ὑμεῖς ἡ πόλις, μεθ' ὑμῶν δὲ ἡμεῖς ἀεὶ καὶ ἐν ὑμῖν, εὔδηλον ὅτι καὶ ἐνταῦθα διάγοντες τὴν πόλιν οἰκοῦμεν ἐκείνην. Καὶ γὰρ ἐνδιαιτώμεθα ὑμῶν ταῖς ψυχαῖς, καὶ ὅπουπερ ἂν ὦμεν, πάντας ὑμᾶς τοὺς σφοδροὺς ἡμῶν ἐραστὰς ἐπὶ διανοίᾳ περιφέροντες ἄπιμεν.

fragmentis doliorum, sed inveni balneum qualecunque, quod tunc mihi concessum fuit lecto affigi. Poteram his plura dicere : sed ne nimium sim molestus, hucusque sisto, illud addens, quod non cessetis exprobrare iis; qui nos diligunt. Nam cum tam multos habeamus, qui nos amant, et quorum est tanta potentia, ne ea quidem assequimur quæ condemnati, ut in mitiorem et propinquiorem aliquem locum relegemur: sed cum et corpus nobis sit defessum, et metus Isaurorum omnia obsideat, hanc parvam et vilem gratiam non sumus assecuti. Deo propter hoc quoque sit gloria. Non cessamus enim eum glorificare in omnibus. Sit nomen ejus benedictum in sæcula sæculorum. Aperte enim scitis, omnia esse plena tumultibus et perturbationibus Nec oportet solum rogare pro Constantinopoli, sed pro universo orbe terrarum: quandoquidem malum, quod hinc cœpit, sicut dictum est, ubique terrarum perdit Ecclesias. Cum septuaginta itaque dies consumpsissemus in itinere, vix tandem venimus Cucusum, totius orbis terræ locum desertissimum. Quamobrem licet hinc vestræ amplitudini ratiocinari, quam multa mala passi simus, et cum febribus luctantes intolerabilibus, et obsessi metu Isaurorum. Et hæc dico, non volens rogare aliquem, ut nos hinc transmoveat. Perfecimus enim quod erat gravissimum, nempe viæ molestiam. Sed hanc a vobis peto gratiam, ut assidue ad nos scribatis, et curam geratis Ecclesiarum Et rursus sic dicit: Nam nos quoque, qui tertium annum versamur in exsilio, fame, peste, bellis, frequentitur obsidionibus, solitudine, quæ verbis explicari non potest, morte quotidiana, gladiis Isauricis, non leviter consolatur perpetua vestra et stabilis affectio, firmaque et immota fiducia. Quamobrem etiamsi a solo et mœnibus civitatis expulsi sumus, ab ea tamen, quæ est proprie civitas, non migravimus. Si enim vos estis civitas, nos autem semper vobiscum et in vobis : clarum est, quod hic quoque degentes, illam habitamus civitatem. In vestris enim degimus animis, et ubicunque fuerimus, omnes vos, qui vehementes estis nostri amatores, in cognitione circumferentes abimus.

Δηλοῖ δὲ καὶ ἡ πρὸς Κωνστάντιον αὐτῷ τὸν πρεσβύ- D τερον γραφεῖσα ἐπιστολὴ, τὸν ὑπὲρ τῶν Ἐκκλησιῶν ζῆλον, οὕτως ἔχουσα· Τῇ τετάρτῃ τοῦ Πανέμου μηνὸς, μέλλων ἀπὸ τῆς Νικαίας ἐξορμᾷν, ταῦτα διαπέμπομαι τὰ γράμματα πρὸς τὴν σὴν θεοσέβειαν, παρακαλῶν, ὅπερ ἀεὶ παρακαλῶν οὐκ ἐπαυσάμην, κἂν χαλεπώτερος τοῦ νῦν κατέχοντος γένηται ὁ χειμὼν, κἂν μείζονα τὰ κύματα, μὴ διαλείπειν τὰ σαυτοῦ πληροῦν, τὰ εἰς τὴν οἰκονομίαν ἧς ἐξ ἀρχῆς ἥψω· λέγω δὴ τοῦ Ἑλληνισμοῦ τὴν καθαίρεσιν, τῶν ἐκκλησιῶν τὰς οἰκοδομὰς, τῶν ψυχῶν τὴν ἐπιμέλειαν. Μὴ δὴ [γρ. μηδὲ] σε ὕπτιον ποιείτω τῶν πραγμάτων ἡ δυσκολία. Οὐδὲ γὰρ κυβερνήτης τὸ πέλαγος ὁρῶν μαινόμενον καὶ διανιστάμενον ἀποστήσεται τῶν οἰάκων· ἀλλ'

Alia porro ad presbyterum Constantinum ab ipso scripta epistola, manifestum ejus pro Ecclesiis facit studium ; quæ sic se habet : Quarto mensis Panæmi Nicæa soluturus, has scribo litteras ad tuam pietatem, adhortans ad id, quod nunquam cessavi te adhortari, etiamsi hæc, quæ nunc est, orta fuerit tempestas gravior, et majores excitentur fluctus, ut non cesses ea, quæ tua sunt, implere, ad ea administranda, quæ ab initio es aggressus ad destruendam, inquam, gentium superstitionem, Ecclesiarum ædificationem, animarum curam gerendam. Ne te supinum reddat rerum difficultas : neque enim gubernator videns mare sævieus et agitatum, recedet a clavo. Sed nec me-

dicus ægrotum videns morbo teneri, relinquet curationem : sed tunc unusquisque eorum arte utetur maxime et animi alacritate. Ne te supinum faciant, quæ contingunt. Neque enim pro malis, quæ alii nobis faciunt, reddemus rationem, sed etiam mercedem accipiemus. Si autem ipsi, quæ nos oportet, non ex nobis attulerimus, sed pigri et socordes fuerimus, nihil nos ad hoc defendet rerum tumultus. Nam Paulus quoque, cum habitaret in carcere, et ligno esset alligatus, quæ sua erant, faciebat [42]; et Jonas, qui ferebatur in mari ventre piscis [43] ; et tres pueri, qui versabantur in fornace [44] ; neque ullum eorum fecerunt pigriorem hi varii carceres. Hæc ergo cogitans, domine mi, et Phœniciæ et Arabiæ, et earum quæ sunt in Oriente, Ecclesiarum ne cesses curam gerere, sciens fore ut majorem accipias mercedem, cum etsi sint tam multa obstacula, tu quæ tua sunt, conferas. Porro autem noli esse in scribendo ad nos negligens: sed scribe ad nos frequentissime. Nam ut nunc cognovimus, non amplius Sebastiam, sed Cucusum abire jussi sumus: quem in locum erit tibi facilius ad nos dare litteras. Scribe ergo quot ecclesiæ hoc anno fuerint ædificatæ, et quinam viri sancti migrarint in Phœniciam, et an major factus fuerit profectus. Etenim cum ex Nicæa invenissem quemdam monachum inclusum, persuasi ipsi ut veniret ad tuam pietatem, et abiret in Phœniciam. An ergo accesserit, velis mihi significare. De fundo Salamis, qui situs est in Cypro, qui obsidebatur ab hæresi Marcionistarum, conveneram quos oportebat, et universum effectum reddideram: sed fui prius expulsus. Si ergo sciveris dominum meum Quiriacum episcopum agere Constantinopoli, de hac re ad eum scribe: et poterit universum efficere. Omnes, et eos maxime, qui habent ad Deum fiduciam, roga ut multis et intensis contendant precibus, ut cesset hoc naufragium orbis terræ. Mala enim intolerabilia et Asiam invaserunt, aliasque civitates et ecclesias; quæ quidem ne videar esse molestus, mittens singula dicere, illud solum dicam, multis opus esse et intensis precibus. Sed enim revertendum est, unde discessimus.

οὐδὲ ἰατρὸς τὸν κάμνοντα βλέπων τῇ νόσῳ κρατούμενον ἀναχωρήσει τῆς θεραπείας, ἀλλὰ τότε μάλιστα ἕκαστος τούτων τῇ τέχνῃ χρήσεται. Σὺ τοίνυν, δέσποτά μου τιμιώτατε καὶ εὐλαβέστατε, πολλῇ νῦν χρῆσαι τῇ προθυμίᾳ. Μὴ δὴ ὕπτιον ποιείτω σε τὰ συμβαίνοντα. Οὐ γὰρ ὑπὲρ ὧν ποιοῦσιν ἡμᾶς ἕτεροι κακῶν λόγον δώσομεν, ἀλλὰ καὶ μισθὸν ληψόμεθα. Εἰ δὲ αὐτοὶ τὰ παρ' ἑαυτῶν μὴ εἰσενέγκοιμεν, ἀλλὰ ῥᾳθυμήσομεν, οὐδὲν εἰς τοῦτο ἡμῶν προστήσεται ὁ τῶν πραγμάτων θόρυβος· ἐπεὶ καὶ Παῦλος δεσμωτήριον οἰκῶν, καὶ τῷ ξύλῳ προσδεδεμένος, τὰ αὐτοῦ ἐποίει. Καὶ Ἰωνᾶς ἐν τῇ γαστρὶ τοῦ θαλαττίου θηρίου φερόμενος, καὶ οἱ τρεῖς παῖδες οἱ ἐν τῇ καμίνῳ διατρίβοντες· καὶ οὐδένα τούτων τὰ ποικίλα δεσμωτήρια ταυτα ῥᾳθυμότερον πεποίηκε. Ταῦτα οὖν ἐννοῶν, δέσποτά μου, καὶ Φοινίκης καὶ Ἀραβίας καὶ τῶν κατὰ τὴν Ἀνατολὴν, μὴ παύσῃ φροντίζων Ἐκκλησιῶν, εἰδὼς ὅτι πλείονα λήψῃ τὸν μισθὸν. ὅσῳ καὶ τοσούτων ὄντων τῶν κωλυμάτων, τὰ παρὰ σαυτοῦ εἰσφέρεις. Καὶ γράφειν δὲ ἡμῖν συνεχῶς μὴ κατόκνει, ἀλλὰ καὶ πυκνότατα. Ὡς γὰρ ἔγνωμεν νῦν, οὐκέτι εἰς Σεβάστειαν, ἀλλὰ εἰς τὴν Κουκουσὸν ἐκελεύσθημεν ἀπελθεῖν, ὅπου σοι καὶ εὐκολώτερον ἐπιστέλλειν ἡμῖν. Γράφε τοίνυν ἡμῖν, πόσαι τε ἐκκλησίαι ἐπ' ἔτος ᾠκοδομήθησαν, καὶ τίνες ἄνδρες ἅγιοι μετέστησαν εἰς τὴν Φοινίκην, καὶ εἴ τις πλείων γέγονε προκοπή. Καὶ γὰρ ἀπὸ Νικαίας εὑρών τινὰ μονάζοντα ἐγκεκλεισμένον, ἔπεισα αὐτὸν ἐλθεῖν πρὸς τὴν σὴν εὐλάβειαν, καὶ ἀπελθεῖν εἰς τὴν Φοινίκην. Εἰ παραγέγονεν οὖν, δηλῶσαί μοι σπούδασον τοῦ Σαλάμιος [γρ. Σαλαμῖνος] ἕνεκεν χωρίου, τοῦ κατὰ τὴν Κύπρον [γρ. Τύρον] κειμένου, τοῦ ὑπὸ τῆς αἱρέσεως τῶν Μαρκιωνιστῶν πολιορκουμένου, ἤμην διειλεγμένος οἷς ἐχρῆν, καὶ κατωρθωκὼς τὸ πᾶν, ἀλλ' ἔφθην ἐκβληθείς. Εἰ τοίνυν μάθοις τὸν κύριόν μου Κυριακὸν τὸν ἐπίσκοπον ἐπὶ τῆς Κωνσταντίνου πόλεως διατρίβειν, ἐπίστειλον αὐτῷ ταύτης ἕνεκεν τῆς ὑποθέσεως, καὶ τὸ πᾶν ἀνύειν δυνήσεται. Πάντας, καὶ μάλιστα τοὺς παῤῥησίαν ἔχοντας πρὸς Θεὸν, παρακάλει πολλῇ κεχρῆσθαι τῇ εὐχῇ, πολλῇ τῇ ἐκτενείᾳ, ὥστε τὸ τῆς οἰκουμένης τοῦτο ναυάγιον παύσασθαι. Ἀφόρητα γὰρ καὶ τὴν Ἀσίαν κατέλαβε κακὰ, ἑτέρας δὲ πόλεις καὶ ἐκκλησίας. Ἅπερ ἵνα μὴ δοκῶ διενοχλεῖν, ἀφιεὶς τὸ καθ' ἕκαστον λέγειν, ἐκεῖνο μόνον ἐρῶ, ὅτι εὐχῶν πολλῶν χρεία, καὶ δεήσεων ἐκτενῶν. Ἀλλὰ γὰρ ἐπανιτέον ὅθεν ἐξέβημεν.

LII. Atque sic quidem, cum, ut diximus, duceretur Cucusum, quod est oppidulum solitudinis, eum excipit Adelphius, qui erat episcopus Anabisi (46), non casu, sed divina quadam visione jussus eum excipere. Sed nec hoc erat extra divinam providentiam, quod magnus ille exsilio illic esset condemnatus Nam cum post illa, ex hominibus, qui impietate et ignorantia omnino laborabant, simulacra autem et arbores et nemora per summam colebant inscitiam: qui autem paulo plus sapiebant, sol ab eis adorabatur :

ΝΒ'. Οὕτω μὲν οὖν, ὡς ἔφημεν, εἰς τὸ τῆς ἐρημίας πολίχνιον τὴν Κουκουσὸν ἀγόμενον, Ἀδελφειὸς αὐτὸν ὑποδέχεται, ὃς ἐπίσκοπος Ἀραβισσοῦ ἦν, οὐκ ἀθεεὶ πάντως, ἀλλ' ὄψει τινὶ θειοτέρᾳ τὴν ὑποδοχὴν κελευσθείς. Οὐ μὴν ἀλλ' οὐδὲ τουτο τῆς θείας ἐκτὸς ἦν προνοίας, τὸ τὸν μέγαν ἐκεῖ τὴν ὑπερορίαν κατακριθῆναι. Μετὰ γὰρ ἐκεῖνα δυσσεβείας, καὶ ἀνθρώπων ὅλως μὴ εἰδότων τὸν Κύριον, ἀλλ' εἴδωλα, καὶ δένδρα, καὶ ἄλση (φεῦ τῆς ἀνοίας !) προσκυνεῖν ἑλομένων. Ὅσοι δὲ βραχύ τι τοῦ φρονεῖν μετεῖχον,

[42] Act. XVI, 24. [43] Jon. II, 1 seqq. [44] Dan. II, 1 seqq.

(46) Adelphium id temporis non fuisse Anabisenum, sive Arabisinum episcopum, sed Treium, ex Chrysostomo, epist. 126, probat Baron. ad ann. 407.

ὁ ἥλιος αὐτοὺς εἰς προσκύνησιν. Οὗτοι τοιγαροῦν (οὐδὲ γὰρ ὁ μέγας ἀνήκοος αὐτοῖς οἷος ἦν, καὶ οἵας τῆς χάριτος ἠξιωμένος) παράλυτόν τινα κλινοπετῆ παρενεγκόντες, θεραπεύειν ἠξίουν. Τὸν δὲ καὶ χρόνον ἐρωτήσαντα τῆς νόσου, καὶ σέβας, ἐπεὶ ἤκουε τὸν μὲν ὄγδοον ἔτος εἶναι, τὸ δὲ, ἥλιον, Οὐκοῦν ἰάσασθαί σε χρὴ, φάναι, ἥλιον, μικρὸν ὑπομειδιάσαντα, εἴγε οὗτος Θεός σοί ἐστιν. Ἀλλὰ μηδὲ αὐτὸν δύνασθαι μηδὲν, ἐκεῖνον εἰπεῖν, ἄνευ οὗπερ ἔχει Θεοῦ. Εἶναι γὰρ καὶ ἡλίῳ Θεὸν ἀκούομεν, ᾧ λατρεύει. Τί οὖν, αὖθις ὑπολαβόντα τὸν ἅγιον, οὐχ ἐκεῖνον μᾶλλον, ᾧ καὶ ἥλιος λατρεύειν οἶδε, τιμᾶτε Θεόν; Ἀλλ' ἡμεῖς γε, φάναι, οὐ τολμῶμεν· μέγας γὰρ ἐκεῖνος καὶ φοβερώτατος· κἂν μή τις ἄξιος αὐτοῦ ᾖ, καὶ ἁμαρτίας ἐλεύθερος, ὁμοῦ τε προσέλθοι λατρεῦσαι, καὶ θείῳ πυρὶ καταφλέγεται. Ἐπεὶ δὲ ταῦτα μύθους εἶπειν ὁ ἅγιος, καὶ τέχνην εἶναι τοῦ πονηροῦ πρὸς ἀπώλειαν, καὶ ὡς ὁ τοῦ ἡλίου τούτου Θεὸς, ὁρατῶν τε καὶ ἀοράτων πάντων ἐστὶ Θεὸς, καὶ οὐδένα οἱ τῶν προσιόντων μισεῖ κἂν ἁμαρτωλὸς ᾖ, μετάνοια δὲ αὐτὸν εἰσέλθοι τῶν προλαβόντων, καὶ ὅτι πίστευσον μόνον, καὶ θεραπεία εὐθὺς ἕψεταί σοι μετά γε τῆς ψυχῆς, καὶ τοῦ σώματος, πιστεύειν ὁ νοσῶν εἶπε, καὶ μηδενὶ μηκέτι, ἀλλ' ἢ τῷ μόνῳ λατρεύειν Θεῷ. Τότε τοιγαροῦν τοῖς αὐτοῦ μέλεσιν ἐπισφραγισάμενον τὸν μακάριον, Κύριε, ὁ τὸν παρειμένον, εἰπεῖν, ὃν διὰ τῆς στέγης αὐτῇ κλίνῃ σοι καθῆκαν, λόγῳ μόνῳ τῷ σῷ ἰασάμενος, καὶ τοῦτον ἐπὶ δόξῃ τῇ σῇ καὶ τῇ ἐπιγνώσει, μόνε Θεὲ, τῷ νεύματί σου θεράπευσον. Καὶ ὡς ταῦτα εἴποι, ἀναστῆναί τε εὐθὺς τὸν νοσοῦντα καὶ ὑγιᾶ στῆναι, μισθὸν εἰληφότα τῆς εὐσεβείας, τὴν ῥῶσιν τοῦ σώματος, ἢ μᾶλλον διὰ νόσου σωματικῆς, πρὸς τὴν ψυχικὴν ὑγίειαν, ἢ καὶ ἀμφοτέρων ὁδηγηθέντα. Τοῦτο τὸ θαῦμα πιστεῦσαι τοὺς τῆς χώρας ταύτης ποιεῖ, καὶ τῷ βαπτίσματι προσελθεῖν ἀριθμοῦ κρείττονας. Ἑπτὰ τοίνυν ἐπισκόπους σὺν ἅμα πρεσβυτέροις καὶ διακόνοις ἱκανοῖς τῷ πλήθει τῶν πιστευσάντων ἐπὶ τούτοις χειροτονήσας, ἐπείπερ εὗροι τινὰς αὐτῶν τὴν Ἑλλήνων φράσιν ἐπισταμένους, τούτοις ὅσα καὶ γλώσσῃ χρησάμενος, τόν τε θεῖον Δαβὶδ καὶ τὴν Καινὴν ἅπασαν πρὸς τὴν Ἑλλάδα γλῶτταν δι' αὐτῶν μεταβάλλει. Καὶ παραδίδωσι μὲν τὸν τύπον τῆς ἀναιμάκτου θυσίας, ἐκδιδάσκει δὲ καὶ τὰ τῆς Καινῆς Διαθήκης. Εἶτα καὶ κανόνας αὐτοῖς εἰσηγεῖται ψαλμῳδίας καὶ προσευχῶν. Ὀλίγων δὲ ἡμερῶν πληθυνομένην ὁρῶν τὴν νεοπαγῆ ταύτην Ἐκκλησίαν, ἀλλὰ καὶ τῶν τοῦ Χριστοῦ ἐντολῶν οὐ μικρὰν ἐν αὐτοῖς τὴν ἐπίδοσιν, ὡμολόγει τε τῷ Θεῷ χάριν, καὶ ἠγαλλιᾶτο τῷ πνεύματι, τοῖς ἀσθενέσιν αὐτῶν χεῖρας ἰασίμους ἐπιτιθεὶς, καὶ προῖκα τὸ πάντων κάλλιστον χαριζόμενος.

ΝΓ'. Καὶ ὁ μὲν ἐν τούτοις ἦν· ὅσοι δὲ τῶν αὐτῷ κεκοινωνηκότων ἦσαν ἐπίσκοποί τε καὶ ἱερεῖς ἁπλῶς, οἳ διὰ τὸν ὑπὲρ Χριστοῦ ζῆλον ἐκκλησίαν ἐμίσησαν πονηρευομένων, τούτους δὴ πάντας δημεύσεις, ἐξορίαι, θάνατοι καὶ κολάσεις ποικίλαι διεμερίζοντο. Καὶ γὰρ ἔδει κάν-

A ex iis ergo quidam (de magno enim Joanne acceperant auditionem) cum quemdam adduxissent paralyticum in lecto decumbentem, rogabant ut eum curaret. Is vero cum tempus rogasset morbi et religionem, ubi audivit tempus quidem esse octo annorum, ab eo autem coli solem : Oportet ergo solem tibi mederi, dixit, parum subridens, si hic est Deus tuus. Sed nec ipse potest, inquit ille, absque Deo, quem habet. Audimus enim soli quoque esse Deum, quem colit. Quid ergo, dixit respondens sanctus, non illum potius Deum colitis, quem sol quoque colit? Sed nos, inquit ille, non audemus. Ille enim, inquit, est magnus, et qui potest solo nomine horrorem afferre, et si quis non fuerit eo dignus et liber a peccato, simul atque accessit ad B adorandum, igne divino comburitur. Cum autem Sanctus hæc dixisset esse faculas et artem maligni, qui iis, qui parent, mercedem conciliat interitum : et Deum hujus solis, esse Deum eorum, quæ sub aspectum cadunt et quæ non cadunt, nec ullum ex iis, qui ad eum accedunt, rejici, etiamsi sit peccator, modo eum subierit pœnitentia eorum, quæ præcesserunt. Solum itaque, inquit, crede: et statim cum curatione corporis, sequetur etiam curatio animæ. Cum sic dixisset sacrosancta illa lingua, dixit ægrotus se credere, et se nullum alium amplius Deum esse culturum. Tunc ergo beatus, cum membra ejus obsignasset, Domine, inquit, qui paralyticum [45], quem per tectum cum ipso lecto tibi demiserunt, solo verbo curasti, hunc quoque ad gloriam tuam et agnitionem tuo nutu cura. Hæc cum dixisset, statim C surrexit, qui ægrotabat, et stetit sanus, ut qui fructum pietatis accepisset robur corporis: aut potius per morbum corporis deductus fuisset ad sanitatem animæ, aut etiam utriusque. Hoc miraculum facit regionem cum toto cœtu credere, et innumerabiles accedere ad baptismum. Cum ergo septem episcopos cum presbyteris et diaconis sufficientibus multitudini eorum, qui crediderant, eis ordinasset, invenisset autem quosdam ex eis bene scire Græcum sermonem, eis tanquam lingua usus, divinum David et totum Novum Testamentum per ipsos Græce interpretatur: et formam quidem tradit incruenti sacrificii: docet autem ea quoque, quæ sunt Novi Testamenti. Deinde tradit etiam eis regulas psalmodiæ et orationum. Cum ergo paucis diebus vi- D disset hanc recens structam ecclesiam multiplicari, quin etiam Christi præceptorum non parvum in eis fieri incrementum, Deo magnas agebat gratias et exsultabat spiritu, iis, qui ex eis erant infirmi, medicas manus imponens, et id quod est omnium pulcherrimum, gratis largiens.

LIII. Sed ille quidem in his ; eorum autem qui inimicitias temere exercebant, aut eorum, qui Deo et Joanni adhærebant, res quomodo? Quicunque ei communicaverant episcopi, ut semel dicam, et sacerdotes, qui propter pro Christo zelum odio habe-

35 Luc. v, 18.

bant ecclesiam malignantium, ii omnes bonorum publicationes, relegationes, mortes, et varia supplicia subierunt(47). Etenim oportebat hic quoque, cum bonus pastor ad imitationem primi venisset in manus impiorum, dispergi quidem oves, eas autem esse quoque cum magistro molestorum participes46. Licebat ergo videre alios quidem implere, quæ prope erant, custodias: alios autem condemnari, habitare terras et insulas procul sitas; multis et gravibus tormentis prius confectos. Quæ autem fiebant in itinere, ea erant alia quædam tragœdia et plane Ilias malorum. Nam cum nacti essent sævos et improbos eos, qui ducebant, eis nihil omnino parcebatur, neque in eos ulla ostendebatur clementia et benignitas: nec cum eis ita agebatur, tanquam fuissent homines commissi hominibus, sed tanquam feris potius aut dæmonibus immanibus et homicidis, et ideo ducebantur acerbe et immisericorditer: alii quidem sic vexati in itinere, alii autem nudis et non stratis mulis injectis, non secus quam si essent onera inanima. Sed quis insignem eorum dixerit insolentiam? Quis probra, ludificationem, subsannationem, irrisionem, quæ plagis et flagris animam tangunt vehementius, et efficiunt, ut mors acerba sit magis optanda iis qui patiuntur? Ut autem illorum dedecus haberent pro deliciis, non in domos orationum, non in aliqua alia habitacula in diversoriis eos introducebant: sed in fornicibus et prostibulis eos exsecrandi et scelerati includebant. Hæc autem omnia, parva ducebant viri egregii, et malebant quidlibet potius pati, quam ab Joannis parte et communione (hoc enim erat eis gravissimum) excidere. Quicunque vero potuerunt effugere manus persecutorum, ipsi quoque nihilo serius fuerunt sibi ipsis tortores, ut qui se solutudine ex etremis quibusdam finibus condemnarint, ut qui magis elegerint habitare cum feris, quam vivere cum hominibus, feris longe agrestioribus.

A ταῦθα τοῦ καλοῦ ποιμένος κατὰ τὴν τοῦ πρώτου μίμησιν ὑπὸ χερσὶ ταῖς τῶν ἀνόμων γενομένου διασκορπισθῆναι μὲν τὰ πρόβατα, κοινωνῆσαι δὲ αὐτοὺς καὶ τῷ διδασκάλῳ τῶν θλίψεων. Ἦν οὖν ὁρᾷν τοὺς μὲν τὰς ἐγγύς που φυλακὰς πληροῦντας, τοὺς δὲ τὰς μακρὰν ἠπείρους καὶ νήσους οἰκεῖν κατακρισομένους, πολλαῖς πρότερον καὶ χαλεπαῖς ταῖς βασάνοις κατεργασθέντας. Τὰ δὲ κατὰ τὴν ὁδὸν, ἄλλη τις τραγῳδία καὶ δακρύων ὑπόθεσις. Ὠμῶν γὰρ τυχόντες καὶ πονηρῶν τῶν ἀγόντων, οὐδεμιᾶς ἠξιοῦντο προνοίας, ἢ φειδοῦς, ἢ σπλάγχνων τῶν φυσικῶν καὶ χρηστότητος, οὐδὲ ὡς ἄνθρωποι ἀνθρώποις πιστευθέντες ἦσαν, ἀλλ' ὡς θηρίοις μᾶλλον, ἢ ἀγρίοις δαίμοσι καὶ ἀνθρωποκτόνοις. Καὶ διὰ τοῦτο πικρῶς ἤγοντο καὶ ἀσπλάγχνως,
B οἱ μὲν οὕτω περὶ τὴν ὁδοιπορίαν κατατεινόμενοι, οἱ δὲ γυμνοῖς καὶ ἀστρώτοις ταῖς ἡμιόνοις, ὥς τινα τῶν ἀψύχων φορτίων ἐπιῤῥιπτούμενοι. Ἀλλὰ τὴν ὑπερβολὴν τῆς ὑπεροψίας, ἀλλὰ τὰ ὀνείδη, τὴν χλεύην, τὸν βαρὺν μυκτῆρα, τοὺς γέλωτας. Ἃ πληγῶν και μαστίγων πολλῷ δριμύτερον ἅπτονται τῆς ψυχῆς, καὶ τὸν πικρὸν θάνατον εὐκτὸν ποιοῦσι τοῖς πάσχουσιν; Ἵνα δὲ καὶ τρυφὴν ἰδίαν ποιῶνται τὴν ἐκείνων αἰσχύνην, οὐκ εἰς οἴκους προσευχῶν οὐκ εἰς ἕτερόν τι τῶν οἰκημάτων εἰσῆγον αὐτοὺς ἐν ταῖς καταλύσεσιν, ἀλλὰ χαμαιτυπείοις οἱ βδελυροί τε καὶ ἐμπαθεῖς ἐνέκλειον. Ἃ πάντα μικρὰ μᾶλλον ἐνόμιζον οἱ γεννάδαι, καὶ τοῦ τυχόντος ὑπενεγκεῖν, ἢ τῆς Ἰωάννου μερίδος καὶ κοινωνίας ἔξω πεσεῖν. Ὅσοι δὲ τὰς τῶν διωκτῶν χεῖρας διαφυγεῖν ἠδυνήθησαν,
C καὶ οὗτοι οὐδὲν ἧττον αὐτοὶ ἑαυτῶν κολασταὶ γεγόνασι, τὴν ἐρημίαν καὶ τὰς ἀοίκους, καὶ τινας ἀβάτους ἐσχατιὰς ἑαυτῶν καταψηφισάμενοι, μετὰ θηρίων οἰκεῖν μᾶλλον ἢ ἀνθρώποις συζῆν ἑλόμενοι, πολλῷ τῶν θηρίων ἀγριωτέροις.

LIV. Non multi dies præterierunt, et Arsacii fidei(48) committitur, qui ordinatur (49) patriarcha Constantinopolitanus: proh dolor! quis post quem? Qualem virum qualis annosus, et ita dicam, truncus excipit, facilitate eorum qui rerum potiebantur? Vir qui vixerat plus quam octoginta annos, loculo magis aptus quam throno: delirus et emotæ mentis in dicendo quidem minime facundus: ad aliquid autem, quod oporteat, excogitandum ineptissimus: ad agendum vero ignavissimus, inanimis non multum dissimilis, lecto dignus et angulo. Qui cum ex se esset inutilis, deinde etiam ex alia parte accepisset adversariam populi in Joannem benevolentiam, erat plane omnibus invisus et contemptus. Cum itaque quatuordecim menses vixisset in sede, præ ipsa quidem naturæ hebetudine ignaviaque et quasi torpore, non minus, quam si naturalis finis ei evenisset, præmortuus, neque ullum, ut ita dixerim, vivi opus interim effecisset, excessit.

ΝΔʹ. Οὐ πολλαὶ διῆλθον, ἡμέραι, καὶ πιστεύεται τὴν Ἐκκλησίαν Ἀρσάκιος, καὶ πατριάρχης τῆς Κωνσταντίνου χειροτονεῖται. Φεῦ! μετὰ τίνα τίς! οἷον ἄνδρα, οἷον, φάναι, γεράνδρυον κατὰ πολλὴν τῶν κρατούντων τυφλότητα διαδέχεται! Ἄνθρωπος ὑπὲρ τὰ ὀγδοήκοντα βεβιωκὼς ἔτη, σορῷ μᾶλλον ἐπιτήδειος, ἢ θρόνῳ, ὑπόληρός τις καὶ τὸ φρονεῖ διασεσεισμένος, εἰπεῖν μὲν ἀμουσότατος, ἐννοῆσαι δέ τι
D τῶν δεόντων ἠλιθιώτατος, πρᾶξαι δὲ ῥαθυμότατος, βραχὺ τῶν ἀψύχων ἀπεοικώς, κλίνης καὶ γωνίας ἄξιος. Ὃς ἔχων παρ' ἑαυτοῦ τὸ ἀδόκιμον, εἶτα προσλαβὼν καὶ τὸ πρὸς Ἰωάννην τοῦ λαοῦ φίλτρον ἑτέρωθεν αὐτῷ προσιστάμενον, ἀπόστοργος πᾶσιν ἦν, καὶ ἀπόῤῥητος. Τέσσαρας οὖν πρὸς τοῖς δέκα τῷ θρόνῳ μῆνας ἐπιβιοὺς, καὶ τῷ μακρῷ χρόνῳ νωχελεῖ τε καὶ ἐπικώφῳ τῆς φύσεως καὶ οἷον κατεψυγμένῳ μηδὲν ἧττον τοῦ φυσικοῦ τέλους προτεθνηκὼς, καὶ ἔργον, ὡς ἂν εἴποι τις, ζῶντος οὐδ' ὁτιοῦν ἐν τῷ μέσῳ διαπραξάμενος, ἀπιὼν ᾤχετο.

46 Zachar. XIII, 7.

(47) *Vide* Baron. ad ann. 404.
(48) Videtur deesse, *sedes*.

(49) *Vide* Niceph. l. XIII, c. 28, 36. Socr. l. VI, c. 17, Soz. l. VII, c. 23; Baron. ad an. 404.

NE'. Μετὰ δὲ τοῦτον ἀνὴρ ἐκ πρεσβυτέρων ἀναχθεὶς, Ἀττικὸς ὄνομα, τοὺς τῆς Ἐκκλησίας οἴακας ἐγχειρίζεται, καθ' ὃν χρόνον ἀδείας οἱ ἐν Ἐφέσῳ λαβόμενοι, πάντα κινεῖν καὶ μεταβάλλειν κατὰ τὸ ἑαυτοῖς δοκοῦν ἔσπευδον, τοὺς καλῶς μὲν, καὶ ὡς Θεῷ φίλον, τῶν θρόνων ἐπειλημμένους ἐξωθούμενοι, μιαροὺς δέ τινας καὶ βεβήλους ἐπὶ καταστροφῇ ψυχῶν καταλέγοντες, οὐδεμιᾶς ἐρεύνης, ἢ βασάνου τὴν χειροτονίαν προλαμβανούσης· ἀλλ' οὕτως, ὡς εἰκαῖον πρᾶγμα καὶ τὸ τυχὸν, τοῦ βουληθέντος, ἢ δεδωκότος, τῶν θρόνων, φεῦ! γινομένων· ὅτε καὶ οἱ δικαίως ὑπὸ τῆς μακαρίας ἐκείνης ψυχῆς καὶ γλώττης τῶν Ἐκκλησιῶν ἐκβληθέντες, προσελθόντες τοῖς καταφρονηταῖς τούτοις χρημάτων αὐτὰς ἐξωνοῦντο· οἵγε καὶ Ἡρακλείδην τὸν ὑπ' ἐκείνου καὶ ἑβδομήκοντα ἐπισκόπων ἀξίως τὸν τῆς Ἐφέσου πιστευθέντα θρόνον, τεττάρων ἐτῶν ἐγκλεισάμενοι, καὶ τῆς Ἐκκλησίας ἐξώσαντες, τὸν τοῦ τριβούνου Βίκτορος εὐνοῦχον τῷ θρόνῳ τοῦ παρθένου κακῶς (ὢ δίκη, καὶ ἀνοχὴ Θεοῦ!) κακῶς καὶ ἀναξίως ἐγκαθιστῶσιν, οὐχ ἡμιμόχθηρον ὄντα. οὐδ' ἀνεκτῶς βδελυρὸν, ἀλλὰ προφανῶς κίναιδον καὶ κατάπυστον. Τὴν δὲ Πορφυρίου τόλμαν, καὶ τὴν πολλὴν ἐκείνην τοῦ πράγματος ἰταμότητα τίς ἂν ἑκών γε ἀνάσχοιτο σιωπᾶν; Γεραιὸς μὲν οὗτος, καὶ τὴν μοχθηρίαν ἡλικιῶτιν ἀκριβῶς ἔχων, οὐδὲν δὲ ὑπὸ τοῦ μακροῦ χρόνου πρὸς τὴν ἀκολασίαν ὠφεληθεὶς, ἀλλὰ φιλονεικήσας καὶ φύσεως ὀφθῆναι κρείττων ἐν τοῖς αἰσχίστοις· Ἐπεὶ οὖν τὸν μέγαν ἤδη Φλαβιανὸν ὁ τῶν ἐν οὐρανοῖς ἑορταζόντων εἶχε χορὸς, ἔρωτα σχὼν τῆς Ἀντιοχέων τυραννήσειν Ἐκκλησίας, ἐπιτηδείου καιροῦ λαβόμενος, ἐν ᾧ πᾶσα ἡ πόλις εἰς τὰ κατὰ Δάφνην ἐξεληλύθασι θέατρα κατά τι παλαιὸν ἔθος εἰσέτι γινόμενα, Ἀντίοχόν τε καὶ Σεβηριανὸν ἔχων, πρὸς δὲ καὶ Ἀκάκιον τοὺς τῆς ἀληθείας ἐχθροὺς συναιρομένους αὐτῷ τῆς ἐπιθυμίας, ἐπιπηδᾷ τῷ θρόνῳ, καθάπερ κλέπτης καὶ οὐ ποιμὴν ὢν, καὶ ὑπὸ τῶν μιαρῶν τούτων χειροτονεῖται τοσαύτην εἰσενεγκόντων τῷ πράγματι τὴν σπουδὴν, ὡς μηδὲ τὰ νενομισμένα συντελεσθῆναι διὰ τὸ τάχος. Ἀλλ' οὗτοι μὲν οἱ τελεσιουργοὶ τῶν ἐν σκότει πεπραγμένων, ᾗ ποδῶν εἶχον, εὐθὺς ἔφευγον, ἄστροις ἐπισημαινόμενοι τὴν ὁδὸν, καὶ ὄρεσιν ἀβάτοις ἑαυτοὺς ἐπιτρέψαντες. Ἡ δὲ πόλις ὡς ἤδη τοῦ τολμηθέντος ᾔσθετο, πανδημεὶ πάντες συνελθόντες, φρύγανά τε καὶ πῦρ μετὰ χεῖρας ἔχοντες, οὐδὲν ἧττον καὶ αὐτοὶ ζήλῳ τὴν ψυχὴν ἡμμένοι, τοῦ Πορφυρίου κατέτρεχον (καὶ γὰρ ᾔδεισαν, οἷος τὸν βίον ἐκεῖνος ἀνάγωγος ἦν), αὐτῷ δώματι τῆς ἐπισκοπῆς ἐκπρήσειν αὐτὸν βουλόμενοι. Ὁ δὲ τὸ πρὸς αὐτὸν αἰσθόμενος μῖσος, χρήμασι τὸν στρατοπεδάρχην διαφθείρας, ἀναπείθει τῷ ὑπὲρ εὐσεβείας τῶν πιστῶν ζήλῳ δαιμόνιον ἀνθοπλίσαι θυμόν Καὶ παραχρῆμα στράτευμα συνηθροίζετο κατ' αὐτῶν πονηρὸν καὶ ἀτίθασσον. Εἶτα καὶ διωγμός τις μέγας κατὰ τῶν Ἐκκλησιῶν ἠρεθίζετο, καὶ βασιλικὰ διατάγματα καὶ θεσπίσματα ὑποβολαῖς Ἀττικοῦ (καὶ γὰρ οὐδὲ

LV. Post eum autem (58), viro cuidam educto ex presbyteris, nomine Attico, traditur clavus Ecclesiæ. Quo quidem tempore Ephesini, cum nullo coercente metu licentiam arripuissent, omnia movere et transmutare, sicut eis videbatur, studebant: eos quidem, qui recte et ut Deo placebat, in sedibus erant collocati, expellentes: quosdam autem sceleratos et profanos ad animarum exitium collocantes, cum ordinationem nulla perscrutatio præcessisset aut examinatio: sed perinde ac si esset res levis et facilis, qui voluerat aut potius qui dederat, ad sedem perveniebat. Quo tempore qui ab illa quoque beata anima juste ejecti fuerant ab ecclesiis, rursus non difficiliter fuerunt introducti: sed hos contemptores apte aggredientes, eas emerunt pecuniis. Qui quidem Heraclidem quoque, cui ab illo et septuaginta scilicet episcopis, digne commissus fuerat thronus Ephesi, cum inclusissent et ab ecclesia expulissent, tribuni Victoris eunuchum in sede virginis, male (o justitia et Dei patientia!) male et indigne collocant, cum non esset semimalus nec tolerabiliter improbus, sed aperte cinædus et exsecrandus. Porphyrii (51) autem audaciam et insignem illam rei impudentiam, quis libens silentio prætererit? Is senex, et in improbitate, ut qui in ea ineunte ætate esset eductus, accurate versatus: præter temporis autem longitudinem nihil remisisset de intemperantia, sed contendisset vel natura videri superior in rebus turpissimis, postquam magnum jam Flavianum eorum, qui in cœlis festum agunt, tenebat chorus, captus desiderio in ecclesia Antiochena exercendi tyrannidem, cum observasset tempus, in quo universa civitas exierat, ut est mos ei antiquus, ad spectacula, quæ fiunt in Daphne, Antiochum habens et Severianum et Acacium, qui erant aperte inimici veritatis, opem ferentes ejus cupiditati (est enim simile simili amicum), invadit sedem, ut qui esset fur et non pastor, et ab his exsecrandis ordinatur: qui ei rei tantam adhibuerunt celeritatem, ut nec quæ de more quidem solent fieri, locum repererint. Sed isti quidem consecratores, cum hæc facta essent in tenebris, se statim in pedes conjicientes, fuga sibi consuluerunt, astris viam notantes, et montibus inviis se committentes. Civitas autem cum quod jam factum fuerat sensisset, publice omnes convenientes, sarmentaque et ignem tenentes in manibus, ipsi quoque zelo non minus inflammati, irruperunt ad Porphyrium (sciebat enim qualis esset ejus vita, quam insolens et quam exsecranda), cum ipsa domo episcopatus eum volentes comburere. Is autem cum sensisset conceptum in se odium, duci exercitus corrupto pecuniis, persuadet adversus zelum fidelium pro pietate iram armare dæmoniacam: statimque fuit congregatus in eos exercitus sævus et immanis, et quim ne facile quidem potuissent aggredi, qui aciem instruxissent. Deinde excitata est magna

(50) *Vide* Niceph. l. XIII, c. 29; Socr. l. VI, c. 18, l. VII, c. 2; Soz. l. VIII. c. 27; l. VII, c. 2; Baron. ad annum 406.

(51) Quis autem, et qualis fuerit, et a quibus ordinatus, vide Baron. tom. V, ad annum 404.

persecutio adversus Ecclesias, et imperatoria edicta et decreta, suggestione Attici (nullus enim pius ei volebat communicare) proponebantur per civitates, quæ dicebant : Si quis episcopus Theophilo nolit communicare, Atticoque et Porphyrio, ejiciatur ex ecclesia, et privetur bonis; ex laicis autem, qui magistratus quidem gerunt, ab honore excidant; militibus vero auferantur cingula ; communis autem multitudo et quæ est occupata in artibus, auro mulctata, damnetur exsilio (52). Hæc faciebant multos vel invitos communicare, a quibus judicabatur quid magnum et minime tolerabile, excedere a pecuniis, et privari gloria. Multi autem cum voluntarium elegissent exsilium, elegerunt potius solitudinem et monachorum tuguria habitare, quam civitatem. Sunt etiam qui ex animi magnitudine omne periculum subire satius esse duxerunt, quam facere aliquid, quod discreparet et esset indignum pio ac religioso vitæ genere.

LVI. Hæc cum ita se haberent, nonnulli episcopi et clerici, qui stabant a partibus Joannis, pro Joanne et quæ male se habebat Ecclesia, zelo instincti (quomodo enim non oportebat eos, qui vel mediocriter Dei metum in utero concipiebant et parturiebant?) ad veterem Romam veniunt: et cum ipsi imperatori Honorio et Innocentio papæ in conspectum venissent, et illam gravem explicassent tragœdiam, quinetiam tres reddidissent epistolas, quarum una quidem erat egregiæ illius animæ et linguæ, aperte omnia singulatim persequens, altera autem communis cleri Constantinopolitani, tertia vero erat quadraginta episcoporum, qui cum Joanne communicabant: quas quidem cum communiter tradidissent, effecerunt, ut qui eas acceperant, tantopere perturbarentur, et eorum animis tantum zelum immiserunt; ut ambo statim scriberint ad imperatorem Arcadium, profundi somni eum arguentes in iis, quæ ab ipso gerebantur, et quod non honeste nec juste, sed plane nefarie fuit decretum Joannis secundum exsilium, et quod oportet omnino, si est ei aliqua honesti ratio et pacis Ecclesiarum, patriarcham quidem rursus restitui Ecclesiæ, et episcoporum synodum fieri Thessalonicæ, ut quæ sita sit in medio eorum, qui ab Oriente veniunt et ab urbe Roma: adesse autem etiam Theophilum, ut qui fuerit præcipua causa eorum, quæ improbe facta sunt in hac relegatione: et sic causam Joannis ab animi perturbatione alieno et justo judicio decidere. Propterea enim, aiebant, aliquot Italiæ episcopos, qui recta incedunt conscientia, et sunt acres justitiæ defensores, propter hoc ipsum emittere statuimus. Cum has itaque litteras cum actis, quæ propter hanc causam facta sunt a synodo episcoporum Italorum, sanctus accepisset Æmilius (erat autem is episcopus Beneventi) Cythegiusque et Gaudentius cum Valentino et Bonifacio presbyteris, Roma inierunt iter versus Byzantium, sequente Quiriaco et Deme-

(52) L. VI, *De his qui pro relig. contend.* Cod. Theod.

A αὐτῷ κοινωνεῖν τις τῶν εὐσεβούντων ἠξίου) ἀνὰ τὰς πόλεις ἐτίθεντο, Εἴ τις τῶν ἐπισκόπων, λέγοντα, Θεοφίλῳ μὴ πείθοιτο κοινωνεῖν Ἀττικῷ τε καὶ Πορφυρίῳ, ἐκδεβλήσθω τῆς Ἐκκλησίας, καὶ τῶν ὄντων ἀποστερείσθω. Τῶν λαϊκῶν δὲ οἱ μὲν ἐν τέλει, τῆς τιμῆς ἐκπιπτέτωσαν· οἱ στρατευόμενοι δὲ, τὰς αὐτῶν ἀφαιρείσθωσαν ζώνας· τὸ δὲ κοινὸν πλῆθος καὶ περὶ τὰς τέχνας ἠσχολημένον, ἱκανῷ χρυσίῳ προστιμηθέντες, τὴν ὑπερορίαν κατακρινέσθωσαν. Ταῦτα πολλοὺς ἐποίει καὶ καὶ ἄκοντας κοινωνεῖν, ὅσοις μέγα τι καὶ ἥκιστα φορητὸν τὸ χρημάτων ἐκπεσεῖν καὶ δόξης ἐκρίνετο. Πολλοὶ δὲ καὶ τὴν ἑκούσιον φυγὴν ἑλόμενοι, τὴν ἐρημίαν καὶ τὰς τῶν ἀσκητῶν καλύβας εἵλοντο μᾶλλον, ἢ τὴν πόλιν οἰκεῖν. Εἰσὶ δὲ οἳ καὶ μεγέθει ψυχῆς τὸ πάντα κίνδυνον ὑποστῆναι μετριώ-
B τερον ἐλογίσαντο, ἢ ἀπᾳδόν τι καὶ ἀνάξιαν εὐσεβοῦς ἐπιδείξασθαι πολιτείας.

Nϛ'. Τούτων οὕτως ἐχόντων, τῶν ἐπισκόπων ἔνιοι καὶ τοῦ κλήρου τῆς Ἰωάννου μερίδος ὑπάρχοντες, ὑπὲρ Ἰωάννου τε καὶ τῆς ἀθλίως ἐχούσης Ἐκκλησίας ζηλώσαντες, τὴν πρεσβυτέραν καταλαμβάνουσι Ῥώμην, αὐτῷ τε βασιλεῖ Ὀνωρίῳ καὶ Ἰννοκεντίῳ τῷ πάπᾳ προσελθόντες, καὶ τὴν χαλεπὴν ἐκείνην διασαφήσαντες τραγῳδίαν, πρὸς δὲ καὶ τρεῖς ἀναδόντες ἐπιστολὰς, ὧν ἡ μὲν καὶ ψυχῆς καὶ γλώττης ἐτύγχανε τῆς καλῆς σαφῶς πάντα κατὰ μέρος διεξιούσης, ἡ δὲ κοινὴ τοῦ κατὰ τὴν Κωνσταντίνου πόλιν κλήρου, ἡ δὲ λοιπὴ τῶν τεσσαράκοντα ἐπισκόπων ἦν, τῶν Ἰωάννου κοινωνικῶν. Ἃς καὶ κοινῶς ἐγχει-
C ρίσαντες οὕτω περιπαθῶς διέθηκαν, καὶ τοσοῦτον ζῆλον ταῖς αὐτῶν ἐνῆκαν ψυχαῖς, ὡς ἀμφοτέρους εὐθὺς Ἀρκαδίῳ τῷ βασιλεῖ πληκτικῶς γράψαι, πολὺν αὐτοῦ ὕπνον καταγινώσκοντας ἐν τοῖς πραττομένοις. Καὶ ὅτι μὴ καλῶς, μηδὲ δικαίως, ἀλλὰ καὶ λίαν κακῶς καὶ ἀθέσμως ἡ δευτέρα τετόλμηται κατὰ Ἰωάννου ὑπερορία· καὶ δεῖν πάντως, εἴπερ ἄρα λόγος τις αὐτῷ τοῦ καλοῦ καὶ τῆς τῶν Ἐκκλησιῶν εἰρήνης, τὸν πατριάρχην μὲν αὖθις ἀποδοθῆναι τῇ Ἐκκλησίᾳ, σύνοδον δὲ τῶν ἐπισκόπων ἐν Θεσσαλονίκῃ, ἅτε μέσον κειμένῃ, τῶν ἐξ Ἀνατολῶν τε καὶ Ῥώμης ἐλευσομένων γενέσθαι· παρεῖναι δὲ καὶ Θεόφιλον, αἰτιώτατον γεγονότα τῶν ἐν τῇ ὑπερορίᾳ ταύτῃ πεπονηρευμένων, καὶ οὕτως ἀπαθεῖ καὶ δικαίᾳ κρίσει τὰ κατὰ τὸν Ἰωάννην ὀρθοτομηθῆναι. Διὰ ταῦτα
D γὰρ, ἔφησαν, καὶ τῶν ἐξ Ἰταλίας ἐπισκόπους τινὰς εὐθεῖ συνειδότι στοιχοῦντας, καὶ δικαιοσύνης οὐχ ἥκιστα μεταποιουμένους, ἐπ' αὐτὸ τοῦτο ἐκπέμψαι διέγνωμεν. Τὰ γοῦν τοιαῦτα γράμματα μετὰ καὶ ὑπομνημάτων, ἃ διὰ ταυτηνὶ τὴν αἰτίαν παρὰ τῆς συνόδου τῶν Ἰταλῶν γεγόνασιν ἐπισκόπων, οἱ περὶ τὸν ἅγιον Αἰμίλιον ἐπίσκοπον ὄντα Βενεβενδοῦ Κυθήγιόν τε καὶ Γαυδέντιον σὺν Οὐαλεντίῳ καὶ Βονιφατίῳ τοῖς πρεσβυτέροις παραλαβόντες, ὁδοῦ εἴχοντο τῆς ἀπὸ Ῥώμης πρὸς τὸ Βυζάντιον, ἅμα Κυριακῷ καὶ Δημητρίῳ, Παλλαδίῳ τε καὶ Εὐλυσίῳ τοῖς

Ἰωάννου κοινωνικοῖς ἐπισκόποις. Οὗτοι γὰρ καὶ προτοῦ ἔτυχον κατελθόντες, καὶ φιλαλήθως ταῖς τῶν Ῥωμαίων ἀκοαῖς ὑπαγορεύσαντες ἅπαντα.

ΝΖ'. Ὡς δὲ ἤδη παρέπλεον τὴν Ἑλλάδα, συνελήφθησαν ὑπό του τῶν χιλιάρχων, κομιδῇ τὴν γνώμην διεφθαρμένου. Ὅς τινι τῶν ὑπ' αὐτῷ παραδοὺς, οὐ συνεχώρει Θεσσαλονίκην ἰδεῖν, ἐκεῖ πρότερον προσχεῖν βουλομένοις, Ἀνυσίῳ τε τῷ ἐπισκόπῳ παρὰ τοῦ πάπα γράμματα ἐγχειρίσαι. Πλὴν ἀλλὰ καὶ τοῦτο δρᾶμα ἦν καὶ τέχνη τῆς πονηροτάτης γυναικῶν Εὐδοξίας. Αὕτη γὰρ μαθοῦσα τὴν τῶν Ἰταλῶν ἐπισκόπων ἀποστολὴν, καὶ οὗ χάριν μέλλουσι τὴν Κωνσταντίνου καταλαβεῖν, ἔφθανε τεχνωμένη ταῦτα, καὶ τῇ γνώμῃ τῶν ἀποστειλάντων αὐτοὺς ἀντικρούουσα. Εἰς δύο τοιγαροῦν πλοῖα πρὸς τοῦ παραλα- B βόντος διαιρεθέντες, δεκάτην ἡμέραν εἴς τι χωρίον βραχὺ τῆς πόλεως ἀπέχον ἐγγύς που τῶν Βίκτορος προσορμίζονται προαστείων. Εἶτα ἐκεῖθεν Μαρῖνός τις ὄνομα παραλαβὼν αὐτοὺς, εἰς τοῦτο παρὰ τῆς βασιλίδος ἀπεσταλμένος, καὶ ἀνὰ πόδα πάλιν ἀγαγὼν τῷ φρουρίῳ τῆς Θρᾴκης, ὃ Ἀθύρας καλεῖται, βιαίᾳ καὶ γνώμῃ καὶ χειρὶ κατακλείει. Χωρὶς τοίνυν οἱ Ῥωμαῖοι, καὶ οἱ περὶ τὸν ἐπίσκοπον Κυριακὸν ἐγκλεισθέντες, ᾐκίζοντο πικρῶς, ἠτάζοντο στιβαρῶς, μυρίαις περιεβάλλοντο θλίψεσι τὰς ἐπιστολὰς ἀπαιτούμενοι. Ὡς δὲ μὴ δώσειν ἔλεγον, εἰ μὴ βασιλέα θεάσαιντο, πρέσβεις ὄντες, πρῶτα μὲν ἑνὸς τῶν πατρικίων ἀποσταλέντος, ἔπειτα δὲ καί τινων ἄλλων ἐπιφανῶν, καὶ τὰς ἐπιστολὰς εἰσπραττομένων, τέλος Οὐαλέριός τις ὄνομα, Καππαδόκης τὸ γένος, θηριώ- C δης τὸν τρόπον, ἐξ ἰταμωτάτου καὶ βιαίου πράγματος ὄνομα ἑαυτῷ περιθεῖναι βουλόμενος, ἑνὸς τῶν ἐπισκόπων, παρ' ᾧ τὰ τοῦ βασιλέως καὶ τῶν ἄλλων γράμματα ἦν, τὸν ἀντίχειρα διακλάσας, αὐτά τε ἀφαιρεῖται, καὶ πυκτία καὶ ἱερὰ σκεύη, καὶ ὅσα πρὸς ὤνησιν αὐτοῖς τῶν ἐπιτηδείων ἀργύρια ἦν· ἐκ πονηρᾶς καὶ τοῦτο τῆς ἐπινοίας γεγενημένον, ἵνα τῶν εἰς τὴν χρείαν ἐξαπορούμενοι, καὶ πρᾶξαί τι τῶν παρὰ γνώμην ἀναγκασθεῖεν. Εἰς δὲ τὴν ὑστεραίαν, ἄδηλον εἴτε τῶν τῆς βασιλίδος, εἴτε δὲ καὶ τῶν τοῦ Ἀττικοῦ τινες ἀφικόμενοι ἠξίουν, τρισχιλίους λαβόντας χρυσοὺς, Ἀττικῷ μὲν κοινωνῆσαι, τῆς Ἰωάννου δὲ ἀμελῆσαι δίκης. Τοὺς δὲ μὴ ἀνεχομένους (ἐπεὶ καὶ ἔτυχε θειότερόν τι συμπεσόν· διακόνῳ γάρ τινι Αἰμιλίου, Παύλῳ τοὔνομα, πρᾴῳ καὶ σω- D φρονι ὄντι, Παῦλον τὸν θεῖον ὄναρ ὀφθέντα, Βλέπετε, φάναι, πῶς περιπατεῖτε· αἱ ἡμέραι γὰρ πονηραί· τὴν διὰ δώρων καὶ κολακείας σπουδαζομένην ἀπάτην ὑπαινιττόμενον), μὴ ἀνεχομένους τοίνυν, ἀλλὰ τοῦτο μόνον τὴν πρὸς τοὺς ἀπεσταλκότας ὑποστροφὴν αἰτουμένους, Οὐαλέριος οὗτος (οὗ τὸ ἐκμανὲς καὶ βίαιον ἀνδραγάθημα ὁ ἀντίχειρ) οὐ θρασὺς ἦν τοῦτο μόνον καὶ ἀπηνέστατος, ἀλλὰ καὶ δεινότατος κακουργῆσαι. Δῆλον δέ· πλοίῳ γὰρ σαθροτάτῳ πιστεύσας

A trio simul cum Palladio et Eutysto episcopis, qui cum Joanne communicabant. Ii enim prius descenderant, et Romanorum auribus omnia aperte exposuerant.

LVII. Cum autem jam in Græciam navigassent, comprehensi fuerunt a quodam tribuno militum, mente valde corrupto et depravato. Qui cum eos cuidam ex suis tradidisset, non concessit ut viderent Thessalonicam, cum vellent illuc prius proficisci, et Anysio episcopo tradere missas a papa litteras. Cæterum hic quoque erat inventum et artificium mulierum omnium sceleratissimæ Eudoxiæ. Nam cum ipsa accepisset fuisse missos episcopos Italos, et quanam de causa venirent, hæc prius est machinata, et obstitit menti eorum, qui miserant. In B duas itaque naves divisi ab eo, qui acceperat, decimo die appellunt in quemdam locum, non multum distantem a civitate, qui erat prope suburbana Victoris. Deinde cum illinc quidam alius, nomine Marianus, eos accepisset, nec ille quidem sine arte et malitia, sed ad hoc missus ab imperatrice, e vestigio eos duxit, et in custodia Thraciæ, quæ vocatur Athyras, violenta mente et manu eos inclusit (53). Seorsum ergo Romani et Quiriacus episcopus cum suis inclusi, acerbe torquebantur, graviter examinabantur, afficiebantur malis innumerabilibus, et ab eis exigebantur epistolæ. Cum autem dicerent se non daturos, nisi vidissent imperatorem, cum essent legati, primum quidem uno misso ex patriciis, deinde aliis quoque viris illustribus et epistolas exigen- C tibus, tandem quidam Valerius nomine, genere Cappadox, moribus belluinis, ex re impudentissima et violenta volens sibi nomen comparare, unus ex episcopis, apud quem erant litteræ ad imperatorem et ad alios, fracto pollice, eas aufert, et pugillares, et sacra vasa, et quidquid argenti erat eis usui. Quod ipsum quoque malo consilio factum est, ut cum eis deessent quæ sunt ad usum necessaria, cogerentur aliquid facere præter sententiam. Die autem sequenti, incertum an ex iis, qui erant imperatricis, an ex iis, qui erant Attici, quidam accedentes, volebant eos non gratis nec parvo pretio, sed acceptis tribus millibus aureorum, cum Attico quidem communicare, Joannis vero causam negligere. Cum ii autem id passi non essent (nam ali- D quid quoque acciderat divinitus: Æmilii enim diacono, Paulo nomine, qui erat moderatus et temperans, divinus Paulus in somnis apparens: Videte, inquit, ut caute ambuletis, dies enim mali sunt: tacite significans fraudem, ad quam muneribus et blanditiis eos studebat inducere). Cum ergo non passi essent, sed hoc solum peterent ut liceret redire ad eos, qui miserant, Valerius iste, cujus insanum et violentum facinus fuit fractio pollicis, cum non solum esset audax et violentus, sed etiam ad

(53) Hic convincuntur erroris, qui Eudoxiam anno 404 morte sublatam, uti Prosper, Marcellin., Zonaras et Cedrenus dicunt, cum hic auctor et Græci omnes qui Vitam sancti Chrysostomi descripserunt, adhuc vixisse doceant, imo et tribus mensibus post sancti viri obitum Bar. asserat, quem vide tom. V *Annal.*

A maleficium, ut res ipsa indicabit, callidissimus, navi jam vetustate fatiscenti et putridæ, ut eos aperte perderet, committens, sceleratus jussit eos abire. Cum ergo parum abfuisset, quin inciderent in periculum, vix tandem evenit, ut appellerent Lampascum : et cum illic mutassent navigium, post quatuor menses venere Romam. Innocentio itaque narrant, quæ acciderant Quiriaco et Palladio, an aliquid eis factum esset ignorantes : sed nec de Joanne valentes scire, quid accidisset. Quæ quidem omnia obtusum latebant Arcadium, ut postea scire licuit. Sed enim rursus redeat oratio, unde est digressa, et narret ea, quæ restant de illo magno Joanne.

LVIII. Admirabilis ergo ille Joannes cum Cucusum venisset, et in ædibus Adelphii (54), ut jam diximus, degeret (illic enim eum reliquimus), multos quidem pauperes aluit pane terrestri (tunc enim gravissima fames eum locum invaserat), longe autem plures nutrimento, quod a lingua suppeditabatur, quod et cor confirmat et mentem illuminat. Quam multas autem de multis necessariis habuit orationes! quid enim ex iis, quæ contingunt aspera et molesta, potuit linguam sistere quæ fluebat instar fluminum? Habuit etiam non paucas de patientia, et quod non solum oporteat non esse socordes, sed nec offendi molestiis, quas contingit perpeti. Multæ quoque ab eo divinæ scribuntur epistolæ ad sanctam Olympiadem, in quibus sæpenumero unum dicit esse terribile, nempe peccatum : et ei recenset molestias, quæ evenerunt in itinere, et eam mœrentem propter ejus privationem studens recreare, efficit ut non sit desperandum, fore ut eum rursus conveniat. Quinetiam quemadmodum cum via moleste in summo æstatis vigore perageretur, et vehemens eum febris invasit et mala stomachi, et qui in his longe erat gravior sceleratus Gallus, cui fuit ad ducendum vir ille justus commissus. Præterea autem, quemadmodum, cum ad quoddam venissent diversorium, omnia illis molesta acciderunt, eorum, qui ipsorum curam gererent, solitudo, inopia rerum necessariarum (utor enim illis eisdem verbis aureis); nullum adesse medicum, metus irruptionis Isaurorum, et spes, fore ut mox in eorum manus devenirent. Quid vero, qui præter omnem bestiarum feritatem in eum furebant monachi, minantes se eum combusturos esse cum ipsa domo, et quemadmodum a febre male affectum, et de itinere valde fessum, qui eum abducebant, non modo eum nulla dignati sunt misericordia, sed eos etiam, qui volebant, prohibebant, minantes eis extrema et omnium maxime terribilia (55)? Præter hæc autem, qualem viam peregit, nempe arduam, lapidosam et difficilem, idque cum ægre posset ingredi, utpote quod ei esset male affectum corpus, quantum ex eo

A αὐτοὺς προνοίᾳ τοῦ ἀπολέσαι, ἀνάγεσθαι πάλιν ὁ μιαρὸς ἐκέλευε. Παρ' ὀλίγον οὖν ἐλθοῦσι κινδύνῳ περιπεσεῖν, μόλις αὐτοῖς ἐξεγένετο τῇ Λαμψάκῳ προσχεῖν· κἀκεῖθεν ἀμείψαντες τὸ πλοῖον, μηνῶν τεσσάρων τὴν Ῥώμην καταλαμβάνουσιν· Ἰννοκεντίῳ τε διηγοῦνται τὰ συμπεσόντα, τοῖς περὶ τὸν Κυριακὸν καὶ Παλλάδιον εἴ τι καὶ γένοιτο, ἀγνοοῦντες· ἀλλὰ μηδὲ περὶ Ἰωάννου τι αὐτῷ συμβαίη δυνηθέντες μαθεῖν. Ταῦτα δὲ πάντα τὸν νωθῆ διελάνθανεν Ἀρκάδιον, ὥς γε ὕστερον ὑπῆρξε μαθεῖν. Ἀλλὰ γὰρ ὁ λόγος ἐπανίτω πάλιν ὅθεν ἐξέβη, καὶ τὰ κατὰ τὸν μέγαν ὑπόλοιπα διηγείσθω.

ΝΗ'. Ὁ τοίνυν θαυμαστος Ἰωάννης, τῇ Κου-
B κουσῷ προσβαλὼν, καὶ ἐν τῷ Ἀδελφειοῦ οἴκῳ διάγων (καθάπερ ἔφημεν. Ἐκεῖ γὰρ αὐτὸν γενόμενον κατελίπομεν), πολλοὺς μὲν πένητας τῷ ἀπὸ γῆς ἔθρεψεν ἄρτῳ (καὶ γὰρ ἔτυχε τότε λιμὸν ἐπισκῆψαι τῷ τόπῳ βαρύτατον), πολλῷ δὲ πλείους καὶ τῇ ἀπὸ γλώσσης πηγαζομένῃ τροφῇ, ἣ καὶ καρδίαν οἶδε στηρίζειν, καὶ φωτίζειν διάνοιαν· πολλοὺς δὲ καὶ περὶ πολλῶν τῶν ἀναγκαίων ἐκπεφώνηκε λόγους (τί γὰρ τῶν συμβαινόντων ἀνιαρῶν ἐπισχεῖν ἠδύνατο γλῶσσαν, ἴσα καὶ ποταμοῖς ῥέουσαν;) πλείους δὲ τοὺς περὶ ὑπομονῆς ἧσε, καὶ τοῦ μὴ δεῖν μὴ ὅτι μὴ ῥᾳθυμεῖν μόνον, ἀλλὰ μηδὲ σκάνδαλον ὑπομένειν, ἐφ' οἷς χρῆσθαι πολλάκις λυπηροῖς συμβαίνει· πολλὰς δὲ καὶ τῶν θείων ἐπιστολῶν πρὸς Ὀλυμπιάδα συνέταξε τὴν ὁσίαν, ἐν αἷς πλεονάζει τε λέγων, ὅτι ἓν φοβερὸν μόνον ἡ ἁμαρτία, καὶ περὶ τῶν συμπεσόντων αὐτῷ περὶ
C τὴν ὁδὸν ἀνιαρῶν διέξεισιν· ὅπως τε ἀθυμοῦσαν διὰ τὴν στέρησιν ἀνακτᾶσθαι βουλόμενος, Ἴσως ἡμᾶς πάλιν, γράφει, τοῦ Θεοῦ ἐπιτρέποντος ὄψει· καὶ ὅπως τῇ τῆς ὁδοῦ ταλαιπωρίᾳ, θέρους ἀκμῇ διανυομένης, καὶ πυρετὸς ἐπέσκηπτε λάβρος, καὶ τὰ ἐκ τοῦ στομάχου κακὰ, καὶ ὁ πολλῷ τούτων βαρύτερος, ὁ πονηρὸς, φημὶ, Γαλάτης, ἄγειν αὐτὸν πεπιστευμένος· καὶ ὡς καταγωγῇ τινι προσλαβοῦσι πάντα πάλιν συνήντα τὰ λυπηρὰ τῶν θεραπευόντων ἡ ἐρημία, τῶν ἐπιτηδείων ἡ ἀπορία (αὐτοῖς γὰρ ἐκείνοις τοῖς χρυσοῖς κέχρημαι λόγοις), τὸ μηδένα ἰατρὸν παρεῖναι, ὁ τῆς ἐφόδου τῶν Ἰσαύρων φόβος, καὶ ἡ ὅσον οὔπω εἰς χεῖρας αὐτῶν ἐμπεσεῖσθαι μέλλειν ἐλπὶς, οἱ ἐπιμανέντες αὐτῷ μοναχοὶ, καὶ παρὰ πᾶσαν ἀγριότητα θηρίων αὐτῇ οἰκίᾳ κατακαύσειν
D αὐτὸν ἀπειλοῦντες· ὅπως τε πονήρως ὑπὸ τοῦ πυρετοῦ διακείμενον, καὶ λίαν κάμνοντα κατὰ τὴν ὁδὸν, οἱ ἀπάγοντες οὐ μόνον αὐτοὶ ἐλεεῖν οὐκ εἶχον, ἀλλὰ καὶ ἑτέρους ἀπεῖργον παραμυθίας αὐτὸν ἀξιοῦν ἐθέλοντας, τὰ ἔσχατα αὐτοῖς καὶ φοβερώτατα ἀπειλοῦντες. Καὶ πρὸς τούτοις, οἵαν τὴν ὁδὸν ἤνυεν, ἀνάντη καὶ λιθώδη καὶ χαλεπὴν, καὶ ταῦτα καὶ δυσχερῶς ἄγαν περὶ τὸ ὁδοιπορεῖν ἔχων, ἅτε λίαν αὐτῷ πεπονηκότος τοῦ σώματος· ὅσα γε εἰδέναι παρ'

(54) Chrysostomum non semper in ædibus Adelphii Cucusi commoratum, sed etiam apud Dioscorum ejus docent Epistolæ. *Vide* Baron. ad an. 404.

(55) De horum monachorum furore refert Bar. ex epist. 143 Chrysost.

αὐτοῦ γράφοντος, ὅτε καὶ περὶ τοῦ μὴ μακροτέραν A αὐτῷ γενέσθαι τὴν ὑπερορίαν ἀξιοῖ μελῆσαι τῇ μακαρίᾳ, ἐμοὶ λέγων μυρίων ἐξοριῶν τὸ ὁδεύειν ἐστὶ χαλεπώτερον. Ταῦτα καὶ ἄλλα πλείω, τὰ μετὰ τὴν ὑπερορίαν φημὶ, τὰς ἐπιστολὰς ἄν τις εὕροι ταύτας εἰσηγουμένας. Ἀλλ' ἐκεῖσε πάλιν ἐπάνειμι. Ὡς γὰρ ὁ μέγας ἐν Κουκουσῷ τροφῇ τοῦ σώματος οὐκ ὀλίγους, καὶ πλείους τὸ τῆς ψυχῆς ἔτρεφεν ἄρτῳ, φθόνος ἐντεῦθεν ὑποκαυθεὶς, εἰς Ἀραβισσὸν αὐτὸν πάλιν μεταβαίνειν ἐποίει. Ἐβούλοντο γὰρ οἱ λίαν κακοὶ, μήπω διακορεῖς ὄντες τοῦ κακῶς ἐκεῖνον ποιεῖν, ταῖς συχναῖς ἐνδόντα κακοπαθείαις, οὕτως αὐτοῖς ἀποθέσθαι καὶ τὴν ζωήν. Κἀκεῖ μὲν ἀπαχθεὶς ταλαιπωρίαις ἐκδίδοται πλείοσι· δῆλος δέ ἐστι κρείττων ὑπὸ φιλοσοφίας γινόμενος παντὸς τοῦ προσπίπτοντος, ἀφορμήν τε αὐτὰ ποιούμενος μείζονος B ἀρετῆς, καὶ δι' αὐτῶν φαιδρότερον ἀντλάμπων, καθάπερ τὸ ἐν πυρὶ φῶς, ὕλης αὐτῷ πλείονος ὑποβαλλομένης. Οὕτως ἐκεῖνος ταῖς ἀληθείαις ἀήττητος ὢν, καὶ μήθ' ὑπὸ κακοπαθείας, μήθ' ὑπό τινος ἄλλου τῶν λυπηρῶν ἥττων ἑαυτοῦ γινόμενος, αὐτὸς ἦν λυπηρὸς μᾶλλον τοῖς συκοφάνταις οὑτωσὶ διακείμενος, καὶ ὁ περὶ αὐτὸν ἔπαινος καὶ ἡ φήμη σφόδρα τούτων ὑπέκνιζε τὰς ψυχάς. Ὡς θαυμάσιόν τι χρῆμα ἡ ἀρετὴ καὶ ζήλου τοῖς νοῦν ἔχουσιν ἄξιον; ὁ μὲν γὰρ τοσούτοις κακοῖς ἔκδοτος, ἄληπτος ἦν καὶ ἀχείρωτος, καὶ τοῦ ἐπαγομένου παντὸς ὑψηλότερος· οἱ δὲ τοῦ ταῦτα ποιεῖν ὄντες κύριοι, δείλαιοι καὶ κατάδεεῖς, καὶ τίνος οὐκ ἀθλιώτεροι, τὸν πένητα, τὸν ἀλήτην, τὸν ὑπερόριον, καίτοι τοσοῦτον ἀφεστηκότα, δεδιότες, καὶ πλείοσιν ὅροις ἀποστῆναι παρασκευάC ζοντες, ὡς μηδὲ ἀκοὴν ἐκείνου φθάνουσαν πλήττειν αὐτῶν τὰς βασκάνους ψυχάς. Ἐντεῦθεν εἰς Πιτυοῦντα, πάλιν οὕτω κελευσθὲν, ὑπὸ τῶν φυλασσόντων μετάγεται. Πολίχνιον τοῦτο δεινῶς ἔρημον, ἐν πέρατι μὲν θαλάσσης τῆς Ποντικῆς κατὰ δεξιὰν κείμενον, τέλος δὲ καὶ τῆς Ῥωμαίων ἀρχῆς γινόμενον, βαρβάροις, καὶ ὠμοῖς ἔθνεσι συνάπτον.

ΝΘ'. Ὡς οὖν ἤδη τῆς ὁδοιπορίας εἴχετο, καὶ πρὸς τὴν ἐσχάτην ταύτην ὑπερορίαν ἠπείγετο, μέλλων ἤδη τὴν πρὸς Θεὸν μᾶλλον ὁδεύειν πορείαν, καὶ τῶν μακρῶν τούτων στῆναι καμάτων, ὀλίγαις πρότερον ἡμέραις νυκτὸς εὐχομένῳ, Πέτρος ὁ μέγας καὶ Ἰωάννης, οὓς καὶ κατ' ἀρχὰς ὦπται τοῦ κατὰ Θεὸν βίου, πάλιν αὐτῷ φαίνονται καὶ ἡδέως προσφθέγγονται, τῶν πόνων τε ἀνακτώμενοι, καὶ τὴν κατὰ δαιD μόνων εὐαγγελιζόμενοι νίκην. Εἶτα περὶ τῆς φίλης ἐκδημίας αὐτῷ προειπόντες, καὶ τῶν ὅσον οὔπω διαδεξομένων αὐτὸν μὲν ἀγαθῶν, Εὐδοξίαν δὲ ἀβουλήτων καὶ πονηρῶν, Φάγε, λέγουσι, βρῶσιν αὐτῷ τινα ἐπιδείξαντες, ἣν φαγόντι οὐδὲ δεήσει σοι, προσεῖπον, ἑτέρας, ἕως καὶ τὴν ἄφθαρτον μεθ' ἡμῶν προσήσῃ. Ταῦτα ἐκείνους τε εἰπεῖν, καὶ αὐτὸν λαβόντα φαγεῖν. Καὶ οὕτως ἐκείνους μὲν ἀπιόντας οἴχεσθαι, αὐτὸν δὲ ἀρκούντως παρακληθῆναι, καὶ φαιδρᾷ γλώττῃ καὶ ἀνθηρᾷ Χριστῷ τῷ δόντι τὴν παράκλησιν ἀνθομολογεῖσθαι. Ἀλλὰ τίς ὁ ταῦτα εἰς φῶς ἐνεγκών; ἔροιτο ἄν τις τῶν ὀξυτέρων δῆλον γὰρ ὡς οὐκ ἂν ἐκεῖνος, κρύπτειν σφόδρα τὰ ἑαυτοῦ

A scribente sciri potest, quando etiam rogat beatam, ut ei curæ sit, ut non sit relegationis via longior, dicens : Mihi mille exsiliis est ingredi difficilius. Hæc et alia his plura, quæ facta sunt post relegationem, invenerit quispiam has epistolas referentes. Sed illuc rursus revertor. Cum enim magnus ille Cucusi, et corporis nutrimento non paucos, et plures nutriret pane animæ, accensa ex eo invidia, facit eum rursus migrare Arabissum. Volebant enim illi scelerati et plane deploratæ improbitatis, cum ei maleficiendi nondum ipsos cepisset satietas, eum tam frequentibus cedentem afflictionibus vitam sic amittere. Sed illuc quidem abductus, majoribus afficitur vexationibus: sed aperte ostendit se a philosophia effectum superiorem quolibet quod possit B accidere, et ex his majoris virtutis sumere occasionem, et per ipsa lætus resplendere, perinde atque in igne lucem ei suggerente majore materia : sic ille, qui erat re vera invictus, et nec ab afflictione, neque ab ulla alia molestia superatus, sic affectus afferebat potius molestiam sycophantis, ejusque laus et fama valde angebat eorum animos. Quam admirabilis res est virtus, magnique facienda et beata judicanda ab iis qui sapiunt! Nam ille quidem tot malis appetitus, manebat invictus et inexpugnabilis, et re quæ intentabatur qualibet superior. Ii autem, in quorum potestate erat hæc facere, erant miseri et timidi, et quo non miseriores? Pauperem, erronem, exsulem formidantes, et licet tanto esset intervallo disjunctus, efficientes ut pluC ribus removeretur finibus: ut nec ejus quidem fama eo perveniens, invidos eorum animos sauciaret. Hinc Pityuntem, cum sic eis esset imperatum, traducitur ab eis, qui eum custodiebant; est autem id oppidulum valde desertum, situm quidem ad dexteram in fine maris Pontici : est vero finis Romanorum imperii, contiguus barbaris et crudelibus gentibus.

ΙΔ. Θεοδοσίου τὴν βασιλείαν, ὥσπερ ἔφημεν, ἄρτι παραλαβόντος, μέγιστος ἐκ τῶν πρὸς ἑσπέραν κινεῖται καὶ χαλεπὸς πόλεμος. Πολλὰ γὰρ ἀθρόον ἔθνη ἐπὶ τὸ αὐτὸ συνδραμόντες, συνθήκας τε πρὸς αὑτὰ θέμενα, πικρὰν ἠπείλουν τῇ Ῥωμαίων ἀρχῇ τὴν ἔφοδον. Δείσαντα οὖν τότε τὸν μέγαν ἐν βασιλεῦσι τουτονὶ Θεοδόσιον, μήτε πρὸς συλλογὴν ἀποβλέψαι χρημάτων, μήτε τινὰ χεῖρα συχνὴν εἰς συμμαχίαν ἐπικαλέσασθαι, ἀλλ' οἷς ἐκεῖνος ἐπὶ πᾶσιν ἀεὶ μόνης τῆς ἄνωθεν ἠρτῆσθαι χειρός· οὕτω δὴ καὶ τηνικαῦτα ἐποίει, καὶ ποιῶν οὐχ ἡμάρτανε. Μαθὼν γὰρ ὡς κατὰ τὴν Σκῆτιν (ἔρημος δὲ αὕτη πρὸς Αἰγύπτῳ μὲν κειμένη, οὑτωσὶ δὲ ὠνομασμένη) φιλοσοφεῖ τις ἀνὴρ, γένος μὲν καὶ αὐτὸς Αἰγύπτιος, μεγίστων θαυμάτων δημιουργὸς, Θεοφίλῳ παραχρῆμα τῷ τῆς Ἀλεξανδρείας ἐπισκόπῳ γράφει, κελεύων ὥστε τὸν θαυμάσιον ἐκεῖνον ἄνδρα παρασκευάσαι τὴν Κωνσταντίνου πρὸς τάχος καταλαβεῖν. Προσέκειτο δὲ καὶ ἡ τῆς παρουσίας χρεία τοῖς γράμμασιν. Ὁ δὲ ταῦτα δεξάμενος, παρ' αὐτὸν ὡς εἶχεν εὐθὺς ἀφικνεῖται, καὶ τὰ γράμματα δοὺς, τὴν τοῦ βασιλέως ἀξίωσιν καὶ τὴν ἐπισπεύδουσαν χρείαν αὐτῷ ἀπαγγέλλει. Εἶτα καὶ τὰ παρ' ἑαυτοῦ ποιεῖ, δεῖται καὶ αὐτὸς οἴκοθεν, λιπαρεῖ θερμῶς, ἱκετεύει, μήτε τὰς τοῦ βασιλέως ἱκετηρίας ὑπεριδεῖν, μήτε κόπου τὰ ἑαυτοῦ ἀτιμάσαι, ἀλλὰ καὶ τῇ πόλει ἐπιφοιτῆσαι, καὶ τὸν κατ' αὐτῆς πόλεμον εὐχῇ τῇ πρὸς Θεὸν ἀποστρέψαι κινδύνου τε τηλικούτου καὶ φόβου ταύτην ἀπαλλάξαι, οἷα παρ' αὐτῷ τοῦ σωθῆναί τε τὴν πόλιν ἢ ἀπολέσθαι κειμένου.

ΙΕ'. Ὁ μέντοι θαυμάσιος ἐκεῖνος Σενούφιος (τοῦτο δὲ ὁ ἀνὴρ ἐκαλεῖτο) πρῶτα μὲν, ὡς εἰκὸς, ἀπηγόρευε

A vero omnia faciens nihil proficeret, in eos quoque fert sententiam: Cyro, dicens, antistiti Galilæorum, et Joanni, qui est ei in religione similis, qui non cesserunt jussui imperatoris, et sacrificia maximis diis non obtulerunt, pronuntiamus amputari capita convenienter legi imperatorum.

XIII. Hanc cum sententiam tulisset Syrianus, ii statim humana quidem manu accipiunt amputationem: immortali autem eam, quæ e cœlo datur, coronam, tricesimo primo mensis Januarii (2). Reliquias autem pii minime neglexerunt, reveriti difficultatem temporis, sed maximo studio ei statim manus admoventes, eas pie et sustulerunt, et cum composuissent singulas in templo Marci apostoli honorifice deponunt, nisi quod eis sunt capsæ di-
B versæ. Alteri enim, virginum et matris reliquiæ; alteri vero, Cyri et Joannis, rursus mandantur. Procedente autem postea tempore, cum gentibus quidem esset dissoluta tyrannis, Theodosius vero regni sceptrum accepisset, piæque religionis amicis Christianis pie præesset, eæ et moventur et transferuntur. Quomodo autem, non erit piis ad dicendum injucunda narratio.

XIV. Cum Theodosius, ut diximus, paulo ante suscepisset imperium, maximum et difficillimum bellum movetur ab Occidente. Cum enim repente multæ gentes simul coiissent, et fœdus inter se iniissent, minabantur in Romanorum regionem gravem irruptionem. Veritus ergo tunc magnus inter imperatores hic Theodosius, neque ad colligendas aspexit pecunias, neque magnam aliquam manum
C invocavit ad auxilium, sed ille in omnibus semper pendebat a manu illa superna. Sic ergo tunc quoque fecit, et id faciens, spe nequaquam est frustratus. Cum enim intellexisset, quod in Scete (est hæc autem solitudo in Ægypto quidem sita, sic vero nominata) philosophabatur vir quidam, genere quidem ipse quoque Ægyptius, maximorum autem effector miraculorum, scribit protinus ad Theophilum Alexandriæ episcopum, jubens ut efficiat, ut vir ille admirabilis quamprimum veniat Constantinopolim (2). Eis autem litteris quoque continebatur, quid ejus adventu opus esset. Ille vero iis acceptis, statim ad eum venit, et datis litteris, preces imperatoris et usum, qui urgebat, significat. Deinde etiam ipse quoque ex
D se facit, quæ potest: vehementer rogat, orat, supplicat, ne preces despiciat imperatoris, neque suos vilipendat labores: sed veniat ad civitatem, et bellum, quod in eam paratur, suis avertat ad Deum precibus, et a tanto periculo et metu eam liberet: utpote quod in ejus potestate situm sit, ut civitas vel salva sit vel intereat.

XV. Admirabilis autem ille Senuphius (hoc enim nomine vocabatur) primum quidem, ut est consen-

(2) Plectuntur capite Cyrus et Joannes anno 9 persecutionis Diocletiani imp., ut notat Baron. in Martyrol.

(3) Quo in tempore acciderit incertum est. Eamdem historiam et Glycas refert, *Annal.* part. IV.

taneum, ne rogaret prohibuit, non ad mensuram ejus, quam habebat, gratiæ, se ad mensuram potius ejus, qua erat dives, humilitatis aspiciens. Magna est, inquit, mea in civitatem benevolentia, et ipsam valde salvam esse cupio: sed non voluntatem quoque vires consequuntur ex ea, quæ est ad Deum, fiducia. Quin etiam rogavit ipsum Alexandriæ episcopum, ne de eo talia sentiret, neque eum putaret vulgo antecellere. Cum eum autem ipse omnino non dimitteret, nec sciret deinceps magnus quidnam faceret Senuphius, discessum quidem suum pulchre differt: dat autem sic quoque auxilium, idque facit admirabilius. Nam et statim stetit ad orientem, et cum superhumerale et baculum in cœlum sustulisset, Domine Deus, inquit, Deus exercituum, da huic meo superhumerale et huic baculo, ut tantum possit, quantum ego ipse, si illic adessem. Hæc cum Deo dixisset, quæ habebat in manibus, dat statim pontifici. Hæc accipe, dicens, et mitte statim ad imperatorem. Ille autem superhumerale quidem imponat capiti, baculum vero manu ferat. Deinde quando opus fuerit manus conserere cum inimicis, præcedat omnes alios, et audacter procedat adversus inimicos. Nam si ego quidem possim a Deo exaudiri, existimo fore ut ipse sit illis terribilis, et sine sanguine gloriosam referat victoriam.

XVI. Hæc cum ad imperatorem lubenter essent allata, ille quidem munit caput superhumerali, quavis galea tutius: baculo autem munit dexteram, lancea longe validius: et hac ratione confidens fore ut videretur hostibus terribilior, quam olim, ut aiunt, clava Hercules. Jam accedentibus hostibus, ipse primus præcedit, ducens totum exercitum. Propter Senuphii autem ad Deum orationem nulla erat dilatio, sed res statim finem accipiebat. Simul ac enim eum viderunt Barbari, eum admirati tanquam unum ex cœlestibus, ad fugam statim spectabant et pedum virtutem laudabant. Fugiebant vero non aliquo certo ordine, ut qui non essent omnino obliti virium, sed ut qui essent emotæ mentis et perterriti, alius alio dispersi, terga volentibus facilia, expedita veneratio, secura persecutio et libera ab omni periclo, ipsi potius propter fugam, quæ erat sine ullo certo ordine, plagas et vulnera, atque adeo mortem sibi invicem conciliantes: adeo imperator non solum sine sanguine, sed etiam sine labore hanc victoriam retulerit. Festum ille nominavit hunc diem, et nunc quoque post tantum tempus magnifice celebratur ab Alexandrinis (3*), nominaturque ab eis Iconium. Ab eis enim imperatoris facta est quædam statua, eo, quo tunc, modo, armata: et capite quidem induta superhumerali, dextera autem tenens baculum.

XVII. Cum vero gentiles nondum effloruissent, is qui Alexandrinæ præerat Ecclesiæ, destruit qui

τὴν ἀξίωσιν, οὐ πρὸς τὸ μέτρον, ὡς [f. ἧς] εἶχε, χάριτος, ἀλλὰ πρὸς τὸ μέρον μᾶλλον ἧς ἐπλούτει, ταπεινώσεως ἀφορῶν. Ἡ μὲν ἐμὴ εὔνοια ἡ πρὸς τὴν πόλιν, λέγων, πολλὴ, καὶ τὸ θέλειν ἀεὶ σώζεσθαι ταύτην ἔχατον θερμὸν, πλὴν ἀλλ' οὐ τῷ θελήματί μου καὶ τὸ ἰσχυειν ἐκ τῆς πρὸς παῤῥησίας ἀκολουθεῖ· καὶ αὐτὸν δὲ τὸν Ἀλεξανδρείας μὴ τοιαῦτα περὶ αὐτοῦ φρονεῖν, μηδὲ τοῦτον τῶν πολλῶν ἡγεῖσθαι διαφέρειν ἠξίου. Ἐπεὶ δὲ παράπαν αὐτὸς οὐ μεθιέτο, μὴ ἔχων ὅτι πάθοι λοιπὸν ὁ μέγας Σενούφιος, τὴν μὲν ἀποδημίαν εὐπρεπῶς ἀναβάλλεται, τὰ δὲ τῆς βοηθείας καὶ οὕτω δίδωσι· καὶ ποιεῖ μᾶλλον αὐτὴν θαυμασιωτέραν· Ἔστη τε γὰρ εὐθὺς πρὸς ἀνατολὰς, καὶ τὴν ἐπωμίδα καὶ τὴν βακτηρίαν εἰς οὐρανοὺν ἀνασχὼν, Δέσποτα ὁ Θεὸς, εἶπεν, ὁ Θεὸς τῶν δυνάμεων, δὸς καὶ τῷδε μου τῇ ἐπωμίδι καὶ τῇδε τῇ βακτηρίᾳ τοσουτον ἰσχυσαι ὅσωπερ ἂν καὶ αὐτῷ ἐμοὶ, εἴ γε δὴ ἐκεῖσε παρῆν. Ταῦτα πρὸς Θεὸν εἰπὼν, τὰ ἐν χερσὶν αὐτίκα καὶ τῷ ἀρχιερεῖ δίδωσι, Δέξαι ταῦτα, λέγων, καὶ πέμψον τῷ βασιλεῖ κατὰ τάχος· κἀκεῖνος τὴν μὲν ἐπωμίδα τῇ κεφαλῇ περιθέσθω, τὴν βακτηρίαν δὲ τῇ χειρὶ φερέτω. Εἶθ' ὅταν συμβάλλειν τοῖς πολεμίοις ἡ χρεία καλεῖ, τῶν ἄλλων προεξιέτω πάντωθι, καὶ θαῤῥῶν χωρείτω κατὰ τῶν πολεμίων. Εἶτε [f. Εἴ γε] γὰρ ἀκουστὸς ἐγὼ παρὰ τῷ Θεῷ, καὶ αὐτὸν οἶμαι φοβερὸν ἐκείνοις γενέσθαι, καὶ ἀναιμωτὶ τὴν νίκην εὐκλεῶς ἄρασθαι.

ΙϚ'. Ὧν ἡδέως τῷ βασιλεῖ κομισθέντων, φρουρεῖται μὲν ἐκεῖνος τὴν κεφαλὴν τῇ ἐπωμίδι, παντὸς κράνους οὐδ' ὅσον εἰπεῖν ἀσφαλέστερον, ὁπλίζεται δὲ τὴν βακτηρίαν τῇ δεξιᾷ πολλῷ δόρατος κραταιότερος ὀφθῆναι τοῖς πολεμίοις, θαῤῥῶν ἢ τῷ ῥοπάλῳ φασὶν Ἡρακλέα τὸ πρότερον. Προσιόντων ἤδη τῶν πολεμίων, ὁρμᾷ πρῶτος αὐτὸς τοῦ παντὸς στρατεύματος ἐξηγούμενος. Εὐχῇ δὲ τῇ πρὸς Θεὸν τοῦ Σενουφίου μένειν [f. add. ἀτελέστῳ] οὐκ ἦν, ἀλλ' εὐθέως πέρας ἐλάμβανεν. Ἅμα τε γὰρ εἶδον αὐτὸν οἱ Βάρβαροι, καὶ ὥσπερ ἕνα τῶν οὐρανίων καταπλαγέντες, εἰς φυγὴν εὐθὺς ἔβλεψαν, καὶ ποδῶν ἀρετὴν ἐπήνουν. Ἔφευγον δὲ οὐ σὺν κόσμῳ τινὶ καὶ τάξει, ὡς μὴ παντάπασιν ἀλκῆς ἐπιλελησμένοι, ἀλλ' ὡς ἂν ἔκφρονες καὶ κατάφοβοι, ἄλλος ἀλλαχοῦ διεσκεδασμένοι, νῶτα τοῖς βουλομένοις ῥᾴδιον, θήραμα εὐχερὲς, ἀσφαλὴς δίωξις καὶ κινδύνου παντὸς ἐλευθέρα, αὐτοὶ μᾶλλον ἀλλήλοις, ὑπὸ τῆς ἀκόσμου φυγῆς, πληγῶν καὶ τραυμάτων, ἢ καὶ θανάτου, πρόξενοι· ὥστε μὴ ἀναιμωτὶ τὸν βασιλέα μόνον ἀλλὰ καὶ ἀπονητὶ τὴν νίκην ταύτην ἐνέγκασθαι. Ἑορτὴν ἐκεῖνος ὠνόμασε τήνδε τὴν ἡμέραν, καὶ νῦν πάνδημος Ἀλεξανδρεῦσιν αὕτη καὶ πολυτελὴς διὰ χρόνου, Εἰκόνιον οὕτω παρ' αὐτοῖς ὀνομαζομένη. Πεποίηται γὰρ δή τις τοῦ βασιλέως καὶ εἰκὼν ὡπλισμένη τὸν τότε τρόπον καὶ τῇ μὲν κεφαλῇ τὴν ἐπωμίδα περικειμένη, τῇ δεξιᾷ δὲ τὴν βακτηρίαν προΐσχουσα.

ΙΖ'. Οὕτω δὲ τῶν Ἑλλήνων ἀπηνθηκότων, ὁ τῆς Ἀλεξανδρέων προεστὼς Ἐκκλησίας, Ἑλληνικὰ μὲν

(3*) Hinc manifestum esf scriptam esse hanc Vitam cum Ægyptus adhuc sub Christianis esset: nam quæ potuit, ætate Metaphrastæ, licet hæc ipse retinuerit) magna celebritas et magnificentia servari, rerum pollentibus Saracenis. BOLLAND.

πάντα καθῄσει σεβάσματα, ναοῖς δὲ τὴν πόλιν ἐκόσμει καὶ ἱεροῖς ἱδρύμασί τε καὶ ἀναθήμασι, καὶ τέμενος ἐν Κανώπῳ τὸ μέγεθος καὶ τὸ κάλλος ὑπερφυὲς, τοῖς ἀποστόλοις ἐδείματο, οὐ μεῖζον ἢ δέκα καὶ δύο σταδίοις τῆς πόλεως ἀπέχον. Ἐπίσημος δὲ καὶ αὐτοῖς Ἕλλησιν ὁ τόπος καὶ ὀνόματος οὐκ ἐλαχίστου ἠξιωμένος. Τεκμαίρεσθαι δὲ ἔξεστι τῇ τε ὁδῷ πρὸς αὐτὸν φερούσῃ, ἥπερ πλαξὶ κατέστρωτα πᾶσα καὶ λίθοις εὖ ἡρμοσμένοις, καὶ τῷ τῶν προαστείων πλήθει καὶ βαλανείων κεκόσμηται, ἃ δὴ καὶ τέσσαρα λόγος πρὸς τοῖς εἴκοσιν εἶναι καὶ ἐπὶ τῶν ἡμετέρων διαβῆναι χρόνων· πρὸς δὲ καὶ τῇ ἀγορᾷ καὶ τῶν ὠνίων ἀφθονίᾳ περιττῶς ἔχει. Τῆς γὰρ πόλεως ταύτης, τοῦ Κανώπου, φημὶ, κώμη τις ἦν δυσὶ σταδίοις διεστηκυῖα, Μανουθὲ καλουμένη· καὶ ἡ κώμη ἥδε δαιμόνων ἦν κατοικία καὶ πονηρῶν πνευμάτων διατριβή. Θεόφιλος δὲ, οὗτος ὁ τῶν Ἀλεξανδρέων ἐπίσκοπος, καθαρὸν δαιμόνων ἀποδεῖξαι βουληθεὶς τὸ χωρίον, καὶ χαρακτῆρσιν αὐτὸ καὶ τύποις τοῖς τοῦ Χριστοῦ εὐαγγελιστῶν τε καὶ ἀποστόλων οἷα τισι φυλακτηρίοις διαλαβεῖν, οὐκ ἔφθασε τὴν γνώμην εἰς ἔργον ἀγαγεῖν. Μεταξὺ γὰρ ἡ τελευτὴ εἰς ἔργον ἐπισπᾶσα [-στᾶσα ?], τὸ ἀπαραίτητον ἀνθρώποις χρέος, τῆς παρούσης αὐτὸν ἀπάγει ζωῆς. Ἔπειτα μέντοι καὶ Κυρίλλῳ τὸν θρόνον μετ' αὐτὸν διαδεξαμένῳ φροντὶς ἦν οὐ μικρὰ τῆς τῶν δαιμόνων ἐπηρείας ἀπαλλάξαι τὸν τόπον.

ΙΗ'. Πολλάκις τοῦ Θεοῦ δεηθέντος, ἄγγελος αὐτῷ κατ' ὄψιν ἐπιφανὲς ἐπισκήπτει τὰ Κύρου, φημὶ, τοῦ μεγάλου, καὶ Μάρκου δήπου τοῦ εὐαγγελιστοῦ λείψανα τῇ κώμῃ τῇδε θησαυρισθῆναι· οὕτω γὰρ τῆς τῶν δαιμόνων βλάβης αὐτὴν ἐλευθερωθῆναι. Διὰ τί δὲ καὶ τὰ μὴ Ἰωάννου εἰρήκει, Κυρίλλῳ μὲν ἱκανῶς ἀποδείχθη· δῆλον δὲ καὶ πᾶσιν ἁπλῶς, ὅτι τῷ Κύρου πάντως ὀνόματι καὶ τὸ Ἰωάννου συνυποφαίνεται. Καθάπερ γὰρ κοινὸς αὐτοῖς καὶ ὁ τρόπος, καὶ ἡ διὰ Χριστὸν ὁμολογία, καὶ ἡ τελείωσις· οὕτω δὴ καὶ ἡ κλῆσις ἁπλῆ πάντως καὶ διάφορος [f. ἀδ.]. Ἐντεῦθεν εἰς Μανουθὲ τὰ μαρτυρικὰ τούτων λείψανα ὀγδόῃ καὶ εἰκοστῇ μηνὸς Ἰουνίου λαμπρῶς ἅμα καὶ ἱερῶς μετατίθεται,) δαιμόνων φυγὴ καὶ νῦν ὁ τόπος ἀνειμένος ἐστὶ τῷ Θεῷ μάρτυσί τε τοῖς ἐκείνου καὶ ὑπουργοῖς, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ καὶ ζωοποιῷ αὐτοῦ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A dem omnes cultus dæmonum, sacris autem ædibus ornavit civitatem, imaginibusque et donariis, Canopique exstruxit templum apostolis, magnitudine insigne et pulchritudine, quod non minus quam decem stadia abest a civitate. Est autem ipsis quoque gentilibus locus insignis et non parvi nominis. Id vero licet conjicere, et ex via, quæ fert ad ipsum, ut quæ tota constrata est tabulis et recte concinnatis lapidibus et suburbiorum et balneorum ornata est multitudine : quæ quidem fama est adhuc viginti quatuor nostris mansisse temporibus : habet autem et forum, et abundat copia rerum venalium. Ab hac enim civitate, Canopo, inquam, distat quidam vicus spatio duorum stadiorum, nomine Manuthe. Hic autem vi- B cus erat dæmonum habitatio, et versabantur in eo maligni spiritus. Theophilus vero, hic præsul, ut prius diximus, Alexandrinus, cum voluisset reddere locum purum a dæmonibus, Christique evangelistarum et apostolorum characteribus et figuris, ut ad eum conservandum idoneis, occupare, id quod statuerat non perduxit ad effectum. Interim enim mors adveniens, quæ est hominibus res inexorabilis, abducit eum a vita præsenti. Deinde autem Cyrillo quoque, qui post ipsum sedi successit, non parum erat curæ liberare locum a dæmonum injuria.

XVIII. Cum vero de ea re sæpe Deum rogasset, angelus ei apparens in visione, jubet ut magni illius Cyri et Marci evangelistæ reliquiæ in hoc C vico reponerentur. Sic enim fore, ut a dæmonum nocumento liberetur. Cur autem non Joannis quoque dixerit, satis quidem ostensum est a Cyrillo, est autem omnibus quoque per se manifestum, quod nomine Cyri, omnino Joannis quoque nomen simul ostenditur. Sicut enim mores sunt eis communes, et quæ propter Christum facta est confessio et consummatio, ita etiam simplex est omnino vocatio et citra ullum discrimen. Hinc in Manuthe martyricæ eorum reliquiæ vicesimo et octavo mensis Junii præclare simul et sacrosancte transferuntur, vici custodia (4), dæmonum fuga, a morbis liberatio : et nunc locus est Deo consecratus, illiusque martyribus et administris, gratia D clementia Domini nostri Jesu Christi, quem decet omnis gloria, honor et adoratio nunc et semper et in sæcula sæculorum. Amen.

(4) *Vici custodia.* Hæc non habet ms. noster. EDIT. PATR.

MENSIS FEBRUARIUS.

—

VITA SANCTI EPHRÆM SYRI.

(Februarii die 1.)

[Opp. SS. Ephræm ed. Assemani tom. III, Romæ 1732 fol.]

—

MONITUM.

Ex Nysseno desumpta est Ephræmi Vita, quæ Symeoni Metaphrastæ inscribitur, incipitque his verbis : Ἐφραὶμ ὁ θαυμάσιος, *Ephræm ille admirabilis*. E Græco in Latinum transulit Gentianus Hervetus : exstat autem Latine apud Lipomanum et Surium de 1 Februarii et in Latinis Ephræmi editionibus ; Græce vero in editione Oxoniensi, pag. 433. Tanquam genium Metaphrastæ opus agnoscit Allatius lib. *De Symeonum scriptis* ; Hancæius par. I *De scriptor Byzant.*, cap. 24, Caveus ad annum Christi 901, et Fabricius *Biblioth. Græc.* lib. VI, pag. 524. In manuscriptis enim codicibus disertum *Symeonis Metaphrastæ*, seu, *Logothetæ* nomen præfert. Vide cod. Vat. 453, pag. 336; cod. Vat. 818, pag. 306 ; cod. Vat. 1608, pag. 16 ; cod. Palat. 308, pag. 148, cod. Clement. 51, pag, 1, et cod. Coislin. 507, num. 14. Sed Græca exemplaria sibi non conveniunt quoad initium ejus Vitæ : quædam enim sic habent : Ἐφραὶμ ὁ θαυμάσιος ἔφύ μὲν ἐκ τῆς Σύρων γῆς, πόλεως Ἐδέσσης, Χριστιανῶν γονέων. Ἑλόμενος δὲ τὴν ἀρετὴν ἐκ νηπίου. *Ephræm ille admirabilis, natus fuit in Syria, in civitate Edessa, Christianis parentibus. Cum autem elegisset virtutem ab infantia*, etc. Ita legit vertitque Hervetus, et ex illo habent Lipomanus, Surius et Vossius : sicque incipit codex Vaticanus 818, pag. 376. Reliqua vero omnia, quæ ex Vaticana bibliotheca recensui, volumina, necnon Anglicana ex quibus Oxoniensis editio adornata est, de Edessa nihil babent, sed absolute incipiunt hunc in modum : Ἐφραὶμ ὁ θαυμάσιος ἔφυ μὲν ἐκ τῆς Σύρων γῆς. Ἑλόμενος δὲ τὴν ἀρετὴν ἐν νηπίου· quæ verba in cod. Clement. 51. pag. 1, paulo aliter amplificantur. Atque hoc postremum Nysseno, Metaphrastæ ac Sozomeno consentaneum est, quibus Ephræmus Nisibin, vel aliam circa eam urbem locum, non Edessam habuisse patriam dicitur. Hervetus, et qui eum typis vulgarunt Lipomanus, Surius aliique, cum initio Vitæ per Metaphrasten editæ, Ephræmum legissent *in civitate Edessa natum fuisse*, sequentia Metaphrastæ verba quibus contrarium asseritur, vel non intellexerunt, vel mutanda esse censuerunt : sic autem habet ex Nysseno Metaphrastes : Καὶ περὶ τὴν ἔρημον αὐλιζόμενος, ἐκ τόπου δὲ τόπους ἀμεύδων, ψυχῶν οἰκοδομῆς χάριν καὶ ὠφελείας, ἅτε καὶ Πνεύματι θείῳ κινούμενος, ἀπολιμπάνει ποτὲ τὴν ἐνεφχαμένην κατὰ τὸ θεῖον καὶ οὗτος Ἀβραὰμ κελευσθεὶς, καὶ τὴν Ἐδεσσενῶν πόλιν καταλαμβάνει. *Qui cum habitaret in solitudine, et locis loca subinde mutuaret propter ædificationem et utilitatem animarum, sicque a divino admoneretur Spiritu, reliquit aliquando* τὴν ἐνεγκαμένην *patriam* (seu natale solum) *jussu divino alter iste Abraham: et in civitatem Edessenorum venit.* Ii vero ita vertunt: *Qui cum habitaret in solitudine, ac locis loca subinde mutaret, propter ædificationem et utilitatem animarum sicque a divino admoneretur Spiritu, reliquit aliquando solitudinem jussu diviniore, et ferventi desiderio in suam venit patriam Edessam.* Atqui Metaphrastes ex Nysseno scribit Ephræmum non *solitudinem* reliquisse, et in suam patriam Edessam venisse ; sed patria sua derelicta, *in civitatem Edessenorum* migrasse, ἀπολιμπάνει ποτὲ τὴν ἐνεγκαμένην, καὶ τὴν Ἐδεσσενῶν πόλιν καταλαμβάνει, *reliquit aliquando patriam, et in Edessenorum urbem abiit* : adeoque alia fuit Ephræmi patria, quam dereliqnit, et alia urbs Edessa, in quam migravit. Versionem nostram Nyssenus confirmat : Ἐντεῦθεν τὴν ἐνεγκαμένην, ὡς ὁ θεῖος ἐκεῖνος κελευσθεὶς Ἀβραὰμ, τὴν Ἐδεσσενῶν κατέλαβε πόλιν. *Unde patriam, sicut divinus ille Abraham, relinquere jussus, Edessenorum urbem petiit.* Vide Vossium tom. I, pag. 5, linea penultime. Quibus verbis dubium omne eximitur, quod Bollandus allique de patria Ephræmi movent.

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΕΦΡΑΙΜ ΤΟΥ ΣΥΡΟΥ.

—

VITA ET RES GESTÆ

S. P. N. EPHRÆM SYRI.

—

Α'. Ἐφραὶμ ὁ θαυμάσιος ἔφυ μὲν ἐκ τῆς Σύρων γῆς. Ἑλόμενος δὲ τὴν ἀρετὴν ἐκ νηπίου, φυλάττεσθαι μὲν ἀεὶ καὶ φεύγειν τὰς ἐπιβλαβεῖς τῶν ἡλικιωτῶν ἔσπουδεν ὁμιλίας. Ὡμίλει δὲ συνεχῶς μᾶλλον τοῖς ἱεροῖς τῶν Γραφῶν βιβλίοις· καὶ ἡ περὶ αὐτὰ σπουδή σε, καὶ σχολὴ, καὶ μελέτη πάσης ὑπῆρχε τῷ Ἐφραὶμ ἡδονῆς ἡδίων· ὡς καὶ αὐτὸν συνῳδὰ τῷ Προφήτῃ λέγειν· Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγια σου! Ὑπὲρ μέλι τῷ στόματί μου.

Β'. Ἐντεῦθεν σύντροφος αὐτῷ καὶ ἡλικιώτης ἀρετὴ πᾶσα, καὶ ἡ πρὸς τοὺς πόνους σπουδή. Καὶ τί γὰρ οὐ πρὸς ἀκρίβειαν αὐτῷ κατωρθώθη; οὐ νηστεία; οὐκ ἀγρυπνία; οὐ χαμευνία; οὐ χρηστότης; οὐκ ἐπιείκεια; οὐκ ἀκτημοσύνη; οὐκ ἐπὶ τοσούτῳ πλούτῳ τῶν ἀγαθῶν, καὶ ἡ ταπεινοφροσύνη; οὐ μὴν οὐδὲ τοῦ διδασκαλικοῦ χαρίσματος ἄμοιρος ἦν, ἀλλ' ἔστιν εἰς ἔτι καὶ νῦν, διὰ τῶν ἑαυτοῦ λόγων, ἡμῖν ὁμιλῶν, νουθετῶν, παρακαλῶν, συμβουλεύων, διαλεγόμενος. Ἀφ' ὧν οὐ μόνον τὸν εὐσεβῆ τῆς πίστεως λόγον ὀρθοτομεῖν ἔχομεν, ἀλλὰ καὶ πρὸς τὴν τῆς ἀρετῆς κτῆσιν διανιστάμεθα.

Γ'. Τῆς μέντοι πρὸς Θεὸν ἐλπίδος, καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης τοσοῦτο ἐμέλησε τῷ Ἐφραὶμ, ὡς αὐτὸν ἐκεῖνον εἰπεῖν οὑτωσὶ τοῦ βίου ἀπαίροντα (δεῖ γὰρ τοῖς αὐτοῦ χρήσασθαι λόγοις)· οὐδαμῶς ἐν πάσῃ τῇ ζωῇ μου ἐλοιδόρησα Κύριον, οὐ λόγος ἄφρων διὰ τῶν ἐμῶν προῆλθε χειλέων. Ἐν πάσῃ τῇ ζωῇ μου κατηρασάμην οὐδένα, καθόλου τε οὐδενὶ τῶν πιστῶν διεμαχησάμην. Ἦν δὲ καὶ τὸ δάκρυον ἀπαύστως αὐτῷ τῶν ὀφθαλμῶν ἀποῤῥέον, ὡς πρότερον τὰς ἀεννάους πηγὰς τὸ ῥεῖθρον ἐπιλιπεῖν, ἢ ἐκεῖνον ὑετίζον τὸ δάκρυον. Συνανεπέμποντο δὲ τοῖς δάκρυσι καὶ οἱ στεναγμοὶ, τὸ ἔνδον ὑποκαιόμενον τῆς κατανύξεως ἐμφαίνοντες πῦρ· ὅπερ σαφέστερον εἴσεταί τις τοῖς ἐκείνου συγγράμμασιν ἐντυχών. Εὑρήσει γὰρ αὐτὸν περὶ κρίσεως πανταχοῦ καὶ παρ-

A I. Ephræm ille admirabilis e Syrorum regione ortum duxit. Cum autem elegisset virtutem ab infantia, noxias ac damnosas æqualium consuetudines semper studebat cavere atque vitare. Versabatur vero assidue potius in sacris libris Scripturarum, et id quod in eas conferebat, studium, otium et meditatio erat Ephræm quavis voluptate suavior; adeoque, ut ipse quoque diceret convenienter illud Prophetæ: *Quam dulcia sunt gutturi meo eloquia tua! Super mel ori meo* [1].

II. Hinc autem factum est, ut ab ineunte ætate ei virtus omnis coalesceret, ac diligens studium tolerandorum laborum. Quid enim non ab eo recte et perfecte gestum est? non jejunium? non vigiliæ? non humicubatio? non benignitas? non lenitas?
B non nihil possidere? Non in tantis bonorum opibus, etiam humilitas? At neque docendi fuit expers charismatis: sed in hodiernum usque diem nobiscum loquitur per suas orationes, admonet, adhortatur, consulit et disserit. A quibus habemus, ut non solum rectâ fidei semita ingrediamur, sed etiam ad virtutem parandam excitemur.

III. Spes autem in Deum, et charitas in proximum tantæ fuit curæ Ephræm, ut ille ipse sic diceret, e vita excedens (utendum est enim ipsius verbis): nunquam in tota vita mea maledixi Domino. Non verbum insipiens per mea labia processit. In tota vita mea neminem sum exsecratus; et cum nullo omnino contendi ex fidelibus. Lacrymæ vero ei quoque perpetuo fluebant ex oculis, adeo ut peren-
C nis fontis fluentum citius defecisset, quam illum instar imbris cadentes lacrymæ. Una autem cum lacrymis emittebatur etiam gemitus, ostendentes intus ardentem ignem compunctionis. Quod quidem apertius certiusque sciet aliquis, qui illius scripta legerit. Inveniet enim eum semper philosophantem de judicio, et de secundo Christi adventu, et ter-

[1] Psal. CXVIII, 103.

ribile illud tribunal semper subjicientem oculis, illumque diem imprimentem nostræ cogitationi, et se ipsum inducentem tanquam condemnatum et deflentem valde miserabiliter.

A ουσίας Χριστοῦ τῆς δευτέρας φιλοσοφοῦντα, τό τε φοβερὸν ἐκεῖνο βῆμα οἱονεὶ πρὸ τῶν ὀφθαλμῶν τιθέμενον, καὶ τὴν ἡμέραν ἐκείνην ὑποτυποῦντα τῇ διανοίᾳ, ἑαυτόν τε κατάκριτον εἰσαγόμενον, καὶ λίαν ἐλεεινῶς ὀδυρόμενον.

IV. Cum autem Ephræm semper versaretur in talibus visorum apprehensionibus, elongabat, ut ait Propheta [2], fugiens; omnemque de iis, quæ ad vitam hanc pertinent, tumultum, motumque, ac fluctum declinans. Qui cum habitaret in solitudine, ac locis loca subinde mutaret, propter ædificationem et utilitatem animarum, sicque a divino admoneretur Spiritu: reliquit aliquando patriam jussu divino alter iste Abraham, et in civitatem Edessenorum venit, tum ut sacras ibi reliquias et loca sancta adoraret; tum etiam, ut virum aliquem eruditum ibi reperiret, ac conveniret, et cognitionis illinc fructum acciperet: quod etiam a Deo enixe petebat, sic dicens: Jesu Christe, omnium Domine, concede, ut ego civitatem Edessam ingrediens, in talem virum statim incidam, qui sit idoneus ad disserendum mecum de iis quæ ad animæ ædificationem pertineant et utilitatem. Cumque sic orasset, postquam fuit in ingressu civitatis, et portam est ingressus, cogitabundus hærebat, attentoque ac sollicito animo, ut qui secum consideraret, quemadmodum ad illum quidem virum accederet, et quænam ex eo potissimum quæreret, quamque utilitatem ex eo percipere posset.

Δ'. Ταῖς τοιαύταις Ἐφραὶμ ἀεὶ σχολάζων τοῦ νοῦ φαντασίαις, ἐμάκρυνε, κατὰ τὸν Ψαλμῳδὸν, φυγαδεύων, καὶ θόρυβον πάντα βιωτικὸν, καὶ κλύδωνα, καὶ σάλον ἐκκλίνων. Καὶ περὶ τὴν ἔρημον αὐλιζόμενος, ἐκ τόπου δὲ τόπους ἀμείβων, ψυχῶν οἰκοδομῆς χάριν καὶ ὠφελείας· ἅτε καὶ Πνεύματι θείῳ κινούμενος, ἀπολιμπάνει ποτὲ τὴν ἐνεγκαμένην κατὰ θεῖον καὶ οὗτος Ἀβραὰμ κελευσθεὶς, καὶ τὴν Ἐδεσσηνῶν πόλιν καταλαμβάνει, ἅμα μὲν κατὰ προσκύνησιν τῶν ἱερῶν ἐν αὐτῇ λειψάνων τε καὶ τόπων ἐλθὼν, B ἅμα δὲ καὶ κατὰ συντυχίαν ἀνδρὸς τῶν λογίων τινὸς, ὥστε γνώσεως καρπὸν ἐκεῖθεν λαβεῖν· ὃ καὶ παρὰ Θεοῦ αἰτεῖ τε, οὕτως εἰπών· Ἰησοῦ Χριστὲ, Δέσποτα καὶ Κύριε πάντων, ἀξίωσόν με τὴν πόλιν Ἔδεσσαν εἰσιόντα τοιούτῳ ἀνδρὶ εὐθὺς ἐντυχεῖν, ὃς ἱκανὸς ἔσται τὰ πρὸς οἰκοδομὴν ψυχῆς καὶ ὠφέλειαν ἐμοὶ συλλαλῆσαι. Οὕτως εὐξάμενος, ἐπεὶ πρὸς ταῖς τῆς πόλεως εἰσόδοις, καὶ τὴν πόλιν εἰσῄει, σύννους ἦν, καὶ προσεκτικὸς, καὶ μεμεριμνημένος, οἷα σκοπῶν, ὅπως μὲν ἐκείνῳ τῷ ἀνδρὶ προσέλθοι, τίνα δὲ πύθοιτο παρ' αὐτοῦ, καὶ ποίας ἀπολαύσοι τῆς ὠφελείας.

V. Cum sic autem cogitabundus incideret, et statim quædam occurrit mulier, eaque meretrix. Dei vero ea erat omnino permissio, qui mystice et arcane sæpe per contraria dispensat contraria. Sacrosanctus itaque Ephræm, cum sic præter spem incidisset in meretricem, constitit in eam defixis intuens oculis, et quasi emotæ mentis, tristisque, ac apud se perturbato animo, quod non ut precatus fuerat, sed contrarium potius evenisset ei ac petierat. Illa autem cum sic eum vidisset aspicientem, in eum rursus oculos conjicit acerrimos. Postquam vero sic diutius se invicem aspexissent, volens eam pudore afficere, et ad verecundiam quæ mulieribus convenit deducere magnus Ephræm: Quid vero, inquit, non erubescis, mulier, tam fixis oculis nos intuens? Illa autem: Sed me, inquit, convenit te sic aspicere: ex te enim sumpta sum, et tuo latere. Te vero non nos, sed terram potius oportet aspicere, ex qua ipse rursus sumptus es. Hæc cum audisset Ephræm præter omnem exspectationem, et mulieri confessus est magnas se habere gratias propter eam, quam ab ipsa acceperat, utilitatem; et Deo vehementer emisit studio gratiarum actiones, qui per ea quæ præter spem accidunt, ea sæpe facit quæ ipsam spem superant.

Ε'. Οὕτω τοιγαροῦν ἐπὶ συννοίας βαδίζοντι γυνή τις εὐθὺς συναντᾷ, καὶ αὕτη πόρνη. Θεοῦ δὲ τοῦτο πάντως ἦν, τοῦ διὰ τῶν ἐναντίων πολλάκις οἰκονομοῦντος C τὰ ἐναντία μυστικῶς τε καὶ ἀπορρήτως. Ὁ μὲν οὖν ἱερὸς Ἐφραὶμ, οὕτω παρ' ἐλπίδα πᾶσαν ἐντυχὼν τῇ ἑταίρᾳ, ἵστατο πρὸς αὐτὴν ἐξεστηκός τι καὶ ἀτενὲς ἐνορῶν, ἀλύων τε καὶ παθαινόμενος καθ' ἑαυτὸν τὴν ψυχὴν, ὅπως μὴ κατ' εὐχὴν, ἀλλὰ παντάπασιν ἀπ' ἐναντίας μᾶλλον ἐπέβη τὸ αἰτηθέν. Ἡ δὲ οὕτως ὁρῶντα ἰδοῦσα, ὀξύτατον αὐτῷ πάλιν ἐπιβάλλει τὸν ὀφθαλμόν. Ἐπεὶ δὲ οὕτω μέχρι πολλοῦ πρὸς ἀλλήλους ἑώρων, βουληθεὶς αὐτὴν ἐντρέψαι, καὶ εἰς αἰδῶ γυναιξὶ πρέπουσαν ἀγαγεῖν ὁ μέγας· Τί δὲ οὐκ ἐρυθριᾷς, γύναι, φησὶν, οὕτως πεπηγόσιν ὀφθαλμοῖς εἰς ἡμᾶς ὁρῶσα; Κἀκείνη· Ἀλλ' ἐμὲ οὕτως, ἔφη, προσῆκόν ἐστι πρὸς σὲ βλέπειν· καὶ γὰρ ἐκ σοῦ καὶ τῆς σῆς εἴλημμαι πλευρᾶς· σὲ δὲ οὐ πρὸς ἡμᾶς, D ἀλλὰ πρὸς τὴν γῆν μᾶλλον ὁρᾷν δεῖ, ἐξ ἧς πάλιν ἐληφθῆς αὐτός. Τούτων ἔξω πάσης ἀκούσας ὁ Ἐφραὶμ προσδοκίας, τῇ τε γυναικὶ μεγάλας ὡμολόγει χάριτας ὠφελείας, καὶ Θεῷ θερμῶς ἀνέπεμπε τὰς εὐχαριστίας, τῷ διὰ τῶν παρ' ἐλπίδα πολλάκις, καὶ αὐτῶν ἐλπίδων κρείττονα ποιεῖν παραπολὺ δυναμένῳ.

VI. Cum ergo jam dies aliquot transiissent, et sanctus Ephræm moraretur Edessæ, mulier quædam meretrix, quæ in propinqua habitabat vicinia fit

Ϛ'. Ὡς οὖν ἱκαναὶ διῆλθον ἡμέραι, καὶ Ἐφραὶμ τὸν θεῖον ἡ πόλις Ἔδεσσα εἶχε, πόρνη τις γυνὴ ἐκ γειτόνων αὐτῷ οἰκοῦσα, ὄργανον εἰς κακίαν τῷ Πονηρῷ

[2] Psal. LIV, 8.

γίνεται· καὶ δι' αὐτῆς, ὥσπερ διὰ τοῦ ὄφεως αὐτῇ A πρότερον, τῷ δικαίῳ προσβάλλει. Ἐπεὶ οὖν βρῶσίν τινα ἐτύγχανεν ἕψων ὁ θεῖος Ἐφραὶμ, ἐκείνη διανοίξασα τὴν θυρίδα, ἥτις ἄρα καὶ ἦν ἐπὶ τοῦ μεσαύλου, παρακύπτει τε ἀναισχύντως, καὶ αὐτὸ τοῦτο ἑταιρικῶς· εἶτα καὶ ἀναιδῶς ἐμβλέψασά τῳ ὁσίῳ· Εὐλόγησον, ἀββᾶ, λέγει. Ὁ δὲ μετὰ τοῦ προσήκοντος αὐτῷ σχήματος τε καὶ φθέγματος, Ὁ Κύριος, φησὶν, εὐλογήσαι σε. Αὐτὴ δὲ πάλιν μετὰ θερμοῦ τοῦ γέλωτος καὶ ἀσέμνου· Ἀλλὰ τί, εἶπεν, ἐλλείπει τῷ βρώματί σου; Καὶ ὃς, Τρεῖς, ἔφη, λίθοι καὶ ὀλίγη πηλὸς, ὥστε τὴν θυρίδα ταύτην ἀναφραγῆναι. Ἐκείνη μηδὲν ὑπενδοῦσα τῆς ἀναιδείας, Ὅτι σε προλαβόντες, ἔφη, προσηγορεύσαμεν, τοῦτό σοι τῦφον ἐνῆκεν; Ἐγὼ συγκοιμηθῆναι βούλομαί σοι, φησί. Σὺ δέ με τὴν πρώτην εὐθὺς ἀπηγόρευκας; Πρὸς ταῦτα, ὥσπερ B ἐκείνη ῥημάτων σατανικῶν, οὕτω πολλῷ μᾶλλον αὐτὸς πνευματικῶν οὐκ ἠπόρησε λόγων, καὶ οἵων αὐτόν τε ἔδει λέγειν, κἀκείνην ἀκούειν. Εἰ βούλει γὰρ, ἔφη, ἀμφοτέρους συγκαθευδῆσαι, ἔνθα ἂν καὶ εἴπω σοι, ἐκεῖσε δὴ καὶ κοινῇ συγκεισόμεθα. Ὡς δὲ ἐκείνη τὸν λόγον ἥρπασε, καὶ ἤρετο τὸν τόπον, ἵνα τοῦτο γενέσθαι δεῖ. Οὐκ ἐν ἄλλῳ, ἔφη, τόπῳ, ὅτι μὴ ἐν τῷ μέσῳ συνελεύσομαι σοι τῆς πόλεως. Καὶ αὐτή· Ἀλλ' οὐκ αἰδὼς, ἔφη, καὶ αἰσχύνη σαφὴς ἀπὸ τῶν ὁρώντων ἀνδρῶν, οὕτω γοῦν ἐν τῷ μέσῳ κειμένων ἡμῶν. Ἑάλω ἡ ἑλεῖν βουληθεῖσα γυνὴ τὴν ἀπαθῆ ψυχὴν καὶ ἀνάλωτον, οὐδὲ τοῦτο γνῶναι δυνηθεῖσα, ὅ φησι Σολομῶν, ὅτι Οἱ ὀφθαλμοὶ Κυρίου τοῦ ὑψίστου μυριοπλασίως ἡλίου φωτεινότεροί εἰσιν, οἱ ἐπιβλέποντες πάσας ὁδοὺς ἀνδρῶν. C

Ζ'. Αὐτίκα γοῦν, οἷα λαβῆς, τοῦ ῥήματος ὁ γενναῖος δραξάμενος ἀντεπῆγεν· Εἰ οὖν ἀνθρώπων ὀφθαλμοὺς ἔκρινας ἱκανῶς ἔχειν ἐντρέψαι ψυχὴν, καὶ πονηρᾶς ἀφελκύσαι πράξεως· τοὺς τοῦ Θεοῦ πάντα βλέποντας ὀφθαλμοὺς, ὅσα τε ἐν ἀδήλῳ, καὶ ὅσα κατὰ τὸ ἐμφανὲς πράττονται, οὐ πολλῷ μᾶλλον αἰδεσόμεθά τε καὶ ὑποπτήξομεν· καὶ πονηροῦ πράγματος ἀφεξόμεθα, ὃς κατήγορον ἀεὶ σύνοικον τὸ συνειδὸς ἡμῖν ἐπεγείρει, καὶ βασάνους ἐκεῖθεν πέρας ἐχούσας οὐδαμῶς ταμιεύεται; Ταῦτα ἱκανὰ γέγονεν, οὐχ ἁπλῶς πεῖσαι τὴν πόρνην ἀποσχέσθαι τῆς πρὸς αὐτὸν φαύλης ἐπιθυμίας, ἀλλὰ καὶ ὑπὲρ τῶν προτέρων αὐτῇ μεταμελῆσαι κακῶν, ὅλου τε τοῦ βίου μεταβολὴν καὶ τῆς γνώμης ἐνθεῖναι. Αὐτίκα γοῦν προσελθοῦσα, καὶ εἰς γῆν πεσοῦσα, καὶ ποδῶν ἐκείνου τῶν ἱερῶν ἀψαμένη, D συγγνώμην τε ᾐτεῖτο τῆς ἀλλογωτάτης ἐπιθυμίας καὶ ἀκολάστου ῥοπῆς· καὶ ὅπως ἂν γνησίαν εἰσενεγκοῦσα τὴν μετάνοιαν, τῆς ὁδοῦ πρὸς σωτηρίαν φερούσης μὴ διαμάρτοι, ὁδηγὸν αὐτὸν καὶ διδάσκαλον ἠξίου λαβεῖν. Ὁ δὲ (καὶ πῶς γὰρ οὐκ ἔμελλεν Ἐφραὶμ ὢν ἐκεῖνος, αἰτήμασι τοιούτοις ἑτοίμως ὑπηρετεῖν καὶ παραινεῖν τὰ δέοντα;) καὶ τοῦ μὴ πορευθῆναι πάλιν, τοῦ θείου φάναι Ἱερεμίου, ὀπίσω τῶν ἐνθυμημάτων τῆς καρδίας αὐτῆς τῆς πονηρᾶς, μηδὲ καταφρονῆσαι, τοῦ δευτερῶσαι ὁδοὺς αὐτῆς, ἀσφαλέ-

Maligno instrumentum ad vitium; et per eam, sicut prius ipsam per serpentem, justum aggreditur Ephræm. Cum itaque sanctus Ephræm cibum quemdam pararet, illa aperta fenestra, quæ erat in corte, impudenter despicit, et plane meretricie : et deinde cum Sanctum aspexisset inverecunde : Benedic, inquit, abba. Ille vero cum eo, qui ipsum decebat, habitu, gestu et sermone : Dominus, inquit, tibi benedicat. Ipsa autem rursus cum vehementi et indecoro risu, ad eum : Sed quid, inquit, tuo cibo deest? Ille vero, Tres, inquit, lapides, et parum luti, ut hæc obstruatur fenestra. Illa interim nihil de sua remittens impudentia, Quod te, inquit, priores appellavimus, hocne te effecit insolentem ? Ego, inquit, volo tecum dormire. Tunc autem hoc mihi statim primo negasti ? Ad hæc, quemadmodum illa verbis Satanicis, ita multo magis ipse sermonibus abundavit spiritualibus, et quales ipsum dicere, et eam oportebat audire. Si vis enim, inquit, nos ambos simul dormire, ubi tibi dixero, illic pariter jacebimus. Postquam vero illa sermonem arripuit, et rogavit locum, ubi hoc fieri oporteret : Non in alio, inquit, loco, tecum congrediar, nisi in medio civitatis. Sed non, inquit illa, pudore atque rubore aperte afficiemur a videntibus hominibus, si sic nos ibi jaceamus in medio? Capta autem est mulier, quæ voluit capere impatibilem et inexpugnabilem animam, ut quæ ne hoc quidem potuerit cognoscere, quod dicit Salomon : *Oculi Domini altissimi sunt innumerabilibus partibus sole splendidiores, qui intuentur omnes vias hominum* [3].

VII. Cum vero statim veluti ansam, verbum apprehendisset vir præclarus, contra intulit: Si ergo hominum judicasti oculos satis esse ad pudore afficiendam animam, et a mala actione abducendam: Dei oculos, qui omnia intuentur, tam quæ clam quam quæ aperte fiunt, nonne multo magis reverebimur, et extimescemus, et a re mala abstinebimus: qui semper nobiscum habitantem in nobis excitat conscientiam, et ex ea nobis reservat tormenta quæ finem non accipiunt? Hæc suffecerunt non solum ad meretrici persuadendum, ut abstineret ab improba in eum libidine, sed ut priorum etiam eam malorum pœniteret, et mutationem afferret totius vitæ et sententiæ. Statim itaque accedens, et humi procidens, et sacros illius pedes tangens, petiit veniam a ratione alienissimæ cupiditatis, impudicæque et intemperantis propensionis: et ne, cum veram et germanam attulisset pœnitentiam, a via quæ ducit ad salutem aberraret, eum ducem et magistrum voluit accipere. Ille autem (quomodo enim, cum esset ille Ephræm, non erat talibus pariturus petitionibus, et ea, quæ par erat, admoniturus ?) ne rursus ambularet, ut cum divino dicam Jeremia, post cogitationes cordis sui mali [4], neque contemneret, ita ut vias priores repeteret, præcipit egregie, eamque

[3] Eccli. XXIII, 28. [4] Jerem. VII, 23.

in mulierem includit monasterio, quæ virtutis curam gerebant : et tandem cum eam quæ a via recta illum volebat abducere, ipse a via mala potius convertisset, justitiæ fructum habuit illam conversionem. Sic divinus Ephræm cum in duas incidisset meretrices, huic quidem profuit, ipse autem ex altera accepit utilitatem : aut, ut verius dicam, ex utraque ; et utrumque præter spem omnem accidit, utpote quod divinum auxilium in utrisque concurrerit.

VIII. Hinc ad eam, quæ est in Cappadocia, Cæsaream deductus a gratia, quæ ex alto eum ducebat, magnum ibi vidit Basilium, os Ecclesiæ, fontem dogmatum. Quem cum vidisset Ephræm, cœpit eum multis honorare laudibus. Perspicaci enim animi oculo cernebat quamdam columbam (erat autem illius forma radiis solis similis) præclaram, præclare ejus humero insidentem, et in aurem cum Basilio loquentem : et illum rursus ea quæ ab ipsa veluti dictabantur, referre populo. A qua veneranda columba cum didicisset de Ephræm, et quisnam esset cognovit, et quanam de causa venisset. Quocirca et se invicem sermone impertiunt, et fruuntur alter alterius bonis. Sed revertendum est rursus ad divinum Ephræm, et solæ illius res sunt pure narrandæ; quemadmodum nullam admittebat cogitationem, quæ non ei conferret ad virtutis operationem, et quemadmodum abunde erat a Deo datum talentum doctrinæ : quod quidem ille semper præcipue augere ad mensas studebat animarum.

IX. Ipse autem hoc significat, dicens : quod cum adhuc esset puer et nondum ad ephebi pervenisset ætatem, viderit quamdam vitem permultis botris plenam, e lingua sua enatam, in magnam fuisse sublatam altitudinem, et universæ terræ occupasse superficiem. Et omnes quidem ei insidebant volucres, et circumvolabant, et botros pascebant. Vitis vero, quo magis ejus botri carpebantur, et quo liberalius et splendidius aves excipiedat, eo majori fructu scatebat, fructumque multum producebat, et copiosum. Et hoc quidem ipse dicit de seipso. Illud autem hoc quoque alii Ephræm suo tribuunt testimonio, ex iis qui digni sunt habiti qui hæc viderent. Dicunt enim se aliquando vidisse angelorum multitudinem, e superis descendentem, librumque intrinsecus et extrinsecus scriptum habentem in manu. Apud se vero considerabat illa, quæ apparuerat, visio, quisnam esset is cui liber traderetur: et cum alii quidem hunc, alii vero illum, alii alium proponerent, quotquot scilicet tunc vitam piam exercebant et honestam; tandem cum omnes convenissent in Ephræm, ei liber a sacra multitudine committitur. Experrectus ergo is, qui viderat visionem, timore affectus, venit in ecclesiam : et cum in ea invenisset Ephræm, doctrinis quam optimis, et vel ipso melle suavioribus pascentem eos, qui aderant ; somnium ea ratione conjicit. Et ille quidem Deo egit gratias : ab illo autem tempore,

A στατα παραγγέλλει, εἰς μοναστήριόν τε γυναικῶν εἰσάγει ἀρετῆς ἐπιμελουμένων· καὶ τέλος, τὴν ἐκείνου ὑποκλίσαι τῆς εὐθείας ὁδοῦ βουληθεῖσαν, αὐτὰς ἀπὸ τῆς ὁδοῦ μᾶλλον τῆς πονηρᾶς ἐπιστρέψας, καρπὸν ἔσχε δικαιοσύνης, τῆς ἐκείνης ἐπιστροφήν. Οὕτως ὁ θεῖος Ἐφραῒμ δύο πόρναις γυναιξὶν ἐντυχὼν, τὴν μὲν ὠφέλησεν, ἐκ δὲ τῆς αὐτὸς ἀπέλαυσεν ὠφελείας, ἢ τἀληθέστερον εἰπεῖν, ἐξ ἀμφοτέρων· καὶ παρ' ἐλπίδα πᾶσαν ἀμφότερα, ἅτε δὴ καὶ ῥοπῆς θείας συνδραμούσης ἐπ' ἀμφοτέροις.

Η'. Ἐκεῖθεν ἐπὶ τὴν Καππαδοκίας Καισάρειαν ὑπὸ τῆς ἀγούσης αὐτὸν ἄνωθεν ὁδηγηθεὶς χάριτος, τὸν μέγαν εἶδε Βασίλειον, τὸ στόμα τῆς Ἐκκλησίας, τὴν τῶν δογμάτων πηγήν. Ὃν Ἐφραῒμ ἰδὼν πολλαῖς ἤρξατο γεραίρειν ταῖς εὐφημίαις. Διορατικῷ γὰρ B ὄμματι τῆς ψυχῆς ὁρᾷ τινα περιστερὰν (ἡλίου ἀκτῖσι τὸ εἶδος ἐκείνης ὅμοιον ἦν) τῷ δεξιῷ τούτου ὤμῳ λαμπρὰν λαμπρῶς ἐπικαθημένην, πρὸς οὖς τε ὁμιλοῦσαν τῷ Βασιλείῳ, κἀκεῖνον πάλιν τῷ λαῷ τὰ ὑπ' αὐτῆς ὥσπερ ὑπαγορευόμενα διηγούμενον. Ὃς καὶ ὑπὸ τῆς σεπτῆς ἐκείνης περιστερᾶς τὰ κατὰ τὸν Ἐφραῒμ μυηθείς; ἔγνω τε αὐτὸν ὅστις εἴη, καὶ ὅτου χάριν ἀφίκοιτο, δι' ὃ καὶ μεταδιδοῦσιν ἀλλήλοις τῆς ὁμιλίας, καὶ τῶν παρ' ἀλλήλοις καλῶν ἀπολαύουσιν. Ἀλλ' ἐπανιτέον καὶ αὖθις ἐπὶ τὸν θεῖον Ἐφραῒμ, καὶ μόνα καθαρῶς τὰ ἐκείνου διηγητέον· ὅπως τε λογισμὸν οὐδένα μὴ πρὸς ἐργασίαν ἀρετῆς αὐτῷ συνεισφέροντά τι προσίετο· καὶ ὅπως δαψιλῶς αὐτῷ παρὰ Θεοῦ τὸ τῆς διδασκαλίας ἐδέδοτο τάλαντον, ὃ καὶ διαφερόντως ἐκεῖνος εἰς τὰς τῶν ψυχῶν αὐξάνειν ἀεὶ τραπέζας ἐσπούδασε.

C Θ'. Καὶ τοῦτο αὐτὸς ἐπισημαίνεται, λέγων, ὡς ἄρα παῖς ἔτι ὢν καὶ ἐντὸς ἐφήβου, ἄμπελον ἴδοι τινὰ βριθομένην πυκνοῖς τοῖς βότρυσι, τῆς ἑαυνοῦ γλώττης ἀναδοθεῖσαν, ἐπὶ πολύ τε ὕψους ἀρθεῖσαν, καὶ τὰ νῶτα πάσης ἐπισχοῦσαν τῆς γῆς. Καὶ πᾶν μὲν πτηνὸν ἐφιζάνον ἦν αὐτῇ, καὶ περιπετόμενον, καὶ τῶν βοτρύων σιτούμενον. Ἡ δὲ ἄμπελος ὅσῳ τοὺς βότρυας ὑπεκείρετο, καὶ τοὺς ὄρνιθας φιλοτίμως ἐδεξιοῦτο, τοσούτῳ πλέον ἔβρυε τῷ καρπῷ, καὶ πολὺν αὐτὸν ἐκυοφόρει καὶ ἄφθονον. Καὶ τοῦτο μὲν αὐτός φησι περὶ ἑαυτοῦ. Ἐκεῖνο δὲ τῷ Ἐφραῒμ καὶ ἄλλοι προσμαρτυροῦσι τῶν βλέπειν τὰ τοιαῦτα ἠξιωμένων. Θεάσασθαι ποτε λέγουσιν ἀγγέλων πληθὺν ἄνωθεν κατιόντας, καὶ τόμον τά τε ἔνδον καὶ τὰ ἐκτὸς γεγραμμένον διὰ χειρὸς ἔχοντας. Ἐσκόπει δὲ ἡ φα- D νεῖσα ὄψις ἐκείνη πρὸς ἑαυτὴν, τίς ποτε ἄρα τὸν τόμον ἐγχειρισθείη; καὶ τῶν μὲν τοῦτον, τῶν δὲ ἐκεῖνον, καὶ ἄλλων ἄλλον προβαλλομένων, ὅσοι δηλαδὴ καὶ βίον εὐλαβῆ καὶ σώφρονα τηνικαῦτα μετιόντες ἦσαν. Τέλος ἐπὶ τῷ Ἐφραῒμ ἁπάντων συμφωνησάντων, αὐτὸς καὶ τὸν τόμον ὑπὸ τῆς ἱερᾶς πληθύος πιστεύεται. Διυπνισθεὶς οὖν ὁ τὴν ὄψιν ἰδὼν, περίφοβος τὴν ἐκκλησίαν καταλαμβάνει, καὶ τὸν Ἐφραῒμ εὑρὼν ἐν αὐτῇ διδασκαλίαις ὅτι χρησταῖς, καὶ αὐτοῦ μέλιτος ἡδυτέραις τοὺς παρόντας ἑστιῶντα· ταύτῃ τὸ ὄναρ συμβάλλει, καὶ ὁ μὲν ἀξίαν ὁμολογεῖ τῷ Θεῷ τὴν χάριν. Ἐξ ἐκείνου δὲ τῷ Ἐφραῒμ οὕτως εἶχε τὰ τοῦ λόγου ῥεῖθρα περιττῶς καὶ συν-

τόμως, καὶ τοσοῦτο αὐτὸν ἡ τῶν ἐνθυμημάτων συνέχεια ἐπικλύζουσα ἦν, ὡς μηδὲ τὴν γλῶτταν ἱκανῶς ἔχειν ὑπηρετεῖν τῷ τάχει τῶν νοημάτων· καίτοιγε τοιαύτῃ κεχρημένην εὐροίᾳ περὶ τὸ λέγειν, καὶ οὕτως ἑτοιμότατα τὸ νοηθὲν ἀπαγγέλλουσαν, ὡς μηδὲν εἰς τάχους λόγον αὐτὴν ἀπολείπεσθαι τῶν παρ' ἄλλοις ἐνθυμημάτων. Ὥστε κἀκεῖνον λέγεται ποτὲ φάναι πρὸς τὸν Θεόν· Ἄνες, ὦ Δέσποτα, τῆς χάριτός σου τὰ κύματα. Ὑπὸ γὰρ τὴν γλῶσσαν ἡ τῆς διδασκαλίας ἄβυσσος πελαγίζουσα, στέγειν αὐτὸν οὐκ εἴα λοιπὸν, τῶν πρὸς τὸ λέγειν ὀργάνων οὐχ ὑπουργούντων.

Ι'. Ἐπέκοπτε δὲ τοὺς λόγους ἕτερον μὲν οὐδὲν, εὐχὴ δὲ μόνη· καὶ ταύτην τὰ δάκρυα. Αἵ τε νύκτες αὐτὸν γρηγοροῦντα παραλαμβάνουσαι, νήφοντα πάλιν τῷ τῆς ἡμέρας φωτὶ παρεδίδοσαν, οἷα τὸν τοῦ σκότους ἄρχοντα ὑπειδόμενον, μὴ καὶ καταλάβοι αὐτὸν ὕπνῳ πεπεδημένον· καὶ διὰ τοῦτο πρὸς τὴν ἔφοδον ἐκείνου ἐγρηγορότα. Ὕπνος γὰρ αὐτῷ καὶ λίαν βραχὺς ἐξήρκει, παραγευόμενος μόνον, οὐκ εἰς κόρον αὐτῷ χρώμενος· καὶ τοσοῦτος, ὅσον αὐτοῦ διακρατεῖν ἀναγκαίως καὶ συνέχειν τὸ σῶμα τοῖς πολλοῖς ἱδρῶσι καὶ πόνοις κατατεινόμενον. Ἐποίει γὰρ φεύγειν αὐτοῦ τοὺς ὀφθαλμοὺς τὸν ὕπνον, πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ χαμευνία, σκληραγωγία, καὶ ἡ παντοδαπὴ τοῦ σώματος τῆξις ἐκείνη, καὶ κάκωσις.

ΙΑ'. Ἀκτημοσύνης δὲ τοσοῦτος αὐτῷ συνελέχθη πλοῦτος, ὥστε καὶ μάρτυρα ἐπ' αὐτῷ τὸ οἰκεῖον στόμα παραλαβεῖν, καὶ τὰ πρὸς ταῖς ἐσχάταις ἀναπνοαῖς αὐτοῦ ῥήματα, ὧν οὐδὲν ἀξιοπιστότερον, ἢ ἀληθέστερον. Ἔχει δὲ οὕτως· Οὐχ ὑπῆρξε τῷ Ἐφραὶμ ποτε βαλάντιον, οὐ ῥάβδος, οὐ πήρα, οὔτε μὴν ἀργύριον, οὔτε χρυσίον· Ἀλλ' οὐδέ τινα κτῆσιν ἐπὶ τῆς γῆς ἐκτησάμην. Τοῦ γὰρ ἀγαθοῦ Βασιλέως ἤκουσα, φησὶ, ἐν τοῖς Εὐαγγελίοις τοῖς ἑαυτοῦ μαθηταῖς ἐπιτάττοντος· Μηδὲν ἐπὶ τῆς γῆς κτήσησθε· ὅθεν οὐδὲ ἐμπαθῶς ἔσχον τι τοιοῦτο. Οὕτως ἐπείθετο πάντα τῷ Διδασκάλῳ, καὶ ζηλωτὴς ὄντως καὶ μιμητὴς τῶν πρώτων ἐκείνου μαθητῶν ἐδείκνυτο.

ΙΒ'. Ταπεινοφροσύνην δὲ, καὶ συντριβὴν καρδίας, καὶ μετριότητα, τίς οὕτω πολὺς ἀεὶ, καὶ θερμὸς καὶ ἀκμαῖος; ὡς σποδὸν μὲν ὡσεὶ ἄρτον ἐσθίειν, τὸ πόμα δὲ κλαυθμῷ συγκιρνᾷν, καὶ πρὸς μὲν ἐπαίνους λίαν εὐλαβῶς ἔχειν, καὶ τοὺς εὐφημοῦντας αὐτὸν οὐ μόνον οὐχὶ προσίεσθαι, ἀλλὰ καὶ φανερῶς αὐτοῖς ἄχθεσθαι, ὥσπερ τοῖς κωμῳδοῦσιν ἕτερος καὶ λοιδορουμένοις· ἐρυθριᾷν τε, καὶ εἰς γῆν βλέπειν, καὶ χρόαν μὲν ἄλλοτε ἄλλην τῆς ὄψεως ἀμείβειν· ἱδρῶτι δὲ λεπτῷ στάζεσθαι, καὶ παντελῶς ἄφωνον μένειν, καθάπερ τῆς αἰσχύνης αὐτῷ τὴν φωνὴν ἐπεχούσης. Καὶ τοῦτο δὲ τῆς πολλῆς αὐτοῦ μετριοφροσύνης ἴδιον. Ἤδη γὰρ μέλλων ἀπαίρειν, τοιαῦτα μετὰ σφοδρᾶς ἐπιτιμήσεως ἐπισκήπτων ἦν· Μὴ ᾄσητε ᾆσμα ἐπὶ Ἐφραὶμ, καὶ ἐγκωμιάσητε, μὴ πολυτελεῖ ἐνθάψητε ἱματισμῷ, μὴ ἰδίᾳ τῷ σώματί μου τάφον ἐργάσησθε. Λόγον γὰρ ἔχω μετὰ Θεοῦ, αὐλισθῆναί

5 Matth. x, 9; Luc. ix, 3.

A tam copiose et tam vehementer Ephræm fluxerunt fluenta orationis, et eum tanta et ita perpetua obruebat vis cogitarum, ut nec satis quidem posset ejus lingua servire celeritati eorum, quæ cogitarat, tametsi ejus erat tantus in dicendo fluxus, et tam prompte enuntiabat id, quod mente conceperat, ut non minus celeriter sermone explicaret, quam alii cogitarent. Quamobrem dicitur is Deo aliquando dixisse : Remitte, o Domine, undas tuæ gratiæ. Abyssus enim doctrinæ, quæ linguam inundabat, non sinebat eum amplius continere, cum ad dicendum minime servirent instrumenta.

X. Illius autem orationem nihil aliud interrumpebat nisi precatio : eam vero lacrymæ. Noctes vero, quæ ipsum excipiebant vigilantem, luci diei rursus B reddebant sobrium : ut qui vereretur, ne princeps tenebrarum eum somno impeditum deprehenderet, et ideo vigilaret adversus ejus insultus. Ei enim sufficiebat somnus vel brevissimus, ut qui eum solum leviter gustaret, non uteretur autem ad satietatem, sed tantum, quantum satis esset, ad necessario continendum corpus, quod multis intendebatur sudoribus et laboribus. Ut enim ab ejus oculis fugeret somnus, faciebant quidem multa etiam alia; maxime autem humicubatio, vitæ austeritas, illaque varia et multiplex corporis consumptio et afflictio.

XI. Nihil vero possidendi tantæ sunt ab eo collectæ divitiæ, ut ad id assumatur oris ejus testimonium, et verba quæ ab eo dicta sunt in extremo ejus spiritu, quibus nihil est fide dignius aut verius. Sic C autem habent : Ephræm nunquam fuit crumena, non virga, non pera, neque aurum, nec argentum. Sed nec in terra ullam habui possessionem. Bonum enim Regem audivi, inquit, in suis Evangeliis præcipientem discipulis 5: Nihil in terra possederitis. Quocirca nec affectione quidem tale quid habui. Ita Magistro parebat in omnibus, et se vere præbuit imitatorem primorum illius discipulorum.

XII. In humilitate autem et cordis contritione, et moderatione, quis frequentius, aut acrius, aut perfectius est versatus? adeo ut cinerem quidem tanquam panem comederet, potum autem cum fletu misceret. Laudes vero valde vitabat; et eos qui eum laudabant non solum non admittebat, sed D eis etiam aperte succensebat, ut alius iis qui irrident et maledictis insequuntur; erubesceret autem, et terram aspiceret, et vultus colorem alias alium mutaret : tenui autem sudore diffueret, et omnino mutus maneret, pudore ejus vocem veluti retinente. Porro autem hoc quoque erat proprium magnæ ejus moderationi atque modestiæ. Cum enim jam esset abiturus, hæc cum magna mandabat increpatione : Ne canticum cecineritis super Ephræm, neque eum laudaveritis. Ne me pretiosa veste indueritis. Ne seorsum meo corpori sepul-

crum feceritis. Statui enim, Deo volente, habitare cum peregrinis, *Peregrinus enim sum et advena, sicut omnes patres mei* [6].

A με σὺν τοῖς ξένοις· Ξένος ἐγὼ, καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου.

XIII. Benignitatis autem, et alendorum mendicorum, et misericordiæ in pauperes tantam habebat rationem, et tantam illorum curam gerebat; ut quoniam ex se non habebat, quod eis impertiret (quomodo enim haberet, qui ipse quoque laborabat inopia rerum necessarium?), quod solum habebat, eo utebatur ad eorum salutem: et cum linguæ sapientia et intelligentia multis divitum et manum et viscera et horrea aperuisset, copiose per ea suppeditabat egentibus. Non solum enim poterat ejus sermo mollire et demulcere animos, et movere ad misericordiam, sed vel ipse aspectus et morum moderatio. Sæpe autem vel ipsum solum respexisse, suffecit aliorum animis ad compunctionem. Et sunt hæc quidem hujusmodi, et quæ ad summum omnis virtutis sic venerunt.

ΙΓ'. Φιλανθρωπίας δὲ, καὶ πτωχοτροφίας, καὶ τοῦ πρὸς τοὺς πένητας οἴκτου τοσοῦτος αὐτῷ λόγος, καὶ οὕτω τῆς ἐκείνων ἀντείχετο προστασίας, ὡς ἐπείπερ οἴκοθεν οὐκ εἶχε μεταδιδόναι (πόθεν; ὅς γε καὶ αὐτὸς ἠπόρει τῶν ἀναγκαίων) ὃ μόνον εἶχε, τοῦτο πρὸς τὴν αὐτῶν ἐκέχρητο σωτηρίαν· καὶ τῇ τῆς γλώττης σοφίᾳ καὶ τῇ συνέσει, πολλοῖς, τῶν πλουσίων καὶ χεῖρα, καὶ σπλάγχνα, καὶ ταμιεῖα, φημι, διανοίξας, ἀφθόνως δι' αὐτῶν ἐχορήγει τοῖς δεομένοις. Ἦν γὰρ οὐχ ὁ λόγος τοῦ ἀνδρὸς μόνον οἷος ψυχὰς μαλάξαι, καὶ κινῆσαι πρὸς ἔλεον, ἀλλὰ καὶ αὐτὴ ἡ ὄψις, καὶ τὸ τοῦ ἤθους ἐπιεικές τε καὶ μέτριον· πολλάκις δὲ B καὶ αὐτὸ τὸν βλέψαι ταῖς τῶν ἄλλων ψυχαῖς ἱκανὸν πρὸς κατάνυξιν. Καὶ ταῦτα μὲν δὴ τοιαῦτα, καὶ οὕτως εἰς τὸ ἀκρότατον ἁπάσης ἀρετῆς ἀφιγμένα.

XIV. Ejus vero ex Deo zeli, et eorum, quos pro recta fide suscepit, sudorum, sunt multa alia quoque indicia. Quod autem nunc suggerit dicendum oratio, et ad quod fert deinceps consequentia narrationis, est omnium maximum et jucundissimum. Ita autem habet. Apollinaris, qui in altum quidem locutus est, et meditatus magnam iniquitatem; omnis vero et facere et dicere didicit ad recta pervertenda dogmata, cum circa rectam fidem multa innovasset, et sicut engastrimythi et qui e terra vocem edunt, ut recte de iis magno videtur Isaiæ [7], locutus esset, et ea duobus libris composuisset, credit cuidam mulieri, quæ illius animo dicebatur servire et voluptatibus. Cum hoc ergo didicisset Ephræm, et eam rem esse existimasset convenientem sibi venationem non levem quidem illam, sed quæ opus haberet arte et sapientia, suscipit personam unius ex iis qui eadem quæ ille sentiebat et accedit ad custodem librorum, partim quidem ei eulogias afferens ex solitudine, partim autem se artifiose in mulieris insinuans familiaritatem, ut quæ morum magistri cum ero haberet societatem. Cum autem ei scena recte se haberet, et actus simulationis, et omnino jam sibi persuasisset mulier, eum plane esse discipulum Apollinaris, et ejus, qui circa illum erat, chori impietatis; rogat mulierem, ut sibi dentur scripta magistri, ut possit, sicut aiebat, cum hæreticis (ita nos vocans, qui partem sequimur orthodoxam) facile congredi. Illa vero, callida hac arte et probabili inescata ratione, et libros tradit, tantum dicens ut ii cito sibi redderentur.

ΙΔ'. Τοῦ δὲ κατὰ Θεὸν ζήλου, καὶ τῶν ὑπὲρ τῆς ὀρθοδοξίας ἱδρώτων πολλὰ μὲν αὐτοῦ καὶ ἄλλα γνωρίσματα. Ὃ δὲ νῦν ὁ λόγος εἰπεῖν ὑποβάλλει, καὶ πρὸς ὃ φέρει λοιπὸν ἡ ἀκολουθία τοῦ διηγήματος, μέγιστον ἁπάντων καὶ χαριέστατον. Ἔχει δὲ οὕτως. Ἀπολλινάριος, ὁ πολλὴν μὲν εἰς τὸ ὕψος ἀδικίαν λαλήσας καὶ μελετήσας, πάντα δὲ καὶ ποιεῖν καὶ λέγειν ἐπὶ διαστροφῇ τῶν ὀρθῶν δογμάτων μεμαθηκὼς, πολλὰ περὶ τὴν ἀληθῆ πίστιν καινοτομήσας, κατὰ τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, ὡς καλῶς τῷ μεγάλῳ περὶ τούτων C Ἡσαΐᾳ δοκεῖ, καὶ ἀπὸ θελήματος οἰκείου φθεγξάμενος, καὶ ταῦτα δυσὶ βιβλίοις συντάξας, γυναικὶ πιστεύει τινὶ, ἣ τῇ ἐκείνου γνώμῃ καὶ ταῖς ἡδοναῖς δουλεύειν ἐλέγετο. Τοῦτο οὖν μαθὼν ὁ Ἐφραῒμ, καὶ θήραμα οἰκεῖον εἶναι τὸ πρᾶγμα νομίσας οὐχ ἁπλοῦν, ἀλλὰ τέχνης δεόμενον καὶ σοφίας, προσωπεῖον ἑνὸς ὑπέρχεται τῶν τὰ ἐκείνου φρονούντων, καὶ τῇ τῶν βιβλίων φύλακι πρόσεισι· τοῦτο μὲν, εὐλογίας αὐτῇ δῆθεν ἀπὸ τῆς ἐρήμου κομίζων· τοῦτο δὲ, καὶ οἰκειῶν ἑαυτὸν εὐτέχνως πρὸς τὴν γυναῖκα, καὶ συνήθης αὐτῇ γινόμενος, καθάπερ κοινωνίαν ἐχούσῃ πρὸς αὐτὸν καὶ τρόπων καὶ διδασκάλου. Ἐπεὶ δὲ καὶ ἡ σκηνὴ καλῶς εἶχεν αὐτῷ καὶ τὸ δρᾶμα τῆς ὑποκρίσεως, καὶ πέπειστο ἤδη παντελῶς ἡ γυνὴ μαθητὴν αὐτὸν εἶναι σαφῶς Ἀπολλιναρίου, καὶ τοῦ περὶ ἐκεῖνον D τῆς ἀσεβείας χοροῦ, δέεται περὶ τῶν βίβλων τῆς γυναικὸς, ὥστε δοθῆναι αὐτῷ τὰ τοῦ διδασκάλου συγγράμματα, ὅπως ἔχοι, φησὶν, τοῖς αἱρετικοῖς (οὕτως ἡμᾶς τοὺς τῆς ὀρθοδόξου μοίρας ἀποκαλῶν) εὐπετῶς ἄγαν συμπλέκεσθαι. Ἡ δὲ τῇ σοφῇ ταύτῃ καὶ πιθανῇ τέχνῃ δελεασθεῖσα ἐγχειρίζει τὰς βίβλους αὐτῷ, ταχινὴν μόνον εἰποῦσα γενέσθαι πάλιν αὐτῶν τὴν ἀνάδοσιν.

XV. Hinc autem magnus Jacob, cum hac ratione profanum supplantasset Esau, et scelerata illius improbitatis primogenita fuissent ei credita, magno et forti animo virum exsecrandum aggreditur, et, ut dicitur, vulpem pulchre decipit. Vide enim mihi viri

ΙΕ'. Ὁ μέντοι μέγας Ἰακὼβ οὕτως τὸν βέβηλον ταύτῃ πτερνίσας Ἡσαῦ, καὶ τὰ πονηρὰ πρωτότοκα τῆς ἐκείνου κακίας ἐγχειρισθεὶς, ἐπέξεισι γενναίως τὸν ἀλιτήριον, καὶ τὸ τοῦ λόγου, παλαίει καλῶς τὴν ἀλώπεκα. Ὅρα γάρ μοι τοῦ σοφοῦ τὴν ἐπίνοιαν, καὶ

6 Psal. XXXVIII, 13. 7 Isai. XXIX, 4.

ὅπως τηλικαύτην ψυχῆς σκαιότητα καὶ ποικιλίαν κατασοφίζεται. Τὸ μὲν οὖν πρὸς λόγους χωρῆσαι καὶ ἀντιθέσεις, καὶ γλῶτταν αὐτοῖς ἐπαφεῖναι, λῦσαι πάντα καὶ ἀνατρέψαι λίαν εὐχερῶς δυναμένην, οὐ πάνυ πρόχειρον ἦν αὐτῷ ἀλλὰ καὶ χρόνου συχνοῦ δεόμενον καὶ πόνου. Τοῦτο δὲ τοῦ καιροῦ τηνικαῦτα μὴ ἐπιτρέποντος (ἐπέκειτο γὰρ ἡ γυνὴ σφοδρῶς ἀπαιτοῦσα τὰς βίβλους), ἐπ' ἄλλην τρέπεται τινα μηχανὴν, πολὺ σὺν τῷ τάχει καὶ τὸ δραστήριον ἔχουσαν. Ἀναπτύξας γὰρ τὰ βιβλία, καὶ τῶν φύλλων ἕκαστον διελὼν, ἰχθύος τε κόλλῃ τὸ πᾶν ἱκανῶς διαχρίσας, εἶτα θάτερον θατέρῳ συμπτύξας, καὶ μέχρι πολλοῦ τῇ χειρὶ ταῦτα συσχὼν τε καὶ ἐπισφίγξας, ὡς ἓν πάντα γενέσθαι τῇ πρὸς ἄλληλα σχέσει καὶ συναφείᾳ, καὶ μηδ' ἕτερον τοῦ ἑτέρου διασπᾶσθαι δύνασθαι, ἢ ὁπωσοῦν ἀπορρήγνυσθαι, τῇ γυναικὶ ἀποδίδωσιν. Ἡ δὲ ἀπολαμβάνει ταῦτα, μηδὲν περιεργασομένη, μηδ' ἀναπτύξασα, πλὴν ὅτιπερ ὑγιῶς εἶχον τὰ ἔξω, τοῦτο μόνον ἐπ' αὐτοῖς ἀρκεσθεῖσα. Χρόνον μὲν οὖν οὕτω τινὰ κατεῖχε τὰς βίβλους παρ' ἑαυτῇ.

ΙϚʹ. Ἔπειτα καλεῖται μὲν ὑπὸ τῶν ὀρθοδόξων Ἀπολλινάριος. Τοῦ θείου δὲ τοῦτο Ἐφραὶμ, καὶ τῆς διὰ Χριστὸν εὐμηχάνου καὶ ὀξυτάτης ψυχῆς ἐκείνης ὑποβολή· ᾔδει γὰρ ὁ κατὰ τῶν ἀνοσίων ἐκείνων καὶ μιαρῶν βίβλων εἴργαστο. Καλεῖται τοίνυν Ἀπολλινάριος, ὡς τῷ γενναίῳ προστάτῃ τοῦ Λόγου διαλεξόμενος. Ὁ δὲ καὶ γήρᾳ ἤδη καὶ τοῖς ἐκ τοῦ γήρως κάμνων κακοῖς, αὐτὸς μὲν ἀπηγόρευκε τὴν διάλεξιν· εὐθὺς δὲ πρὸς τὰς οἰκείους ἔβλεψε βίβλους, καὶ ταύτας αὐτῷ κομισθῆναι προσπάττει· αὗται γάρ μοι, φησὶν, ὅσα καὶ στόμα τῷ λόγῳ, διακονήσουσιν. Ἀμέλει καὶ τῶν βίβλων τὴν ἑτέραν λαβὼν, ὁ μὲν ἀναπτύσσειν αὐτὴν, περὶ αὐτάς που τὰς ἀρχὰς τῆς συγγραφῆς μετὰ πολλοῦ τοῦ φρονήματος ἐπειρᾶτο. Ὡς δ' οὐχ ὑπήκουεν ἐκείνη τὸ παράπαν, οὐδὲ τῶν φύλλων τινὰ διεσπᾶτο, ἀλλ' ἑαυτῆς εἴχετο μᾶλλον καθάπερ ἓν σῶμα γεγενομένη, περὶ τὰ μέσα ταύτης μετέβαινεν. Ἐπεὶ δὲ κἀνταῦθα διημάρτανε τῶν ἐλπίδων, τὴν τοιαύτην βίβλον ἀφεὶς, μετελάμβανε τὴν ἑτέραν. Ὡς δὲ κἀκείνη λοιπὸν εἶχε παραπλησίως, ἀδιαίρετός τε ἦν αὐτὴ ἑαυτῆς, καὶ παντελῶς ἀδιάσπαστος, εἰς πολλὴν καταστὰς ἀπορίαν, σκότου τὴν ψυχὴν πληρωθεὶς, ὑπὸ τοῦ τῆς ἀθυμίας ἐκείνης καὶ τῆς αἰσχύνης ἰλίγγου, καὶ ὡς περὶ τῷ πάθει παρατραπεὶς, ἀναπηδᾷ τοῦ συνεδρίου, κατέχειν ἑαυτὸν ὅλως δυνατὸς οὐκ ὤν· καὶ τέλος, κακῶς ἀπόλλυται καρπὸν τῶν οἰκείων πόνων, καὶ βίβλων ἀμήσας θάνατον. Τοιοῦτος ἦν καὶ ὁ ὑπὲρ Χριστοῦ ζῆλος. Ἐφραὶμ, καὶ οὕτως εἰς τὴν ἐκείνου ψυχὴν ἀρετὴ πᾶσα πεφύτευτο, ὥστε πηγὴν ἄν τις αὐτὴν εἰκότως καλέσειε παντοδαποῖς νάμασι βρύουσαν, ἢ λειμῶνα ποικίλοις ἄνθεσι καὶ ῥόδοις κομῶντα, ἢ καὶ οὐρανὸν ἐπὶ γῆς ἄλλον τῷ τῶν ἀστέρων πλήθει πάντοθεν ποικιλλόμενον· εἰ βούλει δὲ, καὶ παράδεισον, οἷον τὸν τῆς Ἐδὲμ, ἀκούεις ἀκμάζοντα, καὶ φαιδρὸν ἀεὶ, καὶ μηδέποτε μαραινόμενον· ἀλλὰ φυτοῖς ἐγκάρποις καὶ ἀκηράτοις ἀεί ποτε θάλλοντα. Πλὴν ὄφει μόνον τὸ παράπαν ἄψαυστόν τε καὶ ἀνεπίβατον τῷ πονηρῷ καὶ τῆς σωτηρίας ἐπιβούλῳ τῆς ἡμετέρας.

sapientis inventum, et quemadmodum tam improbum et tam varium callide fallit animum. Venire quidem ad disputandum et opponendum, et linguam eis immittere, quæ omnia facile posset solvere et evertere, non erat ei admodum expeditum: sed in longo opus habebat tempore et labore. Cum autem id facere non permitteret opportunitas (urgebat enim mulier, libros vehementer repetens), convertitur ad quamdam aliam machinationem, quæ cum celeritate magnam habebat vim et efficaciam. Nam cum libros explicasset, et foliorum unumquodque divisisset, ichtyocolla satis universum illivisset, et deinde cum altero complicasset, et ea diu manu constrinxisset ac compressisset, adeo ut mutua inter se conjunctione omnia unum fierent, et neutrum posset ab altero divelli, aut quomodocunque abrumpi, eos reddit mulieri. Illa vero eos recipit nihil quærens amplius, neque eos explicans, satis habens quod recte se haberent extrinsecus. Aliquo ergo tempore sic libros apud se retinuit.

XVI. Deinde vocatur quidem ab orthodoxis Apollinaris: hoc autem suggesserat propter Christum acutissima et ingeniosissima Ephræm anima; sciebat enim, quid fecisset in illos impios et exsecrandos libros: vocatur ergo Apollinaris, tanquam cum egregio Verbi defensore disputaturus. Ille autem jam et senectute et senectutis malis defessus, recusavit quidem ipse disserere: statim vero ad suos libros respexit, et eos ad se deferri præcepit. Ipsi enim mihi, inquit, subministrabunt, quæcunque os orationi. Cum ex libris itaque cepisset alterum, ille quidem eum explicare statim in principio operis cum magna quadam gravitate conabatur: at cum ille omnino non obediret, neque ex foliis aliqua divellerentur, sed tibi potius cohærerent, ut qui tanquam unum corpus evasissent, transit ad ejus medium. Cum vero et illic esset spe falsus, eo libro relicto, transit ad alterum. Ubi autem ille quoque se haberet similiter, et ipse a se non posset dividi, nec fieri omnino posset ut divelleretur, ad magnam mentis redactus inopiam, præ pudore et animi ægritudine caligans, et vertigine laborans, et eo casu veluti eversus exsilit e consessu, ut qui se non posset amplius continere: et tandem male perit, fructum laborum suorum et librorum mortem colligens. Talis pro Christo fuit zelus Ephræm, et sic omnis virtus plantata fuerat in illius anima, adeo ut quis eam merito vocaverit fontem, unde scatet omne genus fluentis; aut pratum, quod sibi placet propter varios flores et rosas; aut etiam aliud cœlum in terra, quod astrorum multitudine undique variatur; et si vellis, audis etiam paradisum, veluti illius Eden, qui est semper florens, et lætus, et nunquam marcescit, sed arboribus featilibus et quæ nunquam intereunt semper floret et germinat: solus autem serpens cum non potest attingere, nec ei patet aditus, qui est malus et invidus et nostræ saluti insidiatur.

Sed jam mihi ad finem tendit de sancto Ephræm narratio. Quocirca aliquid ex iis quæ circa mortem illius fuerunt, necesse est persequi, et quod sufficit ad ostendendam illius gratiæ abundantiam. Nam cum jam esset e vita discessurus, postremo præcepit iis qui aderant ne in pretiosa veste eum sepelirent, sicuti prius declaravimus. Si quis vero, inquit, cum patrem amet, talem nobis vestem præparavit, ille eam quæ constituta est ad sepulturam, det egentibus. Et ille quidem hæc mandabat iis qui circumfluebant. Unus autem ex eis, qui erat illustrior et vehementior, cum pretiosam et sumptuosam vestem parasset, qua post mortem corpus illius tegeret et deinde audisset mandatum, ægre tulit, ut qui a suo excidisset proposito, et ideo differebat eam quoque dare pauperibus, melius esse judicans tantum auri illis pendere, quanti vestis æstimaretur : ignorans se multo magis gratificaturum esse Ephræm, si dederit pauperi, quam si propriam voluntatem sequatur et judicium.

XVII. Cum sic itaque affectus constituisset, inobedientiæ protinus luit pœnas a malo arreptus dæmone, et cogitationis solum non actionis pendens supplicium. Quamobrem ad Sancti lectum se proripit in medio omnium videntium, torquens manus, invertens, oculos, spumam ex ore expuens, et plane faciens omnia quæ faciunt ii qui furore exagitantur : a divina Providentia ei traditus ad disciplinam, cui parens patrium contempsit mandatum. Quid ergo ? Qui occulta providebat, et divino Spiritu loquebatur, ille intellexit morbum esse fructum peccati : et, Quid a te, inquit, o homo, factum est, quod non oporteat, quod te in tantum prostrusit periculum ? Ille autem cum resipuisset ab insania, suam refert pronuntiatque iniquitatem, aperit inobedientiam et cogitationem suarum arguit imbecillitatem. Cujus morbi divinus Ephræm misertus, cum accepisset confessionem, sola precatione et manuum impositione liberat a dæmone, jubens ut impleret promissum, sicut ei mandaverat. Cum sic ergo sanctus Ephræm in fine vitæ superiores actiones tanto obsignasset miraculo, eos autem qui aderant admonuisset, eisque consuluisset, et præcepta dedisset, et eos ad operationem virtutis satis excitasset : transiit ad ea quæ sunt illic tabernacula, et splendorem qui eos qui tales sunt excipit : in Christo Jesu Domino nostro : cui honor, gloria et potentia, cum Patre et sancto Spiritu, nunc et semper et in sæcula sæculorum. Amen.

A 'Αλλ' ἤδη μοι πρὸς τὸ τέλος ὁρᾷ τὰ κατὰ τὸν 'Εφραὶμ διηγήματα. Διὸ καί τι τῶν περὶ τὴν ἐκείνου τελευτὴν διεξελθεῖν ἀναγκαῖον, καὶ ὃ μάλιστα τῆς ἐνούσης αὐτῷ χάριτος τὴν περιουσίαν ἱκανὸν παραστῆσαι, Ἔδη μὲν γὰρ τὴν ἐσχάτην ἀπαίρειν ἔμελλεν ἐκδημίαν· τὰ τελευταῖα δὲ τοῖς παροῦσι παρηγγυᾶτο μὴ πολυτελεῖ αὐτὸν ἐσθῆτι συνθάψαι, καθάπερ προλαβὼν ὁ λόγος ἐδήλωσεν. Εἰ δέ τις, φησὶν, φιλοπάτωρ ὤν, τοιαύτην ἡμῖν ἐσθῆτα προητοιμάσατο, τὴν ὁρισθεῖσαν ταύτην ἐκεῖνος εἰς ταφὴν δότω τοῖς δεομένοις. Καὶ τοιαυτα μὲν ἐκεῖνος πρὸς τοὺς περιεστῶτας ἐπισκήπτων ἦν. Εἷς δέ τις αὐτῶν, καὶ οὗτος τῶν ἐπιφανεστέρων, καὶ θερμοτέρων ἐσθῆτα πολυτελῆ καὶ φιλότιμον ἑτοιμάσας, περιβάλλειν αὐτῇ τὸ ἐκείνου σῶμα μετὰ θάνατον διεσκόπει· B ἔπειτα τῆς ἐντολῆς ἀκούσας ἤλγει τε μᾶλλον, ὡς τὸ θέλημα καὶ τὴν πρόθεσιν ἀνασκευασθεὶς· καὶ διὰ τοῦτο δοῦναι πένησιν αὐτὴν ἀνεβάλλετο, βέλτιον εἶναι κρίνας χρυσίον μᾶλλον ἐκείνοις καταβαλεῖν, ὅσου ἂν ἡ ἐσθὴς ἐτιμᾶτο· ἄγνοια, ὡς ἔοικεν, ἀγνοήσας, ὅτι πολλῷ μᾶλλον οὕτως ἐφάνη τῷ 'Εφραὶμ χαριζόμενος πένητι δοὺς, ἢ θελήματι ἰδίῳ καὶ κρίσει στοιχῶν.

ΙΖ'. Ταύτῃ τοι καὶ παθὼν ἄγνω, καὶ τῆς παρακοῆς εὐθὺς ὑπέσχε τὴν τιμωρίαν πονηρῷ πληγεὶς δαίμονι, καὶ λογισμῶν μόνον οὐχὶ πράξεως κόλασιν εἰσπραχθείς. Ὅθεν καὶ τῇ του ἁγίου κλίνῃ, μεταξὺ πάντων ὁρώντων, ἑαυτὸν προσαράττει, στρεβλῶν τὰς χεῖρας, καὶ διαστρέφων τοὺς ὀφθαλμοὺς, ἀφρὸν ἀποπτύων τοῦ στόματος, καὶ τἄλλα ὅσα λαμπρᾶς μανίας ἔργα ποιῶν, θειοτέρας λόγοις οἰκονομίας C τούτῳ παραδοθεὶς εἰς παιδείαν, ᾧ πεισθεὶς, μᾶλλον πατρικῆς ἠλόγησεν ἐντολῆς. Τί οὖν; Ὁ τὰ κεκρυμμένα διορῶν, ἐκεῖνος καὶ τῷ Πνεύματι τῷ θείῳ φθεγγόμενος, συνῆκε τὸ πάθος, ἁμαρτίας εἶναι καρπόν· καὶ, Τί σοι μὴ δεόντως πέπρακται, φησὶν, ἄνθρωπε, ὅ τι σε καὶ εἰς τηλικοῦτον ὤθησε κίνδυνον; Καὶ ὃς τῆς μανίας ἀνενεγκὼν, ἐξαγορεύει τὴν ἀνομίαν, ἐκκαλύπτει τὴν παρακοὴν, ἐλέγχει τὴν τῶν λογισμῶν ἀσθένειαν. Ὃν ὁ θεῖος 'Εφραὶμ, τοῦ τε πάθους οἰκτείρας, καὶ ἀποδεξάμενος τῆς ἐξαγορεύσεως, εὐχῇ μόνῃ καὶ χερῶν ἐπιθέσει τοῦ δαίμονος ἀπαλλάττει, πληροῦν αὐτῷ τὴν ὑπόσχεσιν κατὰ τὴν ἐντολὴν ἐπιτρέψας. Οὗτος οὖν ὁ ἱερὸς 'Εφραὶμ ἐπὶ τέλει τοῦ βίου, καὶ τηλικούτῳ θαύματι τὰς ἄνω πράξεις ἐπισφραγίσας, ἔπειτα δὲ καὶ παραινέσας D τοῖς παροῦσι, καὶ συμβουλεύσας, καὶ ὑποθεὶς, καὶ ἱκανῶς αὐτοὺς πρὸς ἀρετῆς ἐργασίαν διαναστήσας, πρὸς τὰς ἐκεῖθεν σκηνὰς διαβαίνει, καὶ τὴν ἐκδεχομένην τοὺς τοιούτους λαμπρότητα, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, τιμὴ, καὶ κράτος, σὺν τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ

ΙΓΝΑΤΙΟΥ ΤΟΥ ΘΕΟΦΟΡΟΥ.

—

MARTYRIUM SACROSANCTI MARTYRIS

DEIFERI IGNATII.

(Latine apud Surium ad diem I Febr. (1) ; Græce ex cod. ms. Paris. 1400 nunc primum prodit. EDIT. PATR.)

—

Α'. Ἄρτι Τραϊανοῦ τὰ τῆς Ῥωμαίων βασιλείας A σκῆπτρα παραλαβόντος, τῆς Ἀντιοχέων Ἐκκλησίας ἐπίσκοπος ὁ καὶ κλήσει καὶ πράγματι Θεοφόρος Ἰγνάτιος ἦν. Πέτρον μὲν γὰρ τὸν μέγαν Εὔοδος διαδέχεται, Εὔοδον δὲ Ἰγνάτιος, τοῦ τρόπου τε καὶ τῆς ἀρετῆς ζηλωτὴς γίνεται τούτου. Δὴ τῷ Θεοφόρῳ φασὶ κομιδῇ ὄντι νηπίῳ τὸν Χριστὸν ἔτι τὰς ἐν κόσμῳ διατριβὰς ποιούμενον τὰς ἀχράντους τε αὐτῷ ἐπιθεῖναι χεῖρας καὶ πρὸς τὸ πλῆθος ἀποβλέψαντά, Ἐὰν μή τις, εἰπεῖν, ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανίων, καὶ ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐν τῷ ἐμῷ ὀνόματι, ἐμὲ δέχεται, ὁποῖος ἔσται προκόπτων τὴν ἡλικίαν Ἰγνάτιος ἐντεῦθεν παραδηλῶν καὶ τὴν ἀποστολικὴν ἐκείνου διδασκαλίαν σαφῶς ὑποφαίνων.

B Β'. Οὗτος τοίνυν ὁ θεῖος Ἰγνάτιος ἅμα Πολυκάρπῳ τῆς κατὰ Σμύρναν Ἐκκλησίας ἡγησαμένῳ μαθητὴς Ἰωάννου τοῦ εὐαγγελιστοῦ γίνεται, καὶ αὐτῷ μόνῳ φοιτήσας, πᾶσάν τε ἀρετῆς ἰδέαν καὶ μάλιστα τὴν ἱερεῖ πρέπουσαν φιλοπόνως ἐξασκηθείς, εἶτα καὶ ἱερεὺς κοινῇ πάντων ὁμοῦ τῶν ἀποστόλων ψήφῳ χειροτονεῖται καὶ τῆς Ἀντιοχέων ἐπίσκοπος χειρίζεται. Παραλαβὼν δὲ τὴν Ἐκκλησίαν καὶ ἱδρῶτι συχνῷ καὶ μόχθῳ τὸ τῆς εὐσεβείας ἐν αὐτῇ κήρυγμα κατασπείρας, ἀποστολικόν τε διὰ πάντων ζῆλον καὶ διδασκαλίαν ἐπιδειξάμενος, καὶ τέλειος διάκονος ἤδη τῶν τοῦ Χριστοῦ μυστηρίων ἀναφανείς, καὶ μάρτυς ὕστερον γίνεται, θηρίοις δι' ἐκεῖνον παραδοθείς, ὡς μικρὸν ἄνωθεν ἀναλαβὼν λόγος δηλώσει.

Γ'. Τραϊανῷ γὰρ τῷ Ῥωμαίων αὐτοκράτορι τῇ C κατὰ Σκυθῶν ἐπαρθέντι νίκῃ καὶ μὴ μέχρι τούτου στῆσαι τὴν εὐδαιμονίαν ἀνεχομένῳ, ἀλλὰ περαιτέρω ταύτην βουλομένῳ προαγαγεῖν, καὶ πολλοὺς ἑτέρους τῇ Ῥωμαίων ἀρχῇ παραστήσασθαι, τοῦτο πρὸ τῶν ἄλλων ὁ κατὰ Χριστιανῶν, εἴτ' οὖν εὐσεβείας πόλεμος κράτιστον αὐτῷ καὶ λυσιτελὲς ἐνομίζετο. Ἐκεί-

I. Cum Trajanus sumpsisset sceptra Romanorum imperii, erat Antiochenæ Ecclesiæ episcopus, et nomine et re Deifer Ignatius. Nam magno quidem Petro succedit Evodus, Evodo autem Ignatius, fitque et morum ejus et virtutis æmulator. Huic divino Ignatio, cum esset adhuc plane puer, aiunt Christum adhuc versantem in mundo, ei intemeratas manus imposuisse, et ad populum intuentem, dixisse : Nisi quis seipsum humiliaverit ut hic puellus, non intrabit in regnum cœlorum ; et qui unum ex talibus pueris susceperit in nomine meo, me suscipit [1], qualisnam futurus esset ætate proficiens Ignatius, hinc ostendens, et apostolicam illius doctrinam aperte indicans.

II. Hic ergo divinus Ignatius, simul cum Polycarpo, qui Smyrnensi præerat Ecclesiæ, fuit discipulus Joannis evangelistæ : et cum ad eum solum ventitasset, et omnem virtutis speciem, et eam maxime, quæ decet sacerdotem, diligenter exercuisset, sacerdos deinde eligitur communi sententia omnium simul apostolorum, et Antiochenus creatur episcopus (2). Cum autem assumpsisset Ecclesiam, et multo sudore et labore in ea seminasset preconium pietatis, et zelum per omnia apostolicum et doctrinam ostendisset et exstitisset perfectus minister Christi mysteriorum, fit quoque postea martyr, bestiis propter illum traditus, ut paulo altius repetens declarabit oratio.

III. Trajano enim Romanorum imperatori, quam de Scythis habuerat, elato victoria, et non sustinenti suam hucusque sistere felicitatem, sed volenti eam ulterius producere, et Romanorum imperio multos alios subjungere, adversus Christianos seu adversus pietatem bellum ei visum est optimum esse et expedire. Nam illo quidem modo putabat se soli

1 Matth. XVIII, 4, 5.

(1) Græci festum ejus 20 Decembris celebrant, ut notat Baronius in Martyrologio.

(2) Vide Baron. ad an. Christi 71.

prodesse reipublicæ : sic autem etiam deos suos colere, et eos inducere, ut opem ferrent adversus hostes. Gravem itaque ac difficilem persecutionem infert adversus piam fidem, et proponit edicta per universam terram, quæ ejus parebat imperio, ut vel essent cum eo omnes impietatis participes, vel adhuc manentes Christiani, afficerentur variis suppliciis et acerbis mortibus. Contigerat, ut tunc Trajanus versaretur Antiochiæ : ut qui esset expeditionem suscepturus contra Persas, et bellum ibi pararet. Hic ergo ei de divino significatur Ignatio, quod et religionem teneret Christianam, et hominibus persuaderet, ut Christum tanquam Deum honorarent, idque cum fuisset a Pilato cruce condemnatus et morte, ut docent ejus acta : et fert legem de servanda virginitate, et de contemnendis divitiis et deliciis, et aliis quæ sunt in vita jucunda ; et quod est omnium gravissimum, quod non oporteat putare esse deos, et nullam imperatorum ducere rationem (3).

IV. Hæc postquam audivit Trajanus, sancto statim accersito, cum una etiam adesset senatus: Tune es, inquit, qui diceris Deifer, qui nostra jusso ludificaris, et omnem evertis Antiochiam, et omnes ducis post Christum, qui a te prædicatur, et nec solo quidem deos dignaris nomine? Divinus autem Ignatius, Ego sum, inquit. Ille vero, Et quid sibi vult, inquit, illud Deifer? Cui martyr : Qui Christum, inquit, circumfert in anima. Imperator autem : Tu ergo, inquit, Christum in teipso circumfers? Certe, inquit. Scriptum est enim : « Habitabo in eis et inambulabo [2]. » Quid vero nos? non videmur tibi deorum assidue meminisse, et eos semper in anima circumferre, eosque inducere ad opem ferendam contra hostes, et per eos omnia facere, quæ sunt ex animi sententia? Respondens autem divinus Ignatius : Hei mihi, inquit, simulacra gentium deos nominas. Unus enim Deus, inquit, verus, qui cœli et terræ et maris, et omnium quæ sunt in ipsis est creator. Unus Christus Jesus, Dei Filius unigenitus, cujus regni non est finis. Quem si tu agnosceres, o imperator, et purpura ipsa, et diadema, et thronus regius, firmiora essent et stabiliora.

V. Imperator vero, Hæc tam multa, inquit, mittamus. Tu autem, si velis, inquit, o Ignati, meæ potentiæ rem facere gratissimam, et de cætero referri in numerum meorum amicorum, hac mente mutata, diis nobiscum sacrifica: et statim (sciant ipsi omnes) te magni Jovis constituam pontificem, et patrem nominabo senatus. Adhæc divinus Ignatius: Gratias quidem præbere, o imperator, omnibus quidem est pulchrum : maxime autem imperatoribus, quod possint ipsi amplius gratificari: sed eas, quæ

A νως μὲν γὰρ τὸ κοινὸν ὠφελεῖν μόνον, οὕτω δὲ καὶ τοὺς αὐτοῦ θεοὺς θεραπεύειν καὶ συνεργοὺς αὐτοὺς κατὰ τῶν πολεμίων ἐπάγεσθαι. Ἀμέλει καὶ διωγμὸν κατὰ τῆς εὐσεβοῦς πίστεως χαλεπὸν ἐπάγει, καὶ διατάγματα κατὰ τῆς ὑπηκόου πάσης ἐκτίθεται, ὥστε ἢ πάντας αὐτῷ κοινωνοὺς εἶναι τῆς ἀσεβείας, ἢ Χριστιανοὺς ἔτι μένοντας τιμωρίαις ποικίλαις καὶ θανάτοις χαλεποῖς ἐκδίδοσθαι. Ὑπῆρξε δὲ τότε Τραϊανῷ τῇ Ἀντιοχέων ἐπιδημεῖν, οἷα δὴ μέλλοντι κατὰ Περσῶν ἐκστρατεύειν καὶ παρεσκευαζομένῳ τὰ πολέμια. Ἐνταῦθα γοῦν καὶ μηνύεται αὐτῷ τὰ κατὰ τὸν θεοφόρον Ἰγνάτιον, ὡς εἴη τε τὰ Χριστιανῶν πρεσβεύων καὶ Χριστὸν ἴσα καὶ θεοῖς τιμᾷν τοὺς ἀνθρώπους ἀναπείθων, καὶ ταῦτα σταυρὸν ὑπὸ Πιλάτου κατακριθέντα, καὶ θάνατον ὡς τὰ περὶ αὐτοῦ B διδάσκουσιν ὑπομνήματα· μονοθετεῖ τε παρθενίαν καὶ πλούτου καὶ τρυφῆς καὶ τῶν ἄλλων τοῦ βίου τερπνῶν κατολιγορεῖν καὶ τὸ δὴ χαλεπώτατον, μήτε θεοὺς ἡγεῖσθαι, μήτε τινὰ τὸν λόγον τῶν αὐτοκρατόρων τίθεσθαι.

Δ′. Ταῦτα ὡς ἤκουσε Τραϊανὸς, μεταπεμψάμενος αὐτίκα τὸν ἅγιον, συμπαρούσης αὐτῷ καὶ τῆς συγκλήτου βουλῆς· Σὺ εἶ, φησὶν, ὁ λεγόμενος Θεοφόρος, ὁ τῶν ἡμετέρων καταπαίζων προστάξεων καὶ τὴν Ἀντιοχέων ἀνάστατον πᾶσαν ποιῶν, ὀπίσω τε πάντας τοῦ ὑπὸ σοῦ κηρυττομένου Χριστοῦ ἐπαγόμενος, καὶ μηδὲ ψιλοῦ τοὺς θεοὺς ὀνόματος ἀξιῶν; Καὶ ὁ θεῖος Ἰγνάτιος· Ἐγώ εἰμι, ἔφη. Ὁ δέ· Καὶ τί ἐστι Θεοφόρος, διεπυνθάνετο. Πρὸς ὃν ὁ μάρτυρ· Ὁ τὸν Χριστὸν ἐν τῇ ψυχῇ περιφέρων, ἔφη. Καὶ ὁ βασιλεύς· Σὺ οὖν ἐν ἑαυτῷ τὸν Χριστὸν περιφέρεις, Ναί, C φησι· γέγραπται γάρ· « Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω. » Τί δαὶ ἡμᾶς; οὐ σοι δοκοῦμεν θεῶν μεμνῆσθαι διηνεκῶς, καὶ τούτους ἐν τῇ ψυχῇ φέρειν ἀεὶ συμμάχους τε αὐτοὺς κατὰ τῶν ἐχθρῶν ἐπαγόμενοι, καὶ δι' αὐτῶν πάντα ποιοῦντες τὰ κατὰ γνώμην; Καὶ ὑπολαβὼν ὁ θεῖος Ἰγνάτιος· Φεῦ, ὅτι τὰ εἴδωλα, ἔφη, τῶν ἐθνῶν θεοὺς, βασιλεῦ, ὀνομάζεις! Εἷς γὰρ Θεὸς ἀληθὴς, ὃς οὐρανοῦ τε καὶ γῆς καὶ θαλάσσης καὶ τῶν ἐν αὐτοῖς πάντων ἐστὶ ποιητής· εἷς Χριστὸς Ἰησοῦς, ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος· ὃν εἰ καὶ αὐτὸς ἐπέγνως, ὦ βασιλεῦ, πολλῷ ἂν ἥ τε ἁλουργίς σοι αὕτη καὶ τὸ διάδημα καὶ ὁ βασιλικὸς θρόνος βεβαιότερα ἦσαν καὶ κομιδῇ μονιμώτερα.

Ε′. Καὶ ὁ βασιλεύς· Τὰ μὲν πολλὰ ταῦτα χαίρειν D ἐῶμεν. Σὺ δὲ, εἰ βούλει, φησὶ, Ἰγνάτιε, τὰ μεγάλα τῷ ἐμῷ κράτει χαρίσασθαι καὶ τοῖς ἐμοῖς τοῦ λοιποῦ συντάττεσθαι φίλοις, τῆς τοιαύτης γνώμης μεταβαλὼν, θῦσον σὺν ἡμῖν τοῖς θεοῖς καὶ αὐτίκα (ἴστωσαν αὐτοὶ πάντες) ἀρχιερέα σε τοῦ μεγάλου Διὸς καταστήσω, δι' ὃ καὶ πατέρα τῆς βουλῆς ὀνομάσω. Πρὸς ταῦτα ὁ Θεοφόρος· Χάριτας μὲν παρέχειν, ὦ βασιλεῦ, καὶ πᾶσι καλὸν, μάλιστα δὲ βασιλεῦσιν, ὅσῳ καὶ αὐτοὶ δυνατοὶ τὰ μείζω πάλιν ἀντιχαρίσασθαι· ἀλλὰ τὰς

2 II Cor. vi, 16.

(3) Ignatium ante Trajanum etiam a Domitiano persecutionem passum ex Ignatii epist. 4 ad Mariam Cassobolitem, memorat Baronius ad an. 93.

λυσιτελεῖς πάντως καὶ ὠφελίμους ἀμφοτέροις, τὰς δὲ βλάπτειν καί μάλιστά γε ψυχὴν δυναμένας καὶ σφοδροτέραν αὐτῇ τοῦ πυρὸς τὴν γέενναν ὑπανάπτειν, οὐχ ὁ διδοὺς μόνον, ἀλλὰ καὶ ὁ αἰτῶν αὐτὸς ἀθλιώτατος. Θαυμαστὴ δὲ σου, βασιλεῦ, καὶ μεγαλόδωρος ἡ ἐπαγγελία. Τί γὰρ ἐμοὶ τὸ τοῦ παρὰ σοὶ μεγίστου Διὸς καστῆναι ἀρχιερέα καὶ βουλῆς πατέρα κληθῆναι, ἱερεῖ τε ὄντι Χριστοῦ καὶ θυσίαν αὐτῷ καθ' ἑκάστην αἰνέσεως θύοντι, ἤδη δὲ καὶ ὅλον ἐμαυτὸν καταθύσειν ἐπειγομένῳ καὶ σύμφυτον θέσθαι τῷ τοῦ θανάτου αὐτοῦ ὁμοιώματι. Καὶ ὁ βασιλεύς· Τίνι δὲ σπεύδεις ἑαυτὸν καταθῦσαι, τῷ ἐπὶ Ποντίου σταυρωθέντι Πιλάτου; Ναὶ, φησὶν ὁ μέγας Ἰγνάτιος, τῷ τὴν ἁμαρτίαν ἀνασταυρώσαντι καὶ τὸν εὑρετὴν αὐτῆς διάβολον καθελόντι καὶ πᾶσαν διὰ τοῦ σταυροῦ ἐκείνου δύναμιν καταργήσαντι. Αὖθις οὖν ὁ βασιλεύς· Ἔοικάς μοι, φησὶν, Ἰγνάτιε, κρίσεως ὀρθῆς καὶ φρενὸς ὑγιῶς ἐχούσης ἔρημος τοπαράπαν εἶναι· οὐ γὰρ ἂν οὕτω φανερῶς ταῖς τῶν Χριστιανῶν Γραφαῖς ἐξηπάτησο, ἀλλ' ἔγνως πάντως, ἡλίκον ἀγαθὸν βασιλικοῖς πείθεσθαι διατάγμασι καὶ θεῖς μετὰ πάντων προσφέρειν θυσίας. Πρὸς ταῦτα μείζονι πάλιν ὁ ἅγιος χρησάμενος παῤῥησίᾳ· Εἰ καὶ θηρίοις ἀναλώσεις, ἔφη, εἰ καὶ σταυρῷ με κατακρινεῖς, εἰ καὶ αὐτῷ ξίφει καὶ πυρὶ παραδώσεις, ἃ τῆς σῆς ἐξουσίας, ἐστὶν οὐκ ἄν ποτε θυσίαν ἐγὼ δαίμοσι προσενεγκεῖν ἀνάσχοιμι, οὔτε γὰρ θάνατον δέδοικα, οὔτε ποθῶ τὰ παρόντα, ὧν ὑμεῖς κύριοι παρέχειν τὰς ἀπολαύσεις, ἀλλὰ τῶν μελλόντων ἐφίεμαι, καὶ σπουδή μοι πᾶσα πρὸς τὸν ὑπὲρ ἐμοῦ ἀποθανόντα διαβῆναι Χριστόν.

Ϛ'. Ἐφ' οἷς ἐξ ἀγχινοίας δῆθεν ἡ σύγκλητος ἐπιλαβέσθαι βουλομένη τοῦ μάρτυρος· Τί δὲ συνομολογεῖς ἔφησαν, καὶ αὐτὸς, τεθνάναι σου τὸν Θεόν· καὶ πῶς ἂν ὁ θάνατον ὑποστὰς καὶ θάνατον ἐπάρατον οὕτως, ἑτέρους ὠφελῆσαι δυνατὸς ἔσται; οἱ θεοὶ δὲ ἀθάνατοί τέ εἰσι, καὶ παρ' ἡμῶν λέγονται. Ἐκ τούτου λαβόμενος ἀφορμῆς ὁ θεῖος Ἰγνάτιος, ὥστε ὁμοῦ μὲν τοὺς ἐκείνων διαμυκτηρίσαι θεοὺς, ὁμοῦ δὲ καὶ τοῦ τῆς οἰκονομίας μυστηρίου θύραν αὐτοῖς παρανοῖξαι καὶ οὕτως εἰς πίστιν χειραγωγῆσαι τῆς τοῦ Θεοῦ γνώσεως, οὕτω διετίθει τοὺς λόγους· Ὁ ἐμὸς Κύριος καὶ Θεὸς Ἰησοῦς Χριστὸς πρῶτα μὲν ἄνθρωπος ἐγένετο δι' ἡμᾶς, καὶ τὴν σωτηρίαν τὴν ἡμετέραν καὶ σταυρὸν ἐθελούσιον καὶ θάνατον καὶ ταφὴν κατεδέξατο, πλὴν ἀλλ' ἀνέστη πάλιν εἰς τρίτην ἡμέραν, τοῦ ἐχθροῦ τὸ κράτος καταλαβὼν, καὶ εἰς οὐρανοὺς ἀνῆλθεν, ὅθεν ἐλήλυθε, συναναστήσας ἡμᾶς τοῦ τῆς ἁμαρτίας πτώματος, καὶ εἰσαγαγὼν αὖθις εἰς τὸν παράδεισον, οὗ κακῶς ἐξεβλήθημεν, καὶ μείζοσι τῶν προτέρων ἀγαθοῖς δωρησάμενος. Ὅτι δὲ τοιοῦτόν τι τῶν παρ' ὑμῖν νομιζομένων θεῶν τις ἐπεδείξατο, οὐδεὶς τῶν πάντων ἂν ἰσχυρίσαιτο. Ἄνθρωποι γὰρ οὗτοι, κακοῦργοι κομιδῇ καὶ φθορεῖς γενόμενοι, καὶ πολλὰ ἐπὶ βλάβῃ καὶ διαφθορᾷ τῆς ἡμετέρας ζωῆς τε καὶ τῆς καταστάσεως ἐργασάμενοι μικράν τέ τινα δόξαν θεῶν καὶ φαντασίαν τοῖς

sunt omnino utrisque utiles et conducibiles : eas vero, quæ possunt lædere et maxime animam, et vehementiorem ignis gehennam ei ascendere, non is qui dat solum, sed etiam qui petit, et ipse miserrimus. Admirabilis autem, o imperator, et munifica est tua promissio. Quid enim mea refert, a te maximi Jovis constitui pontificem ; et vocari patrem senatus, qui sum Christi sacerdos, et ei quotidie sacrifico sacrificium laudis, et jam totum me ipsum propero immolare, et efficere complantatum ejus mortis similitudini[3]? Imperator vero : Cuinam, inquit, festinas teipsum immolare, eine, qui a Pontio Pilato in crucem fuit actus? Maxime, inquit magnus Ignatius, ei, qui peccatum crucifixit, et ejus inventorem destruxit diabolum, et omnem ejus potentiam per crucem abolevit. Rursus autem imperator: Videris, inquit, mihi, o Ignati, omnino recto carere judicio et sana mente. Non enim tam aperte fuisses deceptus Scripturis Christianorum, sed cognovisses omnino, quantum sit bonum edictis parere imperatoriis, et diis sacrificia offerre cum omnibus. Ad hæc sanctus, utens rursus majore dicendi libertate : Etiamsi bestiis, inquit, consumpseris, etiamsi me cruce condemnaveris, etiamsi gladio et igni tradideris, quæ sunt in tua potestate, nunquam ego patiar dæmonibus offerre sacrificium, neque enim metuo mortem, neque desidero præsentia, quæ est in potestate vestra præbere fruenda, sed sola desidero futura, et ea me omne adhibere studium, ut transeam ad Christum, qui pro me est mortuus.

VI. Propter quæ volens senatus martyrem arguere ignorantiæ: Quid autem tu quoque, dixerunt, confiteris Deum esse mortuum? Quomodo vero qui subiit mortem, eamque exsecrandam, poterit prodesse aliis? Dii autem et sunt immortales, et dicuntur a nobis. Cum ex hoc occasionem divinus accepisset Ignatius, simul et irridendi illorum deos, et eis aperiendi januam mysterii susceptæ carnis dispensationis, et sic deducendi ad fidem Christi cognitionis, sic verba habuit: Meus Dominus et Deus Jesus Christus, primum quidem propter nos homo factus est, et propter nostram salutem crucemque et mortem et sepulturam sua sponte accepit. Cæterum rursus tertio die resurrexit, inimici dejecta et prostrata potentia, et ascendit in cœlos unde venerat, nos simul a lapsu peccati faciens resurgere, et rursus introducens in paradisum, ex quo male fueramus ejecti : et nos donavit bonis majoribus, quam erant ea quæ præcesserant. Quod autem ex iis qui a vobis censentur dii, ullus tale quid fecerit, nullus omnino assuerit. Nam cum isti fuissent homines malefici et exitiosi, et multa fecissent ad damnum et exitium nostræ vitæ et status, pravam autem deorum opinionem et speciem hominibus, qui sunt a ratione paulo alieniores, citra ullam rationem præbuissent, contractis po-

3 Rom. VI, 5.

ea velis deceptionis et scena ablata, deprehensi sunt id quod erant, ut qui turpiter e vita excesserint, et morti immortali traditi sint propter multorum interitum. Jupiter quidem certe, qui est vobis primus et maximus deorum, in Creta est sepultus : Æsculapius vero fulmine et persecussus. Sepulcrum Veneris ostenditur in Papho, et Hercules fuit ab igne consumptus. Nam cum tales sint, imo vero longe deteriores, ea eis obtigerunt, quæ mereatur.

VII. Cum hæc dicta fuissent ab Ignatio, imperator simul cum senatu, timens ne, si esset ejus sermo prolixior, res quidem gentilium labefactarentur, et vel non crederentur, vel haberentur ludibrio, et vera quidem floreret religio, et tolleretur nubes erroris, quæ ei offundit tenebras, eum quidem conjicit in vincula, et in tutissima collocat custodia ipse autem cum tota nocte apud se cogitasset, quonam modo eum ulcisceretur pro meritis, et quonam modo e præsenti eum vita subduceret, statuit eum feris tradere devorandum, ut dilaniatus ab eis sanctus, interiret. Visus est enim imperatori hic mortis modus longe gravissimus. Cum hanc rem ergo senatui mane communicasset, ipsi quoque ejus laudarunt sententiam : sed consuluerunt, ne hæc bestiis objectio fieret Antiochiæ, Ne, aiebant, sic magis desideratum et gloriosum apud suos cives reddamus Ignatum, martyrico fine e vita excedentem. Quamobrem dicebant oportere eum Romam abduci vinctum, et illic tradi bestiis. Sic enim et prolixitate itineris gravius subibit supplicium, et simul Romanis quisnam sit ignorantibus, videbitur esse peremptus, tanquam unus ex maleficis, et nec minima quidem erit ejus apud illos memoria. Cum hoc ergo placuisset, et in ipsum lata fuisset protinus sententia, imperator cum rursus producit e custodia, hoc ejus postremum faciens periculum. Et primum quidem multis bonorum promissis crebro sanctum deliniebat ac demulcebat, deinde etiam rursus minis magis territans. Postquam autem cum vidit nec cedere promissis, neque minas formidare, desperans omnino fore ut mutaretur, ad effectum deduxit ea quæ decreta fuerant : et cum jussisset prioribus graviora ei imponi vincula, tradit eum cohorti militari, et mittit Romam jubens, cum advenisset civibus dies festus, quo totus congregaretur populus, eum tradi bestiis ad communem theatri delectationem, ut convenienter ei, quod dicit D. Paulus [4], ipse quoque fieret spectaculum mundo, angelis et hominibus.

VIII. Martyr ergo cum ultimam illam accepisset sententiam, et Deo magno clamore, ut consentaneum erat, egisset gratias, cum magna voluptate et lætitia sibi imponit vincula. Et imperator quidem

A ἀλογωτέροις τῶν ἀνθρώπων ἀλογώτατα παρασχόμενοι, εἶτα τῶν παραπετασμάτων ὕστερον τῆς ἀπάτης συνελκυσθέντων, ἐξαιρεθείσης τε τῆς σκηνῆς, ὅπερ ἦσαν, ἠλέγχθησαν, αἰσχρῶς τὸν βίον ἀπολιπόντες καὶ θανάτῳ διὰ τὴν τῶν πολλῶν ἀπώλειαν ἀθανάτῳ παραδοθέντες. Ἀμέλει καὶ Ζεὺς μὲν ὁ πρῶτος ὑμῖν καὶ μέγιστος τῶν θεῶν ἐν Κρήτῃ τέθαπται, Ἀσκληπιὸς δὲ κεραυνῷ βέβληται, Ἀφροδίτης ὁ τάφος ἐν Πάφῳ δείκνυται, καὶ ὑπὸ πυρὸς Ἡρακλῆς ἀνάλωται. Τοιούτων γὰρ ἀληθῶς, μᾶλλον δὲ καὶ πολλῷ χειρόνων τά ἐκείνων ἄξια.

Ζ'. Τούτων οὕτω ῥηθέντων Ἰγνατίῳ τῶν λόγων, ὁ βασιλεὺς ἅμα τῇ συγκλήτῳ δείσας, μὴ τῆς διαλέξεως εἰς πλέον ἐκτεινομένης, διασεισθείη μὲν τὰ Ἑλλήνων καὶ πρὸς ἀπιστίαν ἢ καὶ μυκτηρισμὸν B ἀποβλέψειεν, ἀνθήσῃ δὲ τὰ τῆς εὐσεβείας καὶ τὸ ἐπισκοτοῦν αὐτῇ τῆς πλάνης νέφος ἐξαιρεθείη, τοῦτον μὲν ὑπὸ δεσμοῖς καὶ φρουρᾷ καθίστησι τῇ ἀσφαλεστάτῃ. Αὐτὸς δὲ παρ' ὅλην νύκτα διασκεψάμενος, πῶς ἂν αὐτὸν ἀξίως ἀμύναιτο καὶ τίνι τρόπῳ τῆς παρούσης ὑπεξαγάγοι ζωῆς, θηρίοις ἔγνω παραδοῦναι βορὰν καὶ ὑπ' ἐκείνων διασπαραχθέντα τὸν ἅγιον ἀπολέσθαι. Οὗτος γὰρ βαρύτατος θανάτου τρόπος διεσκέφθη τῷ βασιλεῖ. Ἕωθεν οὖν περὶ τούτου καὶ τῇ συγκλήτῳ κοινωσαμένου τὴν μὲν γνώμην καὶ αὐτοὶ ἐπῄνουν, πλὴν οὐκ ἐν Ἀντιοχείᾳ συνεβούλευον δεῖν γενέσθαι τὴν ἔκδοσιν, Ἵνα μὴ ποθεινὸν, φησὶν, οὕτω καὶ μᾶλλον ἐπίδοξον παρὰ τοῖς οἰκείοις πολίταις τὸν Ἰγνάτιον ἐργασώμεθα, μαρτυρικῷ δῆθεν τέλει τὴν ζωὴν καταλύοντα. Ὥστε προσήκειν, ἔφασκον, εἰς Ῥώμην αὐτὸν ἐπαχθέντα δεσμώτην ἐκεῖ C τοῖς θηρσὶν ἐκδοθῆναι. Οὕτω γὰρ τῷ μήκει τε τῆς πορείας χαλεπωτέραν ὑφέξει τὴν κόλασιν καὶ ἅμα Ῥωμαίοις ἀγνοούμενος ὅστις εἴη, καθάπερ εἷς τῶν κακούργων, ἀναιρεθῆναι δόξειε, καὶ οὐδὲ βραχείας τὸ μετὰ ταῦτα μνήμης παρ' ἐκείνοις ἀξιωθήσεται. Τούτου τοιγαροῦν ἀρέσαν καὶ τῆς κατ' αὐτοῦ ψήφου παραυτίκα ἐξενεχθείσης, παρίστησιν ἀπὸ τῆς φυλακῆς αὐτὸν καὶ πάλιν ὁ βασιλεὺς, τελευταίαν αὐτῷ ταύτην τὴν πεῖραν προσάγων. Καὶ πρῶτα μὲν πολὺς ἐν ταῖς τῶν ἀγαθῶν ἐπαγγελίαις τὸν ἀθλητὴν ὑποσαίνων καὶ καταψῶν· ἔπειτα δὲ καὶ πλεῖον πάλιν ταῖς ἀπειλαῖς δεδιττόμενος. Ὡς δὲ μήτε πρὸς τὰς ὑποσχέσεις ἐνδιδόντα εἶδε, μήτε πρὸς τὰς ἀποπτήσσοντα, παντάπασι τὴν μεταβολὴν ἀπογνοὺς, εἰς ἔργον τὰ ἐψηφισμένα ἐξῆγε καὶ βαρύτερα τῶν προ- D τέρων αὐτῷ δεσμὰ περιθεῖναι κελεύσας, τάγματι στρατιωτικῷ παραδίδωσι, καὶ εἰς Ῥώμην ἐκπέμπει ἐντειλάμενος, ἡνίκα τοῖς πολίταις ἡμέρα πανηγύρεως ἐπιστῇ, θηρίοις αὐτὸν εἰς τέρψιν τοῦ θεάτρου κοινὴν ἐκδοθῆναι, ὥστε κατὰ τὸν θεῖον Παῦλον καὶ αὐτὸν θέατρον γενέσθαι τῷ κόσμῳ, καὶ ἀγγέλοις, καὶ ἀνθρώποις.

Η'. Ὁ μάρτυς τοίνυν τὴν τελευταίαν ἀπόφασιν ἐκείνην λαβὼν, καὶ τῷ Θεῷ μεγάλῃ βοῇ τὰ εἰκότα εὐχαριστήσας μεθ' ἡδονῆς ὅσης καὶ φαιδρότητος τὰ δεσμὰ περιτίθεται. Καὶ ὁ μὲν βασιλεὺς ἐξῄει κατὰ

[4] I Cor. IV.

Περσῶν μετὰ τῆς ὑπ' αὐτοῦ στρατιᾶς. Ὁ Θεοφόρος δὲ τῇ Ἐκκλησίᾳ πρότερον ἐπευξάμενος καὶ τὴν ποίμνην σὺν δάκρυσι παραθέμενος τῷ Θεῷ, δέσμιος ἠκολούθει τοῖς στρατιώταις. Εἶτ' οὕτως τὴν Σελεύκειαν οὐ διαμέλλων, οὐκ ἀθυμῶν, οὐ πάσχειν τι σκυθρωπὸν ὅλως ὑποφαινόμενος, ἀλλὰ ποσὶν εὐπροθύμοις καταλαβὼν, εἰς πλοῖόν τε ὑπὸ τῶν στρατιωτῶν ἐμβάλλεται, καὶ σὺν αὐτοῖς εἰς Σμύρναν καταίρει. Ἐνταῦθα Πολύκαρπον ἀσπάζεται, τὸν θεῖον ἀποστόλον, ὃν προεστάναι τῆς κατὰ Σμύρναν Ἐκκλησίας συμφοιτητὴν Ἰγνατίῳ γενόμενον ἀνωτέρω φθάσας ὁ λόγος ἐδήλωσε. Τοῦτον οὖν ἀσπάζεται, σεμνυνόμενος ἐπὶ τοῖς δεσμοῖς καὶ χαίρων. Τί γὰρ εἶχεν αὐτὸν πλέον σεμνῦναι ἢ τὸ ὑπὲρ οὕτως ἀγαπήσαντος Δεσπότου πάσχοντα καθορᾶσθαι; Εἶτα καὶ τοῖς λοιποῖς ἐπισκόποις, πρεσβυτέροις τε καὶ διακόνοις, τοὺς προσήκοντας ἀσπασμοὺς ἀποδοὺς, ἐπεὶ πολλοὶ συνέθεον ἀπὸ τῶν τῆς Ἀσίας Ἐκκλησιῶν καὶ τῶν πόλεων, καὶ ὄψιν ἐκείνην ἰδεῖν καὶ καλοῦ νάματος ἀπολαῦσαι ῥέοντος τῆς ἐκείνου γλώττης, αὐτὸς τὰ προσήκοντα παραινῶν εὔχεσθαι ὑπὲρ αὐτοῦ πάντας ἠξίου, ὥστε διὰ τῶν θηρίων θᾶττον ἀναλῦσαι πρὸς τὸν ποθούμενον, καὶ τῷ ἐκείνου θείου προσώπῳ ἐμφανισθῆναι. Ὁρῶν δὲ καὶ λίαν αὐτοὺς περιπαθῶς ἔχοντας καὶ οἱονεὶ τῆς ἐκείνου ψυχῆς ἐκκρεμαμένους, καὶ ζημίαν οὐ φορητὴν ἡγουμένους τὸν χωρισμὸν αὐτοῦ, καὶ τὸν θάνατον, δείσας τε καὶ περὶ τῶν ἐν τῇ Ῥώμῃ πιστῶν, μὴ καὶ αὐτοὶ παραπλησίως διατεθέντες οὐκ ἀνέξονται ἰδεῖν αὐτὸν ἐκδιδόμενον τοῖς θηρίοις, ἀλλὰ χεῖρας ἀντιπάλους τοῖς ἐπιτετραμμένοις τὴν ἔκδοσιν ἐμβάλωσιν καὶ τὴν διανοιγεῖσαν αὐτῷ τοῦ μαρτυρίου κλείσωσι θύραν, ἔγνω πρὸς αὐτοὺς ἐπιστεῖλαι, ὥστε καὶ τούτους περὶ αὐτοῦ εὔχεσθαι, μὴ ἐμποδισθῆναι τὸν δρόμον αὐτῷ τῆς ἀθλήσεως, ἀλλὰ διὰ τῶν θηρίων, ὥσπερ εἴρηται, θᾶττον πρὸς τὸν ἐρώμενον ἀναλῦσαι Δεσπότην. Ἄξιον δὲ καὶ αὐτῆς ἐκείνης ἐπιμνησθῆναι ἐπιστολῆς·

egreditur contra Persas cum suo exercitu: divinus autem Ignatius, cum Ecclesiæ prius bene esset precatus, et gregem suum Deo commendasset cum lacrymis, vinctus sequebatur milites (4). Deinde cum Seleuciam non cunctans, non flens, non se aliquid grave omnino pati præ se ferens, sed alacribus venisset pedibus, a militibus in navem immittitur, et cum eis appellit Smyrnam. Hic salutat Polycarpum divinum apostolum, quem Smyrnensi (5) præfuisse Ecclesiæ, cum Ignatii fuisset condiscipulus, superius diximus. Eum ergo salutat, glorians et magnifice sibi placens lætusque de vinculis. Quid enim ei poterat esse majori ornamento, quam aspici pati pro Domino, qui eum sic dilexerat? Deinde cum etiam reliquis episcopis et presbyteris et diaconis reddidisset eas, quas par erat, salutationes, quoniam multi concurrebant ex Ecclesiis Asiæ et civitatibus ad videndum illud spectaculum, et ut pulchro fruerentur fluento quod fluebat ex illius lingua, ipse ea, quæ par erat, suadens, rogabat omnes, ut pro ipso orarent, ut per feras cito resolveretur ad eum, quem desiderabat, et appareret ante illius faciem. Cum videret autem eos valde perturbatos, et quodammodo pendentes ab illius anima, et non ferendum damnum existimantes separationem ejus et mortem, de iis, qui sunt Romæ, timens, ne ipsi quoque similiter affecti, non sustinerent eum videre tradi bestiis, sed manus eis afferrent, quibus mandatum erat ut eum traderent, et ei clauderent apertam januam martyrii, statuit ad eos mittere, ut ii quoque pro eo orarent, ne cursus suæ exercitationis ei impediretur, sed per feras, sicut dictum est, cito resolveretur ad dilectum Dominum. Operæ pretium est autem illius quoque meminisse epistolæ, quæ sic habet ad verbum:

Θ'. « Ἰγνάτιος ὁ καὶ Θεοφόρος, ἐπίσκοπος τῆς ἐν Ἀντιοχείᾳ ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, τῇ ἠλεημένῃ ἐν μεγαλειότητι Πατρὸς ὑψίστου καὶ Ἰησοῦ Χριστοῦ τοῦ μόνου Υἱοῦ αὐτοῦ Ἐκκλησίᾳ ἠγαπημένῃ καὶ πεφωτισμένῃ ἐν θελήματι τοῦ θελήσαντος τὰ πάντα, ἅ ἐστι κατὰ ἀγάπην Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἣ καὶ προκάθηται ἐν τόπου χωρίου Ῥωμαίων, ἣν καὶ ἀσπάζομαι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ κατὰ σάρκα καὶ πνεῦμα ἡνωμένην πάσῃ ἐντολῇ αὐτοῦ πεπληρωμένην χάριτος Θεοῦ ἐν Χριστῷ Ἰησοῦ τῷ Θεῷ χαίρειν. Ἐπεὶ εὐξάμενος Θεῷ ἐπέτυχον ἰδεῖν ὑμῶν τὰ ἀξιοθέατα πρόσωπα, δεδεμένος ἐν Χριστῷ Ἰησοῦ ἐλπίζω ὑμᾶς ἀσπάσασθαι, ἐάνπερ θέλημα τοῦ Θεοῦ ᾖ τοῦ ἀξιωθῆναί με, καὶ εἰς τέλος οὕτως εἶναι. Ἡ μὲν γὰρ εὐχὴ εὐοίκονόμητός ἐστι, ἐάνπερ τῆς χάριτος ἐπιτύχω τὸν κλῆρον μου ἀνεμποδίστως ἀπολαβεῖν. Φοβοῦμαι γὰρ τὴν ὑμῶν ἀγάπην, μὴ αὐτή με ἀδικήσῃ. Ὑμῖν γὰρ εὐχερές ἐστι ποιῆσαι ὃ θέλετε,

IX. « Ignatius, qui et Deifer, episcopus sanctæ Dei, quæ est Antiochiæ, Ecclesiæ, quæ misericordiam est consecuta in majestate Patris altissimi et Jesu Christi solius ejus Filii, dilectæ et illuminatæ in voluntate ejus, qui voluit omnia, quæ sunt secundum charitatem Jesu Christi Dei nostri, qui etiam præsidet in loco regionis Romanorum: quam saluto in nomine Jesu Christi, secundum carnem et spiritum unitam omni ejus mandato, impletam gratia Dei ad lætandum in Christo Jesu Deo. Cum Deum precatus, obtinuerim ut viderem spectabiles vestros vultus, vinctus in Christo Jesu spero me vos salutaturum, si Dei fuerit voluntas, ut dignus habear, qui sic sim usque ad finem. Meum enim rite succedit votum, si gratiam fuero consecutus, ut sortem meam accipiam sine impedimento. Timeo enim vestram charitatem, ne ea me afficiat injuria. Vobis enim facile est facere,

(4) Anno 109 Romam captivus mittitur. Vide Baronium tom. II.

(5) Smyrnam mense Augusto venit, ut notat Baronius.

quod vultis: mihi autem difficile est Deum assequi, si vos mihi peperceritis. Non enim volo vos hominibus placere, sed Deo, sicut etiam placetis. Non enim ego unquam habebo aliud tempus Deum assequendi, neque vos. Si silueritis a me, ego Dei efficiar; sin vero carnem meam amaveritis, rursus ero currens. Potius autem mihi præbete, ut Deo immoler: est enim ara parata, ut effecti chorus in charitate, canatis Patri in Christo Jesu, quod episcopum Syriæ dignatus sit Dominus, ut inveniretur in Occidente, eum accersens ab Oriente. Pulchrum est a mundo occidere ad Deum, ut ad ipsum exoriamur. Nulli unquam invidistis; alios docuistis.

X. Ego autem volo illa quoque esse firma ac stabilia, quæ docentes præcipitis. Solum rogate, ut dentur mihi vires a Domino, ut non solum dicar Christianus, sed etiam inveniar et dici possim, et tunc videbor esse fidelis, quando mundo non apparebo Nihil enim quod apparet est æternum. Quæ enim cernuntur, sunt ad tempus: quæ autem non videntur, æterna. Ego scribo Ecclesiis, et mando omnibus, quod ego lubens pro Christo morior, si vos non prohibueritis. Rogo vos, ne sit intempestiva vestra in me benevolentia: sinite me devorari a feris, per quas licet Deum consequi. Sum Dei frumentum, et molor per dentes ferarum, ut Christi inveniar mundus panis. Feris potius blandimini, ut fiant mihi sepulcrum, et nihil relinquant mei corporis, ne sopitus fiam gravis. Tunc ero verus Christi discipulus, quando nec corpus quidem meum adhuc videbit mundus. Pro me Christo supplicate, ut per hæc instrumenta munda inveniar hostia. Non sicut Petrus et Paulus vobis præcipio. Illi Apostoli, ego condemnatus: illi liberi, ego autem servus usque in hodiernum diem: sed si volueritis, ego liberatus Jesu Christi, et exsurgam in ipso liber.

XI. Nunc disco vinctus nihil mundanum cupere aut inane, a Syria usque ad Romam ipsam pugnans cum bestiis, terra et mari, noctu et diu vinctus decem leopardis, qui sunt cohors militaris: qui etiam si beneficio afficiantur, fiunt deteriores. In eorum vero injuriis magis disco. Utinam fruar bestiis mihi paratis, et opto, ut eæ mihi paratæ inveniantur: quibus etiam blandiar, ut me protinus devorent, non sicut quosdam timore affectæ non tetigerunt. Quod si eæ etiam invitæ noluerint, at ego vi adigam. Ignoscite mihi, scio quid mea intersit. Nunc incipio esse discipulus, ut Jesum Christum assequar. Ignis et crux, bestiarum irruptiones, dissectiones, divisiones, amputatio membrorum, trituræ totius corporis, et diaboli tormenta super me veniant, dummodo Jesum Christum assequar. Nihil mihi proderunt mundi jucunditates, neque regna hujus sæculi. Melius est mihi mori in Christo Jesu, quam regnum obtinere usque ad fines terræ. Quid enim prodest homini, si totum

ἐμοὶ δὲ δύσκολόν ἐστι τοῦ Θεοῦ ἐπιτυχεῖν, ἐάνπερ ὑμεῖς φείσησθέ μου. Οὐ γὰρ θέλω ὑμᾶς ἀνθρωπαρεσκῆσαι, ἀλλὰ Θεῷ ἀρέσαι, ὥσπερ δὴ καὶ ἀρέσκετε· οὐ γὰρ ἐγὼ ἄλλον ἕξω καιρόν ποτε Θεοῦ ἐπιτυχεῖν, οὔτε ὑμεῖς. Ἐὰν σιωπήσητε ἀπ' ἐμοῦ, ἐγὼ γενήσομαι Θεοῦ, ἐὰν δὲ ἐρασθῆτε τῆς σαρκός μου, πάλιν ἔσομαι τρέχων. Πλέον δέ μοι παράσχεσθε σπονδισθῆναι Θεῷ, ὡς ἔτι θυσιαστήριον ἕτοιμόν ἐστιν, ἵνα ἐν ἀγάπῃ χορὸς γενόμενοι ᾄσητε τῷ Πατρὶ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὸν ἐπίσκοπον Συρίας ὁ Θεὸς κατηξίωσεν εὑρεθῆναι εἰς δύσιν ἀπὸ ἀνατολῆς τοῦτον μεταπεμψάμενος. Καλὸν τὸ δῦναι ἀπὸ κόσμου πρὸς Θεὸν, ἵνα εἰς αὐτὸν ἀνατείλωμεν. Οὐδέποτε ἐβασκήνατε οὐδενὶ, ἄλλους ἐδιδάξατε.

Ι'. Ἐγὼ δὲ θέλω, ἵνα κἀκεῖνα βέβαια ᾖ, ἃ μαθητεύοντες τέλλεσθε. Μόνον μοι δύναμιν αἰτήσασθε δοθῆναι παρὰ Θεοῦ, ἵνα μὴ μόνον λέγωμαι Χριστιανὸς, ἀλλὰ καὶ εὑρεθῶ καὶ λέγεσθαι δύνωμαι. Καὶ τότε πιστὸς εἶναι ὀφθήσομαι, ὅτε κόσμῳ μὴ φαίνωμαι· οὐδὲν γὰρ φαινόμενον αἰώνιον, ἐπεὶ καὶ τὰ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια. Ἐγὼ γράφω ταῖς Ἐκκλησίαις καὶ ἐντέλλομαι πᾶσιν, ὅτι ἐγὼ ἑκὼν ὑπὲρ Θεοῦ ἀποθνήσκω, ἐάνπερ ὑμεῖς μὴ κωλύσητε· παρακαλῶ ὑμᾶς, μὴ εὔνοια ἄκαιρος γένοισθέ μου· ἄφετέ με θηρίων εἶναι βορὰν, δι' ὧν ἔνεστι Θεοῦ ἐπιτυχεῖν. Σῖτος εἰμὶ Θεοῦ, καὶ δι' ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ τοῦ Χριστοῦ· μᾶλλον δὲ κολακεύσατε τὰ θηρία, ἵνα μοι τάφος γένωνται καὶ μηδὲν καταλίπωσι τοῦ σώματός μου, ἵνα μὴ κοιμηθεὶς βαρὺς γένωμαι. Τότε ἔσομαι μαθητὴς ἀληθὴς τοῦ Χριστοῦ, ὅτε οὐδὲ τὸ σῶμά μου ἔτι ὁ κόσμος ὄψεται. Λιτανεύσατε τῷ Χριστῷ ὑπὲρ ἐμοῦ, ἵνα διὰ τῶν ὀργάνων τούτων θυσία καθαρὰ εὑρεθῶ. Οὐχ ὡς Πέτρος καὶ Παῦλος διατάσσομαι· ἐκεῖνοι ἀπόστολοι, ἐγὼ κατάκριτος· ἐκεῖνοι ἐλεύθεροι, ἐγὼ δὲ μέχρι νῦν δοῦλος. Ἀλλ' ἐὰν θελήσητε, ἀπελεύθερος Ἰησοῦ Χριστοῦ καὶ ἀναστήσομαι ἐν αὐτῷ ἐλεύθερος.

ΙΑ'. Νῦν μανθάνω δεδεμένος, μηδὲν ἐπιθυμεῖν κοσμικὸν ἢ μάταιον, ἀπὸ Συρίας μέχρι τῆς Ῥώμης αὐτῆς θηριομαχῶν, ἀπὸ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας δεδεσμένος δέκα λεοπάρδοις, ὅ ἐστι στρατιωτικὸν τάγμα, οἳ καὶ εὐεργετούμενοι χείρους γίνονται. Ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι· ὀναίμην τῶν θηρίων τῶν ἐμοὶ ἑτοιμασμένων καὶ εὔχομαι ἕτοιμα μοι εὑρεθῆναι· ἃ καὶ κολακεύσω, συντόμως με καταφαγεῖν, οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο· κἂν αὐτὰ δὲ ἄκοντα μὴ θελήσειεν, ἐγὼ δὲ παραβιάσομαι. Συγγνώμην ἔχετέ μοι· τί μοι συμφέρει, ἐγὼ γινώσκω. Νῦν ἄρχομαι μαθητὴς εἶναι, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. Πῦρ καὶ σταυρὸς, θηρίων τε συστάσεις, ἀνατομαὶ, διαιρέσεις, σκορπισμοὶ ὀστέων, συγκοπὴ μελῶν, ἀλησμοὶ ὅλου τοῦ σώματος, ἢ κολάσεις τοῦ διαβόλου ἐπ' ἐμὲ ἐρχέσθωσαν, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. Οὐδέν με ὠφελήσει τὰ τοῦ κόσμου τερπνὰ οὐδὲ αἱ βασιλεῖαι τοῦ αἰῶνος τούτου. Καλόν μοι ἀποθανεῖν ἐν Χριστῷ Ἰησοῦ, ἢ βασιλεύειν τῶν περάτων·

τῆς γῆς. Τί γὰρ ὠφελεῖται ἄνθρωπος, ἐὰν κερδήσῃ A τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ, Ἐκεῖνον ζητῶ τὸν ὑπὲρ ἡμῶν ἀποθανόντα.

ΙΒ'. Σύγγνωτέ μοι, ἀδελφοί, μὴ ἐμποδίσητέ μοι ζῆσαι, μηδὲ θελήσητέ με ἀποθανεῖν· ἄφετέ με καθαρὸν φῶς λαβεῖν· ἐκεῖ γὰρ παραγενόμενος ἄνθρωπος Θεοῦ ἔσομαι. Ἐπιτρέψατέ μοι μιμητὴν εἶναι τοῦ πάθους τοῦ Χριστοῦ· εἴ τις αὐτὸν ἐν ἑαυτῷ ἔχει, νοησάτω ὃ θέλω καὶ συμπαθησάτω μοι, εἰδὼς τὰ συνέχοντά με. Ὁ ἄρχων τοῦ αἰῶνος τούτου διαρπάσαι με βούλεται, καὶ τὴν εἰς Θεόν μου γνώμην διαφθαρῆναι. Μηδεὶς οὖν τῶν παρόντων βοηθείτω αὐτῷ· μᾶλλον ἐμοὶ γένεσθε, τοῦτ' ἔστι τοῦ Θεοῦ. Μὴ λαλεῖτε Ἰησοῦν Χριστὸν, κόσμου δὲ ἐπιθυμεῖτε· βασκανία ἐν ὑμῖν μὴ κατοικείτω· μηδ' ἂν ἐγὼ παρὼν παρακαλῶ ὑμᾶς, πείσθητέ μοι· τούτοις δὲ μᾶλλον πείσθητε, B οἷς ἐπὼ γράφω ὑμῖν· ἐξ ὧν γὰρ γράφω ὑμῖν, ἐρῶ νοῦ ἀποθανεῖν. Ὁ ἐμὸς ἔρως ἐσταύρωται καὶ οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλοῦλον, ὕδωρ δὲ μᾶλλον ζῶν καὶ λαλοῦν ἐν ἐμοὶ, ἔσωθέν μοι λέγων· Δεῦρο πρὸς τὸν Πατέρα. Οὐχ ἥδομαι τροφῇ φθορᾶς οὐδὲ ἡδοναῖς ταῖς τοῦ βίου τούτου, ἄρτον Θεοῦ θέλω, ἄρτον οὐράνιον, ἄρτον ζωῆς, ὅ ἐστι σὰρξ Ἰησοῦ Χριστοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ γενομένου ἐν ὑστέρῳ ἐκ σπέρματος Δαυῒδ καὶ Ἀβραάμ, καὶ πόμα Θεοῦ θέλω τὸ αἷμα αὐτοῦ, ὅ ἐστιν ἀγάπη ἄφθορτος καὶ ἀέναος ζωή. Οὐκ ἔτι θέλω κατὰ ἀνθρώπους ζῆν· τοῦτο δὲ ἔσται, ἐὰν ὑμεῖ θελήσητε. Θελήσατε οὖν, ἵνα καὶ ὑμεῖς θεληθῆτε· δι' ὀλίγων γραμμάτων αἰτοῦμαι ὑμᾶς, πιστεύσατέ μοι. Ἰησοῦς δὲ Χριστὸς ὑμῖν ταῦτα φανερώσει τὸ ἀψευδὲς στόμα, ὅτι ἀληθῆ λέγω. Αἰτήσασθε περί ἐμοῦ, ἵνα ἐπιτυχω. Οὐ κατὰ σάρκα ὑμῖν C ἔγραψα, ἀλλὰ κατὰ γνωμην Θεου.

ΙΓ'. Ἐὰν πάθω, μνημονεύετε ἐν τῇ προσευχῇ ὑμῶν τῆς ἐν Συρίᾳ Ἐκκλησίας, ἥτις ἀντὶ ἐμοῦ ποιμένι τῷ Θεῷ κέχρηται· μόνος αὐτὴν Ἰησοῦς Χριστὸς ἐπισκοπήσει καὶ ἡ ὑμῶν ἀγάπη. Ἀσπάζεται ὑμᾶς τὸ ἐμὸν πνεῦμα καὶ ἡ ἀγάπη τῶν Ἐκκλησιῶν τῶν δεξαμένων με εἰς ὄνομα Ἰησοῦ Χριστοῦ οὐχ ὡς παροδεύοντα· καὶ γὰρ μὴ προσήκουσαί μοι τῇ ὁδῷ τῇ κατὰ σάρκα κατὰ πόλιν με προσῆγον· γραφω δὲ ὑμῖν ταῦτα ἀπὸ Σμύρνης δι' Ἐφεσίων τῶν ἀξιομακαριστων. Ἔστι δὲ σὺν ἄλλοις πολλοῖς ἅμα ἐμοὶ καὶ Κρόκος, τὸ ποθητὸν ὄνομα τῶν συνελθόντων μοι ἀπὸ Συρίας εἰς δόξαν Θεοῦ. Ἔγραψα ὑμῖν ταῦτα τῇ πρὸ ἐννεα Καλανδῶν Σεπτεμβρίου. Ἔῤῥωσθε εἰς D τέλος, ἀγαπητοὶ ἐν ὑπομονῇ Ἰησοῦ Χριστοῦ. Ἀμήν.

ΙΔ'. Ἀλλὰ ταῦτα μὲν τὰ τῆς ἐπιστολῆς. Αὐτὸς μετὰ βραχὺ ἀπὸ Σμύρνης, ἀπὸ τῶν στρατιωτῶν ἀναχθεὶς καὶ προσσχὼν τῇ Τρωάδι καὶ Νεαπόλει παρῄει διὰ Φιλίππων καὶ Μακεδονίας πεζῇ, τὰς παρὰ τὴν ὁδὸν Ἐκκλησιας ἐπισκοπῶν καὶ διδάσκων ἐν αὐταῖς, παρακαλῶν, διαλεγόμενος τοὺς ἀκεραιοτέρους τῶν ἀδελφῶν ἀσφαλιζόμενος καὶ πάντας ἐγρηγορέναι καὶ νήφειν παρασκευάζων, Φθάσας δὲ τὴν ἐν Ἐπιδάμνῳ Ἤπειρον καὶ τὸ Ἀδριατικόν τε καὶ Τυῤῥηνικὸν πέλαγος διαπλεύσας, εἰς τὰς, ἐν τῇ Ῥώμῃ Ποτιόλους

mundum lucretur, et suæ animæ patiatur detrimentum? Illum quæro, qui pro nobis est mortuus.

XII. Ignoscite mihi, fratres: ne sitis mihi impedimento, quominus vivam, neque me velitis mori. Sinite me puram lucem accipere. Cum illuc enim venero, ero homo Dei. Permittite mihi, ut sim imitator passionis Christi. Si quis ipsum in seipso habet, intelligat quod volo: et mihi moveatur commiseratione, cum sciat quæ me constringant. Princeps hujus sæculi me vult diripere, et corrumpere meam in Deum sententiam. Nemo ergo ex iis qui adsunt, ei opem ferat. Estote mei potius, hoc est, Dei. Ne loquamini Christum Jesum, mundum vero desideretis. Ne habitet inter vos invidia. Nec si ego quidem præsens vos rogem, parete mihi: iis autem parete potius, quæ ego ad vos scribo. Ex iis enim quæ scribo ad vos, mori cupio. Meus amor est cruci affixus, et non est in me ignis amans mundanæ materiæ: aqua autem potius viva et in me loquens, quæ intus mihi dicit: Veni ad Patrem. Non delector nutrimento, corruptionis, neque voluptatibus hujus vitæ. Panem Dei volo, panem cœlestem, panem vitæ, qui est caro Jesu Christi filii Dei, qui postea natus est ex semine David et Abraham: et potum Dei volo ejus sanguinem, qui est charitas incorrupta, et vita perennis. Non amplius volo vivere sicut homines, hoc autem erit, si vos volueritis. Velitis ergo, ut vos quoque Deus velit. Brevibus litteris peto a vobis: mihi credite. Jesus vero Christus cobis aperiet, qui est os non mendax, quod vera dico petendo ut consequar. Non secundum carnem ad vos scribo, sed secundum Dei sententiam.

XIII. Si passus fuero, mementote in oratione vestra Ecclesiæ Syriæ, quæ pro me pastore Deo vivitur. Solus ipsam Jesus Christus visitabit, ejusque curam geret et vestra charitas. Salutat vos meus spiritus, et charitas Ecclesiarum, quæ me susceperunt in nomine Jesu Christi, non tanquam transeuntem. Etenim quæ ad me non attinebant in via, quæ est secundum carnem, me deduxerunt in civitatem. Scribo autem hæc ad vos e Smyrna per Ephesios, qui digni sunt qui beati judicentur. Est vero mecum cum multis aliis Crocus quoque, nomen desiderabile eorum qui mecum convenerunt e Syria ad gloriam Dei. Hæc ad vos scripsi nono Kal. Septemb. Valete perpetuo, fratres, in tolerantia Jesu Christi. Amen.

XIV. Sed est hæc quidem epistola. Ipse autem paulo post e Smyrna deductus a militibus: et cum appulisset Troadam et Neapolim, transiit pede per Philippos et Macedoniam, eas quæ sunt in via invisens Ecclesias, et in eis docens; exhortans, disserens, fratres qui erant paulo simpliciores et imbecilliores, confirmans, et efficiens ut omnes vigilarent et essent sobrii. Cum vero transisset Epirum, et mare transiisset Adriaticum et Tyrhenum, appellit Puteolos. Hospitio autem exceptus simul

cum militibus ab iis, qui illic erant, fidelibus, cum eos quoque valere jussisset in Domino, venit Romam, et sistitur ante præfectum Urbis. Cum is ergo Theophorum vidisset, et litteras accepisset imperatorias, dies autem advenisset opportunus, quando erat dies festus et celebris Romanorum, ducit eum in medium theatrum, sicut jubebat improbum edictum imperatoris.

XV. Cum ergo universa civitas sederet in theatro, cum ardenti spiritu et oculis jam spectaculum amantibus, utpote quod jam fama ubique annuntiasset, Syriæ episcopum cum feris esse pugnaturum; conversus ille ad populum, cum quodam generoso et inflexibili animo, ut qui gloriaretur et sibi placeret propter eam, quæ pro Christo suscipi cernebatur, ignominiam: Viri, inquit, Romani, et præsentis hujus certaminis spectatores: non hæc mihi fiunt, ut luam pœnas alicujus maleficii, aut sceleratæ alicujus actionis, sed ut Deum assequar: cujus quidem teneor desiderio et quem cupio insatiabiliter. Sum enim ejus frumentum et molor per dentes bestiarum, ut fiam ei purus panis. Hæc dixit, et dimissi leones eum statim dilacerarunt et devorarunt, a solis asperioribus illius ossibus abstinentes, ejus revera impletis votis, ut bestiæ essent ejus sepulcrum et nihil reliquum esset ejus corporis: utpote quod Deus pluris faceret famuli preces et amorem ferre usque ad finem, quam efficere, ut non tangeretur a leonibus, ut suo nomini tribueret gloriam.

XVI. Postquam autem hæc evenerunt et finem acceperunt, qui Romæ erant fideles, ad quos adhuc vivens, divinus scripserat Ignatius, postquam dimissum fuerat theathrum, convenientes, cum ossa, id cupientibus manibus, sustulissent, et honorifice ac reverenter composuissent, ea deposuerunt in loco insigni extra Urbem, vicesimo mensis Decembris. Hæc postea deportata sunt in patriam martyris Antiochiam: et quæ intercedunt civitates, duplicem accepere benedictionem, et prius, quando Martyr vinctus ducebatur Romam ex Antiochia, et nunc, quando cum præclaris tropæis illinc referebatur, tanquam apes favum, illum circumvolantes.

XVII. Atque dicitur quidem, quod post martyricam ejus consummationem, lugentibus illius privationem iis, qui Romæ erant fideles, et nullam accipientibus doloris consolationem, et vacantibus sepulcralibus hymnis et vigiliis, ipse in somnis apparens, et eos quasi amplectens, qui scilicet se ipsos præbuerunt dignos illius consuetudine, luctum eis effecit facilem et leniorem, et doloris sedavit vehementiam. Alii rursus dixerunt, se vidisse eum sudore diffluentem, tanquam qui nuper respirasset a laboribus decertationis, et precantem salutem civitati et omnibus fidelibus.

πεσὼν ἅμα τῷ συνδεδραμηκότι πλήθει πρὸς τοὺς πόδας αὐτοῦ, Μέγας ὁ Θεὸς, ἔκραζε, Κορνηλίου, ὃς ἐῤῥύσατο τὴν ἐμὴν σύζυγον Εὐανθίαν καὶ τὸν υἱὸν Δημήτριον ἀπὸ τῆς καταστροφῆς τοῦ ναοῦ· καὶ ἅμα ἐδεῖτο τοῦ ἁγίου· Δοῦλε τοῦ Θεοῦ τοῦ ὑψίστου, λέγων, πιστεύομεν εἰς τὸν Ἐσταυρωμένον, ὃν σὺ κηρύσσεις, καὶ αὐτὸς, καὶ πάντες οἱ μετ' ἐμοῦ, ἐὰν ἐλθὼν τὴν γυναῖκα ζῶσαν καὶ τὸν υἱὸν ἐκεῖθεν ἐξαγάγῃς. Ὁ δέ· Λάβετε, ἔφη, πρότερον τὴν ἐν Χριστῷ σφραγῖδα, καὶ τηνικαῦτα ἐλεύσομαι μεθ' ὑμῶν, καὶ ἡ ἐπιθυμία τῆς καρδίας ὑμῶν δοθήσεται ὑμῖν. Εὐθὺς οὖν Δημήτριος μετὰ τῶν σὺν αὐτῷ πάντων· Μέγας ὁ Θεὸς τῶν Χριστιανῶν, καὶ πάλιν εἰπόντες, τὸ βάπτισμα δέχονται.

X. Deinde cum eos assumpsisset Cornelius, stetit super habitaculum, et ad orientem oculos tollens in cœlum, inquit : Domine Deus virtutum, qui respicis super terram, et facis eam tremere; qui aspectu tuo montes liquefacis, et visitatione tua exsiccas abyssos ; ipse es, Domine : ipse exaudi gemitum vinctorum, et educ e terra Evanthiam, et ne avertas faciem tuam a filio ejus : sed attende animæ eorum, et libera eos propter nomen tuum. Hæc cum precatus esset Cornelius, et qui circumstabant dixissent, Amen, continuo terra divisa, incolumem matrem emittit cum filio. Et illico clamarunt cum circumstantibus: Magnus es, Deus Christianorum, qui nos a deceptione, et ab hac acerba morte liberasti per tuum famulum Cornelium, et tuam potentiam et brachium nobis notum reddidisti. Simulque ducenti et septem Christo accesserunt. Exhinc autem ad Cornelium sedentem in quodam loco, qui vocatur Stadium, et docentem eos qui accedebant, Demetrius et Evanthia ventitabant cum filio. Sed et reliqui quoque gentiles non jam amplius gentiles, quippe spinis incredulitatis a corde suo expurgatis, ut terra bona, susceperunt semen pietatis, et baptismo fuerunt obsignati.

Ι'. Εἶτα παραλαβὼν αὐτοὺς ὁ Κορνήλιος, ἔστη ἐπὶ τῷ καταλύματι, καὶ τοὺς ὀφθαλμοὺς κατὰ ἀνατολὰς εἰς τὸν οὐρανὸν ἄρας· Κύριε, ὁ Θεὸς τῶν δυνάμεων, εἶπεν, ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ τῷ βλέμματι σου τήκων ὄρη καὶ τῇ ἐπισκοπῇ σου ξηραίνων ἀβύσσους, αὐτὸς εἶ Κύριος καὶ αὐτὸς εἰσάκουσον τοῦ στεναγμοῦ τῶν πεπεδημένων, καὶ ἐξάγαγε Εὐανθίαν ἀπὸ τῆς γῆς, καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδὸς αὐτῆς, ἀλλὰ πρόσχες τῇ ψυχῇ αὐτῶν, καὶ λύτρωσαι αὐτοὺς ἕνεκεν τοῦ ὀνόματός σου. Ταῦτα τοῦ ἱεροῦ Κορνηλίου εὐξαμένου καὶ τῶν περιεστώτων τὸ Ἀμὴν ἐπιφωνησάντων, διασχοῦσα ἡ γῆ εὐθέως, ὑγιᾶ τὴν μητέρα μετὰ τοῦ παιδὸς ἀναδίδωσι· καὶ αὐτίκα, Μέγας ὁ Θεὸς τῶν Χριστιανῶν, μετὰ τῶν περιεστώτων καὶ ἔτι ἐβόων, ὁ τῆς ἀπάτης ἡμᾶς καὶ τοῦ πικροῦ τούτου θανάτου διὰ τοῦ σοῦ θεράποντος Κορνηλίου ἐλευθερώσας, καὶ τὴν σὴν δυναστείαν καὶ τὸν βραχίονα γνωρίσας ἡμῖν· Καὶ ἅμα εἰς ἑπτὰ καὶ διακοσίους συνέθεντο τῷ Χριστῷ. Ἐξ ἐκείνου τοίνυν ἐπί τινος τόπου Σταδίου καλουμένου καθημένῳ τῷ Κορνηλίῳ καὶ τοὺς προσιόντας διδάσκοντι, Δημήτριός τε καὶ Εὐανθία μετὰ τοῦ παιδὸς ἐφοίτων, καὶ οὐδὲ οἱ λοιποὶ Ἕλληνες ἔτι Ἕλληνες ἦσαν· ἀλλὰ τὰς ἀκάνθας καὶ οὗτοι τῆς ἀπιστίας ἀπὸ τῆς ἑαυτῶν καρδίας καθάραντες, ὥσπερ τις γῆ ἀγαθὴ τὸν τῆς εὐσεβείας ὑπεδέξαντο σπόρον, καὶ τῷ βαπτίσματι ἐσφραγίσθησαν.

XI. Atque ille quidem, postquam Christo universam obtulisset civitatem, et errorem expulisset, et verbum pietatis in ea seminasset, effectus plenus dierum spiritualium, ferventius vocabat orationi, et totus in ea versabatur, ad nihil ex iis, quibus in præsenti vita studetur, suos attollens oculos. Deinceps autem ei quoque suus revelatur excessus, ad quem toto animæ oculo spectabat, et erat paratus : et de superis vocem audit dicentem: Corneli, veni ad me. Ecce enim est tibi parata corona justitiæ. Quid deinde? Cum omnes, quos obtulerat, Christianos convocasset, et eos perfectius pietatem docuisset, et firmiter doctrinæ adhærere præcepisset, et se postremo totum ad precandum collegisset, flectit genu, et : Domine Deus noster, inquit, qui me dignum fecisti, ut fidem conservarem, et ut certamen peragerem, et vincerem adversarium, ago tibi gratias : sed ad tuos servos e cœlo aspice, et eos suscipe a sancta tua altitudine, et eos tua con-

ΙΑ'. Ὁ μὲν οὖν ἐπεὶ τὴν πόλιν ἐκείνην πᾶσαν Χριστῷ προσήνεγκε καὶ τὴν πλάνην ἀπήλασε, καὶ τὸν λόγον τῆς εὐσεβείας κατέσπειρε, πλήρης ἡμερῶν γενόμενος τῶν τοῦ Πνεύματος, εὐχῇ καὶ δεήσει θερμοτέρᾳ προσέκειτο, καὶ ὅλος ἦν τῆς ἐκεῖθεν διαγωγῆς, πρὸς οὐδὲν τῶν ἐν τῇ παρούσῃ ζωῇ σπουδαζομένων μετεωρίζων τὸν ὀφθαλμόν. Ἐντεῦθεν καὶ τὴν ἐκδημίαν μυεῖται, πρὸς ἣν ὅλῳ τῷ τῆς ψυχῆς ὄμματι ἑώρα καὶ παρεσκεύαστο· καὶ φωνῆς ἄνωθεν ἀκούει λεγούσης· Κορνήλιε, ἔρχου πρός με· ἰδοὺ γὰρ ἡτοίμασταί σοι ὁ τῆς δικαιοσύνης στέφανος, καὶ τὸ ἑξῆς· ὅσους ἐκεῖνος προσήνεγκε Χριστιανοὺς προσκαλεσάμενος πάντας καὶ τελεώτερον αὐτοὺς τὰ τῆς εὐσεβείας ἀναδιδάξας, καὶ ἀσφαλῶς ἔχεσθαι τῆς διδασκαλίας παρεγγυήσας· εἶτα καὶ ὅλον συναγαγὼν ἑαυτὸν τελευταῖον εἰς προσευχὴν κλίνει γόνυ, καί· Κύριε, ὁ Θεὸς ἡμῶν Δέσποτα, ἔφη, ὁ τὴν πίστιν τηρῆσαί με καταξιώσας καὶ τὸν ἀγῶνα τελέσαι καὶ νικῆσαι τὸν ἀντικείμενον, εὐχαριστῶ σοι. Ἀλλ' ἐπίδε

καὶ ἐπὶ τοὺς σοὺς δούλους ἐξ οὐρανοῦ, καὶ ἀντιλαβοῦ A αὐτῶν ἐξ ὕψους ἁγίου σου καὶ τῇ σῇ αὐτοὺς ὁμολογίᾳ καὶ τῷ ὀνόματι στήριξον, ὅπως ἀδιαλείπτως δοξάζωσι τὸ σὸν ὄνομα τὸ πανάγιον, νῦν καὶ εἰς τοὺς αἰῶνας· καὶ πάντων εὐθέως τὸ Ἀμὴν ἐπιφωνησάντων, τὸ πνεῦμα χαίρων τῷ καλοῦντι παρέθετο.

IB'. Δημήτριος μένοι σὺν Εὐανθίᾳ καὶ τῷ υἱῷ Χριστιανοῖς τε πᾶσι τοῖς συνειλεγμένοις καὶ σῷ πρεσβυτέρῳ Εὐνομίῳ τῇ τοῦ διδασκάλου ἐκδημίᾳ τὰ εἰκότα ἐπιδακρύσαντες, εἶτα καὶ κηροὺς ἀναψάμενοι καὶ ὕμνους ἐξιτηρίους ἐπᾴσαντες καὶ ὅσα Χριστιανοῖς ἐν νόμῳ τελέσαντες, παρ' αὐτῷ τῷ καταστραφέντι ναῷ τοῦ Διὸς ἐν τῇ καινῇ σορῷ τοῦτον κατέθεσαν, ἥτις ὑπὸ Δημητρίου τῇ συζύγῳ πρότερον κατεσκεύαστο. Βάτον δὲ ἡ γῆ εὐθέως ἀνέδωκε μεγίστην καὶ τὴν σορὸν κύκλῳ περιεσκέπασεν, ὡς B μηδένα τοῦ λοιποῦ εἰδέναι, μηδὲ ὅτι σορὸν ἔνδον εἴη, πλὴν μόνων τῶν μετὰ Δημητρίου τότε διακονησαμένων πρὸς τὴν ταφήν. Οἱ δὴ τῇ βάτῳ φοιτῶντες ἑκάστοτε ἱερά τε ᾄσματα ᾖδον καὶ θυμιαμάτων μεστὸν καὶ εὐωδίας τὸν ἐπ' αὐτῇ ἀέρα ἐδείκνυον· τὰ θαύματα μέντοι συχνὸν ἐκεῖθεν ἐπήγαζε χρόνον, ὡς δοκεῖν τοῖς πολλοῖς ὅσους ἔνδον ὁ μαθητὴς ἐλάνθανε κείμενος, θεῖόν τι καὶ νῦν τὴν βάτον αἰνίττεσθαι, ὥσπερ δὴ καὶ ἐπὶ Μωϋσέως ἐγίνετο πρότερον.

fessione et nomine stabili et confirma, ut sine intermissione sanctissimum tuum nomen glorificent, nunc et in sæcula sæculorum. Et cum omnes, Amen, continuo acclamassent, spiritum libens ei qui vocabat tradidit.

XII. Atque Demetrius quidem et Evanthia(3), cum filio et Christianis omnibus congregatis, et presbytero Eunomio, cum magistri excessum, ut par erat, deplorassent, et deinde cereos accendissent, et hymnos, qui dici solent in excessu, cecinissent, et quæcunque de more Christiani faciunt, peregissent; apud ipsum eversum Jovis templum eum in novo loculo deposuerunt, qui prius a Demetrio fuerat constructus conjugi. Rubum autem maximum terra continuo edidit, et in orbem texit loculum, adeo ut nullus sciret de cætero, quod intus esset loculus, præter eos solus qui cum Demetrio tunc inservierunt ad sepulturam. Qui quidem ad rubum quotidie ventitantes, sacra canebant cantica suffitibusque et bono odore replebant, qui super ipsum erat, aerem. Atque miracula quidem illinc frequenter scatebant, adeo ut multis videretur, qui nesciebant intus jacere martyrem, nunc quoque divinum aliquod rubus significare, sicut tempore Mosis prius factum fuerat.

CAPUT IV.

S. Cornelii inventio, translatio, imago.

IΓ'. Οὐκ ὀλίγῳ δὲ ὕστερον καὶ ὁ Δημήτριος ἀπεβίω, C καὶ πολλοὶ τῶν ὑπὸ Κορνηλίου τῷ θείῳ τελειωθέντων βαπτίσματι καὶ αὐτοὶ οἱ μὲν τὸν βίον ἀπέλιπον, οἱ δὲ καὶ πρὸς ἑτέρας χώρας ἐφοίτησαν. Εἶτα Σιλουανῷ τινι ἀσπαζομένῳ τε ἀρετὴν ἀνδρὶ καὶ θεοφιλεῖ, ὃς τῇ Τρωάδι ἐπεσκόπει, γενομένῳ ποτὲ κατὰ τὴν Σκεψαίων πόλιν, ὁ θεῖος ἀνὴρ Κορνήλιος ἐπιστάς· Πολὺν, ἔλεγε, χρόνον ἐνταῦθα οἰκῶ, καὶ οὐδεὶς ἐπεσκέψατό με, πλὴν μόνων τῶν ὑπ' ἐμοῦ βαπτισθέντων. Ἀνασκοποῦντι μεθ' ἡμέραν τῷ ἐπισκόπῳ καὶ τὸ ὄνειρον οὐκ ἔχοντι συμβαλεῖν, φοιτήσας οὕτω πάλιν ὁ ἅγιος εἰς τὴν ἐπιοῦσαν νύκτα· Ἐγώ εἰμι Κορνήλιος ὁ ἑκατοντάρχης, εἶπεν· ἔστι δέ μοι καὶ οἶκος πλησίον τοῦ ναοῦ τοῦ Διὸς ἐν τῇ βάτῳ· ἀλλὰ σὺ εὐκτήριον ἕτερον παρὰ τῷ τοῦ Δημητρίου τόπῳ τοῦ δούλου τοῦ Θεοῦ οἰκοδόμησον· καλεῖται δὲ Πανδοχεῖον ὁ τόπος, ἔνθα καὶ πολλὰ τῶν ἤδη τελειωθέντων D ἁγίων ἀδελφῶν κατάκεινται σώματα.

XIII. Non multo post autem e vita etiam excessit Demetrius, et multi ex iis qui a Cornelio fuerant divino initiati baptismo, ipsi quoque partim e vivis decesserunt, partim autem profecti sunt in alias regiones. Itaque cuidam Silvano (4), viro pio, et qui virtutem amplectebatur, et erat episcopus Troadis, cum venisset aliquando in civitatem Scepsæorum, divinus in somnis apparens Cornelius: Longo, dixit, tempore hic habito, et nullus me visitavit, præter eos solos qui a me fuerunt baptizati. Cum itaque interdiu hæc mente consideraret episcopus, et quid sibi vellet somnium, non posset conjicere; nocte sequenti ad eum rursus veniens sanctus, Ego sum, inquit, Cornelius centurio; est autem mihi domus prope templum Jovis in rubo. Sed tu ædifica alterum oratorium prope locum Demetrii (5) servi Dei. Vocatur autem locus Pandochium (6): quo in loco sita sunt multa corpora sanctorum fratrum jam consummatorum.

IΔ'. Ἕωθεν οὖν ὁ μὲν ἐπίσκοπος διὰ τὸ πολλοῖς τὸ Πανδοχεῖον πάντοθεν διωρύχθαι τάφοις, ἑτέρωθεν τὸν ναὸν οἰκοδομεῖν ἐσκέψατο· ἀλλ' ὁ ἅγιος οὐκ

XIV. Mane ergo episcopus quidem, propterea quod in Pandochio essent omni ex parte infossa multa sepulcra, in animo habuit templum alibi æ-

(3) S. Evanthia colitur a Græcis 1 Septembr. ut videre est in Menol. et Menæis. Hæc an alia sit, non est unde colligamus.

(4) S. Silvani ep. Philippopolis in Thracia, deinde Troadis, Vitam, ex *Hist. eccl.* Socratis lib. VII, cap. 36, dabimus 1 Decembris, ad quem diem Romano Martyrologio inscriptus est. Cum fuerit is ad Philippopolis cathedram a S.-Attico evectus, et ab eodem ad Troadensem translatus, qui, ut 8 Januar. diximus, decessit Theodosio Juniore XI et Valentiniano coss.' id est anno Christi 425, hinc patet quando hæc S' Cornelii inventio et translatio contingere potuerit'

(5) Hinc videtur colligi posse, ipsum quoque Demetrium in sanctis numeratum: ast in nullo adhuc Martyrologio eum reperimus.

(6) Πανδοχεῖον dicitur vulgo diversorium, quod omnes capiat.

dificare: sed Sanctus non permisit. Cum ergo clerum qui sub eo erat, congregasset. Filii, inquit, mihi magnus revelatus est thesaurus: sed adeste, eum tollamus. Hoc cum illi audissent, prompto et alacri animo omnes processerunt, et episcopum libenter sunt secuti. Cum autem pervenissent ad rubum, statim dixerunt clerici episcopo: Gratia quædam huc advolat divina, o domine, et multos scimus huc confluxisse, et fuisse liberatos a morbis, et malis dæmonibus, et ascripsisse rubo sanationem. Sed sive sit in rubo, seu sub rubo thesaurus, quis eum poterit excidere, et tollere, cum fieri non possit, ut secetur propter magnitudinem, et alioqui nec sic attrectatu facilis, ut qui sit multis terribilis propter miraculorum operationem? Cum autem precatus esset episcopus, et crucem fixisset in terram, et manum rubo injecisset, ipsas excidit radices. Animo itaque confirmati clerici, opus continuo sunt aggressi: et convellebantur rubus, tanquam herba quædam mollis, neque erat amplius rubus: sed et capsa continuo apparebat, et adhuc valde instabat episcopus, urgens fossionem. Cum autem jam advenisset vespera, precatus episcopus rursus clero nocturnam cantare psalmodiam, hymnisque, lampadibus et suffitibus honorabant capsam.

XV. Cum vero sumptuum quoque inopia ad ædificandum templum, sollicitum et animo perplexum teneret episcopum; eam quoque solvit Sanctus dubitationem: et cuidam ex divitibus viro pio apparens, cui nomen erat Eugenius, mandat ei templi ædificationem, et describit ei ædificii figuram et magnitudinem. Mane ergo Eugenius veniens ad episcopum, ei renuntiat visionem, et operi statim præficit ædificatores, cum eis prius descripsisset et significasset templi altitudinem et longitudinem, et aditum altaris eis jussisset latitudine fieri capsæ æqualem: ei enim visum fuerat deponere capsam intra aram.

XVI. Postquam autem templum fuit cito perfectum, hoc quoque Deo faciente miraculum in locum, qui dicitur Trigoni, venientes ædificatores (hic enim Silvanus episcopus peragebat festum B. Andreæ Apostoli), ei significabant perfectum esse ædificium: et Jam tempus est, aiunt transferri capsam, priusquam ingressui imponatur superliminare. Sic enim facilius introducetur. Continuo ergo episcopus, cum simul cum pio Eugenio sacrum sumpsisset Evangelium, fusis prius precibus, simul et Trisagium cœpit canere, et cum eo omnes simul eumdem hymnum concinebant: et ingressi sunt supplicantes. Deinde etiam capsa (o magna tua, Domine, miracula!) secuta est tanquam animata, nemine omnino eam movente, nec tangente. Et omnes quidem primo propter summam admirationem, nec miraculo quidem, quod cernebant, volebant credere: deinde quasi essent adducti in exstasim, exclamaverunt: Sanctus, sanctus, sanctus Dominus Deus

A ἀνίει. Τὸν ὑπ' αὐτῷ τοίνυν κλῆρον συναγαγὼν, Θησαυρός μοι, τέκνα, ἔφη, ἀποκεκάλυπται μέγας· ἀλλὰ δεῦτε, καὶ ἀνελώμεθα τοῦτον. Τοῦτο ἐκεῖνοι ἀκούσαντες, πρόθυμοί τε ὥρησαν πάντες, καὶ τῷ ἐπισκόπῳ ἡδέως εἵποντό. Ὡς δὲ τὴν βάτον αὐτὴν καταλάβοιεν, εὐθὺς οἱ τοῦ κλέρου πρὸς τὸν ἐπίσκοπον· Ἐφίπταταί τις ἐνταῦθα θειοτέρα χάρις, εἶπον, ὦ Δέσποτα· καὶ πολλοὺς ὧδε συῤῥεύσαντας ἴσμεν καὶ νόσων τε καὶ πονηρῶν δαιμόνων ἀπαλλαγέντας. Ἀλλ' εἰ καὶ ταύτης ἔνδον εἴ καὶ ὑπὸ τὴν βάτον ὁ θησαυρός· τίς ἂν ἐκτεμεῖν αὐτὴν δύνατο, ἔφησαν, καὶ τοῦτον ἆραι τμηθῆναί τε οὖσαν διὰ τὸ μέγεθος ἀδύνατον καὶ ἄλλως οὐ ῥᾳδίαν ψαῦσαι φοβερὰν τοῖς πολλοῖς οὖσαν διὰ τὴν τῶν θαυμάτων ἐνέργειαν· εὐξάμενος οὖν ἐπίσκοπος τῷ Θεῷ καὶ τὸν σταυρὸν
B πρὸς τῇ γῇ πήξας καὶ τὴν χεῖρα τῇ βάτῳ ἐπιβαλὼν, αὐταῖς ἐξέτεμε ῥίζαις· καὶ θαρσήσαντες οἱ τοῦ κλήρου εὐθὺς ἔργου καὶ αὐτοὶ εἴχοντο καὶ ἡ βάτος οἷά τις ἁπαλὴ βοτάνη ἐτίλλετο, καὶ οὐκ ἔτι βάτος ἦν· ἀλλ' ἡ σορός τε ἐν ὀλίγῳ εὐθὺς ὑπεφαίνετο, καὶ ὁ ἐπίσκοπος πολὺς ἐπέκειτο ἔτι τὴν ἀνόρυξιν ἐπισπεύδων· Ἑσπέρας δὲ ἤδη ἐπιγινομένης, προσευξάμενος ὁ ἐπίσκοπος καὶ αὖθις πάννυχόν τε ψαλμῳδίαν παραγγέλλει τῷ κλήρῳ καὶ ὕμνοις παρ' ὅλην τὴν νύκτα καὶ λαμπάσι καὶ θυμιάμασι τὴν σορὸν ἐτίμων.

ΙΕ'. Ὡς δὲ καὶ ἡ τῶν ἀναλωμάτων πρὸς τὴν οἰκοδομὴν τοῦ νεὼ ἀπορία φροντίδι τὸν ἐπίσκοπον καὶ ἀμηχανίᾳ ἐδίδου, λύει καὶ ταύτην ὁ ἅγιος καὶ τινι τῶν πλουτούντων ἐπιφανεὶς εὐσεβεῖ ἀνδρὶ, ὄνομα
C Εὐγενίῳ, αὐτῷ τὴν τοῦ νεὼ οἰκοδομὴν ἐπισκήπτει καὶ τὸ τῆς οἰκοδομίας σχῆμα καὶ τὸ μέγεθος διαγράφει. Ἕωθεν τοίνυν πρὸς τὸν ἐπίσκοπον ὁ Εὐγένιος ἀφικόμενος· ἀπαγγέλλει αὐτῷ τὴν ὄψιν, καὶ οἰκοδόμους αὐτίκα τῷ ἔργῳ ἐφίστησιν, ὑποτυπώσας πρότερον αὐτοῖς καὶ διασημάνας τό τε τῆς οἰκοδομῆς ἀνάστημα καὶ τὸ μῆκος καὶ τὴν εἴσοδον τοῦ θυσιαστηρίου ἴσην τὸ πλάτος αὐτοῖς τῇ σορῷ ἐπιτάξας· ἐδέδοκτο γὰρ αὐτῷ, εἴσω τοῦ θυσιαστηρίου τὴν σορὸν καταθεῖναι.

ΙϚ'. Ἐπεὶ δὲ ὁ ναὸς εἰς τάχος ἀπήρτιστο, θεοῦ καὶ τοῦ θαυματουργοῦντος ἐν χωρίῳ Τριγώνοις οἱ οἰκοδόμοι γενόμενοι· ἐνταῦθα γὰρ ὁ ἐπίσκοπος Σιλυανὸς τὴν τοῦ μακαρίου ἀποστόλου Ἀνδρέου πανήγυριν ἐτελεῖτο· τὸ τέλος τε αὐτῷ μηνύουσι τῆς οἰκοδομίας καί· Ὥρα ἤδη, φασὶ, τὴν σορὸν μετακο-
D μισθῆναι· ῥᾷον γὰρ ἂν οὕτω εἰσενεχθείη. Εὐθὺς οὖν ὁ ἐπίσκοπος ἅμα τῷ εὐσεβεῖ Εὐγενίῳ τὸ ἱερὸν Εὐαγγέλιον ἀναλαβὼν, εὐχῆς πρότερον γενομένης, ὁμοῦ τε τὸ Τρισάγιον ἤρξαντο ᾄδειν· καὶ ὁμοῦ πάντας αὐτῷ τὸν ὕμνον συνῇδον καὶ λιτανεύοντες ἐξῄεσαν· εἶτα καὶ ἡ σορὸς (ὢ οὖν μεγάλων σου, Δέσποτα, θαυμασίων!) οἷά τις ἔμψυχος εἵπετο καὶ αὐτὴ, μηδενὸς ὑποκινοῦντος μηδὲ ἁπτομένου τὸ παράπαν αὐτῆς, μηδὲ θίγοντος· καὶ πάντες ὑπὸ τοῦ σφόδρα θάμβους πρῶτα μὲν οὐδὲ ὁρωμένῳ τῷ θαύματι πιστεύειν ἠξίουν. Ἔπειτα ἐξεστηκότες, Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαὼθ, ἔκραζον· ὁ διὰ τοῦ σοῦ θεράποντος Κορνηλίου τὰ σὰ θαυμάσια καὶ τὰς δυνά-

στείας ἡμῖν φανερώσας· ἐντεῦθεν καὶ οἱ περιλει- A φθέντες τῶν Ἑλλήνων ἐπίστευσαν.

ΙΖ'. Καὶ ἡ λιτὴ πάλιν ἐπὶ τὸν ναὸν ἐχώρει καὶ ἡ σορὸς εἵπετο. Ἐπεὶ δὲ ὡς τὸν ναὸν ἀφίκοντο, οἱ μὲν ἔνθεν καὶ ἔνθεν ἔστησαν, ὁρῶντες ὅποι τε ἡ σορὸς προβήσεται καὶ ποῖ στήσεται. Ἡ διὰ μέσων αὐτῶν καὶ τῆς πλαγίας πύλης ἐλθοῦσα τῆς δεξιᾶς, ἔστη πλησίον τοῦ θυσιαστηρίου, καὶ μηχανῆς ἁπάσης γενομένης, ὥστε αὐτὴν εἴσω τοῦ θυσιαστηρίου μετενεγκεῖν. Ἡ δὲ ἀμετακίνητος καὶ εἰς ἔτι μένει, θησαυρὸς θαυμάτων οὐκ ἐπιλείπων, ἀπόλαυσις πολλῆς πνευματικῆς ὠφελείας καὶ χάριτος.

ΙΗ'. Σιλουανοῦ δὲ τοῦ ἐπισκόπου τελευτήσαντος, τὴν μὲν Τρωαδέων ἐπισκοπὴν Ἀθανάσιος, τὴν δὲ B Σκεψαίων Φιλοστόργιος ἐγχειρίζονται. Ἐπεὶ δὲ καὶ ὁ φιλευσεβὴς ἐκεῖνος Εὐγένιος κατέλυσε καὶ αὐτὸς τὸν βίον, προτρέπεταί τινα ζωγράφον ὁ Φιλοστόργιος, πάντα τε γράψαι τὸν ναὸν καὶ τὴν τοῦ Κορνηλίου εἰκόνα σπουδαίως ἐν αὐτῷ ἐκτυπῶσαι, καὶ ὡς δυνατὸν σὺν ἀκριβείᾳ κεκοσμημένην, ὅπως γηρῶν τε ἤδη γραφείη καὶ ἑαυτῷ παντάπασιν ἐοικώς· ἐδεῖτο οὖν ὁ Ἐγκράτιος τοῦ ἁγίου (τοῦτο γὰρ ἦν ὄνομα τῷ ζωγράφῳ) ἐκκαλύψαι αὐτῷ τὴν οἰκείαν ἰδέαν, ὡς ἂν ἐπιτυχῶς τε αὐτὴν καὶ πρὸς ἀκρίβειαν γράψειε· καὶ ἅμα ἐδυσχέραινεν ἐπὶ τῇ τοῦ ἐπισκόπου ἐντολῇ, καὶ τινας οὐκ εὐφήμους, καὶ πρὸς τὸν ἅγιον ἠφίει φωνάς, ἀπορούμενος πάντοθεν καὶ δεινῶς ἀλύων διά τε τὴν ἐκείνου τῆς ἰδέας ἄγνοιαν, καὶ τὸ μὴ ἔχειν, ὅπως ἂν τῶν τῆς ὄψεως χαρακτήρων ἐφίκοιτο. Ποτὲ C τοίνυν τῆς κλίμακος ἐκπεσὼν, ἐφ' ἧς ἐβεβήκει, ἄπνους τε ἔκειτο καὶ σκώληκες οἱ μὲν ἐξεῖρπον διὰ τοῦ στόματος. Οἱ δὲ πάλιν εἰσῄεσαν· ἐῴκεσαν δὲ ἄρα τῶν δυσφήμων ἐκείνων λόγων εἶναι καρπὸς, οὓς ὁ ζωγράφος ἀνιώμενος ἔλεγεν· Ἀλλ' αὐτὸς εἶ, Κορνήλιε, πάντως· ὁ καὶ σφοδρὸν κατὰ σοῦ πνέοντι πρότερον Δημητρίῳ τὴν γυναῖκα καὶ τὸν υἱὸν χαρισάμενος, ἐντεῦθεν οὐδ' ἐπὶ πλέον τὰ τῆς τιμωρίας ταθῆναι τῷ ζωγράφῳ ἠνέσχου. Ἐπιφανεὶς γὰρ εἰς τὴν ἐπιοῦσαν, καὶ τῆς δεξιᾶς αὐτὸν λαβόμενος, ἀνέστησέ τε οἱονεὶ καθεύδοντα· καὶ δύο ταῦτα μέγιστα κατεπράξατο· τὴν ἀκόλαστόν τε γὰρ ἐπαιδαγώγησεν αὐτῷ γλῶτταν καὶ τὴν ἐπὶ τῇ ἀπορίᾳ τῆς γραφῆς λύπην καὶ τὴν ἀθυμίαν ἐθεράπευσεν, οὐκ ἐν εἰκόνι τινὶ καὶ τύπῳ καὶ ὁμοιώματι, ἀλλ' αὐτός τε D αὐτῷ συγγενόμενος, καὶ οἷος ἦν τὴν μορφὴν ἐπιδείξας· ἀμέλει καὶ ὑγιὴς αὖθις ὁ ζωγράφος ὡρᾶτο καὶ σῶος, καὶ ὅλως τῶν σκωλήκων ἀπηλλαγμένος, καὶ τῆς τέχνης πάλιν ἁπτόμενος. Ἔνθεν τοι καὶ ἀνέγραψεν αὐτὸν ὁποῖον εἶδε, πολλὴν τὴν ἀλήθειαν μετὰ τῆς τέχνης ἐμβαλὼν τῇ γραφῇ, εὐχαῖς αὐτοῦ τοῦ ἁγίου χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν

Sabaoth, qui per famulum tuum Cornelium miracula tua et virtutes nobis aperuisti. Hinc factum est, ut qui remanserant ex gentibus, crederent.

XVII. Et rursus in templum processit supplicatio, et capsa sequebatur. Postquam autem venerunt in templum illi quidem hinc et illinc constiterunt, videntes, quonam esset capsa processura, et ubinam statura. Illa autem per ipsos medios et lateralem portam veniens, quæ erat a dextera, stetit prope aram : cui omnibus adhibitis machinis, ut ea transferretur ad aram, illa manet immobilis usque in hodiernum diem, miraculorum thesaurus non deficiens, ex quo percipitur magna spiritalis utilitas et gratia.

XVIII. Cum autem Silvanus decessisset (7) episcopus, Troadensium quidem episcopatui Athanasius, Philostorgius (8) autem Scepsæorum, præficiuntur. Postquam vero prius quoque ille Eugenius excessit e vita, quemdam pictorem hortatur Philostorgius, ut et totum templum depingat, et Cornelii effigiem in eo diligenter exprimat, et quam fieri posset accuratissime ornet : nempe ut is etiam senex pingeretur, et illi ipsi omnino similis. Rogabat ergo sanctum Encratius (hoc enim erat nomen pictori), ut ei suam revelaret speciem, quo eam apte et accurate depingeret : et simul ægre ferebat mandatum episcopi, et quasdam non nimis honorificas voces emittebat in sanctum, animo ex omni parte perplexus, et valde tristis, et propterea quod nesciret illius speciem, et quod non posset consequi characteres et figuras vultus. Cum itaque aliquando cecidisset e scalis, quas ascenderat, jacebat non spirans : et vermes alii quidem per os prorepebant, aii autem rursus ingrediebantur. Visa sunt autem hæc esse fructus illorum verborum maledicorum, quæ dolore affectus pictor dixerat. Sed ipse es omnino, o Corneli, qui Demetrio graviter in te prius spiranti uxorem et filium donasti; quapropter non sustinuisti, ut huic pictori amplius produceretur supplicium. Cum enim die sequenti ei apparuisset, et manum ejus dexteram apprehendisset, eum surgere fecit, velut dormientem : et hæc duo fecit maxima; nam et intemperantem ejus linguam castigavit, et curavit dolorem ac ægritudinem, quam acceperat, propterea quod nesciret, quomodo pingeret; non in figura, imagine et similitudine, sed vere cum eo congressus et forma quali esset ostendens. Quin etiam ipse pictor visus est rursus sanus et salvus, et omnino liberatus a vermibus, et rursus artem suam agressus. Hinc factum est, ut eum talem pingeret, qualem viderat, ipsam plane veritatem cum arte injiciens in picturam, præcibus ipsius Sancti, gratia autem et

(7) Hic est fortassis qui sessioni 6 concilii Ephesini subscripsit » Athanasius episcopus civitatis Scepsiorum, » indeque Troadem translatus: ideoque cum Philostorgio, suo in sedem Scepsensem successore, hic agit de S. Cornelii Scepsæorum patroni pingenda imagine. At quisquis fuerit Troadensis hic Athanasius, obiit certe ante concilium Chalcedonense, nam huic subscripsit « Pionius episcopus civitatis Troadis. »

(8) Concilii Chalcedonensis actioni 16 « Diogenes episcopus Cyzici metropolis definiens subscripsit, et pro absentibus... Philostorgio Scepsii... uti et actioni 6 ubi, « Eustorgius » appellatur.

clementia Domini nostri Jesu Christi, cum quo Patri simul cum sancto Spiritu, gloria, potentia, honor et adoratio in sæcula sæculorum. Amen.

A Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΜΑΡΤΥΡΙΟΝ ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΤΡΥΦΩΝΟΣ

MARTYRIUM SANCTI ET MAGNI MARTYRIS TRYPHONIS.

(Latine apud Surium ad diem 2 Februarii ; Græca nunc primum prodeunt ex codd. mss. Paris n. 1178 et 1450. EDIT. PATR.)

I. Cum Dominus et Deus et Servator noster Jesus Christus, postquam Deus et homo ad homines advenisset, et tertio die a mortuis surrexisset, et ad Patrem cum gloria esset assumptus, in discipulos effudit Spiritum sanctum et eos divina cognitione implevit et virtute, ex ejus plenitudine accepit universa terra, et omnes homines fuerunt participes doni quod ex eo emanabat : et liberati quidem sunt a tenebris ignorantiæ et cultus simulacrorum : veræ autem luci Dei cognitionis evasere familiares. Nam cum non secus ac divina et luce micantia fulgura, per omnes fines percurrentes et non parvam afferentes illuminationem, egressi essent apostoli, eorum qui videbant, illustratos oculos, ne momento quidem temporis mox siverunt sedere in tenebris. Alius aut aliam orbis partem sortiti, cum omnem gentem, regionem et civitatem sibi distribuissent, eis injecerunt veram scintillam veritatis : quæ paulatim per eos qui apti erant accensa, in claram et sublimem evasit facem.

II. Hoc principium cum accepisset fides, ad tantum processit splendorem, ut, consumptis profundis tenebris ignorantiæ, in divinæ lucis statum omnia transmutaverit. Hujus post apostolos causæ et auctores fuere divini martyres : qui cum veluti semen lucis ab eis accepissent, deinde tanquam violentis ventis traditi tentatoribus, id non solum non extinxerunt illatis injuriis, sed etiam variis tormentis effecti clariores, ipsi quidem tanquam lucida sidera, de cætero sunt collocati in cœli firmamento, quod percipitur intelligentia. Illinc autem clarissime refulgentes, terræ universæ lucem præbent. Ex his unus est etiam beatus Thryphon, qui a divinis et in quas non cadit interitus, deliciis nomen sortitus, frugiferum germen Ecclesiæ. Qui e Phrygia quidem primum fuit editus, vico vero Campsade, qui est vicinus civitati Apameæ. A piis autem pa-

A Α'. Τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τὴν θεανδρικὴν αὐτοῦ πρὸς ἀνθρώπους ἐπιφάνειαν καὶ τὴν ἐκ νεκρῶν τριήμερον ἔγερσιν καὶ πρὸς τὸν Πατέρα μετὰ δόξης ἀνάληψιν, ἐπὶ τούς μαθητὰς καὶ ἀποστόλους τὸ Πνεῦμα τὸ ἅγιον ἐκχεαμένου καὶ γνώσεως πλήρεις ἐργασαμένου, ἐκ τοῦ πληρώματος αὐτῶν ἡ σύμπασα μετέλαβε γῆ καὶ πάντες ἄνθρωποι τῆς ἐξ αὐτῶν πηγαζούσης μετέχοντες δωρεὰν, τοῦ σκότου μὲν τῆς ἀγνοίας ἀπηλλάττοντο, τῷ ἀληθινῷ δὲ τῆς θεογνωσίας προσῳκειοῦντο φωτί. Καθάπερ γὰρ ἀστραπαὶ θεῖαι καὶ διαφανεῖς οἱ ἀπόστολοι τὰ πέρατα διαδραμόντες, καὶ ἄλλος ἄλλο τῆς οἰκουμένης μέρος διακληρωσάμενοι, καὶ πᾶν ἔθνος καὶ πᾶσαν χώραν ἑαυτοῖς καὶ πόλιν διανειμάμενοι, τὸν τῆς ἀληθείας B σπινθῆρα τούτοις ἐνέβαλον, ὃς κατ' ὀλίγον ἐν τοῖς ἐπιτηδείοις διαναπτόμενος, εἰς περιφανῆ καὶ αἴριον ἀπέβη πυρσόν.

Β'. Οὕτως ἡ πίστις τὴν ἀρχὴν λαβοῦσα, εἰς τηλικαύτην προῆλθε περιφανῆ δύναμιν. Ταύτης μετὰ τοὺς ἀποστόλους οἱ θεῖοι μάρτυρες αἴτιοι τῆς θεοσεβείας πεφήνασιν, οἳ καθάπερ σπέρμα πυρὸς ἐκ αὐτῶν λαβόντες, ἔπειτα τοῖς πειρασταῖς ὡς ἀνέμοις ἐκδοθέντες βιαίοις, οὐ μόνον ταῖς ἐπηρείαις ἀπεσβέσθησαν, ἀλλὰ καὶ λαμπρότεροι, μᾶλλον δι' αὐτῶν ἀπεδείχθησαν, θάλλοντες ὡς ἄμπελοι ταῖς τομαῖς καὶ τοὺς ἄλλους πόνους εὐφροσύνης ἀφορμὰς ποιούμενοι, ὥστε πόνους ἐκείνοις εἶναι τὸ μὴ πονεῖν καὶ πάσχειν κακῶς, ἡνίκα μὴ διὰ Χριστὸν πάσχωσι. C Τούτων εἷς καὶ ὁ μακάριος γνωρίζεται Τρύφων, ὁ τῆς ἀκηράτου θείας τρυφῆς ἐπώνυμος, τὸ μακάριον ὄντως τῆς Ἐκκλησίας φυτὸν, ὃ γῆς μὲν τὸ πρῶτον ἀνεδόθη Φρυγῶν, κώμης δὲ Καμψάδου, Ἀπαμείᾳ τῇ πόλει γειτονούσης. Εὐσεβῶν δέ γονέων εὐσεβέστερον τέκνον ἐκφὺς, οὕτως ἐκ πρώτης ἡλικίας ἀξιό-

θεος ἦν, ὡς πλουσίας παραυτίκα τυχεῖν τῆς ἐνερ- A γείας τοῦ πνεύματος. Καὶ διὰ τοῦτο ποικίλαι τε νόσοι σωμάτων καὶ δαιμόνων ἅπαν τὸ φῦλον ὀνόματι μόνον Τρύφωνος ἐδραπέτευον, οὕτω πάγκαλος αὐτῷ ἡ νεότης, οὐ πρὸς ἥλικας, οὐ πρὸς ἄνδρας μαχίμους διαγωνιζομένη, ἀλλὰ πρὸς δαίμονάς τε καὶ νόσους ἀνδριζομένη. Ἀλλὰ περὶ πάντων μὲν αὐτοῦ θαυμάτων ἄρτι διαλαβεῖν, οὐ τοῦ παρόντος καιροῦ. Ἑνὸς δὲ μόνου μνησθεὶς καὶ δείξας ὥσπερ ἐξ ὀλίγου γεύματος τὸ πᾶν, ἐπὶ τὴν μαρτυρίαν ἐκείνου τρέψομαι τὴν διήγησιν.

rentibus ortus magis pius filius, ab ineunte ætate visus est Deo adeo esse gratus, ut judicatus sit idoneus ad administrandas operationes Spiritus. Quamobrem varii quidem morbi fugiebant a corporibus: dæmoniorum vero universa hominibus infesta natura, solo nomine Tryphonis flagellata, vel potius usta virtute ejus, qui in eo erat, spiritus, fugabatur quidem ab hominibus, abigebatur autem in intima deserti penetralia. Atque omnia quidem recensere miracula, quæ ab eo facta sunt, non est præsentis temporis. Cum unius autem in præsentia fecero mentionem, per quod gratiæ, quæ in eo erat, virtus possit esse evidens, ad martyrium præclari athletæ me conferam.

Γ'. Χρόνων ἐνενήκοντα καὶ διακοσίων μετὰ τὴν Αὐγούστου ἤδη παρῳχηκότων, Γορδιανὸς τῶν σκήπτρων ἐπιλαμβάνεται, ἀνὴρ Ἕλλην μὲν τὴν θρη- B σκείαν, οὐ βαρὺς δὲ τοσοῦτον τοῖς Χριστιανοῖς. Οὐ γὰρ κατὰ τοὺς ἄλλους καὶ οὗτος διωγμὸν ὑπῆρχε κεκινηκώς. Τούτῳ γίνεται θυγάτηρ μονογενής, ὥρᾳ μὲν σώματος καὶ κάλλει διαπρεπής, εὐφυΐᾳ δὲ ψυχῆς καὶ συνέσει πολλῷ μᾶλλον περικαλλής, ὃ καὶ πρὸς γραμμάτων πεῖραν καὶ παιδείας κτῆσιν αὐτὴν ἤγαγεν ἀμέλει. Καὶ πολὺς μὲν ὑπὲρ αὐτῆς τοῖς γονεῦσι λόγος, μηδένα μῶμον ἐπιτριβῆναι ταύτης ἐν παρθενίᾳ· πολὺς δὲ τοῖς πρώτοις τῆς πόλεως ὁ ζῆλος, ὥστε τοῦ γάμου ταύτης ἐπιτυχεῖν καὶ διὰ τοῦτο κατὰ κλεῖθρά τε αὐτὴν εἶχον καὶ ἐν οἰκίᾳ τὸ σύνολον ἀσφαλεῖς. Ὡς ἂν δὲ καὶ τῇ πόλει Ῥωμαίων ὁ Τρύφων διαγνωσθῇ, μᾶλλον δὲ ἵνα καὶ Χριστὸς ἐν αὐτῷ δοξασθῇ, δαιμόνιόν τι πονηρὸν ἐξαπίνης τῇ κόρῃ ταύτῃ ἐπιμηδήσαν, τί μὴ ἐποίει τῶν χαλεπῶν; ἐπῄει γὰρ C ἀναιδῶς, ἐσπάραττε ἀφειδῶς, πυρὶ καὶ ὕδασιν ἐπερρίπτει καὶ πᾶσι τρόποις αὐτῆς ἐνεμαίνετο τῇ ζωῇ· ἀλλ' οὕτως αὐτῆς μὲν ὁ δαίμων. Οὐδὲν δὲ ἧττον αὐτὴ τῶν γονέων ἐδείκνυτο μάστιξ, τὰ αὐτῶν σπλάγχνα σπαράττουσα καὶ τὸν πᾶσι μισητὸν θάνατον εὐκτὸν αὐτοῖς χρῆμα ποιοῦσα· ἦν γὰρ τὸ πάθος μετὰ τῆς αἰσχύνης καὶ πρὸς θεραπείαν ἀνέλπιστον· Καὶ γὰρ ἰατροὶ μὲν ἅπαντες ἀπηγόρευον, σοφοὶ δὲ ἠπόρουν· ἐπίνοια δὲ οὐδεμία πρὸς τοσοῦτον ἐξαρκοῦσα κακὸν ἦν, ἕως αὐτὸ τὸ πονηρὸν πνεῦμα κρείττονι δυνάμει δηλαδὴ συνωθούμενον· ἐβόα δὲ ἰσχυρῶς καὶ τὸν οἰκεῖον ὡμολόγει διώκτην· διώκτην μὲν ἐκείνου, τῆς ὑπ' αὐτοῦ δὲ στρεβλουμένης κόρης θεραπευτήν, Εἰ μὴ Τρύφων ἔλθοι, φησί, οὐκ ἀνήσω τὴν παῖδα σοβῶν· οὐκ ἐκστήσομαι ταύτης, εἰ μὴ Τρύφωνα ὧδε γενόμενον ἴδω.

III. Anno 225, post Augusti mortem, Gordianus accipit sceptra Romani imperii, vir quidem gentilis religione, sed Christianis non adeo gravis. Non enim is, sicut reliqui, movit persecutionem adversus Christianos. Ei nascitur unica filia, corporis quidem specie et pulchritudine insignis, ingenio autem et intelligentia feminas, quæ erant suo tempore, superans, neque ulli cedebat in doctrina litterarum. Quocirca magnopere contendebant parentes, ut eam integram et illæsam conservarent. Primos vero civitatis, qui eam ambiebant, magna urebat æmulatio; ipsa autem in munitis locis clausa, diligenter et tuto custodiebatur. Ut vero a civitate Romanorum sanctus cognosceretur Tryphon, vel potius ut Christus in eo laudaretur, repente exsecrandum dæmonium dictam Cæsaris filiam invadens, eam impudenter vexabat, assidue discerpebat, in aquam et ignem projiciebat, et omni ratione ejus vitæ insidiabatur. Atque dubitabant quidem omnes sapientes, hærebantque et manebant plane attoniti medici, videntes affectionem esse miserabilem, non valentes autem ei omnino opem ferre. Animo vero anxius erat pater, affectioni nusquam ullum inveniens auxilium, tristis erat, ægre ferebat, tabescebat, donec ipse malus spiritus, majori scilicet potestate coactus, suum invocabat expulsorem: suum quidem percussorem, puellæ autem, quæ ab eo vexabatur, appellabat curatorem. Nisi, inquit, accesserit Tryphon, puellam non cessabo terrere: ab ea non recedam, nisi videro advenisse Tryphonem.

Δ'. Αὐτίκα τοίνυν γράμματά τε βασιλικὰ καὶ μη- D νύματα παρὰ πᾶσαν ἐφοίτα τὴν οἰκουμένην, καὶ πᾶς ἠρευνᾶτο τόπος, καὶ διὰ πάσης γλώττης Τρύφων ᾔδετο, Τρύφων ἀνεκαλεῖτο· καὶ πάντες ὅσοιγε ὑπὲρ γῆν ἦσαν, εἰς δύο διῃροῦντο ταῦτα, ἢ Τρύφωνα ζητεῖν ἢ περὶ Τρύφωνος ἐρωτᾶσθαι. Ἐπεὶ δὲ καὶ μέχρι Φρυγίας ἡ ζήτησις ἦν, δῆλος ὁ Τρύφων ἤδη καθίσταται καὶ πρὸς τῇ Καμψάδου κώμῃ διατρίβων εὑρίσκεται χηνῶν ἐπιμελητὴς καὶ νομεὺς ὁ τοσοῦτος. Ὁμολογήσας δὲ αὐτὸς εἶναι Τρύφων, αὐτὸς ὁ ζητούμενος, παραπέμπεται μὲν αὐτίκα διὰ τῶν εὑρηκότων τοῖς ὑπάρχοις, Πομπηϊανῷ καὶ Προτεστάτῳ· αὐτοὶ δὲ τοῦτον ἵπποις τοῖς δημοσίοις ἐπιβιβάσαντες, εἰς Ῥώμην αὐτὸν πρὸς τὸν αὐτοκράτορα διαπέμ-

IV. Protinus ergo jussis exeuntibus imperatoriis, missisque frequentibus litteris, universo autem orbe terræ fere percurso ad inquirendum Tryphonem: et multis quidem multis e locis emissis ad eos evocandos qui hoc appellarentur nomine, nihil autem valentibus efficere, pervenit etiam ad partes Phrygiæ hæc inquisitio. Significatur deinde is, qui quæritur, agere in vico Campsade: invenitur propter paludem lacus, qui est situs prope eum locum, anserum curam gerens. Confessus autem is, qui quærebatur, se esse Tryphonem, statim quidem transmittitur per eos, qui ipsum invenerunt, ad præfectos Pompeianum et Protestatum. Ipsi vero cum eum equis publicis proti-

nus imposuissent, Romam transmiserunt ad imperatorem. Atque ille quidem iter recta confecit: agebat autem tunc fere ætatis annum decimum septimum. Malignus vero spiritus cum ejus sensisset adventum, tunc graviter vexabat, et per puellam effervescebat: et sæpe ejulans clamabat, se non posse amplius ejus corpore uti habitaculo: prope enim adesse, qui potenti manu eum expellat. Adhuc enim, inquit, tres dies, et accedit Tryphon, qui in nos accepit potestatem. Cum sic multum clamasset, et eam discerpsisset, exiit.

V. Tertio vero die ab excessu dæmonis, Romam quidem venit sanctus, adducitur autem repente ad Gordianum. Quem cum libenter excepisset, agnovit eum esse, qui Gordianam suam filiam curaverat, ex adventu conjiciens præfixum terminum trium dierum. Ut res vero esset certior et evidentior, rogabat ut dæmonem oculis videndum produceret, et eum interrogaret. Sex itaque dies jejunio et intensis ad Dominum nostrum Jesum Christum vir sanctus vacans precibus, illucescente septimo, jam desuper majorem et validiorem adversus dæmones consequitur potestatem. Nam cum nox quidem procul abesset, sol autem suis radiis in terra subrideret, aderat quidem imperator, aderant omnes satellites et qui ejus parebant imperio, ab eo petentes, ut viderent aliquid admirabile. Divinus autem Tryphon cum esset plenus divino Spiritu, in ipso vero immundum quoque illum spiritum intueretur intelligentia, Tibi dico, inquit, in nomine Jesu Christi, appare iis qui adsunt, et eis ostende tuam turpitudinem et imbecillitatem. Simul atque autem hoc dixisset, ecce tanquam canis aspectu deformis, niger colore, oculos habens tanquam ignem emittentes, et caput humi defixum, coram omnibus apparuit.

VI. Cui, qui precatus fuerat, Dei servus: Dic, inquit, exsecrande, quis te misit? Quis permisit, ut hanc invaderes adolescentulam? et quomodo cum sis talis, nempe tenebrosus et imbecillus, et plenus omni probro et decore, adeo audes contemptui habere et vexare, quod factum est ad Dei imaginem? Dæmon autem respondens, Mittor, inquit, a meo patre. Dicebat vero esse sibi patrem, auctorem et causam malorum, qui etiam appellatur Satan, et ab eo jussum esse hanc puellam torquere. Et quænam est ei potestas, rursus dicit Tryphon: malitiæ, inquam, principi adversus figmentum, quod constituit omnipotens bonitas et muniit sancto Spiritu? Ille autem canis, etiamsi nollet, divina tamen quadam operatione vera respondit omnibus audientibus: Nos nullam habemus potestatem in eos qui sunt pii in Deum omnipotentem, et in ejus Christum, pro quo Petrus et Paulus hic præclarum suscepere martyrium. Eos vero reverentes fugeremus, nisi nobis esset permissum alicui extrinsecus levem aliquam offerre tentationem. In eos autem omnino vires nobis vigent, et in eos tyrannidem obtinemus, qui suo

A πουσιν. Ὁ μὲν οὖν ἤνυε ὀξύτατα, ἔτος δὲ ἦν αὐτῷ τότε τῆς ἡλικίας ἑπτακαιδέκατον· τὸ πνεῦμα δὲ τῆς αὐτοῦ παρουσίας αἰσθόμενον, αὐτότε κακῶς ἔπασχε καὶ κακῶς ἐποίει τὴν κόρην· ἔπειτα καὶ ὀλοφυρομένῳ ἐῴκει· οὐκ ἔτι μοι ἐφεῖται λέγον τῷδε τῷ σώματι ὡς οἰκίᾳ χρῆσθαι, ἀλλ' ὅσον οὔπω καὶ ἄκων ἀπελαθήσομαι. Τρεῖς γὰρ ἡμέραι τὸ μετὰ ταῦτα καὶ Τρύφων ὁ τὴν καθ' ἡμῶν ἐξουσίαν ἀνειληφὼς παραγίνεται· οὕτως πολλὰ κράξαν, τὴν κόρην ἐξῄει, μηδὲν αὐτὴν ὑπομεῖναι θαρρήσας τὴν τοῦ Τρύφωνος παρουσίαν.

Ε'. Μετὰ τρίτην δὲ τῆς ἀπαλλαγῆς ἡμέραν, καταλαμβάνει μὲν τὴν βασιλίδα Ῥώμην ὁ ἅγιος· προσάγεται δὲ παραχρῆμα Γορδιανῷ, χρῆμα ποθεινὸν, ὃν ἀσμένως ὁ βασιλεὺς δεξάμενος, οὐκ ἠγνόησεν, αὐτὸν εἶναι τῆς θυ-
B γατρὸς ἐκείνου θεραπευτὴν, τῇ παρουσίᾳ συμβάλλων τὴν τῶν ἡμερῶν προθεσμίαν· ἵνα δὲ καὶ μείζονα δῷ τῷ πράγματι πίστιν, αὐτὸν ἐκεῖνον τὸν δαίμονα θεατὸν γενέσθαι Τρύφωνα ἠξίου, καὶ περὶ ὧν ἀνερωτηθείη μὴ συγκαλύψαι, ἀλλ' εἰς φῶς ἀγαγεῖν. Ἐν ἓξ τοιγαροῦν ἡμέραις νηστείᾳ καὶ δεήσει τῇ πρὸς Θεὸν ὁ Τρύφων ἑαυτὸν ἐκδοὺς, ἤδη τῆς ἑβδόμης ἐφισταμένης, μείζονος τῆς κατὰ δαιμόνων ἐξουσίας ἄνωθεν ἀξιοῦται· Ἐπεὶ γὰρ ἐλύετο μὲν τὸ τῆς νυκτὸς σκότος, ἥλιος δὲ βαλὼν ἀκτῖσι τὴν γῆν φαιδρὸν ἐμειδία, παρῆν μὲν ὁ βασιλεὺς, παρῆν δὲ καὶ πᾶν ὅσον δορυφορικὸν καὶ ὑπήκοον, μετέωροι τὰς ψυχὰς πάντες πρὸς τὴν καινότητα τοῦ γενησομένου. Ὁ μὲν θεῖος Τρύφων ἁγίου Πνεύματος πλήρης ὢν, ἅμα δὲ καὶ τὸ ἀκάθαρτον πνεῦμα ὄμμασιν ἀθεάτοις οἷα παριστάμενον αὐτῷ καθορῶν, μετεστείλατο
C γὰρ καὶ ἄκοντα πάλιν, ὥσπερ ἐξωθεῖ καὶ μὴ βουλόμενον· Σοὶ λέγω, φησὶν, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, ἐμφάνηθι τοῖς παροῦσιν καὶ τὴν ἀσχημοσύνην τὴν σὴν ἄρτι, καὶ τὴν ἀσθένειαν δήλην γενέσθαι πᾶσι καὶ καταφανῆ παρασκεύασον. Οὔπω πέρας εἶχεν ὁ λόγος, καὶ κύων ὡρᾶτο σφόδρα δυσειδὴς, τὸ χρῶμα μέλας, τοὺς ὀφθαλμοὺς ἔχων ὡς πῦρ ἀφιέντας, τὴν δὲ κεφαλὴν τῇ γῇ καθήμενος.

ς'. Ω προσχὼν ὁ Τρύφων· Λέγε μοι, φησὶν, τίς ὁ πέμψας σε; Τίς ὁ τῆς νεάνιδος ταύτης ἐπιτρέψας ἐπιδραμεῖν; καὶ πῶς τούτῳ ζόφῳ κάτοχος ὢν καὶ τὴν δύναμιν ἀσθενὴς καὶ ἄτιμος, πλάσμα Θεοῦ τὸ τίμιον καὶ κατ' εἰκόνα τὴν αὐτοῦ γενόμενον, ἀτιμοῦν οὕτω καὶ διαλυμαίνεσθαι σὺ τολμᾷς; Ὁ δὲ δαίμων ὥσπερ ὑπό τινων βελῶν πληττόμενος τῶν ἐκείνου λόγων ὑπὸ τοῦ οἰκείου μὲν ἀπεστάλθαι πατρὸς,
D εἶναι δὲ αὐτοῦ τὸν πατέρα τὸν αἴτιον τῶν κακῶν, ὃς καὶ Σατὰν προσηγόρευται· παρ' αὐτοῦ καὶ τὴν παῖδα ταύτην, ἔλεγεν, ἐπιτέτραμμαι βασανίσαι. Ποία δὲ, ὁ Τρύφων, ἐξουσία, φησὶ, τῷ ἄρχοντι τῆς κακίας κατὰ τοῦ πλάσματος τοῦ Θεοῦ; Ὁ δὲ κύων ἐκεῖνος, καίτοι φύσει φιλοψευδὴς ὢν, συνωθεῖται καὶ μὴ βουλόμενος πρὸς ἀλήθειαν καὶ ἀκρύπτειν ἤθελε καὶ ὡς ἀπόρρητα συντηρεῖν, ταῦτα καὶ ἄκων ἐπὶ πάντων ὁμολογεῖ· Ἡμῖν, εἰπὼν, οὐδὲ μία τίς ἐστιν ἐξουσία κατὰ τῶν εὐσεβούντων, εἰς γε σὸν παντοκράτορα Θεὸν καὶ τὸν αὐτοῦ Υἱὸν τὸν Χριστὸν, ὃν Πέτρος καὶ Παῦλος ἐνταῦθα λαμπρῶς ἐκήρυξαν, ἀλλ' ὑποπτήσσοντες αὐτοὺς διαφεύγομεν, εἰ μή τινα πεῖραν ἔξωθεν αὐτοῖς ἐπαγαγεῖν προτραπείημεν· κατὰ τούτων δὲ μετὰ

πάσης ἐξουσίας κρατοῦμεν, τῶν προθέσει ψυχῆς A τοῖς ἡμῖν φίλοις προσκειμένων ἔργοις ἅτινα προηγουμένως εἰσὶν, εἰδωλολατρεία, βλασφημία, μοιχεία, φαρμακεία, φόνοι, φθόνοι, ὑπερηφανίαι· διὰ τούτων γὰρ καὶ τῶν τοιούτων οἱ ἄνθρωποι καὶ τοῦ Θεοῦ αὐθαιρέτως ἀλλοτριοῦνται καὶ ἡμῖν συνάπτονται. Τούτων ὑπ' αὐτοῦ λαλουμένων, αὐτόν τε τὸν βασιλέα καὶ τοὺς παρόντας μετὰ τοῦ θαυμάζειν καὶ δέος εἰσῄει, καὶ πολλοὶ μὲν τῶν ἀπίστων ἐπίστευσαν εὐθὺς τῷ Χριστῷ, τοῖς δὲ πιστοῖς βεβαίωσις ἔτι περὶ τὴν πίστιν ἐκ τῆς τοῦ ἐχθροῦ γέγονεν μαρτυρίας, τὸ μέντοι πονηρὸν δαιμόνιον ἐπιτιμηθὲν ἀφανὲς ᾤχετο.

animi proposito sectantur opera, quæ sunt nobis grata. Maxime vero grata nobis opera sunt, cultus simulacrorum, blasphemia, adulterium, veneficium, invidia, cædes, superbia. Per hæc enim et quæ ea consequuntur, homines sua sponte nobis effecti familiares, suis factis tanquam laqueis implicantur: et ab ejus quidem, qui ipsos fecit, alienantur bonitate, illaqueantur autem nostris maleficiis. Cum hæc ab eo dicerentur, imperator et omnes qui aderant, his auditis, repleti sunt horrore et admiratione. Et multi quidem ex infidelibus, Christo statim crediderunt: fideles autem stabiliti et testimonio inimici magis confirmati, Regi gloriæ laudem emiserunt et gloriam. Increpatus vero ille immundus et sceleratus dæmon, protinus evanuit ex oculis.

Z'. Ὁ δὲ Καῖσαρ θαυμάσας τὸν ἄνδρα τῆς τοιαύ- B της κατὰ δαιμόνων ἰσχύος, τιμαῖς τε, ὡς ἐχρῆν, καὶ πολλαῖς θεραπεύει ταῖς δωρεαῖς. Εἰ γὰρ καὶ τὸ σέβας διάφορος ἦν, ἀλλ' ἡ ἀρετὴ πᾶσιν ὁμοίως αἰδέσιμος. Ἔπειτα καὶ μετὰ προσηκούσης αὐτὸν τῆς θεραπείας οἴκαδε παραπέμπει. Ὅσα μέντοι πρὸς βασιλέως αὐτῷ ἐδωρήθη, χεῖρες εὐθὺς πενήτων ἀνὰ τὴν ὁδὸν εἶχον· αὐτὸς δὲ οἴκοι γενόμενος, τῶν τε συνήθων τῆς πίστεως εἴχετο ἔργων, ὁδηγῶν πρὸς ἀλήθειαν τοὺς πεπλανημένους, καὶ πρὸς τὴν τῶν κακῶς πασχόντων ἐπιμέλειαν ἑαυτὸν ἐδίδου. Γορδιανοῦ δὲ τελευτήσαντος, εἰς Φίλιππον τὸν εὐσεβῆ τὰ τῆς βασιλείας μεταβαίνει σκῆπτρα· κἀκείνου δὲ θᾶττον ἐν πολέμῳ τῶν Τρογλοδυτῶν ἀνῃρημένου, Δέκιος μετ' αὐτὸν ἀναγορεύεται βασιλεὺς, ὠμὸς ἀνὴρ, ἀναιδὴς ψυχὴν, αἵμασι καὶ σφαγαῖς καὶ βασά- C νοις ὅλως ἐνευφραινόμενος, ζέων μὲν τῇ περὶ τὰ εἴδωλα μανίᾳ, δεινῇ δὲ λύττῃ κατὰ τῶν Χριστιανῶν πάντων κεκινημένος, τὸ μὲν ὅπλα κατ' ἐχθρῶν ἆραι, βέλη φημὶ καὶ δόρατα καὶ ῥομφαίαν, μικρὸν ἡγούμενος ἔργον, καὶ μικρᾶς δεόμενον τῆς φροντίδος, τὸ δὲ τροχοὺς καὶ καταπέλτας ὄνυχάς τε σιδηροῦς καὶ πᾶν εἶδος ἄλλο κολαστηρίων ἑτοιμάζειν κατὰ τῶν εὐσεβούντων τοῦτο μέγα εἶναι νομίζων καὶ μεγάλην αὐτῷ περιποιοῦν τὴν εὔκλειαν. Ἦν οὖν δεινὸς τότε κατὰ Χριστιανῶν ὁ πόλεμος, καὶ πολλὴ συνέχουσα σκοτομένη τὴν οἰκουμένην. Καὶ διὰ τοῦτο παρῆν ὁρᾷν τὴν τοῦ Θεοῦ ἅλωνα, ὥς τινι πτύῳ διακαθαιρομένην καὶ τοὺς μὲν εὐσεβῆ πίστιν ὑποδεξαμένους, ἀσθενεῖς δὲ τοὺς λογισμοὺς ὄντας καὶ ἀχυρώδεις, ὑπὸ τῆς τῶν πειρασμῶν βίας, ὥσπερ ὑπό D τινος ἀνέμων φορᾶς ἐκριπιζομένους, ὕλην τῷ αἰωνίῳ πυρὶ συντηρεῖσθαι· ὅσοι δὲ γνώμης εὐθύτητι καὶ ψυχῆς σταθηρότητι τῆς ἀληθείας ἀντεποιήσαντο, οὗτοι κρείττων ὀφθέντες τῶν πειρασμῶν καὶ μέχρι τέλους τὴν ὁμολογίαν φυλάξαντες, οἷά τις καθαρώτατος σῖτος εἰς τὰς οὐρανίους ἀποθήκας ἐταμιεύθησαν.

VII. Cæsar autem, hoc beneficio affectus, et valde ea admiratus, cum plurimis donis et honoribus beatum Tryphonem esset prosecutus, cura suorum præfectorum eum suis restituit. Atque quæcunque quidem ex his ad eum redierunt, in via distribuit pauperibus: ipse vero cum domum venisset, consueta fidei sequens opera, et vacans beneficio afficiendis iis, qui laborabant, erectam solum habebat mentem ad bravium supernæ vocationis. Cum autem decessisset Gordianus, Philippusque vir pius ei successisset in imperio, et ipse quoque cito fuisset interfectus in bello adversus Troglodytas, Decius post eum renuntiatur, vir crudelis et animo impudens, et fervens quidem furore circa simulacra, rabie autem intolerabili ab inhabitante in ipso dæmone motus adversus eos qui nolebant eis sacrificare. Fuit vero hoc grave bellum adversus Christianos. Non enim parabantur arma adversus alienigenas, non tela et lanceæ, non rhomphæa et gladius vibrabantur adversus eos qui faciebant injuriam: sed rotæ et catapultæ, unguesque ferrei et pectines, et omne genus suppliciorum comparabatur adversus innocentes. Unum autem in eos crimen intendebatur, nempe in Deum sanctitas. Cum ergo illic multa erumperet confusio, dicebat se videre, veluti quodam, quod intelligentia percipitur, ventilabro purgari aream Domini. Quicunque enim levitate mentis et stramineis cogitationibus verbum fidei videbantur suscepisse, ii perinde ac vi ventorum ventilati tentationibus, reservabantur igni qui non exstinguitur. Qui autem recta sententia et animo stabili adhærebant veritati, ii injuriis et afflictionibus inflammati, cum suæ fidei probationem Deo et hominibus ostendissent, in horrea cœlestia, tanquam purum frumentum, recordebantur.

H'. Τούτων οὕτω τελουμένων καὶ τοῦ διωγμοῦ μάλα σφοδρῶς ἐπικειμένου, ἀνάγεται περὶ Τρύφωνος τῷ τῆς Ἀνατολῆς ἐπάρχῳ (Ἀκυλῖνος ὄνομα τούτῳ ἦν), ὡς ἀνήρ τις Ἀπαμεὺς τὸ γένος, τὴν γνώμην οὐκ ἀγεννὴς, τὸ ἦθος οὐκ εὐχερὴς, περὶ λόγους οὐκ ἀμαθὴς, ἰατρὸς τὴν τέχνην, πολλῇ πρὸς τοὺς σεβαστοὺς ὑπεροψίᾳ χρῆται καὶ μυκτηρίζει μὲν τοὺς

VIII. Cum hæc sic fierent, et vehementer urgeret persecutio, defertur Tryphon ad præfectum Orientis. Aquilinus autem tunc gerebat præfecti magistratum. Ad eum ergo defertur, quod vir quidam Apameensis, genere non ignobilis, doctrina excultus, arte medicus, augustos valde despicit, et magnos quidem deos subsannat, Christum autem solum

Deum annuntiat, et ea ratione fieri, ut multi decipiantur a verborum ejus magnificentia. Statim ergo emisit litteras et edicta cum minis vehementibus ad loci illius magistratus, ut eum, qui quærebatur, maxima celeritate ad eum adducerent. Fieri vero non poterat, ut præclara fidei lucerna in sordido loco lucens lateret. Cum ergo audivisset se quæri a persecutoribus, non recedit in solitudines, non densos et incultos obiit montes: sed cum precibus et orationibus se in Christo muniisset, alacri animo accedit ad eos qui quærebant, et ad Aquilinum cum magno gaudio et prompto animi studio, qui tunc agebat Nicææ, statim mittitur per milites cohortis. Cum ergo ei statim excelsum erectum fuisset tribunal, honesteque et decore eum circumstetissent satellites, dixit Pompeianus scriniarius maximi ordinis: Qui Apamea a Frontone legato ad vestram missus est magnificentiam, adest ad purissimum tribunal vestræ potestatis. Aquilinus præfectus dixit: Qui adest, primum dicat nomen, patriam, fortunam, deinde religionem. Dixit S. Tryphon: Mihi nomen est Tryphon: patria, vicus Campsades, vicinus civitati Apameæ: fortuna autem apud nos nec est, nec dicitur, qui Dei providentia, serieque et ordine ineffabili sapientiæ omnia fieri credimus: non autem a fortuito, et qui fit præter rationem, concursu astrorum et a casu statuimus pendere ortum hominis. Sum vero liber moribus et vitæ educatione, uni soli Christo serviens. Christus enim est mihi religio, Christus mihi gloria et corona gloriationis.

IX. Dixit præfectus: Existimo te in hodiernum usque diem nondum cognovisse jussum Augusti, qui jussit quemvis hominem, qui hoc nomine se jactat, et ad deos colendos est durus, tradi morti violentæ, et te remove a tali deceptione, ne igni tradaris. Dixit sanctus Thryphon: Utinam mihi liceat et igne et omnibus tormentis consumi pro nomine Jesu Christi Domini mei et Dei. Dixit præfectus: O Tryphon, suadeo ut diis sacrifices. Video enim præter ætatem corporis, te quoque perfectum sensum animi ostendere, nec per deos volo te male mori. Dixit sanctus Tryphon: Perfectum habebo sensum, si Deo meo perfectam obtulero confessionem, et pulchrum depositum, nempe in ipsum fidem, eam non negando conservans, me ab omni reprehensisne vacuum et integrum sacrificium obtulero Christo, qui fuit pro me sacrificatus. Dixit præfectus: Igni tradam tuum corpus, et acerbissimis suppliciis consumam tuam animam. Dixit sanctus Tryphon: Mihi minaris ignem qui exstinguitur, et simul deletur cum ea quæ accendit materia, cujus finis est cinis. Ego autem eum qui non potest exstingui, et est æternus, contra minor impiis. Recede, inquam, a rebus vanis, et cognosce eum, qui est vere Deus: ne, si forte illius ignis feceris periculum, te malorum pœniteat. Hæc cum audiisset Aquilinus, et ira fuisset percitus, jubet eum suspensum cædi.

X. Cum primum ergo prolata fuisset sententia,

A μεγάλους θεοὺς, Χριστὸν δέ τινα μόνον πρεσβεύει Θεὸν, καὶ ταύτῃ τοὺς πολλοὺς ταῖς καινολογίαις ἐξαπατᾷ. Εὐθὺς οὖν γράμματα τοῖς κατὰ τόπον ἄρχουσι καὶ προστάγματα μετὰ σφοδρᾶς ἐξεπέμπετο τῆς ἀπειλῆς, ὅτι τάχος αὐτῷ παραστῆσαι τὸν ζητούμενον. Οὐκ ἦν δὲ ἄρα τὸν τῆς πίστεως λύχνον φαίνοντα λαθεῖν ἢ τὸ μύρον κρυβῆναι, ὑπὸ τῆς οἰκείας ὀσμῆς φανερούμενον. Οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ἀκούσας τῶν διωκόντων τὴν ἀναζήτησιν, οὐ πρὸς τὰς ἐρήμους ὑποχωρεῖ, οὐ τὰ λάσια τῶν ὀρῶν ὑποτρέχει, προσευχαῖς δὲ καὶ δεήσεσιν ἑαυτὸν ὁπλίσας, τοῖς ζητοῦσι λίαν φαιδρῶς ἐμφανίζεται καὶ πρὸς τὸν Ἀκυλῖνον σὺν ἡδονῇ παραπέμπεται. Ἀκυλίνῳ δὲ τότε κατὰ Νίκαιαν αἱ διατριβαὶ ἦσαν· βήματος οὖν αὐτῷ διαρθέντος ὑψηλοῦ καὶ τῆς περὶ αὐτὸν πάσης B δορυφορίας, ὥσπερ ἔθος αὐτοῖς, παραστάσης, Πομπηϊανὸς σκρινιάριος τῆς μεγίστης τάξεως, εἶπεν ὁ ἐκ τῆς Ἀπαμείας παρὰ Φρόντωνος τοπάρχου πρὸς τὴν ὑμετέραν μεγαλειότητα πεμφθεὶς τῷ καθαρωτάτῳ βήματι παρέστηκε τῆς ὑμῶν ἐξουσίας. Ἀκυλῖνος ἔπαρχος εἶπεν· Ὁ παρεστὼς πρῶτον εἰπάτω τοὔνομα, τὴν πατρίδα, τὴν τύχην, ἔπειτα καὶ τὸ σέβας. Ὁ ἅγιος Τρύφων εἶπεν· Ἐμοὶ τὸ ἀπὸ γῆς ὄνομα Τρύφων, πατρὶς δὲ ἡ κώμη Καμψάδος, Ἀπαμείᾳ τῇ πόλει γείτων ὑπάρχουσα, τύχη δὲ παρ' ἡμῖν οὔτε ἐστι, οὔτε λέγεται, τοῖς προνοίᾳ Θεοῦ καὶ τάξει τὰ πάντα γίνεσθαι πεπιστευκόσι· καὶ ὑπὸ τῆς αὐτοῦ σοφίας κυβερνᾶσθαι τὸ πᾶν. Ἐλεύθερος δὲ τὸν τρόπον εἰμὶ καὶ ἑνὶ μόνῳ Χριστῷ δεδούλωμαι· Χριστὸς γὰρ ἐμοὶ τὸ σέβας, Χριστὸς ἐμοὶ δόξα καὶ στέφανος C ἤδη καυχήσεως.

Θ'. Πρὸς ταῦτα ἔπαρχος· Ὑπολαμβάνω μηδέπω καὶ τήμερον ἐγνωκέναι σε τὴν τοῦ Σεβαστοῦ κέλευσιν, ὅπως πάντα ἄνθρωπον ἀπειθῶς ἔχοντα πρὸς τὴν τῶν θεῶν θεραπείαν βεβαίῳ θανάτῳ παραδίδοσθαι προστάττει. Ἀλλὰ σὺ πείθου μοι καὶ ἀπόστηθι τῆς τοιαύτης ἀπάτης, ἵνα μὴ καὶ πυρὶ καὶ ταῖς ἄλλαις κολάσεσι σεαυτὸν ὑπόσχῃς. Ἅγιος Τρύφων· Εἴθε μοι γένοιτο, ἔφη, καὶ πυρὶ καὶ βασάνοις πάσαις ὑπὲρ τοῦ ὀνόματος Χριστοῦ, τοῦ ἐμοῦ Θεοῦ, καθαναλωθῆναι. Ὁ ἔπαρχος εἶπεν· Θῦσον, ὦ Τρύφων, παραινῶ, τοῖς θεοῖς· ὁρῶ γὰρ τέλειόν σου καὶ βεβηκὸς τὸ φρόνημα, καὶ οὐ βούλομαί σε, μὰ τοὺς θεοὺς, κακῶς ἀποθανεῖν. Ὁ ἅγιος Τρύφων· Τέλειον ἕξω τὸ φρόνημα, εἶπεν, εἰ τελείαν τῷ Θεῷ μου προσάξω D καὶ τὴν ὁμολογίαν καὶ τὴν καλὴν παρακαταθήκην τὴν εἰς αὐτὸν πίστιν ἀνεξάρνητον διατηρήσας· ἄμωμον ἐμαυτὸν θυσίαν καὶ ὁλόκληρον τῷ ὑπὲρ ἐμοῦ τυθέντι προσενέγκω Χριστῷ. Πρὸς ταῦτα ὁ ἔπαρχος πῦρ αὐτῷ πάλιν καὶ βασάνους ἐπανατεινάμενος. Ὁ ἅγιος Τρύφων· Ἐμοὶ πῦρ ἀπειλεῖς, ἔφη, σβεννύμενον καὶ τῇ ὑφαπτούσῃ ὕλῃ συναπολλύμενον, οὗ τὸ τέλος τέφρα. Ἐγὼ δέ σοι τὸ ἄσβεστον καὶ διαιωνίζον ἀνταπειλῶ. Τοιγαροῦν ἀπόστηθι τῶν ματαίων, καὶ γνῶθι τὸν ὄντως Θεὸν, μήποτε σοι πεῖραν ἐκείνου τοῦ πυρὸς λαβόντι, πολλὰ τῆς νῦν ἀπάτης μεταμελήσῃ. Τούτων ἀκούσας Ἀκυλῖνος καὶ πρὸς ὀργὴν ἐξαφθεὶς κελεύει κρεμασθέντα σπαθίζεσθαι.

Ι'. Αὐτίκα γοῦν ἐξενεχθείσης τῆς ἀποφάσεως, τὸ

ΙΒ'. Εἰσελθούσης δὲ αὐτῆς ἐν τῇ φυλακῇ, περὶ τὸ μεσονύκτιον ἐν ὁμοιώματι πρεσβυτέρου ἐφάνη αὐτῇ ὁ ἀπόστολος Πέτρος, οὗ προηγεῖτο παῖς λαμπάδα ἐπιφερόμενος, πλεῖστα φάρμακα ἐν τῇ χειρὶ αὐτοῦ ἔχων καὶ ἑαυτὸν ἰατρὸν εἶναι λέγων, καὶ τούτοις λόγοις προσομιλῶν αὐτῇ ἔλεγεν· Ὁ μὲν ἀσεβὴς τύραννος τοιαύταις χαλεπαῖς μάστιξι χρησάμενος κατὰ σοῦ, ἤνυσεν οὐδέν· σὺ δὲ πλείω αὐτὸν ἐξέτηξας τῇ σῇ καρτερίᾳ· διὸ καὶ τὸ μαζόν σου οὐ μόνον αἰκισθῆναι ἐκέλευσεν, ἀλλὰ καὶ ἀποτμηθῆναι. Ἀλλ' ἐκείνου μὲν ἡ ψυχὴ ἐν ὀδύνῃ μένει εἰς τὸν αἰῶνα· ἐπειδὴ
D δὲ παρήμην ἐν τῇ ὥρᾳ ἐκείνῃ, ἐν ᾗ πέπονθας ταῦτα καὶ κατανοήσας εἶδον ὅτι δυνατόν ἐστι τοῦ ἰατρευθῆναι τὸν μαζόν σου, τούτου χάριν παραγέγονα. Ἡ ἁγία Ἀγάθη εἶπεν πρὸς αὐτόν· Οὐδαμῶς ποτε ἐν τῷ ἐμῷ σώματι θεραπείαν προσήνεγκα· καὶ νῦν αἰσχρὸν εἶναι νομίζω τῷ ἐκ νηπίας ἡλικίας χρόνῳ βεβαιωθὲν ἔθος χρηστὸν νῦν ἀπολέσθαι. Ὁ δὲ πρεσβεύτης ἀποκριθεὶς εἶπεν· Κἀγὼ Χριστιανός εἰμι καὶ θαρρῶ, ὅτι δύναμαί σε θεραπεῦσαι· τούτου χάριν ἦλθον πρός σέ. Ἀλλὰ μὴ αἰδεσθῇς με. Ἀποκριθεῖσα δὲ ἡ ἁγία εἶπεν αὐτῷ· Καὶ πῶς ἐστιν δυνατὸν ἐν τῷ σὲ εἶναι πρεσβευτὴν καὶ πολυχρόνιον, ἐμὲ δὲ εἶναι κόρην καὶ τὸ σῶμά μου διαφθαρὲν, ἵνα αὐτὰ τὰ τραύματα παρασκευάσωσι κεντρισθῆναι τὸν νοῦν

μου, ὅθεν μᾶλλον ὤφελον αἰδὼς γενέσθαι, ἀναιδῶς A ἀπογυμνώσασα τὰ ἕλκη μου· διὸ εὐχαριστῶ σοι, Πάτερ τίμιε, ὅτι κατηξίωσας ἐλθεῖν ταύτης τῆς σωματικῆς φροντίδος καὶ θεραπείας· ἔσο δὲ γινώσκων, ὅτι οὐδαμῶς τῷ ἐμῷ σωματι φάρμακα ὑπὸ ἀνθρώπων κατασκευασθέντα προσαχθῶσιν. Ἀποκριθεὶς δὲ ὁ πρεσβευτὴς εἶπεν αὐτῇ· Διὰ τί οὐκ ἐᾷς με ἰατρεῦσαί σε; Ἡ ἁγία Ἀγάθη εἶπεν· Ἔχω τὸν Κύριόν μου, Ἰησοῦν Χριστὸν, ὡς τῷ νεύματι αὐτοῦ ἰᾶται τὰ πάντα· καὶ τῷ λόγῳ αὐτοῦ ἀνιστᾷ κατερραγμένους· αὐτὸς, ἐὰν θέλῃ, δύναται σῶσαι καὶ ἐμὲ τὴν ἀναξίαν δούλην αὐτοῦ. Τότε πρόσμειδιάσας ὁ πρεσβευτὴς εἶπεν αὐτῇ. Κἀμὲ αὐτὸς ἀπέστειλεν· ἐγὼ γὰρ ἀπόστολος αὐτοῦ εἰμί· ἴδε ἑαυτὴν, ὡς ἰάθης. Καὶ ταῦτα εἰπὼν ἄφαντος ἐγένετο ἀπὸ τῶν ὀφθαλμῶν αὐτῆς.

ut curam medelamque corpori meo adhiberes. Illud tamen scias velim, nulla unquam ratione passuram me, ut corpori meo admoveantur hominum studio parata medicamenta. Cur enim, ait senex, me tibi mederi non pateris? S. Agatha dixit: Habeo Dominum meum Jesum Christum, qui solo nutu omnia curat, et prostratos verbo erigit. Ipse, si velit, poterit me quoque indignam famulam suam sanare. Subridens senior dixit: Et me ipse misit. Ego enim sum ejus apostolus. Aspice te, quemadmodum persanata sis. Quibus dictis, e conspectu ejus repente subductus est.

ΙΓ'. Τότε εὐχομένη ἡ ἁγία Ἀγάθη εἶπεν· Εὐχαρι- B στῶ σοι, Κύριε Ἰησοῦ Χριστὲ, ὅτι ἐμνήσθης μου καὶ ἀπέστειλας πρός με τὸν ἀπόστολόν σου, ὅστις με ἐνίσχυσεν καὶ ἀνενέωσεν τὰ μέλη μου. Ἐν δὲ τῷ πληρῶσαι αὐτὴν τὴν εὐχὴν, ἰδοῦσα τὸ ἑαυτῆς σῶμα, εὗρε τεθεραπευμένα τὰ τραύματα καὶ τὸν μαζὸν ἑαυτῆς ἀποκατασταθέντα· πᾶσαν δὲ τὴν νύκτα φῶς περιεῖχεν τὴν φυλακὴν, ὥστε ἀπὸ τῆς ἐκλαμψεως φυγεῖν τοὺς φύλακας, καὶ τὸ δεσμωτήριον ἀνεῳγμένον καταλιπεῖν. Οἱ δὲ ὄντες ἐκεῖσε κατάδικοι, θεασάμενοι τὸ γεγονὸς, λέγουσι τῇ ἁγίᾳ Ἀγάθῃ· Ἰδοὺ αἱ θύραι ἀνεῳγμέναι εἰσὶν, καὶ οὐδείς ἐστιν ὁ φυλάττων, ἔξελθε καὶ φύγε. Ἀποκριθεῖσα δὲ ἡ ἁγία Ἀγάθη εἶπεν αὐτοῖς· Μή μοι γένοιτο, ἵνα ἐγὼ στερηθῶ τοῦ στεφάνου τῶν ἀγώνων μου, καὶ τοὺς δεσμοφύλακας εἰς κίνδυνον περιβάλλω· ἔχουσα γὰρ C βοηθὸν τὸν Κύριόν μου καὶ Θεόν Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, μέχρι τέλους δεαμενῶ ἐν τῇ ἐξομολογήσει αὐτοῦ τοῦ ἰασαμένου με καὶ παραμυθησαμένου.

XIII. Tum vero prostrata in preces Agatha: Gratias tibi ago, inquit, Domine Jesu Christe, quod mei fueris recordatus, miserisque apostolum tuum, qui me confirmavit, et membra mea reparavit. Absoluta precatione, conversis ad corpus oculis, et vulnera sanata, et restitutam mamillam deprehendit. Tota vero nocte per carcerem lux resplenduit, ut fulgore territi custodes aufugerent, et carceris fores apertas relinquerent. Qui vero isthic erant rei, cum quod evenerat vidissent, dicunt S. Agathæ: En fores patent, neque eas quisquam observat; exi et fugam arripe. Absit, inquit Agatha, ut corona privver meorum certaminum, et carceris custodes in periculum adducam. Adjutorem enim habens Dominum meum et Deum Jesum Christum Filium Dei vivi, usque ad finem perstabo in confessione ejus, qui me sanavit consolatusque est.

CAPUT IV.

Ultimum S. Agathæ certamen, mors ejus, ac tyranni. Catana servata illius ope.

ΙΕ'. Μετὰ δὲ τεταρτην ἡμέραν κελεύει ὁ Κυντιανὸς ἀχθῆναι αὐτὴν ἐν τῷ δικαστηρίῳ, καὶ λέγει αὐτῇ· Μέχρι τίνος ἐμμένεις ἐναντιουμένη τοῖς προστάγμασι τῶν αὐτοκρατόρων; ἢ θῦσον τοῖς θεοῖς, ἢ δεινοτέραις βασανοις τιμωρήσομαί σε. Ἡ δὲ ὁσία εἶπεν· Παντα τὰ ῥήματα σου ματαια, τὰ δὲ πραγματα σου παρανομα καὶ τῶν βασιλέων, ἅτινα καὶ αὐτὸν ἀέρα μολυνουσιν. Ὅθεν, ταλαίπωρε καὶ ἀνίσθητε, εἰπέ μοι, τίς θέλει βοηθοὺς ἐπικαλεῖσθαι λίθους καὶ ξυλα, οἷς οὐκ ἔστιν αἴσθησις; Βλέπε οὖπερ αὐτὸς ἐξέκοψας D μαζοῦ, ἀνεβλαστησεν ἕτερος ἀντ' αὐτοῦ, τῇ δυναμει τοῦ Κυρίου μου Ἰησοῦ Χριστοῦ. Ἐμμανεὶς δὲ γενόμενος ὁ Κυντιανὸς εἶπεν· Παλιν σὺ τὸν Χριστὸν ὀνομαζεις, ὃν ἐγὼ ἀκοῦσαι οὐ θέλω; Ἀγαθη εἶπεν· Οὐ παυσομαι ἐγὼ καλουμένη τοῖς χείλεσι καὶ τῇ καρδίᾳ δοξολογοῦσα.

XIV. Post quartum vero diem sisti illam pro tribunali præcipit Quintianus, aitque illi. Quousque tandem imperatorum edictis adversaberis? vel diis sacrifica, vel te gravioribus tormentis excruciabo. Sancta respondit: Verba tua omnia vana sunt; acta vero et tua et imperatorum iniqua, quæ vel aerem ipsum inquinent. Quamobrem, miser et nullo sensu prædite, dic mihi, quis lapides et ligna, quibus nullus est sensus, opem roget? Viden' pro ea, quam mihi præcidisti, mamilla, aliam succrevisse, virtute Domini mei Jesu Christi? Insania percitus Quintianus exclamat: Quis te curavit? Agatha respondit: Jesus Christus, Filius Dei vivi. Quintianus dixit: Iterumne Christum appellas, cujus ego ne audire quidem nomen volo? Agatha dixit: Non cessabo eum et appellare labiis et corde celebrare.

ΙΕ'. Κυντιανὸς εἶπεν· Ἄρτι γνώσομαι ἐγὼ, εἰ σώζει σε ὁ Χριστός. Ἐκέλευσεν ὄστρακα ὀξεῖα στρωθῆναι, ἄνθρακας δὲ πυρὸς ἐμβληθῆναι, καὶ ῥιφῆναι αὐτὴν ἐν τοῖς ἄνθραξι. Τουτων δὲ οὕτω γινομένων, ἄφνω ὁ τόπος ἐκεῖνος ἐσείσθη, καὶ μέρος εἰς τὸ ἔδαφος πεσὸν κατέλαβε τὸν συμπονον τοῦ ἄρχοντος ὀνό-

XV. Quintianus dixit: Nunc cognoscam ego, an te liberet Christus; acutasque protinus testas humi sterni jussit, et ignitos carbones interspergi, inque hæc eam projici. Quod dum fieret, repente locus ille terræ motu concussus est, parsque in solum prolapsa, adjutorem præsidis, nomine Silvanum op-

pressit, hujusque amicum Falconium, quorum A præcipue instigatu ita dire sæviebat. Neque hoc solum : sed universa pene Catanensis civitas terræ motu vehementer agitata est, ut cives passim ad prætorium concurrerent, valdeque præsidem terrerent.

XVI. Tunc Quintianus primum quidem terræ motu perculsus, dein populi concursu perturbatus, jussit S. Agatham reduci in custodiam. In quam ingressa, sublatis ad cœlum manibus dixit : Gratias tibi ago, Domine, qui me dignam habuisti, quæ pro sancto nomine tuo certarem, et ablato a me præsentis vitæ desiderio, corpori quoque meo tolerantiam suffecisti. Exaudi me, Domine, ancillam tuam, dignamque redde, quæ mundum hunc deseram, copiosamque tuam as- B sequar misericordiam. Sic precata, protinus spiritum reddidit.

XVII. Quod cum audisset populus, summo studio ad carcerem accurrit, et magnanimæ martyris reliquias tuto in loco collocavit. Adolescens vero quidam, secum centum ducens pueros splendidissime ornatos, universis ignotus Catanensibus, veniens ad locum in quo sanctæ erant positæ reliquiæ, tabulam marmoream, quam attulerat, apposuit, ista inscribens : « Mens sancta, spontaneus honor Dei, et patriæ liberatio. » Hanc tabulam cum intus ad Sanctæ caput deposuisset, capsamque obsignasset, abcessit, neque uspiam ulterius in civitate visus est : unde suspicio fuit, C angelum eum martyris fuisse.

XVIII. Quintianus vero cum vita excessisse martyrem accepisset, ad ipsius facultates occupandas se contulit : accepta igitur tota sua cohorte Panormum properabat (11). At vix iter ingressus, justo Dei judicio, in fluvio quodam, haud procul distante Catana, nomine Psemitho, interiit. Nam cum eum vellet trajicere, ac pontonem equis suis esset ingressus, duo ex iis sævire impetumque in eum facere cœperunt : et unus quidem ore in illum invectus eum suffocabat, alter incutere calces non cessabat, donec in Psemithum amnem deturbaret. Corpus autem ejus a multis perquisitum, nunquam inveniri potuit. D

XIX. His ita gestis, crevit honor ac veneratio sanctæ martyris, neque quisquam ulli ex ejus cognatione negotium facessere ausus est. Ut autem certa et inconcussa redderetur, quæ jam increbuerat fama, angelum fuisse qui tabulam in ejus tumulo deposuerat (12), anno vertente, circa martyrii ejus

A ματι Σιλουανὸν καὶ τὸν φίλον αὐτοῦ ὀνόματι Φαλκόνιον, ὧν τῇ συμβουλίᾳ ἐποίει τὰ ἄνομα. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ κα' πᾶσα ἡ πόλις Κατάνη σφόδρα ὑπὸ τῆς βίας τοῦ σεισμοῦ ἐδονήθη, ὥστε πάντας τοὺς πολίτας συνδραμεῖν εἰς τὸ πραιτώριον, καὶ πάνυ ταράξαι τὸν ἄρχοντα.

ΙϚʹ. Τότε ὁ Κυντιανὸς πρῶτον μὲν τὸν σεισμὸν δειλιῶν, δεύτερον δὲ τῇ ἐποναστάσει τοῦ δήμου ταραχθεὶς, ἐκέλευσεν τὴν ἁγίαν Ἀγάθη ἀπενεχθῆναι ἐν τῷ δεσμοτηρίῳ. Εἰσελθούσης δὲ αὐτῆς ἐν τῇ φυλακῇ, τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐκτείνασα εἶπεν· Εὐχαριστῶ σοι, ὦ Κύριε, ὅτι καταξίωσας με ἀγωνίσασθαι ὑπὲρ τοῦ ὀνόματός σου, ἀφελομένου σου ἀπ' ἐμοῦ τὸ φίλτρον τῆς παρούσης ζωῆς, ὡσαύτως δὲ καὶ τῷ σώματί μου ὑπομονὴν χαρισάμενος. Αὐτὸς, Δέ- B σποτα Κύριε, εἰσάκουσόν με καὶ καταξίωσον τὴν σὴν δούλην καταλιπεῖν τὸν κόσμον τοῦτον καὶ εἰς τὸ σὸν πλούσιον ἔλεος φθάσαι. Ἀποτελεσάσης αὐτῆς τὴν εὐχὴν παραχρῆμα τὸ πνεῦμα ἀπέδωκεν.

ΙΖʹ. Ὥστε ἀκούσαντα τὸν δῆμον μετὰ πάσης σπουδῆς εἰσελθεῖν καὶ τὸ λείψανον τῆς γενναίας μάρτυρος ἐν ἀσφαλείᾳ καταθέσθαι. Νεανίσκος δέ τις ἔχων μὲν ἑαυτοῦ παῖδας τὸν ἀριθμὸν ἑκατὸν, κάλλιστα πάνυ ἠμφιεσμένους, ὡσαύτως δὲ καὶ ἄγνωστος πᾶσιν ὑπάρχων τοῖς τὴν Κατανέων οἰκοῦσι πόλιν, ἐλθὼν ἐν τῷ τόπῳ ἔνθα τὸ ἅγιον αὐτῆς ἔκειτο λείψανων, ἐνέγκας πλάκα μαρμαρίνην ἐπέθηκεν ἐπιγράψας οὕτως· « Νοῦς ὅσιος, αὐτοπροαίρετος τιμὴ εἰς Θεὸν, καὶ πατρίδος λύτρωσις. » Ἀποθέμενος δὲ αὐτὴν ἔνδον πρὸς τῇ κεφαλῇ τῆς οσίας, καὶ ἀσφαλίσας τὴν λάρνακα, C ἀνεχώρησεν, ὥστε μηκέτι φαίνεσθαι ἐν τῇ πόλει, ὅθεν τινὰ ὑπόνοιαν ἔχειν, ἄγγελον εἶναι αὐτὸν τῆς μάρτυρος.

ΙΗʹ. Ἀκούσας δὲ ὁ Κυντιανὸς, ὅτι ἀπέστη τῶν ἐνθάδε ἡ ὁσία μάρτυς, κατὰ τῶν αὐτῆς πραγμάτων ἐχώρει καὶ λαβὼν πᾶσαν τὴν τάξιν αὐτοῦ ἐπήγετο παραγενέσθαι ἐν Πανόρμῳ· καὶ δὴ αὐτοῦ ἀπερχομένου κατὰ τὴν ὁδὸν, κρίσει Θεοῦ δικαίᾳ ἀπολέσθαι αὐτὸν συνέβη ἔν τινι παρακειμένῳ ποταμῷ τῇ πόλει Κατανῃ, ὀνόματι Ψημίθῳ. Βουλομένου γὰρ αὐτοῦ τοῦτον διαπερᾶσαι, εἰσῆλθεν ἐν πορθμείῳ μετὰ τῶν ἵππων αὐτοῦ, καὶ δὴ δύο ἵπποι ὥρμησαν κατ' αὐτοῦ· καὶ ὁ μὲν εἷς εἰσδραμὼν κατὰ πρόσωπον αὐτὸν ἠφάνισεν· ὁ δὲ ἕτερος λακτίσμασιν πλήσσων οὐ διέλιπεν, μέχρις ἂν αὐτὸν ἐνέβαλεν ἐν τῷ ποταμῷ D Ψημίθῳ, καὶ πολλῶν ζητησάντων τὸ σῶμα αὐτοῦ, οὐχ εὑρέθη μέχρι τῆς σήμερον.

ΙΘʹ. Τούτων δὲ οὕτω γενομένων, τὸ σέβας καὶ ἡ τιμὴ ηὔξανε τῆς ἁγίας μάρτυρος Ἀγάθης, καὶ οὐδεὶς ἐτόλμα διασεῖσαί τινα τοῦ γένους αὐτῆς. Ἵνα δὲ ἀπαράβατος ὁ λόγος εἴη, ὅτι ἄγγελος ἦν ὁ τὴν πλάκα ἀποθέμενος ἐν τῇ λάρνακι τῆς μάρτυρος, ὤφθη πληρωθέντος τοῦ ἐνιαυτοῦ κατὰ τὴν ἡμέραν τῆς τε-

(11) Inveges scribit, hoc ipsum tradi a Bellovacensi. Hujus verba lib II, cap. 44 sunt : « Quintianus autem pergens investigare divitias ejus, cum esset in navi, duobus equis calcitrantibus, in flumen projectus est, et corpus ejus nusquam potuit inveniri. » Nulla mentio Panormi.

(12) Sepulta fuit, ubi nunc est templum quod S. Agathæ veteris appellatur, ubi etiamnum ejus sepulcrum religiose honoratur : ipsoque loco, aut juxta eum apparuit Angelus. Neque concipi potest, quomodo isthic flammas Ætna evomuerit, quæ fluminis instar devolutæ, ab summo vertice lapides

λειώσεως αὐτῆς, τὸ δὲ ὄρος ἡ Αἴτνη πῦρ ἐξηρεύξατο, καὶ καθαπερ ποταμὸς μυκώμενος σφόδρα οὕτως κατήρχετο διαλύων τοὺς λίθους ὥσπερ κηρὸν ἐκ τῆς κορυφῆς σοῦ ὄρους φλέξαι καὶ ἀπολέσαι πᾶσαν τὴν τῶν Κατανέων πόλιν· Οἱ πέριξ καὶ πλησίον ὄντες τοῦ ὄρους καίπερ Ἕλληνες ὑπάρχοντες, πρὸς τὸν ναὸν τῆς μάρτυρος ὥρμους, καὶ ἀφελόμενοι τὸ περικείμενον περιβόλαιον τῇ λάρνακι ἔστησαν κατέναντι τοῦ πυρὸς καὶ δὴ τῇ προνοίᾳ τοῦ Θεοῦ εὐθέως καὶ παραχρῆμα ἔστη τὸ θεῖον πῦρ· ἐγένετο δὲ τὸ θαῦμα μηνὶ Φεβρουαρίῳ πέμπτῃ, ἐν ᾗ ἡμέρα ἤθλησεν ἐν ᾗ καὶ ἑορτάζοντες δοξάζομεν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν Θεὸν, ὅπως ταῖς πρεσβείαις αὐτῆς ἄφεσιν λάβωμεν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A diem apparuit Etenim Ætna mons ignem evomuit, qui fluminis instar ingenti mugitu devolvebatur, ab summo vertice lapides velut ceram dissolvens, ipsamque urbem Catanensium correpturus ac penitus consumpturus ignis videvatur. Qui igitur circa montem habitabant, etsi essent gentiles, ad templum martyrts concurrunt, sublatumque velum, quo circumcincta erat urna, ex adverso ignis constituunt. Cum esse divina providentia, subito repressus est ignis. Contigit vero illud miraculum quinto Februarii, quo ipso die certamen finivit Agatha, quo et nos festa celebritate prædicamus Dominum nostrnm Jesum Christum, ut ipsins sanctæ martyris precibus veniam impetremus peccatorum, magnamque mi- B sericordiam, nunc et semper et in sæcula sæculorum. Amen.

resolverent, « venirentque versus civitatem Catanensum ; » si in ipsa urbe sita ad imas Ætnæ radices, hiatus patefactus ignes eructabat.

DE S. PARTHENIO EPISCOPO

LAMPSACI IN HELLESPONTO.

(Sæculo IV, Februarii die 7. — *Acta sanctorum Bolland.* ad hanc diem.)

—

1. « Hellespontus, » ut Plinius l. IV, cap. 11, scribit, « septem stadiis Europam ab Asia dividens, quatuor inter se contrarias urbes habet, in Europa Callipolin Seston, et in Asia Lampsacum et Abydon. » Et Lampsacus quidem (ta enim, quæ Plinio I. v, c. 32, *Lampsacum* est, appellant Græci, Ptolemæus lib. v, c. 2, Socrates l. IV, c. 4 : Stephanus, Strabo lib. XIII). « Lampsacus igitur, ut ait Strabo, mari imminet, urbs bonitate portus aliisque rebus memorabilis : Pityusa prius dicta διὰ τὸ πιτύων ἔχειν πλῆθος, inquit Stephanus, « quod plurima illic pinus. » Est autem in angusto Hellesponti posita, » ut habet Socrates.

2. Eam, Constantino Magno imperante, sanctitate et miraculis illustravit S. Parthenius episcopus: cujus die 7 Februarii festum agi annotarunt Molanus in addit. ad Usuardum, et Ferrarius in generali catalogo SS. Breviter de eo Menologium ab Henrico Canisio vulgatum : « Commemoratio S. Parthenii episcopi Lampsaci. » Prolixius ejus encomium exstat in Anthologio et Menæis : atque in his quidem ita Officium hujus diei inchoatur : « Hellesponti gloria, Lampsaci luminare, admirandorum operum splendibus lucifer, magnus Parthenius, nos omnes sui memoria convocat ad spiritualem solemnitatem peragendam, ad Christum Salvatorem celebrandum. »

3. Vitam autem descripsit simplici et candido stylo Cryspinus, ejus (ut creditur) discipulus, Lampsacenus certe et coæteneus, ut ipse indicat c. 2, n. 16, his verbis : « Maximinus quidam nomine, ex Byza civitate Thraciæ, qui erat discipulus unius ex iis qui sunt apud nos diaconi, nomine Psertæ. » Crispini narationem pluribus in locis interpolavit Metaphrastes. Hanc Vitam e Græco vertit Gentianus Hervetus, edidit Aloysius Lipomanus, atque ex eo Laurentius Surius.

4. Ætatem S. Parthenii indicat Crispinus, dum memorat Byzantium ad Constantium Magnum esse profectum. Et Nicephorus Callistus l. VIII, c. 42 : « Par istis, inquit (id est, Spiridioni et Nicolao), etiam Parthenius fuit, urbis unius in Hellesponto episcopus, vitæ splendore humanitate et prodigiis ingentibus clarus, adeo ut accepta a Deo potestate, mortuos excitarit, dæmonibus imperarit, atque ægritudinum omnis generis promptus curator exstiterit et gratuitus. » Agit de eo Baronius tom. III, ad an. 337, num. 38 et sequentibus, et censet eum quoque Nicæno concilio interfuisse.

—

ΒΙΟΣ ΚΑΙ ΠΟΛΙΤΕΙΑ

ΤΟΥ ΑΓΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΠΑΡΘΕΝΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΓΕΝΟΜΕΝΟΥ ΛΑΜΨΑΚΟΥ

—

VITA ET CONVERSATIO

S. P. N.

PARTHENII EPISCOPI LAMPSACI

(Græce nunc primum editur ex cod. ms. Reg. Paris. 1452, sæc. X. EDIT. PATR.)

—

I. Desiderio et amore motus ego peccator Crispinus, studui conscribere admirabilem et gloriosam viri vitam et a puero institutionem sancti Patris nostri Parthenii, qui fuit episcopus Lampsaci. Est enim plena utilitate animæ, et quæ potest iis qui legent, ostendere ea quæ Deus præbet iis qui ipsum diligunt. Beatus ergo et inclytus hic Parthenius habuit quidem patrem nomine Christodulum, dignitate diaconum sanctæ Dei catholicæ, quæ erat Meliti, Ecclesiæ, litterarum imperitus, sanctarum autem Scripturarum vel maxime valens memoria. Crescens vero ætate, ibat in propinquum lacum, et ibi piscabatur, et piscium mercaturam suppeditabat usui eorum qui egebant. A prima enim ætate, gratia Dei dignatus, seipsum celabat. A tempore autem decem et octo annorum, signa facere incipiens, dæmones expellebat ab hominibus ejus invocatione. Cum vero bona de eo fama esset multorum sermone celebrata, Meliti civitatis episcopus, nomine Philetus, cum audisset de S. Parthenio, eum accersitem et multum laudatum, vel invitum ordinat presbyterum et visitatorem sanctæ civitatis Meliti Ecclesiæ. Porro autem ei quoque opem ferebat gratia curationum in omnibus ægrotantibus, et faciebat multa signa admirabilia in nomine Domini nostri Jesu Christi.

II. Inter cætera vero accidit aliquando, ut ei homo fieret obviam, cui a tauro fuerat effossus oculis, quem manu sua portabat, et deflebat Eum cum accepisset vir sanctus, et in suo loco imposuisset, aqua madefaciens, in tribus diebus sanum reddidit. Quædam autem mulier, quæ in pudendis corporis sui partibus cancrum habebat exstantem, rogabat virum sanctum, ut acciperet morbi curationem. San-

Α'. Πόθῳ καὶ ἀγάπῃ κινούμενος, ἐγὼ ὁ ἁμαρτωλὸς Κρισπῖνος ἔσπευσα γράψαι τὴν θαυμασίαν καὶ ἔνδοξον πολιτείαν καὶ τὴν ἐκ παιδὸς διαγωγὴν τοῦ ὁσίου Πατρὸς ἡμῶν καὶ ἐπισκόπου γενομένου Παρθενίου. Ψυχικῆς γὰρ ὠφελειας πλήρης ἐστὶν καὶ ἱκανὴ τοῖς ἐντυγχάνουσιν ὑποδεῖξαι ἃ Θεὸς παρέχει τοῖς ἀγαπῶσιν αὐτόν. Ὁ μακάριος καὶ ἀοίδιμος οὗτος Παρθένιος πατρὸς μὲν ὑπῆρχεν ὀνόματι Χριστοδούλου, τὴν ἀξίαν διακόνου τῆς κατὰ Μελίτου πόλεως ἁγίας, τοῦ Θεοῦ καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, γραμμάτων ἄπειρος, τῶν δὲ ἁγίων Γραφῶν μνήμων δοκιμώτατος, Προκόπτων δὲ τῇ ἡλικίᾳ ἀπιὼν ἐν τῇ πλησίον λίμνῃ τὴν τῶν ἰχθύων ἄγραν ἐποιεῖτο καὶ αὐνῆς τὴν ἐμπορίαν τῇ τῶν δεομένων ἐχορήγει ἀναπαύσει. Ἀπὸ γὰρ πρώτης ἡλικίας χάριτος Θεοῦ ἀξιωθεὶς ἔκρυπτεν ἑαυτόν· ἀπὸ δὲ ὀκτωκαίδεκα ἔτους χρόνου τῶν σημείων ἀρξάμεος, δαίμονος ἀπέλαυνεν ἀπὸ τῶν ἀνθρώπων τῇ τούτου ὀνομασίᾳ· πολλῆς τε φήμης ἀγαθῆς περὶ αὐτοῦ ᾀδομένης, ὁ τῆς Μελίτου πόλεως (1) ὁσιώτατος ἐπίσκοπος τοὔνομα Φιλητὸς ἀκούσας τὰ κατὰ τὸν ὅσιον Παρθένιον, προσκαλεσάμενος αὐτὸν καὶ πολλὰ παραινέσας, μετὰ πολλῆς ἀνάγκης χειροτονεῖ αὐτὸν πρεσβύτερον καὶ περιοδευτὴν τῆς αὐτῆς Μελίτου πόλεως ἁγίας Ἐκκλησίας. Συνήργει δὲ αὐτῷ ἡ χάρις τῶν ἰαμάτων ἐν πᾶσι τοῖς ἀσθενοῦσιν, καὶ πολλὰ παράδοξα σημεῖα ἐποίει ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Β'. Ἐν οἷς συνέβη ποτὲ ὑπαντῆσαι αὐτῷ ἄνθρωπον ὑπὸ ταύρου κερατισθέντα τὸν ὀφθαλμὸν, καὶ τοῦτον ἀωρκρεμάμενον βαστάζειν ἐν τῇ χειρὶ αὐτοῦ καὶ ὀλοφύρεσθαι· ὃν λαβόμενος ὁ ὅσιος ἀνὴρ καὶ ἐνθεὶς τῷ ἰδίῳ τόπῳ, ὕδατι καταβρέχων τρισὶν ἡμέραις ὑγιῆ ἀποκατέστησεν. Γυνὴ δέ τις περὶ τὰ ἀσχήμονα μέλη τοῦ σώματος ἔχουσα καρκίνου φῦμα, ἐδέετο τοῦ ὁσίου ἀνδρὸς ἴασιν τοῦ πάθους λαβεῖν. Ὁ

(1) In antiqua notitia quam edidit Carolus a S. Paulo, Μελιτούπολις dicitur. Ea esse videtur juxta quam «in stagno Artynia oriri Rhyndacum omnem» Plinius scribit v, 32, licet *Miletopolin* appellet.

δὲ ἐπὶ τῷ μετώπῳ αὐτῆς ποιήσας τὴν τοῦ Χριστοῦ A σφραγῖδα, ἰάσατο αὐτὴν παραχρῆμα, καὶ ἐξέπεσεν ἐξ αὐτῆς τὸ πάθος ὡς εἶδος καρκίνου, καὶ ἤρκεσεν ἐπὶ τὴν γῆν. Πάντες δὲ οἱ παρόντες θεασάμενοι τὸ τεράστιον θαῦμα, ἔδωκαν αἶνον τῷ θαυμαστοποιῷ Θεῷ. Ἀπερχομένου του μακαρίου εἰς ἐπίσκεψιν τινος ἀῤῥώστου ἐν τῷ βαδίζειν αὐτὸν ἀθρόον κύων παμμεγέθης καὶ φόνιος διαῤῥήξας τὴν περικειμένην αὐτῷ ἅλυσιν ἐξεπήδησεν ἀπὸ οἰκίας τινὸς τῶν μεγιστάνων καὶ ἀπῆλθεν αὐτῷ, καὶ ὄρθιος ἐπὶ τοῦ σώματος αὐτοῦ ἔστη. Ὁ δὲ ὅσιος ἐμφυσήσας αὐτῷ καὶ τὸν σταυρὸν τοῦ Χριστοῦ ποιησάμενος, παραχρῆμα ἐξήρανεν καὶ νεκρὸν ἀπὸ τῶν ὤμων αὐτοῦ ἐπὶ τὴν γῆν ἔῤῥιψεν.

Γ'. Ταῦτα καὶ τὰ τούτοις παραπλήσια ἀκηκοὼς ὁ κατ' ἐκεῖνον τὸν καιρὸν ὁσιώτατος ἐπίσκοπος τῆς B Κυσικινῶν μητροπόλεως, τοὔνομα Ἀσχόλιος, μεταστειλάμενος τὸν ὅσιον τοῦτον Παρθένιον, εἰς τὸ τῆς ἐπισκοπῆς ἀξίωμα προεχειρίσατο, καὶ μέγιστον δῶρον τῇ Λαμψακινῶν πόλει ἐχαρίσατο· ὁ δὲ ἄνθρωπος τοῦ Θεοῦ Παρθένιος ἐπιστὰς τῇ ἀφιερωθείσῃ αὐτῷ πόλει Λαμψάκῳ, καὶ εὑρὼν αὐτὸν κατείδωλον, ἠνιᾶτο δεινῶς· πλὴν οὐ διέλιπεν κατὰ τὸν Ἀπόστολον νουθετῶν, παρακαλῶν, ἐπιτιμῶν, ὑποδεικνύων αὐτοῖς τὴν ὁδὸν τῆς ἀληθείας καὶ τὴν ματαιότητα τῶν εἰδώλων καὶ θαυματουργῶν ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἰώμενος τοὺς ἀῤῥώστους αὐτῶν, καὶ οὕτως κατ' ὀλίγον εἵλκυσεν αὐτοὺς εἰς τὴν ἐπίγνωσιν τοῦ Χριστοῦ. Ἰδὼν δὲ αὐτοὺς προσκόπτοντας ἐν τῇ πίστει καὶ περιφρονοῦντας τῶν εἰδώλων, ἠβουλήθη καθελεῖν τοὺς ναοὺς τῶν ματαίων; C καὶ οἰκοδομῆσαι ἐκκλησίαν ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐπισχὼν δὲ αὐτὸν ἐπελογήσατο ὅτι ὁ βασιλεὺς Χριστιανὸς καὶ εὐσεβής ἐστιν. Δίκαιον οὖν ὑπάρχει μετὰ γνώμης αὐτοῦ τῶν εἰδωλικῶν ναῶν τὴν καθαίρεσιν ποιήσασθαι. Ταῦτα βουλευσάμενος ὁ θεράπων τοῦ Χριστοῦ, ἀπάρας ἐκ τῆς πόλεως Λαμψάκου, καταλαμβάνει τὴν βασιλίδα πόλιν. Κατὰ συγκυρίαν δὲ συνέβη τῆς ἑξῆς τὸν εὐσεβῆ βασιλέα Κωνσταντῖνον κατιέναι ὀχήματι εἰς ἐπίσκεψιν τῶν ὡρείων τοῦ σίτου· καὶ προσελθὼν ὁ ὅσιος ἀνὴρ ἔδειξε τὰ τῆς αἰτήσεως. Ὁ δὲ ὄντως φιλόχριστος βασιλεὺς ἐδέξατο τὴν αἴτησιν, καὶ προσέταξεν αὐτὸν προάγειν εἰς τὰ βασίλεια, ἄχρι τοῦ ὑποστρέφειν αὐτὸν ἀπὸ τῶν ὡρείων τοῦ σίτου. Καὶ παραγενόμενος ἀσμένως ἀπεδέξατο τὸν ὅσιον ἄνδρα D καὶ περιεπτύξατο καὶ εὔχεσθαι ὑπὲρ αὐτοῦ ἠξίωσεν· διὰ τάχους δὲ προσέταξεν γενέσθαι πρόσταγμα ἕνεκα τῆς καθαιρέσεως τῶν εἰδωλικῶν ναῶν, καὶ τοῦτο κυρώσας ταῖς θείαις αὐτοῦ συλλαβαῖς, δίδωσι τῷ μακαρίῳ καὶ χρυσίον δὲ ἱκανὸν δέδωκεν αὐτῷ εἰς ἀπαρτισμὸν τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, καὶ ἀσπασάμενος αὐτὸν ἀπέλυσεν ἐν εἰρήνῃ.

Δ'. Ἐπανελθὼν δὲ ὁ μακάριος ἐν τῇ ἰδίᾳ πόλει Λαμψάκῳ, τῶν ναῶν τὴν καθαίρεσιν ἐποιεῖτο, καὶ διαγράψας τὸν καλλιπρεπέστατον τοῦ Θεοῦ οἶκον, αὐτὸς δι' ἑαυτοῦ ἐφεστὼς πρὸς τὸ ἔργον σπουδῇ πολλῇ,

cius vero in ejus fronte facto signo crucis, eam curavit protinus: et excidit ab ea morbus, adeo ut species cancri vel ipsam terram exulceraverit. Tunc omnes qui aderant, cum hoc vidissent miraculum, dederunt laudem et gloriam Deo nostro, qui facit miracula. Cum itaque iret aliquando beatus Parthenius ad visendum quemdam ægrotum, inter eundum repente canis ingentis magnitudinis et cædem spirans, rupta catena, quæ ei fuerat imposita, exsiliit a quadam domo cujusdam ex proceribus, et eum invasit, et rectus stetit supra corpus ejus. Sanctus autem cum in eum spirasset, et crucem Christi fecisset, repente exsiccavit, et ab humeris suis in terram projecit mortuum.

III. Hæc et his similia cum audivisset, qui erat illo tempore sanctissimus Cyzicenorum metropolis episcopus, nomine Ascholius, cum accersivisset venerandum et sanctum hunc virum Parthenium, eum præfecit dignitate episcopatus, et maximum concessit donum civitati Lampsacenorum. Homo autem Dei Parthenius, cum venisset ad ei dedicatam civitatem Lampsacum, et eam invenisset deditam cultui simulacrorum, graviter angebatur. Sed non cessabat, sicut Apostolus admonet [1], rogare, increpare, veritatis viam eis ostendere, imbecillitatemque et vanitatem simulacrorum: et faciens miracula in nomine Domini nostri Jesu Christi, et curans eorum infirmos, paulatim traxit eos ad Dei agnitionem. Cum vero vidisset eos proficere in fide, et simulacra despicere, voluit eorum templa diruere et ædificare ecclesiam in nomine Domini nostri Jesu Christi. Cum se autem sustinuisset, sic statuit, quod cum imperator sit Christianus et pius, justum sit ejus sententia templorum idolorum fieri demolitionem. Hæc cum apud se statuisset Christi servus Parthenius, et solvisset ex civitate Lampsaco, venit in urbem regiam. Forte autem accidit, ut die sequenti pius imperator Constantinus descenderet in vehiculo ad videndos agros. Ad eum itaque accedens vir sanctus, exposuit ei suam petitionem. Venerandus vero et plane Christi amans imperator Constantinus, benigne accepit ejus petitionem, et valde est lætatus; jussitque eum ire in regiam, et exspectare donec ipse rediret ab agris. Reversus itaque imperator in palatium, lubenter accepit virum sanctum, et complexus rogavit ut pro ipso precaretur; et protinus jussit fieri sacrum pro idolorum et eorum templorum demolitione, et cum hoc suis divinis confirmasset syllabis, dat Parthenio cum multo auro ad exstructionem sanctæ Dei ecclesiæ: et cum amplexus, dimisit in pace.

IV. Reversus autem beatus Parthenius in suam civitatem Lampsacum, templa diruit, et cum pulcherrimam et ornatissimam descripsisset Dei ædem, ipse per se assistens operi, magno studio eam cu-

[1] I Tim. IV, 2.

rabat excitandam. Etenim cum multi adnavigarent et enavigarent hospites, non contingebat eis transire, nisi prius eum vidissent: et benedictione ab eo digπati, eam, tanquam multorum bonorum viaticum, auferentes recedebant. Quodam autem die accessit quidam ad eum, qui latenter in se habebat spiritum immundi dæmonii. Quem cum longo tempore habuisset, hoc ignorabat. Hic ergo homo cum vidisset sanctum, eum salutavit. Homo vero Dei Parthenius cum cognovisset dæmonem qui in eo habitabat, eum non resalutavit; dæmon autem perturbatus, dixit sancto: Quoniam desideravi te videre, ideo te salutavi: cur tu non salutasti? Sanctus autem Parthenius dicit ei: Ecce vidisti me, quid tum? Dicit dæmon: Et te vidi, et agnovi. Dicit sanctus: Si revera me vidisti et agnovisti, egredere cito a figmento Dei. Dixit dæmon: Hoc totum est, ut me expellas a mea habitatione? Nunc, rogo te, ne me expellas post tantum tempus. Dicit ei beatus Parthenius: Estne longum tempus, ex quo in eo habitas? Dixit dæmon: A pueritia, nec fui ulli unquam cognitus, nisi nunc a te: tu autem me expellis, ut video, et quo jubes me abire? Dixit sanctus: Do tibi locum, quo proficiscaris. Dicit dæmon: Omnino dices mihi, Abi in porcos. Dicit ei sanctus: Minime, sed do tibi hominem humilem; et ingressus in eum, illic habita. Nunc vero ex eo egredere. Dixit dæmon: In veritate hoc facis, an solum hoc dicis, dum me ejeceris? Dixit sanctus: Dico tibi in veritate, mihi quidem est homo paratus, in quo debes habitare: solum cito egredere. Dæmon autem sancti pactis conventis persuasus, petebat ut promissio deduceretur ad effectum. Tunc sanctus os aperiens, dixit dæmoni: Ecce ego sum homo: ingredere, et in me inhabita; dæmon autem tanquam ab igne ustus ob id, quod sanctus dixerat, exclamavit dicens: Hei mihi, me, qui ex alieno vase abii, post tantum tempus persequeris: et quid non mali a te passus fuero? Quomodo vero in domum Dei ingrediar? Non licet veritatem audire a vobis Christianis. Tunc dæmon egressus ab homine, abiit in loca deserta et inaccessa, homo autem evasit sanus virtute et gratia Domini nostri Jesu Christi, [(2) Deumque perpetuo laudabat et glorificabat, et sanctum ejus famulum Parthenium.]

V. Perfecto vero opere ædificationis sanctæ Dei ecclesiæ, studium ponebat homo Dei ut reponeretur mensa, in qua oportebat Domino offerri spiritale et incruentum sacrificium. Cum autem invenisset in quodam loco, dedicato idolis, lapidem pretiosum et aptum ad safictæ mensæ concinnandum opus, quod quærebatur, effecit id pulchre elaborari et adaptari ab artificibus. Profecto vero opere, jussit id afferri in ecclesiam. Cum ergo artifices lapidem currui imposuissent, et boves junxissent, ducebant ad civitatem. Invidens autem et bonorum operum æmulus diabolus, non ferens ignem divini zeli sancti

A τὴν τούτου ἀνέγερσιν ἐποιεῖτο. Πολλῶν τε γὰρ ξένων καταπλεόντων καὶ ἀναπλεόντων, οὐκ ἐνεδέχετο αὐτοῖς διελθεῖν, εἰ μὴ πρότερον αὐτὸν ἑωράκεισαν· καὶ τῆς παρ' αὐτοῦ εὐλογίας ἀξιούμενοι, ὡς ἐφόδιον ταύτην ἀγαθῶν ἐπιφερόμενοι ἄπεισιν. Παρεγένετο δὲ ἄνθρωπός τις πρὸς αὐτὸν ἔχοντα πνεῦμα δαιμονίου ἀκαθάρτου ἐν τῷ λεληθότι, ὃν ἔχων οὗτος, θεασάμενος τὸν ἅγιον ἠσπάσατο αὐτόν. Ὁ δὲ ἄνθρωπος τοῦ Θεοῦ Παρθένιος γνοὺς τὸν ἐν αὐτῷ οἰκοῦντα δαίμονα, οὐκ ἀντησπάσατο αὐτόν. Ὁ δὲ δαίμων ταραχθεὶς εἶπε τῷ ὁσίῳ· Ἐπειδὴ ἐπιθυμίαν εἶχον τοῦ θεάσασθαί σε, καὶ ὠσπασάμην σε· σὺ δέ με οὐκ ἀντησπάσω; Ὁ δὲ ὅσιος πρὸς αὐτὸν ἔφη. Τί οὖν ἐστιν; ἰδοὺ ἴδες με. Ὁ δαίμων λέγει. Ναί, καὶ εἶδόν σε καὶ ἐπέγνων σε· Ὁ ὅσιος λέγει· Εἰ ἐπ' ἀληθείας ἑωρακὼς B ἐπέγνως με, ἔξελθε ἀπὸ τοῦ πλάσματος τοῦ Θεοῦ. Ὁ δαίμων εἶπεν· Ὅλον αὐτό ἐστιν, ἵνα διώξῃς με; Μή, δέομαί σου, μετὰ τοσοῦτον χρόνον μὴ ἐκβάλῃς με. Λέγει αὐτῷ ὁ μακάριος· Χρόνον γὰρ ἔχεις, ἀφ' οὗ ᾤκησας ἐν αὐτῷ. Ὁ δαίμων εἶπεν· Ἐκ παιδόθεν, καὶ οὐκ ἐγνώσθην, εἰ μὴ νῦν ὑπὸ σοῦ· σὺ δὲ ἐκβάλλεις με· ποῦ ἐπιτρέπεις ἀπελθεῖν με; Ὁ ὅσιος εἶπεν· Δίδωμί σοι τόπον ποῦ πορευθῇς· Ὁ δαίμων εἶπεν· Πάντως ἐρεῖς μοι ἀπελθεῖν εἰς τοὺς χοίρους; Εἶπεν αὐτῷ ὁ ὅσιος· Οὐχί, ἀλλὰ δίδωμί σοι ἄνθρωπον· σὺ δὲ εἰσελθὼν κατῴκεις ἐκεῖ· νῦν δὲ ἐκ τούτου ἔξελθε. Ὁ δαίμων εἶπεν· Ἐν ἀληθείᾳ τοῦτο ποιεῖς, ἢ ἕως τοῦ ἐκβαλεῖν με μόνον· Ὁ ὅσιος εἶπεν· Ἐμοὶ μὲν ἔστιν ὁ ἄνθρωπος ἕτοιμος ἐν ᾧ ὀφείλεις κατοικῆσαι· σὺ δὲ ἔξελθε διὰ τάχους. Ὁ δαίμων C πεισθεὶς ταῖς συντάξεσι τοῦ ἁγίου, εἰς ἔργον ἀχθῆναι τὴν ὑπόσχεσιν ἀπῄτει. Ὁ δὲ ὅσιος ἀνοίξας τὸ ἑαυτοῦ στόμα, ἔφη τῷ δαίμονι· Ἰδοὺ ἐγώ εἰμι ὁ ἄνθρωπος· εἰσελθὼν κατοίκει ἐν ἐμοί. Ὁ δὲ δαίμων ὡς ὑπὲρ πυρὸς πληχθεὶς ἐπὶ τῷ λόγῳ, ἀνεβόησεν λέγων· Οὐαί μοι· ἐν ἀλλοτρίῳ ὄντα με σκεύει μετὰ τοσοῦτον χρόνον διώκεις, καὶ τί οὐκ ἂν πάθοιμι παρὰ σου κακόν; Πῶς καὶ εἰς οἶκον Θεοῦ εἰσελεύσομαι; Οὐκ ἔστιν ἀλήθειαν ἀκοῦσαι παρ' ὑμῶν τῶν Χριστιανῶν. Τότε ἐξελθὼν ὁ δαίμων ἀπὸ τοῦ ἀνθρώπου εἰς ἐρήμους καὶ ἀβάτους τόπους ἐπορεύθη· Ὁ δὲ ἄνθρωπος ἐγένετο ὑγιὴς τῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ.

D Ἀπαρτισθέντος δὲ τοῦ ἔργου τῆς οἰκοδομῆς τῆς ἁγίας τοῦ Χριστοῦ ἐκκλησίας, σπουδὴν ἐτίθετο ὁ Θεοῦ ἄνθρωπος τοῦ ἀποθέσθαι τὴν τράπεζαν, ἐν ᾗ ἔδει τὴν πνευματικὴν καὶ ἀναίμακτον θυσίαν ἀναφέρεσθαι τῷ Κυρίῳ. Εὑρὼν δὲ ἔν τινι τόπῳ κατειδώλῳ λίθον ἐπιτήδειον καὶ τίμιον ὀφείλοντα ἁρμόσαι εἰς τὸ ἐπιζητούμενον ἔργον τῆς τραπέζης καλλιεργηθῆναι ὑπὸ τῶν τεχνιτῶν πεποίηκεν· μετὰ δὲ τὴν ἀπαλλαγὴν κομίζειν εἰς τὴν ἐκκλησίαν ἐπέτρεψεν. Ἐπιθέντες τοιγαροῦν οἱ τεχνῖται τὸν λίθον ἐπὶ τὴν ἅμαξαν, ζεύξαντες τοὺς βόας ἦγον ἐν τῇ πόλει. Ὁ δὲ βάσκανος καὶ ἀντίζηλος τῶν Χριστιανῶν διάβολος,

(2) Uncis inclusa Græcus textus non habet.

οὐκ ἐνέγκας τὸ πῦρ τοῦ κατὰ Θεὸν ζήλου τοῦ ἁγίου ἀνδρὸς, διαταράξας τοὺς βόας αἰφνιδίως ὁρμῇ ἀκατασχέτῳ, ὕπτιον ἔῤῥιψεν εἰς τὴν γῆν τὸν ἕλκοντα τοὺς βόας, ὀνόματι Εὐτυχιανὸν, ὃν ὑπολαβομένη ἡ ἅμαξα, πᾶσαν τὴν τῶν σπλάγχνων αὐτοῦ διέῤῥηξε διὰ τοῦ τροχοῦ οἰκονομίαν. Μαθὼν οὖν τὸ γεγονὸς ὁ δοῦλος τοῦ Χριστοῦ εἶπεν· Τοῦτο Σατανικὴ κακία πεποίηκεν. Οὐκ ἐμποδίσεις ἐν τούτῳ, διάβολε, τὸ ἔργον τοῦ Θεοῦ, καὶ παραλαβὼν τοὺς ὄντας σὺν αὐτῷ ἄνδρας θεοσεβεῖς, κατέδραμεν ἐπὶ τὸν τόπον, καὶ πλησίον τοῦ πτώματος κλίνας τὰ γόνατα μετὰ δακρύων προσηύξατο ἐκτενῶς πρὸς τὸν Θεὸν λέγων· Σὺ Δέσποτα ὁ Θεὸς, ὁ ζωῆς καὶ θανάτου Κύριος, οὐκ ἀγνοεῖς, δι' ἣν αἰτίαν ὁ ἀρχέκακος ἐχθρὸς θάνατον εἰς τὸν σὸν πλάσμα, ἀλλ' ὡς πάντοτε καὶ νῦν δεῖξον αὐτοῦ ματαίαν τὴν ἐπιχείρησιν, ζωῆς δὲ μέτοχον τὸν σὸν δοῦλον Εὐτύχιον ποίησον, δείξας τοῖς εἰς σὲ πιστεύουσιν τὴν ἀνίκητόν σου δύναμιν· ἔτι δὲ τοῦ δικαίου τὴν εὐχὴν τῷ Θεῷ ἀναπέμποντος, τὸ πνεῦμα τοῦ τεθνηκότος ἐπέστρεψε πρὸς τὸ σῶμα τοῦ ἀνθρώπου ἐπόψει παντὸς τοῦ λαοῦ λέγοντος· Δόξα σοι, Ἰησοῦ Χριστὲ, ὁ νεκροὺς ἀνιστῶν· καὶ ἐπιλαβόμενος τοὺς βόας εἷλκε τὴν ἅμαξαν ἕως τοῦ οἴκου τῆς ἁγίας ἐκκλησίας.

viri, conturbatis bobus, effecit, ut ii repente impetu, qui cohiberi non poterat, incitati, supinum in terram projecerint eum, qui trahebat boves, nomine Eutychianum; quem excipiens currus, per totam perfregit omnem viscerum ejus compagem, sicque is exspiravit. Cum autem accepisset quod acciderat, servus Dei Parthenius, dixit: Hoc Satanica plane fecit malitia. Non impedies in hoc, diabole, opus Dei, et statim assumens secum pios viros, qui cum ipso erant, cucurrit ad locum: et stans prope cadaver, et sancta sua inclinans genua, cum lacrymis intense oravit ad Deum, dicens: Tu, Domine, omnipotens suppeditator vitæ et mortis, non ignoras propter quam causam auctor malorum inimicus, machinatus est mortem in tuum figmentum. Sed, o benignissime, nunc quoque ostende inanem ejus conatum: vitæ autem participem fac tuum servum Eutychianum, ostendens iis, qui in te credunt, invictam tuam potentiam. Quoniam tu es solus Deus, et te decet gloria in sæcula. Amen. Cum autem vir justus Deo emisisset has preces, reversus est mortui spiritus in corpus ejus, et cœpit, qui fuerat mortuus, dicere in conspectu universi populi: Gloria tibi, Christe Deus, qui etiam suscitas mortuos; et cum protinus surrexisset, et factus esset sanus sicut prius, et accepisset boves traxit currum usque ad ædem ecclesiæ.

ς'. Πάντες οὖν ἰδόντες τὸ παράδοξον σημεῖον τοῦτο, πανταχόθεν ἔφερον τοὺς ἀσθενοῦντας καὶ τοὺς ὀχλουμένους ὑπὸ πνευμάτων πονηρῶν· καὶ τῇ δυνάμει τοῦ Κυρίου ἐθεραπεύοντο ἅπαντες. Πᾶσα δὲ ἰατρικὴ τέχνη ἐν ταῖς ἡμέραις τοῦ ἁγίου τούτου ἀνδρὸς ἠσθένει, διὰ τὸ παντοῖα πάθη ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀναργύρως ἰᾶσθαι· ἐν οἷς Διονύσιος τοῦ πραιποσίτου βασιλικῆς βαστάγῆς, θυγατέρα παρθένον, ὀνόματι Δάφνην, δεινῶς ὑπὸ δαίμονος παιδευομένην, ἐν ὅλαις τρισὶν ἡμέραις ἐθεράπευσεν. Ἑτέραν δὲ Μαμαλίου πρωτεύοντός τινος τῆς Σμυρνέων πόλεως θυγατέρα, ὀνόματι Ἀγαλματίαν ὑπὸ πνεύματος ἀκαθάρτου καταῤῥησσομένην καὶ ἀφρίζουσαν καὶ ξηραινομένην ἐθεράπευσεν· Ζωΐλαν δὲ ὀνόματι ἀπὸ τοὺς Πέτρας ἐλθοῦσαν καὶ ὑπὸ δαίμονος μαντικοῦ ἐλεεινῶς συντριβομένην οὐκ εἰς μακρὸν χρόνον ἠλευθέρωσεν τῇ τοῦ Κυρίου χάριτι· ἄλλον δὲ πάλιν νεώτερον ἀπὸ Οὔννων ὁρμώμενον υἱὸν πρεσβυτέρου ὀνόματι Νίκωνα ὑπὸ πνεύματος δεινοῦ παιδευόμενον, ἀγαγόντες οἱ τούτου γονεῖς, ἔῤῥιψαν εἰς τοὺς πόδας τοῦ ἁγίου, δεόμενοι τοῦ ἐλεῆσαι τὴν τοῦ ἀθλίου νεότητα καὶ ἐλευθερῶσαι αὐτὸν τοῦ ἀκαθάρτου δαίμονος. Ὁ δὲ ὅσιος ἀνὴρ ἔφη αὐτοῖς· Οὐκ ἔστιν ἄξιος τοῦ ἰαθῆναι. Πρὸς γὰρ παιδείαν ἐπεδόθη αὐτῷ ὁ σκώλωψ τοῦ πνεύματος, διότι πατρολοίας ἐστίν. Ἀθετηθέντες γὰρ πολλάκις ὑπ' αὐτοῦ ἐν πικρίᾳ ψυχῆς ὑμῶν, ὑμεῖς ᾐτήσασθε τὸν Θεὸν παιδευθῆναι αὐτόν. Ἄφετε αὐτὸν, συμφέρει γὰρ αὐτῷ. Οἱ δὲ ὡς γονεῖς ὑπάρχοντες καὶ τοῖς σπλάγχνοις νικώμενοι, ἀνεβόησαν μετὰ δακρύων, δεόμενοι εὔχεσθαι πρὸς τὸν Θεὸν περὶ αὐτοῦ, ὅπως λυτρωθῇ ἀπὸ τοῦ δαίμονος. Ὁ δὲ μακάριος συμπαθήσας τοῖς ἀκατασχέτοις δάκρυσι τῶν γονέων, ἐκτε-

VI. Tunc omnes, qui viderant hoc miraculum adeo præter opinionem, afferebant undique ægrotantes, et qui vexabantur ab immundis spiritibus: et gratia et virtute Domini Jesu curabantur omnes. Omnis autem ars medicinæ in diebus hujus sancti viri erat imbecilla, propterea quod omne genus morbi in nomine Domini nostri Jesu Christi gratis ab ipso curaretur. Inter quos Dionysius quoque præpositi filius, stirpe imperatoria, cum haberet filiam virginem, nomine Daphnen, quæ a dæmone graviter castigabatur, ipse eam totis tribus diebus curavit. Alteram autem Mamalii cujusdam filiam, qui erat princeps civitatis Smyrnensium, nomine Agalmatiam, quæ ab immundo spiritu vexata, spumam emittebat, curavit. Zoelem vero nomine, quæ ad Persas venerat, et a dæmone vaticinante miserabiliter conterebatur, haud ita longo post tempore, Domini gratia liberavit. Alium autem rursus juvenem ex Hunnis ortum, presbyteri filium, nomine Niconem, qui ab immundo spiritu graviter castigabatur, adducentes ejus parentes, jecerunt ad pedes sancti, rogantes ut ejus misereretur juventutis, et eum liberaret ab immundo dæmone. Vir autem sanctus dixit eis: Non est dignus qui curetur; ad castigationem enim datus ei fuit stimulus spiritus; est enim parricida. Vos enim sæpe ab eo habiti contemptui, in animæ vestræ amarore a Deo petiistis, ut ipse castigaretur. Sinite eum sic esse, expedit enim. Illi vero, ut qui essent parentes et vincerentur visceribus, exclamaverunt rogantes cum lacrymis: Precare Deum pro ipso, ut liberetur a sævo et immani dæmone. Beatus autem Parthenius misertus abunde

profluentium lacrymarum parentum, intense Deum precatus est pro ipso, et protinus egressus fuit ab ipse dæmon, et mundatus fuit homo. Tunc parentes ejus eum sanum acceperunt, et domum redierunt, Deum laudantes atque glorificantes.

VII. Alexandria autem quædam nomine, ex Ariba, quæ est Abydo, draconalem habens spiritum, sibilans et multos interimens, allata est ad servum Dei Parthenium. Qui cum increpasset spiritum, curavit eam, et remisit ad suos. Synodii vero cujusdam Abydeni filiam virginem, quæ ab immundo spiritu vexabatur in montibus, parentes ejus comprehendentes, duxerunt ad justum : et cum manus ei imposuisset et esset precatus, eam curavit. Alium quoque, Axanum quemdam militem, qui omnes partes corporis habebat dissolutas, duxerunt ad servum Dei Parthenium. Quem aqua madefaciens et precans, sanum misit domum suam ambulantem. Quemdam autem alium, nomine Alanam, genere Syrum, operatione mali, qui in eo habitabat, dæmonis, ex tabula catechumenorum sanctæ ecclesiæ, quam condidit sanctus vir Parthenius, suspensum et tractum et effectum mortuum, ad cadaver adveniens Dei famulus, illum quoque vivificavit precibus, et ab eo fugavit dæmonem. Eutropus vero quidam nomine, ex Pareo, uxorem suam duxit ad sanctum, quæ habebat spiritum immundum, et rogabat eum multum, ut pro ipsa rogaret, ut curaretur a dæmone, qui ipsam vexabat. Vir autem sanctus cedens ejus precidus, cum eam accepisset, et in ejus oculos inspirasset, et super caput ejus esset precatus, liberavit a dæmone. Tunc maritus ejus Deum glorificans, ivit in domum suam cum ipsa. Acaciam vero quamdam nomine, ex pago qui dicitur Celæus, quæ ab immundo spiritu consumebatur, ad eum adduxerunt, et gratia et virtute Domini Jesu sanam dimisit. Eucheria quædam nomine, uxor Agapii magistriani Pageleoti, veneficio attentata, cum ei roderentur intestina, allata est ad sanctum ; et cum tribus diebus ei esset precatus, et ex oleo sanctorum eam potasset, sanam remisit in domum suam.

VIII. Maximianus quidam nomine, ex Byza civitate Thraciæ, qui erat discipulus unius ex iis qui sunt apud nos diaconi, nomine Psertæ: hic ergo Maximinus cum incidisset in morbum torminis intestinorum, desperatus fuerat ab omnibus. Cum id autem rescivissent ejus parentes, Byza venerunt Lampsacum ad eum sepeliendum: et cum eum accepissent eum lectulo, fide ducti, ferunt eum in sanctam ecclesiam, et eum ponunt in ingressu episcopi, per quem Dei servus erat transiturus. Cum vero in cum locum venisset sanctus vir Parthenius, et vidisset eum in lecto jacentem, et ejus parentes lamentantes, et omnes, qui cum eis aderant, lacrymantes, ipse quoque est lacrymatus: et cum flexisset genua, Deum pro ipso est precatus, et virtute ac gratia Domini nostri Jesu Christi, ad ipsum re-

A νῶς προσηύξατο πρὸς τὸν Θεὸν περὶ αὐτοῦ· καὶ παραχρῆμα ἀπῆλθεν ἀπ' αὐτοῦ ὁ δαίμων, καὶ ἐκαθαρίσθη. Ἔλαβον δὲ αὐτὸν οἱ γονεῖς αὐτοῦ ὑγιῆ, καὶ ἀπῆλθον δοξάζοντες τὸν Θεόν.

Ζʹ. Ἀλεξανδρία δέ τις ὀνόματι ἀπὸ Ἀρίβης τῆς κατὰ Ἄβυδον δρακοντιαῖον ἔχουσα πνεῦμα, συρίζουσα καὶ ἀναιροῦσα πολλούς, ἠνέχθη πρὸς τὸν δοῦλον του Θεοῦ, καὶ ἐπιτιμήσας τῷ πνεύματι, ἰάσατο αὐτήν, καὶ ἀπέλυσεν εἰς τὰ ἴδια. Συνοδίου δέ τινος ἀπὸ Ἀβύδου θυγατέρα παρθένον ὑπὸ πνεύματος ἀκαθάρτου ἐλαυνομένην ἐν τοῖς ὄρεσιν συλλαβόμενοι οἱ ταύτης γονεῖς ἤγαγον πρὸς τὸν δίκαιον· καὶ ἐπιθεὶς τὰς χεῖρας καὶ ἐπευξάμενος ἰάσατο αὐτήν. Ἄλλον Ἀξανόν τινα στρατιώτην, ἔχοντα πάντα τὰ μέλη B αὐτοῦ παρειμένα, ἤγαγον πρὸς τὸν δοῦλον τοῦ Θεοῦ, ὃν ὕδατι βρέχων καὶ ἐπευχόμενος, ὑγιῆ εἰς τὸν οἶκον αὐτοῦ ἀπέστειλε περιπατοῦντα· Ἕτερον δέ τινα Σύρον τῷ γένει, ὀνόματι Ἀλαβᾶν, τῇ ἐνεργείᾳ τοῦ πονηροῦ τοῦ ἐνοικοῦντος δαίμονος ἐκ τοῦ διστέγου των κατηχουμενίων τῆς ἁγίας ἐκκλησίας ἧς ἔκτισεν ὁ ἅγιος ἀνὴρ κρεμασθέντα καὶ νεκρὸν ἀποτελεσθέντα ἐπιστὰς τῷ πτώματι ὁ δοῦλος τοῦ Θεοῦ, δι' εὐχῆς κἀκεῖνον ἐζωοποίησε καὶ τὸν δαίμονα ἀπ' αὐτοῦ ἐφυγάδευσεν. Ἔκτροπος ἐκ τῆς Παρέας ἤγαγε τὴν ἑαυτοῦ γαμετὴν πρὸς τὸν ὅσιον ἔχουσαν πνεῦμα ἀκάθαρτον, καὶ παρεκάλει πολλά, ἵνα εὔξηται ὑπὲρ αὐτῆς, ὅπως ἰαθῇ ἀπὸ τοῦ ἐνοχλοῦντος αὐτὴν δαίμονος. Ὁ δὲ εἴξας τῇ παρακλήσει, προσλαβόμενος αὐτήν, καὶ ἐμφυσήσας εἰς τοὺς ὀφθαλμοὺς αὐτῆς, C καὶ ἐπευξάμενος ἐπὶ τὴν κεφαλὴν αὐτῆς δοξάζων τὸν Θεὸν, ἀπίει εἰς τὸν οἶκον αὐτοῦ ἅμα αὐτῇ. Ἀκακίαν δέ τινα ἀπὸ τοῦ κτήματος οὖσαν τοῦ λεγομένου Κηλλίου, ὑπὸ Πνεύματος ἀκαθάρτου συντριβομένην ἤγαγον πρὸς αὐτὸν καὶ τῇ δυνάμει τοῦ Κυρίου ἐκβαλὼν τὸ δαιμόνιον, ὑγιῆ ἀπέλυσεν. Εὐχερία τις ὀνόματι, γαμετὴ Ἀγαπίου μαγιστριανοῦ Ἡρακλεώτου ὑπὸ φαρμακείας ἐπηρεασθεῖσα καὶ τὰ ἐντὸς διατρωγομένη, ἠνέχθη πρὸς τὸν ὅσιον, καὶ ἐν τρισὶν ἡμέραις ἐπευξάμενος αὐτῇ καὶ τοῦ ἐλαίου τῶν ἁγίων ποτίζων, ὑγιῆ ἀπέστειλεν εἰς τὸν οἶκον αὐτῆς.

Ηʹ. Μαξιμῖνός τις ὀνόματι ἀπὸ Βίζης (3) τῆς πόλεως Θρᾴκης, μαθητεύων ἑνὶ τῶν παρ' ἡμῖν διακόνων, ὀνόματι Ψέρτην, — οὗτος ὁ Μαξιμῖνος ἀρρωστίᾳ δυσεντερίῳ περιπεσών, ἀπεγνώσθη. Μαθόντες δὲ οἱ τούτου γονεῖς, ἦλθον ἀπὸ Βύζης ἐν Λαμψάκῳ D ἐπὶ τὸ θάψαι αὐτόν. Καὶ λαβόντες αὐτὸν σὺν τῷ κλινιδίῳ, πίστει φερόμενοι ἄγουσιν αὐτὸν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, καὶ τιθέασιν αὐτὸν ἐν τῇ εἰσόδῳ τοῦ ἐπισκόπου, δι' ἧς ἔμελλεν ἀνιέναι ὁ δοῦλος τοῦ Θεοῦ. Ἐλθὼν δὲ ὁ ὅσιος ἀνὴρ καὶ ἰδὼν αὐτὸν ἐν τῇ κλίνῃ ἄπνουν κείμενον, καὶ τοὺς γονεῖς ὀλοφυρομένους, καὶ πάντες τοὺς συμπαρόντας κλαίοντας, ἐδάκρυσε καὶ αὐτός, καὶ κλίνας τὰ γόνατα προσηύξατο πρὸς τὸν Θεὸν περὶ αὐτοῦ, καὶ τῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐπέστρεψε τὸ πνεῦμα αὐτοῦ ἐπ' αὐτόν, καὶ ἀνεκάθισεν ὁ νεκρὸς καὶ ἤρξατο λαλεῖν. Δοὺς δὲ

(3) Urbs Thraciæ a Ptolemæo nominata III, 11. Plinius IV, 11 : « Byzia, arx regum Thraciæ, a Terei nefasto crimine invisa hirundinibus. »

αὐτῷ χεῖρα ἀνέστησεν καὶ ἀπέδωκε τοῖς γονεῦσιν, ὡς πᾶσαν τὴν πόλιν δοξάζειν τὸν Θεὸν ἐπὶ τῷ γεγονότι. Γυνὴ δέ τις διάκονος, Ἀσήρμου κώμης τῆς Χερσονήσου, ὀνόματι Θεοφίλα καὶ σὺν αὐτῇ Ῥουφῖνα ἀείπαις ἐκ τῆς αὐτῆς κώμης, ὑπὸ πνεύματος ἀκαθάρτου πάρετος γεγονυῖα, ἠνέχθησαν τῷ ἁγίῳ ἀνδρί, ἃς ἐν ἡμέραις ὀλίγαις, ὕδωρ ἐπιβρέχων καὶ ἐπευχόμενος, τῇ δυνάμει τοῦ Κυρίου ὑγιεῖς ἀπέπεμψεν εἰς τὰ ἴδια. Ἱλαρίου τινὸς πρεσβυτέρου ἀπὸ Σανσαδίας, υἱὸς μονογενής, ὀνόματι Θαλάσσιος, ὑπὸ πνεύματος πονηροῦ ἔξω τῶν φρενῶν γενόμενος, ἠνέχθη τῷ ὁσίῳ· ὃν καὶ ἐπευχόμενος ἐν ὅλαις ἑπτὰ ἡμέραις εἰς τὸ κατὰ φύσιν ἤγαγεν, καὶ εὐχαριστοῦντα τῷ Κυρίῳ σὺν τῷ Πατρὶ ἀπέλυσεν. Γραΐδα δέ τινα πενιχρὰν ὀνόματι Καλιόπην καὶ σὺν αὐτῇ ἑτέραν κόραν, ὀνόματι Κυριακήν, ἀμφοτέραις ὑπὸ πνεύματος ἀκαθάρτου παιδευομένας ἤνεγκαν πρὸς αὐτόν, καὶ διὰ τῆς πρὸς Θεὸν εὐχῆς ἐθεράπευσεν· δούς τε αὐταῖς καὶ τὰ πρὸς διατροφὴν ἀπέλυσεν.

A versus est spiritus : et statim assedit, qui fuerat mortuus, et cœpit loqui. Data autem ei manu, fecit eum surgere, et sanum reddidit parentibus, adeo ut universa civitas Deum laudaret propter factum miraculum. Quædam autem mulier diaconissa, nomine Theophila, ex Asermo vico Cherronesi, et cum ipsa, Rufina impubes ex eodem vico, ab immundo spiritu dissoluta, et effecta paralytica, allatæ sunt ad sanctum virum. Quas paucis diebus aqua irrigans et precans, virtute Domini sanas emisit ad suos. Hilarii cujusdam presbyteri ex Ausadia filius unigena, nomine Thalassius, qui a maligno spiritu fuerat mente motus, portatus est ad sanctum. Quem cum accepisset, orans totos septem dies, reduxit ad naturam, et Domino agentem gra- B tias, cum patre remisit ad patriam. Vetulas vero quasdam duas pauperes, quarum uni nomen erat Calliope, alteri vero Cyriaca, quæ ambæ ab immundo spiritu castigabantur, tulerunt ad Sanctum : qui per suas ad Deum preces ambas curavit. Cum autem eis quoque dedisset ea quæ erant ad victum necessaria, dimisit in pace.

Θ'. Πρὸς δὲ τούτοις καὶ τοῖς ἄλλοις τοῖς ἀνεκδιηγήτοις θαυμασίοις συνέβη τότε τὸ ταμιακὸν βαφεῖον τῆς πορφύρας ὑπὸ πνεύματος ἀκαθάρτου ἐνσκήψαντος, ἐμποδίζεσθαι, καὶ μὴ ἀποτελεῖν τὴν ἐξ ἔθους βαφήν, ἀλλὰ καὶ φανερῶς ἐπιφαίνεσθαι τὸν ἀκάθαρτον δαίμονα τοῖς βαφεῦσιν καὶ μὴ συγχωρεῖν τὸ βασιλικὸν ἀποτελεῖσθαι ἔργον, ὡς ἐκ τούτου πολὺν κίνδυνον καὶ ζημίαν ὑπομένειν τοὺς δουλεύοντας καὶ τοὺς βαφεῖς. Ταῦτα μαθὼν ὁ ὅσιος ἀνήρ, προθύμως εἰς τὸν τοῦ βαφείου παρεγένετο τόπον, καὶ προσκαλεσάμενος τὸν ἐνεργοῦντα ἀκάθαρτον δαίμονα, καὶ ἐπιτιμήσας αὐτὸν ἐπὶ τῷ φοβερῷ καὶ ἁγίῳ ὀνόματι τοῦ Θεοῦ, ἄφαντον αὐτὸν πεποίηκεν ἀπὸ πάσης τῆς ἐνεργείας, ἐκείνου κράξαντος εἰς ἐξάκουσιν πάντων, ὅτι ὑπὸ πυρὸς ἐλαύνεται εἰς τὴν γέενναν τοῦ πυρός. Κελεύσαντος δὲ τοῦ ἁγίου ἐγέμισαν οἱ βαφεῖς τοὺς λέβητας, καὶ παρόντος αὐτοῦ ἐχάλων ἔριον καὶ τὴν δέουσαν βαφὴν ἀνεμποδίστως ἐξ ἐκείνου ἐδέχετο καὶ εἰς τὸν μετέπειτα χρόνον· καὶ οὕτως ἐρρύσθησαν οἵ τε πολιτευόμενοι καὶ οἱ βαφεῖς πάντες τοῦ βασιλικοῦ κινδύνου.

IX. Præter hæc autem et alia, quæ narrari non possunt, sancti hujus viri miracula, accidit ut officina quoque, in qua tingebatur purpura, impediretur ab immundo spiritu, qui in eam incubuerat, et non efficeret eam quam solebat tincturam : sed etiam immundus dæmon appareret tinctoribus, et opus imperatoris non sineret effectum reddere: adeo ut ex hac re magnum periculum et damnum servi sustinerent et tinctores. Quamobrem cum rescivisset homo Dei Parthenius et ab eis fuisset rogatus, C prompto et alacri animo venit ad locum officinæ: et cum advocasset immundum operantem dæmonem, et eum increpasset terribili et sancto nomine Christi, fecit eum evanescere ab omnibus finibus, illo clamante omnibus audientibus: Tanquam ab igne expellor in gehennam ignis. Cum autem jussisset Sanctus, tinctores impleverunt lebetes, et eo præsente immiserunt lanam. Ea vero ab illo tempore, eam, quam oportebat tincturam citra ullum impedimentum accepit etiam in futurum. Sicque et qui gerebant rempublicam, et tinctores omnes liberati fuerunt a periculo imperatoris.

Ι'. Τεράστιον θέαμα γενόμενον ὑπὸ τοῦ ὁσίου τούτου Πατρὸς ἡμῶν Παρθενίου ἀκούσατε. Ἐν τῷ καιρῷ τῆς τῶν θύννων ἁλείας ὅτε οἱ μὲν ἰχθύες ὁρῶντο τοῖς ἁλιεῦσιν, ὡς ἤδη ἐν χερσὶν ὑπάρχοντες· χαλωμένων δὲ τῶν δικτύων οὐδὲν πλέον ἤνυον ἢ τὸν κόπον μόνον ὑπέμενον. Τοῦτο δὲ ὑπὸ διαβολικῆς αὔρας τὸ ἐμπόδιον ὑπῆρχεν, οὐκ εἰς ἓν ἢ δεύτερον ἐμπόριον γενόμενον, ἀλλ' εἰς ὅλην τὴν παραλίαν, ἄχρις Ἀβύδου. Καὶ συναχθέντες ἅπαντες ἐπὶ τῷ αὐτῷ, ἐδεήθησαν τοῦ δικαίου ἀνδρός, εὔξασθαι πρὸς τὸν Θεὸν περὶ αὐτῶν. Εὐχομένου δὲ αὐτοῦ μετὰ νηστείας καὶ κλαυθμοῦ, ἐφανέρωσεν αὐτῷ ὁ Θεὸς τὴν σατανικὴν ἐνέργειαν. Ὁ δὲ διεγερθεὶς οὐκ ὤκνησεν παραγενέσθαι ἐν ἑκάστῳ ἐμπορίῳ ἕως Ἀβύδου, καὶ εὐλογῶν ὕδωρ καὶ ἐμβάλλων ἅλας, ἐπικαλούμενος τὸν Θεὸν

X. Audite aliud quoque magnum miraculum, quod factum est a sancto Patre nostro Parthenio. Tempore piscationis thynnorum, cernebantur quidem D pisces a piscatoribus, tanquam qui jam essent in manibus. Cum laxarentur autem retia, nihil proficiebant, sed laborem inanem sustinebant. Fuit vero hoc a diabolica aura impedimentum non in uno tantum aut altero emporio, sed in tota regione maritima usque ad Abydum. Omnes autem simul congregati, rogarunt virum justum, ut Deum pro eis precaretur. Eo vero precante cum jejunio et fletu, Deus ei aperuit causam et Satanicam operationem. Experrectus autem, citra moram profectus est in unum quodque emporium usque ad Abydum, et aquam benedicens, et sal injiciens (5), et

(5) Vide hic aquam benedici cum sale.

profluentium lacrymarum parentum, intense Deum precatus est pro ipso, et protinus egressus fuit ab ipse dæmon, et mundatus fuit homo. Tunc parentes ejus eum sanum acceperunt, et domum redierunt, Deum laudantes atque glorificantes.

VI. Tunc omnes, qui viderant hoc miraculum adeo præter opinionem, afferebant undique ægrotantes, et qui vexabantur ab immundis spiritibus: et gratia et virtute Domini Jesu curabantur omnes. Omnis autem ars medicinæ in diebus hujus sancti viri erat imbecilla, propterea quod omne genus morbi in nomine Domini nostri Jesu Christi gratis ab ipso curaretur. Inter quos Dionysius quoque præpositi filius, stirpe imperatoria, cum haberet filiam virginem, nomine Daphnen, quæ a dæmone graviter castigabatur, ipse eam totis tribus diebus curavit. Alteram autem Mamalii cujusdam filiam, qui erat princeps civitatis Smyrnensium, nomine Agalmatiam, quæ ab immundo spiritu vexata, spumam emittebat, curavit. Zoelem vero nomine, quæ ad Persas venerat, et a dæmone vaticinante miserabiliter conterebatur, haud ita longo post tempore, Domini gratia liberavit. Alium autem rursus juvenem ex Hunnis ortum, presbyteri filium, nomine Niconem, qui ab immundo spiritu graviter castigabatur, adducentes ejus parentes, jecerunt ad pedes sancti, rogantes ut ejus misereretur juventutis, et eum liberaret ab immundo dæmone. Vir autem sanctus dixit eis: Non est dignus qui curetur; ad castigationem enim datus ei fuit stimulus spiritus; est enim parricida. Vos enim sæpe ab eo habiti contemptui, in animæ vestræ amarore a Deo petiistis, ut ipse castigaretur. Sinite eum sic esse, expedit enim. Illi vero, ut qui essent parentes et vincerentur visceribus, exclamaverunt rogantes cum lacrymis: Precare Deum pro ipso, ut liberetur a sævo et immani dæmone. Beatus autem Parthenius misertus abunde

profluentium lacrymarum parentum, intense Deum precatus est pro ipso, et protinus egressus fuit ab ipse dæmon, et mundatus fuit homo. Tunc parentes ejus eum sanum acceperunt, et domum redierunt, Deum laudantes atque glorificantes.

VII. Alexandria autem quædam nomine, ex Ariba, quæ est Abydo, draconalem habens spiritum, sibilans et multos interimens, allata est ad servum Dei Parthenium. Qui cum increpasset spiritum, curavit eam, et remisit ad suos. Synodii vero cujusdam Abydeni filiam virginem, quæ ab immundo spiritu vexabatur in montibus, parentes ejus comprehendentes, duxerunt ad justum : et cum manus ei imposuisset et esset precatus, eam curavit. Alium quoque, Axanum quemdam militem, qui omnes partes corporis habebat dissolutas, duxerunt ad servum Dei Parthenium. Quem aqua madefaciens et precans, sanum misit domum suam ambulantem. Quemdam autem alium, nomine Alanam, genere Syrum, operatione mali, qui in eo habitabat, dæmonis, ex tabula catechumenorum sanctæ ecclesiæ, quam condidit sanctus vir Parthenius, suspensum et tractum et effectum mortuum, ad cadaver adveniens Dei famulus, illum quoque vivificavit precibus, et ab eo fugavit dæmonem. Eutropus vero quidam nomine, ex Pareo, uxorem suam duxit ad sanctum, quæ habebat spiritum immundum, et rogabat eum multum, ut pro ipsa rogaret, ut curaretur a dæmone, qui ipsam vexabat. Vir autem sanctus cedens ejus precibus, cum eam accepisset, et in ejus oculos inspirasset, et super caput ejus esset precatus, liberavit a dæmone. Tunc maritus ejus Deum glorificans, ivit in domum suam cum ipsa. Acaciam vero quamdam nomine, ex pago qui dicitur Celæus, quæ ab immundo spiritu consumebatur, ad eum adduxerunt, et gratia et virtute Domini Jesu sanam dimisit. Eucheria quædam nomine, uxor Agapii magistriani Pageleoti, veneficio attentata, cum ei roderentur intestina, allata est ad sanctum ; et cum tribus diebus ei esset precatus, et ex oleo sanctorum eam potasset, sanam remisit in domum suam.

VIII. Maximianus quidam nomine, ex Byza civitate Thraciæ, qui erat discipulus unius ex iis qui sunt apud nos diaconi, nomine Psertæ: hic ergo Maximinus cum incidisset in morbum torminis intestinorum, desperatus fuerat ab omnibus. Cum id autem rescivissent ejus parentes, Byza venerunt Lampsacum ad eum sepeliendum: et cum eum accepissent eum lectulo, fide ducti, ferunt eum in sanctam ecclesiam, et eum ponunt in ingressu episcopi, per quem Dei servus erat transiturus. Cum vero in eum locum venisset sanctus vir Parthenius, et vidisset eum in lecto jacentem, et ejus parentes lamentantes, et omnes, qui cum eis aderant, lacrymantes, ipse quoque est lacrymatus: et cum flexisset genua, Deum pro ipso est precatus, et virtute ac gratia Domini nostri Jesu Christi, ad ipsum re-

A νῶς προσηύξατο πρὸς τὸν Θεὸν περὶ αὐτοῦ· καὶ παραχρῆμα ἀπῆλθεν ἀπ' αὐτοῦ ὁ δαίμων, καὶ ἐκαθαρίσθη. Ἔλαβον δὲ αὐτὸν οἱ γονεῖς αὐτοῦ ὑγιῆ, καὶ ἀπῆλθον δοξάζοντες τὸν Θεόν.

Ζ'. Ἀλεξανδρία δέ τις ὀνόματι ἀπὸ Ἀρίβης τῆς κατὰ Ἄβυδον δρακοντιαῖον ἔχουσα πνεῦμα, συρίζουσα καὶ ἀναιροῦσα πολλούς, ἠνέχθη πρὸς τὸν δοῦλον του Θεοῦ, καὶ ἐπιτιμήσας τῷ πνεύματι, ἰάσατο αὐτήν, καὶ ἀπέλυσεν εἰς τὰ ἴδια. Συνοδίου δέ τινος ἀπὸ Ἀβύδου θυγατέρα παρθένον ὑπὸ πνεύματος ἀκαθάρτου ἐλαυνομένην ἐν τοῖς ὄρεσιν συλλαβόμενοι οἱ ταύτης γονεῖς ἤγαγον πρὸς τὸν δίκαιον· καὶ ἐπιθεὶς τὰς χεῖρας καὶ ἐπευξάμενος ἰάσατο αὐτήν. Ἄλλον Ἀξανόν τινα στρατιώτην, ἔχοντα πάντα τὰ μέλη B αὐτοῦ παρειμένα, ἤγαγον πρὸς τὸν δοῦλον τοῦ Θεοῦ, ὃν ὕδατι βρέχων καὶ ἐπευχόμενος, ὑγιῆ εἰς τὸν οἶκον αὐτοῦ ἀπέστειλε περιπατοῦντα· Ἕτερον δέ τινα Σύρον τῷ γένει, ὀνόματι Ἀλαβᾶν, τῇ ἐνεργείᾳ τοῦ πονηροῦ τοῦ ἐνοικοῦντος δαίμονος ἐκ τοῦ διστέγου των κατηχουμενίων τῆς ἁγίας ἐκκλησίας ἧς ἔκτισεν ὁ ἅγιος ἀνὴρ κρεμασθέντα καὶ νεκρὸν ἀποτελεσθέντα ἐπιστὰς τῷ πτώματι ὁ δοῦλος τοῦ Θεοῦ, δι' εὐχῆς κἀκεῖνον ἐζωοποίησε καὶ τὸν δαίμονα ἀπ' αὐτοῦ ἐφυγάδευσεν. Ἔκτροπος ἐκ τῆς Παρέας ἤγαγε τὴν ἑαυτοῦ γαμετὴν πρὸς τὸν ὅσιον ἔχουσαν πνεῦμα ἀκάθαρτον, καὶ παρεκάλει πολλά, ἵνα εὔξηται ὑπὲρ αὐτῆς, ὅπως ἰαθῇ ἀπὸ τοῦ ἐνοχλοῦντος αὐτὴν δαίμονος. Ὁ δὲ εἴξας τῇ παρακλήσει, προσλαβόμενος αὐτήν, καὶ ἐμφυσήσας εἰς τοὺς ὀφθαλμοὺς αὐτῆς, C καὶ ἐπευξάμενος ἐπὶ τὴν κεφαλὴν αὐτῆς δοξάζων τὸν Θεόν, ἄπεισι εἰς τὸν οἶκον αὐτοῦ ἅμα αὐτῇ. Ἀκακίαν δέ τινα ἀπὸ τοῦ κτήματος οὖσαν τοῦ λεγομένου Κηλλίου, ὑπὸ Πνεύματος ἀκαθάρτου συντριβομένην ἤγαγον πρὸς αὐτὸν καὶ τῇ δυνάμει τοῦ Κυρίου ἐκβαλὼν τὸ δαιμόνιον, ὑγιῆ ἀπέλυσεν. Εὐχερία τις ὀνόματι, γαμετὴ Ἀγαπίου μαγιστριανοῦ Ἡρακλεώτου ὑπὸ φαρμακείας ἐπηρεασθεῖσα καὶ τὰ ἐντὸς διατρωγομένη, ἠνέχθη πρὸς τὸν ὅσιον, καὶ ἐν τρισὶν ἡμέραις ἐπευξάμενος αὐτῇ καὶ τοῦ ἐλαίου τῶν ἁγίων ποτίζων, ὑγιῆ ἀπέστειλεν εἰς τὸν οἶκον αὐτῆς.

Η'. Μαξιμῖνός τις ὀνόματι ἀπὸ Βύζης (3) τῆς πόλεως Θρᾴκης, μαθητεύων ἑνὶ τῶν παρ' ἡμῖν διακόνων, ὀνόματι Ψέρτην, — οὗτος ὁ Μαξιμῖνος ἀρρωστίᾳ δυσεντερίῳ περιπεσών, ἀπεγνώσθη. Μαθόντες D δὲ οἱ τούτου γονεῖς, ἦλθον ἀπὸ Βύζης ἐν Λαμψάκῳ ἐπὶ τὸ θάψαι αὐτόν. Καὶ λαβόντες αὐτὸν σὺν τῷ κλινιδίῳ, πίστει φερόμενοι ἄγουσιν αὐτὸν ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, καὶ τιθέασιν αὐτὸν ἐν τῇ εἰσόδῳ τοῦ ἐπισκόπου, δι' ἧς ἔμελλεν ἀνιέναι ὁ δοῦλος τοῦ Θεοῦ. Ἐλθὼν δὲ ὁ ὅσιος ἀνὴρ καὶ ἰδὼν αὐτὸν ἐν τῇ κλίνῃ ἄπνουν κείμενον, καὶ τοὺς γονεῖς ὀλοφυρομένους, καὶ πάντας τοὺς συμπαρόντας κλαίοντας, ἐδάκρυσε καὶ αὐτός, καὶ κλίνας τὰ γόνατα προσηύξατο πρὸς τὸν Θεὸν περὶ αὐτοῦ, καὶ τῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ ἐπέστρεψε τὸ πνεῦμα αὐτοῦ ἐπ' αὐτόν, καὶ ἀνεκάθισεν ὁ νεκρὸς καὶ ἤρξατο λαλεῖν. Δοὺς δὲ

(3) Urbs Thraciæ a Ptolemæo nominata III, 11. Plinius IV, 11 : « Byzia, arx regum Thraciæ, a Terei nefasto crimine invisa hirundinibus. »

αὐτῷ χεῖρα ἀνέστησεν καὶ ἀπέδωκε τοῖς γονεῦσιν, ὡς πᾶσαν τὴν πόλιν δοξάζειν τὸν Θεὸν ἐπὶ τῷ γεγονότι. Γυνὴ δέ τις διάκονος, Ἀσήρμου κώμης τῆς Χερσονήσου, ὀνόματι Θεοφίλα καὶ σὺν αὐτῇ Ῥουφῖνα ἀείπαις ἐκ τῆς αὐτῆς κώμης, ὑπὸ πνεύματος ἀκαθάρτου πάρετος γεγονυῖα, ἠνέχθησαν τῷ ἁγίῳ ἀνδρί, ἃς ἐν ἡμέραις ὀλίγαις, ὕδωρ ἐπιβρέχων καὶ ἐπευχόμενος, τῇ δυνάμει τοῦ Κυρίου ὑγιεῖς ἀπέπεμψεν εἰς τὰ ἴδια. Ἱλαρίου τινὸς πρεσβυτέρου ἀπὸ Σανσαδίας, υἱὸς μονογενής, ὀνόματι Θαλάσσιος, ὑπὸ πνεύματος πονηροῦ ἔξω τῶν φρενῶν γενόμενος, ἠνέχθη τῷ ὁσίῳ· ὃν καὶ ἐπευχόμενος ἐν ὅλαις ἑπτὰ ἡμέραις εἰς τὸ κατὰ φύσιν ἤγαγεν, καὶ εὐχαριστοῦντα τῷ Κυρίῳ σὺν τῷ Πατρὶ ἀπέλυσεν. Γραΐδα δέ τινα πενιχρὰν ὀνόματι Καλιόπην καὶ σὺν αὐτῇ ἑτέραν κόραν, ὀνόματι Κυριακήν, ἀμφοτέραις ὑπὸ πνεύματος ἀκαθάρτου παιδευομένας ἤνεγκαν πρὸς αὐτόν, καὶ διὰ τῆς πρὸς Θεὸν εὐχῆς ἐθεράπευσεν· δούς τε αὐταῖς καὶ τὰ πρὸς διατροφὴν ἀπέλυσεν.

versus est spiritus: et statim assedit, qui fuerat mortuus, et cœpit loqui. Data autem ei manu, fecit eum surgere, et sanum reddidit parentibus, adeo ut universa civitas Deum laudaret propter factum miraculum. Quædam autem mulier diaconissa, nomine Theophila, ex Asermo vico Cherronesi, et cum ipsa, Rufina impubes ex eodem vico, ab immundo spiritu dissoluta, et effecta paralytica, allatæ sunt ad sanctum virum. Quas paucis diebus aqua irrigans et precans, virtute Domini sanas emisit ad suos. Hilarii cujusdam presbyteri ex Ausadia filius unigena, nomine Thalassius, qui a maligno spiritu fuerat mente motus, portatus est ad sanctum. Quem cum accepisset, orans totos septem dies, reduxit ad naturam, et Domino agentem gratias, cum patre remisit ad patriam. Vetulas vero quasdam duas pauperes, quarum uni nomen erat Calliope, alteri vero Cyriaca, quæ ambæ ab immundo spiritu castigabantur, tulerunt ad Sanctum: qui per suas ad Deum preces ambas curavit. Cum autem eis quoque dedisset ea quæ erant ad victum necessaria, dimisit in pace.

Θ'. Πρὸς δὲ τούτοις καὶ τοῖς ἄλλοις τοῖς ἀνεκδιηγήτοις θαυμασίοις συνέβη τότε τὸ ταμιακὸν βαφεῖον τῆς πορφύρας ὑπὸ πνεύματος ἀκαθάρτου ἐνσκήψαντος, ἐμποδίζεσθαι, καὶ μὴ ἀποτελεῖν τὴν ἐξ ἔθους βαφήν, ἀλλὰ καὶ φανερῶς ἐπιφαίνεσθαι τὸν ἀκάθαρτον δαίμονα τοῖς βαφεῦσιν καὶ μὴ συγχωρεῖν τὸ βασιλικὸν ἀποτελεῖσθαι ἔργον, ὡς ἐκ τούτου πολὺν κίνδυνον καὶ ζημίαν ὑπομένειν τοὺς δουλεύοντας καὶ τοὺς βαφεῖς. Ταῦτα μαθὼν ὁ ὅσιος ἀνήρ, προθύμως εἰς τὸν τοῦ βαφείου παρεγένετο τόπον, καὶ προσκαλεσάμενος τὸν ἐνεργοῦντα ἀκάθαρτον δαίμονα, καὶ ἐπιτιμήσας αὐτὸν ἐπὶ τῷ φοβερῷ καὶ ἁγίῳ ὀνόματι τοῦ Θεοῦ, ἄφαντον αὐτὸν πεποίηκεν ἀπὸ πάσης τῆς ἐνεργείας, ἐκείνου κράξαντος εἰς ἐξάκουσιν πάντων, ὅτι ὑπὸ πυρὸς ἐλαύνεται εἰς τὴν γέενναν τοῦ πυρός. Κελεύσαντος δὲ τοῦ ἁγίου ἐγέμισαν οἱ βαφεῖς τοὺς λέβητας, καὶ παρόντος αὐτοῦ ἐγχέλων ἔριον καὶ τὴν δέουσαν βαφὴν ἀνεμποδίστως ἐξ ἐκείνου ἐδέχετο καὶ εἰς τὸν μετέπειτα χρόνον· καὶ οὕτως ἐῤῥύσθησαν οἵ τε πολιτευόμενοι καὶ οἱ βαφεῖς πάντες τοῦ βασιλικοῦ κινδύνου.

IX. Præter hæc autem et alia, quæ narrari non possunt, sancti hujus viri miracula, accidit ut officina quoque, in qua tingebatur purpura, impediretur ab immundo spiritu, qui in eam incubuerat, et non efficeret eam quam solebat tincturam: sed etiam immundus dæmon appareret tinctoribus, et opus imperatoris non sineret effectum reddere: adeo ut ex hac re magnum periculum et damnum servi sustinerent et tinctores. Quamobrem cum rescivisset homo Dei Parthenius et ab eis fuisset rogatus, prompto et alacri animo venit ad locum officinæ: et cum advocasset immundum operantem dæmonem, et eum increpasset terribili et sancto nomine Christi, fecit eum evanescere ab omnibus finibus, illo clamante omnibus audientibus: Tanquam ab igne expellor in gehennam ignis. Cum autem jussisset Sanctus, tinctores impleverunt lebetes, et eo præsente immiserunt lanam. Ea vero ab illo tempore, eam, quam oportebat tincturam citra ullum impedimentum accepit etiam in futurum. Sicque et qui gerebant rempublicam, et tinctores omnes liberati fuerunt a periculo imperatoris.

Ι'. Τεράστιον θαῦμα γενόμενον ὑπὸ τοῦ ὁσίου τούτου Πατρὸς ἡμῶν Παρθενίου ἀκούσατε. Ἐν τῷ καιρῷ τῆς τῶν θύννων ἁλείας ὅτε οἱ μὲν ἰχθύες ὁρῶντο τοῖς ἁλιεῦσιν, ὡς ἤδη ἐν χερσὶν ὑπάρχοντες· χαλωμένων δὲ τῶν δικτύων οὐδὲν πλέον ἤνυον ἢ τὸν κόπον μόνον ὑπέμενον. Τοῦτο δὲ ὑπὸ διαβολικῆς αὔρας τὸ ἐμπόδιον ὑπῆρχεν, οὐκ εἰς ἓν ἢ δεύτερον ἐμπόριον γενόμενον, ἀλλ' εἰς ὅλην τὴν παραλίαν, ἄχρις Ἀβύδου. Καὶ συναχθέντες ἅπαντες ἐπὶ τῷ αὐτῷ, ἐδεήθησαν τοῦ δικαίου ἀνδρός, εὔξασθαι πρὸς τὸν Θεὸν περὶ αὐτῶν. Εὐχομένου δὲ αὐτοῦ μετὰ νηστείας καὶ κλαυθμοῦ, ἐφανέρωσεν αὐτῷ ὁ Θεὸς τὴν σατανικὴν ἐνέργειαν. Ὁ δὲ διεγερθεὶς οὐκ ὤκνησεν παραγενέσθαι ἐν ἑκάστῳ ἐμπορίῳ ἕως Ἀβύδου, καὶ εὐλογῶν ὕδωρ καὶ ἐμβάλλων ἅλας, ἐπικαλούμενος τὸν Θεὸν

X. Audite aliud quoque magnum miraculum, quod factum est a sancto Patre nostro Parthenio. Tempore piscationis thynnorum, cernebantur quidem pisces a piscatoribus, tanquam qui jam essent in manibus. Cum laxarentur autem retia, nihil proficiebant, sed laborem inanem sustinebant. Fuit vero hoc a diabolica aura impedimentum non in uno tantum aut altero emporio, sed in tota regione maritima usque ad Abydum. Omnes autem simul congregati, rogarunt virum justum, ut Deum pro eis precaretur. Eo vero precante cum jejunio et fletu, Deus ei aperuit causam et Satanicam operationem. Experrectus autem, citra moram profectus est in unum quodque emporium usque ad Abydum, et aquam benedicens, et sal injiciens (5), et

(5) Vide hic aquam benedici cum sale.

Deum invocans, jussit afferri retia, et eo præsente piscium consuetam facere piscationem. Tunc cum magno gaudio sua retia laxantes, Domini virtute et sancti precibus, tanta bona consecuti sunt in piscatione, ut præteriti temporis defectum suppleverint. Sedente autem viro sancto in emporio Catapteleæ, cum piscatio fieret piscium, reteque traheretur, thynnus maximus e reti exsiliens, se projecit ad pedes sancti. Quem cum signasset, et precatus esset, jussit scindi et distribui fratribus ad gloriam Dei.

XI. Aliquando Heracleotem quemdam nomine Callistum, cui a diabolica operatione fuerant pedes soluti, duxerunt ad beatum Parthenium. Quem quidem, cum esset precatus, et curasset virtute Domini, propriis pedibus ambulantem remisit in domum suam, lætantem et Deum glorificantem. Alium autem quemdam, nomine Lesbum, ex insula, quæ dicitur Oa, duxerunt ad hominem Dei. Qui quidem a pedibus ad caput usque erat totus ulceratus, a leproso nihil differens. Eum oleo ungens et precans tribus diebus, sanum remisit ad suos. Ex magnis ergo et multis miraculis, quæ a sancto Patre nostro Parthenio Dei gratia facta sunt, partem, prout potui, significavi vestræ charitati : non tanquam de Patre et decore verba faciens ad eum ornandum, propter id, quod dicitur : «Perdet Dominus omnes, qui loquuntur mendacium [2]:» sed res ipsæ testantur, etiam quæ fiunt post ejus obitum. Unde etiam cum eo adhuc vivo usus aliquando eum vocasset, ivit in Thraciæ metropolim Heracleam : et conveniens archiepiscopum, qui illic erat, nomine Hypatianum, qui ad extrema fere erat redactus, rogavit causam morbi. Cum per divinam autem revelationem cognovisset beatus Parthenius, eum castigari propter avaritiam, ut qui res pauperum usurparet, et eos illis privaret, mane ivit rursus ad eum visendum, et ei dicit : Surge, magne domine. Non enim laboras infirmitate corporis, sed castigaris propter morbum animæ. Hæc ergo depone, et rursus evades sanus. Respondit ægrotus et dixit: Scio ego quoque me esse peccatorem, et ideo castigari. Sed ora pro me, rogo te, ut lever meis iniquitatibus. Dicit ei sanctus Parthenius : Si quis in hominem peccaverit, de eo fortasse exaudietur oratio : morbus autem tuus ad Deum tendit. Quæ sunt ergo pauperum, redde Deo, et eris semper sanus animo et corpore. Tunc is ad se rediens, dixit : Revera, Pater, peccavi Domino meo : Dominus vero justus : et protinus accersito suo œconomo, jussit in medium afferri, quidquid auri collectum fuerat ex pauperibus. Cum autem satis auri fuisset allatum, sanctum rogavit episcopus, ut id distribueret pauperibus. Ille vero non sustinuit, dicens : Cum Deus tibi det vires, tu per teipsum redde eis, quæ sua sunt.

A ἐπέῤῥαινε τοῖς δικτύοις καὶ ἐπέτρεπε παρόντος αὐτοῦ τὴν συνήθη ἄγραν τῶν ἰχθύων ποιήσασθαι. Τότε χαλῶντες μετὰ πολλῆς χαρᾶς τὰ δίκτυα, τῇ δυνάμει τοῦ Κυρίου καὶ τῇ εὐχῇ τοῦ ὁσίου τοσούτων ἀγαθῶν ἐντὸς ἐγένοντο ἅπαντες ἐν τῇ ἄγρᾳ, ὡς καὶ τοῦ παρελθόντος χρόνου ἀναπληρῶσαι τὸ λεῖπον. Καθημένου δὲ τοῦ ἁγίου ἀνδρὸς ἐν τῷ κατὰ Πτελαίας ἐμπορίῳ, καὶ γινομένης τῆς ἄγρας τῶν ἰχθύων, ἑλκομένου τοῦ δικτύου, θῦνος μέγιστος ἐκ τοῦ δικτύου προσπηδήσας, ἔῤῥιψεν ἑαυτὸν εἰς τοὺς πόδας τοῦ ἁγίου ἀνδρὸς, ὅνπερ σφραγίσας καὶ ἐπευξάμενος ἐκέλευσεν κατατμηθῆναι καὶ τοῖς ἀδελφοῖς διαδοθῆναι εἰς δόξαν Θεοῦ.

ΙΑ'. Ἡρακλεώτην μονηρίῳ ἐκ διαβολικῆς ἐνεργείας παρεθέντα τοὺς πόδας ὀνόματι Κάλλιστον ἤγαγον πρὸς τὸν μακάριον, ὃν ἰασάμενος τῇ δυνάμει B τοῦ Κυρίου ἰδίοις ποσὶν περιπατοῦντα ἀπέπεμψεν εἰς τὸν οἶκον αὐτοῦ. Ἕτερον δέ τινα ὀνόματι Λέσβιον ἀπὸ τῆς νήσου τῆς λεγομένης Ὦας ἤγαγον πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ ὅλον ἡλκωμένον ἀπὸ τῶν ποδῶν ἕως κεφαλῆς, μηδὲν διαφέροντα λεπροῦ, ὃν ἀλείφων ἐλαίῳ, καὶ ἐπευχόμενος ἐν τρισὶν ὅλαις ἡμέραις ὑγιῆ ἀπέστειλεν. Ἐκ πολλῶν δὲ καὶ μεγάλων θαυμασίων ὑπ' αὐτοῦ χάριτι Χριστοῦ γεγονότων ἐν μέρει καθ' ὃ ἠδυνήθην ἐγνώρισα τῇ ἀγάπῃ ὑμῶν, οὐχ ὡς διδασκάλου ποιούμενος λόγον ἐπὶ τὸ σεμνῦναι, διότι « ἀπολεῖ Κύριος πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος, » ἀλλ' αὐτὰ τὰ πράγματα μαρτυρεῖ καὶ μετὰ τέλος γινόμενα· χρείας αὐτὸν καλεσάσης, κατέλαβε τὴν μητρόπολιν Ἡράκλειαν τῆς Θρᾴκης, καὶ συντυχὼν τῷ ἐκεῖσε ἀρχιεπισκόπῳ ἐσχάτως ἔχοντι, ἐπύθετο τῆς ἀῤῥωC στίας τὸ αἴτιον. Γνοὺς δὲ διὰ θείας ἀποκαλύψεως ὅτι φιλαργυρίας ἕνεκα παιδεύεται, νοσφιζόμενος τὰ τῶν πτωχῶν, καὶ τούτους στερίσκων, τῇ ἕωθεν ἀπῆλθε πάλιν εἰς ἐπίσκεψιν αὐτοῦ καὶ εἶπεν αὐτῷ· Ἔγειρε, ὁ μέγας. Οὐ γὰρ ἀῤῥωστίαν σωματικὴν ἔχεις, ἀλλὰ νόσῳ ψυχικῇ παιδεύῃ· ταύτην ἀπόθου, καὶ αὖθις ὑγιαίνεις. Λέγει αὐτῷ ἐκεῖνος· Οἶδα καὶ αὐτὸς ὅτι ἁμαρτωλός εἰμι καὶ τούτου χάριν παιδεύομαι· ἀλλ' εὖξαι ὑπὲρ ἐμοῦ ὅπως κουφισθῶ τῶν ἀνομιῶν μου. Λέγει αὐτῷ ὁ ὅσιος· Ἐὰν εἰς ἄνθρωπόν τις ἁμάρτῃ, ἴσως ἡ περὶ αὐτοῦ εὐχὴ ἀκουσθήσεται· τὸ σὸν νόσημα εἰς Θεὸν συντείνει. Ἀπόδος οὖν τὰ τῶν πτωχῶν τῷ Θεῷ, καὶ ἔσῃ ὑγιὴς ψυχῇ τε καὶ σώματι. Τότε εἰς αὑτὸν ἐλθὼν εἶπεν· Ἐπ' ἀληθείας, Πάτερ, ἡμάρτηκα τῷ Κυρίῳ· ὁ δὲ Κύριος δίκαιος. Καὶ προσκαλεσάμε- D νος τὸν διέποντα αὐτοῦ, ἐκέλευσεν εἰς μέσον ἐλθεῖν πᾶν τὸ ψρυσίον τὸ ἐκ τῶν πτωχῶν συναχθὲν, καὶ ἠνέχθη χρυσίον ἱκανόν. Παρεκάλει δὲ τὸν ὅσιον ὁ ἐπίσκοπος, διαδοῦναι αὐτὸ τοῖς πτωχοῖς· ὁ δὲ οὐχ ἥλατο (4) εἰπὼν, τοῦ Θεοῦ ἐνισχύοντος σε, σὺ δι' ἑαυτοῦ ἀπόδος αὐτοῖς τὰ αὐτῶν. Τότε καθεσθεὶς ἐπὶ φορίῳ ἀπῆλθεν εἰς τὸ μαρτύριον τῆς ἁγίας μάρτυρος Γλυκερίας, καὶ συναγαγὼν πάντας τοὺς πενομένους τῆς πόλεως, πᾶσι διέδωκεν ἀφειδῶς. Ὁ δὲ φιλάνθρωπος Θεὸς ὁ τὰ δύο λεπτὰ τῆς πενιχρᾶς χήρας μὴ παριδὼν, καὶ τὴν πλουσίαν πρόθεσιν τῆς χήρας ἐπὶ

[2] Psal. x, 7.

(4) Sic. ms. ; fort. οὐχ εἵλετο.

Ἠλίου τοῦ προφήτου ἀποδεξάμενος, καὶ τῆς ἐναγοῦς πόρνης τὰ δάκρυα μὴ ἀποστραφεὶς, καὶ τοῦ τελώνου τὸν στεναγμὸν δικαιώσας, αὐτὸς καὶ τοῦ προῤῥηθέντος ἀρχιεπισκόπου τὴν μετάμελον εἰσδεξάμενος, ἐν τρισὶν ἡμέραις τελείαν παρέσχε τὴν ὑγείαν.

Tunc is sedens in lectica, ivit ad templum sanctæ martyris Glyceriæ : et cum congregasset omnes pauperes civitatis, affatim omnibus distribuit. Benignus autem et clemens Deus, qui viduæ duo minuta non despexit numismata, et rursus dives viduæ propositum acceptum habuit tempore Eliæ prophetæ, et pauperis flagitiosæque meretricis lacrymas non est aversatus, et publicani suspirium comprobavit, ipse quoque prædicti archiepiscopi acceptam habens pœnitentiam, in tribus diebus ei perfectam præbuit sanitatem.

ΙΒʹ. Ὁ δὲ τοῦ Θεοῦ θεράπων Παρθένιος περιῆγεν ἐφ' ἑκάστης τοὺς εὐκτηρίους οἴκους τῆς πόλεως, τὰς συνήθεις εὐχὰς ἐπιτελῶν· ἐν οἷς εἰσελθὼν ἐν τῷ κατὰ Χίλας μαρτύριον οὕτως ἐπιλεγόμενον, εὗρεν ἐκεῖ τινα κατακείμενον ὅλον ξηρόν. Αἰτήσας δὲ ἔλαιον καὶ ἐπευξάμενος, κλίνας τε τὰ γόνατα, μετὰ δακρύων ἐδέετο τοῦ Θεοῦ περὶ αὐτοῦ, καὶ ἀναστὰς ἐκ τῆς προσευχῆς, ἠρέμα καὶ κατὰ μικρὸν τοῦτον τῷ ἐλαίῳ διαμαλάσσων, εὐθὺς καὶ παραχρῆμα ἀνέστησεν, καὶ ὑγιῆ εἰς τὰ ἴδια ἰδίοις ποσὶν ἀπιέναι ἀπέτρεψεν. Τούτου δὲ γενομένου τοῦ παραδόξου θαύματος ἐν Ἡρακλείᾳ τῇ πόλει, πάντες ὅσοι εἶχον ἀσθενείας, κατέδραμον πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ, καὶ τῇ δυνάμει τοῦ Χριστοῦ ὑγιεῖς ὑπέστρεφον ἅπαντες. Συμπαρῆν δὲ αὐτῷ καὶ Ὑπατιανὸς, ὁ κατ' ἐκείνου καιροῦ ἀρχιδιάκονος τῆς πόλεως Ἡρακλείας, ὅτε τὰ θαυμάσια ἐγένοντο. Ὅπερ θεασάμενος, πίπτει εἰς πόδας τοῦ ἁγίου ἀνδρὸς παρακαλῶν αὐτὸν μετὰ δακρύων, ὅτι ἐν κτήματι αὐτοῦ ἔσπαρται πολλὰ, ὑπὸ δὲ τῆς ἀβροχίας ἅπαντα ἐξηράνθη· ἀλλὰ παραγενοῦ ἐπὶ τὸν τόπον καὶ πρόσευξαι πρὸς τὸν Θεὸν, ὅπως παράσχῃ ὑετὸν τῇ γῇ, ἵνα σωθῇ πᾶσα ἡ πατρίς. Ὁ δὲ ὅσιος ἀνὴρ προθύμως ἐπὶ τὸ προκείμενον ἐβάδιζε· καὶ γενόμενος κατὰ τὸν τόπον, καὶ ἰδὼν ἅπαντα ἐξηραμμένα, κλίνας τὰ γόνατα καὶ τὰς χεῖρας εἰς οὐρανοὺς ἀνατείνας, μετὰ δακρύων ἐδέετο τοῦ Θεοῦ καταπέμψαι ὑετὸν τῇ γῇ εἰς καρποφορίαν. Ὁ δὲ φιλάνθρωπος Θεὸς ὁ ἀεὶ τὸ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν, ἔτι τῆς εὐχῆς ἐν τῷ στόματι τοῦ ἁγίου οὔσης, συνεσχέθη ὑπὸ νεφῶν ὁ οὐρανὸς καὶ κάτεισιν ὑετὸς καὶ ἐκόρεσε πᾶσαν τὴν γῆν. Εἰσελθόντων δὲ αὐτῶν ἐν τῷ ἀγρῷ, ἐπεζήτησεν οἴκημα, ἐν ᾧ τὰς εὐχὰς ἐκτελέσει. Καὶ εἰσήγαγεν αὐτὸν ὁ ἀρχιδιάκονος ὁ κύριος τοῦ ἀγροῦ εἰς ἕνα τῶν κοιτωνίσκων, καὶ διενυκτέρευσεν ἐκεῖ ἐν ταῖς προσευχαῖς, καὶ τῇ ἕωθεν προσκαλεσάμενος τὸν ἀρχιδιάκονον, ἔφη αὐτῷ· Πρόσεχε ἑαυτῷ· οὐ γὰρ ἀγνοεῖς, ὡς ἐπαιδεύθη ὁ ἐπίσκοπος διὰ φιλαργυρίαν· ἔδειξεν γάρ μοι ὁ Θεὸς ἐν τῇ νυκτὶ ταύτῃ, ὅτι ἐπίσκοπος γενήσῃ οὐ μετὰ πολλὰς ἡμέρας. Ὅρα οὖν, ἵνα τῶν πτωχῶν πρόνοιαν ποιῶν ἔσῃ· τοῦτο γὰρ ὑπὲρ πάντα τὸν Θεὸν θεραπεύει.

XII. Dei vero servus Parthenius quotidie obibat sacras ædes civitatis, consuetas preces in eis peragens. Quodam autem die in martyrium, quod Achilas dicitur, invenit illic hominem quemdam jacentem omnino aridum. Cujus misertus, cum oleum petiisset, flexis genibus, cum lacrymis oravit pro ipso benignum et clementem Deum. Et cum deinde surrexisset a precatione, sensim et paulatim eum sancto oleo molliens, protinus et ipsa hora fecit eum sanum surgere, et jussit eum suis pedibus ad suos redire Deum glorificantem. Cum hoc autem terribile et quod opinionem superat miraculum factum esset in Heraclea civitate, quicunque habebant ægrotos, cum eis concurrebant ad Dei hominem Parthenium, et virtute Domini nostri Jesu Christi, omnes revertebantur sani. Simul vero cum eo aderat etiam Hypatianus, qui illo tempore erat archidiaconus civitatis Heracleæ, quando hæc fiebant miracula. Quæ cum vidisset, procidit ad pedes sancti viri, rogans eum cum lacrymis et dicens, quod in prædio multo sua quidem sunt seminata, propter pluviæ autem egestatem omnia sunt exsiccata. Sed, veni ad locum, dicebat, o venerande Pater, et ora Deum, ut terræ præbeat pluviam, ut conservetur universa nostra patria. Venerandus vero et sanctus vir Parthenius, ivit prompto et alacri animo. Cumque venisset ad locum, et vidisset omnia exsiccata, lacrymatus est, flexisque genibus diu precans eum lacrymis, clementem Deum rogavit, ut pluviam in terram demitteret ad fructus producendos. Benignus autem et clemens Deus, qui semper facit voluntatem eorum qui ipsum timent[3], cum adhuc preces essent in ore ejus, tectum fuit cœlum nubibus, et descendit multa pluvia, et satiavit terram. Ingressis autem ipsis in agrum, quæ sivit habitaculum, in quo preces suas perageret. Archidiaconus vero Hypatianus, qui fuit etiam agri dominus, introduxit eum in unum ex suis cubiculis. Qui pernoctavit illic in orationibus: et cum mane accersiisset archidiaconum, dixit ei: Attende tibi, o frater ; non enim ignoras episcopum tuum fuisse castigatum propter avaritiam. Ostendit enim mihi Deus hac nocte, te non multis post diebus futurum episcopum. Vide ergo, ut semper curam geras pauperum, hoc enim Deum placat super omnia.

ΙΓʹ. Παρεκάλει οὖν αὐτὸν ὁ ἀρχιδιάκονος, ἵνα ἀπέλθῃ εἰς τὸ κτῆμα καὶ ἐπεύξηται ταῖς χώραις καὶ ταῖς ἀμπέλοις· ἐν οἷς εἰσελθὼν εἰς μίαν μεγίστην χώραν μηδὲν ἔχουσαν εἶπεν αὐτῷ· Διὰ τί αὐτὴν οὐκ ἔσπειρας μεγίστην οὖσαν; Ὁ δὲ σύνδακρυς γενόμε-

XIII. Sanctum autem rogavit archidiaconus, ut veniret in suum prædium, et bene precaretur agris et vitibus. Ingressus vero beatus in unam maximam regionem, quæ nihil habebat, dixit ei : Cur non seminasti eam, cum sit maxima ? Archidiaconus

3 Psal. CXLIV, 19.

autem lacrymans, dixit : Seminata quidem est, o bone : sed mea peccata et pluviæ defectus eam, ut vides, exsiccavit. Dicit ei sanctus : Quot modios tibi præbuit Deus ex hac regione? Ille dixit: Mille, o bone. Sanctus autem dixit ei : Ne sis tristis, o frater. Omnia sunt possibilia credenti.Sed Deus tibi dicit per me peccatorem, quod si in tempore æstatis fructum qui ex hoc agro nascitur, solum triveris, invenies sicut dixisti,mille modios,quoniam leve est in conspectu Domini hæc facere. Eum quoque introduxit in vineam recens plantatam : erat autem omnino exsiccata et exesa a vermibus, propter pluviæ egestatem : erat vero totus satis amplus,ut caperet sementem octoginta modiorum. Beatus autem sale injecto, totam vitem conspersit, et dixit archidiacono: Esto bono animo: nam Deus dat tibi ex hoc loco satis magnam benedictionem, sicut ei placet.Cum vero ingressi essent in civitatem, ivit ad episcopum,ut ei valediceret, et navigaret. Ille autem ei processit obviam,et eum est complexus.Ii vero cum assedissent,sanctus dixit episcopo : Annuntio tibi,o domine,quod post non multos hos dies excedes e corpore,et migrabis ad Dominum. Ecce enim Christus te accersiit,qui est verus Deus noster, et bonum successorem relinques,ut mihi revelavit Dominus, dominum Hypatianum, tuum archidiaconum.Dixit episcopus: Fiat voluntas Domini. Et cum se invicem osculati essent in osculo sancto,Heraclea sanctus navigavit Parthenius, et venit in suam civitatem Lampsacum.

XIV. Accidit autem non multis post diebus, ut morbo correptus Heracleæ episcopus, in Christo requiesceret.Pro ipso vero factus est episcopus dominus Hypatianus archidiaconus, convenienter ei quod dixerat servus Dei Parthenius.Cum esset autem æstas, egressus episcopus Hypatianus in agrum suum ad colligendos fructus terræ, et metendum id quod erat natum ex exsiccata et squalida regione, invenit mille modios plenos frumento,convenienter verbo servi Dei Parthenii. Similiter vero in tempore quoque vindemiarum,ex plantatione exsiccatarum vinearum Deus dedit magnam vini quantitatem.Qui cum experientia accepisset eventum ejus, quod sanctus prædixerat,decimam fructuum utrorumque,nempe tam aridorum quam humidorum, navi impositam duxit Lampsacum,ut sancto offerret, maximas ei agens gratias. Ille autem noluit accipere,dicens domino Hypatiano episcopo: Deo agens gratias in omnibus,eas distribue nostris fratribus,et cum se invicem salutassent, reversus est sanctus episcopus Heracleam, et distribuit frumentum et vinum suis fratribus,ut jusserat homo Dei. Episcopus ergo Hypati anus non cessavit usque ad finem vitæ,narrare omnibus Dei magnalia quæ fecit cum ipso per servum suum Parthenium.

XV.Cum ergo in hac pia et angelica vita refulsisset in terra Dei servus et vir venerandus Parthenius, et multos convertisset a simulacris ad Deum virum, perinde ac morbo arreptus,a Deo vocatus,requie-

A νος ἔφη· Ἔσπαρται, δέομαί σου· ἀλλ' αἱ ἐμαὶ ἁμαρτίαι καὶ ἡ ἀδροχία ταύτην, ὡς ὁρᾷς, ἀπεξήρανεν. Λέγει αὐτῷ ὁ ὅσιος· Πόσους μοδίους παρεῖχέν σοι ὁ Θεὸς ἐκ τῆς χώρας ταύτης; Ὁ δὲ εἶπεν· Χιλίους, δέομαί σου. Ὁ δὲ ὅσιος εἶπεν αὐτῷ· Μὴ ἀθύμει· πάντα δυνατὰ τῷ πιστεύοντι. Πλὴν λέγει σοι δι' ἐμοῦ τοῦ ἁμαρτωλοῦ, ὅτι ἐν τῷ καιρῷ τοῦ θέρους τὸν γινόμενον καρπὸν τῆς χώρας ταύτης κατὰ μόνας ἀλοήσας, εὑρήσεις, καθὼς εἴρηκας, τοὺς χιλίους μοδίους, διότι κοῦφον ἐνώπιον Θεοῦ ποιῆσαι ταῦτα. Εἰσήγαγεν δὲ αὐτὸν καὶ εἰς ἀμπελῶνα νεόφυτον, καὶ ἦν ἐξηραμμένος ὅλος καὶ σκωληκόβρωτος ἐκ τῆς ἀβροχίας. Ἦν δὲ ὁ τόπος ἱκανὸς ὡς μοδίων ὀγδοήκοντα σπόρου· καὶ ἐμβαλὼν ἅλας κατέῤῥανεν πάντα τὸν ἀμπελῶνα, καὶ εἶπεν τῷ ἀρχιδιακόνῳ· Εὔθυμος B ἔσο, διότι δίδωσίν σοι ὁ Θεὸς ἐκ τοῦ τόπου τούτου ἱκανὴν εὐλογίαν κατὰ τὸ αὐτῷ ἀρεστόν. Καὶ εἰσελθόντων εἰς τὴν πόλιν, ἀνῆλθε πρὸς τὸν ἐπίσκοπον συντάξασθαι αὐτῷ καὶ ἀποπλεῦσαι. Ὁ δὲ ὑπήντησεν αὐτῷ, καὶ περιεπτύξατο. Καθισάντων δὲ αὐτῶν, εἶπεν ὁ ὅσιος τῷ ἐπισκόπῳ· Εὐαγγελίζομαί σοι, κύρι ὁ μέγας, ὅτι οὐ μετὰ πολλὰς ταύτας ἡμέρας ἐκδημεῖς ἐκ τοῦ σώματος, καὶ ἐνδημεῖς πρὸς τὸν Κύριον. Ἰδοὺ γὰρ προσκέκληταί σε καὶ καλὸν διάδοχον καταλείπῃς, ὡς ἀπεκάλυψέν μοι ὁ Θεὸς, τὸν κύριν Ὑπατιανὸν τὸν ἀρχιδιάκονόν σου. Ὁ δὲ ἐπίσκοπος ἔφη· Τὸ θέλημα τοῦ Κυρίου γενέσθω· καὶ ἀσπασάμενοι ἀλλήλους ἐν φιλήματι ἁγίῳ οὕτως ἀπέπλευσεν ὁ ὅσιος ἀπὸ Ἡρακλείας καὶ κατέλαβε τὴν ἰδίαν πόλιν Λαμψάκων.

C ΙΔ'. Ἐγένετο δὲ λετ' οὐ πολλὰς ἡμέρας, νόσῳ ληφθεὶς ὁ ἐπίσκοπος Ἡρακλείας ἀνεπαύσατο ἐν Χριστῷ, καὶ ἐγένετο ἀντ' αὐτοῦ ἐπίσκοπος ὁ κύρις Ὑπατιανὸς ὁ ἀρχιδιάκονος κατὰ τὸν λόγον τοῦ θεράποντος τοῦ Θεοῦ Παρθενίου. Ἀκμάσαντος τοῦ θέρους, ἐξελθὼν ὁ ἐπίσκοπος Ὑπατιανὸς εἰς τὸν ἀγρὸν αὐτοῦ ἐπὶ τὸ συνάξαι τοὺς καρποὺς τῆς γῆς καὶ ἀλοῆσαι τὸ γέννημα τῆς χώρας τῆς ἐξηραμμένης, εὗρεν τοὺς χιλίους μοδίους τοῦ σίτου πλήρεις κατὰ τὸ ῥῆμα τοῦ δούλου τοῦ Θεοῦ Παρθενίου. Ὡσαύτως δὲ καὶ ἐν τῷ καιρῷ τῆς τρύγης ἐκ τῆς φυτείας τῶν ξηρανθέντων ἀμπέλων πολὺ πλῆθος οἴνου ὁ Θεὸς ἐδωρήσατο· ὃς τῇ πείρᾳ παρειληφὼς τῆς προῤῥήσεως τοῦ ὁσίου τὴν ἔκβασιν, ἀμφοτέρων τῶν καρπῶν τὰς δεκάτας τῆς τε ξηρᾶς καὶ ὑγρᾶς ἐμβαλὼν ἐν πλοίῳ, ἀπήγαγεν ἐν Λαμψάκῳ προσφορᾶς χάριν τῷ ὁσίῳ. D Ὁ δὲ οὐκ ἤλατο δέξασθαι εἰπὼν τῷ κυρῷ Ὑπατιανῷ τῷ ἐπισκόπῳ· Εὐχαριστῶν τῷ Κυρίῳ ἐν πᾶσιν, διάδος αὐτὰ τοῖς ἀδελφοῖς· καὶ ἀσπασάμενοι ἀλλήλους, ὑπέστρεψεν ὁ ἐπίσκοπος ἐν Ἡρακλείᾳ τῇ πόλει, καὶ διέδωκε τὸν σῖτον καὶ τὸν οἶνον τοῖς ἀδελφοῖς κατὰ τὴν κέλευσιν τοῦ ἀνθρώπου τοῦ Θεοῦ. Ὁ οὖν ἐπίσκοπος Ὑπατιανὸς οὐκ ἐπαύετο ἄχρι τῆς ζωῆς αὐτοῦ πᾶσι διηγούμενος τὰ μεγαλεῖα τοῦ Θεοῦ, ἃ ἐποίησεν μετ' αὐτοῦ Παρθενίου.

ΙΕ'. Ἐν ταύτῃ τῇ ἀγγελικῇ πολιτείᾳ διαλάμψας ἐφὶ γῆς καὶ πολλοὺς ἐπιστρέψας ἐκ τῶν εἰδώλων ἐπὶ τὸν ἀληθινὸν Θεὸν τὸν ζῶντα καὶ ὥσπερ νόσῳ ληφθεὶς, κληθεὶς ὑπὸ τοῦ Θεοῦ ἀνεπαύσατο ἐν εἰρήνῃ.

Ὁ οὖν ἐπίσκοπος ὁ προῤῥηθεὶς Ὑπατιανὸς ἀκούσας τοῦ ἀοιδίμου ἐν Χριστῷ τὴν μετάστασιν, καταλιπὼν τὰ ἐν χερσὶν, ἀπάρας ἐκ τῆς πόλεως Ἡρακλείας, οὐρίῳ πνεύματι, τοῦ Θεοῦ κελεύσαντος, τῇ αὐτῇ νυκτὶ καταλαμβάνει τὴν Λάμψακον. Ὡσαύτως καὶ ὁ Κυζίκου ἀρχιεπίσκοπος καὶ ὁ Μελίτου πόλεως ἐν ᾗ καὶ ἐγεννήθη, καὶ ὁ Παρίου Εὐστάθιος καὶ οἱ λοιποὶ τῶν πέριξ πόλεων, καὶ οὕτως μετὰ ψαλμῶν καὶ ὕμνων κατέθεντο αὐτὸν πλησίον τῆς ἐκκλησίας ἐν τῷ εὐκτηρίῳ, ὃ αὐτὸς ᾠκοδόμησεν. Ἐτελειώθη ὁ θεράπων τοῦ Θεοῦ Παρθένιος κατὰ Ῥωμαίους μηνὶ Φεβρουαρίῳ ϛʹ, κατὰ δὲ Ἀσιανοὺς πεντεκαιδεκάτῃ, διδάγματα οὐ μικρὰ καταλείψας ἡμῖν διὰ τῆς τελείας εἰς τὸν Θεὸν καὶ ἀκλινοῦς πίστεως αὐτοῦ, ὃς καὶ κατὰ τέλος τῇ πρὸς τὸν Θεὸν ἱκεσίᾳ οὐκ ἠρεμεῖ θαυματουργῶν, δαίμονας ἀπελαύνων καὶ πᾶσαν νόσον ἰώμενος, τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, προσκύνησις καὶ τῷ παναγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A vit in pace. Prædictus ergo Hypatianus episcopus cum audivisset inclytum et venerandum Patrem nostrum Parthenium ad Christum migrasse, relictis omnibus quæ habebat in manibus, solvens ex civitate Heraclea, secundo vento cum Deus jussisset, eadem nocte pervenit Lampsacum. Similiter etiam Cyzici episcopus, et episcopus Meliti, in qua fuerat natus, et Parii episcopus nomine Eustachius, et reliqui ex civitatibus quæ erant circumcirca. Sicque cum psalmis et hymnis et spiritalibus canticis deposuerunt eum prope ecclesiam in oratorio quod ipse ædificavit. Dormiit autem sanctus Christi servus Parthenius septimo mensis Februarii, non parva nobis relicta doctrina per perfectam et immobilem B ejus in Deum fidem. Qui etiam post decessum sua ad Deum supplicatione non cessat facere miracula, dæmones expellens, leprosos mundans, et omnem morbum et ægritudinem curans virtute et gratia Domini et Dei et Servatoris nostri Jesu Christi : cui gloria et potentia, nunc et semper et in sæcula sæculorum. Amen.

DE S. NICEPHORO MARTYRE ANTIOCHIÆ IN SYRIA.

(Circa an 258, Februarii die 9. — *Acta SS. Bolland.* ad hanc diem.)

1. Inter atroces persecutiones primis sæculis a Romanis imperatoribus illatas Christianis, octava censetur a Valeriano, cum filio Gallieno imperante, anno imperii quarto, Christi 257, mota, in qua illustriores martyres occubuerunt Romæ SS. Stephanus et Sixtus pontifices, Laurentius archidiaconus; Carthagine, S. Cyprianus ; in Oriente, S. Nicephorus, de quo hic agimus, alibi alii.

2. Acta hujus martyris nacti sumus duplicia ex Græco ms. codice regis Franciæ, perantiqua diuque ante tempora Metaphrastæ conscripta : priora incerto auctore sunt, quæ Metaphrastes nonnihil interpolata edidit, quæque a Gentiano Herveto Latine versa vulgarunt Lipomanus et Surius. Nos eadem damus, sed quæ desunt in ms. Græco, aut tanquam postea adjuncta, alio distinguimus charactere, ac fere in notationibus explicamus. Titulus horum Græce hic est : Ἄθλησις τοῦ ἁγίου μεγαλομάρτυρος Νικηφόρου, καὶ κατὰ μνησικακίας. « Certamen sancti magnique martyris Nicephori, et contra injuriarum memoriam. »

3. Græci celebrant 9 Februar. officio ecclesiastico S. Nicephorum martyrem, ut eorum Menologia, Horologia, Anthologia, Menæa, indicant. In Menologio cardinalis Sirleti, a Canisio edito, hæc leguntur : « Sancti martyris Nicephori, qui Valeriano et Gallieno imperatoribus martyrium perpessus est. » Ex pluribus encomiis, quæ in Menæis exstant, unum hoc auctore Joanne monacho e Vesperis decerptum damus : « Manifeste omnibus ostendisti, o invicte Nicephore, eum, qui proximum non amat, neque Doominum posse diligere. Quapropter quia sincero amore complexus es Sapricium conservum tuum, ad divinum alacris assumptus est amorem, animamque tuam ob fidem confessionemque Christi dedisti. Infelix vero Sapricius, quia irreconciliabile adversus te odium detinuit, etiam Christum Deum negavit. »

ΑΘΛΗΣΙΣ

ΤΟΥ ΑΓΙΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΝΙΚΗΦΟΡΟΥ

ΚΑΙ ΚΑΤΑ ΜΝΗΣΙΚΑΚΙΑΣ

CERTAMEN

SANCTI ET MAGNI MARTYRIS NICEPHORI

ET CONTRA INJURIARUM MEMORIAM.

(Græca ex cod. Reg. ms. Paris. n. 1453, sæc. X, nunc primum prodeunt. EDIT. PATR.)

CAPUT I.

S. Nicephori et Sapricii ex summa amicitia odium infestissimum.

I. In illo tempore erat quidam presbyter (1) *in magna Antiochia Syriæ*, nomine Sapricius. Erat autem quidam quoque alius, qui appellabatur quidem Nicephorus: erat vero ordine laicus, et admodum germanus amicus ejusdem presbyteri. Seque ambo sic mutuo diligebant, ut existimarentur esse fratres germani, nati ex uno utero; adeo ut esset excellens amor eorum mutuus. Cum longo autem tempore vixissent in hac affectione, bono et honesto infestus et sceleratissimus humani generis inimicus, eis invidens, talem inter eos peperit dissensionem, ut nec in platea quidem vellent sibi invicem occurrere, ex dæmonico odio, quod inter se invicem conceperant.

II. Cum satis vero longo tempore ita fuissent affecti, ad se rediens Nicephorus, et cognoscens odium esse diabolicum, rogavit amicos quosdam, ut irent ad presbyterum Sapricium, et rogarent eum pro Nicephoro, ut ei culpam condonaret, et eum pœnitentia ductum acciperet *propter Dominum*. Ille autem noluit ei condonare. Is vero rursus misit alios amicos, ut ei reconciliaretur. Presbyter autem Sapricius ne eos quidem rogantes audire sustinuit. Rursus ergo Nicephorus rogavit alios quosdam amicos, et misit ad ipsum, ut ei dignaretur sui delicti veniam concedere: ut *convenienter divino eloquio*[1], « in ore duorum vel trium testium staret omne verbum. » Ille autem cum esset duro corde, et implacabilis, et oblitus esset Domini nostri Jesu Christi, qui dicit: « Remittite, et remittetur vobis[2], » *et* (2) *rursus*: *Si offeras donum tuum ad altare, et recordatus fueris, quod habes aliquid adver-*

A Α'. Ἦν τις πρεσβύτερος ὀνόματι Σαπρίκιος οὕτω καλούμενος, καὶ ἦν ἄλλος Νικηφόρος λεγόμενος, τῇ τάξει λαϊκὸς, φίλος ὑπάρχων τοῦ αὐτοῦ πρεσβυτέρου γνήσιος· καὶ οὕτως ἀλλήλους ἠγάπων ἀμφότεροι, ὡς νομίζεσθαι ἀδελφοὺς γνησίους ὑπάρχειν ἐκ μιᾶς κοιλίας γεννηθέντας, ὡς ὑπερβαίνειν τὴν ἀγάπην ἣν εἶχον πρὸς ἀλλήλους κατὰ τὴν ἀνθρωπείαν φύσιν. Ἐν τῷ οὖν διάγειν αὐτοὺς οὕτως ἐπὶ πολὺν χρόνον ἐν τῇ τοιαύτῃ διαθέσει, ὁ μισόκαλος ἐχθρὸς τοῦ ἀνθρωπίνου γένους ἐπιφθονήσας αὐτοῖς, ἐποίησεν ἀνὰ μέσον αὐτῶν τοιαύτην διχόνοιαν, ὥστε μήτε ἐν πλατείᾳ θέλειν ἀλλήλοις ἀπαντᾷν ἐκ τοῦ δαιμονικοῦ μίσους, ὃ ὑπῆρχεν αὐτοῖς.

Β'. Καὶ ἐν τῷ οὕτως εἶναι αὐτοὺς ἐν τῇ πονηρίᾳ B χρόνον ἱκανὸν, εἰς ἑαυτὸν ἐλθὼν ὁ Νικηφόρος καὶ γνοὺς, ὅτι διαβολικόν ἐστι τὸ μῖσος, παρεκάλεσε φίλους τινὰς, ἵνα ἀπέλθωσι πρὸς τὸν πρεσβύτερον Σαπρίκιον, καὶ παρακαλέσωσιν αὐτὸν ὑπὲρ Νικηφόρου, ὅπως αὐτῷ τὴν αἰτίαν συγχωρήσῃ καὶ δέξηται αὐτὸν μετανοοῦντα. Ἐκεῖνος δὲ οὐκ ἠνέσχετο συγχωρῆσαι αὐτῷ. Καὶ πάλιν ἐκ δευτέρου πέμπει ἄλλους φίλους τοῦ διαλλαγῆναι αὐτῷ· ὁ δὲ Σαπρίκιος καὶ τούτων παρακαλούντων οὐκ ἠνέσχετο. Ὁ δὲ ἅγιος Νικηφόρος καὶ πάλιν παρεκάλεσεν ἄλλους φίλους ἀγαπητοὺς, ἵνα ἀξιωθῇ τοῦ σφάλματος συγχώρησιν λαβεῖν, « ὅπως ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθῇ πᾶν ῥῆμα. » Ἐκεῖνος δὲ σκληροκάρδιος ὢν καὶ ἀμείλικτος, ἐπιλαθόμενος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγοντος· « Ἄφετε, καὶ ἀφεθήσεται C ὑμῖν· καὶ ἐὰν μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος

[1] Deut. XIX, 17; Matth. XVIII, 16; Luc. VI, 37. [2] Matth. V, 23, et c. VI, 15.

(1) Desunt in ms. Græco hæc verba de loco martyrii, uti etiam in sequenti Vita et Menæis.

(2) Desunt hæc quoque in ms. Græco; et recte, quia infra eadem leguntur.

ἀφήσει ὑμῖν τὰ παραπτώματα ὑμῶν· » πάντων A αἰτούντων καὶ παρακαλούντων, οὐ συνεχώρησεν αὐτῷ.

sus fratrem tuum, dimitte id, et vadens, reconciliare fratri tuo, et rursus: «Nisi remiseritis hominibus delicta eorum, nec Pater vester cœlestis remittet vobis delicta vestra: » omnibus eum rogantibus et petentibus, non condonavit (3) *fratri et amico suo. Non enim habebat in se charitatem et misericordiam : quamobrem jure fuit privatus regno cœlorum*,

Γ'. Ὁ δὲ εὐλαβέστατος τοῦ Θεοῦ καὶ πιστότατος Νικηφόρος, ὡς εἶδεν ὅτι κατεφρόνησεν ὁ Σαπρίκιος τῶν κοινῶν φίλων, οἵτινες ὑπὲρ αὐτοῦ συγγνώμην αἰτοῦντες οὐκ ἔλαβον, αὐτὸς δραμὼν εἰς τὸν οἶκον Σαπρικίου, ῥίπτει ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ λέγων· Συγχώρησόν μοι, Πάτερ, διὰ τὸν Κύριον· ὁ δὲ οὐδὲ οὕτως ἠθέλησεν διαλλαγῆναι αὐτῷ ὡς φίλος φίλῳ, καὶ μάλιστα παρακαλούμενος καὶ χρεωστῶν χωρὶς παρακλήσεως ἐκ πρώτης ἀπολογίας δέξασθαι αὐτὸν ὡς Χριστιανὸς καὶ πρεσβύτερος καὶ τῷ Κυρίῳ δουλεύειν ἐπαγγειλάμενος.

III. *Piissimus autem et fidelissimus Nicephorus*. Nicephorus, cum vidit Sapricium despexisse communes amicos, qui pro eo petentes, veniam non acceperunt, ipse currens ad ædes Sapricii, se projicit ad pedes ejus, dicens: Condona mihi, Pater, propter Dominum. Ille vero ei noluit reconciliari ut amico, et maxime cum rogaretur : *et maxime* cum deberet, etiamsi non fuisset rogatus, a' prima excusatione eum accipere, ut Christianus et presbyter, et qui professus erat servire Domino.

CAPUT II.

Sapricius renuens odium deponere, martyrio excidit.

Δ'. Ὡς οὖν ταῦτα οὕτως διεπράττοντο, ἐξαίφνης B γίνεται διωγμὸς καὶ θλῖψις μεγάλη ἐν τῇ πόλει, ὅπου ἀμφότεροι κατῴκουν. Κρατεῖται δὲ ὁ Σαπρίκιος καὶ παραδίδοται τῷ ἡγεμόνι, καὶ ὡς ἔστη ἔμπροσθεν αὐτοῦ, ὁ ἡγεμὼν εἶπεν· Τί τὸ ὄνομά σου; Σαπρίκιος ἔφη· Σαπρίκιος καλοῦμαι. Ὁ ἡγεμὼν λέγει· Ποίου γένους εἶ; Σαπρίκιος εἶπεν· Χριστιανός εἰμι. Ὁ ἡγεμὼν εἶπεν· Κληρικὸς ἢ λαϊκός; Ὁ δὲ Σαπρίκιος ἔφη· Πρεσβυτέρου τάξιν ἔχω. Ὁ ἡγεμὼν λέγει· Οἱ Αὔγουστοι ἡμῶν καὶ κύριοι ταύτης τῆς χώρας καὶ τῶν ὁρίων Ῥωμαίων Οὐαλεριανὸς καὶ Γάλλος ἐκέλευσαν, ὅπως οἱ ἑαυτοὺς λέγοντες Χριστιανοὺς τοῖς ἀθανάτοις καὶ ἀϊδίοις θεοῖς θύσωσιν· εἰ δέ τις καταφρονῶν διαπτύει, γινωσκέτω ἑαυτῷ διαφόροις βασάνων τιμωρίαις καμφθῆναι, καὶ οὕτως χαλεπωτάτῳ θανάτῳ κατακριθῆναι. Ὁ δὲ Σαπρίκιος παρεστηκὼς C εἶπεν πρὸς τὸν ἡγεμονα· Ἡμεῖς οἱ Χριστιανοὶ Χριστὸν τὸν βασιλέα ἔχομεν, ὅτι ἀληθινὸς Θεός ἐστιν καὶ Ποιητὴς οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης καὶ πάντων τῶν ἐν αὐτοῖς· πάντες δὲ οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια εἰσιν. Ἀπολέσθωσαν τοίνυν ἀπὸ προσώπου πάσης τῆς γῆς οἱ μηδενὶ δυνάμενοι βοηθῆσαι ἤ τινα βλάψαι ἢ συμποδίσαι ἔργα χειρῶν ὄντες ἀνθρώπων.

IV. Cum hæc autem sic fierent, repente exsistit persecutio et magna afflictio in Antiochia (4) civitate, ubi ambo habitabant: et apprehenditur Sapricius *ut Christianus*, et traditur præsidi : et stetit ante ipsum, et dixit ei præses : Quod est nomen tuum? Ille autem dixit : Vocor Sapricius. Dicit præses : Cujusnam es generis? Dixit Sapricius : Sum Christianus. Præses dixit : Es clericus (5)? Dixit Sapricius : Locum teneo presbyteri. Dicit præses: Augusti nostri et domini hujus regionis et filium Romanorum, Valerianus et Gallus, jusserunt, ut, qui se dicunt esse Christianos, sacrificent diis immortalibus (6). Si quis vero despiciens, respuit hoc edictum, sciat se diversis tormentis et suppliciis plectendum, et sic gravissima morte esse condemnandum. Sapricius autem astans, dixit præsidi: Nos Christiani, *o præses*, Christum Deum habemus Regem, quoniam ipse est solus verus Deus, et Creator cœli et terræ et maris, et omnium quæ sunt in eis. Omnes vero dii gentium dæmonia, et pereant a facie universæ terræ, qui non possunt alicui opem ferre, aut aliquem lædere aut impedire, cum sint opera manuum hominum.

E'. Τότε ὀργισθεὶς ὁ ἡγεμὼν ἐκέλευσεν βληθῆναι αὐτὸν εἰς κοχλίαν, καὶ σφοδρῶς βασανίζεσθαι αὐτὸν οὕτως πικρῶς. Εἶπεν ὁ Σαπρίκιος τῷ ἡγεμόνι· Εἰς τὴν σάρκα μου ἐξουσίαν ἔχεις πράττειν τὴν ὠμότητά σου, ἐν δὲ τῇ ψυχῇ μου οὐδεμίαν ἐξουσίαν, εἰ μὴ ὁ Κύριος Ἰησοῦς Χριστὸς, ὁ κτίσας αὐτήν. Καὶ βασανισθεὶς ἐπὶ πολὺ, ὑπέμεινεν τὰς βασάνους. Ἰδὼν δὲ ὁ δικαστὴς, ὅτι οὐ πείθει αὐτὸν ἔδωκεν αὐτῷ τὴν ἀπόφασιν εἰπών· Σαπρίκιον τὸν πρεσβύτερον, βασι- D λικῶν προσταγμάτων καταφρονοῦντα καὶ ἀνήκοον γεγονότα τοῖς τε ἀθανάτοις θεοῖς μὴ θελήσαντα

V. Tunc iratus præses, jussit eum projici in cochleam, jubens eam vehementer versari (7). Cum is ergo adeo acerbe et inhumane torqueretur, dixit Sapricius præsidi : Carnis meæ habes potestatem, animæ autem meæ potestatem non habes, sed Dominus Jesus Christus, qui eam creavit. Longo vero tempore tortus, sustinuit tormenta. Cum vidisset autem *improbus et maliliosus* judex eum non persuaderi, tulit in eum sententiam, dicens : Sapricium presbyterum, qui edicta contemnit imperatorum, et non paruit, nec

(3) In ms. « Non condonavit ei; » reliquis ad finem omissis.

(4) Deest in ms. et in Joannis quoque Sardium archiepiscopi oratione. urbis nomen..

(5) Ms. Græcum : « Es clericus an laicus? »

(6) Addit ms. « et æternis. »

(7) Hæc minus perfecte in ms. leguntur : « Et vehementer versari adeo superbo. Dixit Sapricius. »

liis immortalibus voluit sacrificare, ut qui a spe :hristianorum mon tulerit excidere, jubemus radi supplicio capitis.

VI. Cum ergo ipse esset egressus, accepta maryrii sententia, et festinaret ad cœlestem coroıam; audivisset autem S. Nicephorus, currens ei rocessit obviam, et se projicit ad pedes ejus, dicens : Martyr Christi, ignosce mihi, quoniam peccavi in te. Ille autem nihil ei respondit : *excæcaum enim fuerat cor ejus a malo dæmone*. S. Nicephorus eum rursus prævenit per aliam viam, et i occurrit, priusquam ipse egrederetur e civitae, et rogavit eum, dicens : Martyr Christi, conona mihi ea, quæ in te peccavi ut homo. Ecce nim de cætero data est tibi corona a Christo, uem non negasti, sed confessus es nomen ejus anctum coram multis testibus. Ille autem *durus t implacabilis*, odio cor habens obcæcatum, neue ei dedit veniam, neque ei verbum voluit respondere, adeo ut ipsi lictores dicerent S. Nicehoro : Tam stultum hominem nunquam vidiıus. Vadit ad supplicium capitis, et quomodo etis veniam ab eo, qui jam est moriturus? Dicit is S. Nicephorus : Nescitis, quid petam a conıssore Christi : Deus autem scit.

VII. Et cum venisset ad locum, in quo erat inırimendus Sapricius, rursus ei dixit Nicephorus : *logo te, martyr Christi, ignosce mihi si quid peclvi, ut homo*. Scriptum est enim [3] : « Petite, et abitur vobis (8). » Sed eo hæc dicente et quæ sunt is similia, non audivit sævus et durus amicus: nec exus est sodalis asperrimus, *nec fuit mollitus tots inflexibilis. Non enim audivit illud* : *Diliges lominum Deum ex toto corde tuo, et proximum uum sicut teipsum* [4]: *sed* clausit aures *cordis sui t corporis*, ut aspis surda et clauda, quæ non xaudivit vocem incantantium. Propterea *qui personam non respicit* [5], et verus est Dominus qui dit : « Si non tremiseritis hominibus delicta eorum, *neque Pater noster cœlestis remittet vobis decta vestra* [6] : *et in qua mensura metieris fratri tuo, in ea remetietur tibi.* »

VIII. Dominus cum vidisset eum nulla tangi proimi misericordia (9), jure eum privavit regno suo elestissimo (10), ille vero seipsum alienavit a gratia ælesti et ab æternis Dei bonis, propter injuriæ a atre acceptæ recordationem: et maxime quod in ermanum et veterem amicum fuisset animo crueli, immani et irreconciliabili. Tunc dicunt lictoıs Sapricio: Flecte genua tua, ut caput tibi ampuıtur. Dicit autem eis Sapricius : Quare? Dicunt ei ctores: Quoniam noluisti diis sacrificare, sed conımpsisti edictum imperatoris propter hominem, ıi dicitur Christus. Hæc cum audiisset miser Saricius, respondit lictoribus, *hanc miseram et triem vocem*, dicens: Nolite me ferire. Facio enim, uæ jusserunt imperatores, et diis sacrifico. Sic

A θῦσαι, ὡς τῆς ἐλπίδος τῶν Χριστιανῶν ἐκπεσεῖν μὴ ἀνασχόμενον, κεφαλικῇ τιμωρίᾳ παραδοθῆναι προστάττω.

Ϛ'. Ἐν τῷ οὖν ἐξελθεῖν αὐτὸν λαβόντα τὴν ἀπόφασιν τοῦ μαρτυρίου καὶ πρὸς τὸν οὐράνιον στέφανον σπεύδοντα, ἀκούσας ὁ ἅγιος Νικηφόρος, καὶ δραμὼν ὑπήντησεν αὐτῷ, καὶ ῥίπτει ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ λέγων. Μάρτυς τοῦ Χριστοῦ, σύγχώρησόν μοι ἔτι, ἥμαρτον εἰς σέ· ἐκεῖνος δὲ οὐκ ἀπεκρίθη αὐτῷ λόγον. Ὁ δὲ ἅγιος Νικηφόρος πάλιν προλαμβάνει ἑαυτὸν δι' ἄλλης ὁδοῦ καὶ συναντᾷ αὐτῷ πρὸ τοῦ ἐξελθεῖν τὴν πόλιν καὶ ἐδέετο αὐτοῦ λέγων· Δέομαί σου, μάρτυς τοῦ Χριστοῦ, δός μοι συγγνώμην καὶ σύγχώρησον, ὧν εἰς σὲ ἥμαρτον ὡς ἄνθρωπος. Ἰδοὺ λοιπὸν ὁ στέφανός σοι δίδοται παρὰ Κυρίου, B ὃν οὐκ ἠρνήσω, ἀλλ' ὡμολογήσας αὐτὸν ἐνώπιον πολλῶν μαρτύρων. Ἐκεῖνος δὲ πεπωρωμένην τὴν καρδίαν ἔχων, οὔτε συγγνώμην αὐτῷ δέδωκεν οὔτε τινὰ λόγον ἠθέλησεν αὐτῷ ἀποκριθῆναι, ὡς καὶ αὐτοὺς τοὺς δημίους λέγειν πρὸς τὸν Νικηφόρον· Τοιοῦτον μωρὸν ἄνθρωπον οὐκ εἴδομέν ποτε· εἰς τὸ ἀποκεφαλισθῆναι ὑπάγει καὶ παρὰ ἀνθρώπου θανασίμου συγχώρησιν αἰτεῖς; καὶ λέγει ὁ ἅγιος Νικηφόρος· Οὐκ οἴδατε, τί αἰτοῦμαι τὸν ὁμολογητὴν τοῦ Χριστοῦ· ὁ Θεὸς γινώσκει.

Ζ'. Καὶ ἐλθὼν ἐπὶ τὸν τόπον ὅπου ἤμελλεν ἀναιρεῖσθαι ὁ Σαπρίκιος, ἔλεγε πάλιν ὁ ἅγιος Νικηφόρος πρὸς αὐτὸν, Ὅτι γέγραπται, « Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν. » Ἀλλὰ ταῦτα καὶ τὰ τοιαῦτα λέγον-C τος αὐτοῦ, οὐκ ἤκουεν ὁ σκληρότατος φίλος, οὔτε δὲ ἐκάμπτετο ὁ τραχύτατος ἀγαπητός· ἔκλεισεν γὰρ τὰ ὦτα αὐτοῦ ὡς ἀσπὶς κωφὴ καὶ βωβὴ, ἥτις οὐκ εἰσακούσεται φωνὴν ἐπᾴδοντος. Διὰ τοῦτο καὶ ὁ ἀψευδὴς Κύριος εἶπεν· « Ἐὰν μὴ ἀφῆτε, οὐκ ἀφεθήσεται ὑμῖν. »

Η'. Ἰδὼν αὐτὸν ὅτι οὐκ ἐκάμφθη οὔτε εἶχεν ἔλεον, οὔτε συμπάθειαν πρὸς τὸν πλησίον αὐτοῦ, ἀλλὰ ἀδιάλλακτον μῖσος, ἐστέρησεν αὐτὸν τῆς ἑαυτοῦ θείας χάριτος, μᾶλλον δὲ ἐκεῖνος ἀλλότριον ἑαυτὸν D ἐποίησεν τῆς ἐπ' οὐρανίου χάριτος διὰ τὴν πρὸς τὸν ἀδελφὸν καὶ μάλιστα φίλον γνήσιόν καὶ ἀρχαῖον ὠμότητα καὶ ἀσπλαγχνίαν καὶ ἀδιάλλακτον προαίρεσιν. Τότε λέγουσιν οἱ δήμιοι πρὸς τὸν Σαπρίκιον· Κάμψον τὰ γόνατά σου, ἵνα ἀποκεφαλισθῇς. Καὶ λέγει ὁ Σαπρίκιος· Διὰ τι; Λέγουσιν αὐτῷ· Ὅτι οὐκ ἠθέλησας θῦσαι, ἀλλὰ προστάγματος κατέφρόνησας δι' ἄνθρωπον λεγόμενον Χριστόν. Ταῦτα ἀκούσας ὁ ἄθλιος Σαπρίκιος, ἀπεκρίθη πρὸς τοὺς δημίους λέγων· Μὴ θελήσετέ με κροῦσαι· ποιῶ γὰρ τὰ κελευόμενα παρὰ τῶν βασιλέων ὑμῶν, καὶ θύω τοῖς θεοῖς.

[3] Matth. VII, 7. [4] Matth. XXII, 37. [5] Matth. VI, 15. [6] Matth. VII, 2.

(8) Addit ms. : « Quærite et invenietis, pulsate et)erietur vobis. »

(9) Addit ms. « sed implacabile odium servare. »

(10) Ms. « gratia cœlesti. »

Οὕτως ἐτύφλωσεν αὐτὸν ἡ μνησικακία, καὶ ἀπέστησε A τὴν χάριν ἀπ' αὐτοῦ. Ὁ γὰρ διὰ τοσούτων βασάνων μὴ ἀρνησάμενος τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἐλθὼν εἰς τὸ τέλος τοῦ θανάτου, μέλλων τὸ βραβεῖον καὶ τὸν τῆς δόξης στέφανον λαμβάνειν, ἠρνήσατο, καὶ γέγονεν ἀποστάτης.

eum excæcavit odium, et ab eo abduxit Dei gratiam. Qui enim per ejusmodi tormenta non negavit Dominum nostrum Jesum Christum, cum venisset ad finem mortis, et esset accepturus præmium et coronam gloriæ et *spei*, negavit *vitam æternam*, et fuit apostata.

CAPUT III.

Martyrium S. Nicephori.

Θ'. Ταῦτα ἀκούσας ὁ ἅγιος Νικηφόρος παρεκάλει τὸν Σαπρίκιον λέγων· Μὴ, ἀδελφὲ, μὴ ζητήσῃς παραβῆναι καὶ ἀρνήσασθαι τὸν Δεσπότην ἡμῶν Χριστόν· μὴ θέλῃς ὅλως, παρακαλῶ σε, ἀποστῆναι ἀπ' αὐτοῦ· μὴ ἀπολέσῃς στέφανον οὐράνιον, ὃν ἐκτήσω διὰ πολλῶν βασάνων. Ἐκεῖνος δὲ οὐκ ἤκουσεν ὅλως, B ἀλλ' ἐσπούδασεν εἰς ἀπώλειαν τοῦ ἐσχάτου θανάτου ἀπελθεῖν, ὃς τοσαύτην δόξαν ἐν ῥοπῇ μιᾶς ὥρας τῆς τομῆς τῆς σπάθης ἀπώλεσεν, οὕτως ἐκωφώθη καὶ ἐτυφλώθη ὁ ταλαίπωρος οὗτος ὑπὸ μνησικακίας.

ΙΗ'. Μεθ' ἡμέρας δέ τινας ἀνῆλθον πρὸς αὐτὸν δύο ἄνδρες ἐλεφαντιῶντες, ἴασιν ἐξαιτούμενοι δι' αὐτοῦ παρὰ τοῦ Θεοῦ. Ὁ δὲ λέγει αὐτοῖς · Τί ἐστι τὸ ἁμάρτημα ὑμῶν, ὅτι ἐπέπεσεν ὑμῖν ἡ τοιαύτη πληγή ; Οἱ δὲ ἀκούσαντες ταῦτα προσέπεσον αὐτῷ λέγοντες · Ἐλέησον ἡμᾶς, θεράπων τοῦ Χριστοῦ, καὶ εὖξαι τοῦ ἰαθῆναι ἡμᾶς. Ἀποκριθεὶς οὖν ὁ μα- C κάριος λέγει αὐτοῖς · Τοῦτο συμβέβηκεν ὑμῖν, ἀδελφοί, διὰ τῆς πολυορκίας ὑμων · ἀλλὰ παύσασθε τοῦ παροργίζειν Κύριον τὸν Θεὸν ὑμῶν · καὶ ταῦτα εἰπὼν, πάντας εἰς προσευχὴν προτρεψάμενος, κλίνας αὐτὸς τὰ γόνατα ἐπὶ ὥρας ἱκανὰς, ὀχετοὺς, ἐκχέας δακρύων ἱκανοὺς, ἀναστὰς ἔλαβεν ἔλαιον τῶν ἁγίων καὶ ἤλειψεν αὐτοὺς ἀπὸ κορυφῆς ἕως ποδῶν, εἰπών · Ἰᾶται ὑμᾶς Ἰησοῦς Χριστός · ἐγὼ γὰρ ἄνθρωπος ἁμαρτωλός εἰμι · εὐθέως ἐθεραπεύθησαν καὶ ἀπῆλθον μετὰ χαρᾶς εἰς τοὺς οἴκους αὐτῶν, αἰνοῦντες καὶ δοξάζοντες τὸν Θεὸν καὶ ἀπαγγέλλοντες πᾶσιν, ὅτι Ἴδομεν ἄνδρα, οἷον οὐδὲ ἐν ταῖς ἀρχαίαις γενεαῖς · εἶπε γὰρ ἡμῖν πάντα τὰ ἡμαρτημένα ἡμῖν, καὶ ὑπὲρ ἡμῶν προσκλαύσας πολλὰ τῷ Θεῷ ἐθεράπευσεν ἡμᾶς ἀλείψας ἐλαίῳ ἁγίῳ.

D

ΙΘ'. Πάλιν δὲ γυναῖκες δύο ἀπὸ Φρυγίας ἦλθον πρὸς αὐτὸν, ἡ μὲν μία τὴν κόξαν πεπληγμένη ὑπὸ ἀκαθάρτου πνεύματος, ἡ δὲ ἑτέρα ἔχουσα λεγεῶνα δαιμόνων · ἣ καὶ ὡς ἀπὸ σημείων τριῶν τοῦ ὄρους ἤρξατο κράζειν καὶ λέγειν · Τί ἐμοὶ καὶ σοί, Αὐξέντιε, ὅτι ἀπὸ Φρυγίας κολάζων με εἵλκυσας ; οὐκ οἶδας, ὅτι λεγεών εἰμι ; Ἀλλ' οἶδα ὅτι λεγεὼν σε ἀγγέλων περικυκλοῦσιν ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ, οἵτινες δέχονται σου τὰς δεήσεις τὰς καταφλεγούσας ἡμᾶς καὶ προσφέρουσι τῷ Ὑψίστῳ, δι' ὧν καὶ κολαζόμεθα. Ἰδοὺ διὰ τριάκοντα ἐτῶν μερίζεις με τῆς πλάσεως

[11] Hebr. xi, 34. [12] Marc. xi, 24.

ταύτης. Ταῦτα οὖν καὶ πλείονα τούτων λέγουσα ἔφθασεν ἔγγιστα τοῦ κελλίου, ἐν ᾧ ἦν ὁ μακάριος ἐγκεκλεισμένος, καὶ ἔῤῥηξεν αὐτὸν τὸ πνεῦμα ἔμπροσθεν τοῦ θυριδίου καὶ ἐφίμωσεν αὐτήν· ὁ δὲ διακύψας καὶ ἑωρακὼς αὐτὴν, ἐκέλευσεν ἑνὶ τῶν παρεστώτων δοῦναί χεῖρα, καὶ ἐγεῖραι αὐτήν· ἔκειτο γὰρ ἐπὶ τοῦ ἐδάφους ὡς νεκρά. Ἀναστᾶσα δὲ ἐδέετο τοῦ ὁσίου μετὰ καὶ τῆς ἄλλης γυναικὸς, κλαίουσαι σφοδρῶς καὶ γονυπετοῦσαι αὐτὸν, ἐπὶ τὸ δυσωπῆσαι τὸν Θεὸν τοῦ ἰᾶσθαι αὐτάς. Ὁ δέ φησι πρὸς αὐτάς· Πόθεν ἥκατε ἐνταῦθα, καὶ τίς ὑμῖν εἶπε περὶ ἐμοῦ, ὅτι δύναμαι θεραπεῦσαι ὑμᾶς; Ἡ οὖν βεβλαμμένην ἔχουσα τὴν κόξαν εἶπεν· Δι' ἀποκαλύψεως, δέσποτα, ἧκον ἐνταῦθα ἐγώ· ἡ δὲ τὸν λεγεῶνα ἔχουσα εἶπεν αὐτῷ· Ἐγὼ οὐκ οἶδα, πῶς ἦλθον· διὸ οἰκτειρόν με τὴν χειμαζομένην τριάκοντα ἔτη ὑπὸ λεγεῶνος. Καὶ σπλαγχνισθεὶς ἐπ' αὐταῖς καὶ προσευξάμενος ἐκτενῶς τῷ Θεῷ μετὰ δακρύων, ἐθεράπευσεν αὐτάς. Αἱ δὲ δι' ὑπερβολὴν εὐγνωμοσύνης προσπαρέμειναν ἐν τῷ ὄρει τῆς Ὀξίας, ἐν ᾧ ἦν ἑστὼς ὁ μακάριος, μὴ ὑποστρέψασαι εἰς τὰ οἰκεῖα.

Κ'. Ἄλλος δέ τις παράλυτος προσηνέχθη αὐτῷ κείμενος ἐπὶ ἁμάξης. Οἱ οὖν γονεῖς αὐτοῦ ἔπεσον ἐπὶ πρόσωπον δυσωποῦντες τὸν μακάριον μετὰ μεγάλου κλαυθμοῦ, ὥστε κατελεῆσαι αὐτοὺς καὶ ἰάσασθαι αὐτὸν, λέγοντες, ὅτι διὰ τὰς πολλὰς ἡμῶν ἁμαρτίας τοῦτο συνέβη τῷ τέκνῳ ἡμῶν. Ὁ δὲ ὅσιος Αὐξέντιος εἶπεν αὐτοῖς· Καὶ πιστεύετε ὅτι δι' ἐμοῦ τοῦ εὐτελοῦς δύναται ὁ Κύριος θεραπεῦσαι αὐτόν; Οἱ δὲ εἶπον· Ναὶ, ἄγγελε τοῦ Θεοῦ, εἰς τὴν ἡμετέραν σωτηρίαν κατεπέμφθης· πιστεύομεν, ὅτι πάντα δυνατὰ παρὰ τῷ Θεῷ· Ὁ δὲ ἔφη· Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν· καὶ λαβὼν ἔλαιον τῶν ἁγίων, ὅλον τὸ σῶμα αὐτοῦ ἀλείψας δι' ἑαυτοῦ, ὑγιῆ ἀποκαταστήσας, παρέδωκεν αὐτὸν τοῖς γονεῦσιν αὐτοῦ, οἵτινες ἀπῆλθον χαίροντες εἰς τὸν οἶκον αὐτῶν, αἰνοῦντες καὶ δοξάζοντες τὸν Θεὸν, ἐφ' οἷς ἐποίησεν μεγαλείοις διὰ τοῦ θεράποντος αὐτοῦ εἰς τὸν μονογενῆ αὐτῶν υἱόν.

ΚΑ'. Μεθ' ἡμέρας δὲ ὀλίγας γυνή τις ἀπὸ Κλαυδιουπόλεως, θυγάτηρ πολιτευομένου, ἔχουσα δαίμονα δρακοντόμορφον ἦλθε πρὸς αὐτὸν, συρίζουσα μόνον καὶ μὴ δυναμένη λαλεῖσθαι πλὴν ὡς κύων, διότι ἠρήμωσεν αὐτὴν ὁ Σατανᾶς· ἣν ἰδὼν ὁ τοῦ Θεοῦ θεράπων, ἔκλαυσεν πικρῶς λέγων· Πῶς ἐδουλώθη τὸ γένος τῶν ἀνθρώπων τῷ ἀλλοτρίῳ; αὕτη γὰρ οὐ κατὰ τὰς ἁμαρτίας αὐτῆς πέπονθε τοῦτο, ἀλλὰ κατὰ πολλὴν μισανθρωπίαν τοῦ ἀντικειμένου ἐχθροῦ. Καὶ κλείσας τὸ θυρίδιον τοῦ κελλίου, ἐπὶ ἡμέρας τρεῖς οὐ συνέτυχέν τινι, ἀλλ' ἦν δεόμενος τοῦ Θεοῦ, ἵνα τὴν τυραννίδα τοῦ δράκοντος καταπατήσῃ. Προσευχομένου δὲ αὐτοῦ ἔνδον, ἤρξατο ὁ δράκων λαλεῖν, βρύχων ἐν τῇ γυναικὶ καὶ λέγων· Ὦ ἀπὸ τῆς μήτρας τῆς γεννησάσης σε κατ' ἐμοῦ. Αὐξέντιε, πῶς οὐ κατέπαυσας τὴν τεκοῦσαν, ἀλλ' εἰς ἐμὴν ἐξώλειαν ἐγεννήθης; οἱ γὰρ ὀχετοὶ τῶν δακρύων σου κατακαίουσίν με, καὶ ἡ προσευχή σου,

A rant ab hac creatura. Hæc ergo et his plura dicens, accessit proxime cellam, in qua beatus erat inclusus, et eam discerpsit spiritus ante fenestram, et fecit eam obmutescere. Sanctus autem cum despexisset et eam vidisset, jussit uni ex iis qui aderant, ei dare manum et eam erigere; jacebat enim humi tanquam mortua. Cum vero surrexisset, rogabat sanctum cum altera muliere, vehementer flentes et ad ejus genua procidentes, ut a Deo impetraret ut ipsas curaret. Sanctus autem dicit eis: Undenam huc venistis, et quis de me vobis dixit quod possum vos sanare? Quæ vero læsam habebat coxam, dixit: Ego, o domine, huc veni per revelationem. Quæ autem habebat legionem, dixit ei: Ego nescio quomodo venerim. Quamobrem miserere mei, qui triginta annos vexor a legione. Earum itaque misertus beatus, cum Deum vehementer orasset cum lacrymis, eas curavit. Illæ autem propter insignem suam grati animi virtutem, permanserunt in monte Oxeæ, in quo stabat beatus, domum non revertentes.

B

XX. Quidam vero alius paralyticus ad eum est allatus, jacens super currum. Parentes autem ejus proni ceciderunt, rogantes beatum Auxentium cum magno fletu, ut eorum misereretur, et eum curaret, dicentes: Propter multa nostra peccata hoc accidit filio nostro. Sanctus autem Auxentius dixit eis: Et creditis, quod per me humilem et abjectum potest Deus eum curare? Illi vero dixerunt: Certe, angele Dei. Fuisti enim missus ad nostram salutem, et credimus omnia apud Deum esse possibilia. Sanctus autem dixit: Secundum fidem vestram fiat vobis: et accepto oleo sanctorum, cum totum corpus ejus per se unxisset, et eum sanum reddidisset, tradidit eum suis parentibus. Qui quidem abierunt læti in domum suam, laudantes Deum et glorificantes propter magnalia quæ fecit per sanctum servum suum Auxentium in filium eorum unigenitum.

C

XXI. Paucis autem post diebus venit mulier quædam ex Claudiopoli (5), filia cujusdam civis, quæ habebat dæmonem, formæ serpentis similem, ut quæ sibilaret solum, et non posset loqui, nisi ut canis, propterea quod eam desolasset Satanas. Quam cum vidisset Dei servus Auxentius, flevit acerbe, dicens: Hei mihi, quomodo redactum est genus hominum in servitutem alieni? Ipsa enim non est hoc passa propter sua peccata, sed propter multam sævitiam et in homines malevolentiam adversarii: et clausa fenestra cellæ, spatium trium dierum, non convenit aliquem, sed rogabat benignum Deum, ut conculcaret tyrannidem draconis. Eo autem orante in cella, cœpit draco loqui, rugiens in muliere, et dicens: O ab utero, qui te edidit, mihi infeste Auxenti, quomodo non combussisti tuam parentem, sed natus es ad mei exterminationem? Rivi enim tuarum lacrymarum me

D

(5) Claudiopolis erat metropolis Honoriadis, quæ ad Pontum Euxinum vicina est Bithyniæ provinciæ, cujus tunc erat Calogerus episcopus, qui Chalcedonensi concilio subscripsit.

comburunt, et preces tuæ tanquam tela arcus, discerpserunt mea intestina. Non potes me separare ab hac creatura. Non valde amo ejus crines, et ejus ætatem, et de cætero ex ea non egredior. Compressus autem statim fuit aer, exstiteruntque fulgura et tonitrua, et valde magnus imber. Mulierem vero discerpens draco, et ei os obstruens, eam projecit humi, ab ea egressus. Cum fenestram autem aperuisset beatus post tres dies, vidit eam jacentem tanquam mortuam : et cum jussisset iis qui astabant, eam erigere, et solam reclinare, adhortatus omnes ad orationem, cum sanctas suas manus multas horas sustulisset, clamabat cum omnibus: Gloria tibi, Domine, gloria tibi, Domine, gloria tibi, Domine. Mulier autem jacebat muta, non dans homini responsum. Post preces vero jussit eam coram se afferri : etcum dedisset ei potum ex oleo sanctorum, statim locuta est : et cum surrexisset, ambulavit, usque ad suam senectutem a monte non separata, sed precibus et sancto perpetuo assidens, et Deo agens gratias, qui eam sanavit.

A ὡς τόξον βολίδι, ἐσπάραξε τὰ ἔγκατά μου· οὐ δυνήσῃ με ἀπομερίσαι τῆς πλάσεως ταύτης, ὅτι πάνυ ἠράσθην τῶν πλοκάμων καὶ τῆς ἡλικίας αὐτῆς, καὶ οὐκ ἐξέρχομαι ἀπ' αὐτῆς. Συνεσχέθη δὲ αὐθις ὁ ἀὴρ καὶ γεγόνασι βρονταὶ, καὶ ἀστραπαὶ, καὶ βροχὴ μεγάλη λίαν. Σπαράξας δὲ τὴν γυναῖκα ὁ δράκων, καὶ φιμώσας αὐτὴν ἔῤῥιψεν ἐπὶ τὸ ἔδαφος, ἐξελθὼν ἀπ' αὐτῆς. Ἀνοίξας δὲ τὸ θυρίδιον μετὰ τρεῖς ἡμέρας ὁ μακάριος, ἴδεν αὐτὴν ἐῤῥιμμένην ὡς νεκρὰν, καὶ κελεύει τοῖς παρεστῶσιν ἐπᾶραι αὐτὴν καὶ παρὰ μίαν ἀνακλῖναι προτρεψάμενος πάντας εἰς εὐχὴν καὶ ἐπάρας τὰς ὁσίας αὐτοῦ χεῖρας ἐπὶ ὥρας πολλὰς μετὰ πάντων ἐβόα· Δόξα σοι, Κύριε, δόξα σοι, Κύριε, δόξα σοι, Κύριε. Ἡ δὲ γυνὴ κατέκειτο ἄφωνος, μὴ διδοῦσα ἀνθρώπῳ ἀπόκρισιν. B Μετὰ δὲ τὴν εὐχὴν ἐκέλευσεν αὐτὴν ἐνεχθῆναι· καὶ δεδωκὼς αὐτῇ ἐκ τοῦ ἐλαίου τῶν ἁγίων πιεῖν, παραχρῆμα ἐλάλησεν, καὶ ἀναστᾶσα περιεπάτει, ἕως γήρους αὐτῆς μὴ χωρισθεῖσα τοῦ ὄρους, ἀλλὰ προσεδρεύουσα ταῖς εὐχαῖς καὶ τῷ μακαρίῳ, καὶ εὐχαριστοῦσα τῷ ἰασαμένῳ αὐτὴν Θεῷ.

CAPUT IV.

Evocatur S. Auxentius ad concilium Chalcedonense. Miracula in via.

XXII. Post decem aut circiter annos, cum jam decessisset fidelissimus et orthodoxus imperator Theodosius minor, imperassetque venerandus et Christi amans Marcianus, fuit magna confusio et perturbatio circa dogma veræ nostræ fidei, sicut etiam cœpimus dicere superius, cum esset beatus Auxentius recessurus a rebus hujus vitæ. Quidam enim Eutyches presbyter et archimandrita unius ex monasteriis urbis regiæ, conabatur renovare deliramenta et verba quæ fuerant refutata et abolita a sanctæ et beatæ memoriæ episcopis, a Basilio, inquam, magno beatoque et luminari orbis terræ, et Gregorio inclyto theologo, et Joanne Chrysostomo, et iis similibus. Cum ergo alii quidem ejus dogma sequerentur, alii vero eadem sentirent quæ Nestorius, adeo ut venirent in periculum dogmata fidei catholicæ, videns magnus et orthodoxus imperator Marcianus Ecclesiam in magna confusione et perturbatione, decernit ut episcopi totius fere orbis terræ venirent Chalcedonem, civitatem Bithyniæ.

ΚΒ'. Τούτῳ δὴ πρὸς τοῖς δέκα μετὰ καὶ ἕτερα ἔτη τοῦ πιστοτάτου βασιλέως τετελευτηκότος, καὶ τοῦ φιλοχρίστου Μαρκιανοῦ βεβασιλευκότος, πολλὴ ταραχὴ περὶ τὸ δόγμα τῆς ἀληθοῦς πίστεως ἐγένετο, ὡς καὶ ἀνωτέρω ἀνηρξάμεθα λέγειν ἐν τῷ μέλλειν τὸν μακάριον Αὐξέντιον ὑπαναχωρεῖν τῶν C βιωτικῶν πραγμάτων. Εὐτυχὴς γάρ τις πρεσβύτερος καὶ ἀρχιμανδρίτης ἑνὸς τῶν μοναστηρίων τῆς βασιλευούσης τὰ Ἀπολιναρίου παραφρονήματα τὰ πάλαι κατηργημένα ὑπὸ τῶν τὴν ὁσίαν μνήμην θεοφιλεστάτων ἐπισκόπων, Βασιλείου τε καὶ Γρηγορίου, καὶ τῶν κατ' αὐτοὺς ἀνακαινίζειν ἐπιχειρεῖ. Τῶν μὲν οὖν τὰ τούτου ἑπομένων, τῶν δὲ τὰ Νεστορίου φρονούντων, ὡς κινδυνεύειν ἐπὶ τὰ τῆς καθολικῆς πίστεως δόγματα καὶ ἐν σύγχύσει πολλῇ τὴν Ἐκκλησίαν ὁρᾷν, ὁ δὲ βασιλεὺς θεσπίζει τοὺς τῆς οἰκουμένης σχεδὸν ἁπάσης θεοφιλεστάτους ἐπισκόπους ἀπαντῆσαι ἐν Καλχηδόνι, πολίχνῃ τῆς Βιθυνίας.

XXIII. Cum omnes ergo convenissent episcopi, adeo ut essent numero sexcenti triginta, jusserunt etiam convenire beatum Auxentium imperator et episcopi. Cum autem magnus et divinus Pater noster Auxentius resisteret, et nollet descendere, dicens non esse monachorum docere, sed potius doceri, hoc vero iis solis convenire, qui sunt honorati pontificatu : misit imperator Marcianus quosdam ex monachis et clericis, qui erant circumcirca, simul cum militibus, res ejus cognoscentes: et jussit, ut nisi vellet sua sponte venire cum eis, invitum adducerent. Illi autem cum accessissent, eum maxime urgentes, nequaquam persuasere, adeo ut conversi sint ad eum incessendum maledictis,

D ΚΓ'. Πάντων τοίνυν συνεληλυθότων, καὶ τὸν μακάριον Αὐξέντιον παρεκελεύοντο συνέρχεσθαι, ὅ τε βασιλεὺς καὶ οἱ ἐπιχώριοι τῶν ἐπισκόπων. Ὡς δὲ ἀντεῖχεν καὶ οὐκ ἠβούλετο κατίεναι, φάσκων μὴ εἶναι μοναχῶν τὸ διδάσκειν, ἀλλὰ μᾶλλον τὸ διδάσκεσθαι, μόνοις δὲ τοῖς ἀρχιερατείᾳ τετιμημένοις τοῦτο πρέπειν, ἀποστείλας ὁ βασιλεὺς Μαρκιανός τινας τῶν πέριξ μοναχῶν τε καὶ κληρικῶν μετὰ καὶ στρατιωτῶν ἐκέλευσεν γνόντας τὰ κατ' αὐτὸν, εἰ μὴ βούλοιτο ἑκουσίως συνελθεῖν αὐτοῖς, ἄκοντα παραστῆναι. Οἱ δὲ παρόντες πλεῖστα καταναγκάσαντες αὐτὸν οὐκ ἔπειθον, ὡς καὶ λοιδορίαις αὐτοὺς τραπῆναι καὶ λέγειν μὴ φρονεῖν αὐτὸν ὀρθῶς διαβεβαιοῦσθαι· ὅθεν ἐπεχείρουν καὶ κατὰ βίας αὐτὸν ἐξωθοῦν. Ὁ δὲ ἐνεδί-

δου μὲν αὐτοῖς, ἀλλ' οὔπω τελείᾳ γνώμῃ ἄνευ τῆς ἄνωθεν ῥοπῆς. Ἀγαγόντες γὰρ τεχνίτας πρὸς τὸ λῦσαι τὸν κλουβὸν, ἐν ᾧ ἦν, ὅλην τὴν ἡμέραν παραμείναντες, οὐδὲν ἴσχυσαν, καὶ τῇ ἕωθεν λέγει αὐτοῖς· Εἴπατέ μοι, ἐν τίνι κακῶς πιστεύω, καὶ εἶθ' οὕτως προνοίᾳ Θεοῦ καὶ ὁ κλουβὸς ἀνοιχθήσεται. Οἱ δὲ ἔφησαν· Ὅτε τοῦ εὐσεβεστάτου βασιλέως τοὺς ἁπανταχόθεν θεοφιλεῖς ἐπισκόπους ἐπὶ διασκέψει τῶν τῆς ἁγιωτάτης Ἐκκλησίας δογμάτων συναγαγόντος, αὐτὸς οὐ βούλει συνελθεῖν· οἶσθα γὰρ τὴν κρατοῦσαν σύγχυσιν, τῶν μὲν τοῦ Νεστορίου φρονούντων καὶ σχίσμα ἐπινοούντων διὰ τὸ ἀναιρεῖν τὴν Θεοτόκος φωνὴν ἀπὸ τῆς ἁγνῆς καὶ σεμνῆς Παρθένου καὶ Μητρὸς τοῦ Κυρίου· τῶν δὲ τὰ Εὐτυχοῦς, μᾶλλον δὲ τὰ Ἀπολιναρίου δογματιζόντων καὶ μὴ τελείως σεσαρκῶσθαι τὸν Κύριον ὁμολογούντων ἐκ σπέρματος Δαβὶδ, ἀλλὰ δοκήσει αὐτὸν ἐνηνθρωπηκέναι τερατευομένων.

ΚΔ'. Ταῦτα ἀκούσας ὁ μακάριος ἔφη· Ἐγὼ τελείως σαρκωθέντα ἐκ τῆς ἀπειρογάμου τὸν Λόγον ὁμολογῶ καὶ Υἱὸν μονογενῆ τοῦτον ὄντα προσκυνῶ, σὺν ἀνάρχῳ μὲν ὑπάρχοντα τῷ Πατρὶ κατὰ τὴν θεότητα, ἐπ' ἐσχάτων δὲ ὀφθέντα ἐξ αὐτῆς κατὰ τὴν ἀνθρωπότητα· ψιλὸν γὰρ ἄνθρωπον, ὥς τινες ληρῳδοῦσι τὸν Υἱὸν τοῦ Θεοῦ ὁμολογεῖν, ἀσεβές· ταῦτά τε εἰρηκὼς καὶ τὴν ἔνστασιν αὐτῶν ἑωρακὼς, τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείνας καὶ εὐχὴν ἐκτενῆ γενέσθαι παρασκευάσας ἐπεδίδου ἑαυτόν· τῶν δὲ θρασυνομένων καὶ πάλιν τὸν κλουβὸν καταλύειν ἐπιχειρούντων καὶ μηδὲ ὅλως ἰσχυόντων, ὁ μακάριος σφραγίσας τὸν κλουβὸν καὶ τρίτον τὸ, Εὐλογητὸς Κύριος, εἰπὼν πραείᾳ τῇ φωνῇ τοῖς τεχνίταις ἐπέταττεν, καὶ οὕτως κατὰ γνώμην αὐτοῦ τὰς περὶ τὸ θυρίδιον αὐτοῦ ἀφηλωσάντες σανίδας, ἐξέωσαν αὐτόν.

ΚΕ'. Κτήνη δὲ παρέστησαν καὶ ἅμαξαν δ' ἂν βούληται ἐπιβάντα κατιέναι· καὶ δὴ ἐπὶ κτῆνος παραιτησαμένου ἐν τῇ ἁμάξῃ σταυρώσαντες ἀνέκλιναν τὸν μακάριον. Ἦν γὰρ ἄτονος ὅλος τῷ σώματι καὶ τετάπεινωμένος ἐκ τῆς ἀσκήσεως· καὶ μάλιστα ἐκ τῶν πόνων, ὡς καὶ ἰχῶρας ἐξιέναι σὺν σκώληξιν· ἐν οἷς Θεόφιλος τις ὀνόματι, θερμότητι πίστεως προσδραμὼν, ὡς εἶδεν ἐκρυέντα τὸν αὐτοῦ ὄνυχα τοῦ μεγάλου δακτύλου τοῦ δεξιοῦ ποδὸς αὐτοῦ ἀφείλατο. Ὁ δὲ ἅγιος ἀλγήσας ἔφη αὐτῷ· Κἀγὼ ὁμοιοπαθὴς ἄνθρωπός εἰμι, καὶ μή μοι κόπους παρέχετε. Ὡς δὲ μετὰ πλείονος θορύβου τοῖς βουσὶν ἐπέταττον τοῦ ἀποκινῆσαι τὴν ἅμαξαν, οἱ ἀπεσταλμένοι οὐδὲν ἤνυον· ἀκινήτων ἐπὶ πολὺ μενόντων τῶν κτηνῶν, ἀπεινῶς τύπτειν ἐπεχείρουν καὶ τοῖς κέντροις τὴν δορὰν αὐτῶν τιτρώσκειν. Ἀνιαθεὶς τοίνυν ὁ μακάριος καὶ παύσασθαι παρεγγυήσας, τῷ σταυρῷ τῷ συνήθως ἐν χερσὶν αὐτοῦ τὰ κτήνη σφραγίσας καὶ ἠρέμα αὐτοῖς ἐπιτάξας, τὴν πορείαν ἐποιεῖτο.

ΚϚ'. Κατὰ δὲ τὴν ὁδὸν ὑπαντᾶται γεωργοῖς ὀδυρομένοις καὶ κλαίουσιν διὰ τὰ ἄλογα αὐτῶν, ὅτι

A et affirmarent eum non sapere. Conabantur itaque eum vi exturbare. Sanctus autem eis cedebat, sed nondum perfecta mente, absque superna voluntate. Nam cum duxissent artifices ad seram cellæ in qua erat solvendam, et totum diem permansissent, nihil potuerunt facere. Mane vero dicit eis: Dicite mihi, fratres et patres, in quanam re male credo: et deinde sic providentia Dei sera aperietur. Illi autem dixerunt: Quod cum pius imperator Marcianus pios, qui ubique sunt, episcopos congregaverit ad utilem considerationem dogmatum sanctissimæ Ecclesiæ, tu non vis venire. Scis enim eam, quæ nunc est, confusionem: cum alii quidem sentiant eum Nestorio et schisma moliantur, propterea quod vocem *Dei Parentis* auferant a casta et veneranda

B Virgine et Matre Domini: alii vero Eutychis et Apollinaris potius tuentur dogmata, et confitentur Dominum Jesum Christum non perfecte carnem suscepisse ex semine David, sed visione eum fuisse hominem, prodigiose asserunt.

XXIV. Hæc cum beatus audiisset Auxentius, dixit: Ego confiteor Verbum perfecte carnem suscepisse ex Virgine, non experta opus nuptiarum: et ipsum adoro, ut qui sit Filius unigenitus, qui cum Patre quidem est expers principii, quod attinet ad divinitatem; in ultimis autem diebus ex ea visus est, quod spectat ad humanitatem. Solum enim hominem, ut nonnulli nugantur, Filium Dei confiteri, est impium. Hæc cum dixisset, et eos vidisset instare, et manibus in cœlum sublatis jussisset inten-

C sam fieri precationem, non tradidit seipsum. Illis autem insultantibus, et cellam dissolvere rursus aggredientibus, et nihil omnino valentibus efficere, beatus cum signasset seram, et ter dixisset, Benedictus Dominus, miti voce imperavit artificibus, et sic ejus voluntate sublatis tabulis, quæ erant clavis affixæ ejus fenestræ, eum ejecerunt.

XXV. Astiterunt vero jumenta et currus, ut eum collocarent, ubi vellet ascendere. Cum autem recusasset locari super jumentum, strato curru, sanctum in eo reclinarunt (erat enim imbecillus et dejectus toto corpore, ex nimia exercitatione, et maxime ex laboribus, adeo ut exiret sanies cum vermibus). Inter quos quidam, nomine Theophilus, acri fide accurrens, cum vidisset effluxisse unguem magni digiti dexteri ejus pedis, eum abstulit. Sanc-

D tus vero dolens dixit: Frater, ego quoque sum homo, obnoxius iisdem quibus vos affectionibus, ne mihi exhibeatis molestiam. Cum autem cum magno tumultu imperarent bobus ii qui missi fuerant, ut emoverent currum, et nihil efficerent, diu animalibus manentibus immobilibus, cœperunt eos crudeliter verberare, et stimulis pellem eorum sauciare. Ægre ferens ergo beatus, cum jussisset eos cessare, et cruce, quam, ut solebat, habebat in manibus, signasset animalia, et eis statim imperasset, ea fecit iter ingredi.

XXVI. In via autem occurrit agricolis deflentibus et lamentantibus propter suas bestias, quod

scilicet paterentur sicut homines, vexatæ ab immundis spiritibus. Misertus itaque beatus, cum omnes jussisset intentos esse orationi, et ex imo corde suspirasset, et Deo supplicasset, eas curavit.

XXVII. Quædam autem mulier passis capillis ei mox occurrit in via, quæ etiam ad eum attulit infantem circiter trium annorum, qui possidebatur a dæmone. Justus vero cum eum vidisset, cœpit manus extendere, et lacrymas effundere, et dicere iis qui aderant: Ne existimetis, o viri, qui corde estis submersi, hunc puerum peccasse, et vexari ab immundo spiritu : sed hoc propter nos contigit et propter nostram conversionem ; erat enim vultus infantis pene conversus. Cum ergo precatus esset beatus Auxentius, et increpasset immundum spiritum, inspirans in faciem infantis, eum curavit. Egresso enim maligno et exsecrando dæmone, fuit ejus vultus sicut prius restitutus. Cumque eum sanum recepisset mulier, domum rediit læta et Deo agens gratias.

XXVIII. Rursus autem in via puella quædam, neptis Dorothei comitis, ex peregrinatione in lectica venit vexata a sævo dæmone. Quam etiam a modico spatio allisit humi immundus spiritus ex lectica. Cum autem surrexisset, scissa veste concurrit ad currum, in quo erat beatus, latrans et clamans : Quid tibi rei mecum est, Auxenti? quid me uris? quid me persequeris? Utinam abortum fecisset uterus, qui te peperit ad nostrum exitium. Ecce enim cum quatuordecim annos latuerim in hac creatura, studes me ab ea separare. Cum autem vidisset Christi servus, athleta Auxentius ejus nuditatem, cum vexaretur a dæmone, magna ira percitus, non sivit eam loqui : sed cum increpasset immundum spiritum, clamans magna voce, dixit : Egredere, immunde spiritus, ex hac creatura, in nomine Domini nostri Jesu Christi, qui incarnatus fuit ex Spiritu sancto et Maria Virgine. Stridens itaque et ejulans dæmon, exiit protinus ex puella, cum nec ei quidem fuisset omnino permissum nugari per creaturam.

XXIX. Milites autem cum clericis et monachis, qui consequebantur ex monte, cum viderent signa quæ per ipsum faciebat Servator, admirabantur, et magis dubitabant quam crederent, dicentes ei: Hæc facis, ut oculis appareant, o illusor Christi Sanctus autem subridens, dicit eis : Ego non sum Christi illusor, sed servus Dei, credens in sanctam ejusdemque essentiæ et individuam Trinitatem, confitensque Deiparentem, sanctam et incorruptam Virginem.

XXX. Cum vero pervenisset ad prædium quod dicitur Sycides, juvenis quidam, nomine Gregorius, ex pago Lyddorum (6), habens spiritum immundum, accessit ad sanctum in eamdem possessionem, ad

A ἔπασχον, καθάπερ ἄνθρωποι, ὑπὸ πνευμάτων ὀχλούμενα ἀκαθάρτων. Σπλαγχνισθεὶς οὖν ὁ μακάριος καὶ τοὺς πάντας στῆναι εἰς προσευχὴν ἐπιτρέψας, ἐκ βάθους τῆς καρδίας αὐτοῦ στενάξας, καὶ τὸν Θεὸν ἱκετεύσας, ἐθεράπευσεν αὐτά.

ΚΖ'. Γυνὴ δέ τις λυσίκομος μετ' ὀλίγον ὑπαντᾷ αὐτῷ ἐν τῇ ὁδῷ, ἣ καὶ προσήγαγεν αὐτῷ παιδίον ὡς ἐνιαυτῶν τριῶν κατακυρισθὲν ὑπὸ δαίμονος. Ὁ δὲ δίκαιος θεασάμενος αὐτὸ, ἤρξατο τὰς χεῖρας ἐκτείνειν καὶ τὰ δάκρυα προφέρειν καὶ πρὸς τοὺς παρόντας λέγειν· Μὴ νομίσατε, ὦ ἄφρονες, βεβυθισμένοι ταῖς καρδίαις, ὅτι τὸ βρέφος τοῦτο ἥμαρτεν καὶ ὀχλεῖται ὑπὸ πνεύματος ἀκαθάρτου, ἀλλὰ τοῦτο δι' ἡμᾶς συνέβη, καὶ διὰ τὴν ἡμετέραν ἐπιστροφήν· ἦν γὰρ καὶ τὸ πρόσωπον τοῦ παιδίου εἰς τὰ ὀπίσω στραφέν. B Εὐξάμενος οὖν ὁ μακάριος, καὶ ἐπιτιμήσας τῷ ἀκαθάρτῳ πνεύματι ἐμφυσήσας εἰς τὸ πρόσωπον τοῦ παιδίου, ἰάσατο αὐτό. Ἐξεληλυθότος γὰρ τοῦ μιαροῦ δαίμονος, καὶ τὸ πρόσωπον αὐτοῦ ἀπεκατέστη, καὶ ὑγιῆ αὐτὸ ἀπολαβοῦσα ἡ μήτηρ, ἀπῄει εὐχαριστοῦσα τῷ Θεῷ.

ΚΗ'. Πάλιν δὲ κατὰ τὴν ὁδὸν κόρη τις ἔκγονος Δωροθέου τοῦ κόμητος ἀπὸ ἐκδημίας ἤρχετο ἐν βαστερνίῳ ἐνεργουμένη ὑπὸ δαίμονος, ἣν καὶ ἀπ' ὀλίγου διαστήματος ἔῤῥηξε το ἀκάθαρτον πνεῦμα ἀπὸ βαστερνίου εἰς τὴν γῆν. Ὡς δὲ παρέστη, περισχισαμένη τὴν ἐσθῆτα, ἔτρεχεν ἐπὶ τὴν ἅμαξαν, ἐν ᾗ ἦν ὁ μακάριος, ὑλακτοῦσα καὶ κράζουσα· Τί ἔχεις μετ' ἐμοῦ, Αὐξέντιε, τί με κατακαίεις; τί με διώκεις; εἴτε ἐψόφησεν ἡ μήτρα ἡ γεννήσασά σε εἰς C ὄλεθρον ἡμῶν. Ἰδοὺ γὰρ δεκατέσσαρα ἔτη κεκρυμμένου μου ἐν τῇ πλάσει ταύτῃ, σπεύδεις τοῦ χωρίσαι με ἀπ' αὐτῆς. Ἰδὼν δὲ ὁ ἀθλητὴς τοῦ Χριστοῦ ὡς ἐχειμάζετο ὑπὸ τοῦ δαίμονος τὴν γύμνωσιν αὐτῆς, ὀργισθεὶς θυμῷ μεγάλῳ οὐκ εἴασεν αὐτὴν λαλῆσαι, ἀλλ' ἐπιτιμήσας τῷ πνεύματι τῷ ἀκαθάρτῳ, κράξας φωνῇ μεγάλῃ εἶπεν· Ἔξελθε, πνεῦμα πονηρὸν, ἐκ τοῦ πλάσματος ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ σαρκωθέντος ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου. Στενάξας οὖν καὶ ὀλολύξας ὁ δαίμων, ἐξῆλθε παραχρῆμα ἐκ τῆς κόρης, μηδὲ ὅλως συγχωρηθεὶς πλυαρῆσαι διὰ τοῦ πλάσματος.

ΚΘ'. Οἱ δὲ στρατιῶται σὺν τοῖς κληρικοῖς καὶ μοναχοῖς τοῖς συνεπομένοις αὐτῷ ἐκ τοῦ ὄρους, θεωροῦντες τὰ σημεῖα, ἃ ἐποίει δι' αὐτοῦ ὁ Σωτὴρ, D ἐξεπλήσσοντο καὶ μᾶλλον ἐδίσταζον ἢ ἐπίστευον λέγοντες αὐτῷ· Πρὸς ὀφθαλμοπλανίαν ἡμῶν ταῦτα ποιεῖς, χριστεμπαῖκτα. Ὁ δὲ μειδιάσας λέγει πρὸς αὐτούς· Ἐγὼ χριστεμπαίκτης οὐκ εἰμὶ, ἀλλὰ δοῦλος τοῦ Θεοῦ, πιστεύων εἰς τὴν ἁγίαν καὶ ἀδιαίρετον Τριάδα καὶ ὁμολογῶν Θεοτόκον τὴν ἁγίαν ἄφθαρτον Παρθένον.

Λ'. Ὡς δὲ ἔφθασεν λοιπὸν ἐν χωρίῳ ἐπιλεγομένῳ Σιγίδες, νεώτερός τις ὀνόματι Γρεγόριος ἀπὸ χωρίου Λυδδῶν, ἔχων πνεῦμα ἀκάθαρτον προσῆλθε τῷ μακαρίῳ ἐν τῷ αὐτῷ κτήματι, προσπίπτων αὐτῷ καὶ

(6) Videtur Lydia Asiæ Minoris regio intelligi, inter quam et Bithyniam interjacet Phrygia. Est etiam Lydda urbs Palæstinæ episcopalis, de qua ad Vitam S. Georgii 28 Aprilis agemus.

λέγων· Ἐλέησόν με, δοῦλε τοῦ ὑψίστου Θεοῦ, ὅτι A ὀχλοῦμαι ὑπὸ δαίμονος πονηροῦ. Ὁ δὲ μακάριος ἐπιθεὶς τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ προσευξάμενος, τῷ μὲν πνεύματι φθέγξασθαι οὐ συνεχώρησεν, ἐξεληλυθέναι δὲ αὐτὸ διὰ τῆς χάριτος τοῦ Θεοῦ ἐπρέσβευσεν. Ἡ οὖν δαίμων ἐξελθὼν, ὑπὸ ἀκάνθας πλησίον τῆς ὁδοῦ ὑπεκρύπτετο, ὥστε ἐπανιόντος τοῦ νεανίσκου, πάλιν εἰς αὐτὸν ὑποστρέψαι. Μετὰ οὖν τὸ ἀπαλλαγῆναι τοὺς βόας καὶ μέλλειν αὐτοὺς κινεῖν τὴν ἅμαξαν, γνοὺς ἐν τῷ Πνεύματι τῷ ἁγίῳ ὁ μακάριος, ἔφη τῷ νεανίσκῳ· Σοὶ λέγω, νεώτερε, ὅρα μὴ ἀπέλθῃς κατὰ τὴν ἀριστερὰν ὁδὸν, δι' ἧς ἦλθες· ἐκεῖ γὰρ κέκρυπται ὑπὸ ἀκανθῶν περιμένων σε ὁ πονηρός· ἀλλὰ κατὰ τὴν δεξιὰν ἄπελθε, εὐχαριστῶν τῷ Θεῷ καὶ λέγων· Δόξα τῷ Πατρὶ, δόξα τῷ Υἱῷ, δόξα τῷ ἁγίῳ Πνεύματι, τῷ λαλήσαντι B διὰ τῶν προφητῶν αὐτοῦ.

ejus pedes procidens, et dicens : Miserere mei, serve Dei altissimi,quoniam vexor a maligno dæmone. Beatus autem Auxentius, imposita manu ejus capiti,cum esset precatus, spiritum quidem non sinit loqui, ut ipse autem exiret, per Christi gratiam procuravit. Malus vero dæmon egressus, latebat sub spina propter viam, ut revertente adolescente, ad eum rursus rediret. Postquam autem percussi sunt boves, et ipsi currum erant moturi, cognoscens beatus in sancto Spiritu, dixit adolescenti : Adolescens, cave ne eas per viam sinistram, per quam ivisti; illic enim a spinis est absconsus, qui te exspectat, malignus: sed vade ad dexteram, Deo agens gratias, et dicens : Gloria Patri, gloria Filio, gloria Spiritui sancto, qui locutus est per suos prophetas.

CAPUT V.

Quæ S. Auxentius egerit tuleritque in monasteriis ad Ruffinianas et in Phelio.

ΛΑ'. Ἤδη δὲ ἐπιστάντων ἐν τῷ μαρτυρίῳ τοῦ ἁγίου Θαλελαίου, οἱ ἑπόμενοι αὐτῷ πτωχοὶ ἀπὸ τοῦ ὄρους τῆς Ὀξείας, ὀδυρόμενοι καὶ θρηνοῦντες συνετάττοντο, κατασπαζόμενοι τὰ ὅσια ἴχνη αὐτοῦ. Θεωρῶν δὲ ὁ μαθητὴς τοῦ Χριστοῦ τὸ ἀφόρητον πένθος τῆς καρδίας αὐτῶν, ἔφη πρὸς αὐτούς· Ἀπέλθετε, τέκνα, καθέζεσθε τέως ἐν τῷ ὄρει· ἐγὼ γὰρ μεθ' ὑμῶν εἰμι. Εἰ γὰρ τὸ σῶμά μου ἀπάγουσιν, ἀλλὰ τὸ πνεῦμά μου ἐν ὑμῖν ἔξεστιν, καὶ οὐ μὴ ἐγκαταλείψω ὑμᾶς. Οἱ μὲν οὖν στρατιῶται ἐπὶ τούτοις ἠγανάκτουν· οἱ δὲ ὑπέστρεψαν, ὡς ἀπηγγείλατο C αὐτοῖς ὁ θεράπων τοῦ Χριστοῦ.

XXXI. Cum autem jam accessissent in martyrium sancti Thalelæi, eum sequentes pauperes ex monte Oxeæ,simul deflebant et lamentabantur, et amplectebantur sancta ejus vestigia. Videns vero Christi discipulus Auxentius intolerabilem luctum cordis eorum,dixit eis : Abite, filii,et sedete in monte in pace ; ego enim sum vobiscum. Nam etsi corpus meum abducunt, at meus spiritus est inter vos, nec vos unquam relinquam. Atque milites quidem hæc ægre ferebant: pauperes autem reversi sunt in montem, sicut eis dixit Christi servus.

ΛΒ'. Φθάσας οὖν ἐν τῷ ζεύγει εἰς τὸ ἐν τῷ Φιλίῳ μοναστήριον, ἄφνω νεώτερός τις ὀνόματι Ἰσίδωρος ἤρξατο δαιμονίζεσθαι καὶ βοᾷν· Ὢ ἀπὸ σοῦ, Αὐξέντιε, τοῦ μὴ δεδωκότος μοι ἐξουσίαν ἀμύνασθαι τοὺς περιφρονοῦντάς σε θεομάχους εἰς ἐξολόθρευσιν ἐμοῦ καὶ τῶν ἐμῶν· ἡ γὰρ πάροδός σου τὰ πάντα ἡγίασεν καὶ ἐφυγάδευσε πλείστους τῶν καθ' ἡμᾶς. Ὁ δὲ μακάριος πρὸς αὐτὸν ἔφη· Σιώπα, καὶ πεφίμωσο, χαιρεσίκακε δαίμων, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ. Κατήγαγον οὖν ἐκ τῆς ἁμάξης τὸν ἅγιον ἄνδρα καὶ εἰσήγαγον ἐν τῇ ἐκκλησίᾳ τοῦ ἁγίου Ἰωάννου. Ἑστὼς οὖν προσηύξατο ἐπὶ ὥρας ἱκανὰς, διὰ τὸ μὴ δύνασθαι γόνυ κλῖναι ἐκ τῶν ἐν τοῖς ποσὶν αὐτοῦ μωλώπων. Ὡς δὲ ἐπλήρωσε τὴν εὐχὴν, εἰσήγαγον αὐτὸν ἐν χαμαιτρικλίνῳ πανταχόθεν ἀποκλείσαντες· τοῦ δὲ D προσευχομένου ἔνδον, ἔξω Ἰσίδωρος ἰάθη ὁ δαιμονιῶν.

XXXII. Cum in curru autem venisset ad monasterium,quod erat in Phelio,repente juvenis quidam, nomine Isidorus,cœpit vexari a dæmone et clamare: Væ tibi,Auxenti,quid non dedisti mihi potestatem ulciscendi impios deorum hostes,qui te suscipiunt, ad meam et meorum perniciem; tuus enim transitus omnia sanctificavit, et fugavit ex nobis plurimos.Dixit autem ei beatus : Tace et obmutesce, qui malis gaudes,dæmon,in Christi nomine.Deduxerunt ergo e curru virum justum, et eum introduxerunt in ecclesiam sancti Joannis. Stans ergo oravit horas aliquot, propterea quod non posset genu flectere ob vibices,qui erant in suis pedibus. Postquam autem implevit suas preces, eum introduxerunt in inferius triclinium, undique clausis januis. Eo vero intus precante, foris fuit curatus Isidorus, qui vexabatur a dæmone.

ΛΓ'. Ἀλλὰ γυνή τις Μαξιμιανοῦ ἡνιόχου, οἰομένη ἐν τῷ ὄρει τῆς Ὀξείας εἶναι τὸν μακάριον, ἦλθε φέρουσα ἐπὶ ζώοις πεφορτωμένοις ἔλαιον, οἶνον, ἄρτους, τυρὸν, ὄσπρια, στούπαν, κηρούς. Καὶ σφόδρα μὲν ἐλυπήθη μὴ εὑροῦσα ἐκεῖ τὸν ὅσιον ἄνδρα· διέδωκεν δὲ τὰ πάντα τοῖς κατὰ τὸν τόπον προσκαρτεροῦσι πτωχοῖς. Κοράσιον γὰρ αὐτῆς ὀχλούμενον ὑπὸ δαίμονος ἠξιώθη ἰάσεως, καὶ πάνυ προσέκειτο τῷ μακαρίῳ· θαυμάσασα οὖν, ὅτι βίᾳ σχεδὸν κατ-

XXXIII. Quædam autem mulier, uxor Maximiani aurigæ, putans beatum Auxentium esse in monte Oxeæ,venit, ferens oneratis animalibus oleum,vinum,panem,caseum,legumina, stupam et ceram. Et magno quidem dolore est affecta,cum sanctum virum illic non invenisset. Distribuit vero omnia pauperibus qui eo in loco perseverabant.Ejus enim puella,quæ vexabatur ab immundo dæmone,ab ipso assecuta fuerat curationem, et beato viro valde

erat dedita. Mirata ergo quod vi propemodum deductus fuerat a monte, et degeret inclusus in monasterio quod est in Phelio, venit illuc meditans eloquium Scripturæ, quod dictum est in pulcherrima Sapientia Salomonis, et impletum in vita sanctissimi Patris nostri Auxentii: «Examinemus justum, quoniam inutilis est nobis, et adversatur operibus nostris [13]. » Nam cum condemnassent eum tanquam maleficum, incluserunt, non concedentes ut quisquam eum conveniret. Cum fidelissimæ ergo huic feminæ beatum videre non licuisset, aut eum convenire, abiit flens domum, et marito suo omnia renuntians.

A ηνέχθη ἐκ τοῦ ὄρους ἐν τῷ μοναστηρίῳ τῷ ἐν τῇ Φιλίῳ διάγει κατακεκλεισμένος, ἦλθεν ἐκεῖσε τὸ γραφικὸν μελετῶσα λόγιον, τὸ ῥηθὲν ἐν τῇ πανχρέτῳ Σοφίᾳ Σολομῶντος, καὶ πληρωθὲν εἰς τὸν βίον τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Αὐξεντίου· « Ἐτάσωμεν τὸν δίκαιον, ὅτι δύσχριστος (*sic* : *fort.* δύσχρηστος) ἡμῖν ἐστιν καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν. » Ὡ; γὰρ κακοποιὸν κατακρίναντες αὐτὸν κατέκλεισαν μὴ συγχωροῦντές τινι συντυγχάνειν αὐτῷ· ὅθεν μὴ τυχοῦσα ἡ πιστοτάτη αὕτη γυνὴ τῆς θέας τοῦ μακαρίου ἢ τῆς συντυχίας αὐτοῦ, ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτῆς κλαίουσα, καὶ πάντα τῷ ἀνδρὶ ἀπαγγέλλουσα.

XXXIV. Constantinus (7) autem dux exercitus et Artabius comes, qui soliti erant venire ad sanctum virum, venerunt ubi erat, ut fruerentur solita utilitate. Qui cum eum convenissent, et ab eo consecuti essent benedictionem, rogarunt ne daret occasionem iis qui male sentiebant, sed spe in Deum omnia quidem probaret, quod bonum autem est, teneret [14], ad unionem et concordiam sanctissimæ et catholicæ Dei Ecclesiæ. Sanctus autem dicit eis: Fiat voluntas Dei sicut in cœlo et in terra. Rogarunt vero beatum, ut aureos aliquot acciperet, qui dedita opera ab eis afferebantur. Ille autem id non sustinuit, dicens eis: Pauperibus qui sunt in monte Oxeæ, et fratribus meis in Domino, eos date. Ego enim habeo omnia, et abundo per gratiam Dei. Valde vero magna sunt ex hac re affecti molestia, qui erant in loco monachi. Sed illi quidem Christi amantes impleverunt quod eis fuerat mandatum. Plurimi autem cum de cætero audivissent, beatum de monte esse deductum et illic degere, eo venerunt.

ΛΔ'. Κωνσταντῖνος δὲ στρατηλατῶν καὶ Ἀρτάβιος κόμης, συνήθως ἐρχόμενοι πρὸς τὸν ὅσιον ἄνδρα B ἐληλύθασιν, ἔνθα ἦν, ὀψόμενοι αὐτὸν, ἐπὶ τὸ ἀπολαῦσαι τῆς ἐξ ἔθους ὠφελείας αὐτοῦ. Οἱ καὶ συντετυχηκότες αὐτῷ καὶ εὐλογηθέντες ὑπ αὐτοῦ, ἠξίουν μὴ διδόναι πρόφασιν τοῖς κακοδόξοις, ἀλλὰ τῇ ἐπὶ Θεὸν ἐλπίδι πάντα μὲν δοκιμάσαι, τὸ δὲ καλὸν κρατῆσαι εἰς ἕνωσιν καὶ ὁμόνοιαν τῆς ἁγιωτάτης Ἐκκλησίας· ὁ δὲ πρὸς αὐτοὺς ἔφη· Γενηθήτω τὸ θέλημα τοῦ Θεοῦ ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Ἠξίουν δὲ τὸν μακάριον χρύσινα φανερὰ ἐκ προθέσεως προσφερόμενα παρ' αὐτῶν κομίσασθαι. Ὁ δὲ οὐκ ἠνέσχετο, εἰρηκὼς, Τοῖς ἐν τῷ ὄρει τῆς Ὀξίας πτωχοῖς καὶ ἀδελφοῖς μου ἐν Κυρίῳ ταῦτα δέονται. Ἐγὼ γὰρ ἀπέχω πάντα, καὶ περισσεύω διὰ τῆς χάριτος τοῦ Χριστοῦ· πάνυ δὲ ἐκ τούτου ἠνιάσθησαν οἱ κατὰ τὸν τόπον μόναχοι· ἀλλ' ἐκεῖνοι τὸ διαταχθὲν ἐπλήρωσαν. Πλεῖ- C στοι δὲ λοιπὸν ἀκηκοότες ἐκ τοῦ ὄρους κατενεχθέντα τὸν μακάριον καὶ ἐκεῖσε διατρίβειν, ἀπῄεισαν ἐπὶ τὸ αὐτό.

XXXV. Cum vero ad eum accessissent monachi monasterii, rogabant tentantes quare non comederet. Ille autem dixit eis: « Quoniam experimentum quæritis Christi, qui in me loquitur, qui non est infirmus, sed potens in nobis [15], » scriptum est [16]: «Non in solo pane vivet homo, sed in omni verbo quod egreditur per os Dei.» Quodam itaque die aperuerunt domum in qua erat, et posuerunt in ea sportam betarum, et sportam dactylorum, et sportam diversorum bellariorum, omnia autem certa mensura, et eum rogabant ut ex eis sumeret. Cum itaque candelam fecissent, et puerum apud eum manere jussissent, incluserunt eum una hebdomada. Et candelam quidem invenerunt non consumptam et ardentem, puerum vero rogarunt quidnam faceret et undenam aleretur. Is autem dixit eis: Cum eo quidem vidi glorificantium multitudinem: quinetiam ingredientem columbam et eum pascentem: vermes autem, qui cadebant e suis pedibus recolligens, eos rursus imponebat ulceribus. Quo-

ΛΕ'. Προσελθόντες δὲ αὐτῷ οἱ τοῦ μοναστηρίου πειράζοντες, διότι οὐκ ἐσθίει, ἐπηρώτων. Ὁ δὲ πρὸς αὐτούς· Ἐπεὶ δὴ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ, ὃς οὐκ ἀσθενεῖ, ἀλλὰ δύναται ἐν ὑμῖν, πλὴν γέγραπται· « Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. » Ἐν μιᾷ οὖν τῶν ἡμερῶν ἀνοίξαντες ἔθηκαν ἐν τῷ οἴκῳ, ἐν ᾧ ἦν σπυρίδα βεττανων (*sic*) καὶ σπυρίδα φοινίκων καὶ σπυρίδα διαφόρων τρυγημάτων τὰ πάντα μέτρῳ· καὶ δῆθεν παρεκάλουν αὐτὸν μεταλαβεῖν· τὴν κανδήλαν οὖν D ποιήσαντες καὶ παιδίῳ προσκαρτερεῖν αὐτῷ ἐπιτρέψαντες, ἐπὶ ἑβδομάδα μίαν ἀπέκλεισαν· μετὰ δὲ τοῦτο ἀνοίξαντες, τὴν μὲν κανδήλαν ἀδαπάνητον καὶ καιομένην εὗρον· παρὰ δὲ τοῦ παιδίου ἐπύθοντο, τί ἂν διαπράττοιτο καὶ πόθεν διατρέφοιτο· τὸ δὲ πρὸς αὐτοὺς φάσκειν· Πλῆθος μὲν σὺν αὐτῷ δοξολογούντων ἑώρων ὕπνῳ κατεφερόμενος· καὶ περιστερὰν δὲ εἰσιοῦσαν καὶ ἐμβρωματίζουσαν αὐτόν· τοὺς δὲ σκώληκας τοὺς ἐκπίπτοντας ἐκ τῶν ποδῶν αὐτοῦ

[13] Sap. II, 12. [14] I Thess. v. [15] II Cor. XIII, 3. [16] Matth, IV, 4.

(7) « Constantino et Rufo coss.» obiit Marcianus Imp. An idem Constantinus, qui hic dux exercitus appellatur, nondum nobis constat. Inter appositos concilio Chalcedonensi ex amplissimo senatu sub initium actionis primæ, est « magnificentissimus et gloriosissimus exprælectus prætoriorum Constantinus. » Græce, ὁ μεγαλοπρεπέστατος καὶ ἐνδοξότατος ἀπὸ ἐπάρχων πραιτωρίων Κωνσταντῖνος.

ἀναλεγόμενος, πάλιν ἐπὶ τὰ ἕλκη ἐπετίθει. Ἐπειδὴ δὲ παραγγελθὲν τὸ παιδίον, μηδενὶ φράσαι ἃ ἑώρακεν, καταναγκαζόμενον ἐξεῖπεν, αὖθις πυρετῷ ληφθεὶς, μετὰ τὴν μίαν ἐτελεύτησεν.

ΛϚ'. Τούτων δὲ γενομένων, κατήχθη ὁ μακάριος ὑπό τε τῶν κληρικῶν καὶ λαϊκῶν καί τινων ἑτέρων λαμπρῶν ἀνδρῶν ἐν Ῥουφινιαναῖς πλησίον τῶν Ἀποστόλων ἐν τῷ μοναστηρίῳ του μακαρίου Ὑπατίου ἐπιτραπεὶς ἡσυχάσαι. Ὑπεδέξαντο δὲ αὐτὸν μετὰ πλείονος χαρᾶς οἱ αὐτόθι μοναχοὶ σὺν τῷ ἡγουμένῳ, ἀνδρὶ τὰ πάντα ἐναρέτῳ καὶ χάριτος Θεοῦ ἠξιωμένῳ, ὡς ὄντι μαθητῇ τοῦ Χριστοῦ· καὶ ἀπὸ τῆς ὥρας ἐκείνης οὐκ ἔκλεισαν τὴν θύραν τοῦ μοναστηρίου διὰ τὸ πλῆθος τῶν εἰσρεόντων, τοῦτο μὲν τῶν ἐπιχωρίων, τοῦτο δὲ καὶ τῆς πανευδαίμονος Κωνσταντινουπόλεως. Φιλοφρόνως οὖν πάντας ὑπεδέχοντο προθύμως, πλείστας μὲν καρποφορίας κομιζόμενοι· πολλὴν δὲ ἐπὶ τῇ διαίτῃ τὴν παρασκευὴν ποιούμενοι, ὥστε γενέσθαι τὸ μοναστήριον ἐκεῖνο ὡς τὴν σκηνὴν τοῦ Ἀβραάμ· ἅπαντας γὰρ σχεδὸν εἴτε ἀξίους, εἴτε ἀναξίους, ὡς ἀγγέλους ἐδεξιοῦντο. Τὸν δὲ μακάριον ἐν τρικλίνῳ ὑψηλῷ περικλείσαντες, ἠξίουν προσεύχεσθαι ὑπὲρ τῆς τοῦ κόσμου καὶ αὐτῶν σωτηρίας, πᾶσάν τε αὐτῷ διακονίαν καὶ τοῖς συντρέχουσιν ἀόκνως προσφέροντες, διὰ τὴν ὑπὲρ πάσης ἀγαθοεργίας ἐπηγγελμένην παρὰ Θεῷ μισθαποδοσίαν.

ΛΖ'. Πολλοὶ γὰρ πνεύματα ἀκάθαρτα ἔχοντες, καὶ σεληνιαζόμενοι, καὶ ἀσθενεῖς καὶ παραλυτικοὶ προσήδρευον, κἀκεῖσε τὴν παρὰ τοῦ Θεοῦ ἴασιν διὰ τοῦ δούλου αὐτοῦ Αὐξεντίου ἐξαιτούμενοι ἐθεραπεύοντο. Κομήτισσα δέ τις ἀκούσασα τὰ περὶ τοῦ μακαρίου, ἔσπευδεν ἀπελθεῖν καὶ προσκυνῆσαι αὐτῷ. Ἦλθεν οὖν ἀπὸ Καλχηδόνος ἐν βαστερνίῳ, καὶ δὴ πλησιάσασα τοῖς Ἁγίοις Ἀποστόλοις κατῆλθεν ἐκ τοῦ βαστερνίου, καὶ ἤρχετο ἐν τῷ μοναστηρίῳ. Ὡς δὲ ἤμελλεν ἀνιέναι, ἔνθα ἦν ὁ μακάριος, διαῤῥήξασα τὴν ἐσθῆτα καὶ ἀπολαβοῦσα τὰ κόσμια αὐτῆς, ἤρξατο βοᾷ· Τί ἐμοὶ καὶ σὺ (*leg.* σοὶ), Αὐξέντιε, σκωληκόπους; καλῶς ἐνεκρυπτόμην ἐν τοῖς ἐγκάτοις αὐτῆς, καὶ ἰδοὺ, ἀνήγαγές με δι' ἐνιαυτῶν εἴκοσι. Δωδεκαετοῦς αὐτῆς οὔσης εἰσῆλθον, καὶ χωρίζεις με ἄκοντα ἀπ' αὐτῆς. Ἐπιτιμήσας οὖν τῷ ἀκαθάρτῳ πνεύματι, καὶ παρεγγυήσας φιμωθῆναι καὶ μὴ ἐνραγῆναι τῇ πλάσει, ἱκέτευε τὸν Θεὸν, ποιῆσαι τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς. Δοὺς οὖν αὐτοῦ τοῦ ἐλαίου τῶν ἁγίων καὶ ἐπὶ τεσσαράκοντα ἡμέρας νηστεῦσαι προστάξας, ὑγιῆ ἀπέλυσεν ὁ Χριστὸς, διὰ τῆς αὐτοῦ προσευχῆς ἰασάμενος αὐτήν. Πολλὰ δὲ παρέσχεν τοῖς πτωχοῖς καὶ τῷ μοναστηρίῳ τοῦ ἁγίου Ὑπατίου.

A niam autem puer a sancto jussus nemini dicere quæ viderat rursus coactus fuerat effari, febre arreptus, uno post die decessit.

XXXVI. Cum hæc autem facta essent, deductus fuit a monachis et clericis, et quibusdam aliis viris præclaris ad Ruffinianas, prope Sanctos Apostolos, in monasterio beati Hypatii, illic jussus agere silentium. Cum magno vero gaudio eum exceperunt, qui illic erant monachi cum eorum præfecto, viro undiquaque optimo et gratia Dei dignato, ut qui esset Christi discipulus. Ab illo autem tempore non clauserunt fores monasterii, propter multitudinem eorum qui affluebant, partim ex hac regione, partim autem ex longe beatissima Constantinopoli :
B sed omnes benigne excipiebant promptoque et alacri animo, plurimas accipientes oblationes : magnum vero propter victum facientes apparatum, adeo ut fieret illud monasterium tanquam Abrahæ tabernaculum. Omnes enim fere, seu dignos seu indignos, tanquam angelos Dei accipiebant. Beatum autem Auxentium cum in alto triclinio cancello inclusissent, rogabant ut oraret pro mundi et ipsorum salute, omne ei ministerium et iis qui ad ipsum concurrebant impigre offerentes, propter cujusvis boni operis a Deo promissam remunerationem.

XXXVII. Multi enim qui immundos habebant spiritus, et lunatici, infirmique et paralytici illic assidebant, et illic curationem petentes, per servum Dei Auxentium omnes curabantur. Unde etiam
C quædam comitissa, cum de hoc beato audivisset Auxentio, contendit venire et eum adorare. Chalcedone ergo venit, equo vecta. Et cum fuisset prope Sanctos Apostolos, descendit ex equo, et pedes venit in monasterium. Cum autem esset ascensura ubi erat beatus, rupta veste et abjectis ornamentis suis, cœpit clamare: Quid mihi rei tecum est, Auxenti vermipes? pulchre abscondebar in ejus intestinis: et ecce me eduxisti post viginti annos. Eam enim ingressus sum, cum esset duodecim annos nata, nec me cognovit quispiam ad hoc usque tempus, et me invitum ab ea separas. Signifer vero et magnus Pater noster Auxentius, cum increpasset malignum et immundum spiritum, et jus-
D sisset eum obmutescere, et e creatura non erumpere, a Deo supplex petiit ut faceret suam cum ea misericordiam. Cum autem dedisset ei de oleo sanctorum, et eam jejunare jussisset quadraginta dies, sanam eam dimisit Christus, eam curans per ejus orationem. Multa vero præbuit pauperibus et monasterio S. Hypatii.

CAPUT VI.

Colloquium S. Auxentii cum Marciano Imp. Professio fidei orthodoxæ.

ΛΗ'. Μετὰ οὖν τοῦτο ἀποστείλας ὁ εὐσεβέστατος βασιλεὺς δρόμωνα ἀπὸ τοῦ Ἑβδόμου διὰ τὸ ἐκεῖσε πρόκενσον εἶναι, μετεστείλατο τὸν μακάριον παρ'

XXXVIII. Post hoc autem pius imperator, misso dromone ex Hebdomo, quod illic esset procensus (8), ad se accersiit beatum Auxentium: et cum

(8) Ita Cedrenus ad an. 22 regni Justiniani meminit προκένσου γενομένου ἐν τῷ Ἑβδόμῳ. Est autem procensus, processus regius, sive ad pietatem sive ad solam pompam. Legatur Goar in cap. 15 Curopalatæ, n. 6.

eum vidisset toto corpore afflictum ex exercitatione, magnam in eum ostendens reverentiam, dicit ei : Scio te esse Dei servum, domine Auxenti, et debes consentire sanctæ et œcumenicæ synodo ad hoc, ne tu fias auctor offensionis iis qui eam volunt admittere. Sanctus autem respondens, dicit imperatori : Quis sum ego canis mortuus, quod ut cum sanctis pastoribus connumerer, jubet tua potentia, qui non recuso pasci, et doctrina egeo? Imperator vero postquam plurima cum eo esset locutus, dixit : Considera quid expediat, et ne nos afficias molestia. Nam nec nos quidem quidquam præter id quod oportet, sed ut decet, ad sanctissimæ Ecclesiæ unionem, et non destructionem, concilium congregavimus. Hæc cum dixisset imperator, et preces ab eo petiisset, eum dimisit.

A ἑαυτῷ. Θεασάμενος δὲ αὐτὸν παντὶ τῷ σώματι καταπεπονημένον ἐκ τῆς ἀσκήσεως, σφόδρα κατευλαβηθεὶς λέγει αὐτῷ· Δοῦλον τοῦ Θεοῦ ὑπάρχειν σε ἐπίσταμαι, κύρι Αὐξέντιε, καὶ ὀφείλεις συναινέσαι τῇ ἁγίᾳ καὶ οἰκουμενικῇ συνόδῳ, πρὸς τὸ μὴ παραίτιον γενέσθαι σκανδάλου τοῖς αὐτὴν ἀποδέχεσθαι μὴ βουλομένοις. Ὁ δὲ ἀποκριθεὶς φησι πρὸς αὐτόν· Τίς εἰμι ἐγὼ ὁ κύων ὁ τεθνηκώς, ὅτι ποιμέσι με συναριθμεῖσθαι προστάττει τὸ κράτος σου, τὸν ποιμαίνεσθαι μὴ παραιτούμενον καὶ διδασκαλίας ἐπιδεόμενον; Ὁ δὲ βασιλεὺς μετὰ τὸ πλεῖστα πρὸς τὸ διαλεχθῆναι αὐτῷ ἔφη· Σκέψαι τὸ συμφέρον, καὶ μὴ λυπήσῃς ἡμᾶς· διότι καὶ ἡμεῖς οὐδὲν παρὰ τὸ δέον, ἀλλὰ κατὰ τὸ πρέπον ἐν τῇ ἑνώσει, καὶ οὐ καθαιρέσει τῆς ἁγιωτάτης Ἐκκλησίας τὴν σύνοδον πεποιήμεθα. B Ταῦτα εἰπὼν καὶ εὐχὴν αἰτήσας παρ' αὐτοῦ ἀπέλυσεν αὐτόν.

XXXIX. Cum vero venisset beatus Auxentius in monasterium Sancti Hypatii in Ruffinianis (8*), et vidisset illuc magnam affluxisse multitudinem, cœpit omnibus præcipere ut abstinerent a theatris, ut quæ essent causa impudicitiæ, adulteriorum et falsi testimonii, perjuriique et blasphemiæ, et omnium denique quæ sunt prohibita et Deo minime placent: hortabatur autem sincere credere in sanctam et quæ est ejusdem essentiæ Trinitatem, et confiteri Dominum nostrum Jesum Christum suscepisse carnem ex sancto Spiritu et Maria semper Virgine et Deiparente, et assidere sanctissimis ecclesiis, in psalmis et hymnis et canticis spiritalibus. Quidam vero ex multitudine, qui accesserant, febricitantes et horrentes, dignati contactu ejus manus, sani sunt redditi. Ei autem significatum est adesse puellam quamdam recens nuptam quæ in thalamo correpta fuit ab immundo dæmone, et se divellit et comedit. Sanctus vero cum eam jussisset ascendere, dixit lacrymans : O malam vestram phalangem, quæ generi hominum semper insidiatur! Obmutesce, maligne spiritus, et egredere e Dei creatura, sine perturbatione et ulla injuria. Perinde ergo ac si in soporem esset resoluta puella, ab ea recessit dæmon. Cum autem surrexisset, abiit rursus sana in domum suam, lætans et Deo gloriam tribuens.

ΛΘ'. Ἐλθὼν οὖν ὁ μακάριος ἐν τῷ μοναστηρίῳ τοῦ ἁγίου Ὑπατίου ἐν Ῥουφινιαναῖς, καὶ θεασάμενος πλῆθος πολὺ συνδραμόντας αὐτῷ ἐκεῖσε, ἤρξατο πᾶσι παρεγγυᾷν τῷ ἀπέχεσθαι τῶν θεάτρων ὡς ἀκολασίας αἰτίων μοιχειῶν τε καὶ ψευδομαρτυριῶν, καὶ πάντων τῶν ἀπηγορευμένων καὶ Θεῷ μὴ ἀρεσκόντων, πιστεύειν δὲ εἰλικρινῶς εἰς τὴν ἁγίαν καὶ ὁμοούσιον Τριάδα καὶ ὁμολογεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ Θεοτόκου σαρκωθέντα, καὶ προσεδρεύειν ταῖς ἁγιωτάταις ἐκκλησίαις ἐν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς. Τινὲς δὲ ἐκ τοῦ πλήθους προσελθόντες, πυρέττοντες καὶ ῥιγῶντες, ἀξιωθέντες τῆς ἀφῆς τῆς χειρὸς αὐτοῦ, ὑγιεῖς κατέστησαν. C Ἐμηνύθη δὲ αὐτῷ, ὅτι κόρη τις νεόγαμος ἐν τῷ παστῷ ληφθεῖσα ὑπὸ πνεύματος ἀκαθάρτου πάρεστιν κατατίλλουσα ἑαυτὴν καὶ κατεσθίουσα. Ὁ δὲ κελεύσας αὐτὴν ἀνελθεῖν, σύνδακρυς γεγονὼς ἔφη· Ὦ τῆς πονηρᾶς ὑμῶν φάλαγγος τῆς ἀεὶ ἐπιβουλευούσης τῷ γένει τῶν ἀνθρώπων! Φιμώθητι, πνεῦμα πονηρὸν, καὶ ἔξελθε ἐκ τοῦ πλάσματος τοῦ Θεοῦ ἀταράχως καὶ ἀνεπηρεάστως. Ὡς ἐπὶ ὕπνῳ οὖν κατεκλυθείσης τῆς κόρης, ἀπελάθη ὁ δαίμων· ἀναστᾶσα δὲ αὖθις ἀπῆλθεν ὑγιὴς εἰς τὸν οἶκον αὐτῆς.

XL. Cum vero rursus mittens imperator eum accersiisset, rogavit an assentiretur sanctæ synodo et cum sancta communicaret Ecclesia. Dixit autem beatus : Quomodo possum communicare, si non confiteatur esse Deiparentem semper Virginem? Dixit ei imperator: Si videris quæ sunt recte confirmata et stabilita a synodo ad destructionem reliquarum hæresum, tunc quoque assentieris? Respondit sanctus : Si nihil aggressa est hæc sancta synodus quod tendat ad evertendum concilium trecentorum decem et octo Patrum, qui erant Nicææ, sed perfectam enuntiavit carnis susceptæ œconomiam Servatoris nostri Jesu Christi, et quæ con-

Μ'. Ὡς δὲ πάλιν ἀποστείλας ὁ βασιλεὺς μετεστείλατο αὐτὸν, ἐπύθετο παρ' αὐτοῦ, εἰ συναινεῖ τῇ ἁγίᾳ D συνόδῳ καὶ κοινωνεῖ τῇ Ἐκκλησίᾳ. Ὁ δὲ μακάριος ἔφη· Πῶς ἔχω κοινωνῆσαι, μὴ ὁμολογουμένης Θεοτόκου τῆς ἀεὶ Παρθένου; Καὶ ὁ βασιλεὺς εἶπε πρὸς αὐτόν· Ἐὰν οὖν ἐπισκέψῃ εἰς τὰ καλῶς κυρωθέντα ὑπὸ τῆς συνόδου καὶ βεβαιωθέντα εἰς καθαίρεσιν τῶν λοιπῶν αἱρέσεων, συντίθεσαι καὶ αὐτός; Ἀπεκρίθη ὁ μακάριος· Εἴγε μὴ πρὸς ἀνατροπὴν τοῦ συμβόλου τῶν ἐν Νικαίᾳ τριακοσίων δέκα καὶ ὀκτὼ Πατέρων παρενεχείρισε τῇ ἁγίᾳ αὐτῆς συνόδῳ, ἀλλὰ τελείαν τὴν οἰκονομίαν τοῦ Σωτῆρος ἡμῶν Χριστοῦ ἐξηγόρευσεν, καὶ τὴν ἐπὶ τῆς Παρθένου Θεοτόκου φωνὴν

(8*) Erat locus ille sic dictus a Ruffino consule, qui ecclesiam ibi Apostolorum cum monasterio ædificavit, ut notat Baronius.

οὐκ ἀφείλατο· αὖθις κοινωνῶ καὶ συναινῶ, εὐχαριστῶν τῷ Θεῷ καὶ τῇ ὑμετέρᾳ εὐσεβείᾳ. Ταῦτα ἀκούσας ὁ βασιλεὺς, κατησπάζετο αὐτοῦ τὴν ἔντιμον κεφαλὴν, καὶ ἐκέλευσεν μετὰ πλείονος τιμῆς παραγενέσθαι αὐτὸν ἐν τῇ μεγάλῃ ἁγιωτάτῃ ἐκκλησίᾳ. Πλῆθος δὲ πολὺ τοῦ λαοῦ συνείπετο αὐτῷ. Μηνύσας δὲ ὁ βασιλεὺς τῷ ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως τὰ λεχθέντα παρ' αὐτοῦ, πάντα τὰ ὁρισθέντα ὑπὸ τῆς ἁγίας συνόδου παραναγνωσθῆναι αὐτῷ ἐκέλευσεν.

ΜΑ'. Καὶ δὴ ἐντετυχηκὼς τοῖς πεπραγμένοις μετὰ ἀκριβοῦς σκέψεως, καὶ πεισθεὶς ὅτι κατ' εὐδοκίαν Θεοῦ τὰ παρὰ τῆς Νεστορίου φλυαρίας καὶ τὰ παρὰ τῆς Εὐτυχοῦς προδήλου μανίας εἰς λύμην τῶν πολλῶν δογματισθέντα ἡ ἁγία σύνοδος ἐβεβαίωσεν βλάσφημα εἶναι, καθότι ἐκείνη μὲν πρὸς τοὺς ἀρνουμένους τὴν οὐσίαν τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ παρετάττετο, αὕτη δὲ πρὸς τοὺς τὴν οἰκονομίαν αὐτοῦ ἀθετοῦντας, ὅτι Θεὸς ὢν ἐκ Θεοῦ ὁ τοῦ Θεοῦ Υἱὸς συναΐδιος καὶ ὁμοούσιος καὶ συνάναρχος τῷ Πατρὶ ἐπ' ἐσχάτων τῇ ἡμετέρᾳ φύσει ἑνωθεὶς ἐσαρκώθη, ἀτρέπτως, ἀσυγχύτως, ἀδιαιρέτως. Τινῶν γὰρ φρενοβλαβῶς αὐτὸν παραφθεῖραι τολμησάντων τὴν δι' ἡμᾶς τοῦ Σωτῆρος οἰκονομίαν, φαντασίαν τὴν ἐνανθρώπησιν οἰομένων, τινῶν δὲ οὐράνιον σῶμα τὸν Κύριον κατενηνοχέναι τερατευομένων· ἑτέρων δὲ κρᾶσιν καὶ σύγχυσιν τῶν δύο φύσεων ὁριζομένων καὶ ἄλλων τροπὴν τὸ θεῖον πεπονθέναι ληρωδούντων, τῶν δὲ λοιπῶν Θεοτόκον τὴν Παρθένον ὀνομάζειν παραιτουμένων· οἱ ἐν τῇ μεγάλῃ ταύτῃ καὶ οἰκουμενικῇ συνόδῳ ἅγιοι Πατέρες τὰς τῶν προγεγραμμένων ἁπάντων ἀνατρέποντες αἱρεσιαρχίας, οὐκ ἐξ οἰκείων συλλογισμῶν, ἀλλ' ἐκ τῶν θείων Γραφῶν καὶ τῶν κατὰ γενεὰν θεσπεσίων διδασκάλων, μέγα τῆς εὐσεβείας μυστήριον ἐπισφραγισάμενοι, ἐβεβαίωσαν τὸν ἕνα καὶ μονογενῆ Υἱὸν τοῦ Θεοῦ, κατὰ τὴν τῶν τριακοσίων δέκα καὶ ὀκτὼ ἁγίων Πατέρων πίστιν, ἀπαρεγχείρητον εἶναι κατὰ τὴν οἰκείαν φύσιν. Τοῦτο γὰρ Ἀρειανοὶ παρασαλεύουσιν, καθὼς καὶ ἡ σύνοδος ἐκείνη ἐν Νικαίᾳ γεγένηται, καὶ τὴν ὑστέραν ἐπὶ τῆς βασιλευούσης κατὰ τῶν Μακεδονιανῶν σύνοδον τῶν ἑκατὸν πεντήκοντα, ὡς τῷ ἁγίῳ Πνεύματι διαμαχομένων γραφικαῖς μαρτυρίαις ἐπασφαλισαμένην ἐκύρωσαν, λοιπὸν κατὰ τῶν ἀθετούντων τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ οἰκονομίαν, ὡς δοκήσει καὶ οὐκ ἀληθείᾳ σαρκωθέντος αὐτοῦ καὶ ψιλὸν ἄνθρωπον τὸν ἐκ τῆς ἁγίας Παρθένου καὶ Θεοτόκου Μαρίας τεχθέντα ληρωδούντων· κατ' αὐτῶν ἐσχόλασαν ἔκ τε τῆς μαρτυρίας τῶν θείων Γραφῶν καὶ ἐκ τῶν συνοδικῶν τοῦ μακαριωτάτου Κυρίλλου τῆς Ἀλεξανδρέων, καὶ Λέοντος τοῦ ὁσιωτάτου ἀρχιεπισκόπου Ῥώμης, καὶ πάντων τῶν κατ' αὐτοὺς, ὅσα τε δὴ τῇ τοῦ ἀποστόλου Πέτρου ὁμολογίᾳ συμβαίνουσας, κατὰ τὸ, « Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος, » ὑψηλήν τινα στήλην κατὰ τῶν κακοδοξούντων εἰκότως ἀνεγείραντες, πρὸς τὴν τῶν ὀρθοδογμάτων βεβαίωσιν.

ὑποιστα παρεσκεύασε κολαστήρια· σὺ δὲ, ἀλλ' ἡνίκα μόνον ἐξαγάγωσί σε τῆς φυλακῆς, πρόσδραμε καὶ θῦσον εὐθὺς, οὐδὲ γὰρ ὑποίσοις τὸ λίαν πικρὸν τῶν κολάσεων. Ἡ δέ· Καὶ τίς, ἤρετο, σύ; Καὶ ὁ πονηρός· Ἄγγελος εἰμι τοῦ Θεοῦ· καὶ ἐπειδὴ λόγος αὐτῷ περὶ σοῦ, πέμπει με πρὸς σὲ, πεισθῆναί σε μηνύων καὶ μὴ ταῖς πολλαῖς βασάνοις τὸ σῶμα διαφθαρῆναι· συγγνώσεται γάρ σοι πεισθείσῃ, φιλάνθρωπος ὢν, διὰ τὴν πολλὴν σαρκὸς ἀσθένειαν. Ταράχου καὶ δείματος ἐπὶ τούτοις ἡ μάρτυς μεστὴ γίνεται· ἐῴκει γὰρ τοῦ φαινομένου ἡ μὲν μορφὴ ἀγγέλου, ἡ συμβουλὴ δὲ ἄντικρυς ἐχθροῦ· μέγα οὖν καὶ περιπαθὲς στενάξασα καὶ δακρύων τοὺς ὀφθαλμοὺς πλήσασα, Κύριέ μου, λέγει, ποιητὰ τῶν ἁπάντων, ὃν μόνον τῶν μὲν οὐρανίων αἱ δυνάμεις ὑμνοῦσι, τῶν ἀερίων δὲ δαιμόνων φρίττουσιν ἡ πληθὺς, μή με παρόψει τὴν πεποιθυῖαν εἰς σὲ, μηδ' ἐν προφάσει μοι σωτηρίας ὁ πονηρὸς πικρόν τι κεράσῃ ποτήριον· ἀλλὰ δεῖξόν μοι τις ὁ ταῦτα λέγων καὶ σὸς εἶναι οἰκέτης ὑποκρινόμενος. Εἶπε· καὶ ὁ καλούμενος εὐθὺς ἤκουσε, καὶ φωνὴ οὐρανόθεν· Θάρσει, ἔλεγεν, Ἰουλιανή· ἐγὼ γάρ εἰμι μετὰ σοῦ, τούτου δὲ λαβοῦ (δίδωμι γάρ σοι κατ' αὐτοῦ τὴν ἰσχὺν), καὶ ὅστις εἴη παρ' αὐτοῦ μάνθανε.

Θ'. Οὕτω τῇ εὐχῇ μὲν ἡ φωνή· τῇ φωνῇ δὲ ἠκολούθει τὸ θαῦμα· αὐτίκα γὰρ ἐλύοντο μὲν τὰ δεσμὰ, ἐξέπιπτε δὲ ὁ σίδηρος τῶν μηρῶν· ἡ δὲ τοῦ ἐδάφους εὐθὺς ἐξανίσταται καὶ ἐφ' ἑαυτῆς γίνεται· καὶ τῶν δεσμῶν ἐκείνης οὕτω λυθέντων, ὁ φανεὶς μᾶλλον ὡρᾶτο πεπεδημένος· ὃν ἡ μάρτυς κατασχοῦσα γενναίως, δοῦλον ὥσπερ δεινὰ πεπραγμένον πρὸς ἐξέτασιν ἦγε, Τίς τε εἶ καὶ πόθεν, λέγουσα, καὶ παρὰ τίνος ἄρα τυγχάνεις ἀπεσταλμένος; τὸν δὲ στεῤῥὰ γάρ τις καὶ ἀόρατος ἤπειγε μάστιξ) ἀληθεύειν ἠνάγκαζεν ὅλως ὄντα φιλοψευδῆ, καὶ πάντα ὁμοῦ καταλέγει, τὸν ἀπεσταλκότα, ὅτι εἴη ὁ Σατανᾶς, τὸν ἀπεσταλμένον αὐτὸν, ὅτι ἐκείνου δαιμόνων ὁ πρῶτος· τὴν αἰτίαν, ὅτι μεγάλα δι' αὐτῆς ὁ πονηρὸς πέπληκτο· πρὸς τούτοις, ὅτι αὐτὸς ἐκεῖνος ὁ καὶ τῇ Εὔᾳ πάλαι τὴν ὀλεθρίαν προσαγαγὼν συμβουλὴν καὶ Κάϊν εἰς ἀδελφοκτονίαν ἐπάρας καὶ τὸ φονεύειν εἰσηγησάμενος, Ναβουχοδονόσορ τὴν τῆς εἰκόνος ἀνάστασιν ὑποθεὶς, Ἡρώδῃ τὴν παιδοφονίαν, Ἰούδᾳ τὴν προδοσίαν, εἶτα καὶ τὴν ἀγχόνην. Ἐγὼ κεκίνηκα, φησὶν, καὶ κατὰ Στεφάνου τὸν λιθασμὸν, κατὰ Πέτρου δὲ καὶ Παύλου τοῦ μὲν τὴν ἐπικεφαλὴν σταύρωσιν, τοῦ δὲ τὴν διὰ ξίφους ἀναίρεσιν· ἐπὶ τούτοις πᾶσιν ἐγώ εἰμι ὁ Ἑβραίους μὲν εἰδωλολατρεῖν ἀναπείσας, Σολομῶντα δὲ τὸν σοφὸν μωράνας καὶ παίγνιον παρανόμων δείξας ἐρώτων.

Ι'. Ταῦτα ὡς ἤκουσεν Ἰουλιανὴ, καὶ ἕτερόν τι τῶν παραδόξων ἐποίει· δεσμοὺς ἄλλους ἐπῆγε τῷ δαίμονι καὶ πληγάς· πάντως δὲ ὁ καὶ τούτων ἄνευ

A intolerabilia adversus te præfectus paravit supplicia. Tu autem solummodo cum te eduxerint e custodia, accurre et statim sacrifica. Neque enim sustinebis suppliciorum nimiam acerbitatem. Illa autem: Et quisnam tu es? rogavit. Malignus vero: Sum, inquit, Dei angelus: et quoniam is magnam tui ducit rationem, mittit me ad te, magnifaciens ut tu pareas, et non corpus tuum multis tormentis intereat. Ignoscet enim tibi, si parueris, cum sit benignus, propter multam carnis imbecillitatem. Perturbatione et terrore martyr propter hæc fuit plena. Nam ejus, qui apparebat, videbatur quidem forma angeli, consilium autem aperte inimici. Cum ergo valde et miserabiliter ingemuisset et lacrymis B implesset oculos: Domine mi, inquit, omnium, quæ sunt, effector: quem solum quidem laudant virtutes cœlestium, horret vero aereorum multitudo dæmonum: ne me despexeris, quæ propter te sum passa: nec mihi prætextu salutis, malignus amarum aliquod temperet poculum: sed ostende mihi, quisnam sit, qui hæc dicit, et qui se fingit tuum esse famulum. Dixit, et statim exaudiit is qui invocabatur, et vox exstitit cœlitus: Confide, Juliana, ego, enim sum tecum. Eum autem apprehende (do enim tibi adversus eum vires), et ex eo disce quisnam sit.

IX. Sic preces vos quidem est consecuta, vocem vero miraculum. Statim enim soluta quidem sunt vincula, cecidit autem ferrum a femoribus. Illa vero C humo statim exsurgit, et fit sui juris: et cum sic soluta essent illius vincula, vinctus videbatur is qui apparuerat. Quem cùm martyr strenue tanquam servum comprehendisset, qui gravia perpetraverat, duxit ad examinationem, dicens: Quisnam es, et unde, et a quo missus? Illum autem (validum enim, quod sub aspectum non cadebat, urgebat flagellum) coegit verum dicere, cum esset omnino amicus mendacii: et omnia simul recenset, eum, qui miserat, quod scilicet esset Satanas: se, qui missus fuerat, nempe quod esset primus ex ejus dæmonibus: causam, quod per ipsam malignus magnum vulnus acceperat. Præterea quod ipse esset ille ipse qui Evæ olim perniciosum dedit consilium et ad fratris cædem Cain incitavit [4], et qui induxit D parricidium, qui suggessit Nabuchodonosori, ut excitaret statuam [5], Herodi puerorum occisionem, Judæ proditionem et deinde laqueum [6]. Ego, inquit, etiam lapidationem movi adversus Stephanum [7]: adversus Petrum autem et Paulum, illius quidem capite demisso in terram crucifixionem, hujus vero ense interemptionem. Postremo ego sum, qui persuasi Hebræis ut essent cultores idolorum: Salomonem autem sapientem infatuavi, et effeci nefariorum amorum ludibrium.

X. Hæc postquam audivit Juliana, aliud quoque fecit admirabile: alia vincula et plagas imposuit dæmoni. Omnino autem is etiam, qui absque his,

4 Gen. III et IV. 5 Dan. III. 6 Matth. XXVI. 7 Actor. VII.

inevitabilibus illum constrinxit vinculis, et effecit ut teneretur manibus, non est incredibile eum procurasse: ut vinculis rursus ligaretur a sancta, et sentiret plagas. Atque ille quidem admirabiliter gravem dolorem sentiebat, et rogabat ut solveretur a vinculis et relaxaretur a plagis. Quoniam vero non solvebatur, deflebat calamitatem: Hei mihi, dicens, Quid de me fiet? quo fugiam? Multos quidem decepi: multis autem intuli afflictiones, et multorum fui causa malorum, carcerum, publicationum, plagarum, conflagrationum, exsiliorum, et postremo mortis acerbæ. Sed nullus eorum me omnino superavit. Hæc vero tanquam mancipio etiam vincula imposuit, et plagas incussit, et me detinet. Sed, o pater et princeps noster, quomodo non cognovisti id quod erat eventurum? Quomodo misisti? Quomodo ignorasti hoc malum inexpugnabile, quod virginitate nihil sit excelsius, et martyris precibus nihil fortius?

XI. Cum vero is sic examinaretur, misit præfectus, qui Julianam educeret e carcere, si modo ea viveret. Illa ergo ducebatur: malus autem dæmon ab ea tractus, sequebatur. Martyr vero stetit ante præfectum, primam servans pulchritudinem, et perinde ac si nihil mali sustinuisset neque in obscuro carcere inclusa fuisset: sed perinde ac si fuisset in thalamo, et bene et laute curata fuisset et accepta. Dixit autem præfectus: Dic mihi, inquit, Juliana, quando et a quo has didicisti præstigias, et quanam arte ita contempsisti tormenta, ut nullum serves eorum vestigium? Ars quidem, inquit, o præfecte, nulla est: sed divina quadam et ineffabili potentia, quæ non solum te, sed patrem quoque tuum Satanam pudore affecit, me vero ambobus effecit potentiorem, nempe et tuo furore et improba illius arte: sic hic quidem Christus vestras vires enervavit, illic autem tibi et tuo patri et vestris asseclis ignem paravit terribilem, et tetrum tartarum, et tenebras, et vermem, et quæ nec mente potest aliquis comprehendere nec persequi oratione.

XII. Cum ignem audiisset præfectus, ignem contra ipsam paravit, qui est ad tempus scilicet et exstinguitur. Accendit itaque fornacem lignis et sarmentis, et qualibet materia, quæ facile potest uri et igne consumi. Ubi autem vehementer arsit, præclaram virginem in eum injiciunt. Illa vero ad Deum intuebatur, et lacrymas emittebat ex oculis, et hæ parvæ guttæ, fluvios imitatæ, ignem exstinxerunt. Maximo itaque sunt obstupefacti miraculo totus populus Nicomediensium, et viri numero circiter quingenti una voce et mente exclamaverunt: Unus est Deus, unus, inquam, Deus, qui est Deus martyris Julianæ: ipsum nos quoque colimus, et gentilium cultui renuntiamus. Veniat ensis, veniat ignis, veniat quævis alia mors et cujuscunque generis. Atque eos quidem statim accepit ensis, cum sic jussisset præfectus, nullo relicto qui non fuerit in Christo consummatus. Ejusdem quoque exitus

A δεσμοῖς ἐκεῖνον ἀφύκτοις περιβαλὼν καὶ χερσὶ κρατεῖσθαι παρασκευάσας καὶ ἄκοντα τἀληθῆ λέγειν ἐκβιασάμενος, οὐδὲν ἄπιστον εἰ καὶ δεδέσθαι αὐτὸν δεσμοῖς πάλιν πρὸς τῆς ἁγίας καὶ πληγῶν αἰσθάνεσθαι παρεσκεύασεν. Ὁ μὲν οὖν παραδόξως ἤλγει καὶ τῶν δεσμῶν λυθῆναι ἠξίου καὶ τῶν πληγῶν ἀνεθῆναι· ἐπεὶ δὲ μὴ ἐλέλυτο, τὴν συμφορὰν ἀπωδύρετο· Οἴμοι, λέγων, τίς γένωμαι; ποῖ φεύξομαι; πολλοῖς μὲν ἀπάτην, πολλοῖς δὲ καὶ θλίψεις ἐπήγαγον καὶ κακῶν αἴτιος κατέστην πολλῶν· εἰρκτῶν, δημεύσεων, πληγῶν, καύσεων, ὑπερορίων καὶ τὸ τελευταῖον θανάτου πικροῦ· ἀλλὰ τούτων οὐδεὶς ἐμοῦ τὸ παράπαν περιεγένετο. Αὕτη δὲ καὶ ὡς ἀνδραπόδῳ τινὶ καὶ δεσμὰ περιέβαλε καὶ πληγὰς ἐνέτεινε καὶ κατέχει· ἀλλ', ὦ πάτερ καὶ ἄρχον ἡμέτερε, πῶς οὐκ ἔγνως τὸ συμβήσεσθαι μέλλον; πῶς ἔπεμπες; πῶς ἠγνόεις τὸ ἄμαχον τοῦτο δεινὸν, ὡς ἄρα οὐδὲν παρ-B θενίας ψηλότερον [*fort.* ὑψ.], οὐδὲν μαρτυρικῆς εὐχῆς ἰσχυρότερον;

ΙΑ'. Ἐν ᾧ δὲ οὗτος οὑτωσὶ ἐξητάζετο, καὶ ὁ ἔπαρχος ἔπεμπε τῆς εἱρκτῆς Ἰουλιανὴν ὀγαγεῖν, εἴπερ ὅλως καὶ ζῇ· ἡ μὲν οὖν ἤγετο· ὁ πονηρὸς δὲ αὐτῇ δαίμων συρόμενος εἵπετο· ἡ δὲ μάρτυς τῷ ἐπάρχῳ παρίστατο, τὸ πρῶτον ὑποσώζουσα κάλλος καὶ ὥσπερ οὐδὲν ὑποστᾶσα δεινὸν οὐδὲ εἱρκτῇ ζοφώδει κατακλεισθεῖσα, ἀλλ' οἷον ἐν θαλάμῳ οὖσα καὶ πολλῆς ἀξιουμένη τῆς εὐπαθείας· καὶ ὁ ἄρχων· Εἰπέ μοι, ἔφη, Ἰουλιανὴ, πότε καὶ παρ' ὅτου δὴ τὰ τοιαῦτα τῶν γοητειῶν ἤσκησε καὶ τίνι τέχνῃ τὰς βασάνους ἐφαύλισας, ὥστε οὐδὲ ἴχνος αὐτῶν οὐδὲν ἀποσώζειν; Ἡ δέ· Τέχνῃ μὲν, λέγει, ὦ ἄρχων, οὐδεμιᾷ, δυνάμει δὲ θείᾳ δή τινι καὶ ἀῤῥήτῳ, ἣ οὐ μόνον σὲ, C ἀλλὰ καὶ τὸν σὸν πατέρα, τὸν Σατανᾶν, ᾔσχυνεν, ἐμὲ δὲ ἀμφοῖν κρείττονα καὶ τῆς μανίας καὶ τῆς ἐκείνου κακοτεχνίας ἀπέδειξεν· οὕτως ἐνταῦθα μὲν τὴν ἰσχὺν ὑμῶν ὁ Χριστὸς ἐξενεύρισεν· ἐκεῖσε δὲ σοὶ καὶ τῷ σῷ πατέρι καὶ τοῖς καθ' ὑμᾶς πῦρ ἡτοίμασε φοβερὸν καὶ τάρταρον χαλεπὸν καὶ σκότος καὶ σκώληκα καὶ ὅσα μήτε νῷ περιλαβεῖν τις μήτε λόγῳ διεξελθεῖν δύναται.

ΙΒ'. Πῦρ ἀκούσας ὁ ἔπαρχος, πῦρ ηὐτρέπιζε κατ' αὐτῆς, πρὸς καιρὸν δηλαδὴ καὶ σβεννύμενον· ἐκκαίει τοιγαροῦν κάμινον ξύλοις τε καὶ φρυγάνοις καὶ ὅσα τῆς ὕλης εὔπρηστα καὶ τῷ πυρὶ δαπάνη ἐπιτήδεια· ἐπεὶ δὲ ἰσχυρῶς ἐξεκέκαυτο, ἐμβάλλουσιν αὐτῇ τὴν γενναίαν· ἡ δὲ πρὸς Θεὸν ἑώρα καὶ δάκρυα ἠφίει τῶν ὀφθαλμῶν, καὶ αἱ μικραὶ αὗται σταγόνες, ὑδά-D των ποταμοὺς μιμησάμεναι, τὸ πῦρ ἔσβεσαν. Τῷ μεγίστῳ τοίνυν ἐκπληγέντες τοῦ θαύματος, δῆμος ὅλος Νικομηδέων, ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεντακόσιοι, μιᾷ καὶ φωνῇ καὶ γνώμῃ· Εἷς Θεὸς, εἷς ὁ τῆς μάρτυρος Ἰουλιανῆς, ἐξεβόων· αὐτὸν καὶ ἡμεῖς σεβόμεθα καὶ τὰ Ἑλλήνων ἀποτετράμμεθα· εἴτω ξίφος, εἴτω πῦρ, εἴτω παντοδαπὸς ἄλλος θάνατος. Τούτους μὲν αὐτίκα τὸ ξίφος ἐλάμβανεν, οὕτω κελεύσαντος τοῦ ἐπάρχου, μηδενὸς αὐτῶν ἀπολειφθέντος, τῆς ἐν Χριστῷ τελειώσεως· ἐκοινώνησαν δὲ αὐτοῖς καὶ γυναῖκες τοῦ ἴσου τέλους ἑκατὸν καὶ

τριάκοντα. Οὐδὲ γὰρ ἧττους αὗται τῶν ἀνδρῶν, ὅσον εἰς εὐσέβειαν, ἀνεφάνησαν.

A fuere sociæ centum et triginta mulieres; neque enim viris visæ sunt inferiores, quod attinet ad pietatem.

ΙΓ'. Παφλάζων δὲ ἔτι ὁ ἔπαρχος τῷ θυμῷ, εἰς λέβητα ζέοντα πυρὶ πολλῷ τὴν Ἰουλιανὴν ἐμβληθῆναι προστάττει· ἡ δὲ θεία χάρις αὐτὸν μονονουχὶ λουτρὸν ἐδείκνυ τῇ μάρτυρι καὶ τῶν πόνων, ἀλλ' οὐ τῶν μελῶν τῆξιν τε καὶ διάλυσιν· τοῖς δέ γε περὶ αὐτὸν διακονουμένοις Χαλδαϊκὴν ἄλλην κάμινον· ἄφνω γὰρ ὁ λέβης ῥαγεὶς καὶ κύκλῳ ὥσπερ ὑπό τινος μηχανῆς ἐκχυθεὶς, τοὺς περιεστῶτας ἀπώλεσε παραδόξως, αὐτούς τε δικαίως κολάσας καὶ πεῖρα δείξας τοὺς ἄφρονας, οἷος ᾖ ἐπ' αὐτοὺς, οἷος ἐν τῇ μάρτυρι κατεφάνη· οὕτω τῶν δημίων ἀναλωθέντων, ὁ ἔπαρχος οὐκ ἤνεγκεν τὸ συμβὰν οὐδ' ἀνεκτὴν ὅλως τὴν συμφορὰν ἐλογίσατο· ἦν δὲ τὸ καιρίως λυποῦν, ὅτι μηδὲ κόρης μιᾶς περιγενέσθαι ἴσχυσε· δεῖγμα τῆς ἀθυμίας περιέῤῥηξε μὲν αὐτοῦ τὴν ἐσθῆτα· πολλὰ δὲ κατὰ τῶν αὐτοῦ θεῶν ὑπὸ βαρυθυμίας ἀφῆκε ῥήματα. Ὡς οὖν ἐπάγων τὰς τιμωρίας οὐδὲν ἤνυεν, πλείονα μᾶλλον τὴν ἔνστασιν οὕτως ὁρῶν τῇ μάρτυρι γινομένην, τὸν διὰ ξίφους θάνατον ἀποφαίνεται κατ' αὐτῆς.

XIII. Adhuc autem ira fervens præfectus, jubet Julianum rursus injici in lebetem, multo igne bullientem. Divina vero gratia eum propemodum effecit martyri lavacrum laborum, non autem qui membra liquefaceret et dissolveret : iis vero qui circa ipsum ministrabant, Chaldaicam aliam fornacem. Nam cum repente erupisset lebes, et circumcirca tanquam ab aliqua machina esset effusus, admirabiliter et præter opinionem perdidit eos qui circumstabant : et cum eos juste puniisset, et stultis ostendisset experientia, qualis in ipsos, et qualis apparuerit in martyrem. Cum sic B fuissent consumpti lictores, præfectus non tulit quod acciderat, neque omnino tolerandam reputavit calamitatem. Quod autem eum præcipue male habebat, erat, quod nec potuit quidem unam superare puellam. Quod vero fuit indicium ejus ægritudinis, vestem quidem suam laceravit : multa autem verba in suos deos emisit præ dolore. Cum ergo supplicia inferens, nihil proficeret, ita magis videns martyri crescere constantiam, fert in eam sententiam, ut ense mortem subeat.

ΙΔ'. Πρόσεισι δὲ καὶ αὖθις ὁ πειράζων, ὁ τὴν ἀρχὴν τῇ μάρτυρι προσελθὼν Σατανᾶς, καὶ πολλὰ μᾶλλον παθὼν ἢ δράσας καὶ πόῤῥωθεν στὰς (ἔτι γὰρ ἐδεδοίκει καὶ πληγῶν ἐμέμνητο) ἐπέχαιρε δῆθεν αὐτῆς τῷ θανάτῳ καὶ τοὺς δημίους παρόρμα πρὸς τὴν σφαγήν· ἐπεὶ δὲ ἡ γενναία δριμὺ πρὸς αὐτὸν ἀπεῖδε καὶ διεβλέψατο, Οὐαί μοι, κράξας ἐκεῖνος, τάχα με ταῖς χερσὶ καὶ αὖθις ἑλεῖν βούλεται, ἀφανὴς γέγονε. Καὶ ὁ μὲν ὑπὸ πολλῶν τῶν μαρτύρων οὕτως τὸ δέος ἀνομολογήσας, ἀπέδρα· ἡ δὲ καλλίνικος Ἰουλιανὴ, ὥσπερ οὐκ ἐπὶ θάνατον, ἀλλ' ἐπὶ λύσιν μᾶλλον ἀγομένη θανάτου καὶ πόνων ἀπαλλαγὴν ἐπορεύετο χαρίεσσα τὴν ὄψιν, φαιδρὰ τοῖς ὀφθαλμοῖς καὶ τὴν τῆς ψυχῆς ἔνδον ἡδονὴν ὑπογράφουσα· πολλὰ πρὸς τοὺς συμπορευομένους αὐτῇ διαλεγομένη καὶ πείθουσα μηδὲν εἶναι μήτε τῶν παρόντων ἀγαθῶν τιμιώτερον μήτε τῶν ἀλγεινῶν ἰσχυρότερον τῆς εἰς τὸν Χριστὸν ἀγάπης. Ταῦτα εἶπε καὶ τοῖς ἔργοις ἐπεσφράγιζε τὰ λεχθέντα· ἐπεὶ γὰρ πρὸς αὐτῷ τῷ τόπῳ κατέστη, ἔνθα ἔδει καὶ τὴν τελείωσιν δέξασθαι, πρῶτα μὲν ἑαυτὴν ἀντέτεινεν εἰς εὐχήν· ἔπειτα δὲ καὶ τὸν αὐχένα πρὸς σφαγὴν ἔκλινε, τὴν αὐτὴν σώζουσα τῆς ψυχῆς εὐφροσύνην καὶ μηδὲν ὅλως κατηφὲς ὑποφαίνουσα καὶ οὕτω τὴν νικοφόρον ἀποτέμνεται κεφαλήν.

XIX. Procedit autem rursus quoque tentator, qui ab initio ad martyrem accesserat Satanas, et longe plura passus quam faciens, et procul stans (adhuc enim timebat, et plagarum meminerat), ejus morte gaudebat, et ad cædem incitabat lictores. Cum autem virgo illa fortis eum torvis as- D pexisset oculis, ille, Hei mihi, clamans, me forte vult rursus apprehendere manibus, evanuit. Et ille quidem cum multi adessent testes, metum sic confessus, aufugit : gloriosa vero victrix Juliana, tanquam non ad mortem duceretur, sed potius ad solutionem mortis, ambulabat alacri vultu, lætis oculis, et animæ internam exprimens voluptatem, cum iis qui cum ea ambulabant multum disserens, et persuadens, nullum esse neque ex bonis præsentibus pretiosius, neque ex tristibus validius dilectione in Christum. Hæc dixit, et factis ipsis obsignavit quæ dixerat. Postquam enim fuit in eo loco ubi oportebat eam accipere consummationem, primum quidem se erexit ad orationem, deinde et collum inclinavit C in cædem, eamdem servans animi lætitiam, et nihil omnino triste ostendens. Ita victoria insigni ei caput amputatur.

ΙΕ'. Γυνὴ δέ τις Σοφία τοὔνομα κατά τινα συντυχίαν τὴν Νικομήδους τότε διερχομένη καὶ πρὸς τὴν μεγαλόπολιν ἀπιοῦσα Ῥώμην, τὸ ἱερὸν ἐκεῖνο μεθ' ἑαυτῆς λαμβάνει λείψανον, καὶ οἴκαδε δὲ τοῦτο κομίσασα, ναὸν τῇ μάρτυρι τῶν ἄθλων ἄξιον ἀνεγείρει. Μετ' οὐ πολὺ καὶ ὁ μιαρὸς Ἐλεύσιος τῆς προσηκούσης αὐτῷ δίκης παραπολαύει· πλέοντα γὰρ ἐν θαλάσσῃ ἄνεμοί τινες ἄγριοι παραλαβόντες καὶ χαλεπὸν αὐτῷ κλυδώνιον περιστήσαντες, τὴν μὲν ναῦν

XV. Mulier autem quædam, nomine Sophia, forte fortuna tunc transiens Nicomediam, et ad magnam urbem proficiscens Romam, illas sacras secum accipit reliquias : easque domum portans, excitat martyri templum dignum ejus certaminibus. Paulo post exsecrandus quoque Eleusius meritas luit pœnas. Nam cum in mari navigantem sævi quidam venti deprehendissent, et ingentem tempestatem excitassent, ipsam quidem navem una cum

viris in mari submergunt. Cum alii autem omnes essent submersi, ipse ut majorem acciperet calamitatem, a mari quidem servatur; in quemdam vero locum desertum abjicitur, et fit miser cœna canibus.

XVI. Tale fuit Julianæ martyrii stadium, et talis pro Christo finis eam est consecutus: quæ Eleusio quidem desponsa fuerat circa nonum annum ætatis, Christi autem fuit sponsa, et per martyrium ei fuit conjuncta, cum nata esset decem et octo annos. Rex vero erat tunc quidem impiorum Maximianus; noster autem, id est, fidelium, qui est semper Deus et Rex, Dominus noster Jesus Christus: cui gloria et potentia nunc et semper et in sæcula sæculorum. Amen.

A αὔτανδρον τῇ θαλάττῃ παραδιδοῦσι· τῶν ἄλλων δὲ πάντων γενομένων ὑποβρυχῶν, αὐτὸς, ἵνα τι καὶ πλέον μετάσχοι τῆς συμφορᾶς, τῆς θαλάσσης μὲν διασώζεται, εἴς τινα δὲ τόπον ἔρημον ἀποῤῥίπτεται, καὶ θηρίοις ὁ δείλαιος δεῖπνον γίνεται.

ΙϚ'. Τοιοῦτον Ἰουλιανῇ τὸ τοῦ μαρτυρίου στάδιον καὶ τοιοῦτον αὐτῇ τὸ ὑπὲρ Χριστοῦ τέλος ἀκολουθεῖ, ἥτις Ἐλευσίῳ μὲν ἐμνηστεύθη περὶ ἔννατον ἔτος τῆς ἡλικίας, Χριστῷ δὲ καὶ ἐνυμφεύθη καὶ διὰ μαρτυρίου συνήφθη, ἔτος ὀκτὼ καὶ δέκατον γενομένη. Ἐβασίλευεν δὲ τηνικαῦτα τῶν μὲν δυσσεβῶν Μαξιμιανὸς, ἡμῶν δὲ τῶν πιστῶν, ὁ καὶ ἀεὶ Θεός τε καὶ Βασιλεὺς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΑΘΛΗΣΙΣ

ΤΟΥ ΑΓΙΟΥ ΛΕΟΝΤΟΣ ΚΑΙ ΠΑΡΗΓΟΡΙΟΥ

ΜΑΡΤΥΡΗΣΑΝΤΩΝ ΕΝ ΠΑΤΑΡΟΙΣ ΤΗΣ ΛΥΚΙΑΣ ΠΡΟ ΜΙΑΣ ΚΑΛΑΝΔΩΝ ΙΟΥΛΙΟΥ.

—

MARTYRIUM

SS. MARTYRUM LEONIS ET PAREGORII

QUI MARTYRIUM SUBIERUNT PATARIS IN LYCIA PRIDIE KALENDAS JULIAS.

(18 Febr. — Latine apud Surium, Græce ex ms. Reg. Paris. 1452, sæc. X Edit. Patr.)

—

I. Variæ quidem sunt diaboli machinæ adversus servos Dei, magis varium autem et majus est Unigeniti auxilium in suos ministros. Nam ille quidem non carnem et sanguinem objicit iis qui sunt na-

B Α'. Ποικίλαι μὲν τοῦ διαβόλου αἱ μηχαναὶ κατὰ τῶν δούλων τοῦ Θεοῦ· ποικιλοτέρα δὲ καὶ μείζων ἡ παρὰ τοῦ Μονογενοῦς Θεοῦ εἰς τοὺς ἰδίους ὑπηρέτας ῥοπή. Ὁ μὲν γὰρ οὐχ αἷμα καὶ σάρκα τοῖς φύσει

Χριστιανοῖς ἀνθίστησιν, ἀλλὰ τὰ πνευματικὰ τῆς πονηρίας· ἡ δὲ τοῦ Χριστοῦ βοήθεια ἰσχυροτέρους κατὰ τοῦ διαβόλου τοὺς ἑαυτοῦ οἰκείους δείκνυσιν. Πιστοῦται δὲ τὸ ῥημένον ἱκανῶς ἐκ τῆς τῶν γενναίων μαρτύρων Λέοντος καὶ Παρηγορίου ὑπομονῆς· τοῦ γὰρ μακαρίου Παρηγορίου προτελειωθέντες ἐν ὑπομονῇ ἐν Κυρίῳ καὶ τῆς τῶν πολλῶν πόνων ἀναπαύλης τὴν βασιλείαν τῶν οὐρανίων εὑραμένου, ὁ μακάριος Λέων τὸν μὲν ἀγῶνα τοῦ τελειωθέντος ἐμακάριζεν, αὐτὸς δὲ ἐν λύπῃ κατείχετο, ὅτι μὴ τῶν αὐτῶν τετύχηκεν ἀγώνων, κοινῆς προκειμένης αὐτοῖς τῆς ὁδοῦ.

Β'. Κατ' ἐκείνας δὲ τὰς ἡμέρας συνέβη τὸν ἀνθύπατον Λολλιανὸν ὑπὸ τῶν βασιλέων κληρωθέντα παραγενέσθαι ἕως αὐτῶν φυλαττωμένης τῆς ἀρχῆς ὑπὸ τοῦ ἐπιτρόπου τῆς πόλεως τοῦ ἐν Πατάροις. Ἐπιτελῶν οὖν ὁ παμμίαρος ἐπίτροπος ἑορτὴν Σεράπιδος καὶ σύνοδον ἀσεβῶν συγκροτῶν, κατὰ τῶν Χριστιανῶν ἐβουλεύετο καὶ πάντας κατηνάγκαζεν ἐπὶ τὴν εἰδωλομανίαν. Πολλῶν δὲ συντρεχόντων καὶ φόβῳ ἀνθρωπίνῳ συνεχομένων, ἤχθετο μὲν ὁ μακάριος Λέων οὐδὲ μέχρις ἀκοῆς φέρων τὴν τῶν παρανόμων τόλμαν· προσδιαλεγόμενος δὲ πρὸς ἑαυτὸν, ἐξῄει ἐπὶ τὸν τόπον, ἔνθα τὸ λείψανον ἔκειτο τοῦ μακαρίου μάρτυρος Παρηγορίου· γενόμενος δὲ κατ' ἐκεῖνον τὸν τόπον, ἐν ᾧ τὴν ἀσεβῆ πανήγυριν ἐπετέλουν οἱ ταύτης ἄξιοι, ἕκαστος τῶν ὁρώντων ἀπό τε τῆς ἡλικίας αὐτῆς καὶ ἀπὸ τῆς περὶ τὸ πρόσωπον καταστάσεως καὶ τῆς ἐσθῆτος, καὶ ἀπὸ τοῦ μὴ συνδιατίθεσθαι τοῖς δρωμένων αὐτῶν κακοῖς, Χριστιανὸν ὑπελάμβανεν εἶναι καὶ ἀληθῶς αἰδοῦς ἄξιον· ἦν γὰρ αὐτῷ μεμετρημένα τὰ πάντα· καὶ γὰρ ἀσκητικὸς τὸν βίον ἦν, ἐκ νεωτέρου τούτῳ προσεσχηκὼς, ἐν ἐγκρατείᾳ καὶ ἐν ἁγνείᾳ καὶ σωφροσύνῃ· τὸ δὲ ἔνδυμα εἶχεν ἐκ τριχῶν ὑφασμένον, αὐτοῖς ἔργοις ἀποστολικὸν βίον μιμούμενος καὶ ζηλωτὴς τοῦ ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ Βαπτιστοῦ γενόμενος.

Γ'. Παραγενόμενος οὖν ἐπὶ τὸν προκείμενον αὐτῷ τόπον καὶ τὰς συνήθεις ἀποδοὺς εὐχὰς, ἐπανῆλθεν ἐπὶ τὴν οἰκίαν, καὶ ἔνδον εἰσελθὼν καὶ κατὰ τὴν συνήθειαν εὐξάμενος, καὶ ἄρτου μεταλαβὼν, ἔμενεν ἐφ' ἑαυτῷ, οὐδὲν ἕτερον ἢ τὰ γενναῖα κατορθώματα τοῦ θεοσεβοῦς Παρηγορίου μελετῶν. Καὶ ἐν τούτοις τοῖς λογισμοῖς ὢν, εἰς ὕπνον πρὸς ὀλίγον κατηνέχθη, ἵνα τὴν τῶν ἐσομένων αὐτῷ πραγμάτων θεάσηται δόξαν. Ὥσπερ γὰρ ὁ πατριάρχης Ἰωσὴφ εἶδε τὰ μέλλοντα παρὰ τοῦ Θεοῦ ἐπάγεσθαι ἐπ' αὐτὸν, οὕτως καὶ ὁ μακάριος Λέων ἐθεάσατο διὰ Πνεύματος ἁγίου τὴν τῶν ἐσομένων αὐτῷ πραγμάτων ἔκβασιν. Ἐδόκει τοίνυν ὁρᾷν χειμῶνος ὄντος σφοδροῦ καὶ χειμάῤῥων κατάῤῥυσιν εἰληφότων πολλὴν, κατὰ μέσου ἑστάναι τοῦ χειμάῤῥου τὸν Παρηγόριον καὶ ἑαυτὸν καίτοι ἐπικινδύνου σφόδρα ὄντος τοῦ ῥεύματος, ἐπιρίπτειν καὶ ἐπιτρέχειν τῷ μακαρίῳ μάρτυρι Παρηγορίῳ, τὴν ἐπὶ τὸ μαρτύριον ὁδὸν ὁδεύοντι. Ὁ μὲν οὖν μετὰ τὴν τοῦ ὁράματος θέαν ἐγερθεὶς,

tura Christiani, sed spiritalia nequitiæ. Christi autem auxilium suos efficit fortiores adversus diabolum. Satis vero probatur id quod dictum est ex generosum martyrum Leonis et Paregorii tolerantia. Nam cum B. Paregorius fuisset prius consummatus in tolerantia in Domino, et multorum laborum requiem invenisset regnum cœlorum, beatus martyr Christi Leo, ejus quidem qui fuit consummatus, certamen beatum esse ducebat: ipse autem afficiebatur magno dolore quod non fuisset consecutus idem certamen, cum esset communis via eis proposita.

II. Illis vero diebus contigit proconsulem Lollianum electum ab imperatoribus, venire usque ad eos, cum rectio esset eo tempore penes procuratorem urbis, qui erat Pataris. Celebrans autem sceleratus procurator diem festum Serapidis, et congregans concilium impiorum, consultabat adversus Christianos, et cogebat omnes ad cultum insanum idolorum. Cum multi vero concurrerent, et metu humano tenerentur, ægre tulit quidem B. Leo, ne audire quidem sustinens impiorum audaciam. Apud se autem disserens, egressus est ad locum in quo jacebant reliquiæ B. martyris Paregorii. Cum autem fuisset in illo loco, in quo peragebant festum exsecrandum et impium, qui eo digni erant, unusquisque eorum qui videbant, tam ex ipsa statura, quam ex vultu et veste, et ex eo quod non assentiretur malis, quæ ab ipsis fiebant, existimabat eum esse Christianum et plane reverendum; erant enim ei moderata omnia, monasticam enim vitam exercuerat a juventute: et ideo deditus fuerat continentiæ, castitati et temperantiæ. Indumentum autem ejus ex pilis contextum, et plane re ipsa vitam æmulabatur apostolicam, et fuerat immulator S. Joannis Præcursoris.

III. Cum ergo accessisset ad locum ei propositum, et preces fudisset consuetas, domum est reversus: et cum fuisset ingressus, et de more precatus, et panem sumpsisset, manebat apud se, nihil aliud meditans quam præclara facta pii Paregorii. Cum hæc autem apud se animo agitaret, paululum in somnum est resolutus, ut rerum sibi futurarum gloriam aspiceret. Quomodo enim patriarcha Joseph vidit, quæ a Deo essent sibi inferenda [1]: ita etiam B. Leo vidit per Spiritum sanctum rerum sibi futurarum eventum. Visus est ergo videre, cum esset vehemens tempestas, et torrentes magno impetu defluerent, Paregorium et se stare in medio torrente: et licet esset fluentum valde periculosum, se projicere et accurrere ad B. martyrem Paregorium, qui ingrediebatur iter ad martyrium. Itaque postquam visionem aspexisset, excitatus, apud se eventus faciens conjecturam, conjecit ea, quæ erant eventura. Seipsum autem beatum pronuntiabat,

[1] Gen. XXXVII.

quod aliquanto tempore versatus esset cum B. Paregorio.

A καὶ ἑαυτῷ συγκρίνων τὴν ἔκβασιν, οὐκ ἔξω τῶν ἀποβησομένων ἀπείκαζεν, ἑαυτὸν δὲ ἐμακάριζεν, ὅτι ἂν πρὸς ὀλίγον τῷ μακαρίῳ Παρηγορίῳ συνέτριψεν.

IV. Deinceps ergo ad eum accedebat, tanquam ad fidelissimum aliquem socium certaminis, sed per medium forum, et per id, quod dicebatur Trichæum: et cum venisset ad locum, videt lucernas et cereolos accensos circa delubrum: et eorum quidem, qui accenderant, misertus est, ut qui decepti essent: cum propius vero accessisset, contrivit lucernas suis manibus, et cereos conculcavit pedibus, eis dicens: Si deos existimatis habere vires, seipsos defendant. Mystæ autem iniquitatis, cœtu congregato impiorum, clamabant adversus S. Leonem, et qui averteret eam, quæ a fortuna erat oblata in civitatem, benevolentiam. Cum vero crevisset tumultus, et fama esset per totam civitatem ejus quod factum fuerat, et pervenisset ad aures procuratoris qui tunc administrabat rempublicam, sua usus iniquitate, jubet milites observare ejus reditum, et virum comprehendere. Et S. quidem Leo est reversus, per se considerans id quod erat eventurum, oculos mentis ad Deum extollens. Milites vero cum prope accessissent, et eum apprehendissent non resistentem neque tumultuantem, adducunt eum ad procuratorem. Ille vero tanquam immanis quædam fera, vorans sanguinem, plenus furore, movebatur adversus martyrem.

Δ'. Ἐξ αὐτῆς οὖν, ὥσπερ πρός τινα πιστότατον συναγωνιστὴν παρεγένετο, οὐκ ἔτι λεληθότως, διὰ δὲ μέσης ἀγορᾶς καὶ διὰ τοῦ λεγομένου Τροιχείου. Προϊὼν τοίνυν ὁρᾷ λύχνους καὶ κηριόλους περὶ τὸ εἰδωλεῖον ἀνακαιομένους καὶ τοῖς μὲν ἅψασιν συνήλγησεν ὡς ἠπατημένοις· ἀτοπώτατον δὲ εἶναι λογισάμενος τὴν αὐτῶν ἀνομίαν, πλησίον γινόμενος, τούς τε λύχνους ταῖς ἰδίαις χερσὶ συνέτριψε καὶ τοὺς κηριόλους τοῖς ποσὶ συνεπάτησεν, φάσκων πρὸς αὐτούς· Εἰ νομίζητε τοὺς θεοὺς ὑμῶν ἔχειν δύναμιν, B ἑαυτοὺς ἐκδικησάτωσαν. Ἡ δὲ πρᾶξις τοῦ μακαρίου Λέοντος ὁδὸς ἦν τοῦ ἀποβάντος αὐτῷ μαρτυρίῳ· προσευξάμενος οὖν τῷ Κυρίῳ, εἴχετο τῆς προκειμένης ὁδοῦ. Οἱ δὲ τῆς ἀνομίας μύσται σύστημα ἀσεβῶν συγκροτήσαντες κατεβόων τοῦ ἁγίου Λέοντος, ὡς ἀποστέφοντος τὴν παρὰ τῆς τύχης εἰς τὴν πόλιν εὔνοιαν. Ὡς δὲ ὁ θόρυβος ἐπηύξει καὶ περιηχεῖτο εἰς πᾶσαν τὴν πόλιν, τὸ γεγονὸς ἦλθεν καὶ εἰς τὰς ἀκοὰς τοῦ τότε τὴν ἀρχὴν παραφυλάσσοντος ἐπιτρόπου, καὶ οἰκείᾳ χρησάμενος παρανομίᾳ προστάττει στρατιώτας παρατηρῆσαι τὴν τούτου ἐπάνοδον καὶ συλλαβεῖν τὸν ἄνδρα. Ὁ μὲν οὖν ἐπανῄει καθ' ἑαυτὸν σκοπῶν τὸ ἀποβησόμενον, τοὺς ὀφθαλμοὺς τῆς διανοίας ἀνατείνων πρὸς τὸν Θεόν. Οἱ δὲ στρατιῶται πλησίον γενόμενοι καὶ ἐπιλαβόμενοι οὐκ ἀντιπράττοντα οὐδὲ θορυβούμενον τῷ ἐπιτρόπῳ προσάγουσιν. Ὁ δὲ, οἷά τις θὴρ αἱμοβόρος, πλήρης ὑπάρχων μανίας, κατὰ τοῦ μάρτυρος ἐκινεῖτο, λογιζόμενος μήποτε συγχωρήσας τὴν πρᾶξιν· πρόξενος γένηται παῤῥησίας Χριστιανοῖς τῆς εἰς τὰ τῶν Ἑλλήνων εἴδωλα καταλύσεως.

V. Postquam autem vidit prope esse B. Leonem, C statim ei objecit audaciam, qua usus fuerat adversus lucernas, dicens: Mihi videris, o senex, vel ignorare vires deorum cœlestium, quod eorum evertas religionem: aut insanire, ut qui facias præter id quod videtur divinissimis nostris imperatoribus: quos secundos servatores et deos optime facientes nos vocamus. Ad hæc dixit Leo sanctissimus: Multos cœlestes deos dixisti, o procurator. Veritas autem non ita habet; est enim unus Deus cœlestium et terrestrium, Dominus noster Jesus Christus, Filius Dei vivi, qui non habet opus ut sic colatur ab hominibus. Spiritus enim contritus, et anima quæ consuevit humiliter de se sentire, sunt apud Deum in magna existimatione. Lucernæ autem et cerei qui circa simulacra accenduntur, sunt vani D et inanes quoniam sentire non possunt lapis et æs et lignum, quæ ab hominum arte sunt exstructa et fabricata. Si vero, o procurator, eum qui vere est Deus intelligeres, non hanc materiam nullo sensu præditam honorasses honore suffituum. Cessa ergo in his frustra laborare, et lauda Deum universorum, et ejus Filium unigenitum, Dominum nostrum Jesum Christum, Servatorem mundi et Opificem animarum nostrarum. Ad hæc dixit procurator: Non respondisti in præsentia ad crimina quæ tibi objiciuntur, sed alia dixisti pro aliis. Nam

E'. Ἐπεὶ δὲ πλησίον γενόμενον εἶδεν τὸν μακάριον Λέοντα, εὐθέως ἐνῆγεν τὴν περὶ τοὺς λύχνους αὐτῷ γενομένην τόλμαν, λέγων· Ἐμοὶ δοκεῖς, πρεσβῦτα, ἢ τὴν τῶν ἐπουρανίων θεῶν ἀγνοεῖν δύναμιν, ὅτιπερ τὰς αὐτῶν θρησκείας ἀνατρέπεις· ἢ μεμηνέναι πράττων τὰ παρὰ τὸ δοκοῦν τοῖς θειοτάτοις ἡμῶν βασιλεῦσιν, οὓς δευτέρους σωτῆρας καὶ θεοὺς ἄριστα ποιοῦντας ἀποκαλοῦμεν ἡμεῖς. Πρὸς ταῦτα ὁ ἁγιώτατος Λέων ἔφη· Πολλοὺς αὐτὸς ἐπουρανίους θεοὺς εἴρηκας· ἔχει δὲ οὐχ οὕτως, ὦ ἐπίτροπε, ἡ ἀλήθεια· εἷς γὰρ ὁ τῶν ἐπουρανίων καὶ ἐπιγείων Θεὸς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, τοιαύτης θεραπείας παρὰ τῶν ἀνθρώπων οὐ χρῄζων· πνεῦμα γὰρ συντετριμμένον παρὰ Θεῷ δόκιμον καὶ ψυχὴ ταπεινοφρονεῖν εἰθισμένη· λύχνοι δὲ καὶ κηριόλοι οἱ περὶ τὰ εἴδωλα μάταιοι· ἐπεὶ μηδὲ εἰς αἴσθησιν ἐλθεῖν δύνανται, ὅτε λίθος, καὶ ὁ χαλκὸς, καὶ τὸ ξύλον, ἐκ τέχνης ἀνθρώπων κατασκευαζόμενα· εἰ δὲ ἐνόεις, ὦ ἐπίτροπε, τὸν ὄντως Θεὸν οὐκ ἂν τῇ ὕλῃ ταύτῃ προσῆψας τιμὴν θυμιαμάτων ἀναισθητούσῃ. Παῦσαι οὖν τῆς τοιαύτης ματαιοποιΐας καὶ δόξαζε τὸν ἐπὶ πάντων Θεὸν καὶ τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν Σωτῆρα τοῦ κόσμου καὶ Δημιουργὸν τῶν ψυχῶν ἡμῶν· πρὸς ταῦτα ὁ ἐπίτροπος ἔφη· Οὐκ ἀπολογίαν ὑπὲρ ὧν ἐγκαλῇ πρὸς τὸ παρὸν εἴρηκας, ἀλλ' ἕτερα ἀνθ' ἑτέρων· ἐγκαλούμενος γὰρ περὶ τῶν θεῶν,

περὶ τοῦ Χριστιανισμοῦ διδάσκεις προθύμως· χάρις A δὲ τότς θεοῖς, τοῖς μὴ ἐάσασίν σε διαλαθεῖν τοιαῦτα τολμήσαντα· ἢ τοίνυν ἐπίγνωθι τοὺς θεοὺς καὶ τὰ ἱερὰ εἰς αὐτοὺς ἐπιπλήρωσον τῇ γνώμῃ τῶν παρόντων πειθόμενος, ἢ ὑπὲρ ὧν ἐτόλμησας, δὸς τὴν τιμωρίαν.

ϛʹ. Πρὸς ταῦτα ὁ μάρτυς εἶπεν· Ἐμοὶ μὲν ἡδὺ ἦν, μηδὲ ἕνα ἢ δεύτερον ὀλισθῆσαι τῆς ἐπουρανίου γνώσεως, οὔ τί γε μὴν τοσοῦτον πλῆθος· ἐπειδὴ δὲ ὁρῶ τοὺς πολλοὺς μεμηνότας ἀνοσίως, μὴ νομίσῃς ἕνα με τούτων εἶναι, Χριστιανὸν ὄντα· ἐγὼ γὰρ ἔνδον ἔχων τὰ ἀποστολικὰ παραγγέλματα, τούτοις πρὸς ὑπακοὴν χρήσομαι. Εἰ δὲ τιμωρίαν ἐπὶ τούτοις ἀπαιτεῖς, μὴ βράδυνε· οὐ γὰρ διὰ τὴν νομιζομένην παρ' ὑμῖν βαρυτάτην βάσανον φυλάξομαι, ἀλλὰ πάντα ὑπομένειν ἑτοίμως ἔχω, ὑπὲρ τοῦ μή τινα δοῦναι B καθ' ἡμῶν τῷ διαβόλῳ χώραν. Εἰ δὲ μὴ πάντες τὰ αὐτὰ φρονοῦσιν ἡμῖν, ζήσονται τὴν τοιαύτην ζωὴν μόνην. Ἡ γὰρ μέλλουσα ζωὴ διὰ τῶν τοιούτων θλίψεων περιποιεῖται· οὕτως γὰρ ἡ Γραφὴ λέγει, στενὴν εἶναι καὶ τεθλιμμένην τὴν ὁδὸν τὴν ἀπάγουσαν εἰς τὴν αἰώνιον ζωήν. Ὁ ἐπίτροπος εἶπεν· Εἰ τοίνυν αὐτὸς ὁμολογεῖς, στενὴν εἶναι καὶ τεθλιμμένην τὴν παρ' ὑμῖν ὁδὸν, ἐπὶ τὴν ἡμετέραν οὖσαν πλατεῖαν καὶ βελτίονα μετάστηθι. Ὁ ἅγιος Λέων εἶπεν· Οὐχ οὕτως ἔφην εἶναι στενὴν ὡς μὴ χωρεῖν τοὺς βαδίζοντας· πολλοὶ γὰρ ἐπὶ ταύτην τὴν καλλίστην ὁδὸν ἐπέβησαν, ἀλλὰ στενὴ εἴρηται, ἥτις μετὰ στενοχωρίας, καὶ θλίψεως, καὶ ἀνάγκης, καὶ διωγμοῦ τοῦ ὑπὲρ δικαιοσύνης τοῖς οὕτω προστιθεμένοις βαδίζεται· τοῖς γὰρ προαιρουμένοις ταῦτα ἡ πίστις πλατυτάτη ὁδηγοῦσα ἐν ταῖς ἰδίαις ἀρεταῖς· πῶς δὲ οὐκ C ἂν ἀποφήνῃ, τὴν μὲν παρ' ἡμῖν λεγομένην στενὴν ὁδὸν πλατυτάτην εἰς σωτηρίαν εἶναι; μαθὼν ὡς ἐκ πίστεως ἑνὸς προπάτορος Ἀβραὰμ ἀναρίθμητον πλῆθος ἐν πίστει δικαιοῦται, ἀναπαυόμενον ἐν τοῖς κόλποις αὐτοῦ· τὴν δὲ παρ' ὑμῖν πλατεῖαν ὁδὸν στενὴν εἶναι κατὰ ἀπιστίαν καὶ ἀληθὲς τοῦτο· αἱ γὰρ ἀρεταὶ διαφοραὶ καὶ πλατεῖαι τυγχάνουσαι, τοῖς ἀπείροις στεναὶ καὶ ἄβατοι καθεστήκασιν.

Ζʹ. Πλείονα οὖν διαλεγομένου τοῦ ἁγίου Λέοντος καὶ ἰσχυρῶς συνισταμένου τῷ περὶ Χριστιανισμοῦ λόγῳ, τὸ τῶν ἀθέων Ἰουδαίων τε καὶ Ἑλλήνων πλῆθος ἀνεβόα, ἀξιοῦν μὴ συγχωρεῖν αὐτὸν λαλεῖν ὅσα βούλεται. Ὁ οὖν ἐπίτροπος πρὸς τὰ παρὰ τοῦ πλήθους εἰρημένα φησίν· Ἐγὼ καὶ λόγου παῤῥησίαν D τέως μεταδίδωμι καὶ κοινὴν φιλίαν πειθομένῳ τοῖς θεοῖς ὑπισχνοῦμαι. Ὁ δὲ ἅγιός φησιν· Εἰ μὲν ἐπιλέλησαι τῶν ἐμῶν λόγων, ἐπίτροπε, καλῶς καὶ δεύτερον ἐρωτᾷς· εἰ δὲ μέμνησαι, ἴσθι ὡς οὐκ ἔστι δυνατὸν τοῖς φύσει μὴ οὖσι θεοῖς συντίθεσθαι. Ὀργίλως οὖν διατεθεὶς περὶ τοὺς λόγους, κελεύει μαστίζεσθαι τὸ τίμιον σῶμα τοῦ μάρτυρος· ὡς δὲ τὸ πλῆθος τῶν πληγῶν ὑπὲρ ἀριθμὸν ἦν ἢ κατὰ ὑπομονὴν σώματος ἀνθρωπίνου ὁ γενναιότατος ἀθλητὴς τοῦ Χριστοῦ πρὸς οὐδὲν τῶν πραττομένων διετίθετο οὐδὲ ἕως βραχυτάτου στεναγμοῦ φθεγξάμενος· εἶχεν γὰρ

cum de iis accuseris, prompto et alacri animo doces de Christianismo. Diis autem gratia, qui non siverunt te latere, cum hæc ausus fueris. Aut ergo agnosce deos, et imple eorum sacra, eorum qui adsunt, parens sententiæ : aut da pœnas eorum, quæ ausus est admittere.

VI. Ad hæc dixit martyr : Mihi quidem fuisset jucundum, nullum hic esse lapsum a cœlesti cognitione non solum tantam multitudinem. Quoniam autem video multos impie insaniisse, ne putes me esse unum ex his cum sim Christianus? Ego enim, qui intus habeo præcepta apostolica, his utar ad obedientiam. Sin autem propter hæc pœnas a me exigis, ne differas. Non enim propter tormentum, quod a vobis existimatur gravissimum, cavebo : sed omnia sum paratus sustinere, ne quis det diabolo in nos locum aliquem. Sin vero non omnes eadem quæ nos sentiunt, hæc sola vita vivent. Futura enim vita acquiritur per has afflictiones. Sic enim dicit Scriptura [2], arctam esse viam quæ ducit ad vitam æternam. Dixit præfectus : Si tu ergo confiteris arctam esse viam, quæ apud vos, transi ad nostram, quæ est lata et melior. Dixit autem sanctus : Non eam dixi esse adeo arctam ut non capiat eos qui illa ingrediuntur. Multi enim pulcherrimam hanc viam sunt ingressi. Sed dicta est angusta, quæ cum afflictione, angustia et necessitate et pro justitia persecutione initur ab iis qui ad eam accedunt. Iis vero qui eam sua sponte suscipiunt, fides est latissima, deducens ad proprias virtutes. Cur non autem pronuntias, viam quidem, quæ apud nos dicitur angusta, esse latissimam ad salutem : cum didiceris quod ex fide unius parentis nostri Abrahæ multitudo innumerabilis justificatur in fide, requiescens in ejus sinu : viam vero quæ est apud vos lata, esse angustam per incredulitatem? Est autem hoc verum. Virtutes enim, cum sint diversæ et latæ, sunt imperitis arctæ et inaccessæ.

VII. Hæc ergo et his plura sancto disserente Leone, et Christianismi rationem strenue confirmante, impiorum Judæorum et gentilium exclamavit multitudo, rogans ne ei concederet loqui quæ vellet. Dicit autem procurator ad ea quæ dicta sunt a multitudine: Ego nunc ei do potestatem loquendi libere, et communem amicitiam polliceor, si diis pareat. Dixit autem S. Leo : Si meorum quidem verborum oblitus es, o procurator, recte rursus interrogas. Si vero meministi, scias fieri non posse, ut assentiar adorandos esse deos, qui non sunt natura. Tunc his verbis ira motus, jubet cædi flagris venerandum corpus martyris. Cum autem multitudo plagarum esset innumerabilis, et major quam ut id sustinere posset humanum corpus, fortissimus athleta Christi Leo, nulla ex iis quæ fiebant, quidquam afficiebatur, ne minimum quidem emittens

[2] Matth. VII, 14.

suspirium, totam enim mentem suam et desiderium convertebat ad Dominum. Dicebat autem procurator: Parva sunt, o Leo, hæc, quibus affectus es, tormenta, si considerantur cum futuris. De cætero mihi pare, et diis offer, quæ sunt lege constituta sacrificia. Dixit S. Leo: O judex, quod sæpe prius dixi, non recusabo rursus dicere: Neque hos novi deos, neque unquam in animum inducam ut eis sacrificem, ut qui sciam præcepta sacrarum Scripturarum. Dii enim, qui cœlum et terram non fecerunt, pereant a facie terræ [3].

A τὸν πόθον πρὸς τὸν Κύριον. Εἶπεν οὖν ὁ ἐπίτροπος· Μικρὰ ταῦτα τὰ γεγενημένα σοι πρὸς τὰ μέλλοντα βασανιστήρια· πείσθητι οὖν μοι καὶ τὰς νομιζομένας θυσίας προσένεγκε τοῖς θεοῖς. Ὁ ἅγιος Λέων εἶπεν· Ὃ φθάσας εἶπον πολλάκις, εἰπεῖν οὐ παραιτήσομαι, ὅτι οὔτε θεοὺς οἶδα, οὔτε θῦσαι τολμήσω, εἰδὼς τὰ χρησιμώτατα τῶν ἁγίων Γραφῶν παραγγέλματα.

VIII. Ad hæc dixit procurator: Hoc solum dic: Magni sunt dii, et liberaberis a tormentis. Parco enim tibi, tuam respiciens canitiem, et alium habitum corporis. Dixit S. Leo: Hoc ipse quoque dixerim, eos revera esse magnos et idoneos ad perdendas animas quæ ipsis credunt. Dixit ira percitus procurator: Jubeo te trahi per petras, tanquam furore correptum, et sic mori acerbe. Dixit B. Leo: Quivis mortis modus est mihi jucundus propter regnum cœleste. Eam enim voco vitam et salutem, quæ, postquam hinc excessero, dabit mihi ut habitem cum sanctis martyribus. Dixit procurator: Patrem Leo, edicto imperatorum, et dic, Dii servatores, quoniam es alioqui cito acerbe moriturus. Dixit autem S. Leo: O judex, mihi videris esse valde imbecillus, qui solum assidue mihi verbis mineris, præter verba autem nihil facias. Cum vero propter hæc seditionem agitasset multitudo, valde perturbatus procurator, jussit sanctum quidem capi pedibus, trahi autem in torrentem, in eo ultimum daturum supplicium.

Η'. Πρὸς ταῦτα ὁ ἐπίτροπος εἶπεν· Τοῦτο μόνον εἰπὲ, ὅτι μεγάλοι οἱ θεοὶ, καὶ ἀπαλλάττου· φείδομαι γάρ σου τήν τε πολιὰν εἰδὼς καὶ τὴν προσοῦσάν σοι τήν τε ἄλλην τοῦ σώματος κατάστασιν. Πρὸς ταῦτα ὁ ἅγιος Λέων εἶπεν· Τοῦτο ἂν εἴποιμι καὶ αὐτὸς, ὡς ἀληθῶς μεγάλοι καὶ ἱκανοὶ ψυχὰς ἀπολέσαι ταῖς πιστευούσαις αὐτοῖς. Θυμωθεὶς οὖν ὁ ἐπίτροπος B εἶπεν· Ἑλκυσθῆναί σε προστάττω κατὰ πετρῶν ὡς μεμηνότα καὶ οὕτως τεθνάναι. Καὶ ὁ μακάριος Λέων· Ἐμοὶ, φησὶν, ἡδὺς πᾶς θανάτου τρόπος διὰ τὴν ἐπουράνιον βασιλείαν· ταύτην γὰρ ζωὴν καὶ σωτηρίαν καλῶ, ἥτις τὴν συνοίκησιν τὴν μετὰ τῶν ἁγίων μετὰ τὴν ἀπαλλαγὴν τὴν ἐντεῦθεν δωρεῖται. Ὁ ἐπίτροπος εἶπεν· Πείσθητι τῷ προστάγματι καὶ λέγε, ὅτι σωτῆρες οἱ θεοὶ, ἢ ἴσθι παρ' αὐτὰ τεθνηξόμενος. Ὁ ἅγιος Λέων εἶπεν· Πολύ μοι δοκεῖς ἀσθενεῖν, συνεχῶς μοι λόγοις ἀπειλῶν, μηδὲ δὲ πέρας τῶν λόγων διαπραττόμενος. Στασιάσαντος δὲ ἐπὶ τούτοις τοῦ πλήθους, ταραχθεὶς ὁ ἐπίτροπος, ἐπέτρεψεν λαμβάνεσθαι μὲν τῶν ποδῶν τὸν ἅγιον, ἕλκεσθαι δὲ ἐπὶ τὸν χειμάῤῥουν, ἐν τούτῳ δώσοντα τὴν τιμωρίαν.

IX. Cum itaque sententiam pronuntiasset procurator, statim servi peccati et ministri tenebrarum beatum Leonem traxerunt in torrentem inhumane et crudeliter. Tunc sciens esse impletum suum desiderium, ad Deum extollens oculos, sic cœpit dicere: Domine Jesu Christe, ago tibi gratias nunc et in sæcula, quod me non diu superaveris a famulo tuo Paregorio, sed mihi velocem occasionem dederis eum sequendi. Lætor ergo iis quæ facta sunt: nempe quod pro meis prioribus peccatis novum viaticum accipio martyrium, et quod in manus angelorum tuorum meum trado spiritum, in æternum liber conservandus a judicio improborum. Atque pro iis quidem quæ in me fiunt, esto iis qui ausi sunt propitius: eis autem concede, ut te agnoscant Deum universorum: quoniam non vis aliquem perire, sed omnes esse salvos et venire ad pœnitentiam. Quin etiam cuilibet qui invocat nomen meum, condona, Domine, sua peccata, et colloca eum, ubi videat lucem vultus tui, quoniam tu es Deus solus patiens et multæ misericordiæ, et te decet gloria in sæcula sæculorum. Amen (1).

Θ'. Εὐθὺς οὖν ἀποφηναμένου τοῦ ἐπιτρόπου, οἱ τῆς ἁμαρτίας διακόνοι εἷλκον τὸν μακάριον Λέοντα C κατὰ τοῦ χειμάῤῥου ὠμῶς καὶ ἀνιλεῶς. Πεπληρωμένου οὖν αὐτοῦ τοῦ σκόπου, ἀνατείνας τοὺς ὀφθαλμοὺς πρὸς τὸν Θεὸν, ἤρξατο λέγειν· Εὐχαριστῶ σοι, Πάτερ τοῦ Χριστοῦ, ὃς ἐπὶ πολὺ οὐ διεχώρησας ἐμέ τε καὶ τὸν οἰκέτην τὸν σὸν Παρηγόριον, ἀλλ' ἐτάχυνάς μοι δωρησάμενος πρόφασιν ἀκολουθῆσαι αὐτῷ. Χαίρω τοίνυν ἐπὶ τοῖς γενομένοις, ὅτι ἀντὶ τῶν προτέρων μου ἁμαρτημάτων ἐφόδιον ἱκανὸν κομίζομαι τὸ μαρτύριον καὶ ὅτι εἰς χεῖρας ἀγγέλων σου παρατίθημι τὸ πνεῦμά μου, ἐλεύθερος εἰς τὸν αἰῶνα τῆς τῶν ἀτόπων κρίσεως φυλαχθησόμενος. Ὑπὲρ οὖν τῶν κατ' ἐμὲ δρωμένων γενοῦ μὲν ἵλεος τοῖς τολμῶσιν· χάρισαι δὲ αὐτοῖς ἐπιγνῶναί σε τὸν τῶν ὅλων Θεόν· σὺ γὰρ εἶ ἀληθῶς ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν· ὁ καὶ τοῦ D πάθους ἡμῶν ἄπονον τὴν ὑπομονὴν χαρισάμενος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

X. Postquam *Amen* stricta voce pronuntiasset, spiritum tandem expulsum Domino grato animo re-

Ι'. Ὡς δὲ τὸ, Ἀμὴν, μετὰ πολλῆς προθυμίας κεκραγὼς ἀνέπεμψεν, μετ' εὐχαριστίας τὸ πνεῦμα τῷ

[3] Jer. x, 11.

(1) Sequentia usque ad finem omiserat interpres apud Surium. Supplevimus ex interpretatione nostra Edit. Patr.

Κυρίῳ παρέδωκεν· οἱ δὲ τῆς ἀνομίας ὑπηρέται ἐπί A τινος ἀνακομίσαντες ὑψηλοῦ λίθου τὸ λείψανον τοῦ ἁγίου, οὕτως ἀφιᾶσι κατὰ τῆς φάραγγος· τὸ δὲ σῶμα κατενεχθὲν οὐδαμοῦ διεσπάσθη, ἀλλ' ἢ οὕτως ἠρέμως κατηνέχθη· ἔδοξεν δὲ ἐκ τῆς τραχύτητος ξέσματα λαμβάνειν ὀλίγα. Ὁ μὲν γενναιότατος Λέων τούτῳ τῷ τρόπῳ τοῦ διαβόλου κρατήσας, τῶν ἐπαξίων στεφάνων ἠξίωται. Ἐπειδὴ δὲ δίκαιον ἦν τὴν τῶν γεγενημένων μεγαλουργίαν εἰς ἰδίαν φυλάττεσθαι δόξαν καὶ τὴν τῶν εὐεργεσιῶν μνήμην εἰς ἔλεγχον τῶν γεγενημένων, μέχρι τοῦ νῦν σώζεται ὁ τόπος. Ὅπου γὰρ τὸ σῶμα κατηνέχθη τοῦ ἁγίου, κρημνώδης τις καὶ ἄβατος πρότερον ὤν, ὡς καὶ ἐκ μόνης τῆς θέας κίνδυνον ἀπειλεῖν, νῦν ἀκίνδυνος καὶ ἀσφαλὴς ἀπ' ἐκείνου γέγονεν. Πολλάκις γὰρ καὶ ἄνδρες καὶ γυναῖκες καὶ ἕτερά τινα ζῶα ἀστοχήσαντα τῆς ὁδοῦ κατ' ἐκεῖνον ἠνέχθη τὸν κρημνὸν, καὶ οὐδὲ πρὸς τὸ βραχύτατον ᾔσθοντο πόνου, καὶ τὸ δὴ μέγιστον ὄχημά ποτε σὺν τοῖς ἕλκουσι κτήνεσι κατενεχθὲν, παντὸς ἀπείραστον κίνδυνου διαμεμένηκεν καὶ ὁ μὲν τόπος ταύτην ἀπεκληρώθη τὴν εὐεργεσίαν. Οἱ δὲ εὐλαβέστατοι τῶν ἀδελφῶν μετὰ σπουδῆς ἀνελόμενοι τὸ σῶμα τοῦ ἁγιωτάτου μάρτυρος, ἐθαύμαζον πῶς τὸ μὲν πρόσωπον ἦν φαιδρὸν, ὡς δοκεῖν μειδιᾷν· τὸ δὲ ὅλον σῶμα ἐρυθρὸν μὲν ὡς ἀπὸ ἀγῶνος ἠρέμα κεκονιμένον. Λούσαντες οὖν ὕδατι καὶ μετ' ἐπιμελείας καταθέμενοι, ἀπῄεσαν εὐχαριστοῦντες καὶ δοξάζοντες τὸν Θεὸν, τὸν οὕτω γενναίαν ὑπομονὴν τῷ μακαρίτῃ χαρισαμένῳ, εὐχόμενοι κλήρου καὶ μονῆς τῆς αὐτῆς καταξιωθῆναι, ἐν ὀνόματι Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

misit. Tum iniquitatis servi sancti reliquias in rupem sublatas ex alto in convallem dejecerunt, ita tamen ut corpus leviter inter cadendum allisum, cætero illæsum videretur. Sic Leo, vir nobilissimus diabolo superato, coronis quas optime meruerat, est ornatus. Quia autem illud factum, quod ad perpetuam rei memoriam servaretur, dignum esset, locus iste, præruptus et inaccessus antequam sancti corpus tetigisset, hodienum lenis et pervius cernitur. Sæpe enim sæpius viri mulieresque, jumenta quoque in istum voraginem sine dolore aut vulnere delapsa referuntur; imo equi quondam currui juncti cum casu fatali eodem delapsi essent, incolumes ac salvi inde evaserunt. Postremo fratrum benignissimi sancti martyris corpus diligenter sustulerunt, B et vultum quasi ridentem videntes mirati sunt; reliquum namque corpus rubro colore suffectum tanquam e certamine duro prodiisse videbatur. Postquam deinde corpus aqua lavatum decenter inhumassent, reversi sunt, Deum cum gratiarum actionibus glorificantes et supplicantes ut ipsis quoque sors et dormitio similis tribueretur, in nomine Patris et Filii et Spiritus sancti, cui gloria et potestas in sæcula sæculorum. Amen.

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR

—

FINIS TOMI CENTESIMI DECIMI QUARTI.

Mirecuriis. — Ex Typis CHASSEL.

